BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

1316

DIOGENIS LAERTII

VITAE PHILOSOPHORVM

VOL. I

LIBRI I–X

EDIDIT

MIROSLAV MARCOVICH



BEROLINI ET NOVI EBORACI
WALTER DE GRUYTER MMVIII

♾ Gedruckt auf säurefreiem Papier,
das die US-ANSI-Norm über Haltbarkeit erfüllt.

ISBN 978-3-598-71316-3

Bibliografische Information der Deutschen Nationalbibliothek

Die Deutsche Nationalbibliothek verzeichnet diese Publikation in
der Deutschen Nationalbibliografie; detaillierte bibliografische Daten
sind im Internet über http://dnb.d-nb.de abrufbar.

Printed in Germany
Druck und Bindung: AZ Druck und Datentechnik GmbH, Kempten

UXORI CARISSIMAE
D D D

CONSPECTUS

PRAEFATIO

I. DE EXCERPTIS BYZANTINIS

Φ Magnum excerptum e Diogene Laertio in cod. Vaticano gr. 96, f. 29^{v}–88^{r} (244 x 175 mm) exstat (= **Φ**). Excerptum primus descripsit Edgarus Martini (1902).[1] At de **Φ** praeclare egit Arturus Biedl (1904–1950),[2] qui editionem Excerpti praeparaturus morte praematura interceptus est.[3] Excerptum e codice **Φ** hic primum editur (Vol. II).

Sed **Φ** medio saeculi XII (non initio saeculi XIV, ut Biedl aliique voluere) confectus fuit, ut primus vidit Ciro Giannelli (Bibl. Vaticana)[4] et postea N.S. Wilson (1977) comprobavit.[5] Codicis **Φ** apographa sunt:

Ψ Vaticanus Palatinus gr. 93, ante annum 1152 exaratus, f. 10^{v}–41^{v} [6]

1 "Analecta Laertiana II," *Leipziger Studien* 20 (1902) 145–166.

2 *Das grosse Exzerpt* **Φ**, Studi e testi, 184, Romae, 1955, 41–109.

3 Specimina futurae editionis in pp. 110–116 invenies. Biedl codicis **Φ** f. 29^{v}–62^{v} sibi transcripsit (Bibl. Univ. Heidelbergensis Handschrift 3525).—Post A. Biedl de **Φ** egit L. Tartaglia, *Rendiconti della Accademia... Napoli,* N.S. 49 (1974) 253–272.

4 Per litteras ad A. Biedl, cf. Biedl, p. 88 s.

5 "The Scholarly Hands of the Middle Byzantine Period" [1974], in *La paléographie grecque et byzantine,* Centre National de la Recherche Scientifique, Colloques Internationaux, 559, Parisiis, 1977, pp. 235–237 cum fig. 12–13.

6 Codicem **Ψ** codicis **Φ** apographon esse primus vidit C.L. Kayser, *Flavii Philostrati Vitae sophistarum,* Heidelbergae, 1838, p. XIII s.

Δ Athous 3624 = Διονυσίου 90, s. XIV exeuntis, f. 197^{v}–238^{r}

Π Parisinus suppl. gr. 134, s. XIV exeuntis, f. 195^{v}–232^{v}

Λ Leidensis Bibl. publ. gr. 75, s. XV, f. 1^{r}–36^{v} (incipit DL 6.20)[7]

ΔΠ Magni excerpti versionem abbreviatam praebent (atque codicis Ψ apographa sunt). Quos Sp. Lambros (1906) edidit.[8]

Φ magni est momenti ad Diogenis textum constituendum. De excerptoris aetate nihil constat. P. Von der Muehll eum temporibus Constantini Porphyrogenneti (905–959) vixisse credidit,[9] Biedl autem saeculo XI.[10] Mihi videtur *Sudae* contemporaneus fuisse. In Excerpto auctor primum δόξας scholarum (1–9), deinde vitas singulorum philosophorum praebuit opusque in 74 capitula divisit. (Ambo **Φ** et *Suda* Diogenis θεοί semper in θεόν mutant).

Suda *Suda* (1000) locos innumeros e Diogene compilavit, quorum potiores in Vol. II ex editione Adae Adler (a me emendata) afferuntur.

φ In eodem cod. Vaticano gr. 96, s. XII medii, f. 19^{r}–29^{v}, exstat opusculum Pseudo-Hesychii Milesii *De viris illustribus* (= φ). Auctor dimidium e DL et dimidium e *Suda* compilavit atque ordine alphabetico in 78 capitula divisit.[11] Ioannes Flach opus ex codicis φ apographis **B** (= Laurentianus gr. 69.37, s. XV) et **A** (= Laurentianus gr. 70.14, inter annos 1569 et 1572 a Christofero Rufo conscriptus)

7 Frustula tantum Magni excerpti continet cod. Palat. gr. 129 Univ. Heidelbergensis (s. XIV). Stemma codicis **Φ** apographorum ap. A. Biedl, p. 105.

8 *Νέος Ἑλληνομνήμων* 3 (1906) 257–376. Lambros **Φ** et Ψ non novit.

9 *Epicuri epistulae tres*, Bibl. Teubneriana, 1922 (= 1966), p. VI.

10 Biedl, p. 118.

11 Ps.-Hesychium e DL et *Suda* hausisse primus vidit C. Lehrs, *Rhein. Mus.* 17 (1862) 453–457.

edidit (Bibl. Teubneriana, 1880). Opusculum hic primum ex cod. **φ** editur (Vol. II).

Excerpta e DL ab Arsenio (i.e. Aristobulo Apostolio) in *Violeto* (Ἰωνιά) initio saeculi XVI confecta (ed. Chr. Walz, Stutgardiae, 1832)[12] atque ea ab 'Eudocia Augusta' (i.e. Constantino Palaeocappa) in *Violario* post annum 1543 compilata (ed. Io. Flach, Bibl. Teubneriana, 1880)[13] minimi sunt momenti ad Diogenis textum constituendum.

II. DE CODICIBUS INTEGRIS

Diogenis 25 codices integros Edgarus Martini descripsit (1899) atque de ratione quae inter codices Laertii intercedit late disputavit (pp. 104–176).[14] Quaestionem de libris Laertianis denuo tractavit A. Gercke (1902).[15] Sed Curtius Wachsmuth (1885) fundamenta studiis librorum Laertianorum iecit.[16]

Ω Omnes codices magnam lacunam post 7.202 communem habent. Ea sane vitas 20 philosophorum Stoicorum devoravit, ut apparet ex operis Indice vetere in codice **P** conservato (v. I, pp. 1–3 huius editionis). Archetypum litteris uncialibus exaratum fuisse testes sunt errores in codd. **BP**. Hinc **Ω** ali-

12 Cf. L. Cohn in *R.E.* II (1895), col. 1274 s., s.v. Arsenios.

13 Cf. P. Pulch, *De Eudociae quod fertur Violario* (Dissert. Argentor., 4), Argentorati, 1880; "Konstantin Palaeokappa, der Verfasser des Violariums der Eudokia," *Hermes* 17 (1882) 177–192; L. Cohn in *R.E.* VI (1907), col. 912 s., s.v. Eudokia Makrembolitissa.

14 "Analecta Laertiana I," *Leipziger Studien* 19 (1899) 75–176. Idem cum correctionibus "Zur handschriftlichen Ueberlieferung des Laertios Diogenes," *Rhein. Mus.* 55 (1900) 612–624.

15 "Die Ueberlieferung des Diogenes Laertios," *Hermes* 37 (1902) 401–434.

16 *Sillographorum Graecorum reliquiae*^{2}, Bibl. Teubneriana, 1885, pp. 51–54.

quanto ante saeculum IX confectum fuisse vidit Martini.[17] Archetypum varias lectiones in margine (γράφεται) continuisse, quarum singulae vel in **B** vel in **P** vel in **F** leguntur, vidit vir doctus Anonymus (1901).[18]

α Omnium consensus est hodie codices **BPF** unam classem codicum constituere, quorum **BP** gemellos esse (α′) primus vidit H. Diels (1877)[19] atque postea L. Tartaglia comprobavit (1974).[20]

B Omnium codicum optimus est **B** = Neapolitanus Burbonicus III B 29, s. XII, membr. (260 x 170 mm), f. 2^r–246^r.[21] Secundum G. Cavallo (1980) in Sicilia Normanna confectus.[22] A librario illitterato exaratus. Corrector principalis (= B^2) contemporaneus, secundus corrector (= B^3) aetatis posterioris.

P **P** = Parisinus gr. 1759, s. XIII exeuntis, chart. (210 x 150 mm), f. 2^v–251^v. Codex optimus, codicis **B** gemellus, sed a correctore P^4 (qui varias lectiones radendo introduxit) foede vitiatus.[23] Primus corrector (= P^2) agebat priusquam apo-

17 "Analecta Laertiana I," pp. 106 et 132.

18 In iudicio de E. Martini *Analectis Laertianis* I, *Literatur-Centralbl.* 52 (1901) 367–369.

19 In iudicio de I. Bywateri editione Heracliti, *Jenaer Literaturzeitung* 4 (1877), Nr. 25, pp. 393–395, 394 n.

20 "Probabile *cognatio* dei codici B e P," *Vichiana* (Napoli) 3 (1974) 314–321.

21 Codicem primus descripsit E. Rohde ap. Fr. Nietzsche, *Gratulationsschrift des Paedagogiums zu Basel* 1870, p. 17 s.

22 "La trasmissione scritta della cultura greca antica in Calabria e in Sicilia tra i secoli X–XV. Consistenza, tipologia, fruizione," *Scrittura e Civiltà* 4 (1980) 157–245, praesertim pp. 193 et 212 s. Cf. D. Knoepfler, *La vie de Ménédème d' Érétrie de Diogène Laërce,* Basileae, 1991, p. 141 s.

23 Codicem primus descripsit M. Bonnet, "Die Pariser Handschriften des Laertios Diogenes," *Rhein. Museum* 32 (1877) 578–590. Descriptionem accuratam Giuseppina Donzelli praebuit: "I codici P Q W Co H I E Y Jb," *S.I.F.C.*, N.S. 32 (1960), pp. 156–199, praesertim pp. 158–164.

graphon **Q**, secundus (= P^3) antequam apographon **W** descripta fuerint. Corrector principalis (= P^4) ante apographon **H** descriptum varias lectiones e codice **F** introduxit. Quartus corrector (= P^5) post **H** descriptum agebat.[24] Scriptus est **P** duabus manibus (f.1^r–95^r : 95^v–251^v).

Codex **P** magnam propaginem creavit.[25] Cuius apographa potiora sunt:

Q Parisinus gr. 1758, s. XIV ineuntis
W Vaticanus gr. 140, s. XIV
Co Constantinopolitanus gr. Veteris Seraglio 80 (olim 48), s. XIV [Bibl. Ahmed III, Topkapi Saray]
H Laurentianus 69, 35, ca. 1400
I Marcianus gr. 394 (nunc 1030), s. XV
E Vaticanus Palatinus gr. 182, s. XV
Y Angelicanus gr. 97 (olim C.2.1), s. XVI ineuntis
J Barberinus gr. 21, s. XVI.

E codice **H** et codice Antonii Massani (nunc deperdito) Ambrosius Traversarius (1386–1439) versionem Latinam DL confecit (1423–1432), quae 1472 Romae atque 1475 Venetiis excussa fuit (Ambrosii autographon in Bibl. Laurentiana exstat: cod. Strozzianus).[26] At vetus versio Diogenis (saeculi XII, fortasse ab Henrico Aristippo confecta)[27] adhuc vivit in Gualteri Burlaei (1275–ca. 1345) *De vita et*

24 Gundermann ap. C. Wachsmuth (*Sillographi gr.*, 1885) tres correctores codicis P distinxit, Martini vero (*Analecta Laertiana* I, p. 88 s.) sex. Cf. Donzelli, p. 160 s.

25 Cf. Martini, *Analecta* I, pp. 153–175; Donzelli, pp. 164–199.

26 V.A. Sottili, "Il Laerzio latino e greco e altri autografi di Ambrogio Traversari," in *Vestigia. Studi in onore di Giuseppe Billanovich,* Romae, 1984, pp. 699–745; D. Knoepfler, *La vie de Ménédème,* pp. 22–44.

27 Cf. Knoepfler, p. 142.

moribus philosophorum (ed. H. Knust, Tubingae, 1886).[28] Cf. Vol. II, Conspectus 2.

F **F** = Laurentianus 69, 13, s. XIII, membr. (280 x 220), f. 2^r–137^v, binis columnis exaratus (codex rescriptus). Inferior, a librario neglegentissimo multis cum omissionibus conscriptus. Corrector (= F^2, s. XIV?) in margine innumeros locos a librario omissos ex alio libro explevit. Manus s. XVI (= F^3) fol. 9–19 et 38 exaravit.[29]

Recensio vulgata hos codices continet:[30]

V **V** Vaticanus gr. 1302, s. XIII (320 x 230 mm), f. 1^r–88^v. Desinit in DL 6.66 ὀνειδιζόμενος.

U Urbinas gr. 108, s. XV, f. 1^r–104^r, codicis **V** apographon usque ad DL 6.66, deinde a $\mathbf{B}^2$ descriptus.

D **D** Neapolitanus Burbonicus III B 28, s. XV, f. 1^r–240^v, a Ioanne Rhoso Cretensi conscriptus.

G Laurentianus gr. 69, 28, s. XV, f. 1^r–262^v.


S Vaticanus Palatinus gr. 261, s. XV, f. 1^r–202^v.

Donzelli (1960) hoc stemma codicum dedit (p. 118):

28 Cf. J.G. Schneider, "Diogenes Laertios und der Engländer Burley," *Wolfs Liter. Analekten* 2 (1818), pp. 227–255. V. Rose, "Die Lücke in Diogenes Laertios und der alte Uebersetzer," *Hermes* 1 (1866), pp. 367–397. – At cf. M. Grignaschi, "Lo pseudo Walter Burley e il *Liber de vita et moribus philosophorum*," *Medioevo* 16 (1990), pp. 131–190 et 325–354.

29 Subarchetypum codicum **BPF** (α) versus fere triginta litterarum habuisse ex errore *saut du même au même* in DL 7.57 (duo versus omissi) et 10.132 (unus versus omittitur) apparet. Cf. Platonis vitae ed.Basil., p. 22.

30 V. Giuseppina Donzelli, "Per un' edizione critica di Diogene Laerzio: i Codici V U D G S," *Bollettino del Comitato per la preparazione della edizione nazionale dei classici greci e latini*, N.S. 8 (1960), pp. 93–132.



De recensionis vulgatae origine parum constat. Donzelli (p. 122) eam a redactore quodam ca. a. 1200 vivente fluxisse censet. Mihi multo antiquior esse videtur.[31]

Codicum recentiorum ab E. Martini (pp. 140–175) exploratorum (ad recensionem vulgatam sive ad Parisini apographa pertinentium) classes sunt duae: **TKCXZ** et **MAN**:

T Urbinas gr. 109, s. XV, f. 1^r–163^v, a Georgio Hermonymo conscriptus
K Vindobonensis hist. gr. 59, s. XV, f. 1^r–178^r
C Cantabrigiensis collegii S. Trinitatis R. 9. 18/19, s. XV exeuntis, f. 132^r–240^r (continet DL libros I–VI)
X Vaticanus Reginensis gr. 103, s. XVI, f. 1^r–90^v (multis cum omissionibus)
Z Raudnitzianus Lobkowicensis VI F. c. 38, s. XV exeuntis, f. 1^r–246^v (cum duobus correctoribus, Z^2 et Z^3)

M Marcianus gr. 393 (nunc 896), s. XV, f. 1^r–112^r
A Arundelianus (Londinensis Mus. Brit.) gr. 531, s. XV, f. 1^r–178^r
N Monacensis gr. 159, s. XVI ineuntis, f. 1^r–62^r (cum omissionibus).

E codice **Z** Hieronymus Frobenius et Nicolaus Episcopius editionem principem DL (Basileae, 1533) excusserunt:

31 Cf. Knoepfler, pp. 136–138.

vir doctus Matthaeus Aurigallus (1480–1543) apographon codicis **Z** confecit Frobenioque exhibuit.[32]

Codicibus quos Martini (1899) descripsit addendi sunt hi: cod. Matritensis gr. 4676, s. XV, qui (teste G. Donzelli) codici **Z** affinis est; cod. Leidensis Bibl. publ. gr. 41a, s. XV, et cod. Mosquensis (Musei historici) gr. 463, s. XVI, f. 196^{r}–248^{v}.[33]

Tres codices Vitam Platonis (DL 3.1–109) tantum continent:

b Caesenensis Malatestianus gr. 28, 2, s. XIV (?)
c Laurentianus gr. 85, 9, s. XIV sive XV
z Laurentianus gr. 59, 1, s. XIV.[34]

Tres vitae Laertianae ante *ed. pr.* in lucem prodiere: Aristotelis et Theophrasti vitae in Aristotelis Operum editione Aldina (Venetiis, 1497, vol. II) et Xenophontis in eius Operum editione Aldina (Venetiis, 1525 = ed. Iuntina, Florentiae, 1527).[35]

32 Cf. G. Donzelli, "De Diogenis Laertii editione quae princeps vocatur eiusque cum codice Lobkowiciano (Z) cognatione," *Maia* 10 (1958), pp. 317–323; Knoepfler, pp. 44–47.

33 Mosquensis nonnullos tantum philosophos continet. Cf. Archimandrites Vladimir, *Catalogus codicum Bibliothecae Synodalis Mosquensis,* 1894, p. 701 (Τῶν Ἰβήρων).

34 Cf. Platonis vitae ed. Basil., 1907.

35 Cod. **R** = Parisinus gr. 1405, s. XV, f. 98^{r}–120^{r}, continet solum DL 1.1–2.23; cod. **O** = Vaticanus Ottobonianus gr. 355, s. XV, f. 14^{r}–29^{v}, solum DL 2.74–3.26. Parisinus gr. 23 Platonis vitae ed. Basil. anni 1534 continet. Cf. M. Bonnet, *Rhein. Mus.* 32 (1877), p. 590.

Excerpta gnomologica e DL, quae Leo Sternbach ("Appendix Vaticana I," in *Rozprawy Wydzialu filologicznego Akademii umiejetnosci* 20 [1893], pp. 171–202) et Rosario Pintaudi ("Un excerptum dalle Vite di Diogene Laerzio," *Sileno* 1 [1975], pp. 189–211) e codice Vaticano gr. 1144, s. XV, f. 211^{r}–215^{v}, in lucem protulere, nullius sunt momenti ad textum constituendum.

III. DE HAC EDITIONE

Novissimis his temporibus studia Laertiana mirabili modo floruerunt (cf. *Elenchos* 7 [1986] et *A.N.R.W.* II, vol. 36.5–6 [1992]). Sed Diogenes adhuc editione critica caret. H.G. Huebner (Lipsiae, 1828 et 1831) inter codices veteres, recentiores et apographa non distinxit; C.G. Cobet (Parisiis, 1850) codicem inferiorem **F** omni pretio sequitur, apparatu critico caret, textum sine monitu mutat; H.S. Long (Oxonii, 1964) codicum lectiones foede confudit.[36]

Codices conferre anno 1976 coepi (cf. *Gnomon* 48 [1976] 832). Codd. **BPFΦ** bis in situ contuli, ceterorum typis photomechanicis usus sum. *Nachlass* Arturi Biedl (in Bibliotheca Univ. Heidelbergensis)[37] inspexi. Collationes codicum **BPF** viri docti Petri Von der Muehll (quae Basileae conservantur) inspicere mihi permissum non fuit.[38]

In textu constituendo codices **BP** ceteris praetuli, Magno excerpto **Φ** atque codice **D** liberius usus sum. Ambos apparatus auxi. In apparatu critico *omnes* varias lectiones et errores codicum **BPFΦ** rettuli. Textus recepti errores sescentos e Diogenis fontibus sanare conatus sum. Adhuc latent lacunae lapsusque lamentabiles. Sed vita brevis, ars longa. Operi manum dare extremam valetudo ingravescens prohibuit.[39]

Alumnus meus Urbanensis Gualterus Spencer textum machinae computatrici feliciter commisit, cui gratias ago debitas.

Dabam Urbanae Illinoensium, die Natali 1998. M.M.


36 Iudicium de DL editionibus apud D. Knoepfler, *La vie de Ménédème* (1991), pp. 44–116, invenies.

37 Cf. Karl Preisendanz ap. A. Biedl, *Das grosse Exzerpt* **Φ**, p. 128.

38 Neque eas A. Biedl vidit. Cf. observationem M. Imhof in *Byz. Zeitschrift* 50 (1957), p. 127 n. 4.

39 Indicem nominum apud M. Gigante (versio Italiana, 1983, II, pp. 585–627) et apud C. Janácek, *Indice delle Vite dei filosofi di Diogene Laerzio* (Florentiae, 1992) invenies.

STEMMA CODICUM[1]



1 Codicum Laertianorum stemmata diversa apud hos auctores invenies: C. Wachsmuth (*Sillogr. gr.*, 1885); E. Martini (*Analecta Laertiana* I, 1899, p. 176); A. Gercke (1902); *Platonis vitae* ed. Basil. (1907); A. Delatte (*La vie de Pythagore*, 1922); A. Biedl (p. 22 et in nota scripta 7 Aug. 1946: *Nachlass*, Bibl. Univ. Heidelbergensis, Handschrift 3527); D. Knoepfler (*La vie de Ménédème*, 1991, p. 154).

EDITIONES TOTIUS OPERIS

Frob. Διογένους Λαερτίου περὶ βίων, δογμάτων καὶ ἀποφθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων βιβλία δέκα, νῦν πρῶτον ἐντυπωθέντα.

Diogenis Laertij De vitis, decretis, et responsis celebrium philosophorum Libri decem, nunc primum excusi.

[Edd.] Hieronymus Frobenius et Nicolaus Episcopius, Basileae (ex officina Frobeniana), anno M D XXXIII [= *ed. pr.*, pp. 1–573].

Stephanus Διογένους Λαερτίου περὶ βίων, δογμάτων καὶ ἀποφθεγμάτων τῶν ἐν φιλοσοφίᾳ εὐδοκιμησάντων βιβλία ι´.

Diogenis Laertii de vitis, dogmatis et apophthegmatis eorum qui in philosophia claruerunt libri X... Cum annotationibus Henr. Stephani. Cum Latina interpretatione [Ambrosii Traversarii]. Excudebat Henricus Stephanus, [Genavae,] anno M. D. LXX, pp. 1–436.

Editio secunda, cum Notis Is. Casauboni et Hesychii ill. de iisdem philos. et de aliis scriptoribus Liber... Excudebat Henr. Stephanus, [Genavae,] anno M. D. LXXXXIII. (Editio tertia, curis Pauli Stephani, Genavae, 1615 vel 1616).

Aldobr. *Laertii Diogenis De vitis, dogmatis et apophthegmatis eorum qui in philosophia claruerunt libri* X. Thoma Aldobrandino interprete. (Cum eiusdem Annotationibus et versione Latina. Edendum curavit Petrus Aldobrandinus.) Romae (ap. Aloysium Zanettum), MDLXXXXIV.

Pearson Editionem Aldobrandinam iterum impressit Io. Pearson, Londini (ap. Octavianum Pulleyn), MDCLX IV. Cum Annotationibus H. Stephani, Isaaci et Merici Casauboni et Observationibus Aegidii Menagii.

Meibom *Diogenis Laertii De vitis, dogmatibus et apophthegmatibus clarorum philosophorum libri* X. Graece et Latine, cum subjunctis integris Annotationibus Is. Casauboni, Th. Aldobrandini et Mer. Casauboni. Latinam Ambrosii versionem complevit et emendavit Marcus Meibomius. Seorsum excusas Aeg. Menagii in Diogenem Observationes auctiores habet vol. II, ut et ... Joachimi Kühnii ad Diogenem Notas... Vol. I–II, Amstelodami (ap. H. Wetstenium), M D C VIIIC. [Libros in paragraphos divisit.]

Huebner *Diogenis Laertii De vitis, dogmatis et apophthegmatis clarorum philosophorum libri decem.* Graeca emendatiora edidit, notatione emendationum, Latina Ambrosii interpretatione castigata, appendice critica atque indicibus instruxit Henricus Gustavus Huebnerus Lipsiensis. Vol. I–II, Lipsiae (ap. C. Fr. Koehlerum), 1828 et 1831. [Cf. eiusdem Commentarios in Diogenem Laertium, Vol. I–II, Lipsiae–Londini, 1830 et 1833].

Tauchnitz *Diogenis Laertii Vitarum philosophorum* editio stereotypa C. Tauchnitii, Lipsiae, 1833 (= 1884; 1895).

Cobet *Diogenis Laertii de clarorum philosophorum vitis, dogmatibus et apophthegmatibus libri decem.* Ex Italicis codicibus nunc primum excussis recensuit C. Gabr. Cobet, Parisiis (A. Firmin Didot), 1850 [= 1862; 1929].

Hicks *Diogenes Laertius, Lives of the eminent philosophers,* with an English translation by R.D. Hicks, Vol. I–II, The Loeb Classical Library, Cantabrigiae Mass.–Londini, 1925 (= 1972, cum Introductione H.S. Long).

Long *Diogenis Laertii Vitae philosophorum,* recognovit brevique adnotatione critica instruxit H.S. Long. Vol. I–II. Scriptorum classicorum Bibliotheca Oxoniensis, Oxonii, 1964 (= 1966).

VERSIONES POTIORES

Ambros. *Laertii Diogenis vitae atque sententiae eorum qui in philosophia probati fuerunt* [*claruerunt* Ambros.]. Opus editum ab Elio Francisco Marchisio, Romae, ca. 1472. (Versio Latina [ca. 1423–1433] Ambrosii Traversarii Camaldulensis. Autographon – cod. Laur. Strozzianus 64.)

Apelt *Diogenes Laertius, Leben und Meinungen berühmter Philosophen,* aus dem Griechischen übersetzt von Otto Apelt, Leipzig, 1921; zweite Auflage von Klaus Reich, Hamburg, 1967.

Gigante *Diogene Laerzio, Vite dei filosofi,* a cura di Marcello Gigante, Bari, 1962; 1976²; ed. accresciuta 1983³, 1987⁴ = Milano, 1991; Roma/Bari, 1998.

Hicks v. *Editiones.*

EDITIONES SINGULORUM PHILOSOPHORUM

<Prooemium>		
DL	1.1–2, 6–9, 8	J. Bidez et Fr. Cumont, *Les mages hellénisés*, Parisiis, 1938, II, pp. 7, 268, 67, 9
	9–11	73 B 6 DK
Thales	22–39	11 A 1 DK
	40–42	10.1 DK
Solon	45–67	A. Martina, *Solon*, Romae, 1968, 378–385
Anacharsis	101–105	J. Fr. Kindstrand, *Anacharsis*, Upsaliae, 1981, 107–121
Epimenides	109–115	3 A 1 DK; *FGrHist* 457 T 1
Pherecydes	116–121	7 A 1 DK; H.S. Schibli, *Pherecydes of Syros*, Oxonii, 1990
Anaximander	2:1–2	12 A 1 DK
Anaximenes	3	13 A 1 DK
Anaxagoras	6–15	59 A 1 DK
Archelaus	16–17	60 A 1 DK
Socrates	18–47	*SSR* I D 1
Xenophon	48–59	Xenophontis *Anabasis*, ed. P. Masqueray, Parisiis, 1930, I pp. XVI–XX
Aeschines	60–64	H. Dittmar, *Aischines von Sphettos*, Philol. Untersuch., 21, Berolini, 1912, 247–255; *SSR* VI A 13
Aristippus	65–104	E. Mannebach, *Aristippi et Cyrenaicorum fragmenta*, Lugduni Batavorum, 1961; *SSR* IV A
	86–93	J. Bollack, *La pensée du plaisir*, Parisiis, 1975, 164–175 et 190–207
Phaedo	105	*SSR* III A

Euclides et Eubulides	106–112	K. Döring, *Die Megariker*, Amstelodami, 1972; SSR II A et B
Stilpo	113–120	Döring, *o.c.*; *SSR* II 0
Crito	121	*SSR* VI B 42
Simon	122–124	*SSR* VI B 87
Glaucon	124	*SSR* VI B 63
Menedemus Eretrius	125–144	*SSR* III F; D. Knoepfler, *La vie de Ménédème d' Érétrie de Diogène Laërce*, Basileae, 1991, 170–204
Plato	3.1–109	*Diogenis Laertii Vita Platonis* rec. H. Breitenbach, Fr. Buddenhagen, A. Debrunner, Fr. Von der Muehll, Basileae, 1907 (= ed. Basil.)
	9–17	23 B 1–6 DK
	80–109	*Divisiones ... Aristoteleae*, rec. H. Mutschmann, Lipsiae, 1906
Speusippus	4.1–5	M. Isnardi Parente, *Speusippo, Frammenti*, Neapoli, 1980, Fr. 2; L. Tarán, *Speusippus of Athens*, Lugduni Batavorum, 1981, T 1
Xenocrates	6–15	R. Heinze, *Xenokrates*, Lipsiae, 1892; M. Isnardi Parente, *Senocrate, Ermodoro, Frammenti*, Neapoli, 1981, Fr. 2
Polemo	16–20	*Polemonis Academici fragmenta*, coll. M. Gigante, *Rendiconti Accademia ... Napoli*, N.S. 51 (1976) 95–104 (99–101)
Crantor	24–27	H.J. Mette, *Lustrum* 26 (1984) 11–12, T 1a
Arcesilaus	28–45	Mette, *ibidem*, 44–49, T 1a
Bion	46–58	J. Fr. Kindstrand, *Bion of Borysthenes*, Upsaliae, 1976, 103–105
Lacydes	59–61	H.J. Mette, *Lustrum* 27 (1985) 41, T 1a
Carneades	62–66	Mette, *ibidem*, 55–57; T 1a; B. Wisniewski, *Karneades, Fragmente*, Vratislaviae, 1970 (Archivum Philol., 24), Fr. 1

Clitomachus	67	Mette, *ibidem*, 56 s.
Aristoteles	5.1–35	I. Bywater, Ἀριστοτέλους βίος ἐκ τῶν Λαερτίου, Oxonii, 1879; I. Düring, *Aristotle in the Ancient Biographical Tradition*, Gothoburgi, 1957, 29–56
	17–21	D.M. Searby, *Aristotle in the Greek Gnomological Tradition*, Upsaliae, 1998
	22–27	*Aristotelis fragmenta*, ed. V. Rose (1886), 3–9
Theophrastus	36–57	M.G. Sollenberger, "*Vita Theophrasti*," in *Theophrastus of Eresus*, ed. W.W. Fortenbaugh, Novi Brunswici, 1985, 1–62 = *Theophrastus of Eresus*, I, Lugduni Batavorum, 1993, 20–46
	42–50	H. Usener, *Analecta Theophrastea*, Diss. Bonn., 1858 = *Kl. Schriften*, I, Lipsiae, 1912, 50–90
Strato	58–64	Wehrli, V, 1969²
Lyco	65–74	Wehrli, VI, 1968²
Demetrius Phalereus	75–85	Wehrli, IV, 1968²
Heraclides Ponticus	86–94	Wehrli, VII, 1968²
Antisthenes	6.1–19	*Antisthenis fragmenta*, coll. F. Decleva Caizzi, Mediolani, 1966; *SSR* V A
Diogenes Sinopeus	20–81	*SSR* V B
	70–71	M.-O. Goulet-Cazé, *L' ascèse cynique*, Parisiis, 1986, 195–200
Monimus	82–83	*SSR* V G
Onesicritus	84	*SSR* V C
Crates	85–93	*SSR* V H
Metrocles	94–95	*SSR* V L
Hipparchia	96–98	*SSR* V I
Menedemus	102	*SSR* V N

Zeno Citieus	**7**.1–160	*SVF* I
	10–12	H. Droysen, *Hermes* 16 (1881) 291–301
	38–83	M. Baldassarri, *La logica stoica,* 3, Novocomi, 1986
	49–83	U. Egli, *Das Dioklesfragment bei D.L.*, Constantiae, 1981; K. Hülser, *Die Fragmente zur Dialektik der Stoiker,* I–IV, Stutgardiae, 1987
Ariston	160–164	*SVF* I
Herillus	165–166	*SVF* I
Dionysius	166–167	*SVF* I
Cleanthes	168–176	*SVF* I; A.T. Watanabe, *Cleanthes, Fragments,* Diss. Illinoensis, 1988
Sphaerus	177–178	*SVF* I
Chrysippus	179–202	*SVF* II–III
	189–202	M. Baldassarri, *La logica stoica,* 2, Novocomi, 1985
Pythagoras	**8**.1–50	A. Delatte, *La vie de Pythagore de Diogène Laërce,* Bruxellis, 1922
	24–33	58 B 1a DK
	34–36	58 C 3 DK
	37–38	58 E 3 DK
Empedocles	51–77	31 A 1 DK
Epicharmus	78	23 A 3 DK
Archytas	79–83	47 A 1 DK
Alcmaeon	83	24 A 1 DK
Hippasus	84	18 A 1 DK
Philolaus	84–85	44 A 1 DK
Eudoxus Cnidius	86–91	Fr. Lasserre, *Die Fragmente des Eudoxos von Knidos,* Berolini, 1966, T 7
Heraclitus	**9**.1–17	22 A 1 DK; *Eraclito, Testimonianze e imitazioni,* edd. R. Mondolfo et L. Tarán, Florentiae, 1972, A 1
Xenophanes	18–20	21 A 1 DK
Parmenides	21–23	28 A 1 DK
Melissus	24	30 A 1 DK

Zeno Eleates	25–29	29 A 1 DK
Leucippus	30–33	67 A 1 DK
Democritus	34–39	68 A 1 et 33 DK
Protagoras	50–56	80 A 1 DK
Diogenes Apolloniates	57	64 A 1 et B 1 DK
Anaxarchus	58–60	72 A 1 DK; T. Dorandi, *Atti e Memorie Accad. Toscana* 59 (1994) 9–59
Pyrrho	61–108	*Pirrone, Testimonianze,* ed. F. Decleva Caizzi, Neapoli, 1981
Timon	109–116	*PPF* 9 A 1
Epicurus	**10**.1–154	H. Usener, *Epicurea,* Lipsiae, 1887; *Epicuri Epistulae tres et Ratae sententiae a Laertio Diogene servatae,* ed. P. Von der Muehll, Lipsiae (Bibl. Teubner.), 1922 (= Stutgardiae, 1966, 1975); C. Bailey, *Epicurus,* Oxonii, 1926 (= 1970); G. Arrighetti, *Epicuro, Opere,* Tauruni, 1960; 1973²; M. Conche, *Épicure: Lettres et Maximes*, Parisiis, 1987
	1–34	A. Laks, in *Études sur l' Épicurisme antique,* edd. J. Bollack et A. Laks, Insulae Francorum, 1976, 1–118
	35–83	[Ep. I] J. Bollack, M. Bollack, H. Wismann, *La lettre d' Épicure,* Parisiis, 1971
	84–116	[Ep. II] E. Boer, *Brief an Pythocles,* Berolini, 1954; J. Bollack et A. Laks, *Épicure à Pythocles,* Insulae Francorum, 1978
	117–154	[Ep. III] C. Diano, *Epicuri Ethica,* Florentiae, 1946 (= 1974); J. Bollack, *La pensée du plaisir,* Parisiis, 1975

DE DIOGENE
DISSERTATIONES DIVERSAE

Adorno, F., "Epicuro Epistola a Erodoto 39.7–40.3," *Elenchos* 1 (1980) 245–275.

Alfieri, V.E., "Le 'Massime Capitali' di Epicuro," *Bollettino di Storia della filosofia* 6 (1978) 17–26.

Algra, K.A., "Gassendi et le texte de Diogène Laërce," *Elenchos* 15 (1994) 79–103.

Alpers, K., "Epikurs Geburtstag," *Mus. Helv.* 25 (1968) 48–51.

Annas, J., and Barnes, J., *The Modes of Scepticism,* Cambridge, 1985.

Apelt, O., *Diogenes Laertius: Leben und Meinungen berühmter Philosophen,* 2 Bände, Leipzig, 1921. – 2. Auflage von Kl. Reich und H.G. Zekl, Hamburg, 1967.

Arndt, Gualt., *Emendationes Epicureae,* Diss. Berolin., 1913.

Aronadio, Fr., "Due fonti laerziane: Sozione e Demetrio di Magnesia," *Elenchos* 11 (1990) 203–255.

Arrighetti, Gr., *Epicuro, Opere,* Torino (Einaudi), 1960, 1973[2].

Bahnsch, Fr., *Quaestionum de Diogenis Laertii fontibus initia,* Diss. Regimont., Gumbinnae, 1868.

Bailey, C., *Epicurus: The extant remains,* Oxford, 1926 (= Hildesheim, 1970).

Baldassarri, M., *La logica stoica,* 2–3, Como, 1985; 1986.

Barigazzi, A., *Favorino di Arelate, Opere,* Firenze, 1966.

Barnes, J. and Annas, J., *The Modes of Scepticism,* Cambridge, 1985.

Barnes, J., "Nietzsche and Diogenes Laertius," *Nietzsche Studien* (Berlin) 15 (1986) 16–40.

– "Diogene Laerzio e il Pirronismo," *Elenchos* 7 (1986) 383–427.

– *Toils of Scepticism,* Cambridge, 1990.

Barnes, J., "Diogenes Laertius IX.61–116: The Philosophy of Pyrrhonism," *ANRW*, 4241–4301.

Beier, K. Fr. A. (1790–1828), *Quaestiones concert. de formis cogitandi disiunctivis.*

Bentley, Richard (1662–1742), *Opuscula.*

Bergk, Th., "Exercitationum criticarum specimen VI," *Index lect. Acad. Marburg.*, 1850–1851 = *Kl. philol. Schriften*, II, Halle, 1886, 297–299.

Bertini Malgarini, A., "Alguni detti di Diogene Cinico nel Cod. Vat. Gr. 96," in *Commemoratio: Studi in ricordo di R. Ribuoli*, Sassoferrato, 1986, 17–26.

Bidez, J., *La biographie d' Empédocle*, Université de Gand, Recueil de travaux par la Faculté de philosophie et lettres, 12, Gand, 1894.

Biedl, A., *Zur Textgeschichte des Laertios Diogenes: Das grosse Exzerpt* Φ, Studi e testi ,184, Città del Vaticano, 1955.

Bignone, E., *Epicuro.* Opere, frammenti, testimonianze sulla sua vita, tradotti con introduzione e commento, Bari, 1920 (= Roma, 1964; Bari, 1966).

– Iudicium de editione *Epicuri epistolae tres...*, ed. P. Von der Muehll, *Bollettino di filologia classica* 30 (1923–1924) 179–183.

– "Studi critici sulle κύριαι δόξαι e sulla vita di Epicuro," *Aegyptus* 13 (1933) 419–442.

– *L' Aristotele perduto e la formazione filosofica di Epicuro*, I–II, Firenze, 1936 (= 1973).

Blomquist, J., "Die Skeptika des Sextus Empiricus," *Grazer Beiträge* 2 (1974) 7–14.

Bochart, Samuel ap. Menagium.

Boer, E., *Epikur, Brief an Pythokles*, Deutsche Akademie, Instit. f. hellenistisch-römische Philosophie, Veröffentlichung 3, Berlin, 1954.

Bolkestein, H., Iudicium de editione H.S. Long, *Mnemosyne* 19 (1966) 191–193.

Bollack, J., M. Bollack, H. Wismann, *La lettre* [I] *d' Épicure*, Paris, 1971.

Bollack, J., *La pensée du plaisir*, Paris, 1975.

Bollack, J. et A. Laks, *Épicure à Pythocles,* Lille, 1978.
Bollack, Mayotte, v. J. Bollack.
Bonnet, M., "Die Pariser Handschriften des Laertios Diogenes," *Rhein. Museum* 32 (1877) 578–590.
– "Zu der Pariser Laertioshandschrift 1758," *Rhein. Museum* 34 (1879) 487.
Brancacci, A., "I κοινῇ ἀρέσκοντα dei Cinici e la κοινωνία tra cinismo e stoicismo nel libro VI (103–105) delle 'Vite' di Diogene Laerzio," *ANRW,* 4049–4075.
Brennan, T., "Epicurus on Sex, Marriage, and Children," *C.P.* 91 (1996) 346–352.
Brieger, A., "Epikurs Brief an Herodot," *Progr. Stadtgymnasium Halle,* 1882.
Brisson, L., "Diogène Laërce, 'Vies et doctrines des philosophes illustres,' Livre III: Structure et contenu," *ANRW,* 3619–3760 (Indices 2*–25*).
Bruns, G., "Die Testamente der Griechen," *Zeitschrift der Savigny Stiftung für Rechtsgeschichte* 1 (1880) 1–52.
Brunschwig, J., "On a book-title by Chrysippus ...," in *Aristotle and the later tradition,* edd. H. Blumenthal and H. Robinson, Oxford, 1991, 81–95.
– "Pyrrhon et Philista," in *Chercheurs de sagesse. Hommage à Jean Pépin,* Paris, 1992, 133–146.
Budaeus (Budé), G. (1467–1540) ap. I. Casaubon.
Budde, K., *Quaestiones Laertianae,* Göttingen, 1914. Summary by M. Pohlenz in *Jahrbuch der Philosophischen Fakultät zu Göttingen,* 1920, Nr. 12, 73–79.
Burkert, W., *Weisheit und Wissenschaft: Studien zu Pythagoras, Philolaos und Platon,* Nürnberg, 1962 = *Lore and Science in Ancient Pythagoreanism,* Cambridge, Mass., 1972.
Burley, W. : Gualteri Burlaei *Liber de vita et moribus philosophorum...* herausgegeben von Hermann Knust, Tübingen, 1886. (Bibliothek des Literarischen Vereins in Stuttgart, 177).
Bywater, I., *Aristotelis vita scriptore Laertio cum adnotatione critica et fragmentis antiquae versionis Latinae,* Oxonii, 1879.

Bywater, I., *Laertii Diogenis De vita philosophorum: versionis antiquae fragmenta*, Oxonii, 1880.

Canfora, L., "Clemente di Alessandria e Diogene Laerzio," in *Festschrift M. Gigante,* ed. Fr. del Franco, Napoli, 1994, 79–81.

Canter, Gulielmus (1542–1575) ap. Stephanum (1570).

Capasso, M., "Note laerziane," *Elenchos* 1 (1980) 161–163.

Carpzov, Johann Benedict (1720–1803), *Paradoxon Stoicum Aristonis Chii...*, Lipsiae, 1742.

Casaubon, I. (1559–1614) : Isaaci Hortiboni *Notae ad Diogenis Laertii libros de vitis, dictis et decretis principum philosophorum*, Morgiis, 1583 = ap. Stephanum (1593), ap. Io. Pearson (1664), ap. Meibomium (1692) et ap. H. G. Huebner (1830).

Casaubon, Mericus (1599–1671), *Notae* ap. Io. Pearson (1664), ap. Meibomium (1692) et ap. H. G. Huebner (1833).

Cavallo, G., "La trasmissione scritta della cultura greca antica in Calabria e in Sicilia tra i secoli X-XV," *Scrittura e Civiltà* 4 (1980) 157–245.

– "Scritture italo-greche librarie e documentarie," in *Bisanzio e l'Italia : Studi A. Pertusi,* Milano, 1982, 36 ss.

Celluprica, V., "Diocle di Magnesia fonte della dossografia stoica in Diogene Laerzio," *Orpheus* 10 (1989) 58–79.

Centrone, B., "L'VIII libro delle 'Vite' di Diogene Laerzio," *ANRW*, 4183–4217.

Chantraine, P., Iudicium de editione H. S. Long, *Revue de Philologie* 40 (1966) 146 s.

Chatzilysandros, A. E., *Geschichte der skeptischen Tropen*, München, 1970.

Chitwood, Ava, *The deaths of the Greek philosophers*, Diss. The Johns Hopkins U., 1993.

Chroust, A.-H., "A brief analysis of the 'Vita Aristotelis' of Diogenes Laertius (V, 1-16)," *Ant. Class.* 34 (1965) 97–129.

Classen, C. J., Iudicium de libro L. Mannebach, *Gnomon* 35 (1963) 135–141.

Clay, D., "Epicurus in the archives of Athens," *Festschrift E. Vanderpool, Hesperia*, Suppl. 19, 1982, 17–26.

Clay, D. "Epicurus' Last Will and Testament," *A.G.Ph.* 55 (1973) 252–280 = *Lucretius and Epicurus*, Ithaca-London, 1983, 54–81.

Clericus (Leclerc), Ioannes (1657–1736) ap. A. Meineke.

Cobet, C. G., *Variae lectiones*, Lugduni Batavorum, 1854; 1873².

– "Diogenis Laertii Vita Pythagorae," in *Collectanea critica*, Lugduni Batavorum, 1878, 449–460.

Conche, M., *Épicure: Lettres et Maximes*, Paris, 1987.

Cortassa, G., "D. L. 9.40," *R. F. I. C.* 104 (1976) 312–321.

– "D. L. 9.25," *R. F. I. C.* 106 (1978) 146–151.

Creuzer, Fr., Iudicium de editione C. G. Cobet, *G. G. A.* 1854, 1–19.

Crönert, W., *Kolotes und Menedemos*, Texte und Untersuchungen zur Philosophen- und Literaturgeschichte (Studien zur Palaeographie und Papyruskunde, 6), Leipzig, 1906, praesertim 133–147 (= Amsterdam, 1965).

– "Lectiones Epicureae," *Rhein. Mus.* 61 (1906) 414–426 et 62 (1907) 123–132.

– "De Lobone Argivo," in *Χάριτες Friedrich Leo*, Berlin, 1911, 123–145.

Cuiacius (Cujas), Jacques (1522–1590) ap. Is. Casaubon.

Czebe, J., "Zu Diogenes Laertius III 28 und Alkiphron IV 7," *Philol.* 75 (1919) 178–182.

D'Allessandro, A., "Cronologia e formazione culturale di Democrito," *Annali della Facoltà di Lettere Bari* 18 (1975) 87–106.

Decleva Caizzi, F., *Antisthenis fragmenta*, Milano, 1966.

– *Pirrone*, Testimonianze, Napoli, 1981.

– "Il libro IX delle 'Vite dei filosofi' di Diogene Laerzio," *ANRW*, 4218–4240.

Deichgräber, K., *Die griechische Empirikerschule*, Berlin - Zürich, 1930; 1965².

– "Bemerkungen zu Diogenes' Bericht über Heraklit," *Philol.* 93 (1938: Festgabe E. Schwartz), 12–30.

Delatte, A., *La vie de Pythagore de Diogène Laërce*, Bruxelles, 1922.

Desbordes, B. A., *Introduction à Diogène Laërce*. Exposition de l'*Altertumswissenschaft* servant de préliminaires critiques à une lecture de l'oeuvre. Diss. Utrecht, 1990, I–II.

– Iudicium de libro D. Knoepfler, *Anzeiger für die Altertumswissenschaft* 46 (1993) 190–201.

Di Marco, M., *Timone di Fliunte: Silli*, Roma, 1989.

Diano, C., *Epicuri Ethica*, Florentiae, 1946 (= 1974).

Diels, H., "Chronologische Untersuchungen über Apollodors Chronika," *Rhein. Mus.* 31 (1876) 1–54.

– Iudicium de editione I. Bywater, *Heracliti Ephesii reliquiae*, *Jenaer Literaturzeitung* 4 (1877) 393–395.

– *Doxographi Graeci*, Berlin, 1879 (= Berlin, 1958).

– "Reiskii animadversiones in Laertium Diogenem," *Hermes* 24 (1889) 302–325.

– *Die Fragmente der Vorsokratiker*, griechisch und deutsch von H. Diels. Sechste Auflage von W. Kranz, I–III, Berlin, 1951–1952.

Dittmar, H., *Aischines von Sphettos*, Philol. Untersuch., 21, Berlin, 1912.

Doering, K., *Die Megariker*. Kommentierte Sammlung der Testimonien, Amsterdam, 1972.

Donzelli, G., "Del Παραχαράττειν τὸ νόμισμα," *Siculorum Gymnasium* 11 (1958) 96–107.

– "De Diogenis Laertii editione quae princeps vocatur eiusque cum codice Lobkowiciano (Z) cognatione," *Maia* 10 (1958) 317–323.

– "I codici P Q W Co H I E Y Jb nella tradizione di Diogene Laerzio," *Studi It. di Fil. Cl.* 32 (1960) 156–199.

– "Per un' edizione critica di Diogene Laerzio: i Codici V U D G S," *Bollettino del Comitato per la preparazione dell' Edizione Nazionale dei Classici Greci e Latini*, N. S. 8 (1960) 93–132.

Dorandi, T., "La Rassegna dei filosofi di Filodemo," *Rendiconti della Accad... Napoli* 55 (1980) 31–49.

– "Per la cronologia di Lacide," *Rhein. Mus.* 133 (1990) 93–96.

– *Filodemo, Storia dei filosofi: Platone e l'Academia*, Napoli, 1991.

Dorandi, T., "Il quarto libro delle 'Vite' di Diogene Laerzio: l'Academia da Speusippo a Clitomaco," *ANRW*, 3761–3792.

– "Considerazioni sull' *Index locupletior* di Diogene Laerzio," *Prometheus* 18 (1992) 121–126.

– "Precisazioni sul testamento di Epicuro," *Labeo* 38 (1992) 55–62.

– "Anaxarchus," *Atti e memorie Accad. Toscana* 59 (1994) 9–59.

Dührsen, N. C., "Die Briefe der Sieben Weisen bei Diogenes Laertios...," in *Der griechische Briefroman*, ed. N. Holzberg (Class. Monac., 8), Tübingen, 1994, 84–115.

– "De Diogenis Laertii codice N falso laudato," *Z.P.E.* 110 (1996) 63 s.

Dümmler, F., *Antisthenica*, Diss. Bonn, Berlin, 1882 = *Kl. Schriften* I (Leipzig, 1901), 10–78.

Düring, I., *Aristotle in the Ancient Biographical Tradition* (Studia Graeca et Latina Gothoburgensia, 5), Göteborg, 1957.

Edelstein, L., v. I. G. Kidd

Egli, U., *Das Dioklesfragment bei Diogenes Laertios*, Konstanz, 1981.

Emperius, Adolf (1805–1844) ap. H. Diels

Faber (du Faure), Pierre (1530–1600) ap. Huebnerum

Forschner, M., *Die stoische Ethik*, Stuttgart, 1981.

Fritz, K. von, *Quellenuntersuchungen zu Leben und Philosophie des Diogenes von Sinope*, Philol. Suppl. 18.2, Leipzig, 1926.

Gaiser, K., "Die Platon-Referate des Alkimos bei Diogenes Laertios (III.9–17)," in *Zetesis, Festschrift E. de Strycker*, Antwerpen, 1973, 61–79.

– *Philodemus, Academica* (Suppl. Plat., 1) Stuttgart-Bad Cannstatt, 1988 [P. Herc. 1021]

Galesius della Nichesora, P., Veronensis, ap. Is. Casaubon

García Gual, C., "Μόνον χάριν ἕξειν τὸν σοφόν (Diógenes Laercio X.118)," in *Athlon, Festschrift Fr. Rodríguez Adrados*, I, Madrid, 1987, 279–287.

Gassendi, P., *Animadversiones in decimum librum Diogenis Laertii, qui est De vita, moribus placitisque Epicuri*, I–III, Lugduni Batavorum, 1649. – *Diogenis Laertii liber X...cum nova interpretatione et notis*, *Opera omnia*, V, Lyon, 1658 (= Stuttgart, 1964), 1–166.

Gercke, A., "Chrysippea," *Jahrbb. f. Class. Philol.*, Suppl. 14 (1885) 689–781.

– *De quibusdam Laertii Diogenis auctoribus*, Progr. Universität Greifswald, Ostern, 1899.

– Iudicium de libro E. Martini, *Analecta Laertiana* I (1899), *Deutsche Literaturzeitung* 21 (1900) 170–173.

– "Die Ueberlieferung des Diogenes Laertios," *Hermes* 37 (1902) 401–434.

Giangrande, G., "Ein Wort Demokrits," *Mnemosyne* 27 (1974) 176–178.

Giannantoni, G., *I Cirenaici: Raccolta delle fonti antiche*, Firenze, 1958.

– "Socrate e i Socratici in Diogene Laerzio," *Elenchos* 7 (1986) 183–216.

– *Socratis et Socraticorum reliquiae*, I–IV, Elenchos, 18, Napoli, 1990.

– "Il secondo libro delle 'Vite' di Diogene Laerzio, " *ANRW*, 3603–3618.

Gigante, M., Iudicium de libro L. Mannebach, *P.P.* 16 (1961) 392–396.

– "Su un insegnamento di Diogene di Sinope," *S.I.F.C.* 34 (1962) 130–136.

– "Note laerzianae," *P.P.* 17 (1962) 371–381.

– "Per un' interpretazione di Diogene Laerzio," *Rendiconti Accad. Napoli*, N.S. 47 (1972) 119–137.

– "Seconde note laerziane," *P.P.* 27 (1972) 252–254.

– Iudicium de editione H. S. Long, *Gnomon* 45 (1973) 546–550.

– "Diogene Laerzio storico e cronista dei filosofi antichi," *Atene e Roma*, N.S. 18 (1973) 105–132.

– Iudicium de libro K. Doering, *P.P.* 30 (1974) 291–295.

Gigante, M., *Polemonis Academici fragmenta*, Napoli, 1976.
– "Frammenti di Ippoboto," in *Omaggio a Piero Treves*, Padova, 1983, 151–193.
– Iudicium de libro J. Mejer, *Gnomon* 55 (1983) 9–14.
– "Diogene Laerzio, da poeta a prosatore," in *Studi A. Barigazzi*, I = *Sileno* 10 (1984) 245–248.
– "Biografia e dossografia in Diogene Laerzio," *Elenchos* 7 (1986) 7–102.
– "Ambrogio Traversari interprete di Diogene Laerzio," in *Ambrogio Traversari nel VI Centenario della nascita*, Firenze, 1988, 367–459.
– "Gli studi di Nietzsche su Diogene Laerzio," in *Classico e mediazione*, Roma 1989, 41–53.
– "Das zehnte Buch des Diogenes Laertios: Epikur und der Epikureismus," *ANRW*, 4302–4307.
– "Quando interloquisce un papiro [P. Oxy. 3656]," in *Papiri letterari greci e latini*, ed. M. Capasso (Papyrologica Lupiensia, 1), Galatina, 1992, 7–11.
– "Diogene Laerzio," in *Lo spazio letterario della Grecia antica*, ed. G. Carubiano, L. Canfora, D. Lanza, Vol. I, tomo III, Roma, 1994, 723–740.
Gigon, O., "Antike Erzählungen über die Berufung zur Philosophie," *Mus. Helv.* 3 (1946) 1–21.
– "Das Prooemium des Diogenes Laertios: Struktur und Probleme," in *Horizonte der Humanitas: Freundesgabe fur W. Wili*, Bern-Stuttgart, 1960, 37–64.
– Iudicium de editione H. S. Long, *Deutsche Literaturzeitung* 86 (1965), col 101–105.
– "Das dritte Buch des Diogenes Laertios," *Elenchos* 7 (1986) 133–182.
Giussani, G., *Lucrezio, De rerum natura*, ed. G. G., I–II, Torino, 1896–1898.
Glei, R. F., "Passiv in der Tonne (zu Diog. Laert. 6, 54)," *Hermes* 126 (1998) 256–258.
Glucker, J., *Antiochus and the Late Academy*, Hypomnemata, 56, Göttingen, 1978.

Görler, W., "'Ασθενὴς συγκατάθεσις. Zur stoischen Erkenntnistheorie," *Würzburger Jbb. für die Altertumswiss.*, N. F. 3 (1977) 83–92.

Gomoll, H., *Der stoische Philosoph Hekaton,* Diss. Bonn, 1933.

Gottschalk, H. B., "Notes on the wills of the Peripatetic scholars," *Hermes* 100 (1972) 314–342.

Goulet, R., "La classification stoicienne des propositions simples selon Diogène Laërce VII. 69–70," in *Les Stoiciens et leur logique*, ed. J. Brunschwig, Paris, 1978, 171–198.

– "De sages parmi les philosophes. Le I livre des Vies des philosophes de Diogène Laërce," Σοφίης μαιήτορες : *Hommage à Jean Pepin,* Paris, 1992, 167–178.

Goulet - Cazé, M. - O., "Un syllogisme stoïcien sur la loi dans la doxographie de Diogène Laërce VI 72," *Rhein. Mus.* 125 (1982) 214–240.

– *L'Ascèse cynique: Un commentaire de Diogène Laërce* VI 70–71, Paris, 1986.

– "Une liste de disciples de Cratès le cynique en Diogène Laërce VI 95, " *Hermes* 114 (1986) 247–252.

– "Le livre VI de Diogène Laërce: analyse de sa structure et réflexions méthodologiques," *ANRW*, 3880–4048.

Graeser, A., "Zirkel oder Deduktion? Zur Begründung der stoischen Ethik," *Kant Studien* 63 (1972) 213–224.

Grignaschi, M., "Lo pseudo Walter Burley e il *Liber de vita et moribus philosophorum,*" *Medioevo* 16 (1990) 131–190 et 325–354.

Grilli, A., "Cyrenaica," *S.I.F.C.* 32 (1960) 200–214.

– "Il μῖσος stoico e il testo di Diogene Laerzio (VII 113)," *Maia* 40 (1988) 151–152.

Grotius (Groot), Hugo (1583–1645) passim.

Gudius, M. (1635–1689) ap. Menagium.

Gutschmid, A. von, "De Aegyptiacis apud Diogenem Laertium eorumque fontibus," *Kl. Schriften*, I, Leipzig, 1889, 184–200.

Gyraldus, L. (Giglio G. Giraldi, 1479–1552), *Dialogismi de poetis.*

Habicht, Chr., "Analecta Laertiana," in *Bathron*: *Festschrift H. Drerup*, Saarbrücken, 1988, 173–178.
Hahm, D. E., "Diogenes Laertius VII: On the Stoics," *ANRW*, 4076–4182 (Indices 4404–4411).
Heidsieck, F., "Épicure et la 'logique du vivant' [DL 10.74]," *R.E.G.* 89 (1976) 611–614.
Heine, O., "Kritische Beiträge zum siebenten Buche des Laertios Diogenes," *Jahrbb. f. Class. Philol.* 15 (1869) 611–628.
Heinze, R., *Xenokrates. Darstellung der Lehre und Sammlung der Fragmente*, Leipzig, 1892.
Hemsterhuys, Tiberius (1685–1766) ap. Huebnerum.
Hense, O., *Teletis reliquiae*, Leipzig, 1909[2].
Hermann, C. F., Iudicium de editione H. G. Huebner, *Zeitschrift f. d. Altertumswissenschaft* 1829, 369–375; 1834, 105–112.
Hirzel, R., *Untersuchungen zu Cicero's philosophischen Schriften*, Leipzig, I, 1877, II.1–2, 1882; III, 1883 (= Hildesheim, 1964).
Holstenius (Holstein), Lucas (1596–1661) ap. Menagium.
Hope, R., *The Book of Diogenes Laertius, its Spirit and its Method*, Diss. Columbia Univ., 1929, New York, 1930.
Horna, K., "Zur Epikurischen Spruchsammlung," *Wien. St.* 49 (1931) 32–39.
Howald, E., "Handbücher als Quellen des Diogenes Laertius," *Philol.* 74 (1917) 119–130.
– "Das philosophiegeschichtliche Compendium des Areios Didymos," *Hermes* 55 (1920) 68–98.
Huebner, H. G., *Commentarii in Diogenem Laertium*, editionem curavit Henricus Gustavus Huebnerus: Isaaci Casauboni Notae atque Aegidii Menagii Observationes et emendationes in Diogenem Laertium. Vol. I–II, Lipsiae - Londini, 1830 et 1833. [Editionem...post Huebneri mortem absolvit Carolus Iacobitz.]
Hülser, K., *Die Fragmente zur Dialektik der Stoiker*, I–IV, Stuttgart, 1987.
Humblé, J., "Antisthenica," *Ant. Class.* 3 (1934) 163–171.
Hunger, H., Iudicium de editione H. S. Long, *Anzeiger f. d. Altertumswissenschaft* 19 (1966), coll. 198–200.
Ierodiakonou, K., "The Stoic division of philosophy," *Phronesis* 38 (1993) 57–74.

Imhof, M., Iudicium de libro A. Biedl, *Das grosse Exzerpt Φ, Byz. Zeitschrift* 50 (1957) 127–131.

Ioppolo, A. M., *Aristone di Chio e lo stoicismo antico*, Elenchos, 1, Napoli, 1980.

Isnardi Parente, M., *Opere di Epicuro*, Torino, 1974; 1983².

– *Speusippo, Frammenti*, Napoli, 1980.

– *Senocrate, Ermodoro, Frammenti*, Napoli, 1981.

Jahn, O., "Variarum lectionum fasciculus," *Philol.* 26 (1867) 1–17; 28 (1869) 1–10.

Janácek, K., "Diogenes Laertius and Sextus Empiricus," *Eunomia* 3 (1959) (= *Listy Filologické* 82, Suppl.), 50–58.

– "Diogenes Laertius IX 101 und Sextus Empiricus M. XI 69–75," in *Charisteria F. Novotny*, edd. F. Stiebitz et R. Hosek, Prague, 1962, 143–146.

– "DL 9.116 τὰ δέκα τῶν Σκεπτικῶν," in *Miscellanea critica*, I, Leipzig, 1964, 119–121.

– "Zur Würdigung des Diogenes Laertios," *Helikon* 7 (1968) 448–451.

– "Das neue Bild des Diogenes Laertios," *Eirene* 27 (1990) 103–121.

– *Indice delle Vite dei Filosofi di Diogene Laerzio* (Accademia Toscana di Scienze e Lettere "La Colombaria," Studi, 123), Firenze, 1992.

– "'Η ἐν ταῖς ζητήσεσιν ἐποχή," *Eirene* 30 (1994) 97–102 (cf. DL 9.107).

Janda, J., "D'Antisthène, auteur des Successions des philosophes," *Listy Filologické* 89 (1966) 341–364.

Jonsius (Joensen), Ioannes (1624–1659), *De scriptoribus historiae philosophicae*, Francofurti, 1659.

Kerschensteiner, J., "Der Bericht des Theophrast über Heraklit," *Hermes* 83 (1955) 385–411.

Kidd, I. G. et L. Edelstein, *Posidonius: The Fragments*, 2 vols., Cambridge, 1989².

Kienle, W. von, *Die Berichte über die Sukzessionen der Philosophen in der hellenistischen und spätantiken Literatur*, Diss. Berlin, 1961.

Kindstrand, J. Fr., *Bion of Borysthenes. A Collection of the Fragments with Introduction and Commentary*, Uppsala, 1976.
– *Anacharsis: The Legend and the Apophthegmata*, Uppsala, 1981.
– "Diogenes Laertius and the *Chreia* Tradition," *Elenchos* 7 (1986) 217–243.
Knoepfler, D., "Tétradrachmes attiques et argent 'alexandrin' chez Diogène Laërce," *Mus. Helv.* 44 (1987) 233–253; 46 (1989) 193–230.
– *La vie de Ménédème d'Érétrie de Diogène Laërce: Contribution à l'histoire et à la critique du texte des Vies des philosophes* (Schweizerische Beiträge zur Altertumswissenschaft, 21), Basel, 1991.
Kochalsky, A., *Das Leben und die Lehre Epikurs: Diogenes Laertius Buch X übersetzt und erklärt*, Leipzig, 1914.
Koepke, E., *De Chamaeleontis Heracliotae vita librorumque reliquiis*, Berolini, 1856.
Körte, A., "Metrodori Epicurei fragmenta," *Jahrbb. f. Class. Philol.* Suppl. 17, 1890, 530–569.
Kolár, A., "De Diogenis Laertii Pammetro," *Listy Filologické* 3 (1954) 190–195.
– "De quibusdam carminibus in Diogenis Laertii Vitis," *Eunomia* 3 (1959) 59–67.
Krauss, H., *Aeschinis reliquiae*, Lipsiae, 1911.
Krohn, K., *Der Epikureer Hermarchos*, Diss. Berlin, 1921.
Kudlien, F., "Die Datierung des Sextus Empiricus und des Diogenes Laertios," *Rhein. Mus.* 106 (1963) 251–254.
Kuehhas, G., *Die Platonvita des Diogenes Laertios*, Diss. Graz, 1947 (dactylogr.).
Kuehn, J., *Selectae quaedam Ioachimi Kuehnii* [1647–1697] *in Diogenem Laertium Observationes*, ap. Meibomium (1692) et ap. Huebnerum, *Commentarii*, II (1833) 635–675.
Laks, A., "Édition critique et commentée de la 'Vie d'Épicure' dans Diogène Laërce (X, 1–34)," in *Études sur l'Épicurisme antique*, edd. J. Bollack et A. Laks (Cahiers de Philologie, 1), Lille, 1976, 1–118.
– v. J. Bollack

Lambros, Sp. P., "'Ανέκδοτα ἀπανθίσματα Διογένους τοῦ Λαερτίου," *Νέος Ἑλληνομνήμων* 3 (1906) 257–376.
Lang, P., *De Speusippi academici scriptis. Accedunt fragmenta*, Diss. Bonn, 1911.
Lasserre, F., Iudicium de editione H. S. Long, *L'Antiquité Classique* 33 (1964) 482–485.
– *Die Fragmente des Eudoxos von Knidos*, Berlin, 1966.
Lausdei, C., v. Rossetti, L.
Leo, Fr., *Die griechisch-römische Biographie nach ihrer literarischen Form*, Leipzig, 1901 (= Hildesheim, 1965).
Leri, D., "Diogene Laerzio e la storiografia filosofica ellenistica," *R. F.* 70 (1979) 299–307.
Lipsius, Iustus (Lips, Joest) (1547–1606) ap. Huebnerum.
Livrea, E., "La morte di Diogene cinico," in *Filologia e forme letterarie, Studi F. Della Corte*, Urbino, 1987, 427–433.
Long, A. A., "Timon of Phlius: Pyrrhonist and Satyrist," *Proceedings Cambridge Philol. Soc.* 204 (1978) 68–83.
– "Diogenes Laertius, Life of Arcesilaus," *Elenchos* 7 (1986) 429–449.
Long, H. S., "The Short Forms of the Text of Diogenes Laertius," *C.P.* 44 (1949) 230–235.
Longo Auricchio, F., *Ermarco, Frammenti*, Napoli, 1988.
Maass, E., *De biographis Graecis quaestiones selectae*. Philol. Untersuchungen, 3, Berlin, 1880.
Madvig, J. N., *Adversaria critica ad scriptores Graecos et Latinos*, I, Hauniae-Lipsiae, 1871, 712–716.
Mann, W.-R., "The life of Aristippus," *Archiv f. Gesch. der Philos.* 78 (1996) 97–119.
Mannebach, E., *Aristippi et Cyrenaicorum fragmenta*, Leiden, 1961.
Mansfeld, J., "Providence and the Destruction of the Universe in Early Stoic Thought," in *Studies in Hellenistic Religions*, Leiden, 1979, 129–188.
– "The Chronology of Anaxagoras' Athenian Period and the Date of his Trial," *Mnem.* 32 (1979) 39–69 and 33 (1980) 17–95.
– "Diogenes Laertius on Stoic Philosophy," *Elenchos* 7 (1986) 295–382.

Mansfeld, J., "The Stoic Cardinal Virtues at Diog. Laert. VII 92," *Mnemos.* 42 (1989) 88–89.

– "Stoic Definitions of the Good (Diog. Laert. VII 94)," *Mnemos.* 42 (1989) 487–491.

Manuwald, A., *Die Prolepsislehre Epikurs*, Diss. Bonn., 1972.

Marcovich, M., *Eraclito Frammenti,* Introduzione, traduzione e commento (Bibl. di Studi superiori, 64), Firenze, 1978.

– "Epicurus Vaticanus," *I.C.S.* 10 (1985) 191–194.

Martina, A., *Solon*, Roma, 1968.

Martínez Lacalle, J., "Three Stoic Propositions in Diogenes Laertius VII 69–80," *Phronesis* 21 (1976) 115–119.

Martini, E., *Analecta Laertiana,* I–II, *Leipziger Studien zur class. Philol.* 19 (1899) 73–177 et 20 (1902) 145–166.

– "Zur handschriftlichen Ueberlieferung des Laertios Diogenes," *Rhein. Mus.* 55 (1900) 612–624.

Masson, O., "La patrie de Diogène Laërce est-elle inconnue?" *Mus. Helv.* 52 (1995) 225–230.

Mau, J., *Zum Problem des Infinitesimalen bei den antiken Atomisten* (Deutsche Akademie, Institut f. hellenistisch-römische Philosophie, Veröffentlichung 4), Berlin, 1954.

Mayor, J. E. B., "Notes on Diogenes Laertius," *The Journal of Philology* 29 (1904) 1–23.

Mejer, J., *Diogenes Laertius and his Hellenistic Background,* Hermes Einzelschriften, 40, Wiesbaden, 1978.

– "Demetrius of Magnesia on Poets and Authors of the Same Name," *Hermes* 109 (1981) 447–472.

– "Diogenes Laertius and the Transmission of Greek Philosophy," *ANRW,* 3556–3602.

– "Diogène Laërce," in R. Goulet, Ed., *Dictionnaire des philosophes antiques* 2 (1994) 824–833. cf. S. Matton, *ib.,* 1011–1012.

Menagius, Aegidius (Gilles Ménage, 1613–1692), *Observationes et emendationes in Diogenem Laertium* [Parisiis, 1663], ap. Io. Pearson (1664), ap. Meibomium (1692) et ap. Huebnerum, *Commentarii* I–II (1830; 1833) = Hildesheim, 1981.

Mensching, E., *Favorin von Arelate...*, Texte und Kommentare, 3, Berlin, 1963.
– "Timotheos von Athen, Diogenes Laertios und Timaios," *Hermes* 92 (1964) 382–384.
– Iudicium de editione H. S. Long, *Archiv f. Gesch. der Philosophie* 47 (1965) 313–318.
Mercurialis, G. (1530–1606) ap. Is. Casaubon.
Merlan, Ph., Iudicium de editione H. S. Long, *Journal of the History of Philosophy* 3 (1965) 119–121.
Meursius, Jan de (1579–1639) ap. Huebnerum.
Mondolfo, R., *Eraclito, Testimonianze e imitazioni,* a cura di R. Mondolfo e L. Tarán, Bibl. di studi superiori, 59, Firenze, 1972.
Moraux, P., "La composition de la 'Vie d'Aristote' chez Diogène Laërce," *R.E.G.* 68 (1955) 124–163.
– "Témoins méconnus des Divisiones Aristoteleae," *L'Ant. Class.* 46 (1977) 100–127.
– "Diogène Laërce et le Peripatos," *Elenchos* 7 (1986) 245–294.
Morelli, G., "Sugli epigrammi di Diogene Laerzio," *G.I.F.* 23 (1971) 121–140.
Mouraviev, S. N., "La vie d'Héraclite de Diogène Laërce," *Phronesis* 32 (1987) 1–33.
Muretus (Muret), Marc Antoine (1526–1585), *Variae lectiones.*
Nietzsche, Fr., "De Laertii Diogenis fontibus," *Rhein. Mus.* 23 (1868) 632–653 et 24 (1869) 181–228 = *Nietzsche Werke* II.1 (Philologische Schriften 1867–1873), Berlin, 1982, 75–167.
– "Analecta Laertiana," *Rhein. Mus.* 25 (1870) 217–231 = *Nietzsche Werke* II.1 (1982), 169–190.
– "Beiträge zur Quellenkunde und Kritik des Laertius Diogenes," *Gratulationsschrift des Paedagogiums zu Basel,* Basel, 1870 = *Nietzsche Werke* II.1 (1982), 191–245.
Nunnesius (Núñez), Petrus Ioannes (+1602) apud Menagium.
Onodera, Go, "Diogenes Laertios IX 45," *Philol.* 137 (1993) 104–109.
Palmerius, J. (Jacques Le Paulmier, 1587–1670), *Exercitationes in optimos fere auctores Graecos,* Lugduni Batavorum, 1668.

Panzerbieter, Fr., "Kleinigkeiten. 1. Sotion," *Neue Jahrbb. f. Philol. und Paedag.*, Suppl. 5. 1, Leipzig, 1837, 211–220.

Petitus, Petrus (1617–1687) ap. Menagium.

Philip, J. A., "The Platon Corpus," *Phoenix* 24 (1970) 296–308.

Philippson, R., Iudicium de editione P. Von der Muehll, *Philol. Wochenschrift* 43 (1923) 1092–1100.

Pintaudi, R., "Un excerptum dalle Vite di Diogene Laerzio (Vat. gr. 1144)," *Sileno* 1 (1975) 189–211.

Plezia, M., "De Aristotelis epistulis observationes criticae," *Eos* 45 (1951) 77–82

Pohlenz, M., *Die Stoa. Geschichte einer geistigen Bewegung,* I–II, Göttingen, 1964^2.

Porson, Richard (1759–1808) ap. Huebnerum.

Prontera, F., "Echecrate di Fliunte un pitagorico?," *Atti Accad. Toscana "La Colombaria"* 39 (1974) 3–19.

Reinesius, Thomas (1587–1667), *Variarum lectionum libri III*, Altenburg, 1640.

Reiske, Johann Jacob (1716–1774), ap. H. Diels, "Reiskii animadversiones in Laertium Diogenem [1756–1759]," *Hermes* 24 (1889) 302–335.

Renaut, A., "Épicure et le problème de l'être... [DL 10.68–71]," *Les études philosophiques* 4 (1975) 435–465.

Reuters, F. H., *Die Briefe des Anacharsis*, Berlin, 1963.

Richards, H., "Laertiana," *C.R.* 18 (1904) 340–346.

Rieth, O., *Grundbegriffe der stoischen Ethik*, Problemata, 9, Berlin, 1933.

Rigsby, K. J., *C.P.* 91 (1996) 254–255 (cf. DL 5.84).

Ritschl, Fr., "Stichometrisches bei Diogenes Laertius," *Rhein. Mus.* 13 (1858) 309–319 = *Opuscula philologica*, I, Leipzig, 1866, 190–196 et 830–834.

Robinson, Th. M., "A Sophist on Omniscience, Polymathy and Omnicompetence," *I.C.S.* 2 (1977) 125–135.

Roeper, G., "Emendationen zu Diogenes Laertius," *Philol.* 1 (1846) 652–663.

– "Conjecturen zu Diogenes Laertius," *Philol.* 3 (1848) 22–65 et 9 (1854) 1–42.

Roeper, G., "Zu Laertios Diogenes," *Philol.* 30 (1870) 555–577.
– Iudicium de editione C. G. Cobet (1850), *Zeitschrift für die Alterthumswissenschaft* (Giessen) 10 (1852), coll. 132–168; 414–430; 433–439; 441–459.
Rose, V., *De Aristotelis librorum ordine et auctoritate commentatio,* Berlin, 1854.
– "Die Lücke in Diogenes Laertios und der alte Uebersetzer," *Hermes* 1 (1866) 367–397.
Rossetti, L., "Socratica in Fedone di Elide," *Studi Urbinati* 47 (1973) 364–381.
– "Tracce di un λόγος Σωκρατικός," *Atene e Roma*, N.S. 20 (1975) 34–43.
Rossetti, L., e C. Lausdei, "Socratico-Laertiana," *S.I.F.C.* 51 (1979) 72–83.
Rossi, I. : Ignatii Rossii *Commentationes Laertianae*, Romae, 1788.
Runia, D. T., "Diogenes Laertios," *Der neue Pauly* 3 (1997) 601–603.
Russell, D. A., Iudicium de editione H. S. Long, *C.R.*, N.S. 15 (1965) 174–176.
Salmasius (Claude de Saumaise, 1588–1653), *Plinianae exercitationes in C. Julii Solini Polyhistora*, I–II[2], Trajecti ad Rhenum, 1688–1689.
Scaliger, Joseph (1540–1609) ap. Huebnerum.
Schibli, H. S., *Pherecydes of Syros,* Oxford, 1990.
Schmidt, H., *Studia Laertiana,* Diss. Bonn, 1906.
Schneider, J. G., *Epicuri Physica et Meteorologica* [= ed. Epicuri Ep. I–II], Lipsiae, 1813.
– "Diogenes Laertius und der Engländer Burley," in *Litterarische Analekten,* herausgegeben von Fr. A. Wolf, Berlin, II, 1818, 227–255.
Schoenrich, G., "Oikeiosis. Zur Aktualität eines stoischen Grundbegriffs," *Philos. Jahrbuch* (Freiburg) 96 (1989) 34–51.
Schott, Andreas (1552–1629) ap. Menagium.
Schwartz, E., "Diogenes Laertios," *RE* IX (1903) 738–763.

Searby, D. M., *Aristotle in the Greek Gnomological Tradition*, Studia Gr. Uppsaliensia, 19, Uppsala, 1998.

Sedley, D., "Epicurus and his professional rivals," in *Études sur l'Épicurisme antique*, ed. J. Bollack et A. Laks (Cahiers de Philologie, 1), Lille, 1976, 119–159.

– "The Character of Epicurus' On Nature," in *Atti del XVII Congresso di Papirologia*, Napoli, 1984, 381–387.

Seidl, W., *Studien zur Sokrates Vita des Diogenes Laertios*, Diss. Graz, 1950.

Sluiter, I., "On ἤ διασαφητικός and propositions containing μᾶλλον / ἧττον," *Mnemos.* 41 (1988) 46–66.

Sollenberger, M. G., "*Vita* Theophrasti," in *Theophrastus of Eresus*, ed. W. W. Fortenbaugh, New Brunswick, 1985, 1–62 = *Theophrastus of Eresus*, I, Leiden, 1993, 20–46.

– "The Lives of the Peripatetics: An Analysis of the Contents and Structure of Diogenes Laertius' *Vitae philosophorum* Book 5," *ANRW*, 3793–3879.

Sordi, M., "Dionigi I e Platone," in *Miscellanea E. Manni*, VI, Roma, 1980, 2013–2022.

Sottili, A., "Il Laerzio latino e greco e altri autografi di Ambrogio Traversari," in *Vestigia: Studi in onore di Giuseppe Billanovich*, Roma, 1984, II, 699–745.

Spoerri, W., *Späthellenistische Berichte über Welt, Kultur und Götter* (Schweizerische Beiträge zur Altertumswissenschaft, 9), Basel, 1959, 53–69.

Steffen, V., *Chamaeleontis fragmenta*, Varsoviae, 1964.

Steinmetz, P., "Zur Erdbebentheorie des Poseidonios," *Rhein. Mus.* 105 (1962) 261–263.

Sternbach, L., "Appendix Vaticana I," in *Rozprawy Wydzialu filologicznego Akademii umiejetnosci* 20 (1893) 171–202.

Susemihl, Fr., "Zu Diogenes Laertios," *Rhein. Mus.* 26 (1871) 336–341.

– "Zenon von Kition. Zu Laertios Diogenes VII 1–12, 24–29," *Fleckeisen's Jahrbb. f. Cl. Philol.* 125 (1882) 737–746 et 127 (1883) 223–224.

– "Zu Laertios Diogenes und der Chronologie des Pittakos," *Rhein. Mus.* 42 (1887) 140–144.

Susemihl, Fr., "Zu den Biographien des Bion und des Pittakos bei Laertios Diogenes," *Fleckeisen's Jbb. f. Cl. Philol.* 141 (1890) 187–191.

Tarán, L., *Speusippus of Athens*, Leiden, 1981.

– "Plato's alleged epitaph," *G.R.B.S.* 25 (1984) 63–82.

Tarán, L., v. R. Mondolfo.

Tarrant, H., "Peripatetic and Stoic Epistemology in Boethus and Antiochus," *Apeiron* 20 (1987) 17–37.

Tartaglia, L., "L'estratto Vaticano delle Vite di Diogene Laerzio," *Rendiconti della Accademia... Napoli,* N.S. 49 (1974) 253–272.

– "Probabile cognatio dei codici B e P di Diogene Laerzio," *Vichiana*, N.S. 3 (1974) 314–321.

Theiler, W., Iudicium de libro A. Delatte, *Gnomon* 2 (1926) 147–156.

– *Poseidonios, die Fragmente*, 2 Bände, Berlin, 1982.

Tsekourakis, D., *Studies in the Terminology of Early Stoic Ethics,* Hermes Einzelschriften, 32, Wiesbaden, 1974.

Tziatzi-Papagianni, M., *Die Sprüche der sieben Weisen: Zwei byzantinische Sammlungen,* Stuttgart-Leipzig, 1994.

Untersteiner, M., *Posidonio nei placita di Platone secondo Diogene Laerzio III,* Brescia, 1970.

Usener, H., *Analecta Theophrastea*, Diss. Bonn., Lipsiae, 1858 = *Kl. Schriften,* I (1912), 50–90.

– *Epicurea,* Leipzig, 1887 (= Roma, 1963; Stuttgart, 1966).

– (mit K. Wotke), "Epikurische Spruchsammlung," *Wiener Studien* 10 (1888) 175–201; 11 (1889) 170; 12 (1890) 1–4 = *Kl. Schriften,* I (1912), 297–325.

– "Die Unterlage des Diogenes Laertius," *SBBA* 1892, 1023–1034 = *Kl. Schriften,* Leipzig-Berlin, III (1914) 163–175.

– *Glossarium Epicureum,* edd. M. Gigante et W. Schmid, Roma, 1977.

Valesius (Valois), Henri de (1603–1676) ap. Menagium.

Vanhove, A., "De brieven in het eerste boek van Diogenes Laertios," *Revue Belge de Philologie et d'Histoire* 23 (1944) 5–23.

Verbeke, G., "Panétius et Posidonius chez Diogène Laërce," *Elenchos* 7 (1986) 103–131.

Volkmann, W., "Untersuchungen zu Diogenes Laertius: 1. Sosikrates; 2. Die Schriften des Timon von Phlius," *Festschrift... Gymnasium zu Jauer*, 1890, 103–120.
– "Quaestiones de Diogene Laertio, I: De D. L. et Suida; II: Miscellanea," *Jahresbericht über das Gymnasium St. Maria-Magdalena in Breslau*, 1890, 1–13, et 1895, 1–14.
Von der Mühll, P. "Epikurs Κύριαι δόξαι und Demokrit" in *Festgabe Adolf Kaegi*, Framenfeld, 1919, 172–178 = *Ausgewählte kleine Schriften*, Basel, 1975, 371–377.
– "Eine Lücke im Bericht über Demokrits Lehre vom Kriterion bei Diogenes Laertios," *Philol.* 107 (1963) 130–131 = *Kleine Schriften*, 386–387.
– "Was war Bias von Priene?" *Mus. Helv.* 22 (1965) 178–180 = *Kleine Schriften*, 347–350.
– "Zum Wortlaut der zehnten der Κύριαι δόξαι Epikurs," *Mus. Helv.* 22 (1965) 229–231 = *Kleine Schriften*, 378–381.
– "Was Diogenes Laertios der Dame, der er sein Buch widmen will, ankündigt," *Philol.* 109 (1965) 313–315 = *Kleine Schriften*, 388–390.
– "Interpretationen biographischer Überlieferung," *Mus. Helv.* 23 (1966) 234–239 = *Kleine Schriften*, 351–358.
Wachsmuth, C., "Ein verschollener (?) Codex des Laertios Diogenes," *Rhein. Mus.* 29 (1874) 354–355.
– *Sillographorum Graecorum reliquiae*, Lipsiae, 1885.
Watanabe, A. T., *Cleanthes, Fragments*, Diss. Illinoensis, 1988.
Wehrli, Fr., *Die Schule des Aristoteles*. Suppl. 1: Hermippus der Kallimacheer; Suppl. 2: Sotion, Basel-Stuttgart, 1974 et 1978.
Weil, R., Iudicium de editione H. S. Long, *R.E.G.* 78 (1965) 436–437.
Weisshäupl, R., *Die Grabgedichte der griechischen Anthologie*, Wien, 1889.
White, N. P., "Two Notes on Stoic Terminology," *A.J.P.* 99 (1978) 111–119.
Wilamowitz-Moellendorff, U. von, "U. de W.-M. Ernesto Maassio S.," in E. Maass, *De biographis Graecis*, Philol. Untersuch., 3, Berlin, 1880, 142–164.

Wilamowitz-Moellendorff, U. von, *Antigonos von Karystos*, Philol. Untersuch., 4 , Berlin, 1881 (= Berlin, 1965).
– "Lesefrüchte," *Hermes* 34 (1899) 601–639 (praesertim 629–633) = *Kl. Schriften*, Berlin, IV (1962) 72–110.
Wilson, N. S., Iudicium de editione H. S. Long, *J.H.S.* 85 (1965) 185–186.
– "The Scholarly Hands of the Middle Byzantine Period," [1974] in *La paléographie grecque et byzantine*, Centre National de la Recherche Scientifique, Colloques Internationaux, 559 (Paris, 1977) 221–239 (praesertim 235–237 et fig. 12–13).
Wismann, H., v. J. Bollack.
Woltjer, J., *Lucretii philosophia cum fontibus comparata*, Groningen, 1877.
Wotke, K., v. H. Usener, "Epikurische Spruchsammlung."
Wright, M. R., *Empedocles: The Extant Fragments*, New Haven, 1981.
Youtie, H. C., "Καταχωρέω and καταχωρίζω: A Semantic Muddle," *Bull. Amer. Soc. Papyr.* 15 (1978) 179–183.
Zeller, E., *De Hermodoro*, Marburg, 1859.
– *Die Philosophie der Griechen in ihrer geschichtlicher Entwicklung*, Leipzig: I.1[7] hrsg. v. W. Nestle, 1923; I.2[7], 1920; II.1[5], 1922; II.2[4], 1921; III.1[5] hrsg. v. E. Wellmann, 1923; III.2[5], 1923 (= Darmstadt, 1963).

ABBREVIATIONES

ANRW	*Aufstieg und Niedergang der römischen Welt,* II, Band 36.5–6, herausgegeben von W. Haase, Berlin, 1992.
Anth. Pal.	*Anthologia Graeca,* ed. H. Beckby, I–IV, München, 1957–1958; 1965^2. – *Anthologie Grecque,* edd. P. Waltz, R. Aubreton, F. Buffière et al., I (1928); XIII (1980), Paris (G. Budé). – *Epigrammatum Anth. Pal. cum Planudeis,* I–II, ed. Fr. Dübner, Paris (Didot), 1864–1872; *Appendix nova,* III, ed. Cougny, 1890.
CAF	*Comicorum Atticorum fragmenta,* ed. Th. Kock, I–III, Lipsiae, 1880–1888.
DK	*Die Fragmente der Vorsokratiker,* griechisch und deutsch von H. Diels. Sechste Auflage von W. Kranz, I–III, Berlin, 1951–1952.
FGrHist	*Die Fragmente der griechischen Historiker* von F. Jacoby, I ss., Berlin, Leiden, 1923–1958.
FHG	C. et Th. Müller, *Fragmenta historicorum Graecorum,* I–V, Paris (Didot), 1841–1870.
Gnom.Vat.	*Gnomologium Vaticanum,* ed. Leo Sternbach, Berlin, 1963 = *Wiener Studien* 9 (1887) 175–206; 10 (1888) 1–49 et 211–260; 11 (1889) 43–64 et 192–242.
Hercher	*Epistolographi Graeci,* rec. R. Hercher, Paris, 1873 (= Amsterdam, 1965).
N^2	*Tragicorum Graecorum fragmenta,* rec. A. Nauck, Lipsiae, 1889^2 (= 1964).
PCG	*Poetae Comici Graeci,* edd. R. Kassel et C. Austin, Berlin, I–IX, 1983 ss.

PPF	*Poetarum philosophorum fragmenta,* ed. H. Diels, Berlin, 1901.
SSR	*Socratis et Socraticorum reliquiae,* coll. G. Giannantoni, I–IV, Elenchos 18, Napoli, 1990.
Suppl. Hell.	*Supplementum Hellenisticum,* edd. H. Lloyd-Jones et P. Parsons, Berlin, 1983.
SVF	*Stoicorum veterum fragmenta,* coll. Ioannes ab Arnim, I–III, Lipsiae, 1903–1905. – Vol. IV: Indices, conscripsit M. Adler, Lipsiae, 1924.
TrGF	*Tragicorum Graecorum fragmenta,* I ed. B. Snell, Göttingen, 1971; 1986²; II ed. R. Kannicht et B. Snell, 1981; III ed. S. Radt, 1985; IV ed. S. Radt, 1977; 1999².
Usener	H. Usener, *Epicurea,* Lipsiae, 1887 (= Roma, 1963; Stuttgart, 1966).
Wehrli	*Die Schule des Aristoteles,* Texte u. Kommentare herausgegeben von Fritz Wehrli, I–X, Basel, 1967²–1969². – Suppl. 1–2, 1974; 1978.
West²	*Iambi et Elegi Graeci* ante Alexandrum cantati, ed. M.L. West, I–II, Oxonii, 1989 et 1992.

—

BREVIATA

*	textus periit: lacuna in codice
⟨*⟩	lacunam in textu coniecere viri docti
†αβγ†	vox corrupta
[αβγ]	vox delenda
⟨αβγ⟩	vox addenda
· · ·	tres litterae erasae

Index vetus in codice P^1

+ Λαερτ(ίου) Διογένους βίοι καὶ γνῶ(μαι) τῶν ἐν f. 1^r
φιλο[σοφίᾳ] εὐδοκιμησάντων καὶ τῶν ἑκάστῃ αἱρέσει ἀρεσκόντων ἐν ἐπιτόμῳ συναγωγῇ. Διῄρηται τὸ σύγγρα(μμα) εἰς βίβλους δέκα· ἑκάστου βιβλίου τὰ πρόσωπα·

α´ Ἐν τῷ α´ Θαλῆς, Σό(λων), Χεί(λων), Πιττακ(ός), Βίας, Κλεόβου(λος), Περίανδρ(ος), Ἀνάχα(ρσις), Μύσων, Ἐπιμε(νί)δ(ης), Φε[ρεκύδης].

β´ Ἐν τῷ β´ Ἀναξίμανδρ(ος), Ἀναξιμέ(νης), Ἀναξαγ[όρας], Ἀρχέλ(αος), Σωκράτ(ης), Ξενοφῶν, Αἰ[σχίνης], Ἀρίστ[ιππος], Θεόδω(ρος), Φαίδων, Εὐκλείδ(ης), Στίλπ(ων), Κρίτων, Σ[ίμων], Γλαῦκος, Σιμμίας, Κέβης, Μενέδημος.

γ´ Ἐν τῷ γ´ Πλάτων.

δ´ Ἐν τῷ δ´ Σπεύσιππος, Ξενο[κράτης], Π[ολέμων], Κράτης, Κράντωρ, Ἀρκεσίλ[αος], Βίων, Λακύδ(ης), Καρνεάδης, Κλ[ειτόμαχ]ος.

Indicem praebent P^1, codicis P^4 apographon **H** eiusque apographa **I E Y**. Indicem ediderunt V. Rose (1866) [ex **H**], E. Martini (1899), Vitae Plat. ed. Basil. (1907) et T. Dorandi (1992).

2 φιλο[σοφία] **P** ut vid., φιλοσοφίαι **H** : φ[ιλοσ]όφοις Martini | αἱρέσει **P** ut vid. : αἱρέσεων **H** **3** ἐπιτόμῳ **P** ut vid. : ἐπιτομῆι **H** **6** θαλῆς : -λῆς P^3 **8** φερεκίδης **H** **11** εὐκλείδ(ης) : -εί- P^3 **12** γλαῦκος **P H** : immo Γλαύκων **13** κέβης : -ης P^3 **15** π[ολέμων] **P H** : om. Martini, ed. Basil., Dorandi **16** ἀρκεσίλ[αος] **P** : ἀρκεσίων **H** **17** κλ[ειτόμαχ]ος : -ος P^3 (κλειτόμαχος **H**)

ε′ Ἐν τῷ ε′ Ἀριστοτ[έλης], Θ[εόφραστος], Στρ[άτων], Λύκων, Δημήτρ[ιος], [Ἡρακλείδης]. |

f. 1^{v} [ϛ′] [Ἐ]ν τῷ ϛ′ Ἀντισθέ(νης), Διογέ(νης), Μόνιμος, Ὀνησίκριτ(ος), Κράτης, Μητροκλῆς, Ἱππαρχ(ία), Μένιππος, Μενέδημος.

[ζ′] Ἐν τῷ ζ′ Ζήνων, Κλεάνθ(ης), Χρύσιππ(ος), Ζήν(ων) Ταρσεύς, Διογέν(ης), Ἀπολλόδω(ρος), Βοηθός, Μνησαρχίδης, Μνασαγόρας, Νέστωρ, Βασιλείδης, Δάρδανος, Ἀντίπατρος, Ἡρακλείδης, Σωσιγένης, Παναίτιος, ⟨Ἑ⟩κάτων, Ποσειδ(ώ)ν(ιος), Ἀθηνό(δωρο)ς, Ἀθηνόδω(ρος) ἄλλος, Ἀντίπατρος, Ἄριος, Κορνοῦτ(ος).

[η′] [Ἐν] τῷ η′ Πυθαγόρας, Ἐμπεδοκλῆς, Ἐπίχαρμ(ος), [Ἀρχύ]τ(ας), Ἀλκμαίων, Ἵππασος, Φιλόλα(ος), Εὔδοξος.

23 Ζήνων, Κλεάνθης, Χρύσιππος **P H** et Index recentior in **P** (f. A^{v}), manu Iani Lascaris (1444–1534) conscriptus : Ζήνων, Ἀρίστων, Ἥριλλος, Διονύσιος, Κλεάνθης, Σφαῖρος, Χρύσιππος DL codd. **23** Ζήν(ων) Ταρσεύς – **28** Κορνοῦτ(ος) **P H** : vitae viginti philosophorum Stoicorum desiderantur in DL codicibus (post 7.202). Cf. Bessarionem in mg cod. **I** : τοῦ ζ^{ου}, ζήνωνα, κλεάνθην καὶ χρύσιππον ἔχομεν μόνον, καὶ οὐδὲ χρύσιππον ὅλον. Lascaris in Indice (**P** f. A^{v}) viginti nomina omisit, sed lacunam linea (spatii versus dimidii) ducta indicavit. Ambrosius omnia nomina ex **H** descripsit et in Tabulam alphabeticam inseruit (pp. 3–4)

18 θ[εόφραστος] et **19** [ἡρακλείδης] exstant in **H**, perierunt in **P** **20** ϛ′ – **37** ι′ numeros supplevi (margo sinistra periit in **P** f.1^{v}) **21** ἱππαρχ(ία) **P** : ἵππαρχος **H**, Martini, Dorandi **25** μνασαγόρας **P H** : Μνησαγόρας Martini **27** ⟨Ἑ⟩κάτων Rose (371), agn. O. Heine (1869), Dorandi : κάτων **P H** (cf. pp. 394.23; 436.19) | ἀθηνό(δωρο)ς **P** ut vid. : ἀθηνόδωρος καὶ **H** **28** ἄριος **P** : ἄρειος **H** **32** εὔδοξος **P** : ἔνδοξος **H**

[θ′] [’Εν] τῷ θ′ ῾Ηράκλειτος, Ξενοφά(νης), Παρμενίδ(ης), Μέλισσος, Ζήνων, Λεύκιππος, Δημόκριτ(ος), Πρωταγό(ρας), Διογέ(νης), ’Ανάξαρχ(ος), Πύρρων, Τίμων.

[ι′] [’Εν τῷ] ι′ ’Επίκουρος. +

35 διογέ(νης) **P** : διόδωρος **H**

SIGLA

B	Neapolitanus Burbonicus III B 29, s. XII. B^2, B^3 codicis B^1 correctores
P	Parisinus gr. 1759, s. XIII ex. P^2, P^3, P^4, P^5 codicis P^1 correctores
F	Laurentianus 69, 13, s. XIII. F^2, F^3 codicis F^1 correctores

Codicis P apographa

Q	Parisinus gr. 1758, s. XIV in.
W	Vaticanus gr. 140, s. XIV
Co	Constantinopolitanus gr. Veteris Seraglio 80 (olim 48), s. XIV
H	Laurentianus 69, 35, ca. 1400

Recensio vulgata

V	Vaticanus gr. 1302, s. XIII (desinit in DL 6.66)
U	Urbinas gr. 108, s. XV
D	Neapolitanus Burbonicus III B 28, s. XV
Z	Raudnitzianus Lobkowicensis VI F. c. 38, s. XV ex.

Excerpta Byzantina

Φ	Vaticanus gr. 96, f. 29^{v}–88^{r}, s. XII (v. Vol. II)
Suda	ed. A. Adler (1928–1938), v. Vol. II
φ	Pseudo-Hesychii Milesii *De viris illustribus:* Vaticanus gr. 96, f. 19^{r}–29^{v} (v. Vol. II)

A

⟨ΠΡΟΟΙΜΙΟΝ⟩

Τὸ τῆς φιλοσοφίας ἔργον ἔνιοί φασιν ἀπὸ βαρβάρων 1
ἄρξαι. Γεγενῆσθαι γὰρ παρὰ μὲν Πέρσαις Μάγους, παρὰ δὲ Βαβυλωνίοις ἢ Ἀσσυρίοις Χαλδαίους, καὶ Γυμνοσοφιστὰς παρὰ Ἰνδοῖς, παρά τε Κελτοῖς καὶ Γαλάταις τοὺς καλουμένους Δρυΐδας καὶ Σεμνοθέους, καθά φησιν Ἀριστοτέλης ἐν τῷ Μαγικῷ καὶ Σωτίων ἐν τῷ εἰκοστῷ τρίτῳ τῆς Διαδοχῆς. Φοίνικά τε γενέσθαι Ὦχον, καὶ Θρᾷκα Ζάμολξιν, καὶ Λίβυν Ἄτλαντα.

Αἰγύπτιοι μὲν γὰρ Νείλου γενέσθαι παῖδα Ἥφαιστον, ὃν ἄρξαι φιλοσοφίας, ἧς τοὺς προεστῶτας ἱερέας εἶναι

2–p.6.13 Bidez et Cumont, II, pp. 7–9 et 268 **2–8** Aristot. Fr. 35 Rose[3]; Sotionis Fr. 35 Wehrli **6** Steph. Byz., s.v. Δρυΐδαι | Σεμνοθέους : cf. Σεμνούς ap. Alex. Polyhist. (*FGrHist* 273 F 18) **8–9** 68 A 55 DK **8** Ὦχον : *FGrHist* 87 F 67

inscriptio λαερτίου διογένους βίων καὶ γνωμῶν (: βίοι καὶ γνωμαι **F**[2]) τῶν ἐν φιλοσοφία εὐδοκιμησάντων καὶ τῶν ἑκάστη (: ἐν ἑκάστη **V**) αἱρέσει ἀρεσάντων (: ἀρεσκόντων **F**[2]), τῶν εἰς δέκα τὸ πρῶτον **F**[1]**V** : λαερτίου διογένους βίοι καὶ γνῶμαι τῶν ἐν φιλοσοφία εὐδοκιμησάντων καὶ τῶν ἑκάστη αἱρέσει ἀρεσκόντων **P**[1] : periit f.1 in **B** (incipit p. 7.16 φι]λοσοφία) | **A** **P**[1]**F**[1] **1** Προοίμιον add. *Frob.* **2** ἔργον : γένος **Φ** **4** ἢ **PF** : καὶ **V** **5** τε : δὲ **Φ** **6** σεμνοθέους : Σαμαναίους Roeper[1] **7–8** (et p. 8.22 s.) εἰκοστῷ τρίτῳ (= κγ′) codd. : τρισκαιδεκάτῳ (= ιγ′) *Ambros.* (in ed. Basil., 1524), agn. Panzerbieter, Roeper[2,4], Diels (*Dox.*, 147), Wehrli **8** ὦχον **PFΦ** et *Suda* : ⟨Μ⟩ῶχον Fabricius (cf. Diels., *Dox.*, 250 n. 1) **10** γὰρ **PF** : γάρ φασι **Φ**

2 καὶ προφήτας. Ἀπὸ δὲ τούτου εἰς Ἀλέξανδρον τὸν Μακεδόνα ἐτῶν εἶναι μυριάδας τέσσαρας καὶ ὀκτακισχίλια ὀκτακόσια ἑξήκοντα τρία· ἐν οἷς ἡλίου μὲν ἐκλείψεις γενέσθαι τριακοσίας ἑβδομήκοντα τρεῖς, σελήνης δὲ ὀκτακοσίας τριάκοντα δύο.

Ἀπὸ δὲ τῶν Μάγων, ὧν ἄρξαι Ζωροάστρην τὸν Πέρσην, Ἑρμόδωρος μὲν ὁ Πλατωνικὸς ἐν τῷ Περὶ μαθημάτων φησὶν εἰς τὴν Τροίας ἅλωσιν ἔτη γεγονέναι πεντακισχίλια (Ξάνθος δὲ ὁ Λυδὸς εἰς τὴν Ξέρξου διάβασιν ἀπὸ τοῦ Ζωροάστρου ἑξακισχίλιά φησι), καὶ μετ' αὐτὸν γεγονέναι πολλούς τινας Μάγους κατὰ διαδοχήν, Ὀστάνας καὶ Ἀστραμψύχους καὶ Γωβρύας καὶ Παζάτας, μέχρι τῆς τῶν Περσῶν ὑπ' Ἀλεξάνδρου καταλύσεως.

3 Λανθάνουσι δ' αὐτοὺς τὰ τῶν Ἑλλήνων κατορθώματα, ἀφ' ὧν μὴ ὅτι γε φιλοσοφία, ἀλλὰ καὶ γένος ἀνθρώπων ἦρξε, βαρβάροις προσάπτοντες. Ἰδοὺ γοῦν παρὰ μὲν Ἀθηναίοις γέγονε Μουσαῖος, παρὰ δὲ Θηβαίοις Λίνος. Καὶ τὸν μὲν Εὐμόλπου παῖδά φασι, ποιῆσαι δὲ Θεογονίαν καὶ Σφαῖραν πρῶτον· φάναι τε ἐξ ἑνὸς τὰ πάντα γίνεσθαι καὶ εἰς ταὐτὸν ἀναλύεσθαι. Τοῦτον τελευτῆσαι Φαληροῖ, καὶ αὐτῷ ἐπιγεγράφθαι τόδε τὸ ἐλεγεῖον·

6–13 *FGrHist* 765 F 32 **6–9** Hermodori Fr. 6 Isnardi Parente; Eudoxi Cnid. F 342 Lasserre **9** πεντακισχίλια : cf. Plin. *N.H.* 30.4; Plut. *De Is.* 369 E **10** ἑξακισχίλια : cf. Plin. *N.H.* 30.3 **11** κατὰ διαδοχήν : sc. γένους, a patre ad filium **15** φιλοσοφία : cf. Clem. *Strom.* 1.67.1 **16–20** ἀναλύεσθαι 2 A 4 DK **16–p. 7.2** Lobonis Fr. 5 Croenert

2 μυριάδων **F** | καὶ **FΦ** : om. **P** **10** τοῦ **PΦ** : om. **F** | ἑξακισχίλια P^5 in ras. : ἑξακόσια P^1**QWCoHM FΦ VD** **12** ἀστραψύχους P^2**QU** **13** τῶν om. **PV** **14** αὐτοὺς Huebner : αὑτοὺς codd. **19** φάναι : πρῶτός τε ἔφη **Φ** **20** γίνεσθαι **P** : γενέσθαι **FΦ** **21** αὐτῶι **P**F^2 : αὐτὸ F^1

Εὐμόλπου φίλον υἱὸν ἔχει τὸ Φαληρικὸν οὖδας
Μουσαῖον, φθίμενον σῶμ', ὑπὸ τῷδε τάφῳ.

Ἀπὸ δὲ τοῦ πατρὸς τοῦ Μουσαίου καὶ Εὐμολπίδαι καλοῦνται παρ' Ἀθηναίοις.

4 Τὸν δὲ Λίνον παῖδα εἶναι Ἑρμοῦ καὶ Μούσης Οὐρανίας· ποιῆσαι δὲ κοσμογονίαν, ἡλίου καὶ σελήνης πορείαν, καὶ ζῴων καὶ καρπῶν γενέσεις. Τούτῳ ἀρχὴ τῶν ποιημάτων ἥδε·

Ἦν ποτέ τοι χρόνος οὗτος, ἐν ᾧ ἅμα πάντ' ἐπεφύκει.

Ὅθεν λαβὼν Ἀναξαγόρας πάντα ἔφη χρήματα γεγονέναι ὁμοῦ, νοῦν δὲ ἐλθόντα αὐτὰ διακοσμῆσαι. Τὸν δὲ Λίνον τελευτῆσαι ἐν Εὐβοίᾳ τοξευθέντα ὑπὸ Ἀπόλλωνος, καὶ αὐτῷ ἐπιγεγράφθαι·

Ὧδε Λίνον Θηβαῖον ἐδέξατο γαῖα θανόντα,
Μούσης Οὐρανίης υἱὸν ἐϋστεφάνου.

Καὶ ὧδε μὲν ἀφ' Ἑλλήνων ἦρξε φιλοσοφία, ἧς καὶ αὐτὸ τὸ ὄνομα τὴν βάρβαρον ἀπέστραπται προσηγορίαν.

5 Οἱ δὲ τὴν εὕρεσιν διδόντες ἐκείνοις παράγουσι καὶ Ὀρφέα τὸν Θρᾷκα, λέγοντες φιλόσοφον γεγονέναι καὶ εἶναι ἀρχαιότατον. Ἐγὼ δέ, εἰ τὸν περὶ θεῶν ἐξαγορεύσαντα τοιαῦτα χρὴ φιλόσοφον καλεῖν οὐκ οἶδα, ⟨οὐδὲ⟩ τίνα δεῖ προσαγορεύειν τὸν πᾶν τὸ ἀνθρώπειον πάθος

1–2 *Anth. Pal.* 7.615; *Plan.*; *Suppl. Hell.* 504 **5–7** et **11–15** Lobonis Fr. 6 Cr. **9** Lini v. 26 Mullach **10–11** cf. p. 95.8–9; Aët. 1.3.5; 59 B 1 DK **14–15** *Anth. Pal.* 7.616; *Plan.*; *Suppl. Hell.* 505 **18–20** et **p.8.3–7** Lobonis Fr. 7 Cr.

2 φθινόμενον **F** | σῶμα $\mathbf{P}^1$, corr. $\mathbf{P}^3$**W** **3** ἀπὸ τοῦ πατρὸς δὲ **PU** **6** κοσμογονίαν **P**$\mathbf{F}^2$: κοσμολογίαν $\mathbf{F}^1$**VΦ** **7** τούτωι **PV** : τούτων **F** : τούτου **Φ** **9** πάντ' ἐπεφύκει **PFV** : πάντα πεφύκει **Φ** **10** γεγονέναι **PFΦ** : γενέσθαι **V** **11** αὐτὰ : ταῦτα **Φ** **14** ὧδε **PFV** *Pal.* : ἥδε *Plan.* **16** ἦρξε **PU** : ἤρξατο **FVD** **21** οὐδὲ add. Apelt **22** τίνα δεῖ προσαγορεύειν del. Cobet

ἀφειδοῦντα τοῖς θεοῖς προστρῖψαι, καὶ τὰ σπανίως ὑπό τινων ἀνθρώπων αἰσχρουργούμενα τῷ τῆς φωνῆς ὀργάνῳ. Τοῦτον δὲ ὁ μὲν μῦθος ὑπὸ γυναικῶν ἀπολέσθαι φησί· τὸ δὲ ἐν Δίῳ τῆς Μακεδονίας ἐπίγραμμα κεραυνωθῆναι αὐτόν, λέγον οὕτως·

Θρήϊκα χρυσολύρην τῇδ' Ὀρφέα Μοῦσαι ἔθαψαν,
ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει.

6 Οἱ δὲ φάσκοντες ἀπὸ βαρβάρων ἄρξαι φιλοσοφίαν καὶ
τὸν τρόπον παρ' ἑκάστοις αὐτῆς ἐκτίθενται· καί φασι
τοὺς μὲν Γυμνοσοφιστὰς καὶ Δρυΐδας αἰνιγματωδῶς ἀπο-
φθεγγομένους φιλοσοφῆσαι· σέβειν ⟨τε⟩ θεοὺς καὶ μηδὲν
κακὸν δρᾶν καὶ ἀνδρείαν ἀσκεῖν. Τοὺς γοῦν Γυμνοσο-
φιστὰς καὶ θανάτου καταφρονεῖν φησι Κλείταρχος ἐν τῇ
δωδεκάτῃ· τοὺς δὲ Χαλδαίους περὶ ἀστρονομίαν καὶ
πρόρρησιν ἀσχολεῖσθαι· τοὺς δὲ Μάγους περί τε θερα-
πείας θεῶν διατρίβειν καὶ θυσίας καὶ εὐχάς, ὡς αὐτοὺς
μόνους ἀκουομένους. Ἀποφαίνεσθαί τε περὶ οὐσίας θεῶν
καὶ γενέσεως, οὓς καὶ πῦρ εἶναι καὶ γῆν καὶ ὕδωρ· τῶν δὲ
ξοάνων καταγινώσκειν, καὶ μάλιστα τῶν λεγόντων ἄρρε-
7 νας εἶναι θεοὺς καὶ θηλείας. Περί τε δικαιοσύνης λόγους
ποιεῖσθαι, καὶ ἀνόσιον ἡγεῖσθαι πυρὶ θάπτειν· καὶ ὅσιον
νομίζειν μητρὶ ἢ θυγατρὶ μίγνυσθαι, ὡς ἐν τῷ εἰκοστῷ

1–2 cf. 7.187; *SVF* II, Nrr. 1071–1074; Theoph. *Ad Autol.* 3.3.4; 3.8.2 **6–7** *Anth. Pal.* 7.617; *Plan.* **8–p. 10.10** καθαιρεῖν Bidez et Cumont, pp. 67–68 et 9 **8–p. 9.8** Sotionis Fr. 36 Wehrli **12–14** *FGrHist* 137 F 6 **18–19** cf. Herod. 1.131; Strab. 15.3.13 (732 C.)

1 προστρῖψαι in mg **B**^{1} 2 αἰσχρουργούμενα **BPF**^{1} : αἰσχρολογούμενα **F**^{2}**U** 3 φασὶ **F** 7 ὑψημέδης **F** 9 αὐταῖς **B** 10 αἰνιγμάτως **B** 11 τε addidi ex **Φ** : om. **BPF** | θεὸν **Φ** 15 ἀσχολεῖσθαι **BP** : ἀσχολῆσθαι **F**^{2} : ἠσχολῆσθαι **F**^{1}**Φ** 17 περὶ **FΦ** : περί τε **BPV** | οὐσίας : θυσίας coni. Bidez et Cumont 17–18 θεῶν καὶ **FΦP**^{4} : καὶ θεῶν **BP**^{1} 20 λόγον **V** 22–p. 9.1 εἰκοστῷ τρίτῳ : cf. ad 1.7–8

τρίτῳ φησὶν ὁ Σωτίων· ἀσκεῖν τε μαντικὴν καὶ πρόρρησιν,
καὶ θεοὺς αὐτοῖς ἐμφανίζεσθαι λέγοντας. Ἀλλὰ καὶ εἰδώ-
λων πλήρη εἶναι τὸν ἀέρα, κατὰ ἀπόρροιαν ὑπὸ ἀνα-
θυμιάσεως εἰσκρινομένων ταῖς ὄψεσι τῶν ὀξυδερκῶν·
προκοσμήματά τε καὶ χρυσοφορίας ἀπαγορεύειν. Τούτων
δὲ ἐσθὴς μὲν λευκή, στιβὰς δὲ εὐνή, καὶ λάχανον τροφή,
τυρός τε καὶ ἄρτος εὐτελής, καὶ κάλαμος ἡ βακτηρία, ᾧ
κεντοῦντες, φασί, τοῦ τυροῦ ἀνῃροῦντο καὶ ἀπήσθιον.

Τὴν δὲ γοητικὴν μαγείαν οὐδ᾽ ἔγνωσαν, φησὶν 8
Ἀριστοτέλης ἐν τῷ Μαγικῷ καὶ Δείνων ἐν τῇ πέμπτῃ τῶν
Ἱστοριῶν· ὃς καὶ μεθερμηνευόμενόν φησι τὸν Ζωροάσ-
τρην ἀστροθύτην εἶναι· φησὶ δὲ τοῦτο καὶ ὁ Ἑρμόδωρος.
Ἀριστοτέλης δὲ ἐν πρώτῳ Περὶ φιλοσοφίας καὶ πρεσβυ-
τέρους εἶναι τῶν Αἰγυπτίων· καὶ δύο κατ᾽ αὐτοὺς εἶναι
ἀρχάς, ἀγαθὸν δαίμονα καὶ κακὸν δαίμονα· καὶ τῷ μὲν
ὄνομα εἶναι Ζεὺς καὶ Ὠρομάσδης, τῷ δὲ Ἅιδης καὶ
Ἀρειμάνιος. Φησὶ δὲ τοῦτο καὶ Ἕρμιππος ἐν τῷ πρώτῳ
Περὶ μάγων καὶ Εὔδοξος ἐν τῇ Περιόδῳ καὶ Θεόπομπος ἐν
τῇ ὀγδόῃ τῶν Φιλιππικῶν· ὃς καὶ ἀναβιώσεσθαι κατὰ 9
τοὺς Μάγους φησὶ τοὺς ἀνθρώπους καὶ ἀθανάτους ἔσεσ-

7 τυρός : cf. Plin. *N.H.* 11.242 **9–10** Aristot. Fr. 36 Rose^3 **10–12** Dinonis F 5, *FGrHist* 690 **13–17** Aristot. Fr. 6 Rose^3 **17–18** Hermippi Fr. 3 Wehrli **18** Eudoxi Fr. 341 Lasserre **18–19** Theopompi F 64, *FGrHist* 115 **19** ὃς – **p.11.14** ἔχει : 73 B 6 DK

1 τε **FΦ** : τε καὶ **BP** 2 θεοὺς αὐτοῖς **F** (αὑτοῖς Cobet) : αὐτοῖς θεοὺς **BPΦ** 3 ὑπὸ **BPF** : ἀπὸ **Φ** 5 προκοσμήματα **ΦUP^4** : προσκοσμήματα **BP^{1}F** 8 φασί : φησί (sc. Sotio) Reiske 9 μαγείαν **FQWCo** : καὶ μαγίαν **BP^1**(?) : μαντείαν **P^{4}H** | οὐδ᾽ (οὐκ **Φ**) ἔγνωσαν **BP^{1}F^{2}Φ** : διέγνων **F^{1}P^4** 12 εἶναι : σημαίνειν **Φ** 16 ἅδης **BPΦ** : ἄρης **F** 17 ἀρειμάνιος **FP^3** : ἀριμάνιος **BP^{1}Φ** 18 τῇ : Γῆς Croenert (p. 142)

θαι, καὶ τὰ ὄντα ταῖς αὐταῖς ἐπικλήσεσι διαμενεῖν. Ταὐτὰ δὲ καὶ Εὔδημος ὁ Ῥόδιος ἱστορεῖ. Ἑκαταῖος δὲ καὶ γενητοὺς τοὺς θεοὺς εἶναι κατ' αὐτούς. Κλέαρχος δὲ ὁ Σολεὺς ἐν τῷ Περὶ παιδείας καὶ τοὺς Γυμνοσοφιστὰς ἀπογόνους εἶναι τῶν Μάγων φησίν· ἔνιοι δὲ καὶ τοὺς Ἰουδαίους ἐκ τούτων εἶναι. Πρὸς τούτοις καταγινώσκουσιν Ἡροδότου οἱ τὰ περὶ Μάγων γράψαντες· μὴ γὰρ ἂν ἐς τὸν ἥλιον βέλη Ξέρξην ἀκοντίσαι, μηδ' εἰς τὴν θάλασσαν πέδας καθεῖναι, θεοὺς ὑπὸ τῶν Μάγων παραδεδομένους. Τὰ μέντοι ἀγάλματα εἰκότως καθαιρεῖν.

10 Τὴν δὲ τῶν Αἰγυπτίων φιλοσοφίαν εἶναι τοιαύτην περί τε θεῶν καὶ ὑπὲρ δικαιοσύνης. Φάσκειν γὰρ ἀρχὴν μὲν εἶναι τὴν ὕλην, εἶτα τὰ τέσσαρα στοιχεῖα ἐξ αὐτῆς διακριθῆναι καὶ ζῷά τινα ἀποτελεσθῆναι. Θεοὺς δ' εἶναι ἥλιον καὶ σελήνην, τὸν μὲν Ὄσιριν, τὴν δὲ Ἶσιν καλουμένην· αἰνίττεσθαί τε αὐτοὺς διά τε κανθάρου καὶ δράκοντος καὶ ἱέρακος καὶ ἄλλων, ὥς φησι Μανέθως ἐν τῇ

1 ταῖς αὐταῖς ἐπικλήσεσι διαμενεῖν : cf. Plut. *De Is.* 370 B ἕνα βίον καὶ μίαν πολιτείαν ἀνθρώπων μακαρίων καὶ ὁμογλώσσων ἁπάντων γενέσθαι (et J. Gwyn Griffiths ad loc.); Hygini *Fab.* 143 **2–3** Hecataei Abderitae F 3, *FGrHist* 264 **3–5** Clearchi Fr. 13 Wehrli **7–9** καθεῖναι : Herod. 5.105 et 7.35; 8.109.3 **10** Herod. 8.53 **17–p. 11.1** *FGrHist* 609 F 17

1 τὰ ὄντα : τῷ ὄντι coni. Diels | ante ταῖς αὐτῶν habet ταῖς et rasuram 6 litt. **F**^{2} | αὐταῖς Casaubon, Roeper^2 : αὐτῶν codd. : αὑτῶν Diels | ἐπικλήσεσι : ἐπικτήσεσι Reiske : ἐπικυκλήσεσι L. Holstenius : περικυκλήσεσι Diels | διαμένειν **B** **2** ταὐτὰ Reiske : ταῦτα codd. **3** γεννητοὺς **BP**^{1}**F**^{1} : γρ. καὶ γενικοὺς **F**^{2} in mg, **Co** mg : γεννητικοὺς **P**^{3}**W** | τοὺς om. F **4** σοδεὺς **B** **6** post εἶναι addit **Φ** ἐπεὶ ἀβραὰμ ὁ τούτων πρόγονος χαλδαῖος ἦν | πρὸς τούτοις καταγινώσκουσι **BPF** ex corr. : καταγινώσκουσι δὲ **Φ** **7** τὰ om. **ΦF**^{1} **9** παραδεδομένους **PFΦ** : παραδιδομένους **B** **12** γὰρ Reiske : τε **BPF** **14** διακριθῆναι : διαιρεθῆναι **Φ** | τινα : παντοῖα Cobet **17** καὶ ἄλλων ss. **F**^{2}, om. **Φ** | μάνεθως **P** : μάνεθος **B**^{2}**F**^{2}

Τῶν φυσικῶν ἐπιτομῇ καὶ Ἑκαταῖος ἐν τῇ πρώτῃ Περὶ τῆς
τῶν Αἰγυπτίων φιλοσοφίας. Κατασκευάζειν δὲ ἀγάλματα
καὶ τεμένη τῷ μὴ εἰδέναι τὴν τοῦ θεοῦ μορφήν. Τὸν κόσ- **11**
μον γενητὸν καὶ φθαρτὸν καὶ σφαιροειδῆ· τοὺς ἀστέρας
πῦρ εἶναι, καὶ τῇ τούτων κράσει τὰ ἐπὶ γῆς γίνεσθαι·
σελήνην ἐκλείπειν εἰς τὸ σκίασμα τῆς γῆς ἐμπίπτουσαν.
Τὴν ψυχὴν καὶ ἐπιδιαμένειν καὶ μεταβαίνειν. Ὑετοὺς
κατὰ ἀέρος τροπὴν ἀποτελεῖσθαι· τά τε ἄλλα φυσιολο-
γεῖν, ὡς Ἑκαταῖός τε καὶ Ἀρισταγόρας ἱστοροῦσιν.
Ἔθεσαν δὲ καὶ νόμους ὑπὲρ δικαιοσύνης, οὓς εἰς Ἑρμῆν
ἀνήνεγκαν· καὶ τὰ εὔχρηστα τῶν ζῴων θεοὺς ἐδόξασαν.
Λέγουσι δὲ καὶ ὡς αὐτοὶ γεωμετρίαν τε καὶ ἀστρολογίαν
καὶ ἀριθμητικὴν ἀνεῦρον. Καὶ τὰ μὲν περὶ τῆς εὑρέσεως
ὧδε ἔχει.

Φιλοσοφίαν δὲ πρῶτος ὠνόμασε Πυθαγόρας καὶ ἑαυ- **12**
τὸν φιλόσοφον, ἐν Σικυῶνι διαλεγόμενος Λέοντι τῷ Σικυ-
ωνίων τυράννῳ ἢ Φλιασίων, καθά φησιν Ἡρακλείδης ὁ
Ποντικὸς ἐν τῇ Περὶ τῆς ἄπνου· μηδένα γὰρ εἶναι σοφὸν
[ἄνθρωπον] ἀλλ' ἢ θεόν. Θᾶττον δὲ ἐκαλεῖτο σοφία, καὶ
σοφὸς ὁ ταύτην ἐπαγγελλόμενος, ὃς εἴη ἂν κατ' ἀκρότητα
ψυχῆς ἀπηκριβωμένος, φιλόσοφος δὲ ὁ σοφίαν ἀσπαζό-
μενος. Οἱ δὲ σοφοὶ καὶ σοφισταὶ ἐκαλοῦντο· καὶ οὐ μόνον
⟨οὗτοι⟩, ἀλλὰ καὶ οἱ ποιηταὶ σοφισταί, καθὰ καὶ Κρατῖνος

1–2 *FGrHist* 264 F 1 **8–9** *FGrHist* 608 F 5 **15–19** θεόν : Heraclidis Fr. 87 Wehrli; Iambl. *V.P.* 58–59; DL 8.8; Cic. *Tusc.* 5.8; Diod. 10.10.1 Clem. *Strom.* 1.61.4; 4.9.1; Gu. Burkert, *Hermes* 88 (1960) 159–177 **23–p. 12.2** Cratini Fr. 2 (*PCG* IV); Clem. *Strom.* 1.24.1–2

2 τῶν **F** : om. **BP** **3** τὸ **F** **4** γενητὸν **FΦ** : γεννητὸν **BP** **7** μεταβαίνειν coni. Jacoby : μετεμβαίνειν codd. **10–11** ἑρμηνείαν ἤνεγκαν **B** **12** τε om. **P** | ἀστρολογίαν corr. ex ἀστρονομίαν **F**[1] **13** ἀνευρόντες **B** | περὶ **BP** : ἀπὸ **F** **18** ἐν τῇ περὶ τῆς ἄπνου **BP** : om. **F**[1], add. in mg **F**[2] **19** ἄνθρωπον secl. Cobet **23** οὗτοι add. Reiske

ἐν Ἀρχιλόχοις τοὺς περὶ Ὅμηρον καὶ Ἡσίοδον ἐπαινῶν οὕτως καλεῖ.

13 Σοφοὶ δὲ ἐνομίζοντο οἵδε· Θαλῆς, Σόλων, Περίανδρος, Κλεόβουλος, Χείλων, Βίας, Πιττακός. Τούτοις προσαριθμοῦσιν Ἀνάχαρσιν τὸν Σκύθην, Μύσωνα τὸν Χηνέα, Φερεκύδην τὸν Σύριον, Ἐπιμενίδην τὸν Κρῆτα· ἔνιοι δὲ καὶ Πεισίστρατον τὸν τύραννον. Καὶ οἵ⟨δε⟩ μὲν σοφοί.

Φιλοσοφίας δὲ δύο γεγόνασιν ἀρχαί, ἥ τε ἀπὸ Ἀναξιμάνδρου καὶ ἡ ἀπὸ Πυθαγόρου· τοῦ μὲν Θαλοῦ διακηκοότος, Πυθαγόρου δὲ Φερεκύδης καθηγήσατο. Καὶ ἐκαλεῖτο ἡ μὲν Ἰωνική, ὅτι Θαλῆς Ἴων ὤν, Μιλήσιος γάρ, καθηγήσατο Ἀναξιμάνδρου· ἡ δὲ Ἰταλικὴ ἀπὸ Πυθαγόρου, ὅτι τὰ πλεῖστα κατὰ τὴν Ἰταλίαν ἐφιλοσόφησε.

14 Καταλήγει δὲ ἡ μὲν εἰς Κλειτόμαχον καὶ Χρύσιππον καὶ Θεόφραστον [ἡ Ἰωνική]· ἡ δὲ Ἰταλικὴ εἰς Ἐπίκουρον. Θαλοῦ μὲν γὰρ Ἀναξίμανδρος, οὗ Ἀναξιμένης, οὗ Ἀναξαγόρας, οὗ Ἀρχέλαος, οὗ Σωκράτης ὁ τὴν ἠθικὴν εἰσαγωγών· οὗ οἵ τε ἄλλοι Σωκρατικοὶ καὶ Πλάτων ὁ τὴν ἀρχαίαν Ἀκαδημίαν συστησάμενος· οὗ Σπεύσιππος καὶ Ξενοκράτης, οὗ Πολέμων, οὗ Κράντωρ καὶ Κράτης, οὗ Ἀρκεσίλαος ὁ τὴν μέσην Ἀκαδημίαν εἰσηγησάμενος· οὗ Λακύδης ὁ τὴν νέαν Ἀκαδημίαν φιλοσοφήσας· οὗ Καρνεάδης, οὗ Κλειτόμαχος. Καὶ ὧδε μὲν εἰς Κλειτόμαχον.

15 Εἰς δὲ Χρύσιππον οὕτω καταλήγει· Σωκράτους Ἀντισθένης, οὗ Διογένης ὁ Κύων, οὗ Κράτης ὁ Θηβαῖος, οὗ Ζήνων ὁ Κιτιεύς, οὗ Κλεάνθης, οὗ Χρύσιππος. Εἰς δὲ Θεόφραστον οὕτως· Πλάτωνος Ἀριστοτέλης, οὗ Θεόφραστος. Καὶ ἡ μὲν Ἰωνικὴ τοῦτον καταλήγει τὸν τρόπον.

1 ἀρχιλόχοις **B** : ἀρχιλό^{χ} **P** : ἀρχιλόχῳ **F** **6** δὲ **F** : om. **BP** **7** καί[1] ss. **F**^{2} | οἵ⟨δε⟩ Reiske, Roeper^2, Richards : οἱ codd. **11** ἐκαλεῖτο ss. add. **F**^{2} **15** ἡ ἰωνική secl. Huebner **22** λακίδης **B** **26** κιτιεύς **B** : κιττιεύς **PFΦ** **27** οὕτως ss. **F**^{2}

Ἡ δὲ Ἰταλικὴ οὕτω· Φερεκύδους Πυθαγόρας, οὗ Τηλαύγης ὁ υἱός, οὗ Ξενοφάνης, οὗ Παρμενίδης, οὗ Ζήνων ὁ Ἐλεάτης, οὗ Λεύκιππος, οὗ Δημόκριτος, οὗ πολλοὶ μέν, ἐπ’ ὀνόματος δὲ Ναυσιφάνης [καὶ Ναυκύδης], οὗ Ἐπίκουρος.

16 Τῶν δὲ φιλοσόφων οἱ μὲν γεγόνασι δογματικοί, οἱ δ’ ἐφεκτικοί· δογματικοὶ μὲν ὅσοι περὶ τῶν πραγμάτων ἀποφαίνονται ὡς καταληπτῶν· ἐφεκτικοὶ δὲ ὅσοι ἐπέχουσι περὶ αὐτῶν ὡς ἀκαταλήπτων. Καὶ οἱ μὲν αὐτῶν κατέλιπον ὑπομνήματα, οἱ δ’ ὅλως οὐ συνέγραψαν, ὥσπερ κατά τινας Σωκράτης, Στίλπων, Φίλιππος, Μενέδημος, Πύρρων, Θεόδωρος, Καρνεάδης, Βρύσων· κατά τινας Πυθαγόρας, Ἀρίστων ὁ Χῖος, πλὴν ἐπιστολῶν ὀλίγων· οἱ δὲ ἀνὰ ἓν σύγγραμμα, ⟨ὡς⟩ Μέλισσος, Παρμενίδης, Ἀναξαγόρας· πολλὰ δὲ Ζήνων, πλείω Ξενοκράτης, πλείω Δημόκριτος, πλείω Ἀριστοτέλης, πλείω Ἐπίκουρος, πλείω Χρύσιππος.

17 Τῶν δὲ φιλοσόφων οἱ μὲν ἀπὸ πόλεων προσηγορεύθησαν, ὡς οἱ Ἠλειακοὶ καὶ Μεγαρικοὶ καὶ Ἐρετρικοὶ καὶ Κυρηναϊκοί· οἱ δὲ ἀπὸ τόπων, ὡς οἱ Ἀκαδημαϊκοὶ καὶ Στωϊκοί. Καὶ ἀπὸ συμπτωμάτων δέ, ὡς οἱ Περιπατητικοί, καὶ ἀπὸ σκωμμάτων, ὡς οἱ Κυνικοί· οἱ δὲ ἀπὸ διαθέσεων, ὡς οἱ Εὐδαιμονικοί· τινὲς ἀπὸ οἰήσεως, ὡς οἱ Φιλαλήθεις καὶ Ἐλεγκτικοὶ καὶ Ἀναλογητικοί· ἔνιοι δὲ ἀπὸ τῶν διδασκάλων, ὡς οἱ Σωκρατικοὶ καὶ Ἐπικούρειοι, καὶ τὰ

3–5 75 A 1 DK **11** Στίλπων : T 189 Doering **14–15** 59 A 37 DK **18–20** T 44A Doering; T 129 Mannebach

4 καὶ ναυκύδης **BP** : καὶ ναυκίδης **F** : καὶ λακύδης **Φ**, secl. Diels | οὗ scripsi : ὧν **BPFΦ** **11** κατά τινας corruptum Wachsmuth | φίλιππος : Ἀρίστιππος Nietzsche : Φίλων Roeper[4] : Φιλίσκος H. Schmidt (p. 24 n. 1) **13** ⟨Ἀρκεσίλαος⟩, Ἀρίστων Roeper[4] (coll. 4.32) **14** ὡς addidi (cf. v. 11) **15** Ξενοκράτης Ritschl (I, p. 185), Nietzsche : ξενοφάνης codd. **19** ἠλιακοὶ **B** **21** καὶ **F** : om. **BP** **24** ἐλεγκτικοὶ **F** : ἐκλεκτικοὶ **BPF** γρ.

ὅμοια· καὶ οἱ μὲν ἀπὸ τῆς περὶ φύσιν πραγματείας φυσικοί· οἱ δὲ ἀπὸ τῆς περὶ τὰ ἤθη σχολῆς ἠθικοί· διαλεκτικοὶ δὲ ὅσοι περὶ τὴν τῶν λόγων τερθρείαν καταγίνονται.

18 Μέρη δὲ φιλοσοφίας τρία, φυσικόν, ἠθικόν, διαλεκτικόν· φυσικὸν μὲν τὸ περὶ κόσμου καὶ τῶν ἐν αὐτῷ· ἠθικὸν δὲ τὸ περὶ βίου καὶ τῶν πρὸς ἡμᾶς· διαλεκτικὸν δὲ τὸ ἀμφοτέρων τοὺς λόγους πρεσβεῦον. Καὶ μέχρι μὲν Ἀρχελάου τὸ φυσικὸν ἦν εἶδος· ἀπὸ δὲ Σωκράτους, ὡς προείρηται, τὸ ἠθικόν· ἀπὸ δὲ Ζήνωνος τοῦ Ἐλεάτου τὸ διαλεκτικόν. Τοῦ δὲ ἠθικοῦ γεγόνασιν αἱρέσεις δέκα· Ἀκαδημαϊκή, Κυρηναϊκή, Ἠλειακή, Μεγαρική, Κυνική, Ἐρετρική, Διαλεκτική, Περιπατητική, Στωϊκή, Ἐπικούρειος.

19 Ἀκαδημαϊκῆς μὲν οὖν τῆς ἀρχαίας προέστη Πλάτων, τῆς μέσης Ἀρκεσίλαος, τῆς νέας Λακύδης· Κυρηναϊκῆς Ἀρίστιππος ὁ Κυρηναῖος, Ἠλειακῆς Φαίδων ὁ Ἠλεῖος, Μεγαρικῆς Εὐκλείδης Μεγαρεύς, Κυνικῆς Ἀντισθένης Ἀθηναῖος, Ἐρετρικῆς Μενέδημος Ἐρετριεύς, Διαλεκτικῆς Κλεινόμαχος ⟨Θούριος ἢ Διονύσιος⟩ Χαλκηδόνιος,

8–9 ὡς προείρηται : p. 12.17–18 **10–12** T 150 Mann. **11** et **17** T 35 Doering **15–16** T 127A Mann. **17–18** T 134A Decleva **19** Κλεινόμαχος : cf. 2.112; *Suda,* 829 Σωκράτης (= T 34 Doering); Schwartz (756 s.) | Διονύσιος : cf. 2.106; 2.98; Strab. 12.4.9 (566 C.)

1 τὴν φύσιν **F** **2** δὲ **FP^{4}CoH** : om. **BP^1** | ἤθη **FP^{4}CoH** : οἰκεῖα **BP^1** | ἠθικοί **BFP^{4}CoH** : οἱ ἴκοί **P^{1}Q** : ἢ οἴκοι **P^2** γρ. **W** **3** καταγίνονται **F** (cum signo correctionis in mg) : κατατρ(ε)ίβονται **BP** **5** τὸ **PF** : ὁ **B** **6** τὸ **PF** : τὸν **B** **8** ἦν εἶδος **F** : εἶδος ἦν **BP** **11** ἠλιακή **B** **12** διαλεκτική, περιπατητική, στωική in mg super. **B^1** **14** οὖν **FP^{4}H** : om. **BP^{1}WCo** **16** ἠλιακῆς **B** | ὁ^2 om. **B** **19** Κλεινόμαχος Nietzsche et Roeper^4 : κλειτόμαχος **BPFΦ** et χαλκηδόνιος **H** : καρχηδόνιος **BPFΦ** | Κλεινόμαχος ⟨Θούριος ἢ Διονύσιος⟩ Χαλκηδόνιος Roeper^4 post Rossium (2, pp. 7–9) et Nietzsche

Περιπατητικῆς Ἀριστοτέλης Σταγειρίτης, Στωϊκῆς Ζήνων Κιτιεύς· ἡ δὲ Ἐπικούρειος ἀπ' αὐτοῦ κέκληται Ἐπικούρου.

Ἱππόβοτος δ' ἐν τῷ Περὶ αἱρέσεων ἐννέα φησὶν
αἱρέσεις καὶ ἀγωγὰς εἶναι· πρώτην Μεγαρικήν, δευτέραν
Ἐρετρικήν, τρίτην Κυρηναϊκήν, τετάρτην Ἐπικούρειον,
πέμπτην Ἀννικέρειον, ἕκτην Θεοδώρειον, ἑβδόμην
Ζηνώνειον τὴν καὶ Στωϊκήν, ὀγδόην Ἀκαδημαϊκὴν τὴν
ἀρχαίαν, ἐνάτην Περιπατητικήν· οὔτε δὲ Κυνικήν, οὔτε **20**
Ἠλειακήν, οὔτε Διαλεκτικήν. Τὴν μὲν γὰρ Πυρρώνειον
οὐδ' οἱ πλείους προσποιοῦνται διὰ τὴν ἀσάφειαν· ἔνιοι
δὲ κατά τι μὲν αἵρεσιν εἶναί φασιν αὐτήν, κατά τι δὲ οὔ.
Δοκεῖ μέν γε αἵρεσις εἶναι· αἵρεσιν δὴ λέγομεν, φασί, τὴν
λόγῳ τινὶ κατὰ τὸ φαινόμενον ἀκολουθοῦσαν ἢ δοκοῦσαν
ἀκολουθεῖν ⟨ἀγωγήν⟩· καθ' ὃ εὐλόγως ἂν αἵρεσιν τὴν
Σκεπτικὴν καλοῖμεν. Εἰ δὲ αἵρεσιν νοοῖμεν πρόσκλισιν
δόγμασιν ἀκολουθίαν ἔχουσιν, οὐκέτ' ἂν προσαγορεύοιτο αἵρεσις· οὐ γὰρ ἔχει δόγματα. Αἵδε μὲν ἀρχαὶ καὶ
διαδοχαὶ καὶ τοσαῦτα μέρη καὶ τόσαι φιλοσοφίας
αἱρέσεις.

Ἔτι δὲ πρὸ ὀλίγου καὶ ἐκλεκτική τις αἵρεσις εἰσήχθη **21**
ὑπὸ Ποτάμωνος τοῦ Ἀλεξανδρέως, ἐκλεξαμένου τὰ ἀρέσαντα ἐξ ἑκάστης τῶν αἱρέσεων. Ἀρέσκει δ' αὐτῷ, καθά

4–10 Διαλεκτικήν : Hippoboti Fr. 1 Gigante **4–5** T 41 Doering **6** T 134 Mann. **13** Δοκεῖ – **18** αἵρεσις : S.E. *P.H.* 1.16–17

2 κιτιεύς **B** : κιττιεύς **PFΦ** **8** καὶ ss. **F**^{1} **10** ἠλιακήν **B** **13** μέν γε scripsi : μὲν γὰρ **BPFV** : δὲ Cobet | δὴ scripsi : δὲ **BPFV** : μὲν γὰρ **D** *Frob.*, Cobet | φασί **BPFV** : om. **D** *Frob.*, Cobet **14** τὸ **PF** : τὸν **B** **15** ἀγωγήν supplevi e S.E. | καθ' ὃ **FVP**^{3}**WCo** : om. **BP**^{1}**Q** **16** πρόσκλησιν **FV** **17** δόγμασιν **B** et S.E. (δόγμασι πολλοῖς) : νοήμασιν **P**^{1}**QWF**^{2} γρ. : ἐν δόγμασιν **F**^{1}**VDP**^{4}**Co** γρ. **H** et *Suda* **22** ἀρέσαντα **BPVD** et *Suda* : ἀρέσκοντα **F** **23** ἐξ om. **B**

φησιν ἐν τῇ στοιχειώσει, κριτήρια τῆς ἀληθείας εἶναι τὸ μὲν ὡς ὑφ' οὗ γίνεται ἡ κρίσις, τουτέστι τὸ ἡγεμονικόν· τὸ δὲ ὡς δι' οὗ, οἷον τὴν ἀκριβεστάτην φαντασίαν. Ἀρχάς τε τῶν ὅλων τήν τε ὕλην καὶ τὸ ποιοῦν, ποιότητά τε καὶ τόπον· ἐξ οὗ γὰρ καὶ ὑφ' οὗ καὶ ποίω⟨ς⟩ καὶ ἐν ᾧ. Τέλος δὲ εἶναι ἐφ' ὃ πάντα ἀναφέρεται, ζωὴν κατὰ πᾶσαν ἀρετὴν τελείαν, οὐκ ἄνευ τῶν τοῦ σώματος κατὰ φύσιν καὶ τῶν ἐκτός.

Λεκτέον δὲ ⟨ἤδη⟩ περὶ αὐτῶν τῶν ἀνδρῶν, καὶ πρῶτόν γε περὶ Θαλοῦ.

ΘΑΛΗΣ

22 Ἦν τοίνυν ὁ Θαλῆς, ὡς μὲν Ἡρόδοτος καὶ Δοῦρις καὶ Δημόκριτός φασι, πατρὸς μὲν Ἐξαμύου, μητρὸς δὲ Κλεοβουλίνης, ἐκ τῶν Θηλιδῶν, οἵ εἰσι Φοίνικες, εὐγενέστατοι τῶν ἀπὸ Κάδμου καὶ Ἀγήνορος. (⟨Ἦν δὲ τῶν ἑπτὰ σοφῶν,⟩ καθὰ καὶ Πλάτων φησί· καὶ πρῶτος σοφὸς ὠνομάσθη ἄρχοντος Ἀθήνησι Δαμασίου, καθ' ὃν καὶ οἱ ἑπτὰ σοφοὶ ἐκλήθησαν, ὥς φησι Δημήτριος ὁ Φαληρεὺς ἐν τῇ τῶν Ἀρχόντων ἀναγραφῇ). Ἐπολιτογραφήθη δὲ ἐν Μιλήτῳ, ὅτε ἦλθε σὺν Νείλεῳ ἐκπεσόντι Φοινίκης· ὡς δ' οἱ

12–p. 28.11 Χίλωνα : 11 A 1 DK **12** Herod. 1.170.3 | Δοῦρις : *FGrHist* 76 F 74 **13** Δημόκριτος : 68 B 115a DK **15–16** Plat. *Prot.* 343 a 2 **17** Δαμασίου : i.e. annis 582–580; cf. Aristot. *Athen. pol.* 13.2 **18–19** *FGrHist* 228 F 1; Demetrii Fr. 149 Wehrli

4 ποιοῦν **B** et *Suda* : ποιόν **PFV** | ποιότητα Menagius : ποίησίν **BPF** et *Suda* **5** ποίω⟨ς⟩ Reiske, Roeper^4 : ποίῳ **B** et *Suda* : ποιῶι **P**^{1} ut vid. : ποῦ **FP**^{2}**QVD** **6** ὃ **PV** : ᾧ **BF** et *Suda* **7** τῶν^1 add. **F**^{2} **9** ἤδη add. Reiske **11** *tit.* **P** : om. **B** (spatio relicto), **FV** **13** ἐξαμύου **BPF**^{1} : ἐξαμυούλου **F**^{2} **14** Θηλιδῶν : Νηλειδῶν Bywater, Tannery (cf. v. 20) **15–16** Ἦν δὲ τῶν ἑπτὰ σοφῶν e.g. suppl. Diels **20** νειλαίῳ **P** : νειλιαίῳ **B** : νηλίῳ **F**

πλείους φασίν, ἰθαγενὴς Μιλήσιος ἦν καὶ γένους λαμπροῦ.

Μετὰ δὲ τὰ πολιτικὰ τῆς φυσικῆς ἐγένετο θεωρίας. Καὶ 23
κατά τινας μὲν σύγγραμμα κατέλιπεν οὐδέν· ἡ γὰρ εἰς αὐτὸν ἀναφερομένη Ναυτικὴ ἀστρολογία Φώκου λέγεται εἶναι τοῦ Σαμίου. Καλλίμαχος δ' αὐτὸν οἶδεν εὑρετὴν τῆς ἄρκτου τῆς μικρᾶς, λέγων ἐν τοῖς Ἰάμβοις οὕτως·

καὶ τῆς Ἀμάξης ἐλέγετο σταθμήσασθαι
τοὺς ἀστερίσκους, ᾗ πλέουσι Φοίνικες.

Κατά τινας δὲ μόνα δύο συνέγραψε, Περὶ τροπῆς καὶ Ἰσημερίας, τὰ ἄλλ' ἀκατάληπτα εἶναι δοκιμάσας. Δοκεῖ δὲ κατά τινας πρῶτος ἀστρολογῆσαι καὶ ἡλιακὰς ἐκλείψεις καὶ τροπὰς προειπεῖν, ὥς φησιν Εὔδημος ἐν τῇ Περὶ τῶν ἀστρολογουμένων ἱστορίᾳ· ὅθεν αὐτὸν καὶ Ξενοφάνης καὶ Ἡρόδοτος θαυμάζει. Μαρτυρεῖ δ' αὐτῷ καὶ Ἡράκλειτος καὶ Δημόκριτος.

Ἔνιοι δὲ καὶ αὐτὸν πρῶτον εἰπεῖν φασιν ἀθανάτους 24
τὰς ψυχάς· ὧν ἐστι Χοιρίλος ὁ ποιητής. Πρῶτος δὲ καὶ τὴν ἀπὸ τροπῆς ἐπὶ τροπὴν πάροδον ⟨τοῦ ἡλίου⟩ εὗρε, καὶ

4–6 Phoci T 1 Bernabé; 11 B 1 DK **8–9** Callim. Fr. 191.54–55 Pf.; 11 A 3a DK **11** Δοκεῖ – **14** ἱστορίᾳ : Eudemi Fr. 144 Wehrli **15** Ξενοφάνης : 21 B 19 DK | Herod. 1.74.2 **15–16** Ἡράκλειτος : 22 B 38 DK **16** Δημόκριτος : 68 B 115a DK **18** Choerili Fr. 12 Bernabé; *Suppl. Hell.* 331 **19** cf. 11 A 17 DK

3 ἐγεύετο Stephanus^2 (in *Praef.*) **4** συγγράμματα **F**^{1}, corr. **F**^{2} **6** οἶδεν ss. **F**^{2} **8–9** τοὺς ἀστερίσκους σταθμήσασθαι **F** **10** μόνας **B**^{1}, corr. **B**^{2} | ἔγραψε **B**^{1}, συν- ss. **B**^{2} **11** ἄλλα καταληπτὰ **BPF**, corr. Scaliger et Casaubon **13** προειπεῖν **B**^{2}**PF** : προεῖπεν **B**^{1} **15** αὐτῶ **BF** : αὐτὸ **P** **17** καὶ om. **F** **19** πάροδον : περίοδον 11 A 17 DK | τοῦ ἡλίου addidi

πρῶτος τὸ τοῦ ἡλίου μέγεθος ⟨τοῦ ἡλιακοῦ κύκλου καὶ τὸ τῆς σελήνης μέγεθος⟩ τοῦ σεληναίου ἑπτακοσιοστὸν καὶ εἰκοστὸν μέρος ἀπεφήνατο κατά τινας. Πρῶτος δὲ καὶ τὴν ὑστάτην τοῦ μηνὸς τριακάδα εἶπε. Πρῶτος δὲ καὶ περὶ φύσεως διελέχθη, ὥς τινες.

Ἀριστοτέλης δὲ καὶ Ἱππίας φασὶν αὐτὸν καὶ τοῖς ἀψύχοις μεταδιδόναι ψυχάς, τεκμαιρόμενον ἐκ τῆς λίθου τῆς μαγνήτιδος καὶ τοῦ ἠλέκτρου. Παρά τε Αἰγυπτίων γεωμετρεῖν μαθόντα φησὶ Παμφίλη πρῶτον καταγράψαι
25 κύκλου τὸ τρίγωνον ὀρθογώνιον, καὶ θῦσαι βοῦν. (Οἱ δὲ Πυθαγόραν φασίν, ὧν ἐστιν Ἀπολλόδωρος ὁ λογιστικός. Οὗτος ⟨γὰρ⟩ προήγαγεν ἐπὶ πλεῖστον ἅ φησι Καλλίμαχος ἐν τοῖς Ἰάμβοις Εὔφορβον εὑρεῖν τὸν Φρύγα, οἷον "σκαληνὰ καὶ τρίγωνα" καὶ ὅσα γραμμικῆς ἔχεται θεωρίας.)

Δοκεῖ δὲ καὶ ἐν τοῖς πολιτικοῖς ἄριστα βεβουλεῦσθαι. Κροίσου γοῦν πέμψαντος πρὸς Μιλησίους ἐπὶ συμμαχίᾳ ἐκώλυσεν· ὅπερ Κύρου κρατήσαντος ἔσωσε τὴν πόλιν.

1–3 cf. Cleomed. *Meteora* 2.1 (p. 50.185 Todd) ...ἂν ᾖ πεδιαῖος ὁ ἥλιος, δεήσει τὸν μέγιστον τοῦ οὐρανοῦ κύκλον ψν´ ποδῶν εἶναι; Apul. *Flor.* 18 (= 11 A 19 DK) **6–8** cf. Aristot. *De anima* A 2, 405 a 19–21; *Schol.* in Plat. *Remp.* 600 a (= 11 A 3 DK) **6** Ἱππίας : 86 B 7 DK **9** Παμφίλη : *FHG* Fr. 1 (III, p. 520) **11** Πυθαγόραν : cf. 8.12; Diod. 10.6.4 **12–14** Callim. Fr. 191.59–60 Pf.

1–2 τοῦ ἡλιακοῦ κύκλου καὶ τὸ τῆς σελήνης μέγεθος suppl. Diels : τοῦ τοῦ ἡλίου μεγέθους τὸ τοῦ σεληναίου Cobet **4** ὑστάτην scripsi : ὑστ⟨άτην ἡμ⟩έραν Scaliger, agn. Cobet, Diels : ὑστέραν **BPFΦ** **5** διηλέχθη **F** **7** μεταδιδόναι **B** (-ῶ-) **P¹Φ** : διδόναι **FP⁴** | ψυχάς : ψυχῆς Diels **9** γεωμετρεῖν **BP** : γεωμετρίαν (post παμφίλη) **F** **10** κύκλου : ⟨ἡμι⟩κυκλίου post Meibom. coni. Diels **12** οὗτος (i.e. Pythagoras) **FP²** : αὐτὸς **BP¹** | γὰρ addidi | προσήγαγεν **B¹** (corr. **B²**) | πλεῖον Emperius | ἃ om. **B** **14** γραμματικῆς **B** **16** γὰρ οὖν **B** | πρὸς μιλησίους post ἐπὶ συμμαχία **F**

Κλύτος δέ φησιν, ὡς Ἡρακλείδης ἱστορεῖ, μονήρη αὐτὸν
γεγονέναι καὶ ἰδιαστήν. Ἔνιοι δὲ καὶ γῆμαι αὐτὸν καὶ 26
Κύβισθον υἱὸν σχεῖν· οἱ δὲ ἄγαμον μεῖναι, τῆς δὲ
ἀδελφῆς τὸν υἱὸν θέσθαι. Ὅτε καὶ ἐρωτηθέντα διὰ τί οὐ
τεκνοποιεῖ, "Διὰ φιλοτεκνίαν" εἰπεῖν. Καὶ λέγουσιν ὅτι
τῆς μητρὸς ἀναγκαζούσης αὐτὸν γῆμαι ἔλεγεν "Οὐδέπω
καιρός·" εἶτα, ἐπειδὴ παρήβησεν ἐγκειμένης, εἰπεῖν
"Οὐκέτι καιρός." Φησὶ δὲ καὶ Ἱερώνυμος ὁ Ῥόδιος ἐν τῷ
δευτέρῳ Τῶν σποράδην ὑπομνημάτων ὅτι βουλόμενος
δεῖξαι ῥᾴδιον εἶναι ⟨τοῖς σοφοῖς⟩ πλουτεῖν, φορᾶς ἐλαιῶν
μελλούσης ἔσεσθαι, προνοήσας ἐμισθώσατο τὰ ἐλαιουργεῖα καὶ πάμπλειστα συνεῖλε χρήματα.

Ἀρχὴν δὲ τῶν πάντων ὕδωρ ὑπεστήσατο, καὶ τὸν 27
κόσμον ἔμψυχον καὶ δαιμόνων πλήρη. Τάς τε ὥρας τοῦ
ἐνιαυτοῦ φασιν αὐτὸν εὑρεῖν καὶ εἰς τριακοσίας ἑξήκοντα πέντε ἡμέρας διελεῖν.

1 Κλύτος : Clyti Fr. 3 (*FHG*, II, p. 333). Cf. Athen. 12, 540 C; 14, 655 B | Heraclid. Fr. 45 Wehrli **3** Κύβισθον : cf. Plut. *Sol.* 7.2 **4–5** *Gnom. Vat.* 509 **6–8** καιρός : *Gnom. Vat.* 318. Cf. DL 6.54 **8–12** Hieron. Fr. 39 Wehrli. Cf. Aristot. *Pol.* A 11, 1259 a 6–19 (= 11 A 10 DK)

1 Κλύτος Menagius, agn. Cobet : καὶ αὐτὸς **BPF** : Πάταικος Volkmann (1895) coni. Plut. *Sol.* 6.3 | αὐτὸν : αὑτὸν Diels (servatis v. 1 καὶ αὐτὸς) **2** ἰδιαστήν **BP** : ἡσυχαστὴν **F** | δὲ **FP**^{3} : om. **BP**^{1} | καί^2 om. **F** **3** Κύβισθον Diels ex Plut. : κίβισθον **B** : κίδισθον **P**^{1}**Q** : κίβισσον **F** | σχεῖν Scaliger : ἔχειν **BPF** **4** ὅτε : ὅθεν coni. Sternbach **6** αὐτὸν ἀναγκαζούσης **F** **8** ἱερώνυμος καὶ **BP**, transp. Cobet : ἱερώνυμος **F** **10** ῥᾴδιον C. Fr. Hermann ex Aristot. : ῥᾷον **BPFΦ** | τοῖς σοφοῖς supplevi coni. Aristot. : πλουτεῖν ⟨φιλοσόφοις⟩ Volkmann (1895) ex Aristot. (ὅτι ῥᾴδιόν ἐστι πλουτεῖν τοῖς φιλοσόφοις) | ἐλαιῶν **F** : om. **BPΦ** **12** συνεῖλε **BPF** : συνῆξε **Φ** : συνέλεξε Cobet (συλλέξαντα Aristot.) : συνῆγε vel συνήγαγε Richards

Οὐδεὶς δὲ αὐτοῦ καθηγήσατο, πλὴν ὅτι εἰς Αἴγυπτον ἐλθὼν τοῖς ἱερεῦσι συνδιέτριψεν. Ὁ δὲ Ἱερώνυμος καὶ ἐκμετρῆσαί φησιν αὐτὸν τὰς πυραμίδας ἐκ τῆς σκιᾶς, παρατηρήσαντα ὅτε ἡμῖν ἰσομεγέθης ἐστί. Συνεβίω δὲ καὶ Θρασυβούλῳ τῷ Μιλησίων τυράννῳ, καθά φησι Μινύης.

Τὰ δὲ περὶ τὸν τρίποδα ⟨οὐ⟩ φανερά, τὸν εὑρεθέντα
ὑπὸ τῶν ἁλιέων καὶ διαπεμφθέντα τοῖς σοφοῖς ὑπὸ τοῦ
28 δήμου τῶν Μιλησίων. Φασὶ γὰρ Ἰωνικούς τινας νεανίσ-
κους βόλον ἀγοράσαι παρὰ Μιλησίων ἁλιέων. Ἀνα-
σπασθέντος δὲ τοῦ τρίποδος ἀμφισβήτησις ἦν, ἕως οἱ Μι-
λήσιοι ἔπεμψαν εἰς Δελφούς· καὶ ὁ θεὸς ἔχρησεν οὕτως·

Ἔκγονε Μιλήτου, τρίποδος πέρι Φοῖβον ἐρωτᾷς;
Τίς σοφίῃ πάντων πρῶτος, τούτου τρίποδ' αὐδῶ.

Διδοῦσιν οὖν Θαλῇ· ὁ δὲ ἄλλῳ ⟨σοφῷ⟩ καὶ ἄλλος ἄλλῳ ἕως Σόλωνος· ὁ δὲ ἔφη σοφίᾳ πρῶτον εἶναι τὸν θεόν, καὶ ἀπέστειλεν εἰς Δελφούς. Ταῦτα δὴ ὁ Καλλίμαχος ἐν τοῖς Ἰάμβοις ἄλλως ἱστορεῖ, παρὰ Λεανδρίου λαβὼν τοῦ Μιλησίου. Βαθυκλέα γάρ τινα Ἀρκάδα φιάλην καταλιπεῖν

2–4 Hieronymi Fr. 40 Wehrli **3–4** cf. 11 A 21 DK **5** Μινύης : non constat (corruptum C. Mueller, II, p. 335) **6–p. 21.11** Leandrii F 18 (*FGrHist.* 492) **12–13** *Anth. Pal., App.* 6.51 Cougny. Etiam ap. Diod. 9.3.2; Valer. Max. 4.1 ext. 7; *Schol.* in Aristoph. *Plut.* 9 **16–p. 21.6** Callim. Fr. 191.32 et 76–77 et *Dieg.* 6.6–19 (p. 163 Pf.)

1 δὲ **P^{1}QF** : τε **B** | ὅτι **F** : ὅτ' **BP** **3** αὐτὸν φησὶ **F** **4** ἰσομεγέθης ἐστί Menagius, agn. Diels : ἰσομεγέθεις εἰσί(ν) **BPF** | συνεβίου **B** **6** δὲ ss. **F^2** | οὐ add. Richards **9** ἁλιέων in mg **B** **11** ἔχρησεν **BPF** γρ. : ἔφησεν **F^1** **13** σοφίῃ **FP^4** et *Schol.* : σοφία **BP^{1}Q** et Diod., Valer. | πάντων om. **F** **14** διδοῦσιν **BPF** γρ. : δηλοῦσιν **F^1** | σοφῷ addidi (cf. Callim. *Dieg.*) **16** δὴ ὁ **BP** : δὲ **F** **17** ἰαμβίοις **F** | λεανδρίου **PF** : δὲ ἀνδρίου **B** : Μαιανδρίου C. Keil (*Vindic. onomast.*, 1843, p. 9 ss.), agn. Diels

καὶ ἐπισκῆψαι "δοῦναι τῶν σοφῶν τῷ ὀνηΐστῳ". Ἐδόθη
δὴ Θαλῇ καὶ κατὰ περίοδον πάλιν Θαλῇ· ὁ δὲ τῷ Διδυμεῖ **29**
Ἀπόλλωνι ἀπέστειλεν, εἰπὼν οὕτω κατὰ τὸν Καλλίμαχον·

Θαλῆς με τῷ μεδεῦντι Νείλεω δήμου
δίδωσι, τοῦτο δὶς λαβὼν ἀριστεῖον.

Τὸ δὲ πεζὸν οὕτως ἔχει· "Θαλῆς Ἐξαμύου Μιλήσιος Ἀπόλλωνι Δελφινίῳ Ἑλλήνων ἀριστεῖον δὶς λαβών." Ὁ δὲ περιενεγκὼν τὴν φιάλην τοῦ Βαθυκλέους παῖς Θυρίων ἐκαλεῖτο, καθά φησιν Ἔλευσις ἐν τῷ Περὶ Ἀχιλλέως καὶ Ἀλέξων ὁ Μύνδιος ἐν ἐνάτῳ Μυθικῶν.

Εὔδοξος δ' ὁ Κνίδιος καὶ Εὐάνθης ὁ Μιλήσιός φασι τῶν Κροίσου τινὰ φίλων λαβεῖν παρὰ τοῦ βασιλέως ποτήριον χρυσοῦν, ὅπως δῷ τῷ σοφωτάτῳ τῶν Ἑλλήνων·
| τὸν δὲ δοῦναι Θαλῇ. Καὶ περιελθεῖν εἰς Χίλωνα· ὃν **30**
πυνθάνεσθαι τοῦ Πυθίου τίς αὐτοῦ σοφώτερος· καὶ τὸν ἀνειπεῖν Μύσωνα, περὶ οὗ λέξομεν. (Τοῦτον οἱ περὶ τὸν Εὔδοξον ἀντὶ Κλεοβούλου τιθέασι, Πλάτων δ' ἀντὶ Περιάνδρου). Περὶ αὐτοῦ δὴ τάδε ἀνεῖπεν ὁ Πύθιος·

10 Ἔλευσις : *FGrHist* 55 F 1 **11** Ἀλέξων : i.e. Ἀλέξανδρος : *FGrHist* 25 F 1 **12–18** Περιάνδρου : Eudoxi Fr. 371 Lasserre **12** Εὐάνθης : cf. C. Mueller (*FHG* III, p. 2 n.) **17** λέξομεν : 1.106–108 **18–19** Plat. *Prot.* 343 a 4

1 τῷ **FP[2]Q** : om. **BP[1]** | ὀνηΐστω **BP[1]** (?) : πρωτίστω **FP[2]Q** : ἀρίστω *Dieg.* 6.21 | ante ἐδόθη lac. indicavit Jacoby (vix recte) **2** δὴ **BP** : δὲ ss. **F[2]** | Διδυμεῖ Diels (DL 1.32 et *Dieg.* 6.18) : δίδυμι **B** : διδυμαίω **P[1]QF**, Jacoby : διν-δυμαίω **P[5]** **5** νειλέω **BPF[1]** : νειλαίω **F[2]** **6** τοῦτο : τωὐτὸ Roeper[4], Richards | ἀριστῆον Pfeiffer **9** περιενεγκὼν **BP** : περι·αγαγὼν **F[2]** (fuit λ ut vid.) | παιδὸς **F** **10** Ἀχιλλείου coni. Roeper[2] **16** τοῦ πυθίου ss. **F[2]** **17** ἀνειπεῖν : ἀνελεῖν Richards | τὸν om. **F** **18** ἔνδοξον **B** **19** δὴ ss. **F[2]** | ἀνεῖπεν : ἀνεῖλεν Casaubon (ad 1.106), Richards

Οἰταῖόν τινα φημὶ Μύσων' ἐν Χηνὶ γενέσθαι
σοῦ μᾶλλον πραπίδεσσιν ἀρηρότα πευκαλίμῃσιν.

Ὁ δ' ἐρωτήσας ἦν Ἀνάχαρσις. Δαΐμαχος δ' ὁ Πλαταιϊκὸς καὶ Κλέαρχος φιάλην ἀποσταλῆναι ὑπὸ Κροίσου Πιττακῷ καὶ οὕτω περιενεχθῆναι.

Ἄνδρων δ' ἐν τῷ Τρίποδι Ἀργείους ἆθλον ἀρετῆς τῷ σοφωτάτῳ τῶν Ἑλλήνων τρίποδα θεῖναι· κριθῆναι δὲ Ἀριστόδημον Σπαρτιάτην, ὃν παραχωρῆσαι Χίλωνι.
31 Μέμνηται τοῦ Ἀριστοδήμου καὶ Ἀλκαῖος οὕτως·

ὤς γὰρ δή ποτ' Ἀριστόδαμόν φασ' οὐκ ἀπάλαμνον ἐν Σπάρτᾳ λόγον
εἰπεῖν· χρήματ' ἄνηρ, πενιχρὸς δ' οὐδεὶς πέλετ' ἐσλός.

Ἔνιοι δέ φασιν ὑπὸ Περιάνδρου Θρασυβούλῳ τῷ Μιλησίων τυράννῳ πλοῖον ἔμφορτον ἀποσταλῆναι· τοῦ δὲ περὶ τὴν Κῴαν θάλασσαν ναυαγήσαντος, ὕστερον εὑρεθῆναι πρός τινων ἁλιέων τὸν τρίποδα. Φανόδικος δὲ περὶ τὴν Ἀθηναίων θάλασσαν εὑρεθῆναι καὶ ἀνενεχθέντα εἰς ἄστυ γενομένης ἐκκλησίας Βίαντι πεμφθῆναι· διὰ τί δέ, ἐν τῷ περὶ Βίαντος λέξομεν.

1–2 *Anth. Pal.*, *App.* 6.40 Cougny; Diod. 9.6; DL 1.106 **3** *FGrHist* 65 F 6 **4** Clearchi Fr. 70 Wehrli **6** Andron. Ephes. Fr. 1 (*FHG* II, p. 347) **10–12** Alcaei Fr. 360 Lobel-Page (*Poet. Lesb. Frr.*). Cf. *Schol.* in Pind. *Isthm.* 2.17 **16–18** Φανόδικος : *FGrHist* 397 F 4a **19** λέξομεν : cf. 1.82

1 μύσων' **P**^{5} : μύσωνα **BP**^{1}**F** | ἐν **BP** : ἐνὶ **F** **3** δ'^{1} **B**^{1}**P** : δὲ **PB**^{2} | Δαΐμαχος Casaubon : δαίδαχος **BPF**^{1} : δαίδαλος **F**^{2} | Πλαταιϊκὸς Casaubon : πλατωνικὸς **BPF** **4** κλέαρχος corr. ex κλέταρχος **B** **6** δ' ss. **B**^{2} **8** ἀριστόδημον corr. ex ἀριστοτέλη(ν) **B**^{2}**P**^{2} | χείλωνι **B** **10** ὤς **P** et *Schol.* : ὡς **BF** | ἀριστόδημον **F** | φασ' Diels : φασὶν **BF** et *Schol.* : ὃν φασὶν **P**^{1} (ὃν expunxit **P**^{5}) : φαῖσ' Schneidewin, L.-P. **12** εἰπεῖν **BPF** et *Schol.* : εἴπην L.-P. | ἐσλός **B**^{1}**P**^{1} et *Schol.* : ἐσθλός **B**^{2}**F** | post ἐσλός addit *Schol.* οὐδὲ τίμιος, textui inseruit Huebner **19** λέξωμεν **B**

Ἄλλοι φασὶν ἡφαιστότευκτον εἶναι αὐτὸν καὶ δοθῆναι πρὸς τοῦ θεοῦ Πέλοπι γαμοῦντι· αὖθίς τε εἰς Μενέλαον ἐλθεῖν καὶ σὺν τῇ Ἑλένῃ ἁρπασθέντα ὑπ' Ἀλεξάνδρου ῥιφῆναι εἰς τὴν Κῴαν θάλασσαν πρὸς τῆς Λακαίνης, εἰπούσης ὅτι περιμάχητος ἔσται. Χρόνῳ δὲ Λεβεδίων τινῶν αὐτόθι γρῖφον ὠνησαμένων καταληφθῆναι καὶ τὸν τρίποδα, μαχομένων δὲ πρὸς τοὺς ἁλιέας ⟨περὶ τοῦ τίνος ἂν⟩ γενέσθαι, τὴν ἄνοδον ἕως τῆς Κῶ ⟨ποιῆσαι⟩· καὶ ὡς οὐδὲν ἤνυτον, τοῖς Μιλησίοις μητροπόλει οὔσῃ μηνύουσιν. Οἱ δ' ἐπειδὴ διαπρεσβευόμενοι ἠλογοῦντο, πρὸς τοὺς Κῴους πολεμοῦσι. Καὶ πολλῶν ἑκατέρωθεν πιπτόντων ἐκπίπτει χρησμὸς δοῦναι τῷ σοφωτάτῳ· καὶ ἀμφότεροι συνῄνεσαν Θαλῇ. Ὁ δὲ μετὰ τὴν περίοδον τῷ Διδυμεῖ τίθησιν Ἀπόλλωνι. Κῴοις μὲν 33 οὖν τοῦτον ἐχρήσθη τὸν τρόπον· 32

Οὐ πρότερον λήξει νεῖκος Μερόπων καὶ Ἰώνων,
πρὶν τρίποδα χρύσειον, ὃν Ἥφαιστος βάλε πόντῳ,
ἐκ πόλιος πέμψητε καὶ ἐς δόμον ἀνδρὸς ἵκηται,
ὃς σοφίᾳ τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα
⟨ᾔδει⟩.

Μιλησίοις δέ·

Ἔκγονε Μιλήτου, τρίποδος πέρι Φοῖβον ἐρωτᾷς;

16–20 cf. Diod. 9.3.2 **22** cf. 1.28

6 αὐτόθι ss. **F**^{2} | γρῖφον **P**^{1}**Q**(**W**) : γρῖπον **P**^{4}**H** : γρεῖφον **B** : γρύπων **F** | ἐωνησαμένων **BF** **7** καὶ add. **F**^{2} | δὲ **FB**^{1} : δὴ **PB**^{2} | ἁλιεῖς **F** **8** περὶ τοῦ τίνος ἂν supplevi **9** ποιῆσαι addidi | ἤνυτον **BP**^{5} : ἤνυττον **P**^{1}**Q** : ἤνυον **F** **10** οὔσῃ **BF** : οὖσι **P** **13** Θαλην **BF**^{1} **14** διδυμει **BP**^{1}**Q** : διδυμαίῳ **FP**^{3}**W** : δινδυμαίῳ **P**^{5} | ἀνατίθησιν **F** **16** οὐ **BF** : μὴ **P** | λήξειν **P**^{2}**Q** **18** πέμψηται **B** **19** σοφία **BP**^{1}(?) et Diod. (ὃς σοφίᾳ τά τ' ἐόντα τά τ' ἐσσόμενα προδέδορκεν) : δεδάηκε **FP**^{2}**Q** (δεδαύκε) : σοφὸς ᾖ Diels **20** ᾔδει addidi (coll. *Iliad.* 1.70) **22** ἐρωτᾷς om. **B**

καὶ ὡς προείρηται. Καὶ τόδε μὲν οὕτως.

Ἕρμιππος δ' ἐν τοῖς Βίοις εἰς τοῦτον ἀναφέρει τὸ λεγόμενον ὑπό τινων περὶ Σωκράτους. Ἔφασκε γάρ, φασί, τριῶν τούτων ἕνεκα χάριν ἔχειν τῇ Τύχῃ· πρῶτον μὲν ὅτι ἄνθρωπος ἐγενόμην καὶ οὐ θηρίον, εἶτα ὅτι ἀνὴρ καὶ οὐ
34 γυνή, τρίτον ὅτι Ἕλλην καὶ οὐ βάρβαρος. Λέγεται δ' ἀγόμενος ὑπὸ γραὸς ἐκ τῆς οἰκίας, ἵνα τὰ ἄστρα κατανοήσῃ, εἰς βόθρον ἐμπεσεῖν καὶ αὐτῷ ἀνοιμώξαντι φάναι τὴν γραῦν· "Σὺ γάρ, ὦ Θαλῆ, τὰ ἐν ποσὶν οὐ δυνάμενος ἰδεῖν τὰ ἐπὶ τοῦ οὐρανοῦ οἴει γνώσεσθαι;" Οἶδε δ' αὐτὸν ἀστρονομούμενον καὶ Τίμων, καὶ ἐν τοῖς Σίλλοις ἐπαινεῖ αὐτὸν λέγων·

οἷόν θ' ἑπτὰ Θάλητα σοφῶν σοφὸν ἀστρονόμημα.

Τὰ δὲ γεγραμμένα ὑπ' αὐτοῦ φησι Λόβων ὁ Ἀργεῖος εἰς ἔπη τείνειν διακόσια. Ἐπιγεγράφθαι δ' αὐτοῦ ἐπὶ τῆς εἰκόνος τόδε·

Τόνδε Θαλῆν Μίλητος Ἰὰς θρέψασ' ἀνέδειξεν
ἀστρολόγον πάντων πρεσβύτατον σοφίῃ.

35 Τῶν τε ᾀδομένων αὐτοῦ εἶναι τάδε·

2–6 βάρβαρος : Hermippi Fr. 11 Wehrli **3–6** βάρβαρος : Plut. *Mar.* 46.1; Lact. *Div. inst.* 3.19.17; Dion. Chrysost. *Or.* 64.17 **6–10** Plat. *Theaet.* 174 a; *Gnom. Vat.* 319; Hippol. *Ref.* 1.1.4 **13** Timonis B 23 Diels; *Suppl. Hell.* 797 **14–p. 25.5** Lobonis Fr. 8 Croenert **17–18** *Anth. Pal.* 7.83; *Suppl. Hell.* 509

1 τόδε **BP** : ὧδε **F** **3** περὶ **PF** : ἐπὶ **B** | φασί **BPF** : φησί Stephanus **4** ἕνεκα τούτων et ἔχειν χάριν **F** **5** οὐ^{1} ss. **F**^{2} **7** κατανοήσῃ **PB**^{2}**F**^{2} : κατανοήσει **B**^{1}**F**^{1} **11–12** ἐπαινεῖ αὐτὸν **PF**^{2} : ἐπαινεῖν αὐτὸν **F**^{1} : ἐπ' ἐνιαυτὸν **B** **13** θ' ἑπτὰ **BP**^{1}**QWH**^{mg} : ἔπειτα **P**^{4}**H** in textu | θάλη τὰ **B** **13–14** ἀστρονόμημα. τὰ **FP**^{4}**H** : ἀστρονομήματα **BP**^{1}**QW** **17** θρέψασαν ἔδειξεν **B**^{1} (-ν-^{1} erasit **B**^{2}) **18** ἀστρολόγον **B PF** et *Pal.*^{1} : ἀστρολόγων *Pal.*$^{corr.}$, *Plan.*, Reiske | σοφίῃ **F** et *Pal.* : σοφία **BP** **19** αὐτὸν **B**

Οὔ τι τὰ πολλὰ ἔπη φρονίμην ἀπεφήνατο δόξαν·
ἕν τι μάτευε σοφόν,
ἕν τι κεδνὸν αἱροῦ·
λύσεις γὰρ ἀνδρῶν κωτίλων
γλώσσας ἀπεραντολόγους.

Φέρεται δὲ καὶ ἀποφθέγματα αὐτοῦ τάδε·
Πρεσβύτατον τῶν ὄντων θεός· ἀγένητον γάρ.
Κάλλιστον κόσμος· ποίημα γὰρ θεοῦ.
Μέγιστον τόπος· ἅπαντα γὰρ χωρεῖ.
Τάχιστον νοῦς· διὰ παντὸς γὰρ τρέχει.
Ἰσχυρότατον ἀνάγκη· κρατεῖ γὰρ πάντων.
Σοφώτατον χρόνος· ἀνευρίσκει γὰρ πάντα.

Οὐδὲν ἔφη τὸν θάνατον διαφέρειν τοῦ ζῆν. "Σὺ οὖν," ἔφη τις, "διὰ τί οὐκ ἀποθνῄσκεις;" "Ὅτι," ἔφη, "οὐδὲν διαφέρει." Πρὸς τὸν πυθόμενον τί πρότερον γεγόνοι, νὺξ ἢ 36
ἡμέρα, "Ἡ νύξ," ἔφη, "μιᾷ ἡμέρᾳ πρότερον." Ἠρώτησέ τις αὐτὸν εἰ λάθοι θεοὺς ἄνθρωπος ἀδικῶν· "Ἀλλ' οὐδὲ διανοούμενος," ἔφη. Πρὸς τὸν μοιχὸν ἐρόμενον εἰ ὀμόσῃ μὴ μεμοιχευκέναι, "Οὐ χεῖρον," ἔφη, "μοιχείας ἐπιορκία." Ἐρωτηθεὶς τί δύσκολον, ἔφη, "Τὸ ἑαυτὸν γνῶναι·" τί δὲ

1–5 *Suppl. Hell.* 521 **7–12** *Gnom. Vat.* 320; Plut. *Conviv. septem sap.* 153 CD **16** Ἠρώτησε – **18** ἔφη : *Gnom. Vat.* 316 **18** Πρὸς – **19** ἐπιορκία : *Gnom. Vat.* 317 **20** Ἐρωτηθεὶς – **p. 26.8** εὐπαίδευτος = *Gnom. Vat.* 321 **20** Ἐρωτηθεὶς – γνῶναι : Stob. 3.1.172 δ' 9 (= 10.2 DK); p. 197 s. Tziatzi

1 ἔπη **PF** : ἐπὶ **B** **2** ἕν τι **P** : ἐόντι **BF** **4** λύσεις **BPF** : βύσεις Cobet : δήσεις Diels : παύσεις Bergk **6** καὶ – τάδε add. **F**^{2} **7** ἀγέννητον **PF** : ἀγέννητος *Gnom.* **11** πάντα **Φ** **15** γεγόνοι **B** : γεγόνει **PF** : γέγονε **Φ** **17** λάθοι **FΦ** : λήθοι **BP** | θεοὺς **BPF** : θεὸν **Φ** **18** ὀμόσῃ *Gnom.* : ὀμόσει **B**^{2}**PFΦ** **19** χεῖρον **BPΦ**^{2} : χείρων **FΦ**^{1}

εὔκολον, "Τὸ ἄλλῳ ὑποθέσθαι·" τί ἥδιστον, "Τὸ ἐπιτυγχάνειν·" τί τὸ θεῖον, "Τὸ μήτε ἀρχὴν ἔχον μήτε τελευτήν." Τί δύσκολον εἴη τεθεαμένος, ἔφη· "Γέροντα τύραννον." Πῶς ἄν τις ἀτυχίαν ῥᾷστα φέροι, "Εἰ τοὺς ἐχθροὺς χεῖρον πράσσοντας βλέποι." Πῶς ἂν ἄριστα καὶ δικαιότατα βιώσαιμεν, "Ἐὰν ἃ τοῖς ἄλλοις ἐπιτιμῶμεν, αὐτοὶ μὴ
37 δρῶμεν." Τίς εὐδαίμων, "Ὁ τὸ μὲν σῶμα ὑγιής, τὴν δὲ ψυχὴν εὔπορος, τὴν δὲ φύσιν εὐπαίδευτος." Φίλων παρόντων καὶ ἀπόντων μεμνῆσθαί φησι· μὴ τὴν ὄψιν καλλωπίζεσθαι, ἀλλὰ τοῖς ἐπιτηδεύμασιν εἶναι καλόν. "Μὴ πλούτει," φησί, "κακῶς," "μηδὲ διαβαλλέτω σε λόγος πρὸς τοὺς πίστεως κεκοινωνηκότας." "Οὓς ἂν ἐράνους εἰσενέγκῃς," φησί, "τοῖς γονεῦσι, τοὺς αὐτοὺς προσδέχου καὶ παρὰ τῶν τέκνων." Τὸν Νεῖλον εἶπε πληθύειν ἀνακοπτομένων τῶν ῥευμάτων ὑπὸ τῶν ἐτησίων ἐναντίων ὄντων.

1 τί ἥδιστον – ἐπιτυγχάνειν : Stob. 10; p. 198 s. Tziatzi **2** Clem. *Strom.* 5.96.4; Hippol. *Ref.* 1.1.3 **3** Τί δύσκολον – τύραννον : Plut. *Septem sap. conviv.* 147 B; *De genio Socr.* 578 D; Dion. Chrysost. *Or.* 6.41 **5** Πῶς ἂν ἄριστα – **6** μὴ δρῶμεν : Stob. 3.1.172 ε′ 4; Isocr. *Ad Demon.* 17; *Nicocl.* 61 **8** Φίλων – **9** φησι : Stob. 3.1.172 δ′ 2; p. 191 s. Tziatzi; Isocr. *Ad Demon.* 26; Arsen. *Violetum,* p. 419 Walz **9** μὴ τὴν ὄψιν – **10** καλόν : Stob. 3; p. 192 s. Tziatzi **11** Μὴ πλούτει – κακῶς : Stob. 4; p. 193 s. Tziatzi **11** μηδὲ – **12** κεκοινωνηκότας : Stob. 5; p. 195 Tziatzi **12** Οὓς – **14** τῶν τέκνων : Stob. 8; p. 196 s. Tziatzi; Isocr. *Ad Demon.* 14

1 ὑποθέσθαι **BFΦ** : ὑποτίθεσθαι **P** | τὸ^2 **FP^4Φ** : om. **BP^1Q W** **3** δύσκολον **BPF** et *Gnom.* : δὲ καινὸν coni. Menagius, agn. Diels : (Οὐ ῥᾴδιον μὲν γὰρ ἄνδρα γηρᾶσαι τύραννον, χαλεπὸν δὲ τυράννου γῆρας Dio : παραδοξότατον Plut. 147 B : καινότατα Plut. 578 D) **3** γέροντα – **4** τοὺς ἐχθροὺς in mg super. **F^2** **4** φέρη **F^2** | χεῖρον in mg **B^2** **8** ψυχὴν **BP^1** : τύχην **FP^3WCo** | φύσιν **BP^1** : ψυχὴν **FP^3 WCo** **11** διαβαλέτω **P** **13** φησί add. **F^2** **14** πληθύνειν **B^2** **15** ἐναντίον ss. **B^2**

Φησὶ δ' Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς γεγενῆσθαι
αὐτὸν κατὰ τὸ πρῶτον ἔτος τῆς τριακοστῆς ἐνάτης Ὀλυμ-
πιάδος. Ἐτελεύτησε δ' ἐτῶν ἑβδομήκοντα ὀκτώ (ἤ, ὡς 38
Σωσικράτης φησίν, ἐνενήκοντα)· τελευτῆσαι γὰρ ἐπὶ τῆς
πεντηκοστῆς ὀγδόης Ὀλυμπιάδος, γεγονότα κατὰ Κροῖ-
σον, ᾧ καὶ τὸν Ἅλυν ὑποσχέσθαι ἄνευ γεφύρας περᾶσαι,
τὸ ῥεῖθρον παρατρέψαντα.

Γεγόνασι δὲ καὶ ἄλλοι Θαλαῖ, καθά φησι Δημήτριος ὁ
Μάγνης ἐν τοῖς Ὁμωνύμοις, πέντε· ῥήτωρ Καλλατιανός,
κακόζηλος· ζωγράφος Σικυώνιος, μεγαλοφυής· τρίτος ἀρ-
χαῖος πάνυ, κατὰ Ἡσίοδον καὶ Ὅμηρον καὶ Λυκοῦργον·
τέταρτος οὗ μέμνηται Δοῦρις ἐν τῷ Περὶ ζωγραφίας·
πέμπτος νεώτερος, ἄδοξος, οὗ μνημονεύει Διονύσιος ἐν
Κριτικοῖς.

Ὁ δ' οὖν σοφὸς ἐτελεύτησεν ἀγῶνα θεώμενος γυμ- 39
νικὸν ὑπό τε καύματος καὶ δίψους καὶ ἀσθενείας, ἤδη
γηραιός. Καὶ αὐτοῦ ἐπιγέγραπται τῷ μνήματι·

1–7 Apollodori F 28 (*FGrHist* 244) **4** Sosicratis Fr. 10 (*FHG* IV, 501) **5** i.e. 548–544 **8–14** Demetrii F 8 Mejer **12** Δοῦρις : *FGrHist* 76 F 31

1 γεγονέναι **F** **2** κατὰ τὸ πρῶτον ἔτος **BP** : ἐν τῶ πρώτω ἔτει **F** | ἐνάτης Diels (*Hermes* 31 [1876] 16), quia 546 + 78 = 624, agn. Jacoby : πέμπτης **BPF** **3** ἐτελεύτησε – **5** ὀλυμπιάδος in mg infer. **F**^{2} **3** δ' om. **B** **4** ἐνενήκοντα ⟨δ'⟩ Rohde (*Kl. Schr.* I, 169) **7** παρατρεῦσαντα **B** **9** Καλλατιανός Cobet (Καλατιανός Menagius) : καλλαντιανὸς **B** : καλαντιανὸς **P**^{1} : καλαντινιανὸς **FP**^{2}**Q** **12** ζωγραφίας **BP** : ζωφράφων **F** **13** μνημονεύει **BP** : μέμνηται **F** **15** δ' οὖν **BP** : γοῦν **F** **17** post γηραιὸς addit ὢν **F** | ἐπέγραψε **F**

Ἠ ὀλίγον τόδε σᾶμα, τὸ δὲ κλέος οὐρανόμακες,
τῶ πολυφροντίστω τοῦτο Θάλητος ὅρη.

Ἔστι καὶ παρ' ἡμῖν ἐς αὐτὸν ἐν τῷ πρώτῳ τῶν Ἐπιγραμμάτων ἢ Παμμέτρῳ τόδε τὸ ἐπίγραμμα·

Γυμνικὸν αὖ ποτ' ἀγῶνα θεώμενον, Ἠέλιε Ζεῦ,
τὸν σοφὸν ἄνδρα Θαλῆν ἥρπασας ἐκ σταδίου.
Αἰνέω ὅττι μιν ἐγγὺς ἀπήγαγες· ἦ γὰρ ὁ πρέσβυς
οὐκέθ' ὁρᾶν ἀπὸ γῆς ἀστέρας ἠδύνατο.

40 Τούτου ἐστὶ τὸ Γνῶθι σαυτόν, ὅπερ Ἀντισθένης ἐν ταῖς Διαδοχαῖς Φημονόης εἶναί φησιν, ἐξιδιοποιήσασθαι δὲ αὐτὸ Χίλωνα.

Περὶ δὴ τῶν ἑπτά (ἄξιον γὰρ ἐνταῦθα καθολικῶς κἀκείνων ἐπιμνησθῆναι) λόγοι φέρονται τοιοῦτοι. Δάμων ὁ Κυρηναῖος, ⟨ὁ⟩ γεγραφὼς Περὶ τῶν φιλοσόφων, πᾶσιν ἐγκαλεῖ, μάλιστα δὲ τοῖς ἑπτά. Ἀναξιμένης δέ φησι πάντας ἐπιθέσθαι ποιητικῇ· ὁ δὲ Δικαίαρχος οὔτε σοφοὺς οὔτε φιλοσόφους φησὶν αὐτοὺς γεγονέναι, συνετοὺς δέ

1–2 *Anth. Pal.* 7.84; *Plan.*; *Suppl. Hell.* 510; Lobonis Fr. 8 Cr. **5–8** *Anth. Pal.* 7.85; *Plan.* **9–11** Antisthenis Rhodii F 3 (*FGrHist* 508). Cf. Hesych., s.v. Γνῶθι σαυτόν **12–p. 30.11** Πυθαγόραν : 10.1 DK **13** Δάμων – **15** τοῖς ἑπτά : *FHG* IV, 377 **15–16** Anaximenis Lampsaceni F 22 (*FGrHist* 72) **16—p. 29.1** Dicaearchi Fr. 30 Wehrli

1 ἦ **BF** *Pal.* : ἢ **P** : ἦ ρ' *Plan.* | σᾶμα **B**^{1}**P**^{1} (?) : σῆμα **FP**^{2}**QV** *Pal.* : σῶμα **B**^{2} | οὐρανόμακες **BP** : οὐρανόμηκες **FV** *Pal.* **2** τῶ **P**^{2}**QV** : τοῦ *Pal.* : τῶ δὲ **BP**^{1}**F** | πολυφροντίστω **BPF** : πολυφροντίστου *Pal.* | τούτω **F** : ὅρη *Pal.*, ορη **B** : ὅρει **FP**^{2}**Q** **3** ἡμῖν **BP**^{2}**Q** : ἡμῶν **F** | εἰς **F** **5** αὖ **P** : ἁ **B**^{1} : om. **FB**^{2} *Pal.* **6** θάλη **B**^{1}, θαλῆ *Pal.*^{1} (?) | σταδίων **BP** **7** ἦ *Plan.* : ἢ **BPF** *Pal.*$^{corr.}$ **10** φησὶ φημονόης εἶναι **F** **11** αὐτὸ **BP** : ἑαυτῶ **F** | χείλωνα **B** **14** ὁ^{2} add. Bywater **16** ἐπιθέσθαι **BP**^{1}**Q** : ἔπη θεσθαι **FP**^{3}**CoH** | ποιητικῇ Menagius : ποιητικῆς **BP**^{1}**Q** : ποιητικὰ **FP**^{3}**CoH** | ὁ δὲ **FCoH** : δὲ **B**^{1}**P**^{1}**Q** : expunxit **B**^{2} **17** φησὶ post γεγονέναι **F**

τινας καὶ νομοθετικούς. Ἀρχέτιμος δὲ ὁ Συρακούσιος ὁμιλίαν αὐτῶν ἀναγέγραφε παρὰ Κυψέλῳ, ᾗ καὶ αὐτός φησι παρατυχεῖν· Ἔφορος δὲ παρὰ Κροίσῳ πλὴν Θαλοῦ. Φασὶ δέ τινες καὶ ἐν Πανιωνίῳ καὶ ἐν Κορίνθῳ καὶ ἐν Δελφοῖς συνελθεῖν αὐτούς. Διαφωνοῦνται δὲ καὶ αἱ ἀπο- 41
φάσεις αὐτῶν καὶ ἄλλου ἄλλο φασὶν εἶναι, ὡς ἐκεῖνο·

Ἦν Λακεδαιμόνιος Χίλων σοφός, ὃς τάδ' ἔλεξε·
"μηδὲν ἄγαν· καιρῷ πάντα πρόσεστι καλά."

Στασιάζεται δὲ καὶ περὶ τοῦ ἀριθμοῦ αὐτῶν. Λεάνδριος μὲν γὰρ ἀντὶ Κλεοβούλου καὶ Μύσωνος Λεώφαντον Γοργιάδα, Λεβέδιον ἢ Ἐφέσιον, ἐγκρίνει καὶ Ἐπιμενίδην τὸν Κρῆτα· Πλάτων δὲ ἐν Πρωταγόρᾳ Μύσωνα ἀντὶ Περιάνδρου· Ἔφορος δὲ ἀντὶ Μύσωνος Ἀνάχαρσιν· οἱ δὲ καὶ Πυθαγόραν προσγράφουσιν. Δικαίαρχος δὲ τέσσαρας ὡμολογημένους ἡμῖν παραδίδωσι, Θαλῆν, Βίαντα, Πιττακόν, Σόλωνα. Ἄλλους δὲ ὀνομάζει ἕξ, ὧν ἐκλέξασθαι τρεῖς, Ἀριστόδημον, Πάμφυλον, Χίλωνα Λακεδαιμόνιον, Κλεόβουλον, Ἀνάχαρσιν, Περίανδρον.

1–3 *FHG* IV, 318 **3** *FGrHist* 70 F 181 **7–8** *Anth. Pal., App.* 4.22 = *Schol.* in Eurip. *Hippol.* 264 (88 B 7 DK) **9** Λεάνδριος – **12** τὸν Κρῆτα : *FGrHist* 492 F 16 **12–13** Plat. *Prot.* 343 a 4 **13** *FGrHist* 70 F 182 **14** Δικαίαρχος – **18** Περίανδρον : Dicaearchi Fr. 32 Wehrli

1 δὲ **F** : τε **BP** **2** παρὰ κυψέλ(λ)ω **BPF** : παρὰ ⟨Περιάνδρῳ τῷ⟩ Κυψέλου Roeper^{2} (conl. Plut. *Septem sap. conviv.* 2) **3** παρατυχεῖν **BP^{1}QCo** : περιτυχεῖν **FP^{4}H** | εὔφορος **P** **4** πανωνίωι **P^{1}QCo**, corr. **P^{4}H** **5** αἱ **B** : om. **PF** | ἀποφάνσεις **FB^{2}** **6** αὐτῶν om. **B^{1}**, ss. add. **B^{2}** | φασὶν εἶναι **B^{2}P** : εἶναι φασὶν **F** : φασὶν **B^{1}** **7** χείλων **B** | τάδε λέξεν **B** **9** λεάνδριος : Μαιάνδριος Keil **10** γὰρ ss. **B^{2}** **11** Γοργιάδα Reiske : γορσιάδα **BP^{1}Q** : κορσίλλα **FP^{2}** in mg : γρ. γοργασίαδα in mg **F^{2}Co** **12** τὴν **P** **14** δὲ^{2} ss. **F^{2}** **17** ἐκδέξασθαι **P^{1}Q**, corr. **P^{4}H** | χείλωνα **BP^{1}** | χίλωνα πάμφυλον **F** **18** Λακεδαιμονίους Roeper^{5} (p. 454)

Ἔνιοι προστιθέασιν Ἀκουσίλαον Κάβα ἢ Σκάβρα Ἀρ-
42 γεῖον. Ἕρμιππος δ' ἐν τῷ Περὶ τῶν σοφῶν ἑπτακαίδεκά φησιν, ὧν τοὺς ἑπτὰ ἄλλους ἄλλως αἱρεῖσθαι· εἶναι δὲ Σόλωνα, Θαλῆν, Πιττακόν, Βίαντα, Χίλωνα, ⟨Μύσωνα,⟩ Κλεόβουλον, Περίανδρον, Ἀνάχαρσιν, Ἀκουσίλαον, Ἐπιμενίδην, Λεώφαντον, Φερεκύδην, Ἀριστόδημον, Πυθαγόραν, Λᾶσον Χαρμαντίδου ἢ Σισυμβρίνου (ἢ ὡς Ἀριστόξενος Χαβρίνου) Ἑρμιονέα, Ἀναξαγόραν. Ἱππόβοτος δ' ἐν τῇ Τῶν φιλοσόφων ἀναγραφῇ· Ὀρφέα, Λίνον, Σόλωνα, Περίανδρον, Ἀνάχαρσιν, Κλεόβουλον, Μύσωνα, Θαλῆν, Βίαντα, Πιττακόν, Ἐπίχαρμον, Πυθαγόραν.

Φέρονται δὲ καὶ τοῦ Θαλοῦ ἐπιστολαὶ αἵδε·

Θαλῆς Φερεκύδει

43 Πυνθάνομαί σε πρῶτον Ἰώνων μέλλειν λόγους ἀμφὶ τῶν θείων χρημάτων ἐς τοὺς Ἕλληνας φαίνειν. Καὶ τάχα μὲν ἡ γνώμη τοι δικαίη ἐς τὸ ξυνὸν καταθέσθαι γραφήν, μᾶλλον ἢ ἐφ' ὁποιοισοῦν ἐπιτρέπειν χρῆμα ἐς οὐδὲν ὄφελος. Εἰ δή τοι ἥδιον, ἐθέλω γενέσθαι λεσχηνώτης περὶ

1 Ἀκουσίλαον – Ἀργεῖον : 9 A 1 DK; *FGrHist* 2 T 11; Clem. *Strom.* 1.59.5 **2** Ἕρμιππος – **8** Ἀναξαγόραν : Hermippi Fr. 6 Wehrli **6** Ἐπιμενίδην : cf. 3 B 1 DK | Φερεκύδην : cf. 7 A 2a DK; F 4 Schibli **8** Ἀριστόξενος : Fr. 86 Wehrli | Ἀναξαγόραν : cf. 59 A 30 DK **8–11** Hippoboti Fr. 6 Gigante **11** Ἐπίχαρμον : 23 A 60 DK **13–p. 31.19** Hercher, p. 740

1 σκάβρα **BP** : σκάβα **F** **3** ἄλλως **PF** : ἄλλος **B** **4** χείλωνα **BP**^{1} | Μύσωνα add. Casaubon **8** χαβρίνου **BPF** : Χαρμίνου Bergk **9** τῇ om. **F** **13** φερεκύδη **B** **14** λόγους μέλλειν **F** **15** εἰς **B** **16** ξυνὸν **BP**^{1}**F** : κοινὸν **P**^{2}**QWCo** **17** μᾶλλον **B** : καὶ μᾶλλον **FP**^{4}**H** : om. **P**^{1}**QWCo** | εἰς **BPF**, corr. Cobet

ὁτέων γράφεις· καὶ ἢν κελεύῃς, παρὰ σὲ ἀφίξομαι ἐς Σῦρον. Ἦ γὰρ ἂν οὐ φρενήρεες εἴημεν ἐγώ τε καὶ Σόλων ὁ Ἀθηναῖος, ⟨εἰ⟩ πλώσαντες μὲν ἐς Κρήτην κατὰ ⟨τὴν⟩ τῶν κεῖθι ἱστορίην, πλώσαντες δὲ ἐς Αἴγυπτον ὁμιλήσοντες τοῖς ἐκείνῃ ὅσοι ἱερέες τε καὶ ἀστρολόγοι, παρὰ σὲ δὲ μὴ πλώσαιμεν; Ἥξει γὰρ καὶ ὁ Σόλων, ἢν ἐπιτρέπῃς. | Σὺ 44
μέντοι χωροφιλέων ὀλίγα φοιτέεις ἐς Ἰωνίην, οὐδέ σε ποθὴ ἴσχει ἀνδρῶν ξείνων· ἀλλά, ὡς ἔλπομαι, ἐνὶ μούνῳ χρήματι πρόσκεαι τῇ γραφῇ. Ἡμέες δὲ οἱ μηδὲν γράφοντες περιχωρέομεν τήν τε Ἑλλάδα καὶ Ἀσίην.

Θαλῆς Σόλωνι

Ὑπαποστὰς ἐξ Ἀθηνέων δοκέεις ἄν μοι ἁρμοδιώτατα ἐν Μιλήτῳ οἶκον ποιέεσθαι παρὰ τοῖς ἀποίκοις ὑμέων· καὶ γὰρ ἐνθαῦτά τοι δεινὸν οὐδέν. Εἰ δὲ ἀσχαλήσεις ὅτι καὶ Μιλήσιοι τυραννεόμεθα (ἐχθαίρεις γὰρ πάντως αἰσυμνήτας), ἀλλὰ τέρποιο ἂν σὺν τοῖς ἑτάροις ἡμῖν καταβιούς. Ἐπέστειλε δέ τοι καὶ Βίης ἥκειν ἐς Πριήνην· σὺ δὲ εἰ προσηνέστερόν τοι τὸ Πριηνέων ἄστυ, κεῖθι οἰκέειν, καὶ αὐτοὶ παρὰ σὲ οἰκήσομεν.

1 κελεύῃς **P** : κελεύεις **BF** | ἐς **F** : εἰς **BP** **2** σύρον **BP**^{1} : οὖρον **FP**^{3} (οὗ σύρον **W**) | ἢ **BPQ** : ἦ **F** | φρενήρεσες **B** **3** εἰ addi suad. Casaubon | εἰς **B** | τὴν add. Menagius **4** εἰς **F** **5** τε ss. **F**^{2} | ἀστρολόγοι **F** : ἀστρονόμοι **BP** **6** πλωσεμεν **B** **8** ἀλλὰ **P** : ἀλλ' **BF** **9** προσκαιε **B** | ἡμεῖς **BPF**, corr. Menagius **10** περιχορέομεν **F** : περιχωρέωμεν **B** | τὴν ἀσίην **F** **12** ἀθηναίων **BPF**, corr. **W** | δοκέοις **F** | ἁρμοδιώτατα **BFP**^{4}**H** : om. **P**^{1} **14** ἐνταῦθα **BPF**, corr. Huebner | ἀσχάλης εἰς **B** **15** πάντως Bergk : πάντας **BPF** **16** αἰσυμίντας **B**^{2} | τέρποιο **FP**^{3}**W** : τερποι **P**^{1} : τρέποι **B** | ἑτάροις **F** : ἑτέροις **B** : ἑταίροις **P** **17** ἐπέστειλαι **F** | τοι Menag. : σοι **BPF** | ἥκειν ἐς **PF** : ἡκεῖνος **B** **18** κεῖθι **PF** : κειοι **B** **19** οἰκήσομεν **P** : οἰκήσωμεν **BF**

ΣΟΛΩΝ

45 Σόλων Ἐξηκεστίδου Σαλαμίνιος πρῶτον μὲν τὴν σεισάχθειαν εἰσηγήσατο Ἀθηναίοις· τὸ δὲ ἦν λύτρωσις σωμάτων τε καὶ κτημάτων. Καὶ γὰρ ἐπὶ σώμασιν ἐδανείζοντο καὶ πολλοὶ δι' ἀπορίαν ἐθήτευον. Ἑπτὰ δὴ ταλάντων ὀφειλομένων αὐτῷ πατρῴων συνεχώρησε πρῶτος καὶ τοὺς λοιποὺς τὸ ὅμοιον προὔτρεψε πρᾶξαι. Καὶ οὗτος ὁ νόμος ἐκλήθη σεισάχθεια· φανερὸν δὲ διὰ τί.

Ἔπειτα τοὺς λοιποὺς νόμους ἔθηκεν, οὓς μακρὸν ἂν εἴη διεξιέναι, καὶ ἐς τοὺς ἄξονας κατέθετο.

46 Τὸ δὲ μέγιστον, τῆς πατρίδος αὐτοῦ Σαλαμῖνος ἀμφισβητουμένης ὑπό τε Ἀθηναίων καὶ Μεγαρέων καὶ πολλάκις τῶν Ἀθηναίων ἐπταικότων ἐν τοῖς πολέμοις καὶ ψηφισαμένων εἴ τις ἔτι συμβουλεύσοι περὶ Σαλαμῖνος μάχεσθαι, θανάτῳ ζημιοῦσθαι, οὗτος μαίνεσθαι προσποιησάμενος καὶ στεφανωσάμενος εἰσέπεσεν εἰς τὴν ἀγοράν· ἔνθα τοῖς Ἀθηναίοις ἀνέγνω ἀπὸ τοῦ κηρυκείου τὰ συντείνοντα περὶ Σαλαμῖνος ἐλεγεῖα καὶ παρώρμησεν αὐτούς. Καὶ αὖθις πρὸς τοὺς Μεγαρέας ἐπολέμησαν καὶ
47 ἐνίκων διὰ Σόλωνα. Ἦν δὲ τὰ ἐλεγεῖα τὰ μάλιστα καθαψάμενα τῶν Ἀθηναίων ταῦτα·

1– p. 46.15 ed. A. Martina (1968), pp. 378–385 **2** Σαλαμίνιος : cf. Diod. 9.1.1 **2-3** τὴν σεισάχθειαν : cf. Plut. *Sol.* 15.2–5; Aristot. *Athen. pol.* 6.1; Diod. 1.79.4 (= Hecat. *FGrHist* 264 F 25) **16** εἰσέπεσεν – **19** αὐτούς : cf. Plut. *Sol.* 8.2

1 *tit.* **P** : om. **BF** **3** τοῖς ἀθηναίοις **F** **4** τε σωμάτων **F** **11** Σαλαμῖνος secl. Cobet **16** εἰσέπεσεν **BPF** (ἐξεπήδησεν Plut.) : εἰσέπαισεν Cobet **17** ἀπὸ scripsi (ἐπὶ iam Roeper[4]) : διὰ **BPF** | τοῦ om. **F** | κηρυκείου Roeper[4] (ἀναβὰς ἐπὶ τὸν τοῦ κήρυκος λίθον Plut.) : κήρυκος **BPF** **21** ταῦτα **BP** : τάδε **F**

Εἴην δὴ τότ' ἐγὼ Φολεγάνδριος ἢ Σικινίτης
ἀντί γ' Ἀθηναίου πατρίδ' ἀμειψάμενος·
αἶψα γὰρ ἂν φάτις ἥδε μετ' ἀνθρώποισι γένοιτο·
"Ἀττικὸς οὗτος ἀνήρ, τῶν Σαλαμιναφετῶν."

Εἶτα·

Ἴομεν ἐς Σαλαμῖνα μαχησόμενοι περὶ νήσου
ἱμερτῆς χαλεπόν τ' αἶσχος ἀπωσόμενοι.

Ἔπεισε δὲ αὐτοὺς καὶ τὴν ἐν Θρᾴκῃ χερρόνησον προσκτήσασθαι. Ἵνα δὲ μὴ δοκοίη βίᾳ μόνον, ἀλλὰ καὶ δίκῃ 48 τὴν Σαλαμῖνα κεκτῆσθαι, ἀνασκάψας τινὰς τάφους ἔδειξε τοὺς νεκροὺς πρὸς ἀνατολὰς ἐστραμμένους, ὡς ἦν ἔθος θάπτειν Ἀθηναίοις· ἀλλὰ καὶ αὐτοὺς τοὺς τάφους πρὸς ἕω βλέποντας καὶ ἀπὸ τῶν δήμων τοὺς χρηματισμοὺς ἐγκεχαραγμένους, ὅπερ ἦν ἴδιον Ἀθηναίων. Ἔνιοι δέ φασι καὶ ἐγγράψαι αὐτὸν εἰς τὸν κατάλογον τοῦ Ὁμήρου μετὰ τὸν

Αἴας δ' ἐκ Σαλαμῖνος ἄγεν δυοκαίδεκα νῆας,
στῆσε δ' ἄγων ἵν' Ἀθηναίων ἵσταντο φάλαγγες.

1–4 Solonis Fr. 2 West^{2}. Cf. Plut. *Praec. gerendae reip.* 813 F **6–7** Solonis Fr. 3 W. Cf. *Schol.* in Demosth. 19, 478a Dilts **11** πρὸς ἀνατολὰς : πρὸς ἑσπέραν Plut. *Sol.* 10.4; Ael. *Var. hist.* 5.14 **15** ἐγγράψαι : cf. Plut. *Sol.* 10.2; Strab. 9.1.10 et al. **17–18** *Iliad.* 2.557–558 (et *Schol.*)

1 Σικινήτης Bergk, West **2** ἀμειψάμενος **BPF** γρ. : ἀμείψασθαι **F** **3** γένοιτο **BFP**^{2} : γένετο **P**^{1}**(Q)** σαλαμίναφετων **B** : (Σαλαμιναφετῶν Is. Vossius, Σαλαμιναφετέων Renner) : σαλαμῖνα φέτων **P**^{2}**QW** : σαλαμῖν' ἀφέντων **FP**^{5} **6** ἴωμεν **F** | ἐς **B**^{1} : εἰς **B**^{2}**PF** **7** ἀπωσάμενοι **B** *Schol.* **8** χερόννησον **F** **9** ἵνα – **10** κεκτῆσθαι in mg infer. **F**^{2} **9** δοκοίη **BF** : δοκῇ ἡ **B**^{2} : δοκοῖεν Richards **14–15** δὲ καὶ φασὶ **B** **15** τοῦ **F** : τὸν **BP** **16** τὸν **BP** : τὸ **F** **17** ἄγε **F** **18** στῆσαι **F**

Τοῦ δὴ λοιποῦ προσεῖχον αὐτῷ ὁ δῆμος καὶ ἡδέως κἂν
49 τυραννεῖσθαι ἤθελον πρὸς αὐτοῦ· ὁ δὲ οὐχ εἵλετο, ἀλλὰ καὶ Πεισίστρατον τὸν συγγενῆ, καθά φησι Σωσικράτης, προαισθόμενος τὸ ἐφ' ἑαυτῷ διεκώλυσεν. Ἄιξας γὰρ εἰς τὴν ἐκκλησίαν μετὰ δόρατος καὶ ἀσπίδος προεῖπεν αὐτοῖς τὴν ἐπίθεσιν τοῦ Πεισιστράτου· καὶ οὐ μόνον, ἀλλὰ καὶ βοηθεῖν ἕτοιμος εἶναι, λέγων ταῦτα· "Ἄνδρες Ἀθηναῖοι, τῶν μὲν σοφώτερος, τῶν δὲ ἀνδρειότερός εἰμι· σοφώτερος μὲν τῶν τὴν ἀπάτην Πεισιστράτου μὴ συνιέντων, ἀνδρειότερος δὲ τῶν ἐπισταμένων μέν, διὰ δέος δὲ σιωπώντων." Καὶ ἡ βουλή, Πεισιστρατίδαι ὄντες, μαίνεσθαι ἔλεγον αὐτόν· ὅθεν εἶπε ταυτί·

Δείξει δὴ μανίην μὲν ἐμὴν βαιὸς χρόνος ἀστοῖς,
δείξει, ἀληθείης ἐς μέσον ἐρχομένης.

50 Τὰ δὲ περὶ τῆς τοῦ Πεισιστράτου τυραννίδος ἐλεγεῖα προλέγοντος αὐτοῦ ταῦτα ἦν·

Ἐκ νεφέλης φέρεται χιόνος μένος ἠδὲ χαλάζης,
βροντὴ δ' ἐκ λαμπρῆς γίγνεται ἀστεροπῆς·

3 Σωσισκράτης : *FHG* Fr. 11 (IV, 501 s.) **4** Ἄιξας – **7** εἶναι : cf. Diod. 9.4.1–2 **7–10** Aristot. *Athen. pol.* 14.2 **13–14** Solonis Fr. 10 West **17–p. 35.2** Solonis Fr. 9 W. Etiam ap. Diod. 9.20.2 (Exc. Vat.) et ap. Apostol. 6.93 c (ex DL). **17–18** ap. Plut. *Sol.* 3.6

1 προσεῖχεν **B** | κἂν Richards : καὶ **BPF** **2** ἤθελον **B^1PF** : ἤθελεν **B^2** | πρὸς **BP** : ὑπ' **F** **4** αἰσθόμενος **Φ** | ἑαυτὸ **F** | ἄξας **BFΦ** : ἤξας **P** **5** τὴν T. Faber (ap. Menag.) : τινα **BPF** | δόρατος καὶ ἀσπίδος **BF** : θώρακος καὶ ἀσπίδος **P** : ξίφους καὶ δόρατος **Φ** **7** ἕτοιμος εἶναι **BPΦ** : ἦν ἕτοιμος **F** | ταῦτα om. **F** **9** τοῦ πεισιστράτου **F** **10** διὰ δέος δὲ σιωπώντων **BPF** : διὰ δὲ δειλίαν σιγώντων **Φ** **14** δείξει δ' **F** : δείξειε **Φ** | ἐς **P** : εἰς **B^2F** **17** φέρεται **BPF** : χεῖται **Φ** : πέλεται Diod. (V) | χαλάζης **BFΦ** : θαλάσσης **P** et Diod. **18** δ' **Φ** et Diod., Apost. : τ' **BPF** | λαμπρᾶς Diod., Plut. | γίνεται **PFΦ** et Diod., Plut. : γείνεται **B**

ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται, ἐς δὲ μονάρχου
δῆμος ἀϊδρίῃ δουλοσύνην ἔπεσεν.

Ἤδη δὲ αὐτοῦ κρατοῦντος οὐ πείθων ἔθηκε τὰ ὅπλα πρὸ τοῦ στρατηγίου καὶ εἰπών· "Ὦ πατρίς, βεβοήθηκά σοι καὶ λόγῳ καὶ ἔργῳ," ἀπέπλευσεν εἰς Αἴγυπτον καὶ εἰς Κύπρον· καὶ πρὸς Κροῖσον ἦλθεν, ὅτε καὶ ἐρωτηθεὶς ὑπ' αὐτοῦ, "Τίς σοι δοκεῖ εὐδαίμων;" "Τέλλος," ἔφη, "Ἀθηναῖος καὶ Κλέοβις καὶ Βίτων" καὶ τὰ θρυλούμενα.

Φασὶ δέ τινες ὅτι κοσμήσας ἑαυτὸν ὁ Κροῖσος παν- 51
τοδαπῶς καὶ καθίσας εἰς τὸν θρόνον ἤρετο αὐτὸν εἴ τι θέαμα κάλλιον τεθέαται· ὁ δέ, "Ἀλεκτρυόνας," εἶπε, "φασιανοὺς καὶ ταώς· φυσικῷ γὰρ ἄνθει κεκόσμηνται καὶ μυρίῳ καλλίονι." Ἐκεῖθέν τε ἀπαλλαγεὶς ἐγένετο ἐν Κιλικίᾳ, καὶ πόλιν συνῴκισεν, ἣν ἀφ' ἑαυτοῦ Σόλους ἐκάλεσεν· ὀλίγους τέ τινας τῶν Ἀθηναίων ἐγκατῴκισεν, οἳ τῷ χρόνῳ τὴν φωνὴν ἀποξενωθέντες σολοικίζειν ἐλέχθησαν. Καί εἰσιν οἱ μὲν ἔνθεν Σολεῖς, οἱ δ' ἀπὸ Κύπρου Σόλιοι. Ὅτε δὲ τὸν Πεισίστρατον ἔμαθεν ἤδη τυραννεῖν, τάδε ἔγραψε πρὸς τοὺς Ἀθηναίους·

1–2 ap. Diod. 19.1.4 **6** καὶ πρὸς Κροῖσον – **8** καὶ τὰ θρυλούμενα : cf. Herod. 1.30–31

1 δ' om. Diod. 19 | ὄλλυται : ὤλετο **F** | ἐς : ἐκ Diod. 9 | μονάρχου **BPF** Diod. 9 : μόναρχον **Φ** : τυράννου Diod. 19 **2** ἀϊδρίῃ **P**[1], ἀϊδρύῃ **F** : ἀϊδρείῃ **P**[2]**QΦ** et Diod. 9 : ἀΐδρις ὢν **B**[2] et Apost. | δουλοσύνης Diod. 9 **3** κατακρατοῦντος **F** **4** πρὸ τοῦ στρατηγίου **BP** : ἐν τῶ στρατηγείω **F** **5** καὶ ἔργω καὶ λόγω **F** **7** τέλλος **P**[2]**Q** : τέλαος **B** : τέλλως **P**[1] : τέλλης **F** | ἔφη **BP** : εἶπεν **F** **8** θρυλλούμενα **PF** **9** αὐτὸν **F** **10** καὶ ss. **F**[2] **12** ⟨καὶ⟩ φασιανοὺς Cobet (at cf. 2.30) | καὶ ss. **F**[2] | ταὼ **B**[2] **14** κιλικίη **F** | ἀφ' ἑαυτοῦ **Φ** : ἐξ αὐτοῦ *Suda* : ἀπ' αὐτοῦ **BPF** **18** κύπρου **PF** : κρυπτοῦ **B**

52 Εἰ δὲ πεπόνθατε δεινὰ δι' ὑμετέρην κακότητα,
μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε·
αὐτοὶ γὰρ τούτους ηὐξήσατε ῥύσια δόντες,
καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην.
Ὑμέων δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
σύμπασιν δ' ὑμῖν κοῦφος ἔνεστι νόος·
εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπος αἰόλον ἀνδρός,
εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε.

Καὶ οὗτος μὲν ταῦτα. Πεισίστρατος δ' αὐτῷ φεύγοντι τοῦτον ἐπέστειλε τὸν τρόπον·

Πεισίστρατος Σόλωνι

53 Οὔτε μόνος Ἑλλήνων τυραννίδι ἐπεθέμην, οὔτε οὐ προσῆκόν μοι, γένους ὄντι τῶν Κοδριδῶν. Ἀνέλαβον γὰρ ἐγὼ ἃ ὀμόσαντες Ἀθηναῖοι παρέξειν Κόδρῳ τε καὶ τῷ ἐκείνου γένει ἀφείλοντο. Τά τε ἄλλα ἁμαρτάνω οὐδὲν ἢ περὶ θεοὺς ἢ περὶ ἀνθρώπους· ἀλλὰ καθότι σὺ διέθηκας τοὺς θεσμοὺς Ἀθηναίοις, ἐπιτρέπω πολιτεύειν. Καὶ ἄμεινόν γε πολιτεύουσιν ἢ κατὰ δημοκρατίαν· ἐῶ γὰρ οὐδένα

1–8 Solonis Fr. 11 W. Ap. Diod. 9.20.3 (Exc. V.) et Plut. *Sol.* 30.8 et 30.3 **11 – p. 37.17** Hercher, p. 490 **12–15** cf. Herod. 5.65

1 δεινὰ : λυγρὰ Diod. (V.), Plut. | ὑμετέραν **F** et Diod. **2** τι θεοῖς **BPL** et v.l. in Plut. : θεοῖσιν Diod., Plut. | ταύτην Diod. | μοῖραν : μῆνιν Plut. **3** ῥύσια : ῥύματα Diod., Plut. **4** ταῦτα : τοῦτο Diod. **5** ὑμῶν Diod., Plut. | δ' εἷς : δὶς **B**^{2} **6** ὑμέϊν **B** | κοῦφος **BPF** et Diod. : χαῦνος Plut. **7** ἔπος αἰόλον **BPF** et Diod. : ἔπη αἱμύλου Plut. **8** γινόμενον **B**^{2}**PF** et Diod. **10** ἐπέστειλε **F** : ἐπιστέλλει **BP** **11** πεισίστρατος σόλωνι om. **F** **15** τε **F** : γε **BP** **17** ἐπιτρέπω **D** et Casaubon : ἐπιτροπῶ **FPB** (ἐπιτρόπω) : ἐπιτρωπῶ Roeper^2 **18** ⟨οὐκ⟩ ἐῶ Cobet, Hercher

ὑβρίζειν. Καὶ [ὁ] τύραννος ἐγὼ οὐ πλέον τι φέρομαι τἀξιώματος καὶ τῆς τιμῆς, ὁποῖα δὲ καὶ τοῖς πρόσθεν βασιλεῦσιν ἦν τὰ ῥητὰ γέρα. Ἀπάγει δὲ ἕκαστος Ἀθηναίων τοῦ αὑτοῦ κλήρου δεκάτην, οὐκ ἐμοί, ἀλλὰ ὁπόθεν ἔσται ἀναλοῦν εἴς τε θυσίας τὰς δημοτελεῖς καὶ εἴ τι ἄλλο τῶν κοινῶν, καὶ ἢν πόλεμος ἡμᾶς καταλάβῃ.

Σοὶ δὲ ἐγὼ οὔτι μέμφομαι μηνύσαντι τὴν ἐμὴν διά- 54
νοιαν. Εὐνοίᾳ γὰρ τῆς πόλεως μᾶλλον ἢ κατὰ ⟨τὸ⟩ ἐμὸν ἔχθος ἐμήνυες· ἔτι τε ἀμαθίᾳ τῆς ἀρχῆς, ὁποίαν τινὰ ἐγὼ καταστήσομαι. Ἐπεὶ μαθὼν τάχα ἂν ἠνέσχου καθισταμένου, οὐδὲ ἔφυγες. Ἐπάνιθι τοίνυν οἴκαδε, πιστεύων μοι καὶ ἀνωμότῳ ἄχαρι μηδὲν πείσεσθαι Σόλωνα ἐκ Πεισιστράτου. Ἴσθι γὰρ μηδὲ ἄλλον τινὰ πεπονθέναι τῶν ἐμοὶ ἐχθρῶν. Ἢν δὲ ἀξιώσῃς τῶν ἐμῶν φίλων εἷς εἶναι, ἔσῃ ἀνὰ πρώτους· οὐ γάρ τι ἐν σοὶ ἐνορῶ δολερὸν ἢ ἄπιστον· εἴτε ἄλλως Ἀθήνησιν οἰκεῖν, ἐπιτετράψεται. Ἡμῶν δὲ εἵνεκα μὴ ἐστέρησο τῆς πατρίδος.

Ταῦτα μὲν Πεισίστρατος. Σόλων δὲ ὅρον ἀνθρωπίνου βίου φησὶν ἔτη ἑβδομήκοντα.

Δοκεῖ δὲ καὶ κάλλιστα νομοθετῆσαι· ἐάν τις μὴ τρέφῃ 55
τοὺς γονέας, ἄτιμος ἔστω· ἀλλὰ καὶ ὁ τὰ πατρῷα κατεδηδοκὼς ὁμοίως. Καὶ ὁ ἀργὸς ὑπεύθυνος ἔστω παντὶ τῷ βουλομένῳ γράφεσθαι. Λυσίας δ' ἐν τῷ κατὰ Νικίδου

18–19 Herod. 1.32.2; Solonis Fr. 27 W. **23** Λυσίας – Νικίδου : cf. Lysiae or. ed. Thalheim, Fr. 100

1 ὁ delevi (cf. v. 6) | πλέον **F** : πλεῖον **BP** **2** τῆς **F** : om. **BP** | πρόσθεν **F** : πρὶν **BP** **3** ἀπάγει **BPF** γρ. : παράγει **F** **5** τὰς **BF** : om. **P** **6** πόλεμος **D** : ὁ πόλεμος **BPF** **8** τὸ *Frob.* : om. **BPF** **12** ἄχαριν **B** **14** ἢν δὲ ἀξιώσῃς $\mathbf{PF^2B^2}$ (ἄξιος ἧς) : ἢν δὲ ἀξιώσεις $\mathbf{F^1}$: εἰ δὲ ἀξιώσεις Cobet **15** ἀνὰ πρώτους $\mathbf{BP^4H}$: ἂν ὁ πρῶτος $\mathbf{FP^1QW}$ **16** ἐπιτρέψεται **F** **17** εἵνεκα : οὕνεκα Cobet **19** ἔτη φησὶν **F** **23** νικίδου $\mathbf{F^2}$, νεικείδου **B** : νικίου **P**

Δράκοντά φησι γεγραφέναι τὸν νόμον, Σόλωνα δὲ τεθεικέναι τόν γε ἡταιρηκότα εἴργειν τοῦ βήματος. Συνέστειλε δὲ καὶ τὰς τιμὰς τῶν ἐν ἀγῶσιν ἀθλητῶν, Ὀλυμπιονίκῃ μὲν τάξας πεντακοσίας δραχμάς, Ἰσθμιονίκῃ δὲ ἑκατόν, καὶ ἀνὰ λόγον ἐπὶ τῶν ἄλλων· Ἀπειρόκαλον γὰρ τὸ ἐξαίρειν τὰς τούτων τιμάς, ἀλλὰ μόνων ἐκείνων τῶν ἐν πολέμοις τελευτησάντων, ὧν καὶ τοὺς υἱοὺς δημοσίᾳ τρέφεσθαι καὶ παιδεύεσθαι.

56 Ὅθεν καὶ ἐζήλουν πολλοὶ καλοὶ κἀγαθοὶ γίνεσθαι κατὰ πόλεμον· ὡς Πολύζηλος, ὡς Κυνέγειρος, ὡς Καλλίμαχος, ὡς σύμπαντες οἱ Μαραθωνομάχαι· ἔτι τε Ἁρμόδιος καὶ Ἀριστογείτων καὶ Μιλτιάδης καὶ μυρίοι ὅσοι. Ἀθληταὶ δὲ καὶ ἀσκούμενοι πολυδάπανοι, καὶ νικῶντες ἐπιζήμιοι καὶ στεφανοῦνται κατὰ τῆς πατρίδος μᾶλλον ἢ κατὰ τῶν ἀνταγωνιστῶν· γέροντές τε γενόμενοι, κατὰ τὸν Εὐριπίδην·

τρίβωνες ἐκλιπόντες οἴχονται κρόκας.

Ὅπερ συνιδὼν ὁ Σόλων μετρίως αὐτοὺς ἀπεδέξατο. Κάλλιστον δὲ κἀκεῖνο· τὸν ἐπίτροπον τῇ τῶν ὀρφανῶν μητρὶ μὴ συνοικεῖν, μηδ' ἐπιτροπεύειν, εἰς ὃν ἡ οὐσία
57 ἔρχεται τῶν ὀρφανῶν τελευτησάντων. Κἀκεῖνο· δακτυλιογλύφῳ μὴ ἐξεῖναι σφραγῖδα φυλάττειν τοῦ πραθέντος

3 Συνέστειλε – **5** τῶν ἄλλων : cf. Plut. *Sol.* 23.3 **17** Eurip. Fr. 282 N^2 ap. Athen. 10, 413 C–F (v. 12)

1 γεγραφέναι **BP** : τεθεικέναι **F** **2** τεθεικέναι in mg **F^2** | γε scripsi : τε **BP** ss. **F^2** : om. **F^1** **3** ἀγῶσιν Cobet : ἀγῶνι **BPF** **6** γὰρ **FP^4H** : τε γὰρ **BP^1QW** | τὸ **F** : om. **BP** **9** πολλοὶ **F** : om. **BP** | καλοὶ **BP** : om. **F** **10** πολύζηλος **PF** : ἐπὶ πολὺ ζῆλος **B** | κυνέγειρος **P^5** : κυναίγειρος **BP^1F** **11** τε **F** : θ' **B** : δ' **P** **12** ὅσοι **BP** : ἄλλοι **F** **13** δὲ om. **F** **15** κατὰ[1] om. **F** **17** τρίβονες **F** | ἐκλιπόντες Cobet (ἐκβαλόντες Athen. 413 D) : ἐκλείποντες **BPF** | κρώκας **F** **22** τοῦ : τὴν **P^5**

δακτυλίου. Καὶ ἐὰν ἕνα ὀφθαλμὸν ἔχοντος ἐκκόψῃ τις, ἀντεκκόπτειν τοὺς δύο. Ἃ μὴ ἔθου, μὴ ἀνέλῃ· εἰ δὲ μή, θάνατος ἡ ζημία. Τῷ ἄρχοντι, ἐὰν μεθύων ληφθῇ, θάνατον εἶναι τὴν ζημίαν.

Τά τε Ὁμήρου ἐξ ὑποβολῆς γέγραφε ῥαψῳδεῖσθαι, οἷον ὅπου ὁ πρῶτος ἔληξεν, ἐκεῖθεν ἄρχεσθαι τὸν ἐχόμενον. Μᾶλλον οὖν Σόλων Ὅμηρον ⟨ἐμβολαῖς⟩ ἐφώτισεν ἢ Πεισίστρατος, ὥς φησι Διευχίδας ἐν πέμπτῳ Μεγαρικῶν. Ἦν δὲ μάλιστα τὰ ἔπη ταυτί· "οἳ δ' ἄρ' Ἀθήνας εἶχον" καὶ τὰ ἑξῆς.

Πρῶτος δὲ Σόλων τὴν τριακάδα ἕνην καὶ νέαν ἐκάλεσε. Καὶ πρῶτος τὴν συναγωγὴν τῶν ἐννέα ἀρχόντων **58**
ἐποίησεν εἰς τὸ συνειπεῖν, ὡς Ἀπολλόδωρός φησιν ἐν δευτέρῳ Περὶ νομοθετῶν. Ἀλλὰ καὶ τῆς στάσεως γενομένης οὔτε μετὰ τῶν ἐξ ἄστεως, οὔτε μετὰ τῶν πεδιέων, ἀλλ' οὐδὲ μετὰ τῶν παράλων ἐτάχθη.

Ἔλεγε δὲ τὸν μὲν λόγον εἴδωλον εἶναι τῶν ἔργων·

2 cf. Plat. *Legg.* 11, 913 c 7 ἃ μὴ κατέθου, μὴ ἀνέλῃ; Aeliani *V.H.* 3.46 **5–10** *FGrHist* 485 F 6. Cf. J.A. Davison, *C.Q.* 53 (1959) 216–222 **9** *Iliad.* 2.546 **11** Aristoph. *Nub.* 1189–1191; Plut. *Sol.* 25.4 **12–13** cf. Aristot. *Athen. pol.* 3.5 **13** Ἀπολλόδωρος : non constat **17** Cf. Simonidis Fr. 190 B Bergk

2 ἀνέλῃ **BPF** : ἀναιροῦ **Φ** 3 ἡ ζημία **FP**^{4} mg **H** : om. **BP**^{1} | ἂν **P** 5 ἐξ ὑποβολῆς **BPF** et *Suda* : ἐξ ὑπολαβῆς A. Pallis (*C.Q.* 7 [1913] 134), conl. Plat. *Hipparchi* 228 b 9 (ἐξ ὑπολήψεως ἐφεξῆς αὐτὰ διϊέναι) : ἐξ ὑποδοχῆς A.S. Ferguson (*C.Q.* 15 [1929] 43), conl. Athen. 15, 694 B 7 ὁ σόλων **P**^{4}**H** | ἐμβολαῖς addidi (cf. p. 33.15) **8** post Πεισίστρατος lac. indicavit Ritschl (*Die Alex. Bibl.*, 1838, p. 64) : ὃς ἔπη τινὰ ἐνέβαλεν εἰς τὴν ποίησιν αὐτοῦ e.g. suppl. Jacoby **9** ταυτί **PF** : ταῦτα **B** **11** ἐκάλεσε **BP** : ὠνόμασε **F** **15** ἄστεος **B**^{2}**P** **16** οὔτε **F** **17** εἶναι om. **F**

βασιλέα δὲ τὸν ἰσχυρότατον τῇ δυνάμει. Τοὺς δὲ νόμους
τοῖς ἀραχνίοις ὁμοίους· καὶ γὰρ ἐκεῖνα, ἐὰν μὲν ἐμπέσῃ τι
κοῦφον καὶ ἀσθενές, στέγειν· ἐὰν δὲ μεῖζον, διακόψαν
οἴχεσθαι. Ἔφασκέ τε σφραγίζεσθαι τὸν μὲν λόγον σιγῇ,
59 τὴν δὲ σιγὴν καιρῷ. Ἔλεγε δὲ τοὺς παρὰ τοῖς τυράννοις
δυναμένους παραπλησίους εἶναι ταῖς ψήφοις ταῖς ἐπὶ τῶν
λογισμῶν· ὡς γὰρ ἐκείνων ἑκάστην ποτὲ μὲν πλείω
σημαίνειν, ποτὲ δὲ ἥττω, καὶ τούτων τοὺς τυράννους ποτὲ
μὲν ἕκαστον μέγαν ἄγειν καὶ λαμπρόν, ποτὲ δὲ ἄτιμον.
Ἐρωτηθεὶς διὰ τί κατὰ πατροκτόνου νόμον οὐκ ἔθηκε,
"Διὰ τὸ ἀπελπίσαι," εἶπεν. Πῶς τε ἥκιστα ἂν ἀδικοῖεν οἱ
ἄνθρωποι, "Εἰ ὁμοίως," ἔφη, "ἄχθοιντο τοῖς ἀδικουμένοις
οἱ μὴ ἀδικούμενοι." Καὶ "τὸν μὲν κόρον ὑπὸ τοῦ πλούτου
γεννᾶσθαι, τὴν δὲ ὕβριν ὑπὸ τοῦ κόρου." Ἠξίωσέ τε
Ἀθηναίους τὰς ἡμέρας κατὰ σελήνην ἄγειν. Καὶ Θέσπιν
ἐκώλυσε τραγῳδίας διδάσκειν, ὡς ἀνωφελῆ τὴν ψευδολο-
60 γίαν. Ὅτ' οὖν Πεισίστρατος ἑαυτὸν κατέτρωσεν, ἐκεῖθεν
ἔφη ταῦτα φῦναι. Τοῖς τε ἀνθρώποις συνεβούλευσεν, ὡς

1 Τοὺς – **4** οἴχεσθαι : Plut. *Sol.* 5.4; Plat. Com. Fr. 21 (*PCG* VII) **4** Ἔφασκε – **5** καιρῷ : Stob. 3.1.172 β' 5; pp. 154 s. et 368 Tziatzi **5** Ἔλεγε – **9** ἄτιμον : *Gnom. Vat.* 505 **10** Ἐρωτηθεὶς – **11** εἶπεν : *Gnom. Vat.* 506 **13** τὸν μὲν κόρον – **14** τοῦ κόρου : Solonis Fr. 6.3–4 West; *Theogn.* 153–154; Diogen. 8.22 **15** καὶ Θέσπιν – **16** ψευδολογίαν : Plut. *Sol.* 29.6–7 (*TrGF* I, Thesp. T 17)

4 ἔφασκε τε **BPF** : ἔλεγε δεῖν **Φ** **5** δὲ[2] om. **F** **6** δυναμένους : δυναστεύοντας *Gnom.* **7** ὡς scripsi : καὶ **BPFΦ** et *Gnom.* **8** ἥττω **BPF** : ἐλάττω **Φ** et *Gnom.* **9** ποτὲ *Gnom.*, Stephanus : ὁτὲ **BPΦ** : ὅτε **F** **10** δὲ διὰ **F** **11** διὰ τὸ ἀπελπίσαι τοιούτους τινὰς ἔσεσθαι *Gnom. Vat.* 742 | ἂν **D** (ἀδικοῖεν ἄν) : om. **BPFΦ** **12** ἄχθονται **Φ** **15** ἀθηναίοις **F** | τὰς **D** : τὰς μὲν **BPF** **17** ἑαυτὸν **FP[4]H** : αὐτὸν **BP[1]**

φησιν Ἀπολλόδωρος ἐν τῷ Περὶ τῶν φιλοσόφων αἱρέσεων, τάδε· Καλοκἀγαθίαν ὅρκου πιστοτέραν ἔχε. Μὴ ψεύδου. Τὰ σπουδαῖα μελέτα. Φίλους μὴ ταχὺ κτῶ· οὓς δ' ἂν κτήσῃ, μὴ ἀποδοκίμαζε. Ἄρχε πρῶτον μαθὼν ἄρχεσθαι. Συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ ἄριστα. Νοῦν ἡγεμόνα ποιοῦ. Μὴ κακοῖς ὁμίλει. Θεοὺς τίμα, γονέας αἰδοῦ. Φασὶ δ' αὐτὸν καὶ Μιμνέρμου γράψαντος·

αἲ γὰρ ἄτερ νούσων τε καὶ ἀργαλέων μελεδωνέων
ἑξηκονταέτη μοῖρα κίχοι θανάτου,

ἐπιτιμῶντα αὐτῷ εἰπεῖν· **61**

Ἀλλ' εἴ μοι κἂν νῦν ἔτι πείσεαι, ἔξελε τοῦτο
(μηδὲ μέγαιρ' ὅτι σεῦ τοῖον ἐπεφρασάμην)
καὶ μεταποίησον, Λιγιαστάδη, ὧδε δ' ἄειδε·
"ὀγδωκονταέτη μοῖρα κίχοι θανάτου."

1 Ἀπολλόδωρος : non constat **2** Καλοκἀγαθίαν – ἔχε : cf. Stob. 3.1.172 β' 4; pp. 153 s. et 368 Tziatzi **2–3** Μὴ ψεύδου : Stob. 6; p. 156 s. Tz. **3** Τὰ σπουδαῖα μελέτα : Stob. 7 **3** Φίλους – **4** μὴ ἀποδοκίμαζε : Stob. 9; Isocrat. *Ad Demon.* 24; pp. 158 s. et 369 Tz. **4** Ἄρχε – ἄρχεσθαι : Stob. 10; pp. 159 s. et 370 Tz. **5** Συμβούλευε – τὰ ἄριστα : Stob. 12; pp. 160 s. et 370 Tz. **6** Μὴ κακοῖς ὁμίλει : Stob. 14; pp. 162 s. et 371 Tz. **8–9** Mimnermi Fr. 6 West; Apostol. I.. 60b **11–14** Solonis Fr. 20 W.

1 ἐν τῇ περὶ φιλοσόφων αἱρέσει **F** **2** ἔχε **PB**^{2} : ἔχειν **FB**^{1} ut vid. **4** δ' om. **B** **6** ὁμίλει **PF** : ὁμείλῃ **B** **6–7** θεοὺς τίμα, γονέας αἰδοῦ **BPΦ** : γονεῖς τίμα· θεοὺς φοβοῦ **F** **8** αἲ **BP** : αἳ **F** | μελεδωνέων B : μελεδωνῶν **BF**^{2} (-δον- **F**^{1}) **9** ἑξήκοντα ἔτη **BP** **10** αὐτὸν **B** | εἰπεῖν **BPF**^{2} : εἶπεν **F**^{1} **11** κἂν **BPF** : καὶ Thiersch | τοῦτο **BF**^{1} : τοῦτον **PF**^{2} **12** σευ **B** : σ' εὖ **PF** : σέο West | τοῖον **BPF** : λῷον Florens Christianus **13** καὶ μεταποίησον in mg **F**^{2} | Λιγιαστάδη West, Λιγυαστάδη Bergk : αιγιασταδη B : αἰγιασταδὶ **F** : αγιασταδὶ **P**^{1}**QW** : ἀγυιὰς ταδὶ **P**^{4}**H** **14** κίχει **B**

Τῶν δὲ ᾀδομένων αὐτοῦ ἐστι τάδε·

Πεφυλαγμένος ἄνδρα ἕκαστον ὅρα,
μή ⟨σε⟩ κρυπτὸν ἔγχος ἔχων κραδίᾳ
φαιδρῷ προσεννέπῃ προσώπῳ,
γλῶσσα δέ οἱ διχόμυθος
ἐκ μελαίνας φρενὸς γεγωνῇ.

Γέγραφε δὲ δῆλον μὲν ὅτι τοὺς νόμους, καὶ δημηγορίας καὶ εἰς ἑαυτὸν ὑποθήκας, ἐλεγεῖα, καὶ τὰ περὶ Σαλαμῖνος καὶ τῆς Ἀθηναίων πολιτείας ἔπη πεντακισχίλια, καὶ ἰάμβους καὶ ἐπῳδούς.

62 Ἐπὶ δὲ τῆς εἰκόνος αὐτοῦ ἐπιγέγραπται τάδε·

Ἡ Μήδων ἄδικον παύσασ' ὕβριν ἥδε Σόλωνα
τόνδε τεκνοῖ Σαλαμὶς θεσμοθέτην ἱερόν.

Ἤκμαζε μὲν οὖν περὶ τὴν τεσσαρακοστὴν ἕκτην Ὀλυμπιάδα, ἧς τῷ τρίτῳ ἔτει ἦρξεν Ἀθήνησι, καθά φησι Σωσικράτης· ὅτε καὶ τίθησι τοὺς νόμους. Ἐτελεύτησε δὲ ἐν Κύπρῳ βιοὺς ἔτη ὀγδοήκοντα, τοῦτον ἐπισκήψας τοῖς ἰδίοις τὸν τρόπον· ἀποκομίσαι αὐτοῦ τὰ ὀστᾶ εἰς Σαλαμῖνα καὶ τεφρώσαντας εἰς τὴν χώραν σπεῖραι. Ὅθεν καὶ

2–6 Solonis Fr. 42 Bergk (*Scol. anon.* 32 Diehl; Lobonis Fr. 9 Croenert); *Suppl. Hell.* 522 **12–13** *Anth. Pal.* 9. 595 b. Cf. 7.86. Lobonis Fr. 9 Cr.; *Suppl. Hell.* 511 **14–15** i.e. anno 594 **18** ἀποκομίσαι – **19** σπεῖραι : Plut. *Sol.* 32.4

3 σε add. Wilamowitz (*Kl. Schr.* IV, 388) | ἔγχος ἔχων **BPF Φ** : ἔχθος (odium *Ambros.*) ἔχων Casaubon : ἔχων ἔχθος Hartung | κραδία **BP**^{1} : κραδίῃ **FP**^{3}**WΦ** **4** φαιδρῷ ⟨σε⟩ Bergk (te *Ambros.*) | προσεννέπῃ **Φ** : προσενέπῃ **BPF** **5** τοι **Φ** **6** μελαίνας **BPΦ** : μελαίνης **F** | γεγωνῇ **P**^{2}**F**^{2}, γεγώνῃ **B** : γεγονῇ **P**^{1} : γεγώνοι **F**^{1}, γεγόνοι **Φ** **8** καὶ^1 **F** : δὲ καὶ **BP** **11** αὐτοῦ **F** : αὐτῷ(ι) **BP** | τάδε **F** : τόδε **BP** **15** ἦρξεν **BP** : ἦρχεν **F** | Ἀθήνησι Cobet : ἀθηναίων **BPF** **16** σωκράτης **B**

Κρατῖνος ἐν τοῖς Χείρωσί φησιν, αὐτὸν ποιῶν λέγοντα·

οἰκέω δὲ νῆσον, ὡς μὲν ἀνθρώπων λόγος,
ἐσπαρμένος κατὰ πᾶσαν Αἴαντος πόλιν.

Ἔστι δὲ καὶ ἡμέτερον ἐπίγραμμα ἐν τῇ προειρημένῃ Παμμέτρῳ, ἔνθα καὶ περὶ πάντων τῶν τελευτησάντων ἐλλογίμων διείλεγμαι παντὶ μέτρῳ καὶ ῥυθμῷ, ἐπιγράμμασι καὶ μέλεσιν, ἔχον οὕτως· **63**

Σῶμα μὲν ἦρε Σόλωνος ἐν ἀλλοδαπῇ Κύπριον πῦρ,
ὀστὰ δ' ἔχει Σαλαμίς, ὧν κόνις ἀστάχυες·
ψυχὴν δ' ἄξονες εὐθὺς ἐς οὐρανὸν ἤγαγον· εὖ γὰρ
θῆκε νόμους αὐτοῖς ἄχθεα κουφότατα.

Ἀπεφθέγξατο δέ, φασί, Μηδὲν ἄγαν. Καὶ αὐτόν φησι Διοσκουρίδης ἐν τοῖς Ἀπομνημονεύμασιν, ἐπειδὴ δακρύοι τὸν παῖδα τελευτήσαντα, ὃν ἡμεῖς οὐ παρειλήφαμεν, πρὸς τὸν εἰπόντα, "Ἀλλ' οὐδὲν ἀνύτεις," εἰπεῖν, "Δι' αὐτὸ δὲ τοῦτο δακρύω, ὅτι οὐδὲν ἀνύτω."

Φέρονται δὲ αὐτοῦ καὶ ἐπιστολαὶ αἵδε·

Σόλων Περιάνδρῳ

Ἀπαγγέλλεις μοι πολλούς τοι ἐπιβουλεύειν. Σὺ δὲ εἰ **64**

2–3 Cratini Fr. 246 (*PCG* IV) **8–11** *Anth. Pal.* 7.87 **12** Stob. 3.1.172 β′ 1; p. 366 s. Tz. **12** Καὶ αὐτὸν – **16** *FGrHist* 594 F 6 **18–p. 44.9** Hercher, p. 636 **19–p. 44.1** Herod. 5.92 η 1

2 οἰκέω **BP**, οἰκαίω **F** : οἰκῶ Huebner | δὲ **BP** : δὴ **F** **5** ἔνθα – **6** μέτρω in mg infer. **F**[2] **9** ὀστὰ Cobet : ὀστᾶ **BPF** : ὀστέα *Pal.* **11** αὐτοῖς **BPF** : ἀστοῖς Casaubon **12** ἀπεφθέγξατο **F**[2]**P**[3]**WV** : ἀνεφθέγξατο **BP**[1]**F**[1]**Q** **13** δακρύοι **B**, Stephanus : δακρύει **PF** **14** παρειλήφαμεν **BP** : παρελάβομεν **F** **15** ἀνύττεις **P** **16** ἀνύτω **BFP**[5] : ἀνύττω **P**[1] : ἀνύω **Φ** **17** καὶ ss. **F**[2] **19** ἀπαγγέλλεις Menagius : ἐπαγγέλλεις **BPF**

μὲν μέλλεις ἐκποδὼν ἅπαντας ποιήσεσθαι, οὐκ ἂν φθάνοις. Ἐπιβουλεύσειε δ' ἄν τις καὶ τῶν ἀνυπόπτων, ὁ μὲν δεδιὼς περὶ αὐτῷ, ὁ δὲ σοῦ καταγνούς, οὐκ ἔσθ' ὅ τι οὐκ ὀρρωδοῦντος· κἂν τῇ πόλει χάριν κατάθοιτο ἐξευρών, ἣν μὴ ὕποπτος εἴης. Ἄριστον μὲν οὖν ⟨τοι τῆς ἀρχῆς⟩ ἀπέχεσθαι, ἵνα τῆς αἰτίας ἀπαλλαγῇς. Εἰ δὲ πάντως τυραννητέον, φροντίζειν ὅπως τὴν ἀλλοδαπὴν δύναμιν πλείονα ἕξεις τῆς ἐν τῇ πόλει, καὶ οὐδείς ἔτι τοι δεινός, μηδὲ σὺ ἐκποδών τινα ποιού⟨μενος⟩.

Σόλων Ἐπιμενίδῃ

Οὔτε οἱ ἐμοὶ θεσμοὶ ἄρα Ἀθηναίους ἐπιπολὺ ὀνήσειν ἔμελλον, οὔτε σὺ καθήρας τὴν πόλιν ὤνησας. Τό τε γὰρ θεῖον καὶ οἱ νομοθέται οὐ καθ' ἑαυτὰ δύνανται ὀνῆσαι τὰς πόλεις, οἱ δὲ ἀεὶ τὸ πλῆθος ἄγοντες ὅπως ἂν γνώμης ἔχωσιν. Οὕτω δὲ καὶ τὸ θεῖον καὶ οἱ νόμοι, εὖ μὲν ἀγόντων, εἰσὶν ὠφέλιμοι· κακῶς δὲ ἀγόντων, οὐδὲν ὠφελοῦσιν.

65 Οὐδ' οἱ ἐμοὶ ἀμείνους εἰσὶ καὶ ὅσα ἐγὼ ἐνομοθέτησα. Οἱ δ' ἐπιτρέποντες τὸ ξυνὸν ἔβλαπτον, οἳ οὐκ ἐγένοντο

10–p. 45.20 Hercher, *ib.*

1 μέλλης **F** **3** αὐτῷ **P^4H** : αὐτῶι **P^1** : αὐτῶν **B^1**, αὐτοῦ **B^2** : αὐτὸ **F** **4** κατάθοιτο **P^1** : κατάθηται **B^2** : κατατίθειο **F** | ἐξευρὼν **BPF** : ἐξαιρῶν Richards **5** οὖν **B$P^1$$F^2$** : οὖν ἦν **$F^1$$P^4$H** | τοι τῆς ἀρχῆς supplevi **6** ἀπαλλαγῇς Cobet : ἀπαλλαγείης **BPF** **8** πλείονα **BF** : μείζονα **P** | τῆς **BP** : τῶν **F** **9** ποιού⟨μενος⟩ scripsi (cf. v. 1) : ποιοῦ **BPF** **13** ὀνῆσαι **FP^4H** : ὀνίναι **BP^1**γρ.**W** : ὀνεῖν **P^1Q** **16** ἀγόντων del. Cobet **17** καὶ οὐδ' **F** | ὅσα **BP** : ὅσους **F** **18** ξυνὸν **BF** : κοινὸν **P**

ἐμποδὼν Πεισιστράτῳ ἐπιθέσθαι τυραννίδι. Οὐδ' ἐγὼ προλέγων πιστὸς ἦν· ἐκεῖνος δὲ πιστότερος κολακεύων Ἀθηναίους ἐμοῦ ἀληθεύοντος. Ἐγὼ δὴ θέμενος πρὸ τοῦ στρατηγίου τὰ ὅπλα εἶπον τῶν μὲν μὴ αἰσθανομένων Πεισίστρατον τυραννησείοντα εἶναι ξυνετώτερος, τῶν δὲ ὀκνούντων ἀμύνασθαι ἀλκιμώτερος. Οἱ δὲ μανίαν Σόλωνος κατεγίνωσκον. Τελευτῶν δὲ ἐμαρτυράμην· "Ὦ πατρίς, οὗτος μὲν Σόλων καὶ λόγῳ καὶ ἔργῳ ἕτοιμός τοι ἀμύνειν· τοῖς δ' αὖ καὶ μαίνεσθαι δοκῶ. Ὥστε ἄπειμί τοι ἐκ μέσου ὁ μόνος ἐχθρὸς Πεισιστράτου· οὗτοι δὲ καὶ δορυφορούντων αὐτόν, εἴ τι βούλονται." Ἴσθι γὰρ τὸν ἄνδρα, ὦ ἑταῖρε, δεινότατα ἀψάμενον τῆς τυραννίδος. Ἤρξατο μὲν δημαγωγεῖν· εἶτα δὲ ἑαυτῷ τραύματα ποιή- 66
σας, παρελθὼν ἐφ' ἡλιαίαν ἐβόα φάμενος πεπονθέναι ταῦτα ὑπὸ τῶν ἐχθρῶν· καὶ φύλακας ἠξίου παρασχεῖν οἱ τετρακοσίους τοὺς νεωτάτους. Οἱ δὲ ἀνηκουστήσαντές μου παρέσχον τοὺς ἄνδρας· οὗτοι δὲ ἦσαν κορυνηφόροι. Καὶ μετὰ τοῦτο τὸν δῆμον κατέλυσεν. Ἦ μάτην ἔσπευδον ἀπαλλάξαι τοὺς πένητας αὐτῶν τῆς θητείας, οἵ γε δὴ νῦν ξύμπαντες ἑνὶ δουλεύουσι Πεισιστράτῳ.

Σόλων Πεισιστράτῳ

Πιστεύω μηδὲν κακὸν ἐκ σοῦ πείσεσθαι. Καὶ γὰρ πρὸ τῆς τυραννίδος φίλος σοὶ ἦν, καὶ νῦν οὐ μᾶλλον διάφορος

1–18 κατέλυσεν : cf. 1.49–50; Plut. *Sol.* 30.1–4; Herod. 1.59 et 63 **18–20** cf. 1.113 **21–p. 46.15** Hercher, p. 637

1 ἐμποδὼν : ab -ποδὼν usque ad p. 103.8 τὴν τοῦ ἀέρος πλῆξιν textum in **F** (f. 9^r–19^v) manus recentior scripsit (= **F**^{3}) **3** πρὸς **F**^{3} **4** στρατηγίου **BPF**^{3} : στρατηγείου Cobet **6** ἀμύνασθαι **PF**^{3} : ἀμείνασθαι **B** : ἀμύνεσθαι Cobet **7** δὲ **F**^{3}**P**^{5} : om. **BP**^{1}**QWH** **8** ἕτοιμός τοι καὶ λόγω καὶ ἔργω**F**^{3} **9** τοι **F**^{3} : οἱ **B**^{1}**P** : expunxit **B**^{2} **10** οὗτοι **BPF**^{3} : οἱ Cobet | δορυφοροῦντα **F**^{3} **14** ἐφ' ἡλιαίαν Menagius : ἐπ' ἡλιαίαν **PF**^{3} : ἐπὶ λιαίαν **B** **17** δὲ **F**^{3}**P**^{4}**H** : om. **BP**^{1}**QW**

ἢ τῶν ἄλλων τις Ἀθηναίων ὅτῳ μὴ ἀρέσκει τυραννίς.
Εἴτε δὲ ὑφ' ἑνὸς ἄρχεσθαι ἄμεινον αὐτοῖς, εἴτε δεῖ δημο-
67 κρατεῖσθαι, πεπείσθω ᾗ ἑκάτερος γινώσκει. Καὶ σέ φημι
πάντων τυράννων εἶναι βέλτιστον. Ἐπανήκειν δέ μοι Ἀθήναζε οὐ καλῶς ἔχον ὁρῶ, μή μέ τις μέμψηται, εἰ διαθεὶς Ἀθηναίοις ἰσοπολιτείαν, καὶ παρὸν τυραννεῖν αὐτὸς οὐκ ἀξιώσας, νῦν ἐπανελθὼν ἀρεσκοίμην οἷς σὺ πράσσεις.

Σόλων Κροίσῳ

Ἄγαμαί σε τῆς περὶ ἡμᾶς φιλοφροσύνης· καὶ νὴ τὴν Ἀθηνᾶν, εἰ μὴ περὶ παντός μοι ἦν οἰκεῖν ἐν δημοκρατίᾳ, ἐδεξάμην ἂν μᾶλλον τὴν δίαιταν ἔχειν ἐν τῇ παρὰ σοὶ βασιλείᾳ ἢ Ἀθήνησι, τυραννοῦντος βιαίως Πεισιστράτου. Ἀλλὰ καὶ ἡδίων ἡμῖν ἡ βιοτὴ ἔνθα πᾶσι τὰ δίκαια καὶ ἴσα. Ἀφίξομαι δ' οὖν παρὰ σέ, σπεύδων τοι ξένος γενέσθαι.

ΧΕΙΛΩΝ

68 Χείλων Δαμαγήτου Λακεδαιμόνιος. Οὗτος ἐποίησεν ἐλεγεῖα εἰς ἔπη διακόσια, καὶ ἔφασκε πρόνοιαν περὶ τοῦ μέλλοντος λογισμῷ καταληπτὴν εἶναι ⟨κατ'⟩ ἀνδρὸς ἀρετήν. Πρός τε τὸν ἀδελφὸν δυσφοροῦντα ὅτι μὴ ἔφορος

18–p. 47.6 παραζευγνύναι : Lobonis Fr. 10 Cr. **21** Πρὸς – **p. 47.2** οὔ : Plut. *Regum apophth.* 190 A; *Lacon. apophth.* 232 B; Menandri Γεωργός, Fr. 3 Sandbach

2 δεῖ **F^3P^4H** : δέει **P^1QW** : δεη **B**, δέῃ Menagius : om. Cobet **3** ἑκάτερος **BP** : ἕκαστος **F^3** **6** παρὸν **B^1P F^3** : παρὼν **B^2** **7** ἀξιώσας **BP** : ἠξίωσα **F^3** **10** σε **PF^3** : σου **B** **12** σοὶ **BP** : σοῦ **F^3** **17** *tit.* χείλων **P**, χίλων **F^3** p.c. : om. **B** spatio relicto **18** χείλων **BP** : χίλων **F^3** **19** ἐλεγείαν **P** **20** κατ' addidi : lac. indicavit Croenert | ἀρετῇ **F^3**

ἐγένετο, αὐτοῦ ὄντος, "Ἐγὼ μὲν γὰρ ἐπίσταμαι," εἶπεν, "ἀδικεῖσθαι, σὺ δὲ οὔ." Γέγονε δὲ ἔφορος κατὰ τὴν πεντηκοστὴν ἕκτην Ὀλυμπιάδα (Παμφίλη δέ φησι κατὰ τὴν ἕκτην, καὶ πρῶτον ἔφορον γενέσθαι) ἐπὶ Εὐθυδήμου, ὥς φησι Σωσικράτης. Καὶ πρῶτος εἰσηγήσατο ⟨τὸ⟩ ἐφόρους τοῖς βασιλεῦσι παραζευγνύναι· Σάτυρος δὲ Λυκοῦργον.

Οὗτος, ὥς φησιν Ἡρόδοτος ἐν τῇ πρώτῃ, Ἱπποκράτει θυομένῳ ἐν Ὀλυμπίᾳ, τῶν λεβήτων αὐτομάτων ζεσάντων, συνεβούλευσεν ἢ μὴ γῆμαι, ἤ, εἰ ἔχοι γυναῖκα, ἐκπέμψαι καὶ παῖδας ἀπείπασθαι. Φασὶ δ' αὐτὸν καὶ 69
Αἰσώπου πυθέσθαι, ὁ Ζεὺς τί εἴη ποιῶν· τὸν δὲ φάναι· "Τὰ μὲν ὑψηλὰ ταπεινοῦν, τὰ δὲ ταπεινὰ ὑψοῦν." Ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη, "Ἐλπίσιν ἀγαθαῖς." Τί δύσκολον; "Τὸ τὰ ἀπόρρητα σιωπῆσαι, καὶ σχολὴν εὖ διαθέσθαι, καὶ ἀδικούμενον δύνασθαι φέρειν." Προσέταττε δὲ καὶ ταῦτα· Γλώττης κρατεῖν, καὶ μάλιστα ἐν συμποσίῳ. Μὴ κα-

2–6 Apollodori F 335 c (*FGrHist* 244) **2–3** i.e. 556–552 **3** Παμφίλη : Fr. 2 (*FHG* III, 520) **3–4** τὴν ἕκτην : i.e. 756–752 **4** ἐπὶ Εὐθυδήμου : i.e. 556–555 **5** Σωσικράτης : Fr. 12 (*FHG* IV, 502) **6** Σάτυρος : Fr. 8 (*FHG* III, 162) **7–10** ἀπείπασθαι : Herod. 1.59 **10–12** ὑψοῦν : Aesopi *Sent.* 9 (p. 250 Perry); *Gnom. Vat.* 553; Stob. 4.41.61 **13** Ἐρωτηθεὶς – **14** ἀγαθαῖς : cf. Isocrat. *Apophth.* 8 **14** Τί δύσκολον – **16** φέρειν : *Gnom. Vat.* 554 **17** Γλώττης – ἐν συμποσίῳ : cf. Stob. 3.1.172 γ′ 2 (= 10.3 DK); pp. 167 s.; 286 et 382 s. Tz. **17** Μὴ κακολογεῖν – **p. 48.1** λυπήσεσθαι : Stob. 4; pp. 169 s. et 386 Tz.

3 ἕκτην **BP** : πέμπτην **F**^{3} **5** τὸ add. Reiske **9** ἔχοι **PF**^{3} : ἔχει **B** **10–11** αὐτοῦ καὶ Αἴσωπον Reiske (Χίλων Αἰσώπου πυθομένου ... εἶπε *Gnom. Vat.*) **11** πονῶν **F**^{3} **12** ταπεινῶν et ὑψῶν Cobet **13** τίνι **BPΦ** : τί **F**^{3} **14–15** "Μάλιστα τὸ τὰ ἀπόρρητα ... " *Gnom. Vat.* **16** δύνασθαι secl. Cobet

κολογεῖν τοὺς πλησίον· εἰ δὲ μή, ἀκούσεσθαι ἐφ' οἷς λυ-
70 πήσεσθαι. Μὴ ἀπειλεῖν μηδενί· γυναικῶδες γάρ. | Ταχύτερον ἐπὶ τὰς ἀτυχίας τῶν φίλων ἢ ἐπὶ τὰς εὐτυχίας πορεύεσθαι. Γάμον εὐτελῆ ποιεῖσθαι. Τὸν τεθνηκότα μὴ κακολογεῖν. Γῆρας τιμᾶν. Φυλάττειν ἑαυτόν. Ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρόν· ἡ μὲν γὰρ ἅπαξ ἐλύπησε, τὸ δὲ διὰ παντός. Ἀτυχοῦντι μὴ ἐπιγελᾶν. Ἰσχυρὸν ὄντα πρᾷον εἶναι, ὅπως οἱ πλησίον αἰδῶνται μᾶλλον ἢ φοβῶνται. Μανθάνειν τῆς αὑτοῦ οἰκίας καλῶς προστατεῖν. Τὴν γλῶτταν μὴ προτρέχειν τοῦ νοῦ. Θυμοῦ κρατεῖν. Μαντικὴν μὴ ἐχθαίρειν. Μὴ ἐπιθυμεῖν ἀδυνάτων. Ἐν ὁδῷ μὴ σπεύδειν. Λέγοντα μὴ κινεῖν τὴν χεῖρα· μανικὸν γάρ. Νόμοις πείθεσθαι. Ἠρεμίᾳ χρῆσθαι.
71 Τῶν δὲ ᾀδομένων αὐτοῦ μάλιστα εὐδοκίμησεν ἐκεῖνο·

2 Μὴ ἀπειλεῖν : cf. Stob. 3; p. 168 Tz. **2** Ταχύτερον – **4** πορεύεσθαι : Stob. 5; pp. 170–172 Tz. **4** Stob. 6; p. 172 Tz. **4** Τὸν – **5** κακολογεῖν : cf. Stob. 7; p. 172 s. Tz. **5** Γῆρας τιμᾶν : cf. Stob. 8; p. 173 s. et 386 Tz. **5** Ζημίαν – **7** διὰ παντός : Stob. 10; pp. 175–177 et 387 s. Tz. **7** Ἀτυχοῦντι μὴ ἐπιγελᾶν : Stob. 11; pp. 177–179 et 388 Tz. **8** Ἰσχυρὸν – **9** φοβῶνται : Stob. 12; p. 179 s. Tz. **9** Μανθάνειν – **10** προστατεῖν : Stob. 13; p. 180 s. Tz. **10** Τὴν γλῶτταν – τοῦ νοῦ : Stob. 14; pp. 182 s. et 388 Tz. **10–11** Θυμοῦ κρατεῖν : Stob. 15; pp. 181 s. et 388 s. Tz. **11** Μὴ ἐπιθυμεῖν ἀδυνάτων : Stob. 16; p. 184 s. Tz. **12** Ἐν ὁδῷ μὴ σπεύδειν : Stob. 17; p. 389 Tz. **12** Λέγοντα – **13** μανικὸν γάρ : Stob. 18; p. 186 s. Tz. **13** Νόμοις πείθεσθαι : Stob. 19; pp. 187 s. et 389 Tz. | Ἠρεμίᾳ χρῆσθαι : p. 188 Tz.

1 τοὺς **BPΦ** Stob. : τὸν **F**[3] et p. 169 Tz. | λυπήσεσθαι : λυπηθήσεσθαι Stob. et p. 169 Tz. **7** ἐπιγελᾶν **BPF**[3] : ἐπεγγελᾶν **Φ** **9** αὑτοῦ **BPF**[3], corr. Huebner : ἑαυτοῦ **Φ** **11** ἐκχθαίρειν **B** **14** αὐτῷ **F**[3] | ἀδοκίμησεν **F**[3]

Ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται
διδοὺς βάσανον φανεράν·
ἐν δὲ καιρῷ
ἀνδρῶν ἀγαθῶν τε κακῶν τε
νοῦς ἔδωκ' ἔλεγχον.

Φασὶ δ' αὐτόν ποτε γηραιὸν ἤδη ὄντα εἰπεῖν ὡς οὐδὲν συνειδείη ἄνομον ἑαυτῷ ἐν τῷ βίῳ· διστάζειν δὲ περὶ ἑνός. Κρίνων γάρ ποτε φίλῳ δίκην αὐτὸς μὲν κατὰ τὸν νόμον ⟨καταδικάσειε⟩, τοὺς δὲ ἄλλους πείσειεν ἀποδικάσαι αὐτόν, ἵνα ἀμφότερα καὶ τὸν νόμον καὶ τὸν φίλον τηρήσαι.

Ἐνδοξότατος δὲ μάλιστα παρὰ τοῖς Ἕλλησιν ἐγένετο προειπὼν περὶ Κυθήρων τῆς νήσου τῆς Λακωνικῆς. Καταμαθὼν γὰρ τὴν φύσιν αὐτῆς, "Εἴθε," ἔφη, "μὴ ἐγεγόνει, ἢ γενομένη κατεβυθίσθη." Καὶ εὖ προὐνοήσατο. | Δημάρα- 72
τος

1–5 Arsen. *Violetum,* p. 479 Walz; Lobonis Fr. 10 Cr.; *Suppl. Hell.* 523; III, p. 199 Bergk. Cf. Theogn. 119–128 **6–11** Gell. 1.3.3–7 **13** περὶ Κυθήρων – **p. 50.3** Ξέρξης : Herod. 7.235.2–3

1 Ἐν ⟨μὲν⟩ λιθίναις Bergk | λιθίναις **BF^{3}ΦP^{4}H** : ἀθήναις **P^{1}QW** **2** φανεράν **BPΦ** : φοβερὰν **F^3** **3** καιρῷ scripsi coni. Menandri *Sent.* 385 Jaekel (Κρίνει φίλους ὁ καιρός, ὡς χρυσὸν τὸ πῦρ) : χρυσῷ **BPF^{3}Φ** : χρόνῳ W. Headlam (*C.R.* 14 [1900] 6 s.) coni. Simonidis Fr. 175 Bergk (ap. Stob. 1.8.15) **7** συνειδεῖν **B** | ἄνομον **F^3** : ἀγνῶμον **BPΦ** | ἑαυτῷ **B^2** (ἑαυτὸν **B^1**) **8** φίλον δίκη **F^3** **9** καταδικάσειε post Menagium (κατεδίκαζε) add. Roeper^2 | τοὺς δὲ ἄλλους Roeper^2 (cf. Gellium : Ipse tacitus ad condemnandum sententiam tuli, is qui simul iudicabant, ut absolverent, persuasi) : τὸν δὲ φίλον **BPF^3** : τοὺς δὲ φίλους (supple συνδικαστάς) Menagius **10** αὐτόν Menagius, Roeper : αὐτοῦ **BP** : αὐτῷ **F^3** **11** τηρήσαι **F^3** : τηρήση **BP** **12** δὲ **BP** : δὴ **F^3** **13** κυθήρων **BP** : κυθήρας **F^3** **14** ἐγεγόνει **F^{3}Φ** : γεγόνει **BP**, *Frob.* **15** κατεβυθίστη **Φ**, Cobet : καταβυθισθῆναι **BPF^3**

μὲν γὰρ φυγὰς ὢν Λακεδαιμονίων Ξέρξῃ συνεβούλευσε τὰς ναῦς συνέχειν ἐν τῇ νήσῳ· κἂν ἑαλώκει ἡ Ἑλλάς, εἰ ἐπείσθη Ξέρξης. Ὕστερόν τε Νικίας ἐπὶ τῶν Πελοποννησιακῶν καταστρεψάμενος τὴν νῆσον, φρουρὰν ἐγκατέστησεν Ἀθηναίων, καὶ πάμπολλα τοὺς Λακεδαιμονίους κακὰ διέθηκε.

Βραχυλόγος τε ἦν· ὅθεν καὶ Ἀρισταγόρας ὁ Μιλήσιος τοῦτον τὸν τρόπον Χιλώνειον καλεῖ. ⟨*⟩ Βράγχου δὲ εἶναι, ὃς τὸ ἱερὸν ἔκτισε τὸ ἐν Βραγχίδαις. Ἦν δὲ γέρων περὶ τὴν πεντηκοστὴν δευτέραν Ὀλυμπιάδα, ὅτε Αἴσωπος ὁ λογοποιὸς ἤκμαζεν. Ἐτελεύτησε δ', ὥς φησιν Ἕρμιππος, ἐν Πίσῃ, τὸν υἱὸν Ὀλυμπιονίκην πυγμῆς ἀσπασάμενος. Ἔπαθε δὴ τοῦτο ὑπερβολῇ τε χαρᾶς καὶ ἀσθενείᾳ πολυετίας. Καὶ αὐτὸν πάντες οἱ κατὰ τὴν πανήγυριν ἐντιμότατα παρέπεμψαν.

Ἔστι δὲ καὶ εἰς τοῦτον ἐπίγραμμα ἡμῶν·

73 Φωσφόρε, σοί, Πολύδευκες, ἔχω χάριν, οὕνεκεν υἱὸς
  Χείλωνος πυγμῇ χλωρὸν ἕλεν κότινον.
Εἰ δ' ὁ πατὴρ στεφανοῦχον ἰδὼν τέκνον ἤμυσεν ἡσθείς,
  οὐ νεμεσητόν· ἐμοὶ τοῖος ἴτω θάνατος.

7–8 καλεῖ : *FGrHist* 608 F 11 **10** i.e. 572–568 **10–11** Aesopi T 8 Perry **11** Ἐτελεύτησε – **15** παρέπεμψαν : Hermippi Fr. 12 Wehrli **17–20** *Anth. Pal.* 7.88

2 ἑαλώκει **BPF³** : ἥλω **Φ** **3** τε **BPF³** : δὲ **Φ** | τῶν **PF³** : τὸν **B** | πελοποννησιακῶν **B²F³P⁴(H)** : πελοποννησίων **B¹P¹Q W** **8** post καλεῖ lac. indicavit Menagius : καί τινες addit **W²** | δὲ **BP** : μὲν γὰρ **F³** **12** πείσῃ **B** : πίσσῃ(ι) **PF³Φ** | πυγμῆς **BPF³** : om. **Φ**, del. Roeper² : σφυγμῇ (incomposito pulsu) O. Jahn (*Philol.* 26 [1867] 4) | ἀσπασάμενος **PFF³** : θεασάμενος **Φ** | ἀσπασάμενος πυγμῆς **BPF³**, transp. Menagius **13** δὴ **BPF³** : δὲ **Φ** **16** ἐπίγραμμα om. **B** **17** φωσφόρες οἱ **B** **18** χείλωνος **BP** : χίλωνος **F³** et *Pal.* **19** τέκνον om. *Pal.*

Ἐπὶ δὲ τῆς εἰκόνος αὐτοῦ ἐπιγέγραπται τόδε·

Τόνδε δοριστέφανος Σπάρτα Χείλων' ἐφύτευσεν,
ὃς τῶν ἑπτὰ σοφῶν πρῶτος ἔφυ σοφίᾳ.

Ἀπεφθέγξατο "Ἐγγύα, πάρα δ' ἄτα." Ἔστιν αὐτοῦ καὶ ἐπιστόλιον τόδε·

Χείλων Περιάνδρῳ

Ἐπιστέλλεις ἐμὶν ἐκστρατείαν ἐπὶ ἐκδάμως, ὡς αὐτός κα ἐξέρποις· ἐγὼν δὲ δοκέω καὶ τὰ οἰκῆα σφαλερὰ ἦμεν ἀνδρὶ μονάρχῳ, καὶ τῆνον τυράννων εὐδαιμονίζω ὅστις κα οἴκοι ἐξ αὐτῶ αὐτὸς κατθάνῃ.

ΠΙΤΤΑΚΟΣ

Πιττακὸς Ὑρραδίου Μυτιληναῖος. Φησὶ δὲ Δοῦρις τὸν 74
πατέρα αὐτοῦ Θρᾷκα εἶναι. Οὗτος μετὰ τῶν Ἀλκαίου

2–3 *Anth. Pal.* 9.596; Lobonis Fr. 10 Cr.; *Suppl. Hell.* 512 **4** Ἐγγύα, πάρα δ' ἄτα : Diod. 9.10.1; Plin. *N.H.* 7.119; *PSI* 1093, col. I. 21–23; pp. 188–190 Tz.; *Suda,* 17 Θαλῆς; Arsen. *Violetum,* p. 419 Walz **6–10** Hercher, p. 193 **12–13** Duridis F 75 (*FGrHist* 76)

1 αὐτοῦ **F^3** : αὐτῶ(ι) **BP** **2** δορυστέφανος **F^{3}V** | χείλων' ἐφύτευσεν **PF^3** : χείλωνα φύτευσεν **B** *Pal.* **3** σοφία **BP^{1}QW** : σοφίη **F^{3}P^{4}H** **4** αὐτοῦ ss. **B^2** **7** ἐπιστέλλεις **BP** : ἐπιτέλεις **F^3** | ἐμῖν **P**, εμειν **B** : ἐμοὶ **F^3** | ἐκστρατείαν Casaubon : ἀστρατείαν **F^{3}P^{2}Q** : αἰστρατείας **P^1**, αιστρατηας **B** | ἐπεὶ **F^3** | ἐκδάμως **P**, εκδαμῶς **B** : ἔκδαμος **F^3** **8** κα **BP** : καὶ **F^3** | ἐξέρποις **BP** : ἐξέρπης **F^3** | ἐγὼν **P^{4}H** : ἐγὼ **F^3** : αιτῶν **P^{1}QW** : ετων **B** | οἰκῆα **B** : οἰκεῖα **PF^3** **10** κα Cobet : καὶ **BPF^3** | οικει **B** | αὐτῶ Cobet : αὐτω **B** : αὐτοῦ **PF^3** | αὐτὸς ante αυτω vel αὐτοῦ **BPF^3**, transp. Menagius **11** *tit.* **PF^3** : om. **B** spatio relicto **12** ὑρραδίου **BP^{4}H** : ὕρρα **P^{1}QW** : ὑρράδιος **F^3** | μιτυληναῖος hic et ubique **BPF^3**

γενόμενος ἀδελφῶν Μέλαγχρον καθεῖλε τὸν τῆς Λέσβου τύραννον· καὶ περὶ τῆς Ἀχιλλείτιδος χώρας μαχομένων Ἀθηναίων καὶ Μυτιληναίων ἐστρατήγει ⟨Μυτιληναίων⟩ μὲν αὐτός, Ἀθηναίων δὲ Φρύνων παγκρατιαστὴς Ὀλυμπιονίκης. Συνέθετο δὴ μονομαχῆσαι πρὸς αὐτόν· καὶ δίκτυον ἔχων ὑπὸ τὴν ἀσπίδα λαθραίως περιέβαλε τὸν Φρύνωνα, καὶ κτείνας ἀνεσώσατο τὸ χωρίον. Ὕστερον μέντοι φησὶν Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς διαδικασθῆναι τοὺς Ἀθηναίους περὶ τοῦ χωρίου πρὸς τοὺς Μυτιληναίους, ἀκούοντος τῆς δίκης Περιάνδρου, ὃν καὶ τοῖς Ἀθηναίοις προσκρῖναι.

75 Τότε δ' οὖν τὸν Πιττακὸν ἰσχυρῶς ἐτίμησαν οἱ Μυτιληναῖοι, καὶ τὴν ἀρχὴν ἐνεχείρισαν αὐτῷ. Ὁ δὲ δέκα ἔτη κατασχὼν καὶ εἰς τάξιν ἀγαγὼν τὸ πολίτευμα, κατέθετο τὴν ἀρχήν, καὶ δέκα ἐπεβίω ἄλλα. Καὶ χώραν αὐτῷ ἀπένειμαν οἱ Μυτιληναῖοι· ὁ δὲ ἱερὰν ἀνῆκεν, ἥτις νῦν Πιττάκειος καλεῖται. Σωσικράτης δέ φησιν ὅτι ὀλίγον ἀποτεμόμενος ἔφη "Τὸ ἥμισυ τοῦ παντὸς πλεῖον εἶναι." Ἀλλὰ καὶ Κροίσου διδόντος χρήματα οὐκ ἐδέξατο, εἰπὼν ἔχειν ὧν ἐβούλετο διπλάσια· ἄπαιδος γὰρ τἀδελφοῦ τελευτήσαντος κεκληρονομηκέναι.

76 Παμφίλη δέ φησιν ἐν τῷ δευτέρῳ τῶν Ὑπομνημάτων ὡς τὸν υἱὸν αὐτοῦ Τυρραῖον καθήμενον ἐπὶ κουρείου ἐν

2 καὶ – **11** Strab. 13.1.38 **7** Ὕστερον – **11** *FGrHist* 244 F 27 **15** Καὶ – **17** καλεῖται : Plut. *De Herod. malign.* 858 AB **17–18** εἶναι : Sosicratis Fr. 13 (*FHG* IV, 502) **18** Hes. *Op.* 40; Plat. *Reip.* 5, 466 c 2 **19–21** Plut. *De frat. amore* 484 BC **22–p. 53.5** κρείσσων : Pamphilae Fr. 3 (*FHG* III, 521)

3 Μυτιληναίων^2 add. Casaubon, agn. Richards, Jacoby **8** διαδικασθῆναι **BF^{3}P^{4}H** : δικασθῆναι **P^{1}QW** **10** ἀκούσαντος **F^3** | ὧν **B** **13** ἐνεχείρησαν **BF^3** **19** οἱ διδόντες **Φ** **20** τοῦ (ἀδελφοῦ) **B^{2}Φ** **23** τυρραῖον **B^{2}PF^3** : τυραῖον **B^{1}Φ**

Κύμῃ χαλκεύς τις πέλεκυν ἐμβαλὼν ἀνέλοι. Τῶν δὲ Κυμαίων πεμψάντων τὸν φονέα τῷ Πιττακῷ, μαθόντα καὶ ἀπολύσαντα εἰπεῖν· "Συγγνώμη μετανοίας κρείσσων." Ἡρακλείδης δέ φησιν Ἀλκαῖον ὑποχείριον λαβόντα καὶ ἀπολύσαντα φάναι· "Συγγνώμη τιμωρίας κρείσσων."

Νόμον δὲ ἔθηκε· τῷ μεθύοντι, ἐὰν ἁμάρτῃ, διπλῆν εἶναι τὴν ζημίαν (ἵνα μὴ μεθύωσι, πολλοῦ κατὰ τὴν νῆσον οἴνου γινομένου). Εἶπέ τε "Χαλεπὸν ἐσθλὸν ἔμμεναι·" οὗ καὶ Σιμωνίδης μέμνηται λέγων· ""Ανδρ(α) ἀγαθὸν ἀλαθέως γενέσθαι χαλεπόν, τὸ Πιττάκειον." Μέμνηται αὐτοῦ 77
καὶ Πλάτων ἐν Πρωταγόρᾳ· "'Ανάγκᾳ δ' οὐδὲ θεοὶ μάχονται." Καὶ "'Αρχὴ ἄνδρα δεικνύει." Ἐρωτηθεὶς δέ ποτε τί ἄριστον, "Τὸ παρὸν εὖ ποιεῖν." Καὶ ὑπὸ Κροίσου, τίς ἀρχὴ μεγίστη, "Ἡ τοῦ ποικίλου," ἔφη, "ξύλου," σημαίνων τὸν νόμον. Ἔλεγε δὲ καὶ τὰς νίκας δεῖν ἄνευ αἵματος ποιεῖσθαι. Ἔφη δὲ καὶ πρὸς τὸν Φωκαϊκὸν φάσκοντα δεῖν ζητεῖν σπουδαῖον ἄνθρωπον, "(Κ)ἂν λίαν," ἔφη, "ζητῇς, οὐχ εὑρήσεις." Καὶ πρὸς τοὺς πυνθανομένους τί εὐχάριστον, "Χρόνος," ἔφη· ἀφανές, "Τὸ μέλλον·" πιστόν, "Γῆ·"

4 Ἡρακλείδης : i.e. Lembus (cf. 1.98) **4–5** Diod. 9.12.3; Stob. 3.19.14; *Gnom. Vat.* 457; p. 412 Tziatzi **8** Εἶπέ τε – **10** Πιττάκειον : Simonidis Fr. 5 Bergk; 542 Page (*PMG*); Plat. *Protag.* 339 a 1; Diogen. *Ep.* 51 (Hercher, p. 258) **11** Plat. *Protag.* 345 d 5 **12** Ἀρχὴ – δεικνύει : Apostol. 4.1 **19** ἀφανές, Τὸ μέλλον : cf. Stob. 3.1.172 ε΄ 9 (= 10.1 DK); p. 215 s. Tz. **19** πιστὸν – **p. 54.1** θάλασσα : Stob. 10; p. 216 Tz.

4 Ἡρακλείδης Roeper^2 : ἡράκλειτος **BPF^3** **6** Νόμον Roeper^4 : νόμους **BPF^{3}Φ** | εἶναι **F^{3}P^{4}H** : om. **BP^{1}QWΦ** **8** γινομένου **BPF^3** : ὄντος **Φ** | εἰπεῖν **B** **9** λέγων **B** : om. **PF^3** | ἀλαθέως **P** Plato : ἀλλὰ θεὸς **B** : ἀληθέως **F^3** **11** ἀνάγκα **BP** : ἀνάγκῃ **F^3** Plato **12** δεικνύει **BP^{1}F^3** : δείκνυσιν **P^5** **15** δεῖν **Φ** : om. **BPF^3** **16** δεῖ **F** **17** (Κ)ἂν Richards : ἂν **BPF^{3}Φ** | ζητῇς **BPF^3** : ζητήσῃς **Φ** **19** τί ἀφανές **F^3**

78 ἄπιστον, "Θάλασσα." Ἔλεγέ τε συνετῶν μὲν ἀνδρῶν, πρὶν γενέσθαι τὰ δυσχερῆ, προνοῆσαι ὅπως μὴ γένηται· ἀνδρείων δέ, γενόμενα εὖ θέσθαι. "Ὃ μέλλεις πράττειν, μὴπρόλεγε· ἀποτυχὼν γὰρ γελασθήσῃ." Ἀτυχίαν μὴ ὀνειδίζειν, νέμεσιν αἰδούμενον. Παρακαταθήκην λαβόντα ἀποδοῦναι. Φίλον μὴ λέγειν κακῶς, ἀλλὰ μηδ' ⟨εὖ⟩ ἐχθρόν. Εὐσέβειαν ἀσκεῖν. Σωφροσύνην φιλεῖν. Ἀλήθειαν ἔχειν, πίστιν, ἐμπειρίαν, ἐπιδεξιότητα, ἑταιρίαν, ἐπιμέλειαν.

Τῶν δὲ ᾀδομένων αὐτοῦ μάλιστα εὐδοκίμησε τάδε·

Ἔχοντα χρὴ τόξον ⟨τε⟩ καὶ ἰοδόκον φαρέτραν
στείχειν ποτὶ φῶτα κακόν·
πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ στόματος
λαλεῖ διχόμυθον ἔχουσα
καρδίῃ νόημα.

79 Ἐποίησε δὲ καὶ ἐλεγεῖα ἔπη ἑξακόσια, καὶ καταλογάδην Ὑπὲρ νόμων τοῖς πολίταις.

1 Ἔλεγέ τε – **3** εὖ θέσθαι : *Gnom. Vat.* 455 **3** Ὃ – **4** γελασθήσῃ : Stob. 2; pp. 208 et 409 Tz. **4** Ἀτυχίαν – **5** αἰδούμενον : cf. Stob. 5; pp. 210 s. et 410 Tz.; Isocr. *Ad Demon.* 29 **5–6** Stob. 6; pp. 211 s. et 409 s. Tz. **6** Φίλον – ἐχθρόν : cf. Stob. 8; pp. 213 et 410 Tz. **7** cf. Stob. 13; pp. 264 et 414 Tz. **7** Σωφροσύνην – **8** ἐπιμέλειαν : Stob. 13; pp. 217–219 Tz. **11–15** III, p. 198 Bergk; Lobonis Fr. 11 Cr.; *Suppl. Hell.* 524

1 μὲν **BΦ** *Gnom.* : om. **P**^{3} **2** προνοῆσθαι **B** **3** γενόμενα **BPF**^{3} *Gnom.* : γενομένων **Φ** **4** ἀτυχίαν δὲ **F**^{3} **5** παρακαθήκην **F**^{3} **6** μηδ' ⟨εὖ⟩ scripsi conl. Stobaeo (Τὸν φίλον κακῶς μὴ λέγε, μηδ' εὖ τὸν ἐχθρόν) : μηδὲ **BPF**^{3}**Φ** **11** ἔχοντα om. **Φ** | τόξον **BPF**^{3} : τόξῳ **Φ** : τόξα Hermann | τε add. Bergk | ἰοδόκον φαρέτραν **BPF**^{3} : ἰοδόκῳ φαρέτρῃ **Φ** : ἰοδόκην [φαρέτραν] Wilamowitz (*Kl. Schr.* IV, 388) **12** ποτὶ **BP**^{1} mg **Φ** : ἐπὶ **F**^{3}**P**^{1} in textu **V** **14** διχόθυμον Cobet **15** καρδίῃ Ilgen : κραδίῃ **BPΦ** : κραδίην **F**^{3}**V** **16–17** ὑπὲρ νόμων καταλογάδην **BPF**^{3}, transposui

Ἤκμαζε μὲν οὖν περὶ τὴν τεσσαρακοστὴν δευτέραν Ὀλυμπιάδα· ἐτελεύτησε δ᾽ ἐπὶ Ἀριστομένους τῷ τρίτῳ ἔτει τῆς πεντηκοστῆς δευτέρας Ὀλυμπιάδος, βιοὺς ὑπὲρ ἔτη ἑβδομήκοντα, ἤδη γηραιός. Καὶ αὐτῷ ἐπὶ τοῦ μνήματος ἐπιγέγραπται τόδε·

Οἰκείοις δαπέδοις ἁ γειναμένα κατακλαίει
Πιττακὸν ἤδ᾽ ἱερὰ Λέσβος ⟨ἀποφθίμενον⟩.

Ἀπόφθεγμα αὐτοῦ· Καιρὸν γνῶθι.

Γέγονε δὲ καὶ ἕτερος Πιττακὸς νομοθέτης, ὥς φησι Φαβωρῖνος ἐν Ἀπομνημονευμάτων πρώτῳ καὶ Δημήτριος ἐν Ὁμωνύμοις, ὃς καὶ μικρὸς προσηγορεύθη.

Τὸν δ᾽ οὖν σοφὸν λέγεταί ποτε νεανίσκῳ συμβουλευομένῳ περὶ γάμου ταῦτα εἰπεῖν, ἅ φησι Καλλίμαχος ἐν τοῖς Ἐπιγράμμασι·

Ξεῖνος Ἀταρνείτης τις ἀνήρετο Πιττακὸν οὕτω **80**
τὸν Μυτιληναῖον, παῖδα τὸν Ὑρραδίου·

1–4 γηραιός : *FGrHist* 244 F 27 b **1–2** i.e. 612–608 **2–3** i.e. anno 570 **6–7** *Anth. Pal., App.* 2.3 Cougny; Lobonis Fr. 11 Cr.; *Suppl. Hell.* 513 **8** Stob. 1; cf. pp. 325–327 Tz. **9–11** Favorini F 1 Mensching; Demetrii F 9 Mejer **15–p. 56.14** Callim. *Epigr.* 1 Pfeiffer; *Anth. Pal.* 7.89; *Plan.*

2 ἀριστομένους **BP^1** : ἀριστοδήμου **F^{3}P^5** ss. γρ. **3** δευτέρας deleri suad. Jacoby (i.e. anno 578) **4** ἑβδομήκοντα **BPF^3** : ὀγδοήκοντα Meursius, Susemihl (*Rh. Mus.* 42 [1887] 141) | ἤδη γηραιός del. Cobet **6** οἰκείοις **PF^3** : οἰκεῖοι **B^2** | δαπέδοις Roeper^4 (conl. 1.85) : δακρύοισιν **B^{2}P^1** mg **WH** : δακρύοις **F^{3}VP^4** : δάκρυσιν **P^{1}Q** | ἁ γειναμένα **P^{4}H** : ἁ γειναμένη **P^{1}QWV** : ἡ γηναμένη **F^3** : λιγαίνομεν ἢ **B^2** | κατακλαίει **B^2** (-αί- in ras.) **P^{1}Q W** : καταθάπτει **P^{4}H** : θάπτει **F^{3}V** : κατακεύθει Roeper | post κατακλαίει addunt ἐνθάδε **F^{3}VP^{4}H** **7** λέβος **F^3** | ἀποφθίμενον add. Roeper **10 et 11** ἐν ss. **B^2** : om. **PF^{3}B^1** **15** ἀνήρετο **BP F^3** : ἀνείρετο **Φ** et *Pal.* **16** ὑρραδίου **BP^{1}QWHF^3** et *Pal.*$^{corr.}$, *Plan.* : ὑρράδιον **ΦP^5** ss. et *Pal.*^{1}

"Ἄττα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δὴ
νύμφη καὶ πλούτῳ καὶ γενεῇ κατ' ἐμέ·
ἡ δ' ἑτέρη προβέβηκε. Τί λώϊον; Εἰ δ' ἄγε, σύν μοι
βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω."
Εἶπεν· ὁ δὲ σκίπωνα, γεροντικὸν ὅπλον, ἀείρας·
"Ἤνιδε, κεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος."
(Οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες
ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.)
"Κείνων ἔρχεο," φησί, "μετ' ἴχνια." Χὠ μὲν ἐπέστη
πλησίον· οἱ δ' ἔλεγον· "Τὴν κατὰ σαυτὸν ἔλα."
Ταῦτ' ἀΐων ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκου
δράξασθαι, παίδων κληδόνα συνθέμενος.
Τὴν δ' ὀλίγην ὡς κεῖνος ἐς οἰκίον ἤγετο νύμφην,
οὕτω καὶ σύ, Δίων, τὴν κατὰ σαυτὸν ἔλα.

81 Δοκεῖ δ' ἐκ διαθέσεως αὐτὰ εἰρηκέναι. Εὐγενεστέρα γὰρ οὖσα αὐτῷ ἡ γυνή, ἐπειδήπερ ἦν Δράκοντος ἀδελφὴ τοῦ Πενθίλου, σφόδρα κατεσοβαρεύετο αὐτοῦ.

1–4 *Suda*, 4305 Ἄττα **7–8** *Suda*, 236 Βέμβηξ

2 γενεῆι **BPF**^{3} et *Pal.* : γένεϊ **Φ** et *Suda* **3** ἑτέρα **F**^{3} | σύν μοι **BF**^{3}**Φ** *Pal.*^{1} : σύμμοι **P** *Pal.*$^{corr.}$ et *Suda* **4** ποτέραν **F**^{3} **5** εἰπέ **B**^{2} | σκίπωνα **F**^{3}**Φ** *Pal.*^{1} : σκήπωνα **P** *Pal.*$^{corr.}$: σκέπωνα **B** **6** ἠνίδε **PF**^{3} *Pal.* : ἦνιδ' (ἦν δ' **B**^{2}) ἐκείνοις οἳ **B**^{1} | ἀρέουσιν **F**^{3} **7** βέμβικας **PF**^{3}**Φ** : βέβεικας **B**^{1}, βέμβεικας **B**^{2} : βέμβηκας *Suda* : βέμβεκας *Pal.*^{1} | ἔχοντες : ἐλῶντες Reiske **8** εὐρείῃ **PF**^{3}**Φ** *Suda* : εὑρεῖν **B** : εὐρείην *Pal.*^{1} | παῖδας **B**^{2} **9** μετιχνιάσωμεν **B**^{2} | ἐπέστη **F**^{3}**ΦP**^{4}**H** *Plan.* : ἐφέστη **B P**^{1}**QW** *Pal.*$^{corr.}$: ἐφέστην *Pal.*^{1} **12** κληδόνα **BPF**^{3} *Pal.*, *Plan.*^{1} : κληδόνι **Φ** et *Plan.*^{2} **13** οἰκίον ἤγετο **P** : οἰκεῖαν ἤγετο **BF**^{3} : οἶκον ἐπήγετο **Φ** et *Pal.*, *Plan.* **14** δίων **BPF**^{3} : γ' ἰὼν *Pal.*, *Plan.* **16** οὖσα αὐτῶ **BΦP**^{3}mg**W** : αὐτῶ οὖσα **P**^{1}**QF**^{3} **17** αὐτοῦ **Φ** et coni. Kuehn : αὐτὸν **BPF**^{3}

Τοῦτον Ἀλκαῖος σαράποδα μὲν καὶ σάραπον ἀποκαλεῖ διὰ τὸ πλατύπουν εἶναι καὶ ἐπισύρειν τὼ πόδε· χειροπόδην δὲ διὰ τὰς ἐν τοῖς ποσὶ ῥαγάδας, ἃς χειράδας ἐκάλουν· γαύρηκα δὲ ὡς εἰκῇ γαυριῶντα· φύσκωνα δὲ καὶ γάστρωνα, ὅτι παχὺς ἦν· ἀλλὰ μὴν καὶ ζοφοδορπίδαν ὡς ἄλυχνον· ἀγάσυρτον δὲ ὡς ἐπισεσυρμένον καὶ ῥυπαρόν. Τούτῳ γυμνάσιον σῖτον ἀλεῖν, ὥς φησι Κλέαρχος ὁ φιλόσοφος.

Καὶ αὐτοῦ ἐστιν ἐπιστόλιον τοιόνδε·

Πιττακὸς Κροίσῳ

Κέλεαί με ἱκνέεσθαι ἐς Λυδίην, ὅπως σοι τὸν ὄλβον ἴδοιμι· ἐγὼ δὲ κἂν μὴ ὁρεὶς πέπεισμαι τὸν Ἀλυάττεω παῖδα τῶν βασιλήων πολυχρυσότατον πέλειν. Οὐδέν τε πλέον ἄμμιν ἱκομένοις ἐς Σάρδις· χρυσοῦ γὰρ οὐ δεύμεσθ', ἀλλ' ἃ πέπαμαι ἄρκια ⟨τ' ἐμοὶ⟩ καὶ τοῖς ἐμοῖς ἑτάροις.

1–6 ῥυπαρόν : Alcaei Fr. 429 Lobel-Page (*P. Lesb. Frr.*); *Suda*, 118 Σαράπους **4** φύσκωνα : cf. Alc. Fr. 129.21 L.–P. **5** ζοφοδορπίδαν : cf. Plut. *Quaest. conviv.* 726 B **7–8** Clearchi Fr. 71 Wehrli **10–p. 58.1** Hercher, p. 491

3 χοιράδας **F^3** **4** γαύρηκα **B^2** et Menagius : γαύρικα **B^{1}PF^3** et *Suda* **5** ζοφοδορπίδαν **BPF^3** et Plut. : ζοφοδορπίδα *Suda* **6** ἀγασύραστον *Suda* **11** ἱκνέεσθαι Cobet : ἱκνεῖσθαι **PF^{3}Φ** : ἱκνῆσθαι **B** | λυδίην **Φ** et Cobet : λυδίαν **BPF^3** **12** ἴδημι **B** | κἂν scripsi : καὶ **BPF^3** : αἴκεν **Φ** | πέπιθμαι **B** | ἀλυάτεω **PF^3** **13** βασιλέων **F^3** **13** τε **BPF^3** : δὲ **Φ** **14** ἄμμι νείκομεν οἱ σες **B** | Σάρδις Stephanus : σάρδεις **BPF^{3}Φ** | χρυσοῦ **PF^3** : χρυσῶ **BΦ** | δεύμεσθ' **BP** : δεύμεθ' **F^3** : δευόμεσθα **Φ** **15** ἀλλ' ἃ Bergk : ἀλλὰ **BPF^{3}Φ** | ἄρκια **BPF^{3}Φ** : ἀρκίει F*rob.*, Bergk | τ' ἐμοὶ addidi | ἐμοῖς om. **Φ** | ἑτάροις Cobet : ἑταίροις **BPF^{3}Φ**

Ἔμπας δ' ἵξομαι, ὡς ἀνδρὶ ξείνῳ γενοίμαν τοι συνόμιλος.

ΒΙΑΣ

82 Βίας Τευτάμου Πριηνεύς, προκεκριμένος τῶν ἑπτὰ ὑπὸ Σατύρου. Τοῦτον οἱ μὲν πλούσιον, Δοῦρις δὲ πάροικόν φησι γεγονέναι. Φανόδικος δὲ κόρας αἰχμαλώτους λυτρωσάμενον Μεσσηνίας θρέψαι τε ὡς θυγατέρας καὶ προῖκας ἐπιδοῦναι καὶ εἰς τὴν Μεσσήνην ἀποστεῖλαι τοῖς πατράσιν αὐτῶν. Χρόνῳ δὲ ἐν ταῖς Ἀθήναις, ὡς προείρηται, τοῦ τρίποδος εὑρεθέντος ὑπὸ τῶν ἁλιέων, τοῦ χαλκοῦ, ἐπιγραφὴν ἔχοντος "τῷ σοφῷ", Σάτυρος μέν φησι παρελθεῖν τὰς κόρας (οἱ δὲ τοὺς πατέρας αὐτῶν, ὡς καὶ Φανόδικος) εἰς τὴν ἐκκλησίαν, καὶ εἰπεῖν τὸν Βίαντα σοφόν, διηγησαμένας τὰ καθ' ἑαυτάς. Καὶ ἀπεστάλη ὁ τρίπους· καὶ ὁ Βίας ἰδὼν ἔφη τὸν Ἀπόλλω σοφὸν εἶναι,
83 οὐδὲ προσήκατο. Οἱ δὲ λέγουσιν ἐν Θήβαις τῷ Ἡρακλεῖ αὐτὸν ἀναθεῖναι, ἐπεὶ ἀπόγονος ἦν Θηβαίων ἀποικίαν εἰς Πριήνην στειλάντων, ὥσπερ καὶ Φανόδικός φησι.

Λέγεται δὲ καὶ Ἀλυάττου πολιορκοῦντος Πριήνην τὸν Βίαντα πιήναντα δύο ἡμιόνους ἐξελάσαι εἰς τὸ στρατό-

3–4 Satyri Fr. 9 (*FHG* III, 162) **4** Τοῦτον – **5** γεγονέναι : *FGrHist* 76 F 76 **5** Φανόδικος – **17** φησι : *FGrHist* 397 F 4b **5** κόρας – **14** ὁ τρίπους : Diod. 9.13.1–2 **8** ὡς προείρηται : 1.31 **10** Satyri Fr. 9

1 δειξομαι **B** | ξένω **B** | γενοίμαν Bergk : γενοίμην **BPF^3Φ** | συνόμιλος **$F^3$$P^2$**ss. **Q** ss.**V** : ὕμιλλος **B** : ὑμίλαος **P^1Q** : ὁμίλαος **P^4H** : φίλος **Φ** | post φίλος pergit **Φ** οὐ δώρων ἕκατι **2** *tit.* **P$F^{3p.c.}$** : om. **B** spatio relicto **3** τευταμίδου **B** **4** πλούσιον **BPF^3** : πολίτην Gent | πάροικον **BPF^3** : πενιχρόν Menagius **8** αὐτῶν **$F^3$$P^4$H** : om. **B$P^1$** **10** τῶ σοφῶ **BP$F^3$** : τῷ σοφωτάτῳ **Φ** et Diod. **11** τοὺς πατέρας scripsi : τὸν πατέρα **BPF^3** : οἱ πατέρες **Φ** **13** τὸν σοφόν **F^3** **16** ἀναθῆναι **F^3** | εἰς **B** : ἐς **PF^3** **17** ὁ φανόδικος **B** **18** δὲ om. **B** **19** πιήναντα **BPF^3** et *Suda* : πιάνας **Φ**

πεδον· τὸν δὲ συνιδόντα καταπλαγῆναι τὸ μέχρι καὶ ἀλόγων διατείνειν αὐτῶν τὴν εὐθένειαν. Καὶ ἐβουλήθη σπείσασθαι, καὶ εἰσέπεμψεν ἄγγελον. Βίας δὲ σωροὺς ψάμμου χέας καὶ ἄνωθεν σῖτον περιχέας ἔδειξε τῷ ἀνθρώπῳ· καὶ τέλος μαθὼν ὁ Ἀλυάττης εἰρήνην ἐσπείσατο πρὸς τοὺς Πριηνέας. Θᾶττον δ' αὐτῷ πέμψαντι πρὸς τὸν Βίαντα, ἵνα ἥκοι παρ' αὐτόν, "Ἐγὼ δέ," φησίν, "Ἀλυάττῃ κελεύω κρόμμυα ἐσθίειν [ἴσον τῷ κλαίειν]." Λέγεται δὲ καὶ δίκας **84** δεινότατος γεγονέναι εἰπεῖν· ἐπ' ἀγαθῷ μέντοι τῇ τῶν λόγων ἰσχύϊ προσεχρῆτο. Ὅθεν καὶ Δημόδοκος ὁ Λέριος τοῦτο αἰνίττεται λέγων·

Ἢν τύχῃς τίνων, δικάζευ τὴν Πριηνίην δίκην.

Καὶ Ἱππῶναξ α'·

Καὶ δικάζεσθαι Βίαντος τοῦ Πριηνέως κρεῖσσον.

Τοῦτον γοῦν καὶ ἐτελεύτα τὸν τρόπον. Δίκην γὰρ ὑπέρ τινος λέξας ἤδη ὑπέργηρως ὑπάρχων, μετὰ τὸ καταπαῦ-

8 Λέγεται – **10** προσεχρῆτο : Diod. 9.13.3 **12** Demodoci Fr. 6 West **14** Hipponactis Fr. 123 West. Cf. Strab. 14.1.12; *Suda*, B 270

1 τὸν δὲ **BPF**^{3} et *Suda* : ὁ δὲ βασιλεὺς **Φ** | συνιδόντα **BPF**^{3} et *Suda* : ἰδὼν **Φ** | τὸ **Φ** et *Suda* : om. **BPF**^{3} **2** εὐθένειαν **BP** : εὐσθένειαν **F**^{3} : εὐθηνίαν **Φ** et *Suda* **4** περιχέας **BPF**^{3} : περιρράνας **Φ** **5** εἰρήνην om. **Φ** **8** κρόμμια **B** | ἴσον τῷ κλαίειν **BPF**^{3}**Φ** : om. *Suda*, del. Huebner **10** Δημόδοκος S. Bochart : δημόδικος **BPF**^{3} | Λέριος Menagius : ἀλιείριος **BP**^{1}**QW** : ἀλείριος **F**^{3}**P**^{4}**H** **12** τίνων **B**^{1}**P**^{1}**QW**, def. Diels (1906), Von der Muehll (1965) : τήνων **B**^{2}**P**^{4}**H** (τείνων) **VZ**^{1} : πίνων **F**^{3} : κρίνων **Z**^{2} *Frob.* | δικάζεο West **13** α' Meineke, Bergk : ἃ **B**^{1}**PF**^{3} : erasit **B**^{2}, del. Menagius **14** δικάζεσθαι **BPF**^{3} et *Suda* : δικάσασθαι Strabo | πριηνέος **B** | κρεῖσσον **BPF**^{3} : κρέσσον Strabo : κρείσσων *Suda* **15** γοῦν **BPF**^{3} : οὖν *Frob.*

σαι τὸν λόγον ἀπέκλινε τὴν κεφαλὴν εἰς τοὺς τοῦ τῆς θυγατρὸς υἱοῦ κόλπους· εἰπόντος δὲ καὶ τοῦ δι' ἐναντίας καὶ τῶν δικαστῶν τὴν ψῆφον ἐνεγκόντων τῷ ὑπὸ τοῦ Βίαντος βοηθουμένῳ, λυθέντος τοῦ δικαστηρίου νεκρὸς
85 ἐν τοῖς κόλποις εὑρέθη. Καὶ αὐτὸν μεγαλοπρεπῶς ἔθαψεν ἡ πόλις, καὶ ἐπέγραψαν·

Κλεινοῖς ἐν δαπέδοισι Πριήνης φύντα καλύπτει
ἥδε Βίαντα πέτρα, κόσμον Ἴωσι μέγαν.

Ἀλλὰ καὶ ἡμεῖς·

Τῇδε Βίαντα κέκευθα, τὸν ἀτρέμας ἤγαγεν Ἑρμῆς
εἰς Ἀίδην πολιῷ γήραϊ νιφόμενον.
Εἶπε γάρ, εἶπε δίκην ἑτάρου τινός· εἶτ' ἀποκλινθεὶς
παιδὸς ἐς ἀγκαλίδας μακρὸν ἔτεινεν ὕπνον.

Ἐποίησε δὲ περὶ Ἰωνίας, τίνα μάλιστα ἂν τρόπον εὐδαιμονοίη, εἰς ἔπη δισχίλια. Τῶν δὲ ᾀδομένων αὐτοῦ εὐδοκίμησε τάδε·

Ἀστοῖσιν ἄρεσκε πᾶσιν
ἐν πόλει ᾇ κε μένῃς.

7–8 *Anth. Pal.* 7.90; *Plan.*; Lobonis Fr. 12 Cr.; *Suppl. Hell.* 514 **10–13** *Anth. Pal.* 7.91; *Plan.* **14–15** Lobonis Fr. 12 Cr.; Herod. 1.170.3 **17–p. 61.2** Bergk, III, 199; Lobonis Fr. 12; *Suppl. Hell.* 525

1 τοῦ **PΦ** : om. **BF**^{3} **2** μόλπους **F**^{3} **3** διενεγκόντων **Φ** **5** ἐν τοῖς κόλποις τοῦ παιδὸς **Φ** **7** κλεινοῖς **B**, *Pal.*, *Plan.* : κλεινῆς **PF**^{3}**V** **8** πέτρα **BPF**^{3} : πέτρη *Pal.* : πάτρη Schneidewin (*Philol.* 1 [1846] 21), Roeper^{4} **11** ἐς *Pal.* | νηφόμενον *Pal.* **12** εἶπε^{1} : εὖτε Richards | ἑτέρου **B** et Apostol. 4.92a **14** post ἂν add. τις **F**^{3}, ὃν ss. **B**^{2} **18** ἐν πόλει αἴκε μένης **P**^{1}**QVΦ** : ἐμπολιαικεμενης **B**^{1} : ἐν πολιᾶ κεμένοις **B**^{2} : ἐν πόλει ἀεὶ κεμένης **F**^{3} | ᾇ κε Casaubon

Πλείσταν γὰρ ἔχει χάριν· αὐθάδης δὲ τρόπος βλαβερὰν
πολλάκις ἐξέλαμψεν ἄταν.

Καὶ τὸ μὲν ἰσχυρὸν γενέσθαι τῆς φύσεως ἔργον· τὸ δὲ 86
λέγειν δύνασθαι τὰ συμφέροντα τῇ πατρίδι ψυχῆς ἴδιον
καὶ φρονήσεως. Εὐπορίαν δὲ χρημάτων πολλοῖς καὶ διὰ
τύχην περιγίνεσθαι. Ἔλεγε δὲ ἀτυχῆ εἶναι τὸν ἀτυχίαν
μὴ φέροντα· καὶ νόσον ψυχῆς τὸ τῶν ἀδυνάτων ἐρᾶν·
ἀλλότριόν τε κακὸν ἀμνημόνευτον εἶναι. Ἐρωτηθεὶς τί
δυσχερές, "Τὴν ἐπὶ τὸ χεῖρον," ἔφη, "μεταβολὴν εὐγενῶς
ἐνεγκεῖν." Συμπλέων ποτὲ ἀσεβέσι, χειμαζομένης τῆς
νεὼς κἀκείνων τοὺς θεοὺς ἐπικαλουμένων, "Σιγᾶτε," ἔφη,
"μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας." Ἐρωτηθεὶς ὑπὸ
ἀσεβοῦς ἀνθρώπου τί ποτέ ἐστιν εὐσέβεια, ἐσίγα. Τοῦ δὲ
τὴν αἰτίαν τῆς σιγῆς πυθομένου, "Σιωπῶ," ἔφη, "ὅτι περὶ
τῶν οὐδέν σοι προσηκόντων πυνθάνῃ."

Ἐρωτηθεὶς τί γλυκὺ ἀνθρώποις, "Ἐλπίς," ἔφη. Ἥδιον 87
ἔλεγε δικάζειν μεταξὺ ἐχθρῶν ἢ φίλων· τῶν μὲν γὰρ
φίλων πάντως ἐχθρὸν ἔσεσθαι τὸν ἕτερον, τῶν δὲ ἐχθρῶν
τὸν ἕτερον φίλον. Ἐρωτηθεὶς τί ποιῶν ἄνθρωπος τέρπεται,

6 Ἔλεγε – **7** ἐρᾶν : *Gnom. Vat.* 153 **8** Ἐρωτηθεὶς – **10** ἐνεγκεῖν : *Gnom. Vat.* 154 **10** Συμπλέων – **12** πλέοντας : *Gnom. Vat.* 148; Arsen. *Violetum*, p. 148 Walz **12** Ἐρωτηθεὶς – **15** πυνθάνῃ : *Gnom. Vat.* 149 **16** *Gnom. Vat.* 155 **16** Ἥδιον – **19** φίλον : *Gnom. Vat.* 150. Cf. Plut. *Quaest. conviv.* 616 C

1–2 βλαβερὰν πολλάκις Wilamowitz (*Kl. Schr.* IV, 389) : πολλάκις (πολλάκι **P**^{1}**Q**) βλαβερὰν **BPF**^{3}**Φ** : πολλάκι ⟨δὴ⟩ βλαβερὰν C. Fr. Hermann : πολλάκις del. Von der Muehll **3** τὸν μὲν **B** **8** ἀλλότριόν τε κακὸν **B** : τὸ ἀλλότριον κακὸν **Φ** : ἀλλοτρίων δὲ κακῶν **PF**^{3} **9** τὸ τὴν **Φ** **10** ὑπενεγκεῖν *Gnom.* | ἀσεβέσι : πονηροῖς *Gnom.* **11** ἐπικαλουμένων **BPF**^{3} : ἐπιβοώντων **Φ** **13** ἀνθρώπου **BP** : om. **F**^{3}**Φ** **14** πυνθανομένου **Φ** **16** ἐλπίς om. **B**

ἔφη, "Κερδαίνων." Ἔλεγέ τε τὸν βίον οὕτω ⟨δεῖν⟩ μετρεῖν, ὡς καὶ πολὺν καὶ ὀλίγον χρόνον βιωσομένους· καὶ φιλεῖν ὡς καὶ μισήσοντας· τοὺς γὰρ πλείστους εἶναι κακούς. Συνεβούλευέ τε ὧδε· "Βραδέως ἐγχείρει τοῖς πραττομένοις· ὃ δ' ἂν ἕλῃ, βεβαίως τηρῶν διάμενε. Μὴ ταχὺ
88 λάλει· μανίαν γὰρ ἐμφαίνει. Φρόνησιν ἀγάπα. | Περὶ θεῶν λέγε ὡς εἰσίν. Ἀνάξιον ἄνδρα μὴ ἐπαίνει διὰ πλοῦτον. Πείσας λαβέ, μὴ βιασάμενος. Ὅ τι ἂν ἀγαθὸν πράττῃς, εἰς θεοὺς ἀνάπεμπε. Ἐφόδιον ἀπὸ νεότητος εἰς γῆρας ἀναλάμβανε σοφίαν· βεβαιότερον γὰρ τοῦτο τῶν ἄλλων κτημάτων."

Μέμνηται τοῦ Βίαντος καὶ Ἱππῶναξ, ὡς προείρηται, καὶ ὁ δυσάρεστος Ἡράκλειτος μάλιστα αὐτὸν ἐπῄνεκε γράψας· "Ἐν Πριήνῃ Βίας ἐγένετο ὁ Τευτάμεω, οὗ πλείων λόγος ἢ τῶν ἄλλων." Καὶ οἱ Πριηνεῖς δὲ αὐτῷ τέμενος καθιέρωσαν τὸ Τευτάμειον λεγόμενον. Ἀπεφθέγξατο· Οἱ πλεῖστοι ἄνθρωποι κακοί.

2 καὶ φιλεῖν – **3** κακούς : p. 404 s. Tz.; Stob. 3.1.172 ς' 1 (= 10.3 DK). Cf. vv. 16–17 **4** Βραδέως – **5** διάμενε : Stob. 3; pp. 221 s. et 402 Tz. **5** Μὴ ταχὺ – **6** ἐμφαίνει : Stob. 4; pp. 322 s. et 405 Tz. **6** Φρόνησιν ἀγάπα : Stob. 7; pp. 224 s. et 408 Tz. **6–7** Περὶ θεῶν λέγε ὡς εἰσίν : Stob. 8; p. 225 s. Tz. **7** Ἀνάξιον – πλοῦτον : Stob. 13; pp. 229 et 403 Tz. **8** Πείσας – βιασάμενος : Stob. 14; pp. 229 s. et 403 Tz. **8–9** Stob. 15; pp. 230–232 et 407 s. Tz. **9** Ἐφόδιον – **11** κτημάτων : cf. 5.21 **12** ὡς προείρηται : 1.84 **14–15** Heracliti B 39 DK = Fr. 100 Marcovich **16–17** cf. v. 3 et Heracliti B 104 DK = Fr. 101 M.

1 κερδαίνειν **F**^{3} | δεῖν addidi **2** καὶ^1 om. **F**^{3} **3** ὡς καὶ **Φ** (et p. 404 Tziatzi) : ὡς **BPF**^{3} **4** βραδέως τε **B** (βραδέως · · **P**^{1}) | ἐγχειρεῖν **B** **5** μένε **Φ** **9** θεοὺς **BPF**^{3} : θεὸν **Φ** et pp. 230 et 407 Tziatzi **10** γὰρ om. **B** **12** ἱππάναξ **F**^{3} **13** ἐπῄνεκε **BP** : ἐπῄνεσε **F**^{3} **16** καθιερώσαντο **B** | ἀπεφθέγξατο **F**^{3} : ἀνεφθέγξατο **BP** **17** ἄνθρωποι **BP**^{1} **QW** : om. **F**^{3}**P**^{4}**H**

ΚΛΕΟΒΟΥΛΟΣ

Κλεόβουλος Εὐαγόρου Λίνδιος, ὡς δὲ Δοῦρις, Κάρ. **89** Ἔνιοι δὲ εἰς Ἡρακλέα ἀναφέρειν τὸ γένος αὐτόν. Ῥώμῃ δὲ καὶ κάλλει διαφέρειν, μετασχεῖν τε τῆς ἐν Αἰγύπτῳ φιλοσοφίας. Γενέσθαι τε αὐτῷ θυγατέρα Κλεοβουλίνην, αἰνιγμάτων ἑξαμέτρων ποιήτριαν, ἧς μέμνηται καὶ Κρατῖνος ἐν τῷ ὁμωνύμῳ δράματι, πληθυντικῶς ἐπιγράψας. Ἀλλὰ καὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἀνανεώσασθαι αὐτὸν κτισθὲν ὑπὸ Δαναοῦ. Οὗτος ἐποίησεν ᾄσματα καὶ γρίφους εἰς ἔπη τρισχίλια.

Καὶ τὸ ἐπίγραμμά τινες τὸ ἐπὶ Μίδᾳ τοῦτόν φασι ποιῆσαι·

Χαλκῆ παρθένος εἰμί, Μίδου δ' ἐπὶ σήματι κεῖμαι.
Ἔστ' ἂν ὕδωρ τε ῥέῃ καὶ δένδρεα μακρὰ τεθήλῃ,
| ἠέλιός τ' ἀνιὼν λάμπῃ, λαμπρά τε σελήνη, **90**
καὶ ποταμοί γε ῥέωσιν, ἀνακλύζῃ δὲ θάλασσα,
αὐτοῦ τῇδε μένουσα πολυκλαύτῳ ἐπὶ τύμβῳ,
ἀγγελέω παριοῦσι, Μίδας ὅτι τῇδε τέθαπται.

2 *FGrHist* 76 F 77 **6–7** Cratini Fr. 91 (*PCG* IV) : Κλεοβουλῖναι **13–18** *Anth. Pal.* 7.153; *Plan.*; Plat. *Phaedri* 264 d; *V. Hom. Herod.* 135–140; *Cert. Hom. et Hes.* 265–270; Dion. Chrysost. *Or.* 37.38 alii

1 *tit.* **PF**^{3} : om. **B** spatio relicto **3** αὐτόν **BP** : αὐτῷ **F**^{3} | ῥώμη(ι) **PF**^{3} : γνώμη **B** **4** τε om. **B** | ἐν in mg **F**^{3} **7** ὁμωνύμων **F**^{3}**P**^{5} **9** κτισθὲν **F**^{3} : om. **BP** | ὑπὸ **F**^{3} : ἀπὸ **BP** **11** ἐπὶ μίδα **BPF**^{3} : εἰς τὸν μίδαν **Φ** **13** μίδου **BPF**^{3}**Φ** et *Cert.* : μίδα *Pal., Plan.* alii : μίδεω *Vita* **14** ῥέῃ **BPF**^{3}, Dio, *S.E. Adv. math.* 8.184, Long. *Subl.* 36.2 : νάῃ **Φ**, *Pal.* alii vv. **15** et **16** habent **BPF**^{3}**Φ** et *Vita., Cert.* : om. *Pal.*, Plato, Dio **15** ἥλιος **F**^{3} **16** γε **F**^{3} et *Vita* : om. **BPΦ** et *Cert.* | ῥέωσιν : πλήθωσι *Cert.* | ἀνακλύζῃ **PF**^{3}**B** (-κλύζει) et *Vita* : ἀναβλύζῃ **Φ** : περικλύζῃ *Cert.* **17** πολυκλαύστω **F**^{3} et *Plan.* | πολυκλαύτου ἐπὶ τύμβου Plato et *Vita* **18** ἀγγελέω : σημανέω *Cert.*

Φέρουσι δὲ μαρτύριον Σιμωνίδου ᾆσμα, ὅπου φησί·

Τίς κεν αἰνήσειε νόῳ πίσυνος Λίνδου ναέταν
Κλεόβουλον,
ἀενάοις ποταμοῖς ἄνθεσί τ' εἰαρινοῖς
ἀελίου τε φλογὶ χρυσέας τε σελάνας
καὶ θαλασσαίαισι δίναισ' ἀντί⟨α⟩ θέντα μένος στάλας;
Ἅπαντα γάρ ἐστι θεῶν ἥσσω· λίθον δὲ
καὶ βρότεοι παλάμαι θραύοντι· μωροῦ
φωτὸς ἅδε βουλά.

Οὐ γὰρ εἶναι Ὁμήρου τὸ ἐπίγραμμα, πολλοῖς ἔτεσι προέχοντος, φασί, τοῦ Μίδα.

Φέρεται δ' αὐτοῦ ἐν τοῖς Παμφίλης Ὑπομνήμασι καὶ αἴνιγμα τοῖον·

91 Εἷς ὁ πατήρ, παῖδες δυοκαίδεκα. Τῶν δὲ ἑκάστῳ
παῖδες ⟨δὶς⟩ τριάκοντα διάνδιχα εἶδος ἔχουσαι·
αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ' αὖτε μέλαιναι·
ἀθάνατοι δέ τ' ἐοῦσαι, ἀποφθινύθουσιν ἅπασαι.

2-9 Fr. 581 Page (*PMG*) **12–17** Pamphilae Fr. 4 (*FHG* III, 521) **14–17** *Anth. Pal.* 14.101; Stob. 1.8.37; *Suda*, 1718 Κλεοβουλίνη

2 νῶ **BPF**^{3}, corr. Hermann **5** χρυσᾶς **BPF**^{3}, corr. Hermann | σαλάνας **BP** **6** θαλασσέαισι **PF**^{3} | δίναις **BP** : δίνης **F**^{3} | ἀντί⟨α⟩ θέντα Bergk : ἀντιθέντα **BPF**^{3} | στάλας **P**^{1}**QW** : τάλας **B** : στήλας **F**^{3}**P**^{4}**H** **8** βρότειοι **P**, βρότιοι **B**, βρότειρι **F**^{3}, corr. Hermann **11** τοῦ Μίδα Cobet : τὸν μίδαν **PF**^{3}**B**^{2} (μίδα **B**^{1}) **14** δυοκαίδεκα **F**^{3}, δυωκαίδεκα *Pal.* : δὲ δυώδεκα **BP** et *Suda* : δυώδεκα **Φ** | δὲ ἑκάστῳ : δέ θ' ἑκάστῃ *Pal.* **15** παῖδες : κᾶρα (l. κοῦραι) Stob. | δὶς add. M. Gudius | τριάκοντα **Φ** et *Suda* : τριήκοντα **BPF**^{3} et *Pal.* : ἡξήκοντα Stob. et **Δ** **16** αὖτε : αὐταὶ **B** **17** τε οὖσαι **P**(**Φ**)

Ἔστι δὲ ὁ ἐνιαυτός.

Τῶν δὲ ᾀδομένων εὐδοκίμησεν αὐτοῦ τάδε·

Ἀμουσία τὸ πλέον [μέρος] ἐν βροτοῖσι
λόγων τε πλῆθος· ἀλλ' ὁ καιρὸς ἀρκέσει.
Φρόνει τι κεδνόν· μὴ μάταιος
ἁ χάρις γενέσθω.

Ἔφη δὲ δεῖν συνοικίζειν τὰς θυγατέρας, παρθένους
μὲν τὴν ἡλικίαν, τὸ δὲ φρονεῖν γυναῖκας· ὑποδεικνὺς ὅτι
δεῖ παιδεύεσθαι καὶ τὰς παρθένους. Ἔλεγέ τε τὸν φίλον
δεῖν εὐεργετεῖν, ὅπως μᾶλλον ᾖ φίλος· τὸν δὲ ἐχθρὸν
φίλον ποιεῖν. Φυλάσσεσθαι δὲ τῶν μὲν φίλων τὸν ψόγον,
τῶν δὲ ἐχθρῶν τὴν ἐπιβουλήν. Καὶ ὅταν τις ἐξίῃ τῆς 92
οἰκίας, ζητείτω πρότερον τί μέλλει πράσσειν· καὶ ὅταν
εἰσέλθῃ, πάλιν ζητείτω τί ἔπραξε. Συνεβούλευέ τε εὖ τὸ
σῶμα ἀσκεῖν· φιλήκοον εἶναι μᾶλλον ἢ φιλόλαλον· φιλο-

3–6 Bergk, III, 201; Lobonis Fr. 13 Cr.; *Suppl. Hell.* 526 **9** Ἔλεγε – **12** τὴν ἐπιβουλήν : *Gnom. Vat.* 370 **10–11** τὸν δὲ ἐχθρὸν φίλον ποιεῖν : p. 395 Tz. **14–15** εὖ τὸ σῶμα ἀσκεῖν : cf. Stob. 3.1.172 α' 3; p. 135 s. Tz. **15** φιλήκοον – φιλόλαλον : Stob. 4; pp. 136 s. et 395 Tz. **15** φιλομαθῆ – **p. 66.1** ἀμαθῆ : Stob. 5; pp. 136–139 et 395 s. Tz.

1 post ὁ ἐνιαυτὸς pergit **Φ** : γεννῶν μῆνας δώδεκα καὶ ἕκαστος μὴν ἡμέρας τριάκοντα **3** μέρος **BPF**^{3} et *Suda*, del. Wilamowitz (*Kl. Schr.* IV, 389) | βροντοῖσιν **B**^{1} (sed βροτοῖσι mg γρ. **B**^{2}) **5** φρόνει τι **BP** : φρονεῖν τί **F**^{3} : φρονοῦντι (cum **4** ἀρέσκει) Diels | post μάταιος addit μηδ' **F**^{3} **6** ἁ χάρις **P** : ἄχαρις **BF**^{3}**V** | γενέσθω **B** : γινέσθω **PF**^{3}**V** **8** τὸ **PF**^{3}**Φ** : τῷ **B** | δὲ φρονεῖν **B** : δὲ φρόνημα **Φ** : φρονεῖν δὲ **PF**^{3} **9** τῷ φίλῳ **B** **10** φίλος **BPΦ** : φίλον **F**^{3} | δὲ Roeper^2 : γὰρ **BPF**^{3} : om. **Φ** : καὶ φυλάσσεσθαι *Gnom.* **12** καὶ om. **F**^{3} | ἐξίοι **P** **14** εἰσέλθῃ, ζητείτω πάλιν **Φ** : εἰσέλθῃ πάλιν, ζητείτω **BPF**^{3} **15** φιλόλαλον **B**^{2}**PF**^{3}**Φ** φιλόλαον **B**^{1} ut vid. : πολύλαλον Stob. **15–p. 66.1** φιλομαθῆ μᾶλλον ἢ ἀμαθῆ secl. Cobet, vix recte **15** φιλομαθῆ : πολυμαθῆ Stob.

μαθῆ μᾶλλον ἢ ἀμαθῆ· γλῶσσαν εὔφημον ἴσχειν· ἀρετῆς οἰκεῖον εἶναι, κακίας ἀλλότριον· ἀδικίαν φεύγειν· πόλει τὰ βέλτιστα συμβουλεύειν· ἡδονῆς κρατεῖν· βίᾳ μηδὲν πράττειν· τέκνα παιδεύειν· ἔχθραν διαλύειν. Γυναικὶ μὴ φιλοφρονεῖσθαι μηδὲ μάχεσθαι ἀλλοτρίων παρόντων· τὸ μὲν γὰρ ἄνοιαν, τὸ δὲ μανίαν σημαίνει. Οἰκέτην παρ' οἶνον μὴ κολάζειν· δοκεῖν γὰρ ⟨ἂν⟩ παροινεῖν. Γαμεῖν ἐκ τῶν ὁμοίων· ἂν γὰρ ἐκ τῶν κρειττόνων λάβῃς, φησί,
93 δεσπότας κτήσῃ τοὺς συγγενέας. Μὴ ἐπιγελᾶν τοῖς σκωπτομένοις· ἀπεχθήσεσθαι γὰρ τούτοις. Εὐτυχῶν μὴ ἴσθι ὑπερήφανος· ἀπορήσας μὴ ταπεινοῦ. Τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίστασο φέρειν.

Ἐτελεύτησε δὲ γηραιός, ἔτη βιοὺς ἑβδομήκοντα· καὶ αὐτῷ ἐπεγράφη·

1 γλῶσσαν εὔφημον ἴσχειν : Stob. 6; pp. 139 s. et 396 Tz. **1** ἀρετῆς – **2** ἀλλότριον : Stob. 7; pp. 140 et 396 Tz. **2** ἀδικίαν φεύγειν : cf. Stob. 8; pp. 141 et 397 Tz. **2** πόλει – **3** συμβουλεύειν : Stob. 9; p. 141 s. Tz. **3** ἡδονῆς κρατεῖν : Stob. 10; pp. 142 s. et 398 Tz. **3–4** βίᾳ μηδὲν πράττειν : Stob. 11; p. 398 Tz. **4** τέκνα παιδεύειν : Stob. 12; p. 399 Tz. | ἔχθραν διαλύειν : Stob. 14 **4** Γυναικὶ – **6** σημαίνει : Stob. 16; p. 144 s. Tz. **6** Οἰκέτην – **7** παροινεῖν : Stob. 17; pp. 145 s. et 399 Tz. **7** Γαμεῖν – **9** τοὺς συγγενέας : Stob. 18; pp. 146 s. et 399 s. Tz. **9** Μὴ ἐπιγελᾶν – **10** τούτοις : Stob. 19; pp. 147 s. et 400 Tz. **10** Εὐτυχῶν – **11** μὴ ταπεινοῦ : Stob. 20; pp. 148 s. et 400 Tz. **11–12** p. 401 Tz. Cf. 1.86

1 εὔσχημον **F**^{3} **3** τὰ βέλτιστα **BPF**^{3} : τὰ βελτίονα **Φ** **4** διαδύειν **B** **6** σημαίνει⟨ν⟩ Roeper^2, vix recte **6–7** παρ' οἶνον Roeper^2 (cf. versionis Byz. Cleob. 9 παρὰ πότον, p. 145 Tz.) : πάροινον **BPF**^{3}**Φ** : μεθύοντα(ς) Stob. **7** δοκεῖν **B**^{1} **PΦ** : δοκεῖ **B**^{2}**F**^{3} : εἰ δὲ μή, δόξεις Stob. | ἂν add. Cobet **10** ἴσθι **BPF**^{3} : ἔσο **Φ** et *Suda*

Ἄνδρα σοφὸν Κλεόβουλον ἀποφθίμενον καταπενθεῖ
ἥδε πάτρα Λίνδος πόντῳ ἀγαλλομένη.

Ἀπεφθέγξατο· Μέτρον ἄριστον. Καὶ Σόλωνι ἐπέστειλεν οὕτω·

Κλεόβουλος Σόλωνι

Πολλοί μέν τιν ἔασιν ἕταροι καὶ οἶκος πάντη· φαμὶ δὲ ἐγὼν ποτανεστάταν ἐσεῖσθαι Σόλωνι τὰν Λίνδον δαμοκρατεομέναν. Καὶ ἁ νᾶσος πελαγία, ἔνθα οἰκέοντι οὐδὲν δεινὸν ἐκ Πεισιστράτω. Καὶ τοὶ ἕταροι δὲ ἑκάστοθεν πάρ τυ βασοῦνται.

ΠΕΡΙΑΝΔΡΟΣ

Περίανδρος Κυψέλου Κορίνθιος ἀπὸ τοῦ τῶν Ἡρα- 94
κλειδῶν γένους. Οὗτος γήμας Λυσίδην, ἣν αὐτὸς Μέλισσαν ἐκάλει, τὴν Προκλέους τοῦ Ἐπιδαυρίων τυράννου

1–2 *Anth. Pal.* 7.618; Lobonis Fr. 13 Cr.; *Suppl. Hell.* 515 **3** Μέτρον ἄριστον : Stob. 1; p. 394 Tz. **5–10** Hercher, p. 207 **12–p. 68.6** ἄφρονα : Heraclidis Fr. 144 Wehrli

1 ἀποφθινόμενον $\mathbf{F}^{3}$: ἀποφθιμένου *Pal.*^{1} | καταπενθεῖ : κατακεύθει Roeper^{4} **3** ἀπεφθέγξατο *Frob.* : ἀπεφήνατο **BP**$\mathbf{F}^{3}$ et *Suda* | μέτρον **BP**$\mathbf{F}^{3}$ et Stob. : πάντων μέτρον *Suda* **6** τιν Casaubon : τινὲς $\mathbf{B}^{2}\mathbf{P}^{1}$ et *Suda* : τινές τοι $\mathbf{F}^{3}$: τύνη vel τύνα $\mathbf{P}^{5}$ | ἔασιν $\mathbf{F}^{3}\mathbf{P}^{5}$: εἰσὶν $\mathbf{B}^{2}\mathbf{P}^{1}$ et *Suda* | ἑτάροι $\mathbf{F}^{3}$: ἑταῖροι **P** et *Suda* : ἕτεροι **B** | πάντη *Suda* et Casaubon : παντὶ **BP**$\mathbf{F}^{3}$ **7** ποτανεστάταν I.R. Koene (ad Gregor. Corinth. *De dialectis*, p. 196 ed. Schaefer, 1811) : πο·····τάταν $\mathbf{P}^{1}$, ποτάταν **W** : ποτανιω|ταταταν (sic) **B** : ποτ' ἀνϊωτάταν $\mathbf{P}^{4}$**H** : ποτνιωτάταν $\mathbf{F}^{3}$ et *Suda* : ποθεινοτάταν Menagius | δαμοκρατεομέναν **P**$\mathbf{F}^{3}$: δαμοκρατειμένην **B** : δαμοκρατεῖν μὲν οὖν *Suda* **8** οἰκέοντι **P**$\mathbf{F}^{3}$: οἰκεντι **B** **9** πισιστράτω **B** : πεισιστράτου **P**$\mathbf{F}^{3}$ | ἕταροι Cobet : ἑταῖροι **P**$\mathbf{F}^{3}$: ἕτεροι **B** **10** τυ **B** : τοι **P**$\mathbf{F}^{3}$ **11** *tit.* **P**$\mathbf{F}^{3}$: om. **B** spatio relicto **13** λυσίδην **BP**$\mathbf{F}^{3}$: Λυσιδ⟨ίκ⟩ην Reiske, Roeper^{2} | ἣν αὐτὸς et **14** ἐκάλει : Ἡρόδοτος et καλεῖ Menagius

καὶ Ἐρισθενείας τῆς Ἀριστοκράτους παιδός, ἀδελφῆς δὲ Ἀριστομήδους θυγατέρα, οἳ σχεδὸν πάσης Ἀρκαδίας ἐπῆρξαν, ὥς φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ Περὶ ἀρχῆς, παῖδας ἐξ αὐτῆς ἐποίησε δύο, Κύψελον καὶ Λυκόφρονα· τὸν μὲν νεώτερον συνετόν, τὸν δὲ πρεσβύτερον ἄφρονα. Χρόνῳ δὴ ὑπ᾽ ὀργῆς βαλὼν ὑποβάθρῳ ἢ λακτίσας τὴν γυναῖκα ἔγκυον οὖσαν ἀπέκτεινε, πεισθεὶς διαβολαῖς παλλακίδων, ἃς ὕστερον ἔκαυσε.

Τόν τε παῖδα ἀπεκήρυξεν εἰς Κέρκυραν λυπούμενον
95 ἐπὶ τῇ μητρί, ᾧ ὄνομα Λυκόφρων. Ἤδη δὲ ἐν γήρᾳ καθεστὼς μετεπέμπετο αὐτόν, ὅπως παραλάβῃ τὴν τυραννίδα· ὃν φθάσαντες οἱ Κερκυραῖοι διεχρήσαντο. Ὅθεν ὀργισθεὶς ἔπεμψε τοὺς παῖδας αὐτῶν πρὸς Ἀλυάττην ἐπ᾽ ἐκτομῇ· προσσχούσης δὲ τῆς νεὼς Σάμῳ, ἱκετεύσαντες τὴν Ἥραν ὑπὸ τῶν Σαμίων διεσώθησαν.

Καὶ ὃς ἀθυμήσας ἐτελεύτησεν, ἤδη γεγονὼς ἔτη ὀγδοήκοντα. Σωσικράτης δέ φησι πρότερον Κροίσου τελευτῆσαι αὐτὸν ἔτεσι τεσσαράκοντα καὶ ἑνί, ⟨τρισὶ⟩ πρὸ τῆς τεσσαρακοστῆς ἐνάτης Ὀλυμπιάδος. Τοῦτον Ἡρόδοτος ἐν τῇ πρώτῃ ξένον φησὶν εἶναι Θρασυβούλῳ τῷ Μιλησίων τυράννῳ.

4 παῖδας – **7** ἀπέκτεινε : Herod. 3.50 **6–7** cf. Tac. *Ann.* 16.6; Suet. *Ner.* 35.3; Dion. Cass. 62.27.4 et R. Mayer (*Historia* 31 [1982] 248 s.) **10** Ἤδη – **12** διεχρήσαντο : cf. Herod. 3.53 **12** Ὅθεν – **15** Herod. 3.48 **16–19** Ὀλυμπιάδος : Apollodori F 332a (*FGrHist* 244) **17–18** Sosicratis Fr. 14 (*FHG* IV, 502) **17** Κροίσου : i.e. 546 **18–19** i.e. 584 **19** Τοῦτον – **21** Herod. 1.20

2 ἀριστομήδους **BP^{1}QW** : ἀριστοδήμου **F^{3}P^{4}H** | ἀρκαδίας **BF^{3}P^{4}H** : ἡρακλείας **P^{1}QWH** mg **6** ὑποβάθρωι ἢ **P** : ὑποβάθρωι *Suda* : ὑπὸ βάθρων **F^{3}B^{2}** **7** ἔγγυον **F^{3}** **8** παλακίδος *Suda* | ἔκαυσε **F^{3}P^{4}H** : ἔκλαυσε **BP^{1}QW** **12** ὀθάσαντες **B** **13** ἀλυάττη **B** **14** προσεχούσης **B** **18** τρισὶ add. E. Schwartz, agn. Jacoby | τῆς om. **B**

Φησὶ δὲ Ἀρίστιππος ἐν πρώτῳ Περὶ παλαιᾶς τρυφῆς **96** περὶ αὐτοῦ τάδε, ὡς ἄρα ἐρασθεῖσα ἡ μήτηρ αὐτοῦ Κράτεια συνῆν αὐτῷ λάθρα· καὶ ὃς ἥδετο. Φανεροῦ δὲ γενομένου βαρὺς πᾶσιν ἐγένετο διὰ τὸ ἀλγεῖν ἐπὶ τῇ φωρᾷ. Ἀλλὰ καὶ Ἔφορος ἱστορεῖ ὡς εὔξαιτο, εἰ νικήσειεν Ὀλύμπια τεθρίππῳ, χρυσοῦν ἀνδριάντα ἀναθεῖναι· νικήσας δὲ καὶ ἀπορῶν χρυσίου, κατά τινα ἑορτὴν ἐπιχώριον κεκοσμημένας ἰδὼν τὰς γυναῖκας πάντα ἀφείλετο τὸν κόσμον, καὶ ἔπεμψε τὸ ἀνάθημα.

Λέγουσι δέ τινες ὡς θελήσας αὐτοῦ τὸν τάφον μὴ γνωσθῆναι, τοιοῦτόν τι ἐμηχανήσατο. Δυσὶν ἐκέλευσε νεανίσκοις, δείξας τινὰ ὁδόν, ἐξελθεῖν νύκτωρ καὶ τὸν ἀπαντήσαντα ἀνελεῖν καὶ θάψαι· ἔπειτα βαδίζειν πάλιν τε ἄλλους κατὰ τούτων τέτταρας, καὶ ἀνελόντας τοὺς δύο θάψαι· πάλιν τε κατὰ τούτων πλείονας. Καὶ οὕτως αὐτὸς τοῖς πρώτοις ἐντυχὼν ἀνῃρέθη. Κορίνθιοι δ' ἐπί τι κενοτάφιον ἐπέγραψαν αὐτῷ τόδε·

Πλούτου καὶ σοφίας πρύτανιν πατρὶς ἥδε Κόρινθος **97**
κόλποις ἀγχίαλος γῆ Περίανδρον ἔχει.

Ἔστι καὶ ἡμῶν·

1–5 τῇ φωρᾷ : cf. Parthen. 17; Plut. *Septem sap. conviv.* 146 D; L. Radermacher, *Rhein. Mus.* 91 (1942) 181–185 **1** Ἀρίστιππος : cf. Wilamowitz, *Antigonos von Karystos,* 48 ss. **5** Ἀλλὰ καὶ – **9** Ephori F 178 (*FGrHist* 70) **18–19** *Anth. Pal.* 7.619; Lobonis Fr. 14 Cr.; *Suppl. Hell.* 516

3 κράτεια **BPΦ** : κράτιστα **F**^{3} | εἴδετο **F**^{3} **4** ἀλγεῖν **BPF**^{3} : ἀσελγαίνειν **Φ** (omissis ἐπὶ τῇ φωρᾷ) **5** φωρᾶι **P**^{1}**Q** : φορᾶ **F**^{3} : χῶρα **B** : χώραι **P**^{3}**WH** **6** ἀναθεῖναι **PF**^{3}**Φ** : ἀναθείη **B** **13–14** πάλιν τε ἄλλους scripsi ex **Φ** : ἄλλους τε **BPF**^{3} **14** τοὺς δύο addidi ex **Φ**, om. **BPF**^{3} **15** κατὰ **BPΦF**^{3} mg : καὶ **F**^{3} in textu **18** σοφίας **BP**^{1}**F**^{3}**QWH** et *Pal.* : σοφίης **P**^{5} | πρύτανις **P**^{3} ss. **W** **19** ἀγχίαλος Jacobs : ἀγχιάλοις **BPF**^{3} et *Pal.* : ἀμφιάλοις Roeper^2

Μή ποτε λυπήσῃ σε τὸ μή σε τυχεῖν τινος· ἀλλὰ
τέρπεο πᾶσιν ὁμῶς οἷσι δίδωσι θεός.
Καὶ γὰρ ἀθυμήσας ὁ σοφὸς Περίανδρος ἀπέσβη,
οὕνεκεν οὐκ ἔτυχε πρήξιος ἧς ἔθελεν.

Τούτου ἐστὶ καὶ τὸ Μηδὲν χρημάτων ἕνεκα πράττειν· δεῖν γὰρ τὰ κερδαντὰ κερδαίνειν. Ἐποίησε δὲ καὶ ὑποθήκας εἰς ἔπη δισχίλια. Εἶπέ τε ⟨δεῖν⟩ τοὺς μέλλοντας ἀσφαλῶς τυραννήσειν τῇ ⟨τῶν πολιτῶν⟩ εὐνοίᾳ δορυφορεῖσθαι, καὶ μὴ τοῖς ὅπλοις. Καί ποτε ἐρωτηθεὶς διὰ τί τυραννεῖ, ἔφη· "Ὅτι καὶ τὸ ἑκουσίως ἀποστῆναι καὶ τὸ ἀφαιρεθῆναι κίνδυνον φέρει." Ἔλεγε δὲ καὶ τάδε· Καλὸν ἡσυχία· ἐπισφαλὲς προπέτεια· κέρδος αἰσχρὸν ⟨φύσεως κατηγορία⟩· δημοκρατία κρεῖττον τυραννίδος· αἱ μὲν

1–4 *Anth. Pal.* 7.620 **5** cf. *Gnom. Vat.* 29 **7** Εἶπέ τε – **9** τοῖς ὅπλοις : *Gnom. Vat.* 451; Isocr. *Hel.* 37 ... οὐδ' ἐπακτῷ δυνάμει τὴν ἀρχὴν διαφυλάττων, ἀλλὰ τῇ τῶν πολιτῶν εὐνοίᾳ δορυφορούμενος ... **11-12** Καλὸν ἡσυχία : Stob. 3.1.172 ζ' 2 (= 10.3 DK); pp. 236 s. et 421 s. Tz.; Arsen, p. 418 Walz **12** ἐπισφαλὲς προπέτεια : Stob. 3; pp. 237 s. et 418 Tz.; Arsen. ib. **12–13** κέρδος – κατηγορία : Stob. 4–5; pp. 238 s et 418 Tz.; Arsen. ib. **13** δημοκρατία κρεῖττον τυραννίδος : Stob. 6; p. 239 s. Tz.; Arsen. ib. **13–p. 71.1** Stob. 7; pp. 240 et 418 s. Tz.; Arsen. ib.

1 λυπήσει **B** | σε^1 : τε **F**^{3} | σε τυχεῖν **BP** et *Pal.*, *Suda* : τυχεῖν σε **Φ** : τυχεῖν **F**^{3} **4** ἔτυχε **BPΦ** et *Suda* : ἔτυχεν **F**^{3} et *Pal.* | ἣν **B** et *Pal.*$^{corr.}$ (ἦν *Pal.*^{1}) | ἤθελεν **BΦ** **5** ante Μηδὲν addit **Φ** Μηδὲν ἄγαν **6** τὰ κερδαντὰ **BPF**^{3} : τὰ κέρδους ἄξια **Φ** : τἀκέρδαντα Diels **7** δεῖν addidi e *Gnom. Vat.* **8** τῶν πολιτῶν addidi ex Isocr. : ταῖς εὐνοίαις δορυφορεῖσθαι τῶν ἀρχομένων *Gnom.* **11** φερεθῆναι **B**^{1} (corr. **B**^{2}) **12–13** φύσεως κατηγορία supplevi ex Arsenio, Stobaeo et *Gnom. Par.* : in **P** vacat spatium litt. 6–7 : κέρδος αἰσχρὸν μεγάλη κατηγορία *Gnom. Monacense* **13** κρεῖττον **BPF**^{3} et Stob. : κρείσσων **Φ** et Arsen., κρείττων p. 239 Tz.

ἡδοναὶ φθαρταί, αἱ δὲ τιμαὶ ἀθάνατοι· εὐτυχῶν μὲν
μέτριος ἴσθι, δυστυχῶν δὲ φρόνιμος· φίλοις εὐτυχοῦσι 98
καὶ ἀτυχοῦσι ὁ αὐτὸς ἴσθι· ὃ ἂν ὁμολογήσῃς, διατήρει·
λόγων ἀπορρήτων ἐκφορὰν μὴ ποιοῦ· μὴ μόνον τοὺς
ἁμαρτάνοντας, ἀλλὰ καὶ τοὺς μέλλοντας κόλαζε.

Οὗτος πρῶτος δορυφόρους ἔσχε, καὶ τὴν ἀρχὴν εἰς τυραννίδα μετέστησε· καὶ οὐκ εἴα ἐν ἄστει ζῆν τοὺς βουλομένους, καθά φησιν Ἔφορος καὶ Ἀριστοτέλης. Ἤκμαζε δὲ περὶ τὴν τριακοστὴν ὀγδόην Ὀλυμπιάδα, καὶ ἐτυράννευσεν ἔτη τετταράκοντα.

Σωτίων δὲ καὶ Ἡρακλείδης καὶ Παμφίλη ἐν τῷ πέμπτῳ
τῶν Ὑπομνημάτων δύο φασὶ Περιάνδρους γεγονέναι, τὸν
μὲν τύραννον, τὸν δὲ σοφὸν καὶ Ἀμβρακιώτην. Τοῦτο καὶ 99
Νεάνθης φησὶν ὁ Κυζικηνός, ἀνεψιούς τε εἶναι ἀλλήλοις.
Καὶ Ἀριστοτέλης μὲν τὸν Κορίνθιόν φησιν εἶναι τὸν

1 εὐτυχῶν – **2** φρόνιμος : Stob. 8; pp. 240–242 et 419 Tz.; Arsen., p. 419 Walz **2** φίλοις – **3** ἴσθι : Stob. 12; pp. 244 s. et 419 s. Tz.; Arsen. ib. **3** Stob. 13; p. 245 Tz. **4** λόγων – μὴ ποιοῦ : Stob. 14; pp. 245–247 et 421 Tz.; Arsen. ib.; Isocr. *Ad Demon.* 22 **4** μὴ μόνον – **5** Stob. 17; p. 249 s. Tz.; Arsen. ib. **6 – 8** Ἔφορος : *FGrHist* 70 F 179 | Aristot. Fr. 516 Rose^3 **9–10** *FGrHist* 244 F 322b **9** i.e. 628–624 **10** ἔτη τετταράκοντα : i.e. 627–587 **11** Sotionis Fr. 2 Wehrli | Heraclidis Fr. 145 Wehrli **11–12** Pamphilae Fr. 5 (*FHG* III, 521) **12** δύο φασὶ Περιάνδρους : Ael. *V.H.* 12.35 **13** Ἀμβρακιώτην : cf. Aristot. *Polit.* E 10, 1311 a 39 **14** Neanthis F 19 (*FGrHist* 84) **15–p. 72.1** Aristot. Fr. 517 Rose^3

1 φθαρταί **BPF^{3}Φ** et p. 418 Tz. : θνηταί Stob., Arsen. et p. 240 Tz. **3** ὁ ss. **B^2** | ὁμολογήσῃς **F^3**, Stob. et p. 245 Tz. : ὁμολογῇς **BPΦ** **4** μὴ μόνον – **5** κόλαζε **BPF^{3}Φ** : μὴ μόνον τοὺς ἁμαρτάνοντας κόλαζε, ἀλλὰ καὶ τοὺς μέλλοντας κώλυε Stob., Arsen. et p. 249 Tz. **10** ἐτυράννευσεν **BP** : ἐτυράννισεν **F^3** **12** φασὶ **P** : φησὶ **BF^3** **13** ἀμπρακιώτην **P** | τοῦτο in mg **F^3** **15** φησὶ τὸν κορίνθιον **B**

σοφόν· Πλάτων δὲ οὔ φησιν.

Τούτου ἐστί· Μελέτη τὸ πᾶν. Ἤθελε δὲ καὶ τὸν Ἰσθμὸν διορύξαι. Φέρεται δὲ αὐτοῦ καὶ ἐπιστόλια·

Περίανδρος τοῖς Σοφοῖς

Πολλὰ χάρις τῷ Πυθοῖ Ἀπόλλωνι τοῦ εἰς ἓν ἐλθόντας εὑρεῖν. Ἀξοῦντί τε καὶ ἐς Κόρινθον ταὶ ἐμαὶ ἐπιστολαί. Ἐγὼν δὲ ὑμᾶς ἀποδέξομαι, ὡς ἴστε αὐτοί, ὅτι δαμοτικώτατα. Πεύθομαι ὡς πέρυτι ἐγένετο ὑμῶν ἁλία παρὰ τὸν Λυδὸν ἐς Σάρδεις. Ἤδη ὦν μὴ ὀκνεῖτε καὶ παρ' ἐμὲ φοιτῆν τὸν Κορίνθου τύραννον. Ὑμᾶς γὰρ καὶ ἄσμενοι ὄψονται Κορίνθιοι φοιτεῦντας ἐς οἶκον τὸν Περιάνδρου.

Περίανδρος Προκλεῖ

100 Ἐμὶν μὲν ἀκούσιον τᾶς δάμαρτος τὸ ἄγος· τὺ δὲ ἑκὼν τῷ παιδὶ ἦν ἄπο θυμοῦ ⟨με⟩ ποιήσαις, ἀδικεῖς. Ἢ ὦν παῦ-

1 Plat. *Protag.* 343 a **2** Μελέτη τὸ πᾶν : Stob. 1; Arsen., p. 418 Walz; pp. 251 s. et 417 Tz. **4–p.73.3** Hercher, p. 408

3 διορίξαι $\mathbf{F^3}$ | ἐπιστόλια Roeper^2 : ἐπιστολή $\mathbf{BPF^3}$: φέρονται et ἐπιστολαί Menagius **5** τοῦ τ' εἰς ἓν $\mathbf{F^3}$: ὅτ' εἰς ἓν **P** : ὅτ' ὕησεν **BP** mg **6** εὑρεῖν $\mathbf{F^3}$: αυτει **B**, ἀῦτεῖ **P** | ἀξοῦντί τε Cobet, ἀξοῦντι Casaubon : ἤξουντι **BP** : ἤξιον τάς τε $\mathbf{F^3}$ | ταὶ Stephanus : τε **BP** : τὰς $\mathbf{F^3}$ | ἐμὰς ἐπιστολὰς $\mathbf{F^3}$ **7** ἐγὼ **B** | ἀποδέξομαι Menagius : ἀποδέχομαι $\mathbf{BPF^3}$: ὑποδέχομαι Reiske | ἴστε Cobet : ἴσετε $\mathbf{PF^3}$, ἴσεται **B** | δαμοτικώτατον $\mathbf{F^3}$ **9** καὶ ἐς $\mathbf{F^3}$ | ὀκνῆτε **B** **10** φοιτῆν Stephanus : φοιτεν $\mathbf{B^2P^1}$: φοιτεῖν $\mathbf{F^3P^4}$ **11** φοιτεῦντας Stephanus : φοιτέντας $\mathbf{BP^1}$: φοιτῶντας $\mathbf{F^3}$: φοιτοῦντας $\mathbf{P^4H}$ | περιάνδρωι $\mathbf{P^1}$ (corr. $\mathbf{P^2}$) **13** ἐμὶν Cobet, ἐμῖν $\mathbf{P^1QW}$: εμην **B** : ὑμῖν $\mathbf{F^3}$: ἀμῖν $\mathbf{P^4H}$ | τᾶς **P** : τὰς $\mathbf{PF^3}$ | τὺ **BP** : σὺ $\mathbf{F^3}$ **14** ἦν **P**, ην **B**, ἦν $\mathbf{F^3}$: με Koene (ad Gregor. Corinth. *De dialectis* p. 210 s. ed. Schaefer) | ἄπο Bast : ἀπὸ **BP** (ἀποθυμοῦ **F**) | με add. Casaubon : ἀδικεῖς ἢ $\mathbf{PF^3}$: αδικηση **B**

σον τὰν ἀπήνειαν τῶ παιδός, ἦ ἐγὼν τὺ ἀμυνοῦμαι. Καὶ γὰρ δὴν καὶ αὐτὸς ποινὰς ἔτισα τὶν τᾷ θυγατρί, ⟨συγ⟩κατακαύσαις αὐτᾷ καὶ τὰ πασᾶν Κορινθιᾶν εἵματα.

Ἔγραψε δὲ αὐτῷ καὶ Θρασύβουλος οὕτως·

Θρασύβουλος Περιάνδρῳ

Τῷ μὲν κήρυκι σεῦ οὐδὲν ὑπεκρινάμην· ἀγαγὼν δὲ αὐτὸν ἐς λήϊον, τοὺς ὑπερφυέας τῶν ἀσταχύων ῥάβδῳ παίων ἀπεθέριζον, ὁμαρτέοντος ἐκείνου. Καί σοι ἀναγγελέει, εἰ ἐπέροιο, ὅ τι μευ ἀκούσειεν ἢ ἴδοι. Σύ τε ποίει οὕτως, ἤν γ' ἐθέλῃς καρτύνασθαι τὴν αἰσυμνητίην· τοὺς ἐξόχους τῶν πολιτέων ἐξαίρειν, ἤν τέ τις ἐχθρός τοι φαίνηται, ἤν τε μή. Ὕποπτος γὰρ ἀνδρὶ αἰσυμνήτῃ καὶ τῶν τις ἑτάρων.

5–13 Hercher, p. 787 **6–12** ἤν τε μή : Herod. 5.92 ζ′ 2–3; Aristot. *Polit.* E 10, 1311 a 20–22

1 τὰν **F^{3}P^{4}H** : τὴν **BP^1** | ἀπήνειαν **P^{4}H** : ἀπηνίαν **F^3** : ἀποινειειαν **B**, ἀποινιειαν **P^{1}QW** | ἐγὼν Cobet : ἐγὼ **BPF^3** | τὺ Cobet, τυ Valckenaer (ad Herod. p. 222 ed. Wesseling) : τοι **PF^3** : τοια **B** **2** δὴν **BP** : δεῖν **F^3** | τὶν ται **B** : τήν τε **P** : τόν τε **F^3** | ⟨συγ⟩κατακαύσαις Cobet, κατακαύσαις Casaubon : κατακούσαις **BPF^3** **3** αὐτᾷ Casaubon : αυται **B** : αὗται **PF^3** | καὶ **BP** : κατὰ **F^3** : del. Cobet | πασᾶν Κορινθιᾶν Casaubon : πᾶσαν κορινθίαν **BP F^3** **4** οὕτω **F^3** **6** ἀπεκρινάμην **F^3** | ἀγάσων **B** **8** ἀναγγελέει **D** : ἀναγγέλλει **P^{3}W** : ἀναγγέλλειν **BP^1** : ἀναγγελλέειν **F^3** **9** ἐπαίροιο **F^3** | μευ **F^{3}P^{4}H** : μέγα **BP^{1}QW** (μεγ') | τε **BPF^3** : δὲ Cobet **10** γε θέλης (**B**)**P** | κρατύνασθαι **F^3** | αισυμνητειν et ss. α **B** **11** ἐξερεῖν **B** | ἤν **PF^3** : η **B** **12** γὰρ **F^3** : om. **BP** | ἀνδρὶ αἰσυμνήτῃ *Frob.* : ἀνδρὶ αἰσυμνήτη ἢ **F^3** : ἀνδρὶ αἰσυμνήτα ἢ **P^1** (erasit ἢ **P^{2}Q**) : ἀνδρίαις ὑμνηταη **B** **13** ἑτάρων Cobet : ἑταίρων **BPF^3**

ΑΝΑΧΑΡΣΙΣ

101 Ἀνάχαρσις ὁ Σκύθης Γνούρου μὲν ἦν υἱός, ἀδελφὸς δὲ Καδουίδου τοῦ Σκυθῶν βασιλέως, μητρὸς δὲ Ἑλληνίδος· διὸ καὶ δίγλωττος ἦν. Οὗτος ἐποίησε τῶν τε παρὰ τοῖς Σκύθαις νομίμων καὶ τῶν παρὰ τοῖς Ἕλλησιν εἰς εὐτέλειαν βίου καὶ τὰ κατὰ πόλεμον ἔπη ὀκτακόσια. Παρέσχε δὲ καὶ ἀφορμὴν παροιμίας διὰ τὸ παρρησιαστὴς εἶναι, Τὴν ἀπὸ Σκυθῶν ῥῆσιν.

Λέγει δ' αὐτὸν Σωσικράτης ἐλθεῖν εἰς Ἀθήνας κατὰ τὴν τεσσαρακοστὴν ἑβδόμην Ὀλυμπιάδα ἐπὶ ἄρχοντος Εὐκράτους. Ἕρμιππος δὲ πρὸς τὴν Σόλωνος οἰκίαν ἀφικόμενον τῶν θεραπόντων τινὶ κελεῦσαι μηνῦσαι ὅτι παρείη πρὸς αὐτὸν Ἀνάχαρσις καὶ βούλοιτο αὐτὸν θεά-
102 σασθαι, ξένος τε, εἰ οἷόν τε, γενέσθαι. Καὶ ὁ θεράπων εἰσαγγείλας ἐκελεύσθη ὑπὸ τοῦ Σόλωνος εἰπεῖν αὐτῷ ὅτιπερ ἐν ταῖς ἰδίαις πατρίσι ξένους ποιοῦνται. Ἔνθεν ὁ Ἀνάχαρσις ἑλὼν ἔφη νῦν αὐτὸν ἐν τῇ πατρίδι εἶναι καὶ προσήκειν αὐτῷ ξένους ποιεῖσθαι. Ὁ δὲ καταπλαγεὶς τὴν ἑτοιμότητα εἰσέφρηκεν αὐτὸν καὶ μέγιστον φίλον ἐποιήσατο.

2–p. 75.5 ἀπολέσθαι : Eudociae *Violarium* 182 **2–8** Lobonis Fr. 15 Cr. **4–6** cf. *Suda,* 2130 Ἀνάχαρσις **8** cf. Demetrii *De eloc.* 216 et 297 **9–11** Sosicratis Fr. 15 (*FHG* IV, 502) **10** i.e. 591–587 **11–20** Hermippi Fr. 9 Wehrli. Cf. Plut. *Sol.* 5.1–2; Tzetzae *Chil.* 4.924–932 **16** Ἔνθεν – **17** ἑλών : cf. *Odyss.* 8.500

1 *tit.* **PF^3** : om. **B** spatio relicto **2** γούρου **F^3** **3** καδουίδου **BP** et Eudoc. : καλωνίδου **F^3** : Καδουίδα Casaubon e *Suda* **4** τῶν **PF^3** : τόν **B** : ⟨περὶ⟩ τῶν Richards **8** τὴν **BPF^3** mg : τῶν **F^3** in textu **13** παρεῖν **B** **17** ἑλὼν Cobet : ἐλθὼν **BPF^3** | αὐτὸν Casaubon : αὐτὸς **BPF^{3}Φ** **18** προσήκειν *Frob.* : προσήκει **BPF^{3}Φ** **19** εἰσέφρηκεν **PΦ**, εἰσέφρικεν **B** : εἰσέφρισεν **F^3**, εἰσέφρησεν Stephanus

Μετὰ χρόνον δὲ παραγενόμενος εἰς τὴν Σκυθίαν καὶ νομιζόμενος τὰ νόμιμα παραλύειν τῆς πατρίδος, πολὺς ὢν ἐν τῷ ἑλληνίζειν, τοξευθεὶς ἐν κυνηγεσίῳ πρὸς τἀδελφοῦ τελευτᾷ, εἰπὼν διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος σωθῆναι, διὰ δὲ τὸν φθόνον ἐν τῇ οἰκείᾳ ἀπολέσθαι. Ἔνιοι δὲ τελετὰς Ἑλληνικὰς ἐπιτελοῦντα διαχρησθῆναι.

Καὶ ἔστιν ἡμῶν εἰς αὐτόν·

Ἐς Σκυθίην Ἀνάχαρσις ὅτ᾽ ἤλυθε πολλὰ πλανηθείς, **103**
πάντας ἔπειθε βιοῦν ἤθεσιν Ἑλλαδικοῖς·
τὸν δ᾽ ἔτι μῦθον ἄκραντον ἐνὶ στομάτεσσιν ἔχοντα
πτηνὸς ἐς ἀθανάτους ἥρπασεν ὦκα δόναξ.

Οὗτος τὴν ἄμπελον εἶπε τρεῖς φέρειν βότρυς· τὸν πρῶτον ἡδονῆς, τὸν δεύτερον μέθης, τὸν τρίτον ἀηδίας. Θαυμάζειν δὲ ἔφη πῶς παρὰ τοῖς Ἕλλησιν ἀγωνίζονται μὲν οἱ τεχνῖται, κρίνουσι δὲ οἱ μὴ τεχνῖται. Ἐρωτηθεὶς

3-4 cf. Herod. 4.76.6 **4** εἰπὼν – **5** ἀπολέσθαι : *Schol.* ad Plat. *Reip.* 10, 600 a = A 19 Kindstrand **6** cf. *Suda,* 2130 Ἀνάχαρσις **9–12** *Anth. Pal.* 7.92; *Plan.* **11–12** *Suda,* 955 Ἄκραντον **13–14** ἀηδίας : *Sylloge Vindob.* 55 = A 26 K. Cf. Stob. 3.18.25 = A 27 K. **15** Θαυμάζειν – **16** οἱ μὴ τεχνῖται : *Syll. Vindob.* 56; Plut. *Sol.* 5.6; *Gnom. Vat.* 14 = A 42 K. **16** Ἐρωτηθεὶς – **p. 76.2** ἀσχημοσύνας : *Syll. Vindob.* 57. Cf. Stob. 3.18.34 = A 28–29 K.

2 νομιζόμενος **Φ** et Richards : νομίζων **BPF**^{3} et Eudocia : δοκῶν Cobet **4** λόγον **BPF**^{3}**Φ** et *Schol. Plat.* : νόμον Richards | ἐν τῇ Ἑλλάδι coni. Menagius **5** οἰκία **B** | ἀπολέξαι **F**^{3} **8** ἐς **F**^{3} **9** σκυθίην **P** et *Pal.* : κυθίην **B** : σκυθίαν ἂν **F**^{3} | ἀνάχαρσιν *Pal.*^{1} | ἤλυσε **F**^{3} | πλανηθεὶς **BPF**^{3} : μογήσας *Pal.* **10** ἔπεισθε **B** **11** ἐπὶ **P**^{1}**Q**, corr. **P**^{3}**W** | ἄκραντον -ν- ss. **F**^{3} | στομάτεσιν **F**^{3} **12** πτηνοὺς *Pal.*^{1} **13** βότρυας **Φ** **14** ἀηδίας : ἀκηδίας e *Vita Aesop.* G 68 coni. Perry **15** δὲ om. **F**^{3} **15** πῶς : ὅτι *Syll.* **16** οἱ μὴ τεχνῖται **BPF**^{3} : οἱ ἄτεχνοι *Syll.* : οἱ ἀμαθεῖς **Φ**, Plut., *Gnom. Vat.*

πῶς οὐκ ἂν γένοιτό τις φιλοπότης, "Εἰ πρὸ ὀφθαλμῶν," εἶπεν, "ἔχοι τὰς τῶν μεθυόντων ἀσχημοσύνας." Θαυμάζειν τε ἔλεγε πῶς οἱ Ἕλληνες νομοθετοῦντες κατὰ τῶν ὑβριζόντων τοὺς ἀθλητὰς τιμῶσιν ἐπὶ τῷ τύπτειν ἀλλήλους. Μαθὼν τέτταρας δακτύλους εἶναι τὸ πάχος τῆς νεώς, Τοσοῦτον ἔφη τοῦ θανάτου τοὺς πλέοντας ἀπέχειν.

104 Τὸ ἔλαιον μανίας φάρμακον ἔλεγε διὰ τὸ ἀλειφομένους τοὺς ἀθλητὰς ἐπιμαίνεσθαι ἀλλήλοις. "Πῶς," ἔλεγεν, "ἀπαγορεύοντες τὸ ψεύδεσθαι ἐν ταῖς καπηλείαις φανερῶς ψεύδονται;" Καὶ θαυμάζειν φησὶ πῶς Ἕλληνες ἀρχόμενοι μὲν ἐν μικροῖς πίνουσι, πλησθέντες δὲ ἐν μεγάλοις. Ἐπιγράφεται δὲ αὐτοῦ ταῖς εἰκόσι· "Γλώσσης, γαστρός, αἰδοίων κρατεῖν." Ἐρωτηθεὶς εἰ εἰσὶν ἐν Σκύθαις αὐλοί, εἶπεν, "Ἀλλ' οὐδὲ ἄμπελοι." Ἐρωτηθεὶς τίνα τῶν πλοίων εἰσὶν ἀσφαλέστερα, ἔφη, "Τὰ νενεωλκημένα."

2 Θαυμάζειν – **4** ἀλλήλους : A 36 K. **5** Μαθὼν – **6** Arsen. *Violetum,* p. 105 Walz; Eustathii ad *Il.* 15.628, p. 1034 = A 34 K. Cf. Iuven. 12.57–59 **7** – **8** ἀλλήλοις : Arsen. *Viol.* ib.; Dion. Prus. *Or.* 32.44 et al. = A 37 K. **8** Πῶς – **10** ψεύδονται : Arsen. ib. = A 43 K. **10** Καὶ – **11** ἐν μεγάλοις : *Syll. Vindob.* 58 = A 32 K. **12** Ἐπιγράφεται – **13** κρατεῖν : Arsen. ib.; *Gnom. Vat.* 136; Plut. *De garrul.* 505 A; Clem. *Strom.* 5.44.5; Libanii *Ep.* 61.8 = A 21–22 K. **13** Ἐρωτηθεὶς – **14** ἄμπελοι : *Syll. Vindob.* 59; Aristot. *Anal. post.* A 13, 78 b 29–31; Plut. *Septem sap. conviv.* 150 DE; Strab. 15.1.22; Max. Tyrii *Diss.* 17.4; Eust. ad *Il.* 1.9, p. 22 = A 23 K. **14** Ἐρωτηθεὶς – **25** τὰ νενεωλκημένα : Arsen. ib. = A 35 K.

1 ἄν τις γένοιτο **Φ** **4** τῷ **B**[2], τὸ **B**[1] **5** μαθὼν δὲ **Φ** **9** τὸ **PF**[3] : μὴ **B** et Arsen. : om. **Φ** **11** πίνουσι **PF**[3] : πεινοῦσι **B** : πίνωσι *Syll.* | πλησθέντες : πληρωθέντες *Syll.* **12** ἐπιγράφεται **BF**[3]**P**[4]**H** : ὑπογράφεται **P**[1]**QW** : γράφεται **Φ** **13** κρατεῖν **PF**[3], Arsen. : κράτει **BΦ** **15** ἀσφαλέστατα Richards | τὰ νενέωα κείμενα **B**

Καὶ τοῦτο ἔφη θαυμασιώτατον ἑωρακέναι παρὰ τοῖς
Ἕλλησιν, ὅτι τὸν μὲν καπνὸν ἐν τοῖς ὄρεσι καταλεί-
πουσι, τὰ δὲ ξύλα εἰς τὴν πόλιν κομίζουσιν. Ἐρωτηθεὶς
πότεροι πλείους εἰσίν, οἱ ζῶντες ἢ οἱ νεκροί, ἔφη· "Τοὺς
οὖν πλέοντας ποῦ τίθης;" Ὀνειδιζόμενος ὑπὸ Ἀττικοῦ ὅτι
Σκύθης ἐστίν, ἔφη· "Ἀλλ' ἐμοὶ μὲν ὄνειδος ἡ πατρίς, σὺ
δὲ τῇ πατρίδι." Ἐρωτηθεὶς τί ἐστιν ἐν ἀνθρώποις ἀγαθόν 105
τε καὶ φαῦλον, "Γλῶσσα," ἔφη. Κρεῖττον ἔλεγεν ἕνα φίλον
ἔχειν πολλοῦ ἄξιον ἢ πολλοὺς μηδενὸς ἀξίους. Τὴν
ἀγορὰν ὡρισμένον ἔφη τόπον εἰς τὸ ἀλλήλους ἀπατᾶν καὶ
πλεονεκτεῖν. Ὑπὸ μειρακίου παρὰ πότον ὑβρισθεὶς ἔφη·

1 Καὶ τοῦτο – **3** κομίζουσιν : Plut. *Quaest. conviv.* 693 A : Ὥσπερ οὖν ὁ σοφὸς Ἀνάχαρσις ἄλλ' ἄττα τῶν Ἑλλήνων μεμφόμενος ἐπῄνει τὴν ἀνθρακείαν, ὅτι τὸν καπνὸν ἔξω καταλιπόντες οἴκαδε πῦρ κομίζουσιν; Theophr. *De igne* 13.75 = A 46 K. Cf. A.S. Ferguson, *C.R.* 31 (1917) 97; 34 (1920) 101 s. **3** Ἐρωτηθεὶς – **5** τίθης : *Gnom. Vat.* 130; *Syll. Vindob.* 60; Arsen. *Violetum*, p. 106 Walz = A 33 K. **5** Ὀνειδιζόμενος – **7** *Syll. Vindob.* 61; Arsen. ib.; Galeni *Protr.* 7.13–14; Stob. 3.39.29 = A 1 K. **7** Ἐρωτηθεὶς – **8** Γλῶσσα, ἔφη : *Gnom. Vat.* 131; *Syll. Vindob.* 62; Arsen ib. = A 20 K. **8** Κρεῖττον – **9** ἀξίους : *Gnom. Vat.* 132; *Syll. Vindob.* 63; Arsen. ib. = A 14 K. **9** Τὴν ἀγορὰν – **11** πλεονεκτεῖν : *Syll. Vindob.* 64; Arsen. ib. = A 44 K. **11** Ὑπὸ – **p. 78.2** οἴσεις : *Gnom. Vat.* 133; *Syll. Vindob.* 65; Arsen. ib. = A 30 K.

2 καπνὸν : καρπὸν Meibom. et Richards (*C.R.* 16 [1902] 394 s.) **4** ἔφη om. **B** **5** πλέοντας : πλέονας Arsen., Casaubon, Cobet : ἐμπλέοντας *Syll.* | τίθης **BP**F^3 : τίθησαι **Φ** : τιθεὶς *Gnom. Vat., Syll.* **6** ἔφη om. **BΦ** | ἐμοὶ **BP**F^3**Φ** et Gal. : ἐμοῦ Menagius | post ὄνειδος addunt εἶπεν **BΦ** **7** τῇ πατρίδι Gal., Menagius (servato ἐμοὶ), Meineke : τῆς πατρίδος **BP**F^3**Φ**, *Syll. Vindob.* **8** γλῶσσα ἔφη **BPΦ** et Arsen. : ἔφη γλῶσσα F^3 et *Gnom. Vat.* | ἕνα **B**F^3**Φ**P^4**H** : εἶναι P^1**Q** **W** : εἶναι ἕνα *Gnom. Vat.* **9** οὐδενὸς P^1**QW**, corr. P^4**H** **11** ὑβρισθῇς F^3

"Μειράκιον, ἐὰν νέος ὢν τὸν οἶνον μὴ φέρῃς, γέρων γενόμενος ὕδωρ οἴσεις;"

Εὗρε δ' εἰς τὸν βίον ἄγκυράν τε καὶ κεραμεικὸν τροχόν, ὥς τινες.

Καὶ ἐπέστειλεν ὧδε·

Ἀνάχαρσις Κροίσῳ

Ἐγώ, βασιλεῦ Λυδῶν, ἀφῖγμαι εἰς τὴν γῆν τῶν Ἑλλήνων διδαχθησόμενος ἤθη τὰ τούτων καὶ ἐπιτηδεύματα. Χρυσοῦ δ' οὐδὲν δέομαι, ἀλλ' ἀπόχρη με ἐπανήκειν ἐς Σκύθας ἄνδρα ἀμείνονα. Ἥκω γοῦν ἐς Σάρδεις, πρὸ μεγάλου ποιούμενος ἐν γνώμῃ τοι γενέσθαι.

ΜΥΣΩΝ

106 Μύσων Στρύμωνος, ὥς φησι Σωσικράτης Ἕρμιππον παρατιθέμενος, τὸ γένος Χηνεύς, ἀπὸ κώμης τινὸς Οἰταϊκῆς ἢ Λακωνικῆς, σὺν τοῖς ἑπτὰ καταριθμεῖται. Φασὶ δ' αὐτὸν καὶ τυράννου πατρὸς εἶναι. Λέγεται δὴ πρός τινος Ἀναχάρσιδος πυνθανομένου εἴ τις αὐτοῦ σοφώτερος εἴη,

3–4 Arsen. ib.; Ephori F 42 (*FGrHist* 70); Sen. *Ep.* 90.31; Plin. *N.H.* 7.198 et 7.209; *Suda,* A 258; A 2130; K 1354 **6–11** Hercher, p. 105; *Ep.* 10 F.H. Reuters (*Die Briefe des Anacharsis,* Berolini, 1963) **13** Sosicratis Fr. 16 (*FHG* IV, 502) **13–p. 79.15** Hermippi Fr. 14 Wehrli

1 μὴ **BΦ** et *Gnom. Vat.* : οὐ **PF³** **2** τὸ ὕδωρ *Gnom. Vat., Syll. Vindob.* | post οἴσεις signum interrogationis ponunt **PF³** **3** κεραμεικὸν **PΦ** : κεραμικὸν **BF³** **7** τὴν γῆν τῶν **B** : γῆν τὴν **Φ** : τὴν τῶν **PF³** **9** με **BPΦ** : μοι **F³** **10** σκύθας **PF³**, κύθας **B** : σκυθίαν **Φ** | ἄνδρα γεγονότα ἀμείνονα **Φ** | ἥξω **Φ** | γοῦν **BPF³** : δ' οὖν **Φ** et Roeper² | πρὸς **P⁴H**, *Frob.* **11** σοι Roeper² **12** *tit.* **PF³** : om. **B** spatio relicto **13** στρύμονος **BP** **16** τινος : τινων Reiske **17** πυθομένου **Φ** | εἴ της **F³**

τὴν Πυθίαν ⟨ἀν⟩ειπεῖν ἅπερ προείρηται ἐν τῷ Θαλοῦ βίῳ ὑπὲρ Χείλωνος·

> Οἰταῖόν τινά φημι Μύσων(α) ἐν Χηνὶ γενέσθαι
> σοῦ μᾶλλον πραπίδεσσιν ἀρηρότα πευκαλίμῃσι.

Πολυπραγμονήσαντα δὴ ἐλθεῖν εἰς τὴν κώμην καὶ εὑρεῖν αὐτὸν θέρους ἐχέτλην ἀρότρῳ προσαρμόττοντα, καὶ εἰπεῖν· "Ἀλλ', ὦ Μύσων, οὐχ ὥρα νῦν ἀρότρου." "Καὶ μάλα," εἶπεν, "ὥστε ἐπισκευάζειν." Ἄλλοι δὲ τὸν χρησ- **107**
μὸν οὕτως ἔχειν φασίν· "Ἠτεῖόν τινά φημι·" καὶ ζητοῦσι τί ἐστιν ὁ Ἠτεῖος. Παρμενίσκος μὲν οὖν δῆμον εἶναι Λακωνικῆς, ὅθεν εἶναι τὸν Μύσωνα. Σωσικράτης δ' ἐν Διαδοχαῖς ἀπὸ μὲν πατρὸς Ἠτεῖον εἶναι, ἀπὸ δὲ μητρὸς Χηνέα. Εὐθύφρων δ' ὁ Ἡρακλείδου τοῦ Ποντικοῦ Κρῆτά φησιν εἶναι· Ἠτείαν γὰρ πόλιν εἶναι Κρήτης. Ἀναξιλαΐδης δ' Ἀρκάδα.

Μέμνηται δ' αὐτοῦ καὶ Ἱππῶναξ εἰπών·

> καὶ Μύσων, ὃν Ὡπόλλων
> ἀνεῖπεν ἀνδρῶν σωφρονέστατον πάντων.

1 προείρηται : 1.30 **3–4** *Anth. Pal., App.* 6.40 Cougny; Diod. 9.6 **10** Παρμενίσκος – **11** τὸν Μύσωνα : cf. Steph. Byz., s.v. Ἤτεια et H. Erbse, *WJA* N.F. 2 (1976) 134 **11–13** Sosicratis Fr. 16 (*FHG* IV, 503) **13** Εὐθύφρων – **14** Κρήτης : Heraclidis Fr. 18 Wehrli **14** Ἀναξιλαΐδης : cf. E. Schwartz, *RE* I, 2083 **17–18** Hipponactis Fr. 63 West

1 ⟨ἀν⟩ειπεῖν Casaubon : εἰπεῖν **BPF**^{3}**Φ** : ⟨ἀν⟩ελεῖν Richards **3** ἠταῖόν **B**^{2} | ἐν **BPF**^{3}**Φ** : ἐνὶ **F**^{3} (1.30) **5** δὴ **B**^{2} (δι- **B**^{1}) **P** : οὖν **Φ** : δὲ **F**^{3} | τὴν om. **F**^{3} **6** post εἰπεῖν addit αὐτῷ **Φ** | Ἀλλ' om. **Φ** **9** ἠτεῖον **BP** : οἰτεῖον **F**^{3} **10** ἠτεῖος **P** : ἤτιος **B** : οἰτεῖος **F**^{3} | Παρμενίσκος Roeper^4 et Erbse : παρμενίδης **BPF**^{3} **12** ἠτεῖον **BP** : οἰτεῖον **F**^{3} **14** ἠτείαν **BP** : οἰτείαν **F**^{3} | Ἀναξιλαΐδης Schwartz (cf. 3.2) : ἀναξίλαος **PF**^{3} : ἀναξίοδος **B** **16** δ' **F**^{3}**P**^{4}**H** : om. **BP**^{1}**QW** **17** ὠπόλλων **P** : ἀπόλλων **B** : ὡς ἀπόλλων **F**^{3} **18** ἀνεῖπεν **P** : ἂν εἶπεν **BF**^{3} : ἀνεῖλεν Richards

Ἀριστόξενος δέ φησιν ἐν Τοῖς σποράδην οὐ πόρρω Τίμωνος αὐτὸν καὶ Ἀπημάντου γεγονέναι· μισανθρωπεῖν γάρ. Ὀφθῆναι γοῦν ἐν Λακεδαίμονι μόνον ἐπ' ἐρημίας
108 γελῶντα· ἄφνω δέ τινος ἐπιστάντος καὶ πυθομένου διὰ τί μηδενὸς παρόντος γελᾷ, φάναι· "Δι' αὐτὸ τοῦτο." Φησὶ δὲ Ἀριστόξενος ὅτι ἔνθεν καὶ ἄδοξος ἦν, ὅτι μὴ δὴ πόλεως, ἀλλὰ κώμης, καὶ ταῦτα ἀφανοῦς. Ὅθεν διὰ τὴν ἀδοξίαν αὐτοῦ καὶ τὰ αὐτοῦ τινας Περιάνδρῳ περιθεῖναι τῷ τυράννῳ, χωρὶς Πλάτωνος τοῦ φιλοσόφου. Μέμνηται γὰρ αὐτοῦ καὶ οὗτος ἐν τῷ Πρωταγόρᾳ, ἀντὶ Περιάνδρου τιθεὶς αὐτόν.

Ἔφασκε δεῖν μὴ ἐκ τῶν λόγων τὰ πράγματα, ἀλλ' ἐκ τῶν πραγμάτων τοὺς λόγους ζητεῖν· οὐ γὰρ ἕνεκα τῶν λόγων τὰ πράγματα συντελεῖσθαι, ἀλλ' ἕνεκα τῶν πραγμάτων τοὺς λόγους.

Κατέστρεψε δὲ βιοὺς ἔτη ἑπτὰ καὶ ἐνενήκοντα.

ΕΠΙΜΕΝΙΔΗΣ

109 Ἐπιμενίδης, καθά φησι Θεόπομπος καὶ ἄλλοι συχνοί, πατρὸς μὲν ἦν Φαιστίου, οἱ δὲ Δωσιάδα, οἱ δὲ Ἀγησάρ-

1 – 7 ἀφανοῦς : Aristoxeni Fr. 130 Wehrli **10** Plat. *Protag.* 343 a 4. Cf. Paus. 10.24.1; Clem. *Strom.* 1.59.5 **12–13** *Gnom. Vat.* 134; *Syll. Vindob.* 66 **18–85.17** : 3 A 1 DK; *FGrHist* 457 T 1 **18–p.81.12** τὴν ἀλήθειαν : Theopompi F 67a (*FGrHist* 115). Cf. Apollon. *Hist. mir.* 1 (= F 67b); Plin. *N.H.* 7.154 et 175; Valer. Max. 8.13 ext. 5 **19** Ἀγησάρχου – **p.82.10** μετήλλαξεν : excerpsit Arsen. *Violetum,* p. 257 s. Walz

1 τίμωνος **B^{2}PF^3** : τιμωμενος **B^1** **3** ἐριβίας **B^1** **6** μὴ δὴ scripsi : μὴ δὲ **BPF^3** **8** Περιάνδρῳ Roeper ^{2}(conl. 1.30 et 41) : πεισιστράτω **BPF^3** **11** τιθεὶς **BP** : θεὶς **F^3** **12** δεῖν scripsi ex **Φ** et Damascio, Maximo, Apostolio : δὴ **BPF^3** : δὲ Cobet : om. *Gnom. Vat.* **13** ζητεῖν **BPF^{3}Φ** : κρατεῖν *Gnom.*, Maxim., Apost. : κρίνειν Damasc. **14** ἕνεκα **BPF^3** : ἐκ *Gnom.* : om. **Φ** **17** *tit.* **PF^3** : om. **B** spatio relicto **19** φεστίου **B^1** (corr. **B^2**) : φαίστου *Suda,* 2471 Ἐπιμενίδης | δωσιάδα **BP^1** : δωσιάδου **F^{3}P^2** ss. et *Suda*

χου· Κρὴς τὸ γένος ἀπὸ Κνωσοῦ, καθέσει τῆς κόμης τὸ εἶδος παραλλάσσων. Οὗτός ποτε πεμφθεὶς ὑπὸ τοῦ πατρὸς εἰς ἀγρὸν ἐπὶ πρόβατον, τῆς ὁδοῦ κατὰ μεσημβρίαν ἐκκλίνας ὑπ' ἄντρῳ τινὶ κατεκοιμήθη ἑπτὰ καὶ πεντήκοντα ἔτη. Διαναστὰς δὲ μετὰ ταῦτα ἐζήτει τὸ πρόβατον, νομίζων ἐπ' ὀλίγον κεκοιμῆσθαι. Ὡς δὲ οὐχ εὕρισκε, παρεγένετο εἰς τὸν ἀγρόν, καὶ μετεσκευασμένα πάντα καταλαβὼν καὶ παρ' ἑτέρῳ τὴν κτῆσιν, πάλιν ἧκεν εἰς ἄστυ διαπορούμενος. Κἀκεῖ δὲ εἰς τὴν ἑαυτοῦ εἰσιὼν οἰκίαν περιέτυχε τοῖς πυνθανομένοις τίς εἴη, ἕως τὸν νεώτερον ἀδελφὸν εὑρών, τότε ἤδη γέροντα ὄντα, πᾶσαν ἔμαθε παρ' ἐκείνου τὴν ἀλήθειαν. Γνωσθεὶς δὲ παρὰ τοῖς Ἕλλησι θεοφιλέστατος εἶναι ὑπελήφθη.

110 Ὅτε καὶ Ἀθηναίοις, τότε λοιμῷ κατεχομένοις, ἔχρησεν ἡ Πυθία καθῆραι τὴν πόλιν· οἱ δὲ πέμπουσι ναῦν τε καὶ Νικίαν τὸν Νικηράτου εἰς Κρήτην, καλοῦντες τὸν Ἐπιμενίδην. Καὶ ὃς ἐλθὼν Ὀλυμπιάδι τεσσαρακοστῇ ἕκτῃ ἐκάθηρεν αὐτῶν τὴν πόλιν καὶ ἔπαυσε τὸν λοιμὸν τοῦτον τὸν τρόπον. Λαβὼν πρόβατα μελανά τε καὶ λευκὰ ἤγαγε πρὸς τὸν Ἄρειον πάγον· κἀκεῖθεν εἴασεν ἰέναι οἷ βούλοιντο, προστάξας τοῖς ἀκολούθοις, ἔνθα ἂν κατακλίνῃ αὐτῶν ἕκαστον, θύειν τῷ προσήκοντι θεῷ· καὶ οὕτω λῆξαι τὸ κακόν. Ὅθεν ἔτι καὶ νῦν ἔστιν εὑρεῖν κατὰ τοὺς

15 καθῆραι τὴν πόλιν : cf. *FGrHist* 457 T 4; A 4 DK **16** Νικίαν τὸν Νικηράτου : cf. G. Huxley, *GRBS* 10 (1969) 235–239 **17–18** i.e. 596–592

1 καθέσης **F**^{3} **2** ὑπὸ **BΦ** et Arsen. : παρὰ **PF**^{3} **3** εἰς **BΦ** : ἐς **PF**^{3} : πρὸς Arsen. | ἐκκλίνης **F**^{3} **8** πάλιν ἧκεν **PF**^{3} : ἐπανῆκεν **Φ** : ἧκεν **B** et Arsen. | ἐς **P** **14** Ὅτε **P**^{1}**QW**, Jacoby : τότε **BV**, Arsen., Diels (deleto τότε^2) : ὅθεν **F**^{3}**P**^{4}**H**, *Frob.* **21** τοῖς ἀκολούθοις : τοῖς ἀκολουθοῦσιν **Φ** | κατακλίνῃ **BVΦ** et Arsen. : κατακλίνοι **PF**^{3}

δήμους τῶν Ἀθηναίων βωμοὺς ἀνωνύμους, ὑπόμνημα τῆς τότε γενομένης ἐξιλάσεως. Οἱ δὲ ⟨αὐτὴν⟩ τὴν αἰτίαν εἰπεῖν τοῦ λοιμοῦ τὸ Κυλώνειον ἄγος σημαίνειν τε τὴν ἀπαλλαγήν· καὶ διὰ τοῦτο ἀποθανεῖν δύο νεανίας, Κρα-
111 τῖνον καὶ Κτησίβιον, καὶ λυθῆναι τὴν συμφοράν. Ἀθηναῖοι δὲ τάλαντον ἐψηφίσαντο δοῦναι αὐτῷ καὶ ναῦν τὴν εἰς Κρήτην ἀπάξουσαν αὐτόν. Ὁ δὲ τὸ μὲν ἀργύριον οὐ προσήκατο, φιλίαν δὲ καὶ συμμαχίαν ἐποιήσατο Κνωσίων καὶ Ἀθηναίων.

Καὶ ἐπανελθὼν ἐπ' οἴκου μετ' οὐ πολὺ μετήλλαξεν, ὥς φησι Φλέγων ἐν τῷ Περὶ μακροβίων, βιοὺς ἔτη ἑπτὰ καὶ πεντήκοντα καὶ ἑκατόν· ὡς δὲ Κρῆτες λέγουσιν, ἑνὸς δέοντα τριακόσια· ὡς δὲ Ξενοφάνης ὁ Κολοφώνιος ἀκηκοέναι φησί, τέτταρα πρὸς τοῖς πεντήκοντα καὶ ἑκατόν.

Ἐποίησε δὲ Κουρήτων καὶ Κορυβάντων γένεσιν καὶ Θεογονίαν ἔπη πεντακισχίλια, Ἀργοῦς ναυπηγίαν τε καὶ Ἰάσονος εἰς Κόλχους ἀπόπλουν ἔπη ἑξακισχίλια πεντα-
112 κόσια. Συνέγραψε δὲ καὶ καταλογάδην Περὶ θυσιῶν καὶ τῆς ἐν Κρήτῃ πολιτείας καὶ Περὶ Μίνω καὶ Ῥαδαμάνθυος εἰς ἔπη τετρακισχίλια. Ἱδρύσατο δὲ καὶ παρ' Ἀθηναίοις τὸ ἱερὸν τῶν Σεμνῶν θεῶν, ὥς φησι Λόβων ὁ Ἀργεῖος ἐν τῷ Περὶ ποιητῶν. Λέγεται δὲ καὶ πρῶτος οἰκίας καὶ ἀγροὺς καθῆραι καὶ ἱερὰ ἱδρύσασθαι. Εἰσὶ δὲ οἳ μὴ κοιμηθῆναι αὐτὸν λέγουσιν, ἀλλὰ χρόνον τινὰ ἐκπατῆσαι ἀσχολούμενον περὶ ῥιζοτομίαν.

11 Phlegonis F 38 (*FGrHist* 257) **12** ὡς δὲ Κρῆτες λέγουσιν : cf. *FGrHist* 115 F 67b; 468 F 13 **13–14** Xenophanis 21 B 20 DK **15 – 23** ἱδρύσασθαι : Lobonis Fr. 16 Cr.

2 αὐτὴν (sc. p. 81.15 τὴν Πυθίαν) addidi **3** σημαίνειν τε Kuehn : σημαίνοντες **BPF**[3] : σημαίνοντα *Frob.* **6** ἐψήφισαν Arsen. **7** εἰς **BPF**[3] : ἐς Arsen. **10** ἐπανελθὼν ἐπ' οἴκ- in mg **B**[2] **11** φλέγων **B** : φάσγων **P** : σφάγων **F**[3] **12** ὡς **BP** : οἱ **F**[3] **13** τριακόσια **BPF**[3] : τετρακόσια (i.e. 7 x 57) Roeper[2] **17** ἀπήπλουν **F**[3] **24** διεκπατῆσαι *Suda* **25** ῥιζοτομίας **Φ**

Φέρεται δ' αὐτοῦ καὶ ἐπιστολὴ πρὸς Σόλωνα τὸν νομοθέτην, περιέχουσα πολιτείαν ἣν διέταξε Κρησὶ Μίνως. Ἀλλὰ Δημήτριος ὁ Μάγνης ἐν τοῖς Περὶ ὁμωνύμων ποιητῶν τε καὶ συγγραφέων διελέγχειν πειρᾶται τὴν ἐπιστολὴν ὡς νεαρὰν καὶ μὴ τῇ Κρητικῇ φωνῇ γεγραμμένην, Ἀτθίδι δὲ καὶ ταύτῃ νέᾳ. Ἐγὼ δὲ καὶ ἄλλην εὗρον ἐπιστολὴν ἔχουσαν οὕτως·

Ἐπιμενίδης Σόλωνι

Θάρρει, ὦ ἑταῖρε· αἰ γὰρ ἔτι θητευόντεσσιν Ἀθηναί- 113
οις καὶ μὴ εὐνομημένοις ἐπεθήκατο Πεισίστρατος, εἶχέ κα τὰν ἀρχὰν ἀεί, ἀνδραποδιξάμενος τὼς πολιάτας· νῦν δὲ οὐ κακὼς ἄνδρας ⟨δε⟩δούλωται· τοὶ μεμναμένοι τᾶς Σόλωνος μανύσιος ἀλγιόντι πέδα αἰσχύνας οὐδὲ ἀνεξοῦνται τυραννεύμενοι. Ἀλλ' αἴ κα Πεισίστρατος ⟨αὐτὸς⟩ κασχέθῃ τὰν πόλιν, οὐ μὰν ἐς παῖδας τήνω ἔλπομαι τὸ

1–6 νέᾳ : Demetrii F 10 Mejer

2 μίνως **P** : μήνως **B** : μίνωε **F**^{3} **6** νέα in mg **B**^{2} **9** θάρρει **BP** : θέρει **F**^{3} | αἰ **B**^{1}**P**^{1}**D** : αἱ **F**^{3} | θητευόντεσσιν **P**^{2}**Q** : θητευόντες εἰσὶ(ν) **BP**^{1} : θητευόντες σὺν **F**^{3} **10** ἐπεθήκατο **BP**^{1} : ἀπεθήκατο **F**^{3}**D** : ἐπεβούλευσε ss. **P**^{5} | κα **BP**^{1}**F**^{3} : καὶ **P**^{2}**Q** **11** ἀνδραποδιξάμενος **F**^{3}**P**^{5}**D** : ἄνδρ' ἀποδειξάμενος **BW** : ἀνδραποδιζόμενος **P**^{1} | τὼς **BP** : τὰς **F**^{3} | πολιάτας **BP**^{1}**QW** : πολιήτας **F**^{3}**P**^{4}**H** **12** κακὼς **D** : κακῶς **BPF**^{3} | ⟨δε⟩δούλωται Richards : δουλῶται **PF**^{3}, δουλωτε **B** | τᾶς **W**, *Frob.* : τὰς **BPF**^{3} **13** ἀλγιόντι **B** : ἀλγήοντι **P** : ἀλγύοντι **F**^{3} | πέδα Casaubon : παῖδα **BP**^{1} : om. **F**^{3}, del. **P**^{2}**Q** | αἰσχύνας **BP**^{1} : αἰσχήνας **F**^{3} : del. **P**^{2}**Q** | ἀναιξουνται **B** : ἀνέξονται **PF**^{3} **14** τυραννεύμενοι Roeper^2 : τυραννούμενοι **BPF**^{3} | ἀλλ' αἴ **F**^{3}**P**^{4}**H** : ἄλλαι **B** : ἀλλὰ **P**^{1}**Q W** | κα Cobet : καὶ **BP**^{1}**Q W** : κε **F**^{3}**P**^{4}**H** | αὐτὸς add. Cobet **15** κασχέθῃ scripsi : κασχεθῇ **P**^{1}**QWH** : κασκεθη **B** : κατασχεθῇ **F**^{3}**P**^{5}**D** | παῖδάς ⟨γε⟩ Cobet

κράτος ἱξεῖσθαι· δυσμάχανον γὰρ ἀνθρώπως ἐλευθεριάξαντας ἐν τεθμοῖς ἀρίστοις δούλως ἦμεν. Τὺ δὲ μὴ ἀλᾶσθαι, ἀλλ' ἕρπε ἐς Κρήτην ποθ' ἀμέ. Τουτᾶ γὰρ οὐκ ἐσεῖταί τιν δεινὸς ὁ μώναρχος· αἱ δέ πη ⟨ἐ⟩π' ⟨ἀ⟩λατείᾳ ἐγκύρσωντί τοι τήνω τοὶ φίλοι, δειμαίνω μή τι δεινὸν πάθῃς.

114 Καὶ οὗτος μὲν ὧδε. Φησὶ δὲ Δημήτριός τινας ἱστορεῖν ὡς λάβοι παρὰ Νυμφῶν ἔδεσμά τι καὶ φυλάττοι ἐν χηλῇ βοός· προσφερόμενός τε κατ' ὀλίγον μηδεμιᾷ κενοῦσθαι ἀποκρίσει μηδὲ ὀφθῆναί ποτε ἐσθίων. Μέμνηται αὐτοῦ καὶ Τίμαιος ἐν τῇ δευτέρᾳ. Λέγουσι δέ τινες ὅτι Κρῆτες αὐτῷ θύουσιν ὡς θεῷ· φασὶ γὰρ καὶ ⟨προ⟩γνωστικώτατον γεγονέναι. Ἰδόντα γοῦν τὴν Μουνυχίαν παρ' Ἀθηναίοις ἀγνοεῖν φάναι αὐτοὺς ὅσων κακῶν αἴτιον ἔσται τοῦτο τὸ χωρίον αὐτοῖς· ἐπεὶ κἂν τοῖς ὀδοῦσιν αὐτὸ διαφορῆσαι· ταῦτα ἔλεγε τοσούτοις πρότερον χρόνοις. Λέγεται δὲ καὶ

7 Φησὶ – **10** ἐσθίων : Demetrii F 11 Mejer. Cf. Hermippi Fr. 15a Wehrli; Plut. *Septem sap. conviv.* 157 D **11** Timaei F 4 (*FGrHist* 566) **13** Ἰδόντα – **16** χρόνοις : Plut. *Sol.* 12.10 (= 3 B 10 DK); Tzetzae *Chiliad.* 5.19–26

1 ἱξεῖσθαι Roeper^2 : ἵξεσθαι **BPF^3** | γὰρ om. **F^3** **2** ἦμεν **BF^{3}P^1** in mg **H** : εἶναι **P^1** in textu **QW** **3** ἀμέ **P^1**, ἄμε **P^{2}QWH**, αμε **B** : ἄμμε **F^{3}P^5** | τουτᾶ **P^{4}H** : τουτὰ **P^{1}F^3**, τουτα **B** **3–4** οὐ κέσσηται **B** **4** τιν **BP** : τι **F^3** | μώναρχος Roeper^2 : μόναρχος **BPF^3** | αἱ δέ πη **P^{2}WH**, αιδεπη **B** : αἱ δ' ἔπη **F^3** | ἐπ' ἀλατείᾳ Valckenaer (ad Herod. p. 602 b ed. Wesseling et ad Eurip. *Hippol.* p. 273) : πλάτειν **BP^{1}QW** : πλατείη **F^{3}P^{4}H** **5** ἐγκύρσωντι **P^{1}W**, ἐνκυρσῶντι **B** : ἐγκύρσόντί **F^3(P^{2}Q)** | τοι τήνω τοι **BPQ** : σοι τοὶ τήνω **F^3** : τοι τοὶ τήνω Valckenaer **7** τινας : -ς ss. **B^2** **12** ⟨προ⟩γνωστικώτατον Reiske (προφητικῶς προείρηκε Tzetzes) : γνωστικώτατον **BPF^{3}Φ** **13** μουνυχίαν **BPΦ** : μουνιχίαν **F^3** **16** τοσούτοις corr. ex τοσοῦτον **B^1** **16–p. 85.1** ὡς καὶ **BPF^3**, transposui

ὡς πρῶτον αὐτὸν Αἰακὸν ⟨γεγονέναι⟩ λέγοι, καὶ Λακεδαιμονίοις προείποι τὴν ὑπὸ Ἀρκάδων ἅλωσιν· προσποιηθῆναί τε πολλάκις ἀναβεβιωκέναι.

Θεόπομπος δ' ἐν τοῖς Θαυμασίοις ⟨φησὶ⟩ κατασκευά- **115** ζοντος αὐτοῦ τὸ τῶν Νυμφῶν ἱερὸν ῥαγῆναι φωνὴν ἐξ οὐρανοῦ· "Ἐπιμενίδη, μὴ Νυμφῶν, ἀλλὰ Διός·" Κρησί τε προειπεῖν τὴν Λακεδαιμονίων ἧτταν ὑπὸ Ἀρκάδων, καθάπερ προείρηται· καὶ δὴ καὶ ἐλήφθησαν πρὸς Ὀρχομενῷ.

Γηρᾶσαί τε ἐν τοσαύταις ἡμέραις αὐτὸν ὅσαπερ ἔτη κατεκοιμήθη· καὶ γὰρ τοῦτό φησι Θεόπομπος. Μυρωνιανὸς δὲ ἐν Ὁμοίοις φησὶν ὅτι Κούρητα ⟨νέον⟩ αὐτὸν ἐκάλουν Κρῆτες· καὶ τὸ σῶμα αὐτοῦ φυλάττουσι Λακεδαιμόνιοι παρ' ἑαυτοῖς κατά τι λόγιον, ὥς φησι Σωσίβιος ὁ Λάκων.

Γεγόνασι δὲ καὶ Ἐπιμενίδαι ἄλλοι δύο, ὅ τε γενεαλόγος καὶ τρίτος ὁ Δωρίδι γεγραφὼς περὶ Ῥόδου.

ΦΕΡΕΚΥΔΗΣ

Φερεκύδης Βάβυος Σύριος, καθά φησιν Ἀλέξανδρος **116** ἐν Διαδοχαῖς, Πιττακοῦ διακήκοε. Τοῦτόν φησι Θεόπομ-

4–11 Theopompi F 69 (*FGrHist* 115) **8** προείρηται : vv. **1–2** **11–13** Myroniani Fr 1 (*FHG* IV, 454) **13** καὶ – **15** Sosibii F 15 (*FGrHist* 595) **16–17** *FHG* IV, 404 **19–p. 88.10** 7 A 1 DK **19–20** Alexandri F 85 (*FGrHist* 273) **20** Τοῦτον – **p. 86.16** Theopompi F 71 (*FGrHist* 115)

1 πρῶτον Casaubon : πρῶτος **BPF**^{3} : αὐτὸς Diels | αὐτὸν **P** : αὑτὸν **BF**^{3} | αἰακὸν **BPF**^{3} : σεληνιακὸν M.L. West (*ZPE* 50 [1983] 46) | γεγονέναι addi suad. Jacoby | λέγοι **PF**^{3} : λέγει **B** **4** φησὶ addidi **6** ἐπιμενίδη **F**^{3}**Q** : ἐπιμενίδη · **P** : ἐπιμενίδης **BΦ** | κρησοὶ **F**^{3} **8** ὀρχομενῶ corr. ex -ῶν **B**^{1} **12** νέον ex Plut. *Sol.* 12.7 add. Jacoby (*FGr Hist* 457 T 4c) **13** λακεδαιμόνιοι φυλάττουσι **B** **16** καὶ om. **F**^{3} | ἐπιμενίδι **B** **18** *tit.* **PF**^{3} : om. **B** spatio relicto **19** Βάβυος *Aldobr.* (e *Suda,* 215 Φερεκύδης et Strab. 10.5.8), cf. p. 88.4 : βάδυος **BPF**^{3}

πος πρῶτον περὶ φύσεως καὶ ⟨γενέσεως⟩ θεῶν ⟨ἐν τοῖς⟩ Ἕλλησι γράψαι.

Πολλὰ δὲ καὶ θαυμάσια λέγεται περὶ αὐτοῦ. Καὶ γὰρ παρὰ τὸν αἰγιαλὸν τῆς Σάμου περιπατοῦντα καὶ ναῦν οὐριοδρομοῦσαν ἰδόντα εἰπεῖν ὡς [οὐ] μετ' οὐ πολὺ καταδύσεται· καὶ ἐν ὀφθαλμοῖς αὐτοῦ καταδῦναι. Καὶ ἀνιμηθέντος ἐκ φρέατος ὕδατος πιόντα προειπεῖν ὡς εἰς τρίτην ἡμέραν ἔσοιτο σεισμός, καὶ γενέσθαι. Ἀνιόντα τε ἐξ Ὀλυμπίας ἐς Μεσσήνην τῷ ξένῳ Περιλάῳ συμβουλεῦσαι ἐξοικῆσαι μετὰ τῶν οἰκείων· καὶ τὸν μὴ πεισθῆναι, Μεσσήνην δὲ ἑαλωκέναι.

117 Καὶ Λακεδαιμονίοις εἰπεῖν μήτε χρυσὸν τιμᾶν μήτε ἄργυρον, ὥς φησι Θεόπομπος ἐν Θαυμασίοις· προστάξαι γὰρ αὐτῷ ὄναρ τοῦτο τὸν Ἡρακλέα, ὃν καὶ τῆς αὐτῆς νυκτὸς τοῖς βασιλεῦσι κελεῦσαι Φερεκύδῃ πείθεσθαι. Ἔνιοι δὲ Πυθαγόρᾳ περιάπτουσι ταῦτα.

3 Πολλὰ – **16** F 16 Schibli **4** παρὰ τὸν αἰγιαλὸν – **15** πείθεσθαι : exscripsit Arsenius, *Violetum*, p. 466 s. Walz **6** Καὶ – **8** Porphyr. ap. Eus. *P.E.* 10.3.6 (= 7 A 6 DK)

1 καὶ om. **F³** | γενέσεως add. H. Gomperz (conl. Cic. *Tusc.* 1.38 Ferecides ... deorum vero naturam et originem ante omnes descripsit) **1–2** ⟨ἐν τοῖς⟩ Ἕλλησι scripsi (conl. Max. Tyrii *Diss.* 10.2 Πυθαγόρας ... πρῶτος ἐν τοῖς Ἕλλησιν ...) : ἔλλησι **BPF³** : del. Diels, Jacoby **4** Σάμου Casaubon : ψάμμου **BPF³** et Arsen. : om. **Φ** **5** μετ' οὐ πολὺ **F³** : οὐ μετ' οὐ πολὺ **B** (πουλὺ) **PΦ** et Arsen. : οὐ μετὰ πολὺ Diels **6** ὀφθαλμοῖς **F³ΦP⁴H** : ὀφθαλμῶν **BP¹QW** **7** προειπεῖν om. **F³** **9** ἐξ ὀλυμπίας **F³**, Casaubon : εἰς ὀλυμπίαν **BPΦ** : εἰς Μεσήνην τῆς Ὀλυμπίας Arsen. | ἐς **BF³Φ** : (εἰς Ὀλυμπίαν) ἐκ Μεσσήνης Richards | μεσσήνην **BP⁵** : μεσήνην **P¹F³** **10** ἐξοικῆσαι **BP¹QWΦ** : μετοικίσαι **F³P⁴H** **11** μεσήνην δὲ ἑαλωκέναι **F³P²Q** : μεσ(σ)ήνη δὲ ἑάλω **BP¹Φ** et Arsen. **12** εἰπεῖν **PF³**, εἶπε **Φ** : ἐκέλευσεν Arsen. : om. **B** **14** γὰρ scripsi : δὲ **BPF³Φ** **15** βασιλεῦσαι **F³** | φερεκύδει **BP** **16** περιάπτουσι **PF³** : προσάπτουσι **B**

Φησὶ δ' Ἕρμιππος πολέμου συνεστῶτος Ἐφεσίοις καὶ Μάγνησι βουλόμενον τοὺς Ἐφεσίους νικῆσαι πυθέσθαι τινὸς παριόντος πόθεν εἴη· τοῦ δ' εἰπόντος "Ἐξ Ἐφέσου," "Ἕλκυσόν με τοίνυν," ἔφη, "τῶν σκελῶν καὶ θὲς εἰς τὴν τῶν Μαγνήτων χώραν, καὶ ἀπάγγειλόν σου τοῖς πολίταις μετὰ τὸ νικῆσαι αὐτόθι με θάψαι· ἐπεσκηφέναι τε ταῦτα 118
Φερεκύδην." Ὁ μὲν ⟨οὖν⟩ ἀπήγγειλεν· οἱ δὲ μετὰ μίαν ἐπελθόντες κρατοῦσι τῶν Μαγνήτων, καὶ τὸν Φερεκύδην μεταλλάξαντα θάπτουσιν αὐτόθι καὶ μεγαλοπρεπῶς τιμῶσιν. Ἔνιοι δέ φασιν ἐλθόντα εἰς Δελφοὺς ἀπὸ τοῦ Κωρυκίου ὄρους αὐτὸν δισκῆσαι. Ἀριστόξενος δ' ἐν τῷ Περὶ Πυθαγόρου καὶ τῶν γνωρίμων αὐτοῦ φησι νοσήσαντα αὐτὸν ⟨καὶ τελευτήσαντα⟩ ὑπὸ Πυθαγόρου ταφῆναι ἐν Δήλῳ. Οἱ δὲ φθειριάσαντα τὸν βίον τελευτῆσαι· ὅτε καὶ Πυθαγόρου παραγενομένου καὶ πυνθανομένου πῶς διακέοιτο, διαβαλόντα τῆς θύρας τὸν δάκτυλον εἰπεῖν· "Χροῒ δῆλα·" καὶ τοὐντεῦθεν παρὰ τοῖς φιλολόγοις ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται (οἱ δ' ἐπὶ τῶν βελτίστων

1–9 τιμῶσιν : Hermippi Fr. 17 Wehrli **1–p. 88.1** διαμαρτάνουσιν : Pherecydis F 26 Schibli **11–14** ἐν Δήλῳ : Aristoxeni Fr. 14 Wehrli. Cf. DL 8.40; Porph. *V. Pyth.* 15 et 55 **14** Οἱ δὲ – **p. 88.1** διαμαρτάνουσιν : Heraclidis Lembi *Exc. polit.* 32; Ael. *V.H.* 4.28–29; Plin. *N.H.* 7.172 **17** Χροῒ δῆλα : *Suda,* X 529; Apost. 18.35; Arsen. *Violetum,* p. 477 Walz; Greg. Cypr. 3.100; Synes. *Ep.* 116 (p. 710 Hercher)

2 πυθέσθαι corr. ex πείθεσθαι **B**^{1} **7** οὖν add. Cobet | post μίαν addit ἡμέραν **Φ** **8** τὸν **BΦ** : τόν τε **PF**^{3} **10** κωρυκίου **BP**^{2}**Φ** : κωρυκείου **F**^{3}**P**^{1} **11** αὐτὸν **F**^{3}**Φ** : αὑτὸν **BP** | δισκῆσαι **BPF**^{3} : δισκεῦσαι **Φ** et Scaliger **13** καὶ τελευτήσαντα addidi (conl. Porph. *V.P.* 15) **16** διαβαλόντα **BPΦ** et *Suda* : διαβαλόντες **F**^{3} : προβάλλοντα Apost., Arsen., προβαλόντα Greg. Cypr. **17** χροῒ **BΦ**, *Suda* et testes : χρῶ(ι) **P**^{1}**F**^{3} | παρὰ ss. **P**^{3}W, om. **P**^{1} | φιλοσόφοις Apost., Arsen., Menagius, Huebner **18** λέξις corr. ex εαλλέξις **B**^{1} | ἐπεὶ **F**^{3} | βελτιόνων coni. Kranz (melioribus in rebus *Ambros.*)

119 χρώμενοι διαμαρτάνουσιν). Ἔλεγέ τε ὅτι οἱ θεοὶ τὴν τράπεζαν θυωρὸν καλοῦσιν.

Ἄνδρων δ' ὁ Ἐφέσιός φησι δύο γεγονέναι Φερεκύδας Συρίους, τὸν μὲν ἀστρολόγον, τὸν δὲ θεολόγον, υἱὸν Βάβυος, ᾧ καὶ Πυθαγόραν σχολάσαι. Ἐρατοσθένης δ' ἕνα μόνον, καὶ ἕτερον Ἀθηναῖον, γενεαλόγον.

Σῴζεται δὲ τοῦ Συρίου τό τε βιβλίον ὃ συνέγραψεν, οὗ ἡ ἀρχή· "Ζὰς μὲν καὶ Χρόνος ἦσ⟨αν⟩ ἀεὶ καὶ Χθονίη· Χθονίῃ δὲ ὄνομα ἐγένετο Γῆ, ἐπειδὴ αὐτῇ Ζὰς γῆν γέρας διδοῖ." Σῴζεται δὲ καὶ ἡλιοτρόπιον ἐν Σύρῳ τῇ νήσῳ.

Φησὶ δὲ Δοῦρις ἐν τῷ δευτέρῳ τῶν Ὥρων ἐπιγεγράφθαι αὐτῷ τὸ ἐπίγραμμα τόδε·

120 Τῆς σοφίης πάσης ἐν ἐμοὶ τέλος· ἢν δέ τι πλεῖον,
Πυθαγόρῃ τὠμῷ λέγε ταῦθ', ὅτι πρῶτος ἁπάντων
ἔστιν ἀν' Ἑλλάδα γῆν· οὐ ψεύδομαι ὧδ' ἀγορεύων.

Ἴων δ' ὁ Χῖός φησιν περὶ αὐτοῦ·

Ὣς ὃ μὲν ἠνορέῃ τε κεκασμένος ἠδὲ καὶ αἰδοῖ
καὶ φθίμενος ψυχῇ τερπνὸν ἔχει βίοτον,

1 Ἔλεγε – **2** : 7 B 12 DK = F 74 Schibli **3–5** σχολάσαι : Andronis Fr 5 (*FHG* II, 347) **5–6** Eratosthenis F 10 (*FGrHist* 241) **7–10** διδοῖ : 7 B 1 DK = F 14 Sch. **10** Pherecydis F 15 Sch. **11–15** Duridis F 22 (*FGrHist* 76) = F 57 Sch. **11** Ὥρων : i.e. Σαμίων **13–15** *Anth. Pal.* 7.93 **17–p. 89.2** Ionis 36 B 4 DK = Fr. 30 West = F 56 Sch.

4 Βάβυος Huebner : βαβους **B**, βαβούς **P^{2}Q** : βάδυυς **F^{3}P^{3}W** **8** ἡ add. **B^2** | ζας **B**, ζὰς **P^{1}Q** : ζεὺς **P^{3}WH**, ζεῦς **F^3** | ἦσ⟨αν⟩ Diels : ἧς **B** : εἰς **P^{1}QWH** : εἷς **F^{3}P^5** | Χθονίη Casaubon : χθόνην **B** : χθὼν ἦν **P^{1}F^3** **9** γῆν **B** : γῇ **P^{1}QW** : om. **F^{3}P^{4}H** **10** Σύρῳ *Aldobr.* : σύρα **BPF^3** **11** Ὥρων Cobet : ἱερῶν **BPF^3** : ὅρων Ionsius, Menagius **13** σοφίας **F^3** | τέλους **F^3** | δέ τι **BPF^3** et *Pal.* : δ' ἔτι Scaliger, Diels | πλεῖστον **F^3** **14** λέγε ταῦθ' : γ' ἔνι τοῦθ' Diels | ἀπαντῶν **B** **15** ἀν' **BPF^3** *Pal.* : ἐς *Pal.*^{1} **16** περὶ αὐτοῦ φησὶν **F^{3}P^{4}H** **17** ὢς **P^1** : ὡς **BF^3** | ἦν ὀρέη **B**

εἴπερ Πυθαγόρης ἐτύμως σοφὸς ὃς περὶ πάντων
ἀνθρώπων γνώμας εἶδε καὶ ἐξέμαθεν.

Ἔστι καὶ ἡμῶν οὕτως ἔχον τῷ μέτρῳ τῷ Φερεκρατείῳ·

Τὸν κλεινὸν Φερεκύδην,
ὃν τίκτει ποτὲ Σύρος,
| ἐς φθεῖρας λόγος ἐστὶν **121**
ἀλλάξαι τὸ πρὶν εἶδος,
θεῖναί τ' ἔνθα κελεύειν
Μαγνήτων, ἵνα νίκην
δοίη τοῖς Ἐφέσοιο
γενναίοις πολιήταις.
Ἦν γὰρ χρησμός, ὃν ᾔδει
μοῦνος, τοῦτο κελεύων·
καὶ θνῄσκει παρ' ἐκείνοις.
Ἔστ' οὖν τοῦτ' ἄρ' ἀληθές·
ἢν ᾖ τις σοφὸς ὄντως,
καὶ ζῶν ἐστιν ὄνησις,
χὤταν μηκέθ' ὑπάρχῃ.

Γέγονε δὲ κατὰ τὴν πεντηκοστὴν καὶ ἐνάτην Ὀλυμπιάδα. Καὶ ἐπέστειλεν ὧδε·

4–18 *Anth. Pal., App.* 3.128 Cougny **19–20** i.e. 544–540. Cf. *FGrHist* 244 F 338a

1 σοφὸς ὃς F.H. Sandbach (*Proc. Cambr. Ph. Soc.* 5 [1958–59] 36) : ὁ σοφὸς **BPF**^{3} **2** εἶδε **F**^{3}, ει δε **B**^{1}, εἰ δὲ **B**^{2} : ἴδε **P** | εἶδέ τε κἀξέμαθεν Roeper^4 (conl. Phot. *Bibl.* 187, 128 b 23) **8** ἔνθα scripsi : εὐθὺ **BPF**^{3} | κελελεύ|ειν **B** **11** πολιήταις **F**^{3} : πολίταις **BP**^{1} : πολη̣ΐταις **P**^{5} **15** Ἔστ' scripsi : ἄρ' **BPF**^{3} : ἆρ' Roeper^2 : ἦν Cobet **16** ἢν ἦ **P** : ἦν ἦ **F**^{3} : ἦν εἴ **B**^{2} (εἴ ex η) **18** μηκέθ' **B** : μηδὲν **PF**^{3}

Φερεκύδης Θαλῇ

122 Εὖ θνῄσκοις ὅταν τοι τὸ χρεὼν ἥκῃ. Νοῦσός με καταλελάβηκε δεδεγμένον τὰ παρὰ σέο γράμματα. Φθειρῶν ἔθυον πᾶς καί με εἶχεν ἠπίαλος. Ἐπέσκηψα δ' ὦν τοῖσιν οἰκιήτῃσιν, ἐπήν με καταθάψωσιν, ἐς σὲ τὴν γραφὴν ἐνέγκαι. Σὺ δὲ ἢν δοκιμώσῃς σὺν τοῖς ἄλλοις σοφοῖς, οὕτω μιν φῆνον· ἢν δὲ οὐ δοκιμώσητε, μὴ φήνῃς. Ἐμοὶ μὲν γὰρ οὔκω ἥνδανεν. Ἔστι δὲ οὐκ ἀτρεκείη πρηγμάτων, οὐδ' ὑπισχνέομαί ⟨κ⟩ου τὠληθὲς εἰδέναι, ἅσσα δ' ἂν ἐπιλέγω θεολογέων· τὰ ἄλλα χρὴ νοέειν· ἅπαντα γὰρ αἰνίσσομαι. Τῇ δὲ νούσῳ πιεζόμενος ἐπὶ μᾶλλον, οὔτε τῶν τινα ἰητρῶν οὔτε τοὺς ἑταίρους ἐσιέμην· προσεστεῶσι δὲ τῇ θύρῃ καὶ εἰρομένοις ὁκοῖόν τι εἴη, διεὶς δάκτυλον ἐκ τῆς κλειθρίης ἔδειξ' ἂν ὡς ἔθυον τοῦ κακοῦ. Καὶ προεῖπα αὐτοῖσιν ἥκειν εἰς τὴν ὑστεραίην ἐπὶ τὰς Φερεκύδεω ταφάς.

1–15 Hercher, p. 460

2 ἥκῃ Cobet : ἥκοι **BPF³** **2–3** καταλελάβηκε δεδεγμένον *Frob.* : καταλελάβηκε ἐδεδεγμένον **BF³** : καταλελαβήκεε · δεδεγμένον **P¹** **4** ἔθυον **BPF³** : ἔβρυον *Frob.* | εἶχεν : -εν ss. **B²** | ἡ πίαλος **BP** : ἡ πίλλος **F³** | ὦν **P** : ὢν **BF³** **5** οἰκίῃ τῇσι **B** **6** δοκιμώσῃς **P** : δοκίμως ἧς **B²** : δοκιμάσῃς **F³** **7** μιν **BP** : μοι **F³** | δοκίμως ητε **B¹** **8** ἀτρεκείη **BP** : ἀτρεκίη **F³** : ἀτρεκηίη Cobet **9** ὑπισχνέομαι **BPF³** : ὑπίσχομαι Cobet | ⟨κ⟩ου τὠληθὲς Diels post I.Reiske : οὕτω ληθὲς **B** : οὐ τωληθὲς **P¹** (ut vid.) : οὐ τ' ἀληθὲς **F³P⁴H** : οὐ τω ἀληθὲς **P²QW** | ἐπιλέγω Menagius : ἐπιλέγῃ **BPF³** **10** θεολογιέων Reiske | τὰ **BP** : τ' **F³** | νοεῖν **BPF³**, corr. Cobet **11** ἐπὶ **BPF³** : ἔτι Richards **12** ἑτέρους **B** | προσεστεῶσι **BPF³** : προεστεῶσι coni. Menagius | δὲ **PF³** : ἴδε **B** | θύρῃ **BP** : θύρα **F³** **13** εἰρομένοις Cobet : ἠρομένοις **PF³** : ἱρομένοις **B** | τι *Frob.* : τε **BPF³** | κλειθρίης **P¹QW**, κληθρίης **B** : κλειήθρης **F³P⁴** **14** ἔδειξαν **P** | ἔθυον **BPF³** : ἔβρυον Cobet | προεῖπα Cobet : προεῖπε **BP¹Q** : προεῖπ' **F³P³W** | αὐτοῖσιν **PF³** : αὐτοῖς **B** **15** ὑστεραίαν **F³** **BPF³** subscriptione carent

B

Καὶ οὗτοι μὲν οἱ κληθέντες σοφοί, οἷς τινες καὶ Πει- 1.122
σίστρατον τὸν τύραννον προσκαταλέγουσι. Λεκτέον δὲ περὶ φιλοσόφων· καὶ πρῶτόν γε ἀρκτέον ἀπὸ τῆς Ἰωνικῆς φιλοσοφίας, ἧς καθηγήσατο Θαλῆς, οὗ διήκουσεν Ἀναξίμανδρος.

ΑΝΑΞΙΜΑΝΔΡΟΣ

Ἀναξίμανδρος Πραξιάδου Μιλήσιος. Οὗτος ἔφασκεν 2.1
ἀρχὴν καὶ στοιχεῖον τὸ ἄπειρον, οὐ διορίζων ἀέρα ἢ ὕδωρ ἢ ἄλλο τι. Καὶ τὰ μὲν μέρη μεταβάλλειν, τὸ δὲ πᾶν ἀμετάβλητον εἶναι. Μέσην τε τὴν γῆν κεῖσθαι, κέντρου τάξιν ἐπέχουσαν, οὖσαν σφαιροειδῆ· τήν τε σελήνην ψευδοφαῆ καὶ ἀπὸ ἡλίου φωτίζεσθαι· ἀλλὰ καὶ τὸν ἥλιον οὐκ ἐλάττονα τῆς γῆς, καὶ καθαρώτατον πῦρ.

Εὗρε δὲ καὶ γνώμονα πρῶτος καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων ἐν Λακεδαίμονι, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, τροπάς τε καὶ ἰσημερίας σημαίνοντα· καὶ ὡροσκόπια κατεσκεύασε. Καὶ γῆς καὶ θαλάσσης 2

1 de l. 2 cf. G. Giannantoni, *Elenchos* 7 (1986) 183–216; *ANRW* II 36.5 (1992) 3603–3618 **1–2** cf. 1.13 **7–p. 92.12** 12 A 1 DK **7–9** ἄλλο τι : 12 A 9 DK **7–p. 92.1** Eudociae *Violarium* 94 **11** ψευδοφαῆ : cf. 59 A 77 DK **12–13** cf. Posidonium ap. DL 7.144 **14–17** κατεσκεύασε : Favorini Fr. 28 Mensching. Cf. 12 A 4 DK **17–p. 92.1** 12 A 6 DK

inscriptio : ante 1 Καὶ οὗτοι praebent **B** spatium vacuum et K in ⟨K⟩αὶ minio scribendum, **P** numerum B, atque **F**^{3}**V** λαερτίου διογένους τῶν εἰς δέκα τὸ β′ **1** οἷς τινες **PF**^{3} : οἵτινες **B** **6** *tit.* **PF**^{3} : om. **B** spatio relicto **7** παραξιάδου **B** **9** πᾶν **BPF**^{3} : ὅλον **Φ** **12** ἀπὸ **BPΦ** : ὑπὸ **F**^{3} **13** ἐλάττω **Φ** | καθαρότατον **F**^{3} **14** ἐφεῦρεν *Suda* **17** ὡροσκόπια **PF**^{3} : ὡροσκοπία **B** : ὡροσκοπεῖα **Φ**

περίμετρον πρῶτος ἔγραψεν, ἀλλὰ καὶ σφαῖραν κατεσκεύασε.

Τῶν δὲ ἀρεσκόντων αὐτῷ πεποίηται κεφαλαιώδη τὴν ἔκθεσιν, ᾗ που περιέτυχεν καὶ Ἀπολλόδωρος ὁ Ἀθηναῖος· ὃς καί φησιν ἐν τοῖς Χρονικοῖς αὐτὸν τῷ δευτέρῳ ἔτει τῆς πεντηκοστῆς ὀγδόης Ὀλυμπιάδος ἐτῶν εἶναι ἑξήκοντα τεττάρων καὶ μετ' ὀλίγον τελευτῆσαι [ἀκμάσαντά πη μάλιστα κατὰ Πολυκράτη τὸν Σάμου τύραννον]. Τούτου φασὶν ᾄδοντος καταγελάσαι τὰ παιδάρια, τὸν δὲ μαθόντα φάναι· "Βέλτιον οὖν ἡμῖν ᾀστέον διὰ τὰ παιδάρια."

Γέγονε δὲ καὶ ἄλλος Ἀναξίμανδρος ἱστορικός, καὶ αὐτὸς Μιλήσιος, τῇ Ἰάδι γεγραφώς.

ΑΝΑΞΙΜΕΝΗΣ

3 Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος, ἤκουσεν Ἀνα-

4–7 τελευτῆσαι : *FGrHist* 244 F 29 **5–6** i.e. 547–546 **7** ἀκμάσαντά πη – **8** τύραννον : *FGrHist* 244 F 339. Cf. DL 8.45 Ἤκμαζε δὲ (Πυθαγόρας) κατὰ τὴν ἑξηκοστὴν Ὀλυμπιάδα (i.e. 540–536) et Porph. *V.P.* 9 (Πυθαγόραν) γεγονότα δ' ἐτῶν τεσσαράκοντα ... καὶ ὁρῶντα τὴν τοῦ Πολυκράτους τυραννίδα συντονωτέραν οὖσαν ... **11–12** *FGrHist* 9 T 2; *Suda,* A 1987 **14–p. 93.10** 13 A 1 DK **14–p. 93.4** : cf. Eudociae *Violarium* 95

1 κατεσκεύασε **BPF^3** : ἐποίησε **Φ** **3** δὲ **PF^3** : τε **B** **4** ᾗ που Cobet : ὥς που **BPF^3** : ᾗπερ *Frob.* | ὁ ἀπολλόδωρος **F^3** **5** ὃς **BF^{3}P^{4}H** : om. **P^{1}QW** | αὐτὸν ἐν τοῖς χρονικοῖς **BPF^3**, transposui | ἔτει **P** : ἔτι **BF^3** **7** ἀκμάσαντά πη – **8** τύραννον secl. Diels ut ab Anaximandro aliena (*Rhein. Mus.* 31 [1876] 25 s.) **8** πολυκράτη **B** : πολυκρά et ss. τ **P^{1}QW** : πολυκράτην **F^{3}HD** **10** ημειν **B** **13** *tit.* **PF^3** : om. **B** spatio relicto

ξιμάνδρου. [Ἔνιοι δὲ καὶ Παρμενίδην φασὶν ἀκοῦσαι αὐτοῦ]. Οὗτος ἀρχὴν ἀέρα εἶπε καὶ το⟨ῦτον⟩ ἄπειρον. Κινεῖσθαι δὲ τὰ ἄστρα οὐχ ὑπὸ γῆν, ἀλλὰ περὶ γῆν. Κέχρηταί τε λέξει Ἰάδι ἁπλῇ καὶ ἀπερίττῳ.

Καὶ γεγένηται μέν, καθά φησιν Ἀπολλόδωρος, περὶ τὴν Σάρδεων ἅλωσιν, ἐτελεύτησε δὲ τῇ ἑξηκοστῇ τρίτῃ Ὀλυμπιάδι.

Γεγόνασι δὲ καὶ ἄλλοι δύο, Λαμψακηνοί, ῥήτωρ καὶ ἱστορικός, ὃς ἀδελφῆς υἱὸς ἦν τοῦ ῥήτορος τοῦ τὰς Ἀλεξάνδρου πράξεις γεγραφότος.

Οὗτος δὴ ὁ φιλόσοφος, καὶ ἐπέστειλεν ὧδε·

Αναξιμένης Πυθαγόρῃ

Θαλῆς ἐκ καλοῦ ⟨πότμου ἐλθὼν⟩ ἐπὶ γῆρας, οὐκ εὔποτ- 4
μος οἴχεται· εὐφρόνης, ὥσπερ ἔωθεν, ἅμα τῇ ἀμφιπόλῳ

1–2 cf. 9.21 (Παρμενίδην) Ἀναξιμάνδρου φησὶν ἀκοῦσαι; 28 A 3 DK **2** Theophr. *Phys. op.* Fr 2 Diels; Ps.-Plut. *Strom.* 3 (φασὶ τὴν τῶν ὅλων ἀρχὴν τὸν ἀέρα εἰπεῖν καὶ τοῦτον εἶναι τῷ μὲν μεγέθει ἄπειρον ...); Hippol. *Ref.* 1.7.1 (ἀέρα ἄπειρον ἔφη τὴν ἀρχὴν εἶναι) = 13 A 5–7 DK **3** Hippol. *Ref.* 1.7.6 **5–7** *FGrHist* 244 F 66 **6** τὴν Σάρδεων ἅλωσιν : i.e. 546–545 **6–7** i.e. 528–524 **8–10** *FGrHist* 72 T 3 **12–p. 95.3** Hercher, p. 106 **13–p. 94.4** τέλει : cf. 1.34; Plat. *Theaet.* 174 a

1 Ἔνιοι – **2** αὐτοῦ seclusi ut glossema ex 9.21 **1** Παρμενίδην et αὐτοῦ Volkmann (1890, p. 10) : παρμεν(ε)ίδου et αὐτὸν **BPF**^{3} **2** το⟨ῦτον⟩ Diels ex testim. : τὸ **BPF**^{3} **3** οὐχὶ **F**^{3} | ὑπὸ **BP**^{1}**Φ** : ὑπὲρ **P**^{2}**Q** et Eudoc. | ὑπὸ γῆν, ἀλλὰ om. **F**^{3} **4** λέξει **BP**^{1} in mg : γλώσσῃ **F**^{3}**P**^{1} in textu **Q** **5–7** τῇ ξγʹ ὀλυμπιάδι, ἐτελεύτησε δὲ περὶ τὴν σάρδεων ἅλωσιν **BPF**^{3}, transp. Simson (cf. H. Diels, *Rhein. Mus.* 31 [1876] 27) **11** ὁ δὴ **B** **13** ἐκ καλοῦ **BPF**^{3} : Ἐξαμύου M. Gudius ap. Menagium | πότμου ἐλθὼν addidi | γῆρας scripsi : γήρως **BPF**^{3} **14** ἐυφροσύνης **P** | ἔωθεν scripsi : ἔωθεν **BP** : εἴωθεν **F**^{3} : ἑώθει Cobet

προϊὼν ἐκ τοῦ αὐλίου τὰ ἄστρα ἐθηεῖτο· καὶ (οὐ γὰρ ἐς μνήμην ἔθετο) θηεύμενος ἐς τὸ κρημνῶδες ἐκβὰς καταπίπτει. Μιλησίοισι μέν νυν ὁ αἰθερολόγος ἐν τοιῷδε κεῖται τέλει. Ἡμέες δὲ οἱ λεσχηνῶται αὐτοί τε μεμνώμεθα τοῦ ἀνδρός, οἵ τε ἡμέων παῖδές τε καὶ λεσχηνῶται, ἐπιδεξιώμεθα δ' ἔτι τοῖς ἐκείνου λόγοις. Ἀρχὴ μέντοι παντὸς τοῦ λόγου Θαλῇ ἀνακείσθω.

Καὶ πάλιν·

Ἀναξιμένης Πυθαγόρῃ

5 Εὐβουλότατος ἦς ἡμέων· μεταναστὰς ἐκ Σάμου ἐς Κρότωνα, ἐνθάδε εἰρηνέεις. Οἱ δὲ Αἰακέος παῖδες ἄλαστα κακὰ ἔρδουσι ⟨Σαμίους⟩ καὶ Μιλησίους οὐκ ἐπιλείπουσι αἰσυμνῆται. Δεινὸς δὲ ἡμῖν καὶ ὁ Μήδων βασιλεύς, οὐκ ἤν γε ἐθέλωμεν δασμοφορέειν· ἀλλὰ μέλλουσι δὴ ἀμφὶ τῆς ἐλευθερίης ἁπάντων Ἴωνες Μήδοις κατίστασθαι ἐς πόλεμον· καταστᾶσι δὲ οὐκέτι ἐλπὶς ἡμῖν σωτηρίης. Κῶς ἂν οὖν Ἀναξιμένης ἐν θυμῷ ἔτι ἔχοι αἰθερολογέειν, ἐν

12 ἔρδουσι ⟨Σαμίους⟩ : cf. Herod. 3.43–44

1 προιὼν **BP** : ἰὼν **F**^{3} **2** ἐς Cobet : εἰς **BPF**^{3} | κρυμνῶδες **B** **3** νυν Casaubon : νῦν **BPF**^{3} **4** τέλος **F**^{3} | λεσχηνῶται hic et in v. 5 **BPF**^{3} : λεσχηνευταὶ Cobet **6** ἐπιδεξιώμεθα scripsi (cf. v. 4) : ἐπιδεξιοίμεθα **PF**^{3}, ἐπεὶ δεξιοίμεθα **B** | δ' ἔτι **PF**^{3} : δέ τι **B** | ἀρχὴ **F**^{3} : ἀρχὰ **BP** : ἀρχ⟨ῆι⟩α Roeper^2 **7** θαλῆ **F**^{3} : θαλίη **BP** **10** ἦς **PF**^{3} : εἶς **B** | ἐς Cobet : εἰς **BPF**^{3} **11** ἐνθάδε **F**^{3}**P**^{4}**H** : ἔνθα δὲ **P**^{1}**QW** : ἔνθαδε **B** : ἔνθα δὴ Roeper^2 | εἰρηνέεις Cobet : εἰρηνεῖς **BPF**^{3} | αἰάκεος **PF**^{3} : ἐακέος **B** | ἄλαστα Porson (ad Eurip. *Med.* 44) : ἄλλοις τὰ **BPF**^{3} **12** ἔρδουσι **F**^{3} : ἔρδοισι **BP** | Σαμίους addidi (*Rhein. Mus.* 116 [1973] 360) | μειλησίοις **B** | ἐπιλείπουσι **B** : ἐπιλείπουσιν **PF**^{3} **13** αις ὑμνῆται **B**^{1} **13–14** οὐκ ἤν **BP** : οὐκοῦν **F**^{3} **15** καθίστασθαι P **16** σωτηρίης **F**^{3} : σωτηρίας **BP** **17** ἂν ss. **P**^{2} | ἔτι ἔχοι Schaefer ap. Io. Orelli (*Ep. Socr. et Pyth.*, p. 299) : ἐπέχοι **BP** : ἐπέχον **F**^{3}

δείματι ἐὼν ὀλέθρου ἢ δουλοσύνης; Σὺ δὲ εἶ καταθύμιος μὲν Κροτωνιήτῃσι, καταθύμιος δὲ καὶ τοῖσι ἄλλοισι Ἰταλιώτῃσι· φοιτέουσι δέ τοι λεσχηνῶται καὶ ἐκ Σικελίης.

ΑΝΑΞΑΓΟΡΑΣ

Ἀναξαγόρας Ἡγησιβούλου ἢ Εὐβούλου, Κλαζομέ- 6
νιος. Οὗτος ἤκουσεν Ἀναξιμένους, καὶ πρῶτος τῇ ὕλῃ νοῦν ἐπέστησεν, ἀρξάμενος οὕτω τοῦ συγγράμματος, ὅ ἐστιν ἡδέως καὶ μεγαλοφρόνως ἡρμηνευμένον· "Πάντα χρήματα ἦν ὁμοῦ· εἶτα νοῦς ἐλθὼν αὐτὰ διεκόσμησε." Παρὸ καὶ Νοῦς ἐπεκλήθη, καί φησι περὶ αὐτοῦ Τίμων ἐν τοῖς Σίλλοις οὕτω·

Καί που Ἀναξαγόρην φάσ' ἔμμεναι ἄλκιμον ἥρω
Νοῦν, ὅτι δὴ νόος αὐτῷ, ὃς ἐξαπίνης ἐπεγείρας
πάντα συνεσφήκωσεν ὁμοῦ τεταραγμένα πρόσθεν.

Οὗτος εὐγενείᾳ καὶ πλούτῳ διαφέρων ἦν, ἀλλὰ καὶ μεγαλοφροσύνῃ, ὅς γε τὰ πατρῷα τοῖς οἰκείοις παρεχώρησεν. | Αἰτιαθεὶς γὰρ ὑπ' αὐτῶν ὡς ἀμελῶν, "Τί οὖν," ἔφη, 7

5–p. 102.6 : 59 A 1 DK **6** πρῶτος – **14** πρόσθεν : Arsen. *Violetum,* p. 104 Walz **8–9** 59 B 1 DK; Aet. 1.7.5 **12–14** Timonis B 24 Diels = *Suppl. Hell.* 798 **15–p. 96.13** Eudociae *Violarium* 92

1 διματι **B** | δουλωσύνης **F**^{3} | εἰ **B** **2** κροτωνίη τῆσι **B** : κροτωνιήτεσι **P**^{1}**Q** : κροτωνιήταισι **F**^{3}**P**^{3}**W** | καταθύμιος **B** : om. **PF**^{3} | τοῖσι ἄλλοισι **B** : τοῖσιν ἄλλοισιν **PF**^{3} | ἰταλιώταισι **B** **3** λεσχηνευταὶ Cobet **4** *tit.* **PF**^{3} : om. **B** spatio relicto **5** ἐβούλου κλαζομένος **F**^{3} **8** ἡρμηνευμένον : ἡρμοσμένον Menagius **10** νοῦς **BPΦ** : ὁ νοῦς **F**^{3} **12** ποῦ **BPF**^{3} **12–13** ἥρω νοῦν **P** : ἡρώνου **B** : ἥρων **F**^{3} **13** ὅτι δὴ **BP**, Arsen. : ὅττι γε δὴ **F**^{3} | ἐξ ἀπήνης **F**^{3} | ἐπ' ἐγείρας **BP**^{1}(?) : ἐπαγείρας **F**^{3}**P**^{2}**Q**, Arsen., *Frob.* : ἐπαείρας Roeper^{2} **16** γε **PF**^{3} : τε **B** **17** αἰτιαθὴς **F**^{3}

"οὐχ ὑμεῖς ἐπιμελεῖσθε;" Καὶ τέλος ἀπέστη καὶ περὶ τὴν τῶν φυσικῶν θεωρίαν ἦν, οὐ φροντίζων τῶν πολιτικῶν. Ὅτε καὶ πρὸς τὸν εἰπόντα· "Οὐδέν σοι μέλει τῆς πατρίδος;", "Εὐφήμει," ἔφη· "ἐμοὶ γὰρ καὶ σφόδρα μέλει τῆς πατρίδος," δείξας τὸν οὐρανόν.

Λέγεται δὲ κατὰ τὴν Ξέρξου διάβασιν εἴκοσιν ἐτῶν εἶναι, βεβιωκέναι δὲ ἑβδομήκοντα δύο. Φησὶ δ' Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς γεγενῆσθαι αὐτὸν τῇ ἑβδομηκοστῇ Ὀλυμπιάδι, τεθνηκέναι δὲ τῷ πρώτῳ ἔτει τῆς ὀγδοηκοστῆς ὀγδόης. Ἤρξατο δὲ φιλοσοφεῖν Ἀθήνησιν ἐπὶ Καλλίου, ἐτῶν εἴκοσιν ὤν, ὥς φησι Δημήτριος ὁ Φαληρεὺς ἐν τῇ τῶν Ἀρχόντων ἀναγραφῇ, ἔνθα καί φασιν αὐτὸν ἐτῶν διατρῖψαι πεντήκοντα.

8 Οὗτος ἔλεγε τὸν ἥλιον μύδρον εἶναι διάπυρον καὶ μεί-

3–5 Arsen. ib. **6** i.e. 480–479 **7–13** *FGrHist* 244 F 31. Cf. F 36a = DL 9.41 **8–9** i.e. 500–496 **9–10** i.e. 428–427 **10** Ἤρξατο – **12** ἀναγραφῇ : Demetrii Fr. 150 Wehrli = *FGrHist* 228 F 2 **11** ἐπὶ Καλλίου (i.e. Καλλιάδου : J. Kirchner, *Prosopogr. Att.* Nr. 7773) : i.e. 480–479 **13** πεντήκοντα : i.e. 480–430 **14** μύδρον ... διάπυρον : Aet. 2.20.6; Harpocr. Ἀναξαγόρας; *Suda,* M 1378 et A 1981 et al. **14–p. 97.1** Aet 2.21.3

2 ἦν **BPF**^{3} : εἶχεν **Φ** **3 et 4** μέλλει **P** et Arsen. **7** δύο om. *Suda,* A 1981 **8** γεγεννῆσθαι **BP** | ἑβδόμη(ι) εἰκοστῆ(ι) **B** et **P** in mg **9** ὀγδοηκοστῆς **F**^{3} et Meursius (1617) : ἑβδομηκοστῆς **BP** **10** φιλοσοφεῖν ⟨ἄρχοντος⟩ Ἀθήνησιν [ἐπὶ] Καλλίου Diels (*Rhein. Mus.* 31 [1876] 29) **11** καλλίου **BPF**^{3} et Eudoc. : Καλλι⟨άδ⟩ου Meursius (cf. 2.45), agn. Cobet, Flach | ἐτῶν εἴκοσιν ὢν del. C. Diano (1955 = 1973, *Studi di filosofia antica,* 204) : ἐτῶν εἴκοσιν ⟨ἐκεῖ διατρίβ⟩ων J. Mansfeld (*Mnem.* 32 [1979] 41) **13** ἐτῶν **BPV** : ἔτη **F**^{3}, Cobet | πεντήκοντα (i.e. N) scripsi (ca. 480–430) : τριάκοντα **B** et Eudoc. : λ' **PF**^{3} **14** διάπυρον **BPF**^{3} et *Suda,* M 1378 : ἤτοι λίθον πεπυρωμένον **Φ** (cf. *Suda,* A 1981 τουτέστι πύρινον λίθον)

ζω τῆς Πελοποννήσου (οἱ δέ φασι Τάνταλον)· τὴν δὲ σελήνην οἰκήσεις ἔχειν, ἀλλὰ καὶ λόφους καὶ φάραγγας. Ἀρχὰς δὲ τὰς ὁμοιομερείας· καθάπερ γὰρ ἐκ τῶν ψηγμάτων λεγομένων τὸν χρυσὸν συνεστάναι, οὕτως ἐκ τῶν ὁμοιομερῶν μικρῶν σωμάτων τὸ πᾶν συγκεκρίσθαι. Καὶ νοῦν μὲν ἀρχὴν κινήσεως· τῶν δὲ σωμάτων τὰ μὲν βαρέα τὸν κάτω τόπον, ὡς τὴν γῆν, τὰ δὲ κοῦφα τὸν ἄνω ἐπισχεῖν, ὡς τὸ πῦρ· ὕδωρ δὲ καὶ ἀέρα τὸν μέσον. Οὕτω γὰρ ἐπὶ τῆς γῆς πλατείας οὔσης τὴν θάλατταν ὑποστῆναι, διατμισθέντων ὑπὸ τοῦ ἡλίου τῶν ὑγρῶν. Τὰ δ’ ἄστρα κατ’ 9
ἀρχὰς μὲν θολοειδῶς ἐνεχθῆναι, ὥστε κατὰ κορυφὴν τῆς γῆς τὸν ἀεὶ φαινόμενον εἶναι πόλον, ὕστερον δὲ τὴν ἔγκλισιν λαβεῖν. Καὶ τὸν γαλαξίαν ἀνάκλασιν εἶναι φωτὸς ⟨τῶν ὑπὸ⟩ ἡλίου μὴ καταλαμπομένων [τῶν] ἄστρων. Τοὺς δὲ κομήτας σύνοδον πλανήτων φλόγας ἀφιέντων· τούς τε διᾴττοντας οἷον σπινθῆρας ἀπὸ τοῦ αἰθέρος ἀποπάλλεσθαι. Ἀνέμους γίνεσθαι λεπτυνομένου τοῦ ἀέρος

1 Τάνταλον : 59 A 20 a 1 τὴν δὲ σελήνην – 2 φάραγγας : Aet. 2.25.9; Hippol. *Ref.* 1.8.10 6 τῶν δὲ σωμάτων – 10 τῶν ὑγρῶν : Hippol. *Ref.* 1.8.2–4 13 ἔγκλισιν λαβεῖν : Aet. 2.8.1 13 Καὶ τὸν γαλαξίαν – 14 ἄστρων : Hippol. *Ref.* 1.8.10 Τὸν δὲ γαλαξίαν ἀνάκλασιν εἶναι τοῦ φωτὸς τῶν ἄστρων τῶν μὴ καταλαμπομένων ὑπὸ τοῦ ἡλίου; 59 A 80 DK 15 59 A 81 DK 16 cf. Aet. 3.2.9; Hippol. *Ref.* 1.8.10 17–18 id. 1.8.11

2 ἀλλὰ **BPF**^{3} : om. **Φ** et *Suda,* Ο 310 3 δὲ **BPF**^{3} et *Suda* : τε **Φ** | ὁμοιομερίας **B** 4 λεγομένων **BPF**^{3}**Φ** : λέγομεν *Suda* et Casaubon 5 ὁμοιομερῶν **PF**^{3} : ὁμοιομερειῶν **BΦ** et *Suda* 7 ὡς τὴν γῆν **F**^{3} : om. **BPVΦ** 9 διατμηθέντων **F**^{3} 11 ἀρχὰς **BPΦ** : ἀρχὴν **F**^{3} 13 ἔγκλησιν **F**^{3} 14 τῶν^1 ὑπὸ add. et τῶν^2 del. *Aldobr.* | ἡλίου Von der Muehll : ἡλιακοῦ **BPF**^{3}**Φ** et *Suda,* Γ 18 | ἀστέρων **Φ** et *Suda* 15 πλανήτων **BF**^{3}**Φ** : πλανητῶν **P** 16 αἰθέρος Roeper^2 et Capelle (*Philol.* 71 [1912] 429) ex Aetio : ἀέρος **BPF**^{3}**Φ** : ἐκ τῆς κινήσεως τοῦ πόλου Hipp.

ὑπὸ τοῦ ἡλίου. Βροντὰς σύγκρουσιν νεφῶν· ἀστραπὰς ἔκτριψιν νεφῶν· σεισμὸν ὑπονόστησιν ἀέρος εἰς γῆν.

Ζῷα γίνεσθαι ἐξ ὑγροῦ καὶ θερμοῦ καὶ γεώδους, ὕστερον δὲ ἐξ ἀλλήλων· καὶ ἄρρενα μὲν ἀπὸ τῶν δεξιῶν, θήλεα δὲ ἀπὸ τῶν ἀριστερῶν.

10 Φασὶ δ' αὐτὸν προειπεῖν τὴν περὶ Αἰγὸς ποταμοὺς γενομένην τοῦ λίθου πτῶσιν, ὃν εἶπεν ἐκ τοῦ ἡλίου πεσεῖσθαι. Ὅθεν καὶ Εὐριπίδην, μαθητὴν ὄντα αὐτοῦ, χρυσέαν βῶλον εἰπεῖν τὸν ἥλιον ἐν τῷ Φαέθοντι. Ἀλλὰ καὶ εἰς Ὀλυμπίαν ἐλθόντα ἐν δερματίνῳ καθίσαι, ὡς μέλλοντος ὕσειν· καὶ γενέσθαι. Πρός τε τὸν εἰπόντα, εἰ τὰ ἐν Λαμψάκῳ ὄρη ἔσται ποτὲ θάλαττα, φασὶν εἰπεῖν· "Ἐάν γε ὁ χρόνος μὴ ἐπιλίπῃ." Ἐρωτηθείς ποτε εἰς τί γεγέννηται, "Εἰς θεωρίαν," ἔφη, "ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ." Πρὸς τὸν εἰπόντα· "Ἐστερήθης Ἀθηναίων," "Οὐ μὲν οὖν," ἔφη, "ἀλλὰ ἐκεῖνοι ἐμοῦ." Ἰδὼν τὸν Μαυσώλου

1 Βροντὰς – **2** νεφῶν : id. 1.8.11 **2** σεισμὸν ... γῆν : id. 1.8.12 **4–5** Aristot. *De gen. anim.* Δ 1, 763 b 30 (= 59 A 107 DK) **6–9** ἐν τῷ Φαέθοντι : Arsen., p. 104 Walz **6–7** *Marm. Par.* 57 (*FGrHist* 239 A) [= a. 468–467]; Plin. *N.H.* 2.149–150; Aristot. *Meteor.* A 7, 344 b 31; Plut. *Lys.* 12; Philostr. *V. Apoll.* 1.2; Tzetzae *Chil.* 2.892–895 **8** Ὅθεν – **9** cf. Eurip. Fr. 783 N^2 = *Phaeth.* Fr. 5 Diggle **9** Ἀλλὰ καὶ– **11** γενέσθαι : Philostr. *V. Apoll.* 1.2; *Suda,* A 1981 **11** Πρός τε – **13** μὴ ἐπιλίπῃ : Arsen., p. 104 W. **13** Ἐρωτηθεὶς – **14** οὐρανοῦ : *Gnom. Vat.* 114 (et L. Sternbach ad loc.); Arsen., p. 105 W. **15** Πρὸς – **16** ἐμοῦ : *Gnom. Vat.* 114; Arsen., p. 104 W. **16** Ἰδὼν – **p. 99.2** εἴδωλον : apophthegma Cynicum Anaxagorae attributum (Pearson et Diels)

1 σύγκρουσιν **BPF^3** : σύγκρισιν **Φ** **3** γί(γ)νεσθαι **BP^1** : γενέσθαι **F^{3}P^{2}QΦ** **6** ποταμοὺς **PB^{2}Φ** : ποταμοῦ **B^1** : ποταμὸν **F^{3}V** **7** post πεσεῖσθαι addit καὶ γέγονεν **Φ** **10** ἀνελθόντα **B** **11** εἰπόντα **BPF^3** : ἐρωτηθεὶς **Φ** | εἶτα **F^3** **13** ἐπιλίπῃ **V** : ἐπιλίποι **P** : ἐπιλήποι **F^{3}D** : ὑπολίπῃ **Φ** : ὑπολείπῃ **B** et Arsen.

τάφον ἔφη· "Τάφος πολυτελὴς λελιθωμένης ἐστὶν οὐσίας εἴδωλον." Πρὸς τὸν δυσφοροῦντα ὅτι ἐπὶ ξένης τελευτᾷ, 11 "Πανταχόθεν," ἔφη, "ὁμοία ἐστὶν ἡ εἰς ᾅδου κατάβασις."

Δοκεῖ δὲ πρῶτος, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, τὴν Ὁμήρου ποίησιν ἀποφήνασθαι εἶναι περὶ ἀρετῆς καὶ δικαιοσύνης· ἐπὶ πλεῖον δὲ προστῆναι τοῦ λόγου Μητρόδωρον τὸν Λαμψακηνόν, γνώριμον ὄντα αὐτοῦ, ὃν καὶ πρῶτον σπουδάσαι περὶ τὴν τοῦ ποιητοῦ φυσικὴν πραγματείαν. Πρῶτος δὲ Ἀναξαγόρας καὶ βιβλίον ἐξέδωκε σὺν γραφῇ. Φησὶ δὲ Σιληνὸς ἐν τῇ πρώτῃ τῶν Ἱστοριῶν ἐπὶ ἄρχοντος Διφίλου λίθον ἐξ οὐρανοῦ πεσεῖν· τὸν δὲ 12 Ἀναξαγόραν εἰπεῖν ὡς ὅλος ὁ οὐρανὸς ἐκ λίθων συγκέοιτο· τῇ σφοδρᾷ δὲ περιδινήσει συνεστάναι καὶ ἀνεθέντα κατενεχθήσεσθαι.

Περὶ δὲ τῆς δίκης αὐτοῦ διάφορα λέγεται. Σωτίων μὲν γάρ φησιν ἐν τῇ Διαδοχῇ τῶν φιλοσόφων ὑπὸ Κλέωνος

2 Πρὸς – **3** : *Gnom. Vat.* 115 (et L. Sternbach ad loc.); Cic. *Tusc.* 1.104; Arsen., p. 209 W. **4–6** Favorini Fr. 29 Mensching **6** ἐπὶ πλεῖον – **9** : Metrodori 61 A 2 DK **10** σὺν γραφῇ : i.e. σὺν διαγράμμασι. Cf. Clem. *Strom.* 1.78.4 Ἀναξαγόραν ... πρῶτον διὰ γραφῆς ἐκδοῦναι βιβλίον ἱστοροῦσιν (= 59 A 36 DK) **10** Φησὶ – **14** Sileni F 2 (*FGrHist* 27) **11** ἐπὶ ἄρχοντος Διφίλου : i.e. 442–441. Cf. *Marm. Par.* 60; 4462 Kirchner (*Pros. Att.*) **15–p. 101.8** cf. J. Mansfeld, *Mnem.* 33 (1980) 17–89, praesertim 80–84 **15–p. 100.3** Sotionis Fr. 3 et Fr. Wehrli ad loc.

2 ξένοις **F**^{3} **3** κατάβασις **BPF**^{3}**Φ** : κάθοδος *Gnom.* **4** φαβουρῖνος **B** **8** τοῦ ποιητοῦ περὶ τὴν **BPF**^{3}, transposui **10** σὺν γραφῇ H. Kohte (*Fleckeisen's Jahrbb.* 133 [1886] 769) : συγγραφῆς **BPF**^{3} : διὰ γραφῆς W. Capelle (*G.G.A.* 176 [1914] 256) : συγγράψας Richards **11** Διφίλου Roeper^2 : δημύλου **B** : διμύλου **PF**^{3}**V** : Δη⟨μοτίωνος⟩ μύλου Diels [i.e. anno 470–469] : ⟨Λυσανίου⟩ δίμυλον Scaliger : Λυσ ⟨*⟩ μύλου Kuehn alii **13** καὶ **BPF**^{3}**Φ** : κἂν Roeper^2

αὐτὸν ἀσεβείας κριθῆναι διότι τὸν ἥλιον μύδρον ἔλεγε
διάπυρον· ἀπολογησαμένου δὲ ὑπὲρ αὐτοῦ Περικλέους
τοῦ μαθητοῦ, πέντε ταλάντοις ζημιωθῆναι καὶ φυγαδευ-
θῆναι. Σάτυρος δ' ἐν τοῖς Βίοις ὑπὸ Θουκυδίδου φησὶν
εἰσαχθῆναι τὴν δίκην, ἀντιπολιτευομένου τῷ Περικλεῖ·
καὶ οὐ μόνον ἀσεβείας, ἀλλὰ καὶ μηδισμοῦ· καὶ ἀπόντα
13 καταδικασθῆναι θανάτῳ. Ὅτε καὶ ἀμφοτέρων αὐτῷ
προσαγγελέντων, τῆς τε καταδίκης καὶ τῆς τῶν παίδων
τελευτῆς, εἰπεῖν περὶ μὲν τῆς καταδίκης, ὅτι ἄρα "Κἀκεί-
νων κἀμοῦ θάνατον πάλαι ἡ φύσις κατεψηφίσατο," περὶ
δὲ τῶν παίδων, ὅτι "Ἤιδειν αὐτοὺς θνητοὺς γεννήσας."
(Οἱ δὲ εἰς Σόλωνα τοῦτο ἀναφέρουσιν, ἄλλοι εἰς
Ξενοφῶντα). Τοῦτον δὲ καὶ θάψαι ταῖς ἰδίαις χερσὶν
αὐτοὺς Δημήτριός φησιν ὁ Φαληρεὺς ἐν τῷ Περὶ γήρως.
Ἕρμιππος δ' ἐν τοῖς Βίοις φησὶν ὅτι καθείρχθη ἐν τῷ
δεσμωτηρίῳ τεθνηξόμενος. Περικλῆς δὲ παρελθὼν εἶπεν
εἴ τι ἔχουσιν ἐγκαλεῖν αὐτῷ κατὰ τὸν βίον· οὐδὲν δὲ

1 ἀσεβείας – **2** διάπυρον : cf. Plut. *De superstit.* 169 F **4–7** θανάτῳ : Satyri Fr. 14 (*FHG* III, 163) **8** τῆς τε καταδίκης : cf. 2.19 **9–10** *Gnom. Vat.* 116; cf. 2.35 (= *Gnom.* 487) **10** περὶ δὲ τῶν παίδων – **11** *Gnom. Vat.* 117 (et L. Sternbach ad loc.) **12–13** εἰς Ξενοφῶντα : cf. 2.55 **13** Τοῦτον – **14** Demetrii Fr. 82 Wehrli; *FGrHist* 228 F 38 **15–p. 101.3** Hermippi Fr. 30 Wehrli **16** Περικλῆς : cf. Plut. *Pericl.* 32.5; *Nic.* 23.4; *Suda,* A 1981

5 ⟨τοῦ⟩ ἀντιπολιτευομένου Bergk **7** θανάτω(ι) **BPF^3** : θανάτου *Frob.* cett. | post. αὐτῷ addit ἅμα **Φ** **8** προσαγγελέντων **BPV** : προσαγγελθέντων **F^{3}Φ** **8** καὶ τῆς – **9** τῆς καταδίκης in mg **B^2** **9** ἄρα **BPF^{3}Φ** : ἀλλὰ Richards **10** θάνατον **Φ** : τοῦτο *Gnom. Vat.* 116 (cf. 487 et DL 2.35) : om. **BPF^3** | κατεψηφίσατο **BPΦ** : μέν τε ψηφίσατο **F^3** **15** κατείρχθη **F^3** **16** εἶπεν **BPF^{3}Φ** : εἰπεῖν ⟨ἐκέλευσεν⟩ Croenert (*Kolotes,* 172) **17** αὐτῷ Stephanus, Menagius : αὐτῶ(ι) **BPF^{3}Φ**

εἰπόντων, "Καὶ μὴν ἐγώ," ἔφη, "τούτου μαθητής εἰμι· μὴ οὖν διαβολαῖς ἐπαρθέντες ἀποκτείνητε τὸν ἄνθρωπον, ἀλλ' ἐμοὶ πεισθέντες ἄφετε." Καὶ ἀφείθη· οὐκ ἐνεγκὼν δὲ τὴν ὕβριν ἑαυτὸν ἐξήγαγεν. Ἱερώνυμος δ' ἐν τῷ δευτέρῳ 14
Τῶν σποράδην ὑπομνημάτων φησὶν ὅτι ὁ Περικλῆς παρήγαγεν αὐτὸν ἐπὶ τὸ δικαστήριον διερρυηκότα καὶ λεπτὸν ὑπὸ νόσου, ὥστε ἐλέῳ μᾶλλον ἢ κρίσει ἀφεθῆναι. Καὶ τὰ μὲν περὶ τῆς δίκης αὐτοῦ τοσαῦτα.

Ἔδοξε δέ πως καὶ Δημοκρίτῳ ἀπεχθῶς ἐσχηκέναι ἀποτυχὼν τῆς πρὸς αὐτὸν κοινολογίας. Καὶ τέλος ἀποχωρήσας εἰς Λάμψακον αὐτόθι κατέστρεψεν. Ὅτε καὶ τῶν ἀρχόντων τῆς πόλεως ἀξιούντων τί βούλεται αὐτῷ γενέσθαι, φάναι· "Τοὺς παῖδας ἐν ᾧ ἂν ἀποθάνῃ μηνὶ κατὰ ἔτος παίζειν συγχωρεῖν." Καὶ φυλάττεται τὸ ἔθος ⟨ἔτι⟩ καὶ νῦν. Τελευτήσαντα δὴ αὐτὸν ἔθαψαν ἐντίμως οἱ Λαμψα- 15
κηνοὶ καὶ ἐπέγραψαν·

Ἐνθάδε, πλεῖστον ἀληθείας ἐπὶ τέρμα περήσας
οὐρανίου κόσμου, κεῖται Ἀναξαγόρας.

Ἔστι καὶ ἡμῶν εἰς αὐτόν·

Ἠέλιον πυρόεντα μύδρον ποτὲ φάσκεν ὑπάρχειν,
καὶ διὰ τοῦτο θανεῖν μέλλεν Ἀναξαγόρας·

4 ἑαυτὸν ἐξήγαγεν : cf. p. 102.2; *Suda* ib. **4–7** Hieronymi Fr. 41 Wehrli **9** cf. 9.34 **11–14** Plut. *Praec. ger. reip.* 820 D **17–18** *Anth. Pal.* 7.94; Ael. *N.H.* 8.19 **20–p. 102.2** *Anth. Pal.* 7.95; *Suda*, M 1378 et 107

4 ἑαυτὸν **BF**^{3}**Φ** : αὐτὸν **P**^{1}**Q** : αὑτὸν **P**^{3}**W** | ὑπεξήγαγεν **Φ** **6** διερρυκότα **F**^{3} **12** post ἀξιούντων addit εἰπεῖν **Φ** **14** ἔτι add. Cobet **15** λαμακηνοὶ **F**^{3} **17** ἐνθάδ' ὁ Ael. | ἐπίτερμα **B** | τέρματα *Pal.* **18** οὐρανίους **F**^{3} | κόσμον *Pal.*^{1} **20** φάσκεν **B**^{2}**PF**^{3} et *Suda* : φάσκειν **B** *Pal.*^{1}

ἀλλ' ὁ φίλος Περικλῆς μὲν ἐρύσατο τοῦτον, ὁ δ' αὑτὸν
ἐξάγαγεν βιότου μαλθακίῃ σοφίης.

Γεγόνασι δὲ καὶ ἄλλοι τρεῖς Ἀναξαγόραι, ὧν [ἐν οὐδενὶ πάντα, ἀλλ'] ὁ μὲν ἦν ῥήτωρ Ἰσοκράτειος· ὁ δὲ ἀνδριαντοποιός, οὗ μέμνηται Ἀντίγονος· ἄλλος γραμματικὸς Ζηνοδότειος.

ΑΡΧΕΛΑΟΣ

16 Ἀρχέλαος Ἀθηναῖος ἢ Μιλήσιος, πατρὸς Ἀπολλοδώρου, ὡς δέ τινες, Μίδωνος, μαθητὴς Ἀναξαγόρου, διδάσκαλος Σωκράτους. [Οὗτος πρῶτος ἐκ τῆς Ἰωνίας τὴν φυσικὴν φιλοσοφίαν μετήγαγεν Ἀθήναζε.] Καὶ ἐκλήθη φυσικός, παρὸ καὶ ἔληξεν ἐν αὐτῷ ἡ φυσικὴ φιλοσοφία, Σωκράτους τὴν ἠθικὴν εἰσαγαγόντος. Ἔοικε δὲ καὶ οὗτος ἅψασθαι τῆς ἠθικῆς. Καὶ γὰρ περὶ νόμων πεφιλοσόφηκε καὶ καλῶν καὶ δικαίων· παρ' οὗ λαβὼν Σωκράτης τῷ αὐξῆσαι εἰς τὸ ⟨ἄκρον⟩ εὑρεῖν ὑπελήφθη. Ἔλεγε δὲ δύο αἰτίας εἶναι γενέσεως, θερμὸν καὶ ψυχρόν· καὶ τὰ ζῷα ἀπὸ τῆς ἰλύος γεννηθῆναι· καὶ τὸ δίκαιον εἶναι καὶ τὸ αἰσχρὸν οὐ φύσει, ἀλλὰ νόμῳ.

3–6 Eudociae *Violarium* 92 Flach **5** Ἀντίγονος : i.e. ὁ Καρύστιος. Cf. Wilamowitz, *Antigonos,* 10 **8–p. 103.14** 60 A 1 DK **8–p. 103.7** ποιῆσαι : Eudociae *Violarium* 179

1 ἀλλόφυλος **B** | ἐρύσατο **F**³ et *Pal.* : ἐρρύσατο **BP** | αὐτὸν **PF**³ et *Suda* : αὑτὸν **B** et *Pal.* **2** ἐξάγεν **F**³ **3–4** ἐν οὐδενὶ πάντα, ἀλλ' secl. ut glossema Diels : ἐν οὐδενὶ ταὐτά, ἀλλ' Croenert (*Kolotes* ..., 172 s.), Richards : [ἐν οὐδενὶ ⟨λόγῳ⟩ πάντες ἄλλ⟨οι⟩] coniecerim **7** *tit.* **PF**³ : om. **B** spatio relicto **9** μίδωνος **B**²**P**¹ et *Suda* : μύσωνος **F**³**V** : μίλτωνος Epiphan. (60 A 9 DK) **10** Οὗτος πρῶτος – **11** Ἀθήναζε ut glossema ad Anaxagoram referens secl. Menagius et Volkmann¹, 9 s. **13** καὶ ante v. 14 τῆς ἠθικῆς **F**³ **14** νόμων : νομίμων γρ. in mg **P**¹**W** **15** τῶ **F**³**P**³**W** : τὸ **BP**¹**Q** **16** εἰς τὸ **BP**¹**F**³ : εἰς erasit **P**² : αὐτὸς Emperius | ἄκρον add. Diels **18** ἰλύος : πιλοῦ ss. **P**⁵

Ὁ δὲ λόγος αὐτῷ οὕτως ἔχει. | Τηκόμενόν φησι τὸ ὕδωρ 17
ὑπὸ τοῦ θερμοῦ, καθὸ μὲν εἰς τὸ ⟨κάτω διὰ τὸ⟩ πυρῶδες
συνίσταται, ποιεῖν γῆν· καθὸ δὲ περιρρεῖ, ἀέρα γεννᾶν.
Ὅθεν ἡ μὲν ὑπὸ τοῦ ἀέρος, ὁ δὲ ὑπὸ τῆς τοῦ πυρὸς
περιφορᾶς κρατεῖται. Γεννᾶσθαι δέ φησι τὰ ζῷα ἐκ
θερμῆς τῆς γῆς καὶ ἰλὺν παραπλησίαν γάλακτι οἷον
τροφὴν ἀνιείσης· οὕτω δὴ καὶ τοὺς ἀνθρώπους ποιῆσαι.
Πρῶτος δὲ εἶπε φωνῆς γένεσιν τὴν τοῦ ἀέρος πλῆξιν. Τὴν
δὲ θάλατταν ἐν τοῖς κοίλοις διὰ τῆς γῆς ἠθουμένην
συνεστάναι. Μέγιστον τῶν ἄστρων τὸν ἥλιον, καὶ τὸ πᾶν
ἄπειρον.

Γεγόνασι δὲ καὶ ἄλλοι τρεῖς Ἀρχέλαοι· ὁ χωρογράφος τῆς ὑπὸ Ἀλεξάνδρου πατηθείσης γῆς, ὁ τὰ Ἰδιοφυῆ ποιήσας, ἄλλος τεχνογράφος ῥήτωρ.

ΣΩΚΡΑΤΗΣ

Σωκράτης Σωφρονίσκου μὲν ἦν υἱὸς λιθουργοῦ καὶ 18
Φαιναρέτης μαίας, ὡς καὶ Πλάτων ἐν Θεαιτήτῳ φησίν,
Ἀθηναῖος, τῶν δήμων Ἀλωπεκῆθεν. Ἐδόκει δὲ συμ-
ποιεῖν Εὐριπίδῃ· ὅθεν Μνησίλοχος οὕτω φησί·

1–5 cf. Hippol. *Ref.* 1.9.2 (= 60 A 4 DK) **5** Γεννᾶσθαι – **7** ποιῆσαι : cf. Hippol. 1.9.5 **16–p. 125.11** ed. Giannantoni, I D 1 **17** Plat. *Theaet.* 149 a 1 **19–p. 104.2** cf. Teleclidis Fr. 41 (*PCG* VII); *Vit. Eurip.* 2 (*Schol. Eurip.* I, p. 1.10 Schwartz):

Μνησίλοχός ἐστ' ἐκεῖνος ⟨ὃς⟩ φρύγει τι δρᾶμα καινὸν
Εὐριπίδῃ, καὶ Σωκράτης τὰ φρύγαν' ὑποτίθησιν.

1 ὕδωρ **PF**^{3} et Hippol. : ὑγρὸν **B** **2** κάτω διὰ τὸ suppl. Diels : μέσον διὰ τὸ add. Kranz **3** περιρρεῖν **F**^{3} **7** ποιῆσαι ss. **B**^{2} **8** δὲ **PF**^{3} : τε **B** | τοῦ om. **B** **8–9** Τὴν δὲ θάλατταν hic redit **F**^{1} **15** *tit.* **PF** : om. **B** spatio relicto **16** ἦν ss. **F**^{2} **17** φησὶν om. **F** **18** τῶν δήμων corr. ex τοῦ δήμου **F**^{1} **19** μνησίλοχος **BPFΦ** (cf. *Vitam*) : Μνησίμαχος Menagius : Τηλεκλείδης Elmsley, Roeper^2, Gigante (ex *Vita*)

Φρύγες ἐστὶ καινὸν δρᾶμα τοῦτ' Εὐριπίδῃ,
[ᾧ] καὶ Σωκράτης τὰ φρύγαν' ὑποτίθησί⟨ν οἱ⟩.

Καὶ πάλιν· "Εὐριπίδης ⟨ὁ⟩ σωκρατόγομφος." Καὶ Καλλίας Πεδήταις·

— Τί δὴ σὺ σεμνὴ καὶ φρονεῖς οὕτω μέγα;
— Ἔξεστι γάρ μοι· Σωκράτης γὰρ αἴτιος.

Ἀριστοφάνης Νεφέλαις·

Εὐριπίδῃ δ' ὁ τὰς τραγῳδίας ποιῶν
τὰς περιλαλούσας οὗτός ἐστι, τὰς σοφάς.

19 Ἀκούσας δὲ Ἀναξαγόρου κατά τινας, ἀλλὰ καὶ Δάμωνος, ὡς Ἀλέξανδρος ἐν Διαδοχαῖς, μετὰ τὴν ἐκείνου καταδίκην διήκουσεν Ἀρχελάου τοῦ φυσικοῦ· οὗ καὶ παιδικὰ γενέσθαι φησὶν Ἀριστόξενος. Δοῦρις δὲ καὶ δου-

3 Teleclidis Fr. 42 **5–6** Calliae Fr 15 (*PCG* IV). Cf. J.M. Raines, *C.P.* 29 (1934) 341 **8–9** Aristoph. Fr. 392 (*PCG* III.2) **10** Δάμωνος : 37 A 7 DK **11** *FGrHist* 273 F 86 **12** οὗ – **13** Aristoxeni Fr. 52a Wehrli **13** Δοῦρις – **p. 105.1** λίθους : *FGrHist* 76 F 78

1 ἔτι **Φ** | εὐριπίδῃ **BP¹QWΦ** et *Vitae* Q : εὐριπίδου **FP⁴H** et *Vita* **2** ᾧ delevi, om. *Vita* | σωκράτης – ὑποτίθησι in mg **B²** | φρύγαν' **Φ** et *Vita* : φρύγανα **BPF** | οἱ addidi (cf. ᾧ) : ᾧ καὶ τὰ φρύγαν' ὑποτίθησι Σωκράτης Menagius et Io. Pierson, Huebner (contra *Vitam*) **3** εὐριπίδης **B²** in mg, **PΦ** : εὐριπίδας **F** | ὁ addidi | σωκρατόγομφος Casaubon : σωκρατογόμφους **BPF** : σωκρατογόμφοις **Φ** : Εὐριπίδας ⟨τοὺς⟩ σωκρατογόμφους Kaibel : εὐριπιδοσωκρατογόμφους Fritsche (*Ind. lect. Rost.* 1852, 6) **5** Τί δὴ Runkel (*Cratin.*, 76), Dindorf : ἤδη **BPFΦ** | σεμνοὶ coni. Dindorf **8** Εὐριπίδῃ Cobet : εὐριπίδης **PF**, εὐριπείδης **B** : Εὐριπίδου Valckenaer | δὲ **F** | ποῶν **P¹Q**, corr. **P³W** **9** περιλαλούσας **P²F** : περὶ ἄλλους ἃς **B¹P¹** | οὕτως **F**

λεῦσαι αὐτὸν καὶ ἐργάσασθαι λίθους· εἶναί τε αὐτοῦ καὶ τὰς ἐν ἀκροπόλει Χάριτας ἔνιοί φασιν, ἐνδεδυμένας οὔσας. Ὅθεν καὶ Τίμωνα ἐν τοῖς Σίλλοις εἰπεῖν·

Ἐκ δ' ἄρα τῶν ἀπέκλινεν ⟨ὁ⟩ λαξόος ἐννομολέσχης,
Ἑλλήνων ἐπαοιδός, ἀκριβολόγους ἀποφήνας,
μυκτὴρ ῥητορόμυκτος, ὑπαττικὸς εἰρωνευτής.

Ἦν γὰρ καὶ ἐν τοῖς ῥητορικοῖς δεινός, ὥς φησι καὶ Ἰδομενεύς· ἀλλὰ καὶ οἱ τριάκοντα αὐτὸν ἐκώλυσαν τέχνας διδάσκειν λόγων, ὥς φησι Ξενοφῶν. Καὶ Ἀριστοφάνης **20**
αὐτὸν κωμῳδεῖ ὡς τὸν ἥττω λόγον κρείττω ποιοῦντα. Καὶ γὰρ πρῶτος, ὥς φησι καὶ Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, μετὰ τοῦ μαθητοῦ Αἰσχίνου ῥητορεύειν ἐδίδαξε· λέγει δὲ τοῦτο καὶ Ἰδομενεὺς ἐν τῷ Περὶ τῶν Σωκρατικῶν. Καὶ πρῶτος περὶ βίου διελέχθη καὶ πρῶτος φιλοσόφων

1 εἶναί τε αὐτοῦ – **3** οὔσας : cf. Paus. 1.22.8; 9.35.7; *Schol.* in Aristoph. *Nub.* 773 (= I C 9 Giannantoni) **4–6** Timonis B 25 Diels; Fr. 50 Wachsmuth = *Suppl. Hell.* 799.—**4–5** ἐπαοιδός : Clem. *Strom.* 1.63.3; **4** : S.E. *Adv. math.* 7.8. —Cf. I. Gallo, in *Studi Fr. della Corte* (Urbini, 1987), I, 327–333 **7** *FGrHist* 338 F 16 **8–9** Xenoph. *Mem.* 1.2.31 **9** Καὶ Ἀριστοφάνης – **10** : Aristoph. *Nub.* 112–118 **10** Καὶ γὰρ πρῶτος – **12** ἐδίδαξε : Favorini Fr. 30 Mensching **13** λέγει – Σωκρατικῶν : *FGrHist* 338 F 16

1 αὐτῶν **F** **4** ⟨ὁ⟩ λαξόος Meineke (*Philol.* 15 [1860] 333) : λαοξόος Clem., Sext. : λιθοξόος **BPFΦ** **5** ἀποφήνας **P**^{1}**QWHΦ** : ἀποφήσας **BFP**^{5} : ἀποφύσας coni. Diels **6** ῥητορόμυκτος *Aldobr.* : ῥητορομύκτους **B** (-ύ- ex -ει- **B**^{2}) : ῥητορόμικτος **PFΦ** | ὑπαττικὸς **BP**^{2}**F** : ὑπατικὸς **P**^{1}**Φ** (cf. Luc. *Prom. es in verbis* 1 ὅρα μή τις εἰρωνείαν φῇ καὶ μυκτῆρα οἷον τὸν Ἀττικὸν προσεῖναι τῷ ἐπαίνῳ) : ὑπαστικὸς Wachsmuth **7** τοῖς ῥητορικοῖς **BPF** : ῥητορικῇ **Φ** | καί^2 ss. **F**^{2} **8** ἐκώλυσαν αὐτὸν **F** **11** καὶ **BPF** : om. *Frob.* cett. | φαβουρῖνος **B** **13** δὲ om. **B** | τῷ **F** : τοῖς **BP** | τῶν om. **F** **14** φιλοσόφων ss. **F**^{2}

καταδικασθεὶς ἐτελεύτα. Φησὶ δ' αὐτὸν Ἀριστόξενος ὁ
Σπινθάρου καὶ χρηματίσασθαι· τιθέντα γοῦν τὸ βαλλό-
μενον κέρμα ἀθροίζειν· εἶτ' ἀναλώσαντα πάλιν τιθέναι.
Κρίτωνα δὲ ἀναστῆσαι αὐτὸν ἀπὸ τοῦ ἐργαστηρίου
καὶ παιδεῦσαι τῆς κατὰ ψυχὴν χάριτος ἐρασθέντα Δημή-
21 τριός φησιν ὁ Βυζάντιος. Γνόντα δὲ τὴν φυσικὴν θεωρίαν
μηδὲν εἶναι πρὸς ἡμᾶς, τὰ ἠθικὰ φιλοσοφεῖν ἐπί τε τῶν
ἐργαστηρίων καὶ ἐν τῇ ἀγορᾷ· κἀκεῖνα δὲ φάσκειν ζητεῖν,

ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται.

Πολλάκις δὲ βιαιότερον ἐν ταῖς ζητήσεσι διαλεγόμενον
κονδυλίζεσθαι καὶ παρατίλλεσθαι, τὸ πλέον τε γελᾶσθαι
καταφρονούμενον· καὶ πάντα ταῦτα φέρειν ἀνεξικάκως.
Ὅθεν καὶ λακτισθέντα, ἐπειδὴ ἠνέσχετο, τινὸς θαυμά-
σαντος, εἰπεῖν· "Εἰ δέ με ὄνος ἐλάκτισε, δίκην ἂν αὐτῷ
ἐλάγχανον;" Καὶ ταῦτα μὲν ὁ Δημήτριος.
22 Ἀποδημίας δὲ οὐκ ἐδεήθη, καθάπερ οἱ πλείους, πλὴν
εἰ μὴ στρατεύεσθαι ἔδει. Τὸ δὲ λοιπὸν αὐτόθι μένων

1 Φησὶ –**3** : Aristoxeni Fr. 59 Wehrli **4–15** : Demetrius Peripateticus, Περὶ ποιημάτων. Cf. 5.83 τρίτος et *FHG* II, 624 **6–9** cf. Muson. 3; S.E. *Adv. math.* 11.2; Themist. *Or.* 34.5; Eus. *P.E.* 15.62.10–11; Ps.-Plut. *Strom.* 9. DL 6.103 **9** *Od.* 4.392 **13–15** *Gnom. Vat.* 500; Theoph. Simoc. *Ep.* 43 **16–17** cf. Plat. *Crit.* 52 b

3 ἀναλώσαντα **BPFΦ** : διπλώσαντα Croenert (*Kolotes*..., 173), agn. Wehrli **7** καὶ μηδὲν εἶναι πρὸς ἡμᾶς εἰπόντα **Φ** **7–8** ἐπὶ τῆς ἀγορᾶς καὶ τῶν ἐργαστηρίων **F** **8** ἐν τῇ ἀγορᾷ **BP** : ἐν τοῖς ἀγροῖς **Φ** | δὲ **P** : om. **BFΦ** | post φάσκειν addit ἃ φάσκειν **B** **9** μεγάροις **BΦ** | ἀγαθόν τε κακόν τε **Φ** | τε^2 **FP^{2}QΦ** : om. **BP^1** **10** δὲ **P** : τε **BF** : διαλεγόμενον **F** : διαλεγόμενος **BP** **11** κοντυλίζεσθαι **F** | καὶ ss. **B^2** | γελᾶσθαι om. **Φ** **14** εἰ δέ με ὄνος εἰπεῖν **F** **15** ἐλάγχανον **BPFΦ** : ἔλαχον *Gnom.* **17** στρατεύεσθαι **F** : στρατεύσασθαι **BP**

φιλονεικότερον συνεζήτει τοῖς προσδιαλεγομένοις, οὐχ ὥστε ἀφελέσθαι τὴν δόξαν αὐτούς, ἀλλ' ὥστε τὸ ἀληθὲς ἐκμαθεῖν πειρᾶσθαι. Φασὶ δ' Εὐριπίδην αὐτῷ δόντα τὸ Ἡρακλείτου σύγγραμμα ἐρέσθαι· "Τί δοκεῖ;" Τὸν δὲ φάναι· "Ἃ μὲν συνῆκα, γενναῖα· οἶμαι δὲ καὶ ἃ μὴ συνῆκα· πλὴν Δηλίου γέ τινος δεῖται κολυμβητοῦ."

Ἐπεμελεῖτο δὲ καὶ σωμασκίας, καὶ ἦν εὐέκτης. Ἐστρατεύσατο γοῦν εἰς Ἀμφίπολιν· καὶ Ξενοφῶντα ἀφ' ἵππου πεσόντα ἐν τῇ κατὰ Δήλιον μάχῃ διέσωσεν ὑπολαβών. Ὅτε καὶ πάντων φευγόντων Ἀθηναίων αὐτὸς **23** ἠρέμα ἀνεχώρει, παρεπιστρεφόμενος ἠσυχῇ καὶ τηρῶν ἀμύνασθαι εἴ τις οἱ ἐπέλθοι. Ἐστρατεύσατο δὲ καὶ εἰς Ποτίδαιαν διὰ θαλάττης· πεζῇ γὰρ οὐκ ἐνῆν τοῦ πολέμου κωλύοντος. Ὅτε καὶ μεῖναι νυκτὸς ὅλης ἐφ' ἑνὸς σχήματος αὐτόν φασι, καὶ ἀριστεύσαντα αὐτόθι παραχωρῆσαι Ἀλκιβιάδῃ τῶν ἀριστείων· οὗ καὶ ἐρασθῆναί φησιν αὐτὸν Ἀρίστιππος ἐν τετάρτῳ Περὶ παλαιᾶς τρυφῆς. Ἴων δὲ

3 Φασὶ – 6 : cf. 9.11–12; *Suda,* Δ 400; Apostol. 5.100. - Aristonis Frr. 29–30 Wehrli; 22 A 4 DK **8** καὶ Ξενοφῶντα – **9** ὑπολαβών : cf. Strab. 9.2.7 **10** Ὅτε – **12** ἐπέλθοι : cf. Plat. *Sympos.* 220 e – 221 b; *Lach.* 181 b **14–15** cf. Plat. *Sympos.* 220 d **15–16** Plat. *Sympos.* 220 d–e; Plut. *Alcib.* 7.3–6; Athen. 5, 215 C – 216 C **16–17** IV A 153 Giannantoni; Athen. 13, 566 DE **17–p. 108.1** ἀποδημῆσαι : Ionis F 9 (*FGrHist* 392)

1 συνεζήτει **FP^{4}H** : ἐζήτει **BP^{1}QW** **2** τὸ ss. **F^{2}** **3** δόντα αὐτῶ **F** (αὐτῶ ss. **F^{2}**) | τὸ corr. ex τὸν **B** **4** τί σοι δοκεῖ **Φ** **6** δηλίου **PF** et *Suda* (cf. O. Crusius, *Philol.* 47 [1889] 382–384) : δ' ἡλίου **B** : δεινοῦ A. Nauck (1886), cf. *Herm.* 24 (1889) 458 : βαθέος Doxopater (*Rhet. Gr.* II, 226.5) | post κολυμβητοῦ pergit *Suda* εἰς τὸ μὴ ἀποπνιγῆναι ἐν αὐτῷ **11** ἐπιστρεφόμενος **Φ** **13** τοῦ πολεμίου Menagius **14** ⟨διὰ⟩ νυκτὸς Cobet **16** τῶν ἀριστείων **Φ** et Athen. : τὰ ἀριστ(ε)ία **BP^{1}** : τοῦ ἀριστείου **FP^{2}Q** **17** τετάρτω ss. **F^{2}**

ὁ Χῖος καὶ νέον ὄντα εἰς Σάμον σὺν Ἀρχελάῳ ἀποδημῆσαι· καὶ Πυθώδε ἐλθεῖν Ἀριστοτέλης φησίν· ἀλλὰ καὶ εἰς Ἰσθμόν, ὡς Φαβωρῖνος ἐν τῷ πρώτῳ τῶν Ἀπομνημευμάτων.

24 Ἦν δὲ καὶ ἰσχυρογνώμων καὶ δημοκρατικός, ὡς δῆλον ἔκ τε τοῦ μὴ εἶξαι τοῖς περὶ Κριτίαν κελεύουσι Λέοντα τὸν Σαλαμίνιον, πλούσιον ἄνδρα, ἀγαγεῖν πρὸς αὐτούς, ὥστε ἀπολέσθαι· ἀλλὰ καὶ μόνος ἀποψηφίσασθαι τῶν δέκα στρατηγῶν. Καὶ ἐνὸν αὐτῷ ἀποδρᾶναι τῆς εἱρκτῆς μὴ ἐθελῆσαι· τοῖς τε κλαίουσιν αὐτὸν ἐπιπλῆξαι καὶ τοὺς καλλίστους λόγους ἐκείνους δεδεμένον διαθέσθαι.

Αὐτάρκης τε ἦν καὶ σεμνός. Καί ποτε Ἀλκιβιάδου, καθά φησι Παμφίλη ἐν τῷ ἑβδόμῳ τῶν Ὑπομνημάτων, διδόντος αὐτῷ χώραν μεγάλην, ἵνα οἰκοδομήσηται οἰκίαν, φάναι· "Καὶ εἰ ὑποδημάτων ἔδει καὶ βύρσαν μοι ἐδίδους, ἵν' ἑαυτῷ ὑποδήματα ποιησαίμην, καταγέλαστος ἂν ἦν
25 λαβών." Πολλάκις δ' ἀφορῶν εἰς τὰ πλήθη τῶν πιπρασκομένων ἔλεγε πρὸς αὑτόν· "Πόσων ἐγὼ χρείαν οὐκ ἔχω." Καὶ συνεχὲς ἐκεῖνα ἀνεφθέγγετο τὰ ἰαμβεῖα·

2 Aristot. Fr 2 Rose[3] **2–3** Plat. *Crit.* 52 b; Favorini Fr. 2 Mensching **6** μὴ εἶξαι – **8** ἀπολέσθαι : cf. Plat. *Apol.* 32 c **8–9** Plat. *Apol.* 32 b **9** Καὶ ἐνὸν – μὴ ἐθελῆσαι : cf. Plat. *Crit.* 50 a ss. **10–11** Plat. *Phaed.* 117 d–e **12** Καί ποτε – **17** λαβών : Pamphilae Fr 6 (*FHG* III, 521)

2 πυθὼ δὲ **B** **2–3** ἴσισθμὸν **B** **3** φαβορεῖνος **B** **7** πλούσιον ἄνδρα **BP** : ἄνδρα πλούσιον **F** **10** κλέουσιν **B** **11** ἐκείνους λόγους **F** **13** ἑβδόμω **BPF** γρ. in mg super. : δευτέρω **F** in textu **14** ⟨ἐν⟩οικοδομήσηται Cobet **15** καί[2] **Φ** : om. **BPF** : εἰ Roeper[2] **16** ἑαυτῶ(ι) **BPF** : om. **Φ** : ἐμαυτῷ Stephanus cett. | ποιησαίμην **BPΦ** : ποιήσω **F** | καταγέλαστος **FΦ** : καὶ καταγέλαστος **BP** : ⟨μὴ⟩ καὶ καταγέλαστος (cum interrogandi signo) Casaubon | ἦν ἂν **Φ** **18** αὑτόν Stephanus : αὐτὸν **BPF** : πρὸς αὐτὸν om. **Φ** **19** συνεχῶς **Φ** | ἐκεῖνα om. **F** | ἰάμβια **B**

Τὰ δ' ἀργυρώματ' ἐστὶν ἥ τε πορφύρα
εἰς τοὺς τραγῳδοὺς χρήσιμ', οὐκ εἰς τὸν βίον.

Ὑπερεφρόνησε δὲ καὶ Ἀρχελάου τοῦ Μακεδόνος καὶ Σκό-
πα τοῦ Κρανωνίου καὶ Εὐρυλόχου τοῦ Λαρισσαίου, μήτε
χρήματα προσέμενος παρ' αὐτῶν, μήτε παρ' αὐτοὺς
ἀπελθών. Εὔτακτός τε ἦν τὴν δίαιταν οὕτως, ὥστε πολλά-
κις Ἀθήνησι λοιμῶν γενομένων μόνος οὐκ ἐνόσησε.
Φησὶ δὲ Ἀριστοτέλης δύο γυναῖκας αὐτὸν ἀγαγέσθαι· 26
προτέραν μὲν Ξανθίππην, ἐξ ἧς αὐτῷ γενέσθαι Λαμπρο-
κλέα· δευτέραν δὲ Μυρτώ, τὴν Ἀριστείδου τοῦ δικαίου
θυγατέρα, ἣν καὶ ἄπροικον λαβεῖν, ἐξ ἧς γενέσθαι Σωφρο-
νίσκον καὶ Μενέξενον. Οἱ δὲ προτέραν γῆμαι τὴν Μυρτώ
φασιν· ἔνιοι δὲ καὶ ἀμφοτέρας ἔχειν ὁμοῦ, ὧν ἐστι Σάτυ-
ρός τε καὶ Ἱερώνυμος ὁ Ῥόδιος. Φασὶ γὰρ βουληθέντας
Ἀθηναίους διὰ τὸ λειπανδρεῖν συναυξῆσαι τὸ πλῆθος,
ψηφίσασθαι γαμεῖν μὲν ἀστὴν μίαν, παιδοποιεῖσθαι δὲ
καὶ ἐξ ἑτέρας· ὅθεν τοῦτο ποιῆσαι καὶ Σωκράτην.
Ἦν δ' ἱκανὸς καὶ τῶν σκωπτόντων αὐτὸν ὑπερορᾶν.
Καὶ ἐσεμνύνετο ἐπὶ τῇ εὐτελείᾳ, μισθόν τε οὐδένα εἰσε- 27

1–2 Philemonis Fr. 105.4–5 (*PCG* VII). Cf. Stob. 4.15[a].15; Clem. *Paed.* 2.108.4 **3** Ἀρχελάου : cf. Sen. *De benef.* 5.6.2 **8–12** Aristot. Fr. 93 Rose[3]. Cf. Plut. *Aristid.* 27.3; Athen. 13, 556 A (= I B 7 Giannantoni) **13** Satyri Fr. 15 (*FHG* III, 163) **13–17** Hieronymi Fr. 45 Wehrli (cf. Frr. 43 et 44) = I B 58 Giannantoni

2 χρήσιμ' **B[2]PFΦ** : χρήσιμα καὶ Clem. : εὔθετ' Stob. **3** σκόπα **BP** : σκώπα **F** **4** κραννωνίου **BP** | λαρεισαίου **B** **5** προσέμενος **B[1]P** : προσιέμενος **FB[2]** | παρ'[1] **F** : om. **BP** **10** ἀριστίδου **BF** **11** ἣν ex corr. **B[2]** **11** ἐξ ἧς γενέσθαι **BP** : γενέσθαι δὲ ἐξ αὐτῆς **F** (ἐξ ss. **F[2]**) **13** σχεῖν Cobet **14** φασὶ **FP[4]H** : φησὶ **BP[1]QW** **17** ὅθεν καὶ σωκράτην τοῦτο ποιῆσαι **F** | σωκράτην **FΦ** et *Suda* : σωκράτη **BP** **18** αὐτὸν **BPF** : om. **Φ** et *Frob.*, del. Cobet

πράξατο. Καὶ ἔλεγεν ἥδιστα ἐσθίων ἥκιστα ὄψου προσδεῖσθαι· καὶ ἥδιστα πίνων ἥκιστα τὸ μὴ παρὸν ποτὸν ἀναμένειν· καὶ ἐλαχίστων δεόμενος ἔγγιστα εἶναι θεῶν. Τοῦτο δ' ἐνέσται καὶ παρὰ τῶν κωμῳδοποιῶν λαβεῖν, οἳ λανθάνουσιν ἑαυτοὺς δι' ὧν σκώπτουσιν ἐπαινοῦντες αὐτόν. Ἀριστοφάνης μὲν οὕτως·

Ὦ τῆς μεγάλης ἐπιθυμήσας σοφίας ἄνθρωπε δικαίως,
ὡς εὐδαίμων παρ' Ἀθηναίοις καὶ τοῖς ἄλλοισι διάξεις.
Εἶ γὰρ μνήμων καὶ φροντιστής, καὶ τὸ ταλαίπωρον
ἔνεστιν
ἐν τῇ γνώμῃ, κοὔτε τι κάμνεις οὔθ' ἑστὼς οὔτε βαδίζων,
οὔτ' αὖ ῥιγῶν ἄχθει λίαν, οὔτ' ἀριστᾶν ἐπιθυμεῖς,
οἴνου τ' ἀπέχει κἀδηφαγίας καὶ τῶν ἄλλων ἀνοήτων.

28 Ἀμειψίας δ' ἐν τρίβωνι παράγων αὐτόν φησιν οὕτως·

Σώκρατες, ἀνδρῶν βέλτιστ' ὀλίγων, πολλῶν δὲ
ματαιόταθ', ἥκεις
καὶ σὺ πρὸς ἡμᾶς; Καρτερικός γ' εἶ. Πόθεν ἄν σοι
χλαῖνα γένοιτο;

7–13 Aristoph. *Nub.* 412–417 **15–p.111.4** Amipsiae Fr. 9 (*PCG* II) = I A 10 Giannantoni

2–3 ἀναμένειν ποτὸν **F** **7** δικαίως : παρ' ἡμῶν Ar. **8** παρ' : ἐν Ar. | ἄλλοισι scripsi, ἄλλοις **BPF** : Ἕλλησι C. Reisig ex Ar. **8–9** διάξεις. Εἶ γὰρ μνήμων Reisig : διαζήσει τ' ἀμνήμων **BP**[1]**QWH** : διαζῇς εἶτα μνήμων **FP**[5] : γενήσει εἰ μνήμων εἶ Ar. **11** γνώμῃ **BPF** : ψυχῇ Ar. | κοὔτε τι ... οὔθ' ... οὔτε **BPF** : καὶ μὴ ... μήθ' ... μήτε Ar. **12** οὔτ' αὖ **BPF** : μήτε Ar. | ἄχθῃ **BPF**, corr. Reisig | οὐτ' **BPF** : μήτ' Ar. | ἀριστᾶν scripsi ex Ar. : ἀρίστων **BPF** **13** ἀπέχῃ **BPF**, corr. Reisig | καὶ ἀδηφαγίας **BPF** : καὶ γυμνασίων Ar. **14** τρίβωσι **Φ** | παρ⟨εισ⟩άγων Casaubon **15** ὀλίγων, πολλῶν **BPFΦ** : ὀλίγῳ, πολλῷ Dobree | δὲ ss. **F**[2] **17** γ' Cobet : τ' **BPF** : om. **Φ**

— Τουτὶ τὸ κακὸν τῶν σκυτοτόμων κατ' ἐπήρειαν
γεγένηται.
— Οὕτως μέντοι πεινῶν οὗτος οὐπώποτ' ἔτλη
κολακεῦσαι.

Τοῦτο δ' αὐτοῦ τὸ ὑπεροπτικὸν καὶ μεγαλόφρον ἐμφαίνει καὶ Ἀριστοφάνης λέγων οὕτως·

ὅτι βρενθύει τ' ἐν ταῖσιν ὁδοῖς, καὶ τὠφθαλμὼ
παραβάλλεις,
κἀνυποδητεῖς καὶ πόλλ' ἀνέχει, κἀν ἡμῖν
σεμνοπροσωπεῖς.

Καίτοι ἐνίοτε πρὸς τοὺς καιροὺς ἁρμοττόμενος καὶ λαμπρὰ ἠμπίσχετο· καθάπερ ἐν τῷ Πλάτωνος Συμποσίῳ παρ' Ἀγάθωνα βαδίζων.

Ἱκανὸς δὲ ἀμφότερα ἦν, καὶ προτρέψαι καὶ ἀποτρέψαι· **29**
ὥσπερ τὸν Θεαίτητον περὶ ἐπιστήμης διαλεχθεὶς ἔνθεον ἀπέπεμψε, καθὰ καὶ Πλάτων φησίν. Εὐθύφρονα δὲ τῷ πατρὶ γραψάμενον ξεν⟨οκτον⟩ίας δίκην περὶ ὁσίου τινὰ διαλεχθεὶς ἀπήγαγε. Καὶ τὸν Λύσιν δὲ ἠθικώτατον ἐποίησε προτρέψας. Ἦν γὰρ ἱκανὸς ἀπὸ τῶν πραγμάτων τοὺς

7-10 Aristoph. *Nub.* 362–363 **12–13** Plat. *Sympos.* 174 a 3 **15–16** Plat. *Theaet.* 142 c-d; 180 c **16–18** ἀπήγαγε : Plat. *Euthyphr.* 4 a

1 κατ' ἐπήρειαν τῶν σκυτοτόμων **F** | επειρίαν **B**^{1}, ἐπήριαν **B**^{2} **3** οὕτως ... οὗτος **Φ** : οὗτος ... οὕτως **BPF**^{2} ss. **7** βρενθύη **BPFΦ**, corr. Huebner | τ' ὀφθαλμὼ **F**^{2} **9** κἀνυποδητεῖς καὶ **PΦ** : κἂν ὑποδῆ τίς καὶ **B** : κἂν ὑποδυτεῖς καὶ **F** : κἀνυπόδητος κακὰ ex Aristophane Huebner | ἀνέχη **BPFΦ**, corr. Huebner | καὶ ἐν ἡμῖν **BPΦ** : κἂν ἐν ἡμῖν **F** (ἐν ss. **F**^{2}) : κἀφ' ἡμῖν Huebner ex Ar. **11** λαμπρᾶν **B**^{1} **14** ἱκανῶς **B** **17** ξεν⟨οκτον⟩ίας A. Muretus (*Var. lect.* IX.20), ξεν⟨οφον⟩ίας Florens Christianus (in ora libri) : ξενίας **PF**, ξενείας **B**

λόγους εὑρίσκειν. Ἐνέτρεψε δὲ καὶ Λαμπροκλέα τὸν υἱὸν τῇ μητρὶ ἀγριαινόμενον, ὥς που καὶ Ξενοφῶν εἴρηκε. Καὶ Γλαύκωνα μὲν τὸν Πλάτωνος ἀδελφὸν θέλοντα πολιτεύεσθαι ἀπέστησε διὰ τὸ ἀπείρως ἔχειν, ὥς φησιν ὁ Ξενοφῶν· Χαρμίδην δὲ τοὐναντίον ἐπέστησεν οἰκείως ἔχοντα.

30 Ἐπῆρε δὲ καὶ εἰς φρόνημα Ἰφικράτη τὸν στρατηγόν, δείξας αὐτῷ ⟨τοὺς⟩ τοῦ κουρέως Μειδίου ἀλεκτρυόνας ἀντίον τῶν Καλλίου πτερυξαμένους· καὶ αὐτὸν ⟨ὁ⟩ Γλαυκωνίδης ἠξίου τῇ πόλει περιποιεῖν καθάπερ φασιανὸν ὄρνιν ἢ ταώ.

Ἔλεγε δὲ ὡς θαῦμα τὸ ⟨κτήνη⟩ μὲν ἕκαστον εἰπεῖν ἂν ῥᾳδίως ὅσα ἔχοι, φίλους δ' οὐκ ἂν ὀνομάσαι ὁπόσους κέκτηται· οὕτως ὀλιγώρως ἔχειν περὶ αὐτούς. Ὁρῶν δ' Εὐκλείδην ἐσπουδακότα περὶ τοὺς ἐριστικοὺς λόγους, "Ὦ Εὐκλείδη," ἔφη, "σοφισταῖς μὲν δυνήσῃ χρῆσθαι, ἀνθρώποις δὲ οὐδαμῶς." Ἄχρηστον γὰρ ᾤετο εἶναι τὴν περὶ ταῦτα γλισχρολογίαν, ὡς καὶ Πλάτων ἐν Εὐθυδήμῳ φησίν.

1 Ἐνέτρεψε – **2** : Xenoph. *Mem.* 2.2.1–2 **2** Καὶ Γλαύκωνα – **5** : *Mem.* 3.6.1–2 **5–6** *Mem.* 3.7.1–2 **9** καὶ αὐτὸν : i.e. Iphicratem **14** Ὁρῶν – **18** γλισχρολογίαν : Euclidis Fr. 9 Doering **18** cf. Plat. *Euthyd.* 303 a

1 λαμπροκέα **B** **5–6** ἐπέστησεν οἰκείως ἔχοντα **BP** : ἔχοντα οἰκείως ἐπέστησεν **F** **7** ἰφικράτη **BP** : ἰφικράτην **F** **8** τοὺς add. Richards | καρέως **F** | Μειδίου Menagius (conl. Plat. *Alcib. I,* 120 a 9) : μίδου **BPF** **9** ⟨ὁ⟩ Γλαυκωνίδης (i.e. Charmides) Gigante : γλαυκωνίδης **BPF** : γλαυκώδη (vel ἐν γλαυκὸς εἴδει) et v. 10 ⟨οὐ⟩ καθάπερ H. Allmann (*Philol.* 116 [1973] 220 s.) : γλαυκὸν εἶδος L. Rossetti et C. Lausdei (*SIFC* 51 [1979] 73) **12** θαῦμα τὸ Menagius : θαύματα **BPF** : θαυμαστὸν Cobet | κτήνη addidi : πρόβατα add. Cobet **13** ἔχοι **BP** : ἔχει **F** | ὀνόμασε **B** **18** γλισχρολογίαν Muretus : γ' αἰσχρολογίαν **B** : αἰσχρολογίαν **BF** (α- ex corr. **F**[2])

Χαρμίδου τε οἰκέτας αὐτῷ διδόντος, ἵν' ἀπ' αὐτῶν 31
προσοδεύοιτο, οὐχ εἵλετο· καὶ τὸ κάλλος ὑπερεῖδεν Ἀλκιβιάδου κατά τινας. Καὶ ἐπῄνει σχολὴν ὡς κάλλιστον κτημάτων, καθὰ καὶ Ξενοφῶν ἐν Συμποσίῳ φησίν. Ἔλεγε δὲ καὶ ἓν μόνον ἀγαθὸν εἶναι, τὴν ἐπιστήμην, καὶ ἓν μόνον κακόν, τὴν ἀμαθίαν· πλοῦτον δὲ καὶ εὐγένειαν οὐδὲν σεμνὸν ἔχειν, πᾶν δὲ τοὐναντίον κακόν. Εἰπόντος γοῦν τινος αὐτῷ ὡς εἴη Ἀντισθένης μητρὸς Θρᾴττης, "Σὺ δ' ᾤου," ἔφη, "οὕτως ἂν γενναῖον ἐκ δυεῖν Ἀθηναίων γενέσθαι;" Φαίδωνα δὲ δι' αἰχμαλωσίαν ἐπ' οἰκήματος καθήμενον προσέταξε Κρίτωνι λυτρώσασθαι, καὶ φιλόσοφον ἀπειργάσατο.

Ἀλλὰ καὶ λυρίζειν ἐμάνθανεν ὅτε καιρὸς ⟨μηκέτι ἦν⟩, 32
μηδὲν λέγων ἄτοπον εἶναι ἅ τις μὴ οἶδεν ἐκμανθάνειν. Ἔτι τε ὠρχεῖτο συνεχές, τῇ τοῦ σώματος εὐεξίᾳ λυσιτελεῖν ἡγούμενος τὴν τοιαύτην γυμνασίαν, ὡς καὶ Ξενοφῶν ἐν Συμποσίῳ φησίν. Ἔλεγε δὲ καὶ προσημαίνειν τὸ δαι-

2–3 cf. Plat. *Sympos.* 216 d ss. **3** Καὶ – **4** φησίν : Xenoph. *Sympos.* 4.44 **7** Εἰπόντος – **10** cf. 6.1 = Antisthenis Frr. 123 – 124 Decleva **10–12** cf. 2.105; Orig. *C. Cels.* 1.64 et 3.67 (= III A 2 Giannantoni) **13 – 14** ἐκμανθάνειν : cf. Plat. *Menexen.* 236 a; *Euthyd.* 272 c; Quintil. *I.O.* 1.10.13; Valer. Max. 8.7 ext. 8; S.E. *Adv. math.* 6.13 **15** Ἔτι τε – **17** φησίν : Xenoph. *Sympos.* 2.16–20; Luc. *De saltat.* 25 **17** τὸ δαιμόνιον : cf. Plat. *Apol.* 31 c–d; 40 a–b; 41 d et saepius; Xenoph. *Mem.* 1.1.2–9; 1.1.19–20; *Sympos.* 8.5; *Apol.* 4.12–13; Cic. *De divin.* 1.122–124 et saepius

10 ἀπ' **F** **11** καθεζόμενον **F** | κρείττωνι **F** **13** ὅτε καιρὸς ⟨μηκέτι ἦν⟩ Bergk (1886, II, 298) et Diels (cf. 5.66) : ὅτε καιρὸς **BPFΦ** : ὅτε ⟨οὐκέτι⟩ καιρὸς iam Reiske : ἤδη γηραιός Menagius, agn. Cobet al. : γέρων ἤδη ὤν *Suda,* Σ 829 **14** ἐκμανθάνειν **BPF** : μανθάνειν **Φ** : ἔτι μανθάνειν Diels **15** συνεχῶς **Φ** **17** καὶ om. **F**

μόνιον τὰ μέλλοντα αὐτῷ· τό τε εὖ μικρὸν μὲν μὴ εἶναι, παρὰ μικρὸν δὲ ⟨γίνεσθαι⟩· καὶ εἰδέναι μὲν μηδὲν πλὴν αὐτὸ τοῦτο, ⟨τὸ μηδὲν⟩ εἰδέναι. Τούς τε τὰ ⟨ἀ⟩ώρια πολλοῦ ἐωνημένους ἀπογινώσκειν ἔλεγεν εἰς τὰς ὥρας ἐλθεῖν. Καί ποτε ἐρωτηθείς, τίς ἀρετὴ νέου, "Τὸ μηδὲν ἄγαν," εἶπεν. Ἔφασκέ τε δεῖν γεωμετρεῖν μέχρις ἄν τις μέτρῳ δύνηται γῆν παραλαβεῖν καὶ παραδοῦναι.

33 Εὐριπίδου δ' ἐν τῇ Αὔγῃ εἰπόντος περὶ ἀρετῆς

Κράτιστον εἰκῇ ταῦτ' ἐᾶν ἀφειμένα,

ἀναστὰς ἐξῆλθε, φήσας γελοῖον εἶναι ἀνδράποδον μὲν μὴ εὑρισκόμενον ἀξιοῦν ζητεῖν, ἀρετὴν δ' οὕτως ἐᾶν ἀπολωλέναι. Ἐρωτηθεὶς πότερον γήμαι ἢ μή, ἔφη· "Ὃ ἂν

1 τό τε εὖ – **2** ⟨γίνεσθαι⟩ : Perfectio parvi momenti non est, sed parvis gradibus (gradatim) consequitur. Cf. 7.26 **2** παρὰ μικρόν : cf. Aristot. *Pol.* E 3, 1303 a 20; Isocr. 4.59; Polyb. 15.6.8 **2** καὶ εἰδέναι – **3** εἰδέναι : cf. Plat. *Apol.* 21 d 5; Aristot. *Soph. el.* 34, 183 b 6–8; Maxim. Confess. *Loc. comm.* 56.17 Σωκράτης ᾤετο μηδὲν εἰδέναι, πλὴν αὐτὸ τοῦτο, ὅτι μηδὲν οἶδε ... et saepius **6** Ἔφασκε – **7** Xenoph. *Mem.* 4.7.2 **8–9** *TGF* p. 437 N^2; Longini *De sublim.* 44.12; *Schol.* in Eur. *Rhes.* 419; Eur. *El.* 379 **12–p. 115.1** Arsen. *Violetum*, p. 438 Walz; Val. Max. 7.2 ext. 1; Stob. 4.22.59

1 τό τε εὖ **BPFVΦ** : τό τε εὖ ἄρχεσθαι **D**, *Ambros.*, *Frob.* cett., def. *Aldobr.* (conl. Aristot. *Soph. el.* 34, 183 b 22–25) et Gigante (1962) : del. ἄρχεσθαι Roeper^2, Cobet **2** γίνεσθαι addidi ex 7.26 (Τὸ εὖ γίνεσθαι μὲν παρὰ μικρόν, οὐ μὴν μικρὸν εἶναι) **3** τὸ μηδὲν addidi ex Maximo : τὸ μὴ **B**^{3} in mg : om. **B**^{1}**PFΦ** | εἰδέναι secl. Cobet | ⟨ἀ⟩ώρια Menagius : ὥρια **BPFΦ** : πρώϊμα Cobet **4** ὠνουμένους **Φ** **5** ἐρωτηθεὶς ss. **F**^{2} **7** δύνητε **F** | γῆν τε **BP** **8** ἐν τῇ Αὔγῃ Stephanus, ἐν τῇ αὐγῇ **N**, *Frob.* : ἐν τῇ αὐτῇ(ι) **BPV** : ἐν τῇ αὐτοῦ **F** : ἐν τοῖς **Φ** **11** οὕτω **BPΦ** **12** γήμαι **Φ** : γῆμαι **BPF**

αὐτῶν ποιήσῃς, μεταγνώσῃ." Ἔλεγέ τε θαυμάζειν τῶν τὰς λιθίνους εἰκόνας κατασκευαζομένων ⟨τὸ⟩ τοῦ μὲν λίθου προνοεῖν, ὡς ὁμοιότατος ἔσται, αὐτῶν δ' ἀμελεῖν, ὡς μὴ ὁμοίους τῷ λίθῳ φαίνεσθαι. Ἠξίου δὲ καὶ τοὺς νέους συνεχὲς κατοπτρίζεσθαι, ἵν' εἰ μὲν καλοὶ εἶεν, ἄξιοι γίνοιντο· εἰ δ' αἰσχροί, παιδείᾳ τὴν δυσείδειαν ἐπικαλύπτοιεν.

Καλέσας ἐπὶ δεῖπνον πλουσίους, καὶ τῆς Ξανθίππης 34
αἰδουμένης ἔφη· "Θάρρει· εἰ μὲν γὰρ εἶεν μέτριοι, συμπεριενεχθεῖεν ἄν· εἰ δὲ φαῦλοι, ἡμῖν αὐτῶν οὐδὲν μελήσει." Ἔλεγέ τε τοὺς μὲν ἄλλους ἀνθρώπους ζῆν, ἵν' ἐσθίοιεν· αὐτὸν δὲ ἐσθίειν, ἵνα ζῴη. Πρὸς ⟨τὸν φοβούμενον⟩ τὸ οὐκ ἀξιόλογον πλῆθος ἔφασκεν ὅμοιον εἴ τις τε-

1 Ἔλεγε – **4** φαίνεσθαι : Arsen. ib.; DL 2.72; 5.82; Clem. *Protr.* 62.3; Luc. *Somn.* 13; Iuv. 8.53 **4** Ἠξίου – **7** Arsen., p. 437; Plut. *Coniug. praec.* 141 D; Apul. *Apol.* 15 (= I C 173 Giannantoni); Sen. *Q.N.* 1.17.4; Phaedr. 3.8.14–16 **8** – **11** μελήσει : cf. Arsen., p. 438 **11** Ἔλεγε – **12** ζῴη : Arsen., p. 436; Stob. 3.17.21; *Gnom. Vat.* 479; Gell. 19.2.7; Athen. 4, 158 F; Muson. 18 (= I C 157 Giannantoni) **12** Πρὸς ⟨τὸν φοβούμενον⟩ – **p. 116.2** ἀποδέχοιτο : cf. Xenoph. *Mem.* 3.7.5–7; Ael. *V.H.* 2.1

1 μεταγνώῃ **F**^{1}, corr. **F**^{2} **2** λιθίνους **BPFΦ** : λιθίνας Cobet | τὸ add. Richards **3** προνοεῖν **BPF** : οἳ ... προνοοῦνται **Φ** | ὡς **BPFΦ** : ὅπως Cobet | ὡς ἂν ὁμοιότατος αὐτοῖς γένοιτο **Φ** | αὐτῶν **FΦ** : αὑτῶν **BP** **5** συνεχῶς **Φ** | οἱ μὲν **F** **6** δυσείδειαν **Φ** et ss. **P**^{2} : δυσειδίαν **B** : δυσσειδιαν **F** **8** καὶ ss. **F**^{2} **10** συμπεριενεχθεῖεν ἂν **BPΦ** : συμπεριενεχθήσονται **F** | ἡμῖν corr. ex ἡμῶν **B**^{2} **12** τὸν φοβούμενον addidi e Xenoph. **13** τὸ⟨ν⟩ οὐκ ἀξιόλογον πλῆθος ⟨αἰδούμενον⟩ Richards conl. Xenoph. : Πρὸς ⟨τὸν ὀκνοῦντα προσελθεῖν πρὸς⟩ τὸ οὐκ ἀξιόλογον πλῆθος D. Knoepfler (*Mus. Helv.* 44 [1987] 237) | ἀξιόλογον **FΦP**^{3}**W** : ἀξιολόγων **B** : ἀξιολόγου **P**^{1}**Q**

τράδραχμον ἓν ἀποδοκιμάζων τὸν ἐκ τῶν τοιούτων σωρὸν ὡς δόκιμον ἀποδέχοιτο. Αἰσχίνου δὲ εἰπόντος· "Πένης εἰμὶ καὶ ἄλλο μὲν οὐδὲν ἔχω, δίδωμι δέ σοι ἐμαυτόν," "Ἆρ' οὖν," εἶπεν, "οὐκ αἰσθάνῃ τὰ μέγιστά μοι διδούς;" Πρὸς τὸν ἀποδυσπετοῦντα ἐπὶ τῷ παροράσθαι, ὁπότε ἐπανέστησαν οἱ τριάκοντα, ⟨ἀνελόντων αὐτῶν τοὺς πλουσίους,⟩
35 "Ἆρα," ἔφη, "μήτι σοι μεταμέλει;" | Πρὸς τὸν εἰπόντα· "Θάνατόν σου κατέγνωσαν Ἀθηναῖοι," "Κἀκείνων," εἶπεν, "ἡ φύσις." (Οἱ δὲ τοῦτ' Ἀναξαγόρου φασίν.) Τῆς γυναικὸς εἰπούσης· "Ἀδίκως ἀποθνῄσκεις," "Σὺ δέ," ἔφη, "δικαίως ἐβούλου;" Ὄναρ δόξας τινὰ αὐτῷ λέγειν·

Ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο,

πρὸς Αἰσχίνην ἔφη· "Εἰς τρίτην ἀποθανοῦμαι." Μέλλοντί τε αὐτῷ τὸ κώνειον πίεσθαι Ἀπολλόδωρος ἱμάτιον ἐδίδου καλόν, ἵν' ἐν ἐκείνῳ ἀποθάνῃ· καὶ ὅς· "Τί δέ," ἔφη, "τὸ ἐμὸν ἱμάτιον ἐμβιῶναι μὲν ἐπιτήδειον, ἐναποθανεῖν

2 Αἰσχίνου – 4 διδούς : Sen. *De benef.* 1.8.1–2 (= VI A 6 Giannantoni) **4** Πρὸς – **7** μεταμέλει : *Gnom. Vat.* 473; Ael. *V.H.* 2.11 **7** Πρὸς – **9** ἡ φύσις : cf. 2.13; *Gnom. Vat.* 487; Xenoph. *Apol.* 27; Epictet. *Diss.* 1.25.22 **9** Τῆς γυναικὸς – **11** ἐβούλου : *Gnom. Vat.* 478; Xenoph. *Apol.* 28; Val. Max. 7.2 ext. 1 **11** Ὄναρ – **13** ἀποθανοῦμαι : cf. Plat. *Crit.* 44 a–b; Arsen., p. 437; Cic. *de divin.* 1.25 **12** *Iliad.* 9.363 **13** Μέλλοντι – **p. 117.1** οὐχί : Arsen., p. 438; Ael. *V.H.* 1.16

1 ἓν om. **Φ** | ἀποδοκιμάζον **F** | τῶν om. **F** **2** δὲ **P** : τε **BF** : om. **Φ** **3** οὐδὲν μὲν **F** **5** ἐπὶ τὸ **F** **6** ἀνελόντων αὐτῶν τοὺς πλουσίους supplevi ex Aeliano **7** ἆρα post ἔφη ss. **F**[2] **9** εἶπεν **F** : φησὶν **BP** : ἔφη *Gnom.* | Ἀναξαγόρου Huebner : ἀναξαγόραν **BPF** **10** δὲ **BP** : δέ γε **Φ** : om. **F** **11** δικαίως ⟨ἂν⟩ Richards **12** ἤματι **Φ** : ἥματι **BPF** **13** post ἀποθανοῦμαι pergit **Φ** καὶ γέγονεν οὕτως **15** ἵν' ἐκείνῳ ἐναποθάνοι Cobet | δέ **F** : δ' **BPΦ**

δὲ οὐχί;" Πρὸς τὸν εἰπόντα· "Κακῶς ὁ δεῖνά σε λέγει,"
"Καλῶς γάρ," ἔφη, "λέγειν οὐκ ἔμαθε." Στρέψαντος δὲ 36
Ἀντισθένους τὸ διερρωγὸς τοῦ τρίβωνος εἰς τοὐμφανές,
"Ὁρῶ σου," ἔφη, "διὰ τοῦ τρίβωνος τὴν κενοδοξίαν."
Πρὸς τὸν εἰπόντα· "Οὐ σοὶ λοιδορεῖται ὁ δεῖνα;", "Οὐχί,"
ἔφη· "ἐμοὶ γὰρ οὐ πρόσεστι ταῦτα." Ἔλεγε δὲ τοῖς κωμι-
κοῖς δεῖν ἐπίτηδες ἑαυτὸν διδόναι· εἰ μὲν γάρ τι τῶν
προσόντων λέξειαν, διορθώσονται· εἰ δ' οὔ, οὐδὲν πρὸς
ἡμᾶς. Πρὸς Ξανθίππην πρότερον μὲν λοιδοροῦσαν, ὕστε-
ρον δὲ καὶ ⟨ὕδωρ⟩ περιχέασαν αὐτῷ, "Οὐκ ἔλεγον," εἶπεν,
"ὅτι Ξανθίππη βροντῶσα καὶ ὕδωρ ποιήσει;" Πρὸς Ἀλκι-
βιάδην εἰπόντα ὡς οὐκ ἀνεκτὴ ἡ Ξανθίππη λοιδοροῦσα,
"Ἀλλ' ἔγωγ'," ἔφη, "συνείθισμαι, καθαπερεὶ καὶ τροχιλέ-
ας ἀκούων συνεχές. Καὶ σὺ μέν," εἶπε, "χηνῶν βοώντων
ἀνέχῃ." | Τοῦ δὲ εἰπόντος· "Ἀλλά μοι ᾠὰ καὶ νεοττοὺς 37
τίκτουσι," "Κἀμοί," φησί, "Ξανθίππη παιδία γεννᾷ." Ποτὲ
αὐτῆς ἐν ἀγορᾷ καὶ θοἰμάτιον αὐτοῦ περιελομένης, ὡς
συνεβούλευον οἱ γνώριμοι χερσὶν ἀμύνασθαι, "Νὴ Δί',"

2 Στρέψαντος – **4** τὴν κενοδοξίαν : Ael. *V.H.* 9.35; Fr. 148 B Decleva. Cf. DL 6.8 **5** Πρὸς – **6** ταῦτα : cf. *Gnom. Vat.* 481 **9** Πρὸς – **11** ποιήσει : *Gnom. Vat.* 491; Sen. Fr. 62 Haase; *De const. sap.* 18.6; Epict. 4.5.33; Athen. 5, 219 B **11** Πρὸς – **16** γεννᾷ : Arsen., p. 438. Cf. *Suda,* T 1070; Teletis Π. αὐταρκείας p. 18.5–8 Hense

2 ἔφη **BFΦ**P^4**H** : φησὶ P^1 : om. **QW** | δὲ **F** : om. **BP** **4** τὴν κενοδοξίαν διὰ τοῦ τρίβωνος **F** **6** δὲ **D**P^4**H** : τε **F** : om. **B**P^1**QWΦ** **10** καὶ om. **F** | ὕδωρ add. Sternbach ex *Gnom.* **13** ἔφη **BPΦ** : εἶπε **F** | συνήθησμαι **B** | τροχιλέας **F** et *Suda* : τροχειλέας **B**, τροχηλέας **P** : τροχιλίας Menagius **14** μὲν **BPF** et Arsen. : δέ **Φ** **17** αὐτοῦ **Φ** : om. **BPF** | ὡς **Φ** : om. **BPF**

εἶπεν, "ἵν' ἡμῶν πυκτευόντων ἕκαστος ὑμῶν λέγῃ, εὖ Σώκρατες, εὖ Ξανθίππη;" Ἔλεγε συνεῖναι τραχείᾳ γυναικὶ καθάπερ οἱ ἱππικοὶ θυμοειδέσιν ἵπποις. "Ἀλλ' ὡς ἐκεῖνοι," φησί, "τούτων κρατήσαντες ῥᾳδίως τῶν ἄλλων περιγίνονται, οὕτω κἀγὼ Ξανθίππῃ χρώμενος τοῖς ἄλλοις ἀνθρώποις καλῶς συμπεριενεχθήσομαι."

Ταῦτα δὴ καὶ τοιαῦτα λέγων καὶ πράττων πρὸς τῆς Πυθίας ἐμαρτυρήθη, Χαιρεφῶντι ἀνελούσης ἐκεῖνο δὴ τὸ περιφερόμενον·

Ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος.

38 Ἀφ' οὗ δὴ καὶ ἐφθονήθη μάλιστα· καὶ δὴ καὶ ὅτι διήλεγχε τοὺς μέγα φρονοῦντας ἐφ' ἑαυτοῖς ὡς ἀνοήτους, καθάπερ ἀμέλει καὶ Ἄνυτον, ὡς καὶ ἐν τῷ Πλάτωνός ἐστι Μένωνι. Οὗτος γὰρ οὐ φέρων τὸν ὑπὸ Σωκράτους χλευασμὸν πρῶτον μὲν ἐπήλειψεν αὐτῷ τοὺς περὶ Ἀριστοφάνην, ἔπειτα καὶ Μέλητον συνέπεισεν ἀπενέγκασθαι κατ' αὐτοῦ γραφὴν ἀσεβείας καὶ τῶν νέων διαφθορᾶς.

Ἀπηνέγκατο μὲν οὖν τὴν γραφὴν ὁ Μέλητος, εἶπε δὲ τὴν δίκην Πολύευκτος, ὥς φησι Φαβωρῖνος ἐν Παντοδα-

2 Ἔλεγε – **6** Xenoph. *Sympos.* 2.10; *Gnom. Vat.* 480; Gell. 1.17.1–3; Plut. *De cap. ex inim. util.* 90 D **7–10** Plat. *Apol.* 20 e – 21 a; Xenoph. *Apol.* 14; *Schol.* in Aristoph. *Nub.* 144; Ps.-Iust. *Coh.* 36 et saepius **13** cf. Plat. *Men.* 89 e – 95 a **14** Οὗτος – **17** cf. Ael. *V.H.* 2.13 (= I A 29 Giannantoni) **18–p. 119.1** Favorini Fr. 31 Mensching

1 post ἡμῶν rasura 5 litt. in **B** (fuit ἕκαστος ut vid.) | ὑμῶν ss. **F**[2] | λέγῃ **PFΦ** : λέγει **B** : λέγοι Stephanus **1** et **2** εὔγε ... εὔγε **Φ** | Σωκράτης Menagius **4** ῥαδίως κρατήσαντες ῥαδίως **F** | τῶν ἄλλων ἵππων Xenoph. **6** καλῶς **Φ** : om. **BPF** **12** μεγαλοφρονοῦντας **P** | ἐφ' **BP** : ἐν **F** **14** φέρον **B** **15** ὑπήλειψεν **F** **16** hic et alibi μέλητον **B** : μέλιτον **FP** **19, p. 119.9** et **16** φαβορεῖνος **B**

πῇ ἱστορίᾳ· συνέγραψε δὲ τὸν λόγον Πολυκράτης ὁ
σοφιστής, ὥς φησιν Ἕρμιππος, ἢ Ἄνυτος, ὥς τινες· προη-
τοίμασε δὲ πάντα Λύκων ὁ δημαγωγός.
Ἀντισθένης δ' ἐν ταῖς τῶν Φιλοσόφων Διαδοχαῖς καὶ 39
Πλάτων ἐν Ἀπολογίᾳ τρεῖς αὐτοῦ κατηγορῆσαί φασιν,
Ἄνυτον καὶ Λύκωνα καὶ Μέλητον· τὸν μὲν Ἄνυτον ὑπὲρ
τῶν δημιουργῶν καὶ τῶν πολιτικῶν ὀργιζόμενον· τὸν δὲ
Λύκωνα ὑπὲρ τῶν ῥητόρων· καὶ τὸν Μέλητον ὑπὲρ τῶν
ποιητῶν, οὓς ἅπαντας ὁ Σωκράτης διέσυρε. Φαβωρῖνος δέ
φησιν ἐν τῷ πρώτῳ τῶν Ἀπομνημονευμάτων μὴ εἶναι
ἀληθῆ τὸν λόγον τὸν Πολυκράτους κατὰ Σωκράτους· ἐν
αὐτῷ γάρ, φησί, μνημονεύει τῶν ὑπὸ Κόνωνος τειχῶν
ἀνασταθέντων, ἃ γέγονεν [ἐν] ἔτεσιν ἓξ τῆς τοῦ Σωκρά-
τους τελευτῆς ὕστερον. Καὶ ἔστιν οὕτως ἔχον.
Ἡ δ' ἀντωμοσία τῆς δίκης τοῦτον εἶχε τὸν τρόπον· 40
ἀνάκειται γὰρ ἔτι καὶ νῦν, φησὶ Φαβωρῖνος, ἐν τῷ Μη-
τρῴῳ· "Τάδε ἐγράψατο καὶ ἀντωμόσατο Μέλητος Μελή-
του Πιτθεὺς Σωκράτει Σωφρονίσκου Ἀλωπεκῆθεν· ἀδικεῖ
Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων,
ἕτερα δὲ καινὰ δαιμόνια εἰσηγούμενος· ἀδικεῖ δὲ καὶ

1–2 Hermippi Fr. 32 Wehrli **1** Πολυκράτης : cf. Themist. *Or.* 23, 296 C; Ael. *V.H.* 11.10; *Suda,* Π 1977 **4–9** Antisthenis Rhodii F 4 (*FGrHist* 508) **6-9** τῶν ποιητῶν Plat. *Apol.* 23 e 3–6 **9–14** ὕστερον : Favorini Fr. 3 Mensching **17–p. 120.1** διαφθείρων : Plat. *Apol.* 24 b 8–10; Xenoph. *Mem.* 1.1.1

6 ἄνυτον[1] **PF** : αὐτὸν **B** | ὑπὲρ Casaubon : περὶ **BPF** **7** δημηουργῶν **B** **12** ἀπὸ $\mathbf{P}^1$, corr. $\mathbf{P}^2$ **13** ἐν del. Bigotius, Menagius **15** ἀντομωσία **F** | ἔχει $\mathbf{P}^1$, corr. $\mathbf{P}^2$ in mg **16** φησὶ om. **F** **17** ἀντωμόσατο Menagius : ἀνθωμολογήσατο **BPF** et *Suda,* Α 2517 **18** σωκράτη **B** **20** κενὰ $\mathbf{B}^1$, corr. $\mathbf{B}^2$ | εἰσηγούμενος **BPF** : εἰσφέρων Xenoph. : εἰσάγων Dio Chrysost. *Or.* 43.9 : om. Plato

τοὺς νέους διαφθείρων. Τίμημα θάνατος." Ὁ δ' οὖν φιλό-
σοφος, Λυσίου γράψαντος ἀπολογίαν αὐτῷ, διαναγνοὺς
ἔφη· "Καλὸς μὲν ὁ λόγος, ὦ Λυσία, οὐ μὴν ἁρμόττων
ἐμοί." Δηλαδὴ γὰρ ἦν τὸ πλέον δικανικὸς ἢ ἐμφιλόσοφος.
41 Εἰπόντος δὲ τοῦ Λυσίου· "Πῶς, εἰ καλός ἐστιν ὁ λόγος,
οὐκ ἄν σοι ἁρμόττοι;" ἔφη· "Οὐ γὰρ καὶ ἱμάτια καλὰ καὶ
ὑποδήματα εἴη ἂν ἐμοὶ ἀνάρμοστα;"

Κρινομένου δὲ αὐτοῦ φησιν Ἰοῦστος ὁ Τιβεριεὺς ἐν
τῷ Στέμματι Πλάτωνα ἀναβῆναι ἐπὶ τὸ βῆμα καὶ εἰπεῖν·
"Νεώτατος ὤν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἐπὶ τὸ βῆμα
ἀναβάντων·" τοὺς δὲ δικαστὰς ἐκβοῆσαι· "Κατάβα."
[τουτέστι κατάβηθι]. Ὁ δ' οὖν κατεδικάσθη διακοσίαις
ὀγδοήκοντα μιᾷ πλείοσι ψήφοις τῶν ἀπολυουσῶν· καὶ
τιμωμένων τῶν δικαστῶν τί χρὴ παθεῖν αὐτὸν ἢ ἀποτῖσαι,
πέντε καὶ εἴκοσιν ἔφη δραχμὰς ἀποτίσειν (Εὐβουλίδης
42 μέντοι ἑκατόν φησιν ὁμολογῆσαι)· θορυβησάντων δὲ τῶν
δικαστῶν, "Ἕνεκα μέν," εἶπε, "τῶν ἐμοὶ διαπεπραγμένων
τιμῶμαι τὴν δίκην τῆς ἐν Πρυτανείῳ σιτήσεως."

Καὶ οἳ θάνατον αὐτοῦ κατέγνωσαν, προσθέντες ἄλλας

1–7 Cic. *Or.* 1.231; Valer. Max. 6.4 **8–11** *FGrHist* 734 F 1 **10–13** τῶν ἀπολυουσῶν : cf. Plat. *Apol.* 36 a; S. Erasmus, *Gymnasium* 71 (1964) 40–42 **15** cf. Plat. *Apol.* 38 b 6 **15–16** Eubulidis Fr. 66 Doering **16** θορυβησάντων – **18** Plat. *Apol.* 36 d–e; Cic. *Or.* 1.232–233

2 διαναγνοὺς – **4** δηλαδὴ γὰρ in mg **F**^{2} **4** γ' ἐμοί Cobet | δικανικὸς **FB**^{2} in mg : δικανὸς **B**^{1} : δικα··· **P**^{1} **11** δὲ **FΦ** : om. **BP** | κατάβα Bergk (II, 298) : κατάβα, κατάβα Cobet (cf. Aristoph. *Vesp.* 979) : καταβάντων **BPFΦ** **12** τουτέστι κατάβηθι secl. Cobet, Bergk | ὁ δ' οὖν Richards : ὅτ' οὖν **BPFΦ** **13** ἀναλλυουσῶν **B** **15** εὐβουλήδης **B** **16** μέντοι scripsi : μὲν γὰρ **BPF** **19** θάνατοι **B**

ψήφους ὀγδοήκοντα. Καὶ δεθεὶς μετὰ πολλὰς ἡμέρας ἔπιε τὸ κώνειον, πολλὰ καλὰ κἀγαθὰ διαλεχθείς, ἃ Πλάτων ἐν τῷ Φαίδωνί φησιν. Ἀλλὰ καὶ παιᾶνα κατά τινας ἐποίησεν, οὗ ἡ ἀρχή·

Δήλι' Ἄπολλον χαῖρε, καὶ Ἄρτεμι, παῖδε κλεεινώ.

Διονυσόδωρος δέ φησι μὴ εἶναι αὐτοῦ τὸν παιᾶνα. Ἐποίησε δὲ καὶ μῦθον Αἰσώπειον οὐ πάνυ ἐπιτετευγμένως, οὗ ἡ ἀρχή·

Αἴσωπός ποτ' ἔλεξε Κορίνθιον ἄστυ νέμουσι
μὴ κρίνειν ἀρετὴν λαοδίκῳ σοφίῃ.

43 Ὁ μὲν οὖν ἐξ ἀνθρώπων ἦν· Ἀθηναῖοι δ' εὐθὺς μετέγνωσαν, ὥστε κλεῖσαι καὶ παλαίστρας καὶ γυμνάσια. Καὶ τοὺς μὲν ⟨ἄλλους⟩ ἐφυγάδευσαν, Μελήτου δὲ θάνατον κατέγνωσαν· Σωκράτην δὲ χαλκῇ εἰκόνι ἐτίμησαν, ἣν ἔθεσαν ἐν τῷ Πομπείῳ, Λυσίππου ταύτην ἐργασαμένου.

3–5 Fr. 2 West. Cf. Plat. *Phaed.* 61 b 2; Dion. Chrysost. *Or.* 43.10; Themist. *Or.* 2, 27 C **6** *FHG* II, 84 **9–10** Fr. 1 West; T 40 Perry; *Anth. Pal., App.* 4.16 Cougny. Cf. Plat. *Phaed.* 61 b 5; Plut. *De aud. poetis* 16 BC **11–p. 122.1** cf. Themist. *Or.* 20, 239 C; Plut. *De invidia et odio* 538 A **14** χαλκῇ εἰκόνι : cf. Tertull. *Apolog.* 14.8

1 δεηθεὶς **F** | μετὰ Menagius conl. Plat. *Phaed.* 58 a 4 et c 4 (πολὺς χρόνος ἐγένετο τῷ Σωκράτει) et *Suda,* Σ 829 (p. 405.8 A.) ἐδέδετο οὖν ἐπὶ πολύ : μετ' οὐ **BPF** **5** δήλι' **PFΦ** : δῆλι **B**[1], δῒ **B**[2] in mg super. | καὶ ἄρτεμι χαῖρε **F** | κλεεινῶ **B**[1] (et in mg) : κλαιεννῶ **B**[2], κλεεννώ **Φ** : κλεινώ **P** : λατοῦς **F** : γρ. κλϊνώ in mg super. **F**[2] **7** καὶ om. **F** **9** ποτὲ **B** **12** κλεῖσαι **PΦ** : κλίσαι **B**[2] in ras. : καῦσαι **F** : κλύσαι γρ. in mg super. **F**[2] **13** ἄλλους add. Richards | μελήτου **B** : μελίτου **PFΦ** **14** σωκράτην **FΦ** : σωκράτη **B** : σωκράτει **P** | χαλκῇ εἰκόνι ἐτίμησαν Cobet (cf. p. 122.6–7) : χαλκῆς εἰκόνος ἐτιμήσαντο **BPFΦ** **15** ἐν om. **F** | αὐσίππου **B**

Ἄνυτόν τε ἐπιδημήσαντα αὐθημερὸν ἐξεκήρυξαν Ἡρακλεῶται. Οὐ μόνον δὲ ἐπὶ Σωκράτους Ἀθηναῖοι πεπόνθασι τοῦτο, ἀλλὰ καὶ ἐπὶ πλείστων ὅσων. Καὶ γὰρ Ὅμηρον, καθά φησιν Ἡρακλείδης, πεντήκοντα δραχμαῖς ὡς μαινόμενον ἐτιμήσαντο, καὶ Τυρταῖον παρακόπτειν ἔλεγον, καὶ Ἀστυδάμαντα ὡς πρῶτον τῶν περὶ Αἰσχύλον ἐτίμη-
44 σαν εἰκόνι χαλκῇ. Καὶ Εὐριπίδης δὲ ὀνειδίζει αὐτοῖς ἐν τῷ Παλαμήδει λέγων·

Ἐκάνετ' ἐκάνετε τὰν πάνσοφον,
τὰν οὐδέν' ἀλγύνασαν ἀηδόνα Μουσᾶν.

Καὶ τάδε μὲν ὧδε. Φιλόχορος δέ φησι προτελευτῆσαι τὸν Εὐριπίδην τοῦ Σωκράτους.

Ἐγεννήθη δέ, καθά φησιν Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς, ἐπὶ Ἀψεφίωνος τῷ τετάρτῳ ἔτει τῆς ἑβδομηκοστῆς ἑβδόμης Ὀλυμπιάδος, Θαργηλιῶνος ἕκτῃ, ὅτε καθαίρουσι τὴν πόλιν Ἀθηναῖοι καὶ τὴν Ἄρτεμιν γενέσθαι Δήλι-

3–7 χαλκῇ : Heraclidis Pontici Fr. 169 Wehrli **6** Ἀστυδάμαντα – **7** χαλκῇ : i.e. anno 340. Cf. *TrGF* I, p. 199 Snell (60 T 8a) **7–10** Eurip. Fr. 588 N^2. Cf. Philostr. *Heroici* 11, Tzetzae *Exeg. Il.*, p. 44.14; *In Lycophr. Al.* 384; *Argum. Busiridos,* p. 188 Mathieu-Brémond (1963^3) **11–12** Philochori F 221 (*FGrHist* 328) **13–p. 123.1** φασιν : *FGrHist* 244 F 34 **14–15** i.e. 469–468

4 καθά **BP** : ὥς **F** **5** ἐτιμήσαντο **FΦ** : ἐτίμησαν **BP** : ἐζημίωσαν Cobet **6** ὡς **Φ** : om. **BPF** | πρῶτον **BPFΦ** : πρότερον G. Hermann | τῶν **PFΦ** : τὸν **B** | ἐτίμησαν **BPΦ** : ὃν ἐτιμήσαντο **F** **7** Καὶ Εὐριπίδης δὲ scripsi : ὀνειδίζει δὲ αὐτοῖς καὶ εὐριπίδης **Φ** : εὐριπίδης δὲ καὶ **BPF** | ὀνειδίζειν **B** | αὐτοὺς **F** **9** ἐκάνετε κάνετε **B** | post τὰν πάνσοφον add. ὦ Δαναοί (ex Philostr.) Huebner, Nauck **10** οὐδεν' B^2 in mg (et Valckenaer ad Eur. *Phoen.* 321) : οὐδὲν B^1**PFΦ** | ἀλγύνασαν B^1 et B^2 in mg, **P** : ἀλγύνουσαν **FΦ** | μουσᾶν **Φ** : μοῦσαν **BPF** **14** ἐν τῷ **P** **16** τὴν πόλιν ἀθηναῖοι **BP** : ἀθηναῖοι τὴν πόλιν **F** | γενέσθαι δήλιοι **BP** : δήλιοι γενέσθαι **F**

οἱ φασιν. Ἐτελεύτησε δὲ τῷ πρώτῳ ἔτει τῆς ἐνενηκοστῆς
πέμπτης Ὀλυμπιάδος, γεγονὼς ἐτῶν ἑβδομήκοντα. Ταὐτά
φησι καὶ Δημήτριος ὁ Φαληρεύς. Ἔνιοι γὰρ ἑξήκοντα 45
ἐτῶν τελευτῆσαί φασιν αὐτόν. Ἀμφότεροι δ' ἤκουσαν Ἀναξαγόρου, καὶ οὗτος καὶ Εὐριπίδης, ὃς καὶ τῷ πρώτῳ ἔτει τῆς ἑβδομηκοστῆς πέμπτης Ὀλυμπιάδος ἐγεννήθη ἐπὶ Καλλιάδου.

Δοκεῖ δέ μοι καὶ περὶ τῶν φυσικῶν ὁ Σωκράτης διειλέχθαι· ὅπου γε καὶ περὶ προνοίας τινὰ διαλέγεται, καθά φησι καὶ Ξενοφῶν, καίτοι περὶ μόνων τῶν ἠθικῶν ποιεῖσθαι τοὺς λόγους αὐτὸν εἰπών. Ἀλλὰ καὶ Πλάτων ἐν τῇ Ἀπολογίᾳ μνησθεὶς Ἀναξαγόρου καὶ ἄλλων τινῶν φυσικῶν, ἃ Σωκράτης ⟨νομίζειν⟩ ἀρνεῖται, περὶ τούτων αὐτὸς λέγει, καίπερ ἀνατιθεὶς πάντα Σωκράτει.

Φησὶ δ' Ἀριστοτέλης μάγον τινὰ ἐλθόντα ἐκ Συρίας εἰς Ἀθήνας τά τε ἄλλα καταγνῶναι τοῦ Σωκράτους καὶ δὴ καὶ βίαιον ἔσεσθαι τὴν τελευτὴν αὐτῷ προειπεῖν.

Ἔστι δὲ καὶ ἡμῶν εἰς αὐτὸν οὕτω· 46

Πῖνέ νυν ἐν Διὸς ὤν, ὦ Σώκρατες· ἦ σε γὰρ ὄντως
καὶ σοφὸν εἶπε θεός, καὶ θεὸν ἡ σοφίη.

1–2 i.e. 400–399 2 ἑβδομήκοντα : Plat. *Apol.* 17 d 3; *Crit.* 52 e 3 2–3 Demetrii Fr. 153 Wehrli = *FGrHist* 228 F 10 4 Ἀμφότεροι – 5 Εὐριπίδης : cf. *Marm. Par.* 60 = 59 A 4a DK 5–7 i.e. 480–479 10 Xenoph. *Mem.* 1.4.6 10–11 *Mem* .1.1.16 11 Ἀλλὰ – 14 cf. Plat. *Apol.* 26 c–e; *Phaed.* 97 b – 99 c 15–17 Aristot. Fr. 32 Rose[3] 19–p. 124.2 *Anth. Pal.* 7.96

2 ταὐτὰ **F** : καὶ ταῦτα **BP** 4 φασὶν αὐτόν **BP** : αὐτόν φασιν **F** 9 διειλέχθαι $\mathbf{B}^1$**PF** : διηλέχθαι $\mathbf{B}^2$ | περὶ om. **F** 12 τινῶν **F** : om. **BP** 13 νομίζειν addidi ex Plat. *Apol.* 17 προειπεῖν **Φ** : om. **BPF** 19 πεῖνε **B** | νυν *Pal.* : νῦν **BPFΦ** | οὕτως **F** 20 θεὸν^2 $\mathbf{P}^3\mathbf{W}\mathbf{F}^2$ et *Pal.* : θεῶν $\mathbf{B}\mathbf{P}^1\mathbf{\Phi}$: θεὸς $\mathbf{F}^1\mathbf{P}^3$ ss. | σοφία *Pal.*

Πρὸς γὰρ Ἀθηναίων κώνειον ἁπλῶς μὲν ἐδέξω·
αὐτοὶ δ' ἐξέπιον τοῦτο τεῷ στόματι.

Τούτῳ τις, καθά φησιν Ἀριστοτέλης ἐν τρίτῳ Περὶ ποιητικῆς, ἐφιλονείκει Ἀντίλοχος Λήμνιος καὶ Ἀντιφῶν ὁ τερατοσκόπος, ὡς Πυθαγόρᾳ Κύλων καὶ Ὀνάτας· καὶ Σύαγρος Ὁμήρῳ ζῶντι, ἀποθανόντι δὲ Ξενοφάνης ὁ Κολοφώνιος· καὶ Κέρκωψ Ἡσιόδῳ ζῶντι, τελευτήσαντι δὲ ὁ προειρημένος Ξενοφάνης· καὶ Πινδάρῳ Ἀμφιμένης ὁ Κῷος· Θάλητι δὲ Φερεκύδης καὶ Βίαντι Σάλαρος Πριηνεύς· Πιττακῷ Ἀντιμενίδας καὶ Ἀλκαῖος, Ἀναξαγόρᾳ Σωσίβιος, καὶ Σιμωνίδῃ Τιμοκρέων.

47 Τῶν δὲ διαδεξαμένων αὐτὸν τῶν λεγομένων Σωκρατικῶν οἱ κορυφαιότατοι μὲν Πλάτων, Ξενοφῶν, Ἀντι-

1–2 *Suda*, K 2034 **3–11** Aristot. Fr 75 Rose^3 **4** Ἀντίλοχος : cf. 8.49 | Ἀντιφῶν : 87 A 5 DK **5** Ὀνάτας : cf. ft. Ὀνάταν Κροτωνιάτην : Iambl. *V.P.* 267; Stob. 1.1.28 et 39; 14.15 DK **6** Σύαγρος : cf. Ael. *V.H.* 14.21; Eust. *ad Il.* p. 4.27 **6** et **8** Ξενοφάνης : cf. 21 B 11 DK **10** Ἀλκαῖος : cf. 1.81 **11** Σωσίβιος : 59 A 25 DK **12–p. 125.6** συνεστήσατο : Megaricorum Fr. 36 Doering. Cf. E. Schwartz, 757; H. Schmidt, 30–32

1 κώνειον **BPFΦ** et *Pal.* : κόνιον μὲν *Suda* | ἁπλῶς : αὐτὸς **Φ** | μὲν **BPΦ** : σὺ *Pal.* et *Suda* | ἐδέξω ἁπλῶς (omisso μὲν) **F** **2** ἐξέπιον **ΦP**^{4}**H** et *Pal.*, *Suda* : ἐξέπιαν **B P**^{1}**F** | τε ὧι **B** **5** Κύλων Menagius : κύδων **BPFΦ** | καὶ ὀνάτας **P**^{1}**Φ**, καιονατᾶς **B** : καὶ ὀνάτης **FP**^{5} : Κροτωνιάτης Menagius **6** Σύαγρος L. Gyraldus (*Dial. de poetis: Hes.*) : σάγαρις **BPFΦ** | ἀποθανῶντι **F** **9** βίαντι σάλαρος **FP**^{5} : βίαντι σάλυρος **P** : βίαντις ἰλλυρὸς **B** **11** τιμωκρέων σιμωνίδει in mg **B**^{2} (σιμωνίδει τιμωκρέων in textu **B**^{1}) **12** τῶν^2 δὲ **B**^{1}, erasit δὲ **B**^{2} : τῶν^2 del. Schwartz | λεγομένων σωκρατικῶν post p. 125.1 τῶν δὲ transtulit Schwartz deletis p. 125.1 φερομένων δέκα

σθένης· τῶν δὲ φερομένων δέκα οἱ διασημότατοι τέσσαρες, Αἰσχίνης, Ἀρίστιππος, Φαίδων, Εὐκλείδης. Λεκτέον δὴ πρῶτον περὶ Ξενοφῶντος, ἔπειτα περὶ τῶν Σωκρατικῶν, εἶθ' οὕτω περὶ Πλάτωνος, ἐπεὶ κατάρχει τῶν δέκα αἱρέσεων καὶ τὴν πρώτην Ἀκαδημίαν αὐτὸς συνεστήσατο, εἶτα περὶ Ἀντισθένους ἐν τοῖς Κυνικοῖς. Ἡ μὲν οὖν ἀκολουθία τοῦτον ἐχέτω τὸν τρόπον.

Γέγονε δὲ καὶ ἕτερος Σωκράτης, ἱστορικός, περιήγησιν Ἄργους γεγραφώς· καὶ ἄλλος, Περιπατητικός, Βιθυνός· καὶ ἕτερος, ἐπιγραμμάτων ποιητής· καὶ ὁ Κῷος, ἐπικλήσεις θεῶν γεγραφώς.

ΞΕΝΟΦΩΝ

Ξενοφῶν Γρύλλου μὲν ἦν υἱός, Ἀθηναῖος, τῶν δήμων 48
Ἐρχιεύς· αἰδήμων δὲ καὶ εὐειδέστατος εἰς ὑπερβολήν. Τούτῳ δὲ ἐν στενωπῷ φασιν ἀπαντήσαντα Σωκράτη διατεῖναι τὴν βακτηρίαν καὶ κωλύειν παριέναι, πυνθανόμενον ποῦ πιπράσκοιτο τῶν προσφερομένων ἕκαστον· ἀποκριναμένου δὲ πάλιν πυθέσθαι· "Ποῦ δὲ καλοὶ κἀγαθοὶ γίνονται ἄνθρωποι;" Ἀπορήσαντος δέ, ""Επου τοίνυν,"

2 Aristippi Fr. 124 Mannebach **4–5** cf. 1.18–19 **5–6** cf. 1.14 et 19 **8–9** *FGrHist* 310 T 1 **10** ὁ Κῷος : *FHG* IV, 499 s. **13** partem Vitae primum ed. *Xenophontis omnium quae extant* ed. Aldina (Venetiis, 1525)

1 διασημότατοι **B**[1], δὲ ἀσημότατοι **B**[2] **2** ἀρίστιππος post εὐκλείδης in **BPF**, huc traieci **3** δὴ **BPF** : δὲ Cobet **6** εἶτα περὶ ἀντισθένους ἐν τοῖς κυνικοῖς post v. 3 Ξενοφῶντος in **BPF**, huc transtulit Madvig (V, 712) **8** σωκράτης καὶ ἕτερος **BP** **9** βείθινος **B** **12** *tit.* **PF**[2] : om. **B** spatio relicto **14** ἀρχιεύς **P**[1] (corr. **P**[5]) **15** τούτῳ et σωκράτη **Φ** et Stephanus : τοῦτον et σωκράτει **B**[2]**PF** (σωκράτη **B**[1]) | δὲ om. **BP** | στενοπῶ **BF** | ὑπαντήσαντα **Φ** **17** ποῦ ed. Pearsoniana : ποῖ **B**[2] in mg : οἱ **B**[1], οἷ **PΦ** : εἰ **F** | ἀποκριναμένου **ΦD** : ἀποκρινομένου **BPF**

φάναι, "καὶ μάνθανε." Καὶ τοὐντεῦθεν ἀκροατὴς Σωκράτους ἦν. Καὶ πρῶτος ὑποσημειωσάμενος τὰ λεγόμενα εἰς ἀνθρώπους ἤγαγεν, Ἀπομνημονεύματα ἐπιγράψας. Ἀλλὰ καὶ ἱστορίαν φιλοσόφων πρῶτος ἔγραψε.

Καὶ αὐτόν φησιν Ἀρίστιππος ἐν τετάρτῳ Περὶ παλαιᾶς τρυφῆς ἐρασθῆναι Κλεινίου· πρὸς ὃν καὶ ταῦτα εἰπεῖν·
49 "Νῦν γὰρ ἐγὼ Κλεινίαν ἥδιον μὲν θεῶμαι ἢ τἄλλα πάντα ⟨τὰ⟩ ἐν ἀνθρώποις καλά· τυφλὸς δὲ τῶν ἄλλων πάντων δεξαίμην ἂν ἢ Κλεινίου ἑνὸς ὄντος γενέσθαι· ἄχθομαι δὲ καὶ νυκτὶ καὶ ὕπνῳ, ὅτι ἐκεῖνον οὐχ ὁρῶ· ἡμέρᾳ δὲ καὶ ἡλίῳ τὴν μεγίστην χάριν οἶδα, ὅτι μοι Κλεινίαν ἀναφαίνουσι."

Κύρῳ δὲ φίλος ἐγένετο τοῦτον τὸν τρόπον. Ἦν αὐτῷ συνήθης Πρόξενος ὄνομα, γένος Βοιώτιος, μαθητὴς μὲν Γοργίου τοῦ Λεοντίνου, φίλος δὲ Κύρῳ. Οὗτος ἐν Σάρδεσι διατρίβων παρὰ τῷ Κύρῳ ἔπεμψεν εἰς Ἀθήνας ἐπιστολὴν Ξενοφῶντι, καλῶν αὐτὸν ἵνα γένηται Κύρῳ φίλος. Ὁ δὲ τὴν ἐπιστολὴν δεικνύει Σωκράτει καὶ σύμβουλον ᾐρεῖτο.
50 Καὶ ὃς ἀπέστειλεν αὐτὸν εἰς Δελφοὺς χρησόμενον τῷ θεῷ. Πείθεται Ξενοφῶν· ἥκει παρὰ τὸν θεόν· πυνθάνεται οὐχὶ εἰ χρὴ ἀπιέναι πρὸς Κῦρον, ἀλλ' ὅπως· ἐφ' ᾧ καὶ Σωκράτης αὐτὸν ᾐτιάσατο μέν, συνεβούλευσε δὲ ἐξελθεῖν. Καὶ

4 i.e. ἱστορίαν πρῶτος φιλοσόφων ἔγραψε (male *Suda*, Ξ 47 πρῶτος ἔγραψε βίους φιλοσόφων) **5–6** *FHG* II, 79 **5** αὐτόν : immo Critobulum **7** Νῦν – **11** ἀναφαίνουσι : Xenoph. *Sympos.* 4.12 **13–.p. 127.2** αὐτῷ : Xenoph. *Anab.* 3.1.4–8 **14–15** cf. *Anab.* 2.6.16–17

1 φάναι **BPΦ** : ἔφη **F** **3** ἐς **F** **7** μὲν om. **F** | θεῶμαι ss. γρ. **F**[2], ὁρῶμαι **F**[1] **8** τὰ e Xenoph. add. Cobet | πάντων **BPF** : ἁπάντων **Φ** et Xenoph. **9** μᾶλλον δεξαίμην ἂν Xenoph. | κλεινίου **F**[1]**P**[4]**H** : κείνου **BP**[1]**QWF**[2] : 'κείνου **Φ** : κείνου vel ἐκείνου Xen. codd. | γενέσθαι **BPFΦ** : εἶναι Xenoph. **10** οὐ χορῶ **B** **14** βοιότιος **B**[1]**F** **20** πείθεσθαι **B**

ὃς γίνεται παρὰ Κύρῳ, καὶ τοῦ Προξένου φίλος οὐχ ἧττον ἦν αὐτῷ. Τὰ μὲν οὖν ἄλλα τὰ κατὰ τὴν ἀνάβασιν γενόμενα καὶ τὴν κάθοδον ἱκανῶς αὐτὸς ἡμῖν διηγεῖται. Ἐχθρῶς δὲ διέκειτο πρὸς Μένωνα τὸν Φαρσάλιον, παρὰ τὸν χρόνον τῆς ἀναβάσεως τὸν ξεναγόν· ὅτε καὶ λοιδορῶν αὐτόν φησιν αὐτοῦ μείζοσι κεχρῆσθαι παιδικοῖς. Ἀλλὰ καὶ Ἀπολλωνίδῃ τινὶ ὀνειδίζει τετρῆσθαι τὰ ὦτα.

Μετὰ δὲ τήν τε ἀνάβασιν καὶ τὰς ἐν τῷ Πόντῳ 51
συμφορὰς καὶ τὰς παρασπονδήσεις τὰς Σεύθου τοῦ τῶν Ὀδρυσῶν βασιλέως ἧκεν εἰς Ἀσίαν πρὸς Ἀγησίλαον τὸν Λακεδαιμονίων βασιλέα, μισθοῦ τοὺς Κύρου στρατιώτας αὐτῷ παρασχών· φίλος τ' ἦν εἰς ὑπερβολήν. Παρ' ὃν καιρὸν ἐπὶ Λακωνισμῷ φυγὴν ὑπ' Ἀθηναίων κατεγνώσθη. Γενόμενος δ' ἐν Ἐφέσῳ καὶ χρυσίον ἔχων, τὸ μὲν ἥμισυ Μεγαβύζῳ δίδωσι τῷ τῆς Ἀρτέμιδος ἱερεῖ φυλάττειν, ἕως ἂν ἐπανέλθοι· εἰ δὲ μή, ἄγαλμα ποιησάμενον ἀναθεῖναι τῇ θεῷ· τοῦ δὲ ἡμίσεος ἔπεμψεν εἰς Δελφοὺς ἀναθήματα. Ἐντεῦθεν ἦλθεν εἰς τὴν Ἑλλάδα μετὰ Ἀγησιλάου, κεκλημένου εἰς τὸν πρὸς Θηβαίους πόλεμον. Καὶ αὐτῷ προξενίαν ἔδοσαν οἱ Λακεδαιμόνιοι.

4 Ἐχθρῶς – **6** παιδικοῖς : *Anab.* 2.6.21–28. Cf. Athen. 11, 505 A **6–7** *Anab.* 3.1.31 **9** τὰς^{1} – **10** βασιλέως : cf. *Anab.* 7.3.7–14 **10–11** *Anab.* 5.3.6 **12** Παρ' – **13** κατεγνώσθη : *Anab.* 5.3.7 **14** Γενόμενος – **17** ἀναθήματα : *Anab.* 5.3.5–7 **18** Ἐντεῦθεν – **19** πόλεμον : cf. Plut. *Ages.* 18.2 **19–20** *Suda,* Π 2538

3 ἡμῖν αὐτὸς **F** | διηγῆται **B** **4** φαρσάδιον **B** **5** τὸν ξεναγόν **P**^{2}**Q** : τῶν ξεναγῶν **BP**^{1}**F** **6** αὑτοῦ Stephanus : αὐτοῦ **BP** et ss. **F**^{2} | χρῆσθαι **B** **7** ἀπολλωνίδι **B** **8** τῷ om. **F** **9** τὰς^{2} **BP** : τοῦ **F** | τοῦ τῶν **B**^{1}**P** : τούτων **B**^{2} : τοῦ **F** **13** φυγὴν **P** : φυγῆς **BF** **16** ἐπανέλθοι **F** : ἐπανέλθῃ **BP** | ἀναθῆναι **B** **17** ἡμίσεως **B**^{1} **18** μετὰ ἀγησιλάου εἰς τὴν ἑλλάδα **P**

52 Ἐντεῦθεν ἐάσας τὸν Ἀγησίλαον ἦλθεν εἰς Σκιλλοῦντα, χωρίον τῆς Ἠλείας ὀλίγον τῆς πόλεως ἀπέχον. Εἵπετο δὲ αὐτῷ καὶ γύναιον ὄνομα Φιλησία, καθά φησι Δημήτριος ὁ Μάγνης, καὶ δύο υἱεῖς, Γρύλλος καὶ Διόδωρος, ὥς φησι Δείναρχος ἐν τῷ πρὸς Ξενοφῶντα ἀποστασίου, οἳ καὶ Διόσκουροι ἐπεκαλοῦντο. Ἀφικομένου δὲ τοῦ Μεγαβύζου κατὰ πρόφασιν τῆς πανηγύρεως, κομισάμενος τὰ χρήματα χωρίον ἐπρίατο καὶ καθιέρωσε τῇ θεῷ, δι' οὗ ποταμὸς ἔρρει Σελινοῦς, ὁμώνυμος τῷ ἐν Ἐφέσῳ. Τοὐντεῦθεν διετέλει κυνηγετῶν καὶ τοὺς φίλους ἑστιῶν καὶ τὰς ἱστορίας συγγράφων. Φησὶ δ' ὁ Δείναρχος ὅτι καὶ οἰκίαν καὶ ἀγρὸν αὐτῷ ἔδοσαν Λακεδαιμόνιοι.

53 Ἀλλὰ καὶ Φυλοπίδαν τὸν Σπαρτιάτην φασὶν αὐτῷ πέμψαι αὐτόθι δωρεὰν ἀνδράποδα αἰχμάλωτα ἐκ Δαρδάνου· καὶ τὸν διαθέσθαι αὐτὰ ὡς ἠβούλετο· Ἠλείους τε στρατευσαμένους εἰς τὸν Σκιλλοῦντα [καὶ] βραδυνόντων Λακεδαιμονίων ἐξελεῖν τὸ χωρίον. Ὅτε καὶ τοὺς υἱέας αὐτοῦ εἰς Λέπρεον ὑπεξελθεῖν μετ' ὀλίγων οἰκετῶν, καὶ αὐτὸν Ξενοφῶντα εἰς τὴν Ἦλιν πρότερον, εἶτα [καὶ] εἰς Λέπρεον πρὸς τοὺς παῖδας, κἀκεῖθεν σὺν αὐτοῖς εἰς

1–2 ἀπέχον et **6** Ἀφικομένου – **9** ἐν Ἐφέσῳ : *Anab.* 5.3.7 **1–6** ἐπεκαλοῦντο : Demetrii F 12 Mejer. Cf. *Suda,* Ξ 47 **4** καὶ δύο – **6** Dinarchi Fr. 70 Baiter-Sauppe. Cf. Dionys. Hal. *Din.* 12 (Ἀποστασίου ἀπολογία Αἰσχύλῳ πρὸς Ξενοφῶντα) et Wilamowitz, *Antig.* 330–335 **9–11** Plut. *De exilio* 605 C **11–12** F 70 B.-S.

1 ἦλθεν **PF** : ἧκεν **P** **2** ἠλείας **BF** : ἠλίας **B**[1], ἰλιᾶς **B**[2] | ἀπέχων **B** **4** γρύλλος **PF** : γρύδος **B** **6** διόσκοροι **B** | ἐκαλοῦντο **P** **11** δ' ὁ δείναρχος **P** : δολίμαρχος **B** : δὲ καὶ δείναρχος **F** **12** αὐτῷ om. **B** **14** δωρεὰν αὐτόθι **F** **16** καὶ del. Cobet **17** υἱέας **BP** : υἱεῖς **F** **18** λέπραιον hic et in v. 20 **F** | συνεξελθεῖν **F** **19** καὶ **BP** : om. **F**, del. Cobet

Κόρινθον διασωθῆναι καὶ αὐτόθι κατοικῆσαι. Ἐν τούτῳ
δὲ ψηφισαμένων Ἀθηναίων βοηθεῖν Λακεδαιμονίοις
ἔπεμψε τοὺς παῖδας εἰς τὰς Ἀθήνας στρατευσομένους
ὑπὲρ τῶν Λακεδαιμονίων. Καὶ γὰρ ἐπεπαίδευντο [αὐτόθι] 54
ἐν τῇ Σπάρτῃ, καθά φησι Διοκλῆς ἐν τοῖς Βίοις τῶν
φιλοσόφων. Ὁ μὲν οὖν Διόδωρος οὐδὲν ἐπιφανὲς πράξας
ἐκ τῆς μάχης ἀνασῴζεται, καὶ αὐτῷ υἱὸς ὁμώνυμος
γίνεται τἀδελφῷ. Ὁ δὲ Γρύλλος τεταγμένος κατὰ τοὺς
ἱππέας (ἦν δὲ ἡ μάχη περὶ Μαντίνειαν) ἰσχυρῶς ἀγωνι-
σάμενος ἐτελεύτησεν, ὥς φησιν Ἔφορος ἐν τῇ πέμπτῃ καὶ
εἰκοστῇ, Κηφισοδώρου μὲν ἱππαρχοῦντος, Ἡγησίλεω δὲ
στρατηγοῦντος. Ἐν ταύτῃ τῇ μάχῃ καὶ Ἐπαμεινώνδας
ἔπεσε. Τηνικαῦτα δὴ καὶ τὸν Ξενοφῶντά φασι θύειν
ἐστεμμένον· ἀπαγγελθέντος δ' αὐτῷ τοῦ θανάτου ἀποστε-
φανώσασθαι· ἔπειτα μαθόντα ὅτι γενναίως ⟨ἀριστεύων
τέθνηκε⟩ πάλιν ἐπιθέσθαι τὸν στέφανον. Ἔνιοι δὲ οὐδὲ 55
δακρῦσαί φασιν αὐτόν· ἀλλὰ γὰρ εἰπεῖν· "Ἤιδειν θνη-
τὸν γεγεννηκώς." Φησὶ δ' Ἀριστοτέλης ὅτι ἐγκώμια καὶ
ἐπιτάφιον Γρύλλου μυρίοι ὅσοι συνέγραψαν, τὸ μέρος καὶ
τῷ πατρὶ χαριζόμενοι. Ἀλλὰ καὶ Ἕρμιππος ἐν τῷ Περὶ

1 Ἐν τούτῳ – **13** ἔπεσε : Ephori F 85 (*FGrHist* 70) **4–5** Plut. *Ages.* 20.2 **13** Τηνικαῦτα – **16** τὸν στέφανον : Plut. *Consol. ad Apoll.* 118 F–119 A; Ael. *V.H.* 3.3; Valer. Max. 5.10 ext. 2; Stob. 3.7.48; *Gnom. Vat.* 415; Arsen., p. 377 Walz **17–18** cf. 2.13 **18–19** Aristot. Fr. 68 Rose^3 (Γρύλλος ἢ περὶ ῥητορικῆς) **20–p. 130.2** Hermippi Fr. 52 Wehrli

2 ἀθηνέων **F** **3** τὰς om. **F** **4** αὐτόθι seclusi : ἐν τῇ Σπάρτῃ delendum Jacoby **8** ἀδελφῶ **B** **11** κηφισιδώρου **F** **12** ἐπαμινώνδας **BP** **14** ἀπαγγελέντος **BP** | δ(ὲ) αὐτῷ **PF** : τῶ **B** **15–16** ἀριστεύων τέθνηκε supplevi ex Plut. (γενναίως ἀριστεύων ἐτελεύτησε) et Ael., *Gnom.* (τέθνηκε) **16** ἐπιθῆναι **F** **17** post ἀλλὰ lac. indic. Cobet **19** συνέγραψαν ed. Pearsoniana : συγγράψειαν **B**^{2}**PF** : συνγραψηαν **B**^{1}

Θεοφράστου καὶ ⟨Ἰ⟩σοκράτην φησὶ ἐγκώμιον Γρύλλου γεγραφέναι. Τίμων δ' ἐπισκώπτει αὐτὸν ἐν τούτοις·

ἀσθενική τε λόγων δυὰς ἢ τριὰς ἢ ἔτι πρόσσω,
οἷος Ξεινοφόων ἤ τ' Αἰσχίνου οὐκ ἀπιθὴς ⟨ἴς⟩
γράψαι.

Καὶ ὁ μὲν βίος αὐτῷ τοιόσδε. Ἤκμαζε δὲ κατὰ τὸ τέταρτον ἔτος τῆς τετάρτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος, καὶ ἀναβέβηκε σὺν Κύρῳ ἐπὶ ἄρχοντος Ξεναινέτου ἑνὶ πρότερον ἔτει τῆς Σωκράτους τελευτῆς.

56 Κατέστρεψε δέ, καθά φησι Στησικλείδης ὁ Ἀθηναῖος ἐν τῇ τῶν Ἀρχόντων καὶ Ὀλυμπιονικῶν ἀναγραφῇ, ἔτει πρώτῳ τῆς πέμπτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, ἐπὶ ἄρχοντος Καλλιμήδου, ἐφ' οὗ καὶ Φίλιππος ὁ Ἀμύντου Μακεδόνων ἦρξε. Τέθνηκε δὲ ἐν Κορίνθῳ, ὥς φησι Δημήτριος ὁ Μάγνης, ἤδη δηλαδὴ γηραιὸς ἱκανῶς· ἀνὴρ τά τε ἄλλα γεγονὼς ἀγαθὸς καὶ δὴ καὶ φίλιππος καὶ φιλοκύ-

3–5 Timonis B 26 Diels (= 53 Wachsmuth); *Suppl. Hell.* 800. – ἤ τ' – γράψαι DL 2.62 **6** Ἤκμαζε – **9** *FGrHist* 244 F 343. – I.e. 401–400 **10–14** ἦρξε : *FGrHist* 245 F 3 **12** i.e. 360–359 **14** Τέθνηκε – **15** ἱκανῶς : Demetrii F 13 Mejer

1 Ἰσοκράτην J. Voss et J. Luzac (*Lect. Att.*, 148) : σωκράτην **F** : σωκράτη **B^{1}P** : σωκράτους **B^2** **2** ἐπικόπτει **B** **3** διὰς **B** | ἔτι **BP** : καὶ **F** | προσσώ(οιος) **B^2** : πρόσω **P^1** : πρός **F** : πόρσω **P^5** **4** οἷος – **5** γράψας in mg infer. **F^2** **4** ἥτ' **P^1** : ἧτ' **BP^2** : εἴτ' **F^2** | ἀπιθὴς **B^1** (-ῆς **B^2**) : ἀπειθὴς **P^{1}F^2** : ἐπιπειθὴς **P^5** ss. γρ. | ἴς add. Roeper^2 (ἴς pro ἤ iam Casaubon) **5** γράψαι Menagius ex 2.62 : γράψας **BPF** **7** τετάρτης **BPF** : πέμπτης *Suda,* Ξ 47 **8** ξεναιναίτου **B** **9** προτέρω **BP** **10** Κτησικλείδης Wilamowitz (*Antig. v. Karystos,* 335 n. 20) **13** Καλλιμήδου Jacoby, Καλλιμήδους Meursius : καλλιδήμου **BP^{1}QW** : καληδημήδου **F** : καλλιδημίδου **P^{4}H** **14** μακεδόνων **PF** : μακεδὼν **B** **15** ἤδη : ἤ- in mg **B^2**

νηγος καὶ τακτικός, ὡς ἐκ τῶν συγγραμμάτων δῆλον· εὐσεβής τε καὶ φιλοθύτης καὶ ἱερεῖα διαγνῶναι ἱκανὸς καὶ Σωκράτη ζηλώσας ἀκριβῶς.

Συνέγραψε δὲ βιβλία πρὸς τὰ τετταράκοντα, ἄλλων ἄλλως διαιρούντων·

τήν τε Ἀνάβασιν 57
(ἧς κατὰ βιβλίον μὲν ἐποίησε προοίμιον, ὅλης δὲ οὔ)· καὶ
Κύρου Παιδείαν καὶ
Ἑλληνικὰ καὶ
Ἀπομνημονεύματα·
Συμπόσιόν τε καὶ
Οἰκονομικὸν καὶ
Περὶ ἱππικῆς καὶ
Κυνηγετικὸν καὶ
Ἱππαρχικόν·
Ἀπολογίαν τε Σωκράτους καὶ
Περὶ πόρων καὶ
Ἱέρωνα ἢ Τυραννικόν,
Ἀγησίλαόν τε καὶ
Λακεδαιμονίων καὶ Ἀθηναίων Πολιτείαν,

ἥν φησιν οὐκ εἶναι Ξενοφῶντος ὁ Μάγνης Δημήτριος. Λέγεται δ' ὅτι καὶ τὰ Θουκυδίδου βιβλία λανθάνοντα ὑφελέσθαι δυνάμενος αὐτὸς εἰς δόξαν ἤγαγεν. Ἐκαλεῖτο

21–22 Demetrii F 14 Mejer **24-p. 132.1** *Suda*, Ξ 47

2 post ἱκανὸς repetit p. 130.15–16 ἀνὴρ – φιλοκύνηγος **F** **3** σωκράτη **B²P** : σωκράτην **F** **9** κύρου παιδείαν **F** : δειαν **B**, διαν **P¹** : κύρου παι **P³** in mg **W** **13–14** καὶ περὶ ἱππικῆς post v. 16 ἱππαρχικὸν **F** **15** κυνηγιτικὸν **F** **19** post ἱέρωνα habet λείπει **B¹** in mg **21** ἀθηναίων καὶ λακεδαιμονίων πολιτείαν **BPF**, transp. Richards **23** θουκιδίδου **F**

δὲ καὶ Ἀττικὴ Μοῦσα γλυκύτητι τῆς ἑρμηνείας· ὅθεν καὶ πρὸς ἀλλήλους ζηλοτύπως εἶχον αὐτός τε καὶ Πλάτων, ὡς ἐν τῷ περὶ Πλάτωνος λέξομεν.

58 Ἔστι δὲ καὶ εἰς τοῦτον ἡμῶν ἐπιγράμματα τοῦτον ἔχοντα τὸν τρόπον·

Οὐ μόνον ἐς Πέρσας ἀνέβη Ξενοφῶν διὰ Κῦρον,
ἀλλ' ἄνοδον ζητῶν ἐς Διὸς ἥτις ἄγοι·
παιδείῃ γὰρ ἑῇ ⟨γ'⟩ Ἑλληνικὰ πράγματα δείξας,
ὡς καλὸν ἡ σοφίη μνήσατο Σωκράτεος.

Ἄλλο, ὡς ἐτελεύτα·

Εἰ καὶ σέ, Ξενοφῶν, Κραναοῦ Κέκροπός τε πολῖται
φεύγειν κατέγνων, τοῦ φίλου χάριν Κύρου,
ἀλλὰ Κόρινθος ἔδεκτο φιλόξενος, ᾗ σὺ φιληδῶν
(οὕτως ἀρέσκει) κεῖθι καὶ μένειν ἔγνως.

59 Εὗρον δὲ ἀλλαχόθι ἀκμάσαι αὐτὸν περὶ τὴν ἐνάτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα σὺν τοῖς ἄλλοις Σωκρατικοῖς· καὶ Ἴστρος φησὶν αὐτὸν φυγεῖν κατὰ ψήφισμα Εὐβούλου, καὶ κατελθεῖν κατὰ ψήφισμα τοῦ αὐτοῦ.

Γεγόνασι δὲ Ξενοφῶντες ἑπτά· πρῶτος αὐτὸς οὗτος· δεύτερος Ἀθηναῖος, ἀδελφὸς Νικοστράτου τοῦ τὴν Θη-

3 λέξομεν : 3.34 **6–9** *Anth. Pal.* 7.97 **11–14** *Anth. Pal.* 7.98. – **13–14** *Suda*, Φ 323 et 7 ᾗ νομίζεται **15–16** i.e. 424–420 **17–18** *FGrHist* 334 F 32

1 μοῦσα **BPF** : μέλιττα *Suda* **4** τοῦτον $\mathbf{B}^2$, τούτων $\mathbf{B}^1$ **8** παιδείῃ ... ἑῇ ⟨γ'⟩ scripsi : παιδείης ... ἑῆς **BPF** et *Pal.* | γὰρ **BPF** et *Pal.* : παρ' Reiske, agn. omnes | ἑλλανικὰ *Pal.* | δείξας $\mathbf{B}^2$**PF** et *Pal.* : ἀποδείξας $\mathbf{B}^1$ **9** σωκράτους $\mathbf{B}^1$ (corr. $\mathbf{B}^2$) : σωκράτεω *Pal.* **12** φευγέμεναι *Pal.* | κατέγνων $\mathbf{FP}^4\mathbf{H}$ et *Pal.* : ἐπέγνων $\mathbf{BP}^1\mathbf{QW}$ **13** ἧ $\mathbf{B}^1$ (ᾗ $\mathbf{B}^2$ in mg) | φιληδὸν *Pal.* **14** ἀρέσκει **F** : ἀρέσκῃ **BP** et *Pal.*, *Suda* | κίθει **B** | μένων $Pal.^1$ **15** ἀλλαχόθεν **F** **19** δὲ καὶ **F** **20** νικοστράτου **BF** : πυθοστράτου **P**

σηΐδα πεποιηκότος, γεγραφὼς ἄλλα τε καὶ βίον Ἐπαμεινώνδου καὶ Πελοπίδου· τρίτος ἰατρὸς Κῷος· τέταρτος ἱστορίαν Ἀννιβαϊκὴν γεγραφώς· πέμπτος μυθώδη τερατείαν πεπραγματευμένος· ἕκτος Πάριος, ἀγαλματοποιός· ἕβδομος κωμῳδίας ἀρχαίας ποιητής.

ΑΙΣΧΙΝΗΣ

Αἰσχίνης Χαρίνου ἀλλαντοποιοῦ, οἱ δὲ Λυσανίου, 60
Ἀθηναῖος. Ἐκ νέου φιλόπονος· διὸ καὶ Σωκράτους οὐκ ἀπέστη. Ὅθεν ⟨οὗτος⟩ ἔλεγε· "Μόνος ἡμᾶς οἶδε τιμᾶν ὁ τοῦ ἀλλαντοποιοῦ." Τοῦτον ἔφη Ἰδομενεὺς ἐν τῷ δεσμωτηρίῳ συμβουλεῦσαι περὶ τῆς φυγῆς Σωκράτει, καὶ οὐ Κρίτωνα· Πλάτωνα δέ, ὅτι ἦν Ἀριστίππῳ μᾶλλον φίλος, Κρίτωνι περιθεῖναι τοὺς λόγους. Διεβάλλετο δ' ὁ Αἰσχίνης καὶ μάλισθ' ὑπὸ Μενεδήμου τοῦ Ἐρετριέως ὡς τοὺς πλείστους διαλόγους ὄντας Σωκράτους ὑποβάλλοιτο, λαμβάνων παρὰ Ξανθίππης· ὧν οἱ μὲν καλούμενοι ἀκέφαλοι σφόδρ' εἰσὶν ἐκλελυμένοι καὶ οὐκ ἐπιφαίνοντες

2 τέταρτος : *FGrHist* 179 T 1 **3** πέμπτος : *FGrHist* 24 T 1 **7–p. 136.12** ed. H. Dittmar (*Philol. Unters.* 21, 1912, 247–255). Cf. H. Krauss, *Aeschinis reliquiae* (Lipsiae, 1911), et Giannantoni (1990), VI A **7–13** τοὺς λόγους : VI A 3 Giann. **10** Τοῦτον – **13** *FGrHist* 338 F 17a; Fr. 109 Mannebach; DL 3.36. Cf. Athen. 13, 611 DE **13** Διεβάλλετο – **p. 134.10** VI A 22 Giann.

1-2 ἐπαμυνώνδου καὶ πελωπίδου **F** **3** ἀνιβαικὴν **FP**[4] **H** : ἀννιβιάκην **BP**[1]**QW** **5** ἀρχαίας **F** : ἀρχαῖος **BP** **6** *tit.* **P** : om. **F** et **B** (spatio relicto) **7** χαρίνου **BPFV** et *Suda* : χαρίνου τοῦ *Frob.* al. **9** ὅθεν **BF** : διὸ καὶ **PV** : διὸ **Φ** | οὗτος addidi : σωκράτης **Φ** | μόνους **Φ** **12** ὅτι Cobet : ὅτ' **BPF** | φίλος μᾶλλον **F** **13** περιθῆναι **BF** **13–14** δ' ὁ αἰσχίνης καὶ **BPF** : δὲ καὶ αἰσχίνης **F**

τὴν Σωκρατικὴν εὐτονίαν· οὓς καὶ Πεισίστρατος ὁ Ἐφέ-
61 σιος ἔλεγε μὴ εἶναι Αἰσχίνου. Καὶ τῶν ἑπτὰ δὲ τοὺς
πλείστους Περσαῖός φησι Πασιφῶντος εἶναι τοῦ Ἐρετρι-
κοῦ, εἰς τοὺς Αἰσχίνου δὲ κατατάξαι. Ἀλλὰ καὶ τῶν
Ἀντισθένους τόν τε μικρὸν Κῦρον καὶ τὸν Ἡρακλέα τὸν
ἐλάσσω καὶ Ἀλκιβιάδην καὶ τοὺς τῶν ἄλλων δὲ ἐσκευ-
ώρηται. Οἱ δ' οὖν τῶν Αἰσχίνου τὸ Σωκρατικὸν ἦθος
ἀπομεμαγμένοι εἰσὶν ἑπτά· πρῶτος Μιλτιάδης, διὸ καὶ
ἀσθενέστερόν πως ἔχει· Καλλίας, Ἀξίοχος, Ἀσπασία,
Ἀλκιβιάδης, Τηλαύγης, Ῥίνων.

Φασὶ δ' αὐτὸν δι' ἀπορίαν ἐλθεῖν εἰς Σικελίαν πρὸς
Διονύσιον, καὶ ὑπὸ μὲν Πλάτωνος παροφθῆναι, ὑπὸ δὲ
Ἀριστίππου συσταθῆναι· δόντα τέ τινας τῶν διαλόγων
62 δῶρα λαβεῖν. Ἔπειτα ἀφικόμενον Ἀθήναζε μὴ τολμᾶν
σοφιστεύειν, εὐδοκιμούντων τότε τῶν περὶ Πλάτωνα καὶ
Ἀρίστιππον. Ἐμμίσθους δὲ ἀκροάσεις ποιεῖσθαι· εἶτα
συγγράφειν λόγους δικανικοὺς τοῖς ἀδικουμένοις· διὸ καὶ
τὸν Τίμωνα εἰπεῖν ἐπ' αὐτοῦ·

ἤ τ' Αἰσχίνου οὐκ ἀπιθὴς ⟨ἶς⟩
γράψαι.

2 Καὶ – **4** κατατάξαι : *SVF* I Nr. 457 **4** Ἀλλὰ – **6** Fr. 6 Decleva; V A 43 Giann. **11–p. 135.17** VI A 13 Giann. **12–13** cf. 3.36 **19–20** Timonis B 26 Diels = *Suppl. Hell.* 800. Cf. 2.55

1 πεισίστρατος **FVP**^{5} ss. γρ., *Frob.* : περίστρατος **BP**^{1}**Q WH** **4** κατατάξαι **BPF** : κατατετάχθαι Roeper^2 | τῶν **BP** : τοῦ **F** **6** ἐσκευωρῆσθαι Kuehn et Roeper^2 **7** σωκρατικὸν **BP** : σῶμα κρατικὸν **F** **8** μιλτιάλης **B** **11** σικελίαν πρὸς in mg super. **F**^{2} **13** συστῆναι Cobet **16** ἀρίστιππον **BPF** : Σπεύσιππον Zeller (*Ph. d. Gr.* II.1, 340 n. 1) **19** ἡ τ' **B** : ἤ τ' **PF** | οὐκ ἀπει- add. in mg **F**^{2} | ἀπίθης **B** : ἀπειθὴς **PF** | ἶς add. Roeper^2

Φασὶ δ' αὐτῷ λέγειν Σωκράτη, ἐπειδήπερ ἐπιέζετο ὑπὸ πενίας, παρ' ἑαυτοῦ δανείζεσθαι τῶν σιτίων ὑφαιροῦντα. Τούτου τοὺς διαλόγους καὶ Ἀρίστιππος ὑπώπτευεν. Ἐν γοῦν Μεγάροις ἀναγινώσκοντος αὐτοῦ φασι σκῶψαι εἰπόντα· "Πόθεν σοι, ληστά, ταῦτα;"

Φησὶ δὲ Πολύκριτος ὁ Μενδαῖος ἐν τῷ πρώτῳ τῶν Περὶ 63
Διονύσιον ἄχρι τῆς ἐκπτώσεως συμβιῶναι αὐτὸν τῷ τυράννῳ καὶ ἕως τῆς Δίωνος εἰς Συρακούσας καθόδου, λέγων εἶναι σὺν αὐτῷ καὶ Καρκίνον τὸν κωμῳδοποιόν. Φέρεται δὲ καὶ ἐπιστολὴ πρὸς Διονύσιον Αἰσχίνου. Ἦν δὲ καὶ ἐν τοῖς ῥητορικοῖς ἱκανῶς γεγυμνασμένος, ὡς δῆλον ἔκ τε τῆς ἀπολογίας τοῦ πατρὸς Φαίακος τοῦ στρατηγοῦ καὶ δι' ὧν μάλιστα μιμεῖται Γοργίαν τὸν Λεοντῖνον. Καὶ Λυσίας δὲ κατ' αὐτοῦ συγγέγραφε λόγον, Περὶ συκοφαντίας ἐπιγράψας· ἐξ ὧν δῆλον ὅτι καὶ ῥητορικός τις ἦν. Γνώριμος δ' αὐτοῦ φέρεται εἷς, Ἀριστοτέλης ὁ Μῦθος ἐπικληθείς.

1–2 cf. Sen. *De benef.* 5.7.5 (M. Cato ait quod tibi deerit a te ipso mutuare); *Ep.* 119.2; L. Rossetti et C. Lausdei, *SIFC* 51 (1979) 77–83 **6–13** τὸν Λεοντῖνον : Polycriti F 1 (*FGrHist* 559) **12** τοῦ πατρός : i.e. Ἐρασιστράτου, cf. Thucyd. 5.4–5 **13–15** Fr. 1 Thalheim. Cf. Athen 13, 611 D ss. = VI A 16 Giann. **16–17** cf. 5.35

1 τοῦτόν φασιν εἰπεῖν σωκράτει **Φ** | σωκράτη **BP** : σωκράτην **F** **3** ὑπόπτευεν **B** **4** φασὶ ss. **F**[2] **9** καὶ om. **PV** | κωμωδοποιόν **PFV** : κωμωδιοποιὸν **B** : τραγῳδοποιὸν Meineke (*Comm. misc.* I, 25) **11** ἱκανὸς **F** | ἐγγεγυμνασμένος **F** **12** τοῦ πατρὸς **BPF** : τῆς ὑπὲρ Blass (*Att. Bereds.* II[2], 345 n. 1) **13** δι' ὧν (**B** : δίων **PFV**) μάλιστα **BPFV** : τοῦ δίωνος, μάλιστα δὲ **D** : τῆς Δίωνος, μάλιστα δὲ Stephanus (γρ.) : Δίωνος. Μάλιστα δὲ Cobet alii **14** συγγέγραφε **BPV** : συνέγραψε **F** : γέγραφε *Frob.* **16** φέρεται in mg **B**[2]

64 Πάντων μέντοι τῶν Σωκρατικῶν διαλόγων Παναίτιος ἀληθεῖς εἶναι δοκεῖ τοὺς Πλάτωνος, Ξενοφῶντος, Ἀντισθένους, Αἰσχίνου, ⟨Ἀριστίππου⟩· διστάζει δὲ περὶ τῶν Φαίδωνος καὶ Εὐκλείδου, τοὺς δὲ ἄλλους ἀναιρεῖ πάντας.

Γεγόνασι δ' Αἰσχίναι ὀκτώ· πρῶτος αὐτὸς οὗτος· δεύτερος δὲ ὁ τὰς τέχνας γεγραφὼς τὰς ῥητορικάς· τρίτος ὁ ῥήτωρ ὁ κατὰ Δημοσθένην· τέταρτος Ἀρκάς, μαθητὴς Ἰσοκράτους· πέμπτος Μυτιληναῖος, ὃν καὶ ῥητορομάστιγα ἐκάλουν· ἕκτος Νεαπολίτης, φιλόσοφος Ἀκαδημαϊκός, Μελανθίου τοῦ Ῥοδίου μαθητὴς καὶ παιδικά· ἕβδομος Μιλήσιος, πολιτικὸς συγγραφεύς· ὄγδοος ἀνδριαντοποιός.

ΑΡΙΣΤΙΠΠΟΣ

65 Ἀρίστιππος τὸ μὲν γένος ἦν Κυρηναῖος, ἀφιγμένος δὲ Ἀθήναζε, καθά φησιν Αἰσχίνης, κατὰ κλέος Σωκράτους. Οὗτος σοφιστεύσας, ὥς φησι Φανίας ὁ Περιπατητικὸς ὁ Ἐρέσιος, πρῶτος τῶν Σωκρατικῶν μισθοὺς εἰσεπράξατο

1–5 Panaetii Fr. 126 van Straaten; Euclidis Fr. 18 Doering; I H 17 Giannantoni **6–12** VI A 40 Giann. Cf. Eudociae *Violarium* 186 Flach **11** Μελανθίου : *TrGF* I, T 3, p. 303 Snell **15** de *cc.* 65–85 cf. W.-R. Mann, *A.G.Ph.* 78 (1996) 97–119 **15–p. 137.4** ἐπὶ τούτῳ : Frr. 1 et 3 A Mannebach; IV A 1 Giann. = Eudociae Violarium 175, p. 122.6–12 Flach **16** Aeschinis Fr. 49 Dittmar. Cf. DL 6.10 **17–p. 137.4** Phaeniae Fr. 31 Wehrli. Cf. Xenoph. *Mem.* 1.2.60

3 Ἀριστίππου add. C.A. Brandis (*Hbuch der gr.-röm. Philos.* IIa, 92 n 1) et Fr. Susemihl (*Jahns Jahrb.* 71, 705) conl. 2.85 **7** δὲ **BP** : om. **F** **8** δημοσθένην **BFP**^{4}**H** et Eudoc. : δημοσθένη **P**^{1}**Q W** **9** πέμπτος ὁ **P** | Μυτιληναῖος Cobet : μιτυληναῖος **BPF** **10** ἀκαδημαϊκὸς ss. **F**^{2} et Eudoc. : ἀκαδημικὸς **B** **14** *tit.* **P** : om. **FB** (spatio relicto) **17** φανίας **BPF** : Φαινίας Mannebach | περιπατικὸς **B** **18** ἐρέσσιος **F** | τῶν κρατικῶν **F** | ἐπράξατο *Suda*

καὶ ἀπέστελλε χρήματα τῷ διδασκάλῳ. Καί ποτε πέμψας αὐτῷ μνᾶς εἴκοσι παλινδρόμους ἔλαβεν, εἰπόντος Σωκράτους τὸ δαιμόνιον αὐτῷ μὴ ἐπιτρέπειν· ἐδυσχέραινε γὰρ ἐπὶ τούτῳ. Ξενοφῶν τε εἶχε πρὸς αὐτὸν δυσμενῶς· διὸ καὶ τὸν κατὰ τῆς ἡδονῆς λόγον Σωκράτει κατ' Ἀριστίππου περιτέθεικεν. Οὐ μὴν ἀλλὰ καὶ Θεόδωρος ἐν τῷ Περὶ αἱρέσεων ἐκάκισεν αὐτὸν καὶ Πλάτων ἐν τῷ Περὶ ψυχῆς, ὡς ἐν ἄλλοις εἰρήσεται.

Ἦν δὲ ἱκανὸς ἁρμόσασθαι καὶ τόπῳ καὶ χρόνῳ καὶ **66**
προσώπῳ, καὶ πᾶσαν περίστασιν ἁρμοδίως ὑποκρίνασθαι· διὸ καὶ παρὰ Διονυσίῳ τῶν ἄλλων εὐδοκίμει μᾶλλον, ἀεὶ τὸ προσπεσὸν εὖ διατιθέμενος. Ἀπέλαυε μὲν γὰρ ἡδονῆς τῶν παρόντων, οὐκ ἐθήρα δὲ πόνῳ τὴν ἀπόλαυσιν τῶν οὐ παρόντων. Ὅθεν καὶ Διογένης βασιλικὸν κύνα ἔλεγεν αὐτόν. Ὁ δὲ Τίμων παρέφαγεν ὡς θρυπτόμενον, οὑτωσί πως εἰπών·

4 Ξενοφῶν – **6** περιτέθεικεν : Fr. 107 A Mann.; IV A 20 Giann. = Eudoc., p. 123.3–5. Cf. Xenoph. *Mem.* 2.1.1–34 **6** Οὐ μὴν – **8** Fr. 103 D Mann.; IV A 15 Giann. = Eudoc., p. 123.5–7 **7** cf. Plat. *Phaed.* 59 b–c; Fr. 103 A Mann.; IV A 14 Giann. **8** cf. 3.36 **9–15** αὐτόν : Fr. 29 Mann.; IV A 51 Giann. **9–10** ὑποκρίνασθαι : Eudoc., p. 123.7–9 **12** Ἀπέλαυε – **14** οὐ παρόντων : Fr. 54 B Mann.; IV A 51 Giann. **15** Ὁ δὲ – **p. 138.2** ψεύδη : Timonis B 27 Diels = *Suppl. Hell.* 801; Fr. 79 Mann.; *id.* Giann.

1 ἀπέστελλε **BPΦ** : ἀπέστειλε **F** **2** ἔλαβεν **BPFΦ** et Eud. : ἀπέλαβεν *Suda* **4** τοῦτο **B**^{1} (corr. **B**^{2}) | ξενοφῶντι δὲ εἶχε δυσμενῶς *Suda* **6** περιέθηκεν **B**^{1} (corr. **B**^{2}) **8** εἰρήσεται (i.e. in 3.36) scripsi : εἰρήκαμεν **BPF** **9** ἱκανὸς **PΦ** : ἱκανῶς **BF** **10** ἁρμοδίως C.F. Hermann, Cobet : ἁρμονίως **BPFΦ** **12** ἀπέλαβε **F** **13** ἡδονῆς **FP**^{2}**Q** : ἡδονῆ(ι) **BP**^{1} : ἡδονὴν Richards **13** οὐκ – **14** παρόντων in mg **F**^{2} **14** οὐ om. **F**^{2} **15** ἔλεγεν **BPF** : ἐκάλει *Suda*

Οἷά τ' Ἀριστίππου τρυφερὴ φύσις ἀμφαφόωντος
ψεύδη.

Τοῦτόν φασί ποτε κελεῦσαι πέρδικα πεντήκοντα δραχμῶν ὠνηθῆναι· αἰτιασαμένου δέ τινος, "Σὺ δ' οὐκ ἄν," εἶπεν, "ὀβολοῦ τοῦτον ἐπρίω;" ἐπινεύσαντος δέ, "Τοσοῦτον," ἔφη, "ἐμοὶ δύνανται αἱ πεντήκοντα δραχμαί."
67 Διονυσίου δέ ποτε τριῶν ἑταιρῶν οὐσῶν μίαν ἐκλέξασθαι κελεύσαντος, τὰς τρεῖς ἀπήγαγεν εἰπών· "Οὐδὲ τῷ Πάριδι συνήνεγκε μίαν προκρῖναι·" ἀπαγαγὼν μέντοι, φασίν, αὐτὰς ἄχρι τοῦ θυρῶνος ἀπέλυσεν. Οὕτως ἦν καὶ ἑλέσθαι καὶ καταφρονῆσαι πολύς. Διό ποτε Στράτωνα (οἱ δὲ Πλάτωνα) πρὸς αὐτὸν εἰπεῖν· "Σοὶ μόνῳ δέδοται καὶ χλανίδα φορεῖν καὶ ῥάκος." Διονυσίου δὲ προσπτύσαντος αὐτῷ ἠνέσχετο· μεμψαμένου δέ τινος, "Εἶτα οἱ μὲν ἁλιεῖς," εἶπεν, "ὑπομένουσι ῥαίνεσθαι τῇ θαλάττῃ, ἵνα κωβιὸν θηράσωσιν, ἐγὼ δὲ μὴ ἀνάσχωμαι κράματι ῥανθῆναι, ἵνα βλέννον λάβω;"

3–6 δραχμαί : Fr. 73 B Mann.; IV A 17 Giann.. Cf. *Gnom. Vat.* 40 **7** Διονυσίου – **11** πολύς : Fr. 58 A Mann.; IV A 86 Giann.; Arsen., p. 113 Walz; Athen. 12, 544 D **11** Διὸ – **13** ῥάκος : Fr. 33 Mann.; IV A 57 Giann.; Eudoc., p. 123.1–3; Arsen., p. 113; Pseudacronis *Schol.* in Hor. *Ep.* 1.17.23 **13** Διονυσίου – **17** Fr. 40 A Mann.; IV A 36 Giann.; Eudoc., p. 122.12–16. Cf. Athen. 12, 544 C. – βλέννον : ad βλεννόν = stultum (i.e. Dionysium) alludere vidit A. Grilli, *SIFC* 32 (1960) 200–203. Cf. *Gnom.* Paris. Gr. 1168 f. 106^v Nr. 12 = Maximi Conf. *Serm.* 42: Προσπτύσαντος αὐτῷ ἠνέσχετο· μεμψαμένου δέ τινος αὐτόν, "Εἶτα οἱ μὲν ἁλιεῖς," εἶπεν, "ὑπομένουσι ῥαίνεσθαι τῇ θαλάττῃ, ἵνα κωβιὸν θηράσωσιν, ἐγὼ δὲ μὴ ἀνάσχωμαι τὸ αὐτὸ παθεῖν, ἵνα ἄνθρωπον ἁλιεύσω;" (cf. W. Schmid, *PP* 45 [1955] 446 s.)

4 ὠνηθῆναι Cobet : ἐωνηθῆναι **BPFΦ** **7** οὐσῶν **BPFΦ** : ⟨παρ⟩ουσῶν A. Grilli **9–10** φασὶν αὐτὰς ss. **F**^{2} **10** μέχρι **F** **12** χλανίδα C.F. Hermann, Cobet : χλαμύδα **BPFΦ** **16** ἀνάσχομαι **F** | κράματι **BPFΦ** : χρέμματι Menagius **17** βλέννον **BFΦ** : βλένον **P**^{2}**Q** : βλαῖνον **P**^{1}

Παριόντα ποτὲ αὐτὸν λάχανα πλύνων Διογένης 68
ἔσκωψε καί φησιν· "⟨Σὺ⟩ εἰ ταῦτα ἔμαθες προσφέρεσθαι,
οὐκ ἂν τυράννων αὐλὰς ἐθεράπευες." Ὁ δέ, "Καὶ σύ,"
εἶπεν, "εἴπερ ᾔδεις ἀνθρώποις ὁμιλεῖν, οὐκ ἂν λάχανα
ἔπλυνες." Ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας,
ἔφη· "Τὸ δύνασθαι πᾶσι θαρρούντως ὁμιλεῖν." Ὀνειδι-
ζόμενός ποτ' ἐπὶ τῷ πολυτελῶς ζῆν, "Εἰ τοῦτ'," ἔφη,
"φαῦλον ἦν, οὐκ ἂν ἐν ταῖς τῶν θεῶν ἑορταῖς ἐγίνετο."
Ἐρωτηθείς ποτε τί πλέον ἔχουσιν οἱ φιλόσοφοι, ἔφη·
"Ἐὰν πάντες οἱ νόμοι ἀναιρεθῶσιν, ὁμοίως βιώσομεν."
Ἐρωτηθεὶς ὑπὸ Διονυσίου διὰ τί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς 69
τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν
φιλοσόφων οὐκέτι, ἔφη· "Ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται,
οἱ δ' οὐκ ἴσασιν." [Ὀνειδιζόμενός ποτ' ἐπὶ τῷ πολυτελῶς
ζῆν ὑπὸ Πλάτωνος, ἔφη· "Ἆρα φαίνεταί σοι Διονύσιος
ἀγαθός;" Τοῦ δ' ὁμολογήσαντος, "Καὶ μήν," ἔφη, "ζῇ ἐμοῦ
πολυτελέστερον· ὥστ' οὐδὲν κωλύει καὶ πολυτελῶς καὶ

1–5 ἔπλυνες : cf. 2.102 et 6.58. Fr. 52 A Mann.; IV A 44 Giann.; Eudoc., p. 122.17–22; Arsen., p. 113; Hor. *Ep.* 1.17.13–15. Cf. *Gnom. Vat.* 192 **5** Ἐρωτηθεὶς – **6** Fr. 24 A Mann.; IV A 104 Giann.; Eudoc., p. 123.9–11; Arsen., p. 111; *Gnom. Vat.* 36; Apul. *Flor.* 2. Cf. DL 6.6 **6** Ὀνειδιζόμενος – **8** ἐγίνετο : Fr.76 Mann.; IV A 68 Giann. **9** Ἐρωτηθεὶς – **10** βιώσομεν : Fr. 27 Mann.; IV A 105 Giann. Cf. 5.20; 6.11; *Gnom. Vat.* 417; Plut. *De virtute mor.* 446 D = Xenocratis Fr. 3 Heinze **11** Ἐρωτηθεὶς – **14** οὐκ ἴσασιν : Fr. 28 A Mann.; IV A 106 Giann.; Arsen., p. 113; *Gnom. Vat.* 6; Aristot. *Rhet.* B 16, 1391 a 8

2 σὺ add. Richards (cf. v. 3 καὶ σύ) | προσφέρεσθαι **BPΦ** : τρέφεσθαι **F** **3** ὁ δέ om. **F** **4** ἤδης **B** | ἀνθρώποις **BPFΦ** : τυράννοις Sternbach (ad *Gnom. Vat.* 192) **7** τοῦτο φησὶ **F** **8** ἦν **Φ** et Cobet : ἐστιν **BPF** **10** βιώσομεν **PF**, βιώσωμεν **B** : βιωσόμεθα Cobet **14** Ὀνειδιζόμενος – **p. 140.1** καλῶς ζῆν hoc loco in **D**, *Frob.* cett. : in 2.76 **BPFΦ** : secl. Long

καλῶς ζῆν."] Ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη· "Ὥιπερ οἱ δεδαμασμένοι ἵπποι τῶν ἀδαμάστων." Εἰσιών ποτε εἰς ἑταίρας οἰκίαν καὶ τῶν σὺν αὐτῷ μειρακίων τινὸς ἐρυθριάσαντος, "Οὐ τὸ εἰσελθεῖν," ἔφη, "χαλεπόν, ἀλλὰ τὸ μὴ δύνασθαι ἐξελθεῖν."

70 Αἴνιγμά τινος αὐτῷ προτείναντος καὶ εἰπόντος· "Λῦσον," "Τί, ὦ μάταιε," ἔφη, "λῦσαι θέλεις ὃ καὶ δεδεμένον ἡμῖν πράγματα παρέχει;" Ἄμεινον ἔφη ἐπαιτεῖν ἢ ἀπαίδευτον εἶναι· οἱ μὲν γὰρ χρημάτων, οἱ δὲ ἀνθρωπισμοῦ δέονται. Λοιδορούμενός ποτε ἀνεχώρει· τοῦ δ' ἐπιδιώκοντος εἰπόντος· "Τί φεύγεις;", "Ὅτι," φησί, "τοῦ μὲν κακῶς λέγειν σὺ τὴν ἐξουσίαν ἔχεις, τοῦ δὲ μὴ ἀκούειν ἐγώ." Εἰπόντος τινὸς ὡς ἀεὶ τοὺς φιλοσόφους βλέποι παρὰ ταῖς τῶν πλουσίων θύραις, "Καὶ γὰρ οἱ ἰατροί," φησί, "παρὰ ταῖς τῶν νοσούντων· ἀλλ' οὐ παρὰ τοῦτό τις ἕλοιτ' ἂν νοσεῖν ἢ ἰατρεύειν."

71 Εἰς Κόρινθον αὐτῷ πλέοντί ποτε καὶ χειμαζομένῳ συνέβη ταραχθῆναι. Πρὸς οὖν τὸν εἰπόντα· "Ἡμεῖς μὲν

1 Ἐρωτηθεὶς –**3** τῶν ἀδαμάστων : Fr. 12 Mann.; IV A 129 Giann.; Arsen., p. 113 **3** Εἰσιὼν – **5** Fr. 59 Mann.; IV A 87 Giann. **6–8** παρέχει : Fr. 96 Mann.; IV A 116 Giann.; Arsen., p. 113 **8** Ἄμεινον – **10** δέονται : Fr. 16 Mann.; IV A 125 Giann.; Arsen., p. 113 **10** Λοιδορούμενος – **12** ἐγώ : Fr. 91 A Mann.; IV A 112 Giann.; Arsen., p. 112; Stob. 3.19.6 et al. **13** Εἰπόντος – **16** Fr. 28 B Mann.; IV A 106 Giann. **17–p. 141.3** ἑκάτεροι : Fr. 87 A Mann.; IV A 49 Giann.; Arsen., p. 114; Ael. *V.H.* 9.20; Gell. 19.1.10

2 ὥπερ **PΦ** : ὥσπερ **BF**, Arsen. **3** ἑτέρας **B** | καὶ om. **Φ** **8** ἐπαιτεῖν **B**^{2} (ἐπετεῖν **B**^{1}) **P**^{1}**FΦ** et Arsen. : ἐπαίτην **P**^{1} in mg, *Frob.*, Cobet **11–12** τοῦ μὲν κακῶς λέγειν σύ, τοῦ δὲ μὴ ἀκούειν ἐγὼ τὴν ἐξουσίαν ἔχω **F** **13** βλέπει **F** **13–14** τὰς ... θύρας **F** **14** οἱ om. **F** **15** παρὰ τὰς **F** | ἕλοιτ' ἂν **BPΦ** : ἂν ἕλοιτο **F** **17** πλέοντί ποτε **BP** et Arsen. : ποτὲ πλέοντι **F** : πλέοντι **Φ**

οἱ ἰδιῶται οὐ δεδοίκαμεν, ὑμεῖς δὲ οἱ φιλόσοφοι δειλιᾶτε," "Οὐ γὰρ περὶ ὁμοίας," ἔφη, "ψυχῆς ἀγωνιῶμεν ἑκάτεροι." Σεμνυνομένου τινὸς ἐπὶ πολυμαθίᾳ ἔφη· "Ὥσπερ οὐχ οἱ τὰ πλεῖστα ἐσθίοντες [καὶ γυμναζόμενοι] ὑγιαίνουσι μᾶλλον τῶν τὰ δέοντα προσφερομένων, οὕτως οὐχ οἱ πολλὰ ἀλλ' οἱ χρήσιμα ἀναγινώσκοντές εἰσι σπουδαῖοι." Πρὸς τὸν ὑπὲρ αὐτοῦ λογογράφον δίκην εἰπόντα καὶ νικήσαντα, ἔπειτα φάσκοντα πρὸς αὐτόν· "Τί σε ὤνησε Σωκράτης;", ἔφη· "Τοῦτο, τοὺς λόγους, οὓς εἶπας ὑπὲρ ἐμοῦ, ἀληθεῖς εἶναι."

Τὰ ἄριστα ὑπετίθετο τῇ θυγατρὶ Ἀρήτῃ, συνασκῶν 72
αὐτὴν ὑπεροπτικὴν τοῦ πλείονος εἶναι. Ἐρωτηθεὶς ὑπό τινος τί αὐτοῦ ὁ υἱὸς ἀμείνων ἔσται παιδευθείς, "Καὶ εἰ μηδὲν ἄλλο," εἶπεν, "ἐν γοῦν τῷ θεάτρῳ οὐ καθεδήσεται λίθος ἐπὶ λίθῳ." Συνιστάντος τινὸς αὐτῷ υἱὸν ᾔτησε πεντακοσίας δραχμάς· τοῦ δ' εἰπόντος· "Τοσούτου δύναμαι ἀνδράποδον ὠνήσασθαι," "Πρίω," ἔφη, "καὶ ἕξεις δύο." Ἀργύριον εἶπε παρὰ τῶν γνωρίμων λαμβάνειν, οὐχ

3 Σεμνυνομένου – **7** σπουδαῖοι : Fr. 11 Mann.; IV A 122 Giann.; Arsen., p. 115 **7** Πρὸς – **10** Fr. 100 A Mann.; IV A 10 Giann. Cf. Philodemi *Rhet.* Fr. 12, col. XLI.7 Sudhaus **12** Ἐρωτηθεὶς – **15** ἐπὶ λίθῳ : Fr. 15 Mann.; IV A 128 Giann. **15** Συνιστάντος – **18** δύο : Fr. 4 B Mann.; IV A 5 Giann. Cf. Plut. *De liber. educ.* 4 F = Arsen., p. 112 **18** Ἀργύριον – **p. 142.2** τοῖς ἀργυρίοις : Fr. 8 A Mann.; IV A 7 Giann. Cf. *Gnom. Vat.* 24

2 ὁμοίας **BPΦ** : μιᾶς **F** et Arsen. **3** ἑκάτεροι C.F. Hermann : ἕκαστοι **BPFΦ** et Arsen. | πολυμαθίᾳ **BP** et Arsen. : πολυμαθείᾳ **FΦ** | ὥσπερ om. **F** **4** καὶ γυμναζόμενοι om. **Φ** (et Burley, p. 146 Knust), secl. Cobet **6** οὐχ **BPΦ** et Arsen. : οὐδὲ **F** **7** πρὸς τὸν λογογράφον τὸν ὑπὲρ αὐτοῦ **Φ** **8** φάσκοντα et **9** ἔφη om. **F** **14** καθεδήσεται **BPF** καθεδεῖται **ΦD**, Cobet **15** ἐπὶ λίθου **Φ** | αὐτῷ τινὸς **F** **16** πεντακοσίας **BP**, φ' **Φ** : πεντήκοντα **F** : χιλίας Plut. **17–18** δύο ἕξεις **F** (δύο ἕξεις ἀνδράποδα Plut.)

ἵνα αὐτὸς χρῷτο, ἀλλ' ἵν' ἐκεῖνοι εἰδεῖεν εἰς τίνα δεῖ χρῆσθαι τοῖς ἀργυρίοις. Ὀνειδιζόμενός ποτε ὅτι δίκην ἔχων ἐμισθώσατο ῥήτορα, "Καὶ γάρ," ἔφη, "ὅταν δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι."

73 Ἀναγκαζόμενός ποτε ὑπὸ Διονυσίου εἰπεῖν τι τῶν ἐκ φιλοσοφίας, "Γελοῖον," ἔφη, "εἰ τὸ λέγειν μὲν παρ' ἐμοῦ πυνθάνῃ, τὸ δὲ πότε δεῖ λέγειν σύ με διδάσκεις." Ἐπὶ τούτῳ διαγανακτήσαντα τὸν Διονύσιον ἔσχατον αὐτὸν κατακλῖναι· καὶ τόν, "Ἐνδοξότερον," φάναι, "τὸν τόπον ἠθέλησας ποιῆσαι." Αὐχοῦντός τινος ἐπὶ τῷ κολυμβᾶν, "Οὐκ αἰσχύνῃ," εἶπεν, "ἐπὶ δελφῖνος ἔργοις ἀλαζονευόμενος;" Ἐρωτηθείς ποτε τίνι διαφέρει ὁ σοφὸς τοῦ μὴ σοφοῦ, ἔφη· "Εἰς ἀγνῶτας τοὺς δύο γυμνοὺς ἀπόστειλον, καὶ εἴσῃ." Αὐχοῦντός τινος ἐπὶ τῷ πολλὰ πίνειν καὶ μὴ μεθύσκεσθαι, "Τοῦτο καὶ ἡμίονος," φησί.

74 Πρὸς τὸν αἰτιώμενον ὅτι ἑταίρᾳ συνοικεῖ, "Ἆρά γε," εἶπε, "μή τι διενέγκαι ⟨ἂν⟩ οἰκίαν λαβεῖν ἐν ᾗ πολλοί ποτε

2 Ὀνειδιζόμενος – **4** Fr. 100 C Mann.; IV A 12 Giann. **5–10** ποιῆσαι : Fr. 42 A Mann.; IV A 36 Giann. Cf. Athen. 12, 544 C; *Gnom. Vat.* 440 **10** Αὐχοῦντος – **11** ἀλαζονευόμενος : Fr. 97 Mann.; IV A 117 Giann.; Arsen., p. 115; *Gnom. Vat.* 494 **12** Ἐρωτηθεὶς – **14** εἴσῃ : Fr. 14 Mann.; IV A 120 Giann.; Arsen., p. 114 **14–15** Fr. 98 Mann.; IV A 118 Giann. **16–p. 143.4** μηδείς : Fr. 64 B Mann.; IV A 90 Giann.; Athen. 13, 588 F; Arsen., p. 114

1 δεῖ post v. 2 ἀργυρίοις **F** **3** ἔφη ὅταν **F** : ὅταν ἔφη **BPΦ** **7** πυνθάνῃ **PFΦ** : πυνθάνοι **B** : μανθάνεις Wyttenbach (ad Plut. *Mor.* 1164) **8** τοῦτο **F** | διαγανακτήσαντα **BF** : δὴ ἀγανακτήσαντα **P** : ἀγανακτήσας **Φ** **10** ἐπὶ τῷ **PΦ** et Arsen. : ἐπὶ τὸ **BF** **11** εἶπεν **BPΦ** et Arsen. : ἔφη **F** | δελφῖνος **PFΦ** : δελφίνοις **B** : δελφίνων Arsen. **13** εἰς ἀγνῶτας ἔφη **F** et Arsen. **14** ἐπὶ τῷ **PΦ** : ἐπὶ τὸ **BF** **17** εἶπε **Φ** et Casaubon (cf. p. 143.3 ἔφη) : εἰπεῖν **BPF** et Arsen. | διενέγκαι **BPF** et Arsen. : διενέγκῃ **Φ** | ἂν add. Madvig et Richards | καὶ οἰκίαν **F** | ποτε **BPΦ** et Arsen. : τε **F**

ᾤκησαν ἢ μηδὲ εἷς;" Εἰπόντος δὲ οὔ, "Τί δέ, πλεῦσαι ἐν νηῒ ᾗ μυρίοι ποτὲ ἐνέπλευσαν ἢ μηδείς;" "Οὐδαμῶς." "Οὐδ' ἄρα γυναικί," ἔφη, "συνεῖναι ᾗ πολλοὶ κέχρηνται ἢ μηδείς." Πρὸς τὸν αἰτιώμενον ὅτι Σωκράτους μαθητὴς ὢν ἀργύριον λαμβάνει, "Καὶ μάλα," εἶπε· "καὶ γὰρ Σωκράτη, πεμπόντων τινῶν αὐτῷ καὶ σῖτον καὶ οἶνον, ὀλίγα λαμβάνοντα τὰ λοιπὰ ἀποπέμπειν· εἶχε γὰρ ταμίας τοὺς πρώτους Ἀθηναίων, ἐγὼ δὲ Εὐτυχίδην ἀργυρώνητον." Ἐχρῆτο καὶ Λαΐδι τῇ ἑταίρᾳ, καθά φησι καὶ Σωτίων ἐν δευτέρῳ τῶν Διαδοχῶν. Πρὸς οὖν τοὺς μεμφομένους ἔφη· 75 ""Ἔχω Λαΐδα, ἀλλ' οὐκ ἔχομαι· ἐπεὶ τὸ κρατεῖν καὶ μὴ ἡττᾶσθαι ἡδονῶν ἄριστον, οὐ τὸ μὴ χρῆσθαι." Πρὸς τὸν ὀνειδίσαντα αὐτῷ πολυτελῆ ὀψωνίαν, "Σὺ δ' οὐκ ἄν," ἔφη, "τριωβόλου ταῦτα ἐπρίω;" Ὁμολογήσαντος δέ, "Οὐκέτι τοίνυν," ἔφη, "φιλήδονος ἐγώ, ἀλλὰ σὺ φιλάρ-

4 Πρὸς – **8** ἀργυρώνητον : Fr. 7 Mann.; IV A 3 Giann.; Arsen., p. 114 **9** Ἐχρῆτο – **12** μὴ χρῆσθαι : Fr. 57 A Mann.; IV A 96 Giann.; Athen. 12, 544 D; Clem. *Strom.* 2.117.5–118.1; Cic. *Ep. ad famil.* 9.26.2; *Gnom. Vat.* 65; Arsen., p. 115 **9–10** Sotionis Fr. 5 Wehrli **12** Πρὸς – **15** φιλάργυρος : Fr. 72 B Mann.; IV A 69 Giann.; Arsen., p. 115. Cf. Athen. 8, 343 C

1 μηδὲ εἷς **BPF** et Arsen. : μηδείς **Φ** **2** ἢ ἐν ᾗ μηδείς **Φ** **2** Οὐδαμῶς – **4** μηδείς om. **F** **5** σωκράτη et **6–7** λαμβάνοντα ... ἀποπέμπειν **BP** et Ps.-Hes., Arsen. : σωκράτης et **6–7** λαμβάνων ... ἀπέπεμπεν **F**, Cobet **5** σωκράτη **B**[1], σωκράτει ss. **B**[2] et Arsen. **6** αὐτῶ τινων **F** **9** λαΐδη **F** | καὶ[2] **BP** et Arsen. : om. **F** **9–10** ἐν τῶ δευτέρω **F** : ἐν δευτέρα **P** **10** post μεμφομένους addit αὐτῶ **F** **11** λαΐδα **BPF** et Ps.-Hes., Arsen. : del. Menagius (conl. Athenaeo: ὁ δ' Ἀρίστιππος ἐπὶ τῆς Λαΐδος ἔλεγεν· ""Ἔχω καὶ οὐκ ἔχομαι") **11–12** καὶ μὴ ἡττᾶσθαι in mg infer. **F**[2] **13** ὀψώνια **Φ** | δ' om. **B** **14** ὡμολογήσαντος **B** **15** φιλήδωνος **B**

γυρος." Σίμου ποτὲ τοῦ Διονυσίου ταμίου πολυτελεῖς οἴκους αὐτῷ καὶ λιθοστρώτους δεικνύντος (ἦν δὲ Φρὺξ καὶ ὄλεθρος) ἀναχρεμψάμενος προσέπτυσε τῇ ὄψει· τοῦ δ' ἀγανακτήσαντος, "Οὐκ εἶχον," εἶπε, "τόπον ἐπιτηδειότερον."

76 Πρὸς Χαρώνδαν εἰπόντα (οἱ δὲ πρὸς Φαίδωνα)· "Τίς ὁ μεμυρισμένος;", "Ἐγώ," φησίν, "ὁ κακοδαίμων, κἀμοῦ κακοδαιμονέστερος ὁ Περσῶν βασιλεύς. Ἀλλ' ὅρα μὴ ὡς οὐδὲν τῶν ἄλλων ζῴων παρὰ τοῦτό τι ἐλαττοῦται, οὕτως οὐδ' ἂν ἄνθρωπος. Κακοὶ κακῶς δ' ἀπόλοιντο οἱ κίναιδοι, οἵτινες καλὸν ἡμῶν ἄλειμμα διαβάλλουσι." Πρὸς Πλάτωνα ὀνειδίσαντα ⟨αὐτῷ⟩ τὴν πολυτέλειαν, "Ἆρα," ἔφη, "φαίνεταί σοι Διονύσιος ἀγαθός;" Τοῦ δ' ὁμολογήσαντος, "Καὶ μήν," ἔφη, "ζῇ ἐμοῦ πολυτελέστερον· ὥστ' οὐδὲν κωλύει καὶ πολυτελῶς καὶ καλῶς ζῆν." Ἐρωτώμενος πῶς ἀπέθανε Σωκράτης, ἔφη· "Ὡς ἂν ἐγὼ εὐξαίμην." Πολυξένου ποτὲ τοῦ σοφιστοῦ εἰσελθόντος πρὸς αὐτὸν καὶ θεασαμένου γυναῖκάς τε καὶ πολυτελῆ ὀψωνίαν, ἔπειτα

1 Σίμου – **4** Fr. 51 Mann.; IV A 42 Giann.; Arsen., p. 115. Cf. DL 6.32 **6–11** διαβάλλουσι : Fr. 77 C Mann.; IV A 63 Giann.; Clem. *Paed.* 2.64.1; 2.69.1 = Arsen., p. 112; Sen. *De benef.* 7.25.1 **11** Πρὸς – **15** ζῆν : Fr. 75 Mann.; IV A 70 Giann. **15–16** εὐξαίμην : Fr. 102 Mann.; IV A 13 Giann. **16** Πολυξένου – **p. 145.4** αἰτιᾶσθαι : Fr. 74 Mann.; IV A 17 Giann.; Arsen., p. 116; Fr 217 Doering

1 σίμου **BP** : σιμοῦ **Φ** et Arsen. : ιμοῦ **F** | τῷ διονύσου ταμείω **F** **3** ὀλέθριος **Φ** | τῇ ὄψει αὐτοῦ **Φ** **7** ἔφη ἐγὼ φησὶν **F** **8** μὴ **BP** : om. **F** **10** ἂν **BFP³WH** : om. **P¹Q**, del. Richards | ὁ ἄνθρωπος Cobet | δ' om. **F** | ἀπόλλοιντο **B** **11** ἡμῶν **BPF** : ἡμῖν Casaubon **11** Πρὸς – **15** ζῆν hoc loco **BPFΦ** : in 2.69 **D**, *Frob.* cett. ('Ὀνειδιζόμενός ποτ' ἐπὶ τῷ πολυτελῶς ζῆν ὑπὸ Πλάτωνος) **12** ὠνειδίσαντα **F** | αὐτῷ addidi (cf. p. 143.13) **13** ὡμολογήσαντος **B**

αἰτιασαμένου, μικρὸν διαλιπών, "Δύνασαι," φησί, "καὶ
σὺ μεθ' ἡμῶν σήμερον γενέσθαι;" Τοῦ δ' ἐπινεύσαντος, |
"Τί οὖν," ἔφη, "ἐμέμφου; Ἔοικας γὰρ οὐ τὴν ὀψωνίαν, 77
ἀλλὰ τὸ ἀνάλωμα αἰτιᾶσθαι." Τοῦ θεράποντος ἐν ὁδῷ
βαστάζοντος ἀργύριον καὶ βαρυνομένου, ὥς φασιν οἱ
περὶ τὸν Βίωνα ἐν ταῖς Διατριβαῖς, "Ἀπόχεε," ἔφη, "τὸ
πλέον καὶ ὅσον δύνασαι βάσταζε." Πλέων ποτὲ ἐπεὶ τὸ
σκάφος ἔγνω πειρατικόν, λαβὼν τὸ χρυσίον ἠρίθμει·
ἔπειτα εἰς θάλατταν ὡς μὴ θέλων παρακατέβαλε καὶ
δῆθεν ἀνῴμωξεν. Οἱ δὲ καὶ ἐπειπεῖν φασιν αὐτὸν ὡς
ἄμεινον ταῦτα δι' Ἀρίστιππον ἢ διὰ ταῦτα Ἀρίστιππον
ἀπολέσθαι. Διονυσίου ποτὲ ἐρομένου ἐπὶ τί ἥκοι, ἔφη ἐπὶ
τὸ μεταδώσειν ὧν ἔχοι καὶ μεταλήψεσθαι ὧν μὴ ἔχει. |
Ἔνιοι δὲ οὕτως ἀποκρίνασθαι· "Ὁπότε μὲν σοφίας ἐδε- 78
όμην, ἧκον παρὰ Σωκράτη· νῦν δὲ χρημάτων δεόμενος
παρὰ σὲ ἥκω." Κατεγίνωσκε τῶν ἀνθρώπων ὡς τὰ σκεύη
μὲν ἐν ταῖς ἀγορασίαις κομπούντων, τοὺς δὲ βίους εἰκῇ

4 Τοῦ θεράποντος – **7** βάσταζε : Fr. 68 A Mann.; IV A 79 Giann.; Arsen., p. 116; Bionis F 40 A Kindstrand; Hor. *Sat.* 2.3.99–102 **7** Πλέων – **12** ἀπολέσθαι : Fr. 69 A Mann.; IV A 79 Giann.; *Gnom. Vat.* 39; Cic. *De invent.* 2.176; Stob. 4.15^{b}.32 **12** Διονυσίου – **16** ἥκω : Fr. 43 Mann.; IV A 38 Giann.; Arsen., p. 115 **16** Κατεγίνωσκε – **p. 146.1** φασίν : Fr. 20 Mann.; IV A 123 = V B 312 Giann. Cf. DL 6.30

1 μικρὸν διαλιπὼν **BPΦ** : εἰπόντος πρὸς αὐτὸν **F** **2** μεθ' ἡμῶν σήμερον **BPΦ** : σήμερον μεθ' ἡμῶν **F** **4** τοῦ δὲ **F** **6** ἀπόχαιε **B** **7** ὅσα **F** **10** καὶ om. **F** | αὐτὸν φασὶν **F** **11** δι' ἀρίστιππον **F** (δι' ἐμὲ *Gnom. Vat.* 39; Stob.) : ὑπ' ἀριστίππου **BPΦ** **12** δέ ποτ' **F** | ἐρωμένου **B**^{2}**F** | ἐπὶ τί **BPΦ** et Arsen. : ἐφ' ὧ **F** | ἔφη om. **B** **12–13** ἐπὶ τὸ **BΦ** et Arsen. : ἐπὶ τῶ **PF** **13** ἔχοι **BΦ** : ἔχει **PF** et Arsen. | μεταλήμψεσθαι **BP**^{1} **15** σωκράτη **BPΦ** : σωκράτην **F** et Arsen. **17** κομπούντων **BP**^{1} : σκοπούντων **FP**^{2}**Q**

δοκιμαζόντων (οἱ δὲ τοῦτο Διογένους φασίν). Καί ποτε παρὰ πότον κελεύσαντος Διονυσίου ἕκαστον ἐν πορφυρᾷ ἐσθῆτι ὀρχήσασθαι, τὸν μὲν Πλάτωνα μὴ προσέσθαι, εἰπόντα·

Οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν·

τὸν δ' Ἀρίστιππον λαβόντα καὶ μέλλοντα ὀρχήσασθαι εὐστόχως εἰπεῖν·

Καὶ γὰρ ἐν βακχεύμασιν
οὖσ' ἥ γε σώφρων οὐ διαφθαρήσεται.

79 Δεόμενός ποτε Διονυσίου περὶ φίλου καὶ μὴ ἐπιτυγχάνων εἰς πόδας αὐτοῦ ἔπεσε· πρὸς οὖν τὸν ἐπισκώψαντα, "Οὐκ ἐγώ," φησίν, "αἴτιος, ἀλλὰ Διονύσιος, ὁ ἐν τοῖς ποσὶ τὰς ἀκοὰς ἔχων." Διατρίβων ἐν Ἀσίᾳ καὶ ληφθεὶς ὑπὸ Ἀρταφέρνου τοῦ σατράπου, πρὸς τὸν εἰπόντα· "Καὶ ὧδε θαρρεῖς;", "Πότε γάρ," εἶπεν, "ὦ μάταιε, θαρρήσαιμι ἂν μᾶλλον ἢ νῦν, ὅτε μέλλω Ἀρταφέρνῃ διαλέξεσθαι;" Τοὺς τῶν ἐγκυκλίων παιδευμάτων μετασχόντας, φιλοσο-

1 Καί ποτε – **9** Fr. 39 A Mann.; IV A 31 Giann.; Arsen., p. 112; Athen. 12, 544 DE; S.E. *Pyrrh. hypot.* 3.204; Stob., 3.5.38; *Gnom. Vat.* 41; Greg. Naz. *Carm.* 1.2.10 vv. 319–334 **5** Eurip. *Bacch.* 836 **8–9** Eurip. *Bacch.* 317–318 **10–13** ἔχων : Fr. 41 A Mann.; IV A 37 Giann.; Arsen., p. 116 **13–16** διαλέξεσθαι : Fr. 25 A Mann.; IV A 107 Giann.; *Gnom. Vat.* 43 **17** Τοὺς – **p. 147.4** γῆμαι : Fr. 23 Mann.; IV A 107 Giann.; Arsen., p. 116; *Gnom. Vat.* 166 (de Gorgia)

2 τῶν σοφῶν ἕκαστον **Φ** **5** στολήν **BPF**, Eurip., S.E., Stob. *Gnom. Vat.* 41, *Suda* : πέπλον **Φ** **8** βαγχεύμασιν **B** **9** οὖσα **BΦ** **10** περὶ φίλου διονυσίου **BPF**, transposui (διονυσίου ποτὲ δεόμενος περὶ φίλου **Φ**) | περὶ **BPFΦ** : ὑπὲρ *Suda*, Cobet **11** εἰς πόδας **BPΦ** : εἰς τοὺς πόδας **F** (cf. *Suda*) **14–15** καὶ ὧδε **FP**^{4} : ὡς δὲ καὶ **BP**^{1}**QWΦ** **16** ἂν et νῦν om. **F** | ἀρταφέρνῃ **BPFΦ** : φαρναβάζῳ *Gnom. Vat.* 43 | διαλέξεσθαι **P** : διαλέξασθαι **BFΦ** **17** κυκλίων **B**

φίας δὲ ἀπολειφθέντας ὁμοίους ἔλεγεν εἶναι τοῖς τῆς
Πηνελόπης μνηστῆρσι· καὶ γὰρ ἐκείνους Μελανθὼ μὲν
καὶ Πολυδώραν καὶ τὰς ἄλλας θεραπαίνας ἔχειν, πάντα
δὲ μᾶλλον ἢ αὐτὴν τὴν δέσποιναν δύνασθαι γῆμαι. Τὸ δ' 80
ὅμοιον καὶ Ἀρίστων· τὸν γὰρ Ὀδυσσέα καταβάντα εἰς ᾅ-
δου τοὺς μὲν νεκροὺς πάντας σχεδὸν ἑωρακέναι καὶ συν-
τετυχηκέναι, τὴν δὲ βασίλισσαν αὐτὴν μὴ θεάσασθαι.

Ὁ δ' οὖν Ἀρίστιππος ἐρωτηθεὶς τίνα ἐστὶν ἃ δεῖ τοὺς
καλοὺς παῖδας μανθάνειν, ἔφη· "Οἷς ἄνδρες γενόμενοι
χρήσονται." Πρὸς τὸν εἰπόντα ἐν αἰτίᾳ ὡς ἀπὸ Σωκράτους
πρὸς Διονύσιον ἔλθοι, "Ἀλλὰ πρὸς Σωκράτην μέν," εἶπεν,
"ἦλθον παιδείας δεόμενος, πρὸς δὲ Διονύσιον παιδιᾶς."
Ἐξ ὁμιλίας αὐτῷ χρηματισαμένῳ φησὶ Σωκράτης·
"Πόθεν σοι τοσαῦτα;" Καὶ ὅς· "Ὅθεν σοι τὰ ὀλίγα."

Ἑταίρας εἰπούσης πρὸς αὐτόν· "Ἐκ σοῦ κύω," "Οὐ 81
μᾶλλον," ἔφη, "γινώσκεις ἢ εἰ δι' ὁλοσχοίνων ἰοῦσα
ἔφασκες ὑπὸ τοῦδε κεκεντῆσθαι." Ἠιτιάσατό τις αὐτὸν
ὡς τὸν υἱὸν ἀπορριπτοῦντα ὥσπερ οὐκ ἐξ ἑαυτοῦ γεγονό-
τα· καὶ ὅς· "Καὶ τὸ φλέγμα," φησί, "καὶ τοὺς φθεῖρας ἐξ ἡ-
μῶν ἴσμεν γεννωμένους, ἀλλ' ἀχρεῖα ὄντα ὡς πορρωτάτω
ῥιπτοῦμεν." Ἐκλεξάμενος τὸ ἀργύριον παρὰ Διονυσίου,

4–7 *SVF* I Nr. 349 **8–10** Fr. 10 Mann.; IV A 121 Giann. **10** Πρὸς – **12** παιδιᾶς : Fr. 101 Mann.; IV A 38 Giann. **13** Ἐξ – **14** Fr. 6. Mann.; IV A 4 Giann. **15–17** Fr. 66 Mann.; IV A 88 Giann. **17** Ἠιτιάσατό τις – **21** ῥιπτοῦμεν : Fr. 95 A Mann.; IV A 135 Giann.; Stob. 4.24^{b}.30; *Gnom. Vat.* 25 **21** Ἐκ-λεξάμενος – **p. 148.3** ἐνδεής : Fr. 44 Mann.; IV A 39 Giann.

7 αὐτὴν **BPΦ** : αὐτῶν **F** | θεάσασθαι **FΦ** : τεθεᾶσθαι **P** : τεθεάσασθαι **B** **12** δεόμενος **BPΦ** : ἕνεκεν **F** | παιδειᾶς **B** **14** ταῦτα **F** **15** ἑτέρας **B**^{1} (corr. **B**^{2}) **16** εἰ ss. **P**^{2} **18** ὡς **Φ** : om. **BPF** **21** ἐκλεξάμενος **Φ** et H. Herter : ἐκδεξάμενος **BPF** | παρὰ διονυσίου τὸ ἀργύριον **F**

Πλάτωνος ἄραντος βιβλίον, πρὸς τὸν αἰτιασάμενον, "Ἐγὼ μὲν γάρ," εἶπεν, "ἀργυρίων, Πλάτων δὲ βιβλίων ἐστὶν ἐνδεής." Πρὸς τὸν εἰπόντα τίνος ἕνεκα ἐλέγχεται ὑπὸ Διονυσίου, "Οὗ ἕνεκα," φησίν, "οἱ ἄλλοι ⟨αὐτὸν⟩ ἐλέγχουσιν."

82 Ἤιτει Διονύσιον ἀργύριον· καὶ ὅς· "Ἀλλὰ μὴν ἔφης οὐκ ἀπορήσειν τὸν σοφόν·" ὁ δ' ὑπολαβών, "Δός," εἶπε, "καὶ περὶ τούτου ζητῶμεν." Δόντος δέ, "Ὁρᾷς," ἔφη, "ὅτι οὐκ ἠπόρηκα;" Εἰπόντος πρὸς αὐτὸν Διονυσίου·

> Ὅστις γὰρ ὡς τύραννον ἐμπορεύεται,
> κείνου 'στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ·

ὑπολαβὼν εἶπεν·

> οὐκ ἔστι δοῦλος, ἂν ἐλεύθερος μόλῃ.

Τοῦτο Διοκλῆς φησιν ἐν τῷ Περὶ βίων φιλοσόφων· ἄλλοι δὲ εἰς Πλάτωνα ἀναφέρουσιν. Ὀργισθεὶς πρὸς Αἰσχίνην μετ' οὐ πολύ, "Οὐ διαλλαχθησόμεθα, οὐ παυσόμεθα," εἶπε, "ληροῦντες, ἀλλὰ ἀναμενεῖς ἕως ἄν τις ἡμᾶς ἐπὶ τῆς

3 Πρὸς – **5** Fr. 47 Mann.; IV A 39 Giann. **6–9** οὐκ ἠπόρηκα : Fr. 45 Mann.; IV A 40 Giann.; Arsen., p. 116 **9** Εἰπόντος – **15** ἀναφέρουσιν : Fr. 38 Mann.; IV A 30 Giann. **10–11** Sophocl. Fr. 873 Radt. Cf. Plut. *De aud. poetis* 33 D; V. *Pomp.* 78 **15** Ὀργισθεὶς – **p. 149.6** ἄρχεις : Fr. 112 B Mann.; IV A 24 Giann. Cf. Plut. *De cohib. ira* 462 D

3 ἐστὶν ss. **F**^{2} | ἕνεκεν **B** **4** ὑπὸ **BFP**^{1} in mg : παρὰ **P**^{1} in textu | αὐτὸν addidi **8** ζητοῦμεν **Φ** **10** γὰρ **BΦ F**^{2}**P**^{3}**WH** : δ' ἄρ' **P**^{1}**QF**^{1} | ὡς **BPΦ** : ἐς **F** **11** ἐστὶ **F** | μολεῖ **F** **12** εἶπεν **Φ** : om. **BPF** **15** δὲ Russell : γὰρ **BPF** | πλάτωνα **BPF** : Ζήνωνα ex Plut. Menagius **16** οὐ^{2} om. **F** | οὐ διαλλαχθησόμεθα om. **Φ** **17** ἀναμενεῖς **PF** : ἀναμένεις **BΦ** **17–p. 149.1** ἕως ἄν τις ἡμᾶς ἐπὶ τῆς κύλικος φλυαρῶν διαλλάξῃ **B P Φ** : ἕως ἂν ἐπὶ τῆς κύλικος ἡμᾶς διαλλάξῃ τις **F**

κύλικος φλυαρῶν διαλλάξῃ;" Καὶ ὅς· ""Ἄσμενος," ἔφη. "Μνημόνευε τοίνυν," εἶπεν ὁ Ἀρίστιππος, "ὅτι σοι πρό- 83 τερος πρεσβύτερος ὢν προσῆλθον." Καὶ ὁ Αἰσχίνης· "Εὖγε, νὴ τὴν Ἥραν, εὐλόγως εἶπας, ἐπεὶ πολλῷ μου βελτίων ὑπάρχεις· ἐγὼ μὲν γὰρ ἔχθρας, σὺ δὲ φιλίας ἄρχεις." Καὶ ταῦτα μὲν εἰς αὐτὸν ἀναφέρεται.

Γεγόνασι δ' Ἀρίστιπποι τέσσαρες· περὶ οὗ τε ὁ λόγος, καὶ δεύτερος ὁ τὰ περὶ Ἀρκαδίας γεγραφώς· τρίτος ὁ Μητροδίδακτος, θυγατριδοῦς τοῦ πρώτου· τέταρτος ὁ ἐκ τῆς νεωτέρας Ἀκαδημίας.

Τοῦ δὴ Κυρηναϊκοῦ φιλοσόφου φέρεται βιβλία τρία μὲν ἱστορίας τῶν κατὰ Λιβύην, ἀπεσταλμένα Διονυσίῳ· ἓν δὲ ἐν ᾧ διάλογοι πέντε καὶ εἴκοσιν, οἱ μὲν Ἀτθίδι, οἱ δὲ Δωρίδι διαλέκτῳ γεγραμμένοι, οἵδε·

Ἀρτάβαζος, 84
Πρὸς τοὺς ναυαγούς,
Πρὸς τοὺς φυγάδας,
Πρὸς πτωχόν,
Πρὸς Λαΐδα,
Πρὸς Πῶρον,
Πρὸς Λαΐδα περὶ τοῦ κατόπτρου,

8 δεύτερος : *FGrHist* 317 T 1 **11–p. 151.9** Fr. 121 Mann.; IV A 144 Giann. **11–12** Διονυσίῳ : *FGrHist* 759 T 1 **11–14** γεγραμμένοι : Eudoc., p. 123.11–15 **20** cf. Diod. 16.2.1; Paus. 10.2.3 **21** cf. *Anth. Pal.* 6.1 et 20

1 ἄσμενος **BFΦ** : ἀσμένως **P** **2** εἶπεν **ΦD** : om. **BP F** **3** πρεσβύτερος **BPΦ** : πρεσβύτης **F** **4** εὖγε **BPFΦ** : σύ γε Reiske | ἐπεὶ **FΦP**[2] : ἐπὶ **BP**[1] **8** καὶ om. **F** **11** κυρηναϊκοῦ **BPF** : Κυρηναίου Mannebach (p. 87) **12** τῷ διονυσίῳ **P**[5] : παρὰ Διονυσίῳ *Frob.* **13** πέντε **BPF** : τρεῖς conieci **14** δωρία **B** **15–16** unus titulus in **B** **19** πρὸς λαΐδα, περὶ τοῦ κατόπτρου **F** omisso v. 21 **20** πῶρον **BPF** (et Diod.) : Πρῶρον Croenert (p. 96) et Wilamowitz (*Herm.* 63 [1928] 384) ex Paus.

Ἑρμείας,
Ἐνύπνιον,
Πρὸς τὸν ἐπὶ τῆς κύλικος,
Φιλόμηλος,
Πρὸς τοὺς οἰκείους,
Πρὸς τοὺς ἐπιτιμῶντας ὅτι κέκτηται οἶνον παλαιὸν καὶ ἑταίρας,
Πρὸς τοὺς ἐπιτιμῶντας ὅτι πολυτελῶς ὀψωνεῖ,
Ἐπιστολὴ πρὸς Ἀρήτην τὴν θυγατέρα,
Πρὸς τὸν εἰς Ὀλυμπίαν γυμνάζοντα ἑαυτόν,
Ἐρώτησις,
Ἄλλη Ἐρώτησις,
Χρεία πρὸς Διονύσιον,
Ἄλλη ἐπὶ τῆς εἰκόνος,
Ἄλλη ἐπὶ τῆς Διονυσίου θυγατρός,
Πρὸς τὸν οἰόμενον ἀτιμάζεσθαι,
Πρὸς τὸν συμβουλεύειν ἐπιχειροῦντα.

Ἔνιοι δὲ καὶ διατριβῶν αὐτόν φασιν ἓξ γεγραφέναι, οἱ δ' οὐδ' ὅλως γράψαι· ὧν ἐστι καὶ Σωσικράτης ὁ Ῥόδιος.

85 Κατὰ δὲ Σωτίωνα ἐν δευτέρῳ καὶ Παναίτιον ἔστιν αὐτῷ συγγράμματα τάδε·

Περὶ παιδείας,
Περὶ ἀρετῆς,
Προτρεπτικός,

18–19 *FGrHist* 461 T 3 **18** ἕξ : sc. βιβλία **20–p. 151.9** Sotionis Fr. 6 Wehrli et Panaetii Fr. 123 van Straaten

1 ἑρμείας **PF** : ἑρμίας **B** et *Suda* **4–5** unus titulus in **B** **8** post ὀψώνει (sic) spatium vacuum usque ad finem versus in **B** **9** ἀρίτην **P**[1] (corr. **Q**) **18** αὐτῶ **F** **19** Σωσικράτης ⟨καὶ Παναίτιος⟩ ὁ Ῥόδιος deleto v. 20 καὶ Παναίτιον Nietzsche (*Rhein. Mus.* 24 [1869] 187 s. (⟨Πανάιτιος⟩ καὶ Σωσικράτης ὁ Ῥόδιος [= 7.163] F. Duemmler (*Antisthenica,* 1882, 66 n. 1) et A. Chiappelli (*RFIC* 13 [1885] 526); cf. 2.64 et E. Mannebach, p. 76 s. **23-24** unus titulus in **B**

Ἀρτάβαζος,
Ναυαγοί,
Φυγάδες,
Διατριβῶν ἕξ,
Χρειῶν τρία,
Πρὸς Λαΐδα,
Πρὸς Πῶρον,
Πρὸς Σωκράτην,
Περὶ τύχης.

Τέλος δ' ἀπέφαινε τὴν λείαν κίνησιν εἰς αἴσθησιν ἀναδιδομένην.

Ἡμεῖς δ' ἐπειδὴ τὸν βίον ἀνεγράψαμεν αὐτοῦ, φέρε νῦν διέλθωμεν τοὺς ἀπ' αὐτοῦ Κυρηναϊκούς, οἵτινες ἑαυτοὺς οἱ μὲν Ἡγησιακούς, οἱ δὲ Ἀννικερείους, οἱ δὲ Θεοδωρείους προσωνόμαζον. Οὐ μὴν ἀλλὰ καὶ τοὺς ἀπὸ Φαίδωνος, ὧν τοὺς κορυφαιοτάτους Ἐρετρικοὺς ⟨εἶναι⟩. Ἔχει ⟨δὲ⟩ οὕτως· Ἀριστίππου διήκουσεν ἡ θυγάτηρ Ἀρή- **86**
τη καὶ Αἰθίοψ Πτολεμαεὺς καὶ Ἀντίπατρος Κυρηναῖος· Ἀρήτης δὲ Ἀρίστιππος ὁ Μητροδίδακτος ἐπικληθείς, οὗ Θεόδωρος ὁ Ἄθεος, εἶτα Θεός· Ἀντιπάτρου δ' Ἐπιτιμίδης Κυρηναῖος, οὗ Παραιβάτης, οὗ Ἡγησίας ὁ Πεισιθάνατος καὶ Ἀννίκερις ὁ Πλάτωνα λυτρωσάμενος.

10–11 Fr. 193 Mann.; IV A 175 Giann.; φ 4 **12–22** Frr. 133 et 131 A Mann.; IV A 160 Giann. **22** cf. 3.20 et Menag. (p. 410 s.)

13 Κυρηναϊκούς – **15** προσωνόμαζον secl. Schwartz (758), agn. Mannebach (89) **15** θεοδωρίους **BF** **16** ὧν τοὺς – **17** ἔχειν οὕτως secl. Schwartz **16** εἶναι addidi : ὠνόμαζον Casaubon **17** ἔχει ⟨δὲ⟩ Casaubon : ἔχειν **BPF** **17 et 19** ἀρίτη et ἀρίτης **P** **18** πολεμαεὺς **F** **20** ὁ ἄθεος ἐπικληθείς *Suda* | ἐπιτιμίδης **B** : ἐπιτιμήδης **PF** **21** κυριναῖος **B** | παραβάτης **F** **22** ἀννεικέρις **B** | ὁ Πλάτωνα λυτρωσάμενος del. Menagius, agn. Cobet, Mannebach, Giannantoni

Οἱ μὲν οὖν ἐπὶ τῆς ἀγωγῆς τῆς Ἀριστίππου μείναντες
καὶ Κυρηναϊκοὶ προσαγορευθέντες δόξαις ἐχρῶντο τοιαύ-
ταις· δύο πάθη ὑφίσταντο, πόνον καὶ ἡδονήν, τὴν μὲν
λείαν κίνησιν, τὴν ἡδονήν, τὸν δὲ πόνον τραχεῖαν κίνη-
87 σιν. Μὴ διαφέρειν τε ἡδονὴν ἡδονῆς, μηδὲ ἥδιόν τι εἶναι·
καὶ τὴν μὲν εὐδοκητὴν πᾶσι ζῴοις, τὸν δ' ἀποκρουστικόν.
Ἡδονὴν μέντοι τὴν τοῦ σώματος, ἣν καὶ τέλος εἶναι,
καθά φησι καὶ Παναίτιος ἐν τῷ Περὶ τῶν αἱρέσεων, οὐ τὴν
καταστηματικὴν ἡδονὴν τὴν ἐπ' ἀναιρέσει ἀλγηδόνων
καὶ οἷον ἀοχλησίαν, ἣν ὁ Ἐπίκουρος ἀποδέχεται ⟨καὶ⟩ τέ-
λος εἶναί φησι. Δοκεῖ δ' αὐτοῖς καὶ τέλος εὐδαιμονίας
διαφέρειν. Τέλος μὲν γὰρ εἶναι τὴν κατὰ μέρος ἡδονήν,
εὐδαιμονίαν δὲ τὸ ἐκ τῶν μερικῶν ἡδονῶν σύστημα, αἷς
συναριθμοῦνται καὶ αἱ παρῳχηκυῖαι καὶ αἱ μέλλουσαι.

88 Εἶναί τε τὴν μερικὴν ἡδονὴν δι' αὑτὴν αἱρετήν· τὴν δ'
εὐδαιμονίαν οὐ δι' αὑτήν, ἀλλὰ διὰ τὰς κατὰ μέρος
ἡδονάς. Πίστιν δ' εἶναι τοῦ τέλος εἶναι τὴν ἡδονὴν τὸ
ἀπροαιρέτως ἡμᾶς ἐκ παίδων ᾠκειῶσθαι πρὸς αὐτήν, καὶ

1–155.20 IV A 172 Giann. **1–2** Fr. 127 C Mann. **3** δύο – **4** κίνησιν : Fr. 197 A Mann. **5** Μὴ – εἶναι : Fr. 191 Mann. **6** καὶ – ἀποκρουστικόν : Fr. 177 Mann. **7** Ἡδονὴν – **11** φησι : Epicuri Fr. 450 Usener **7–8** Fr. 184 Mann.; Panaetii Fr. 49 van Straaten **8** οὐ – **11** φησι : Fr. 205 Mann. **10–11** cf. 10.128–129 **11** Δοκεῖ – **17** ἡδονάς : Fr. 169 Mann. **17** Πίστιν – **p. 153.2** ἀλγηδόνα : Fr. 178 Mann.

5 ἥδιον **PF**, ἥδειον **B**^{2} : ἴδιον **B**^{1}**Φ** **6** τὸν **BPΦ** et *Suda* : τὴν **F** | ἀποκρουστικὸν **BPΦ** et *Suda* : ἀποκρουστικὴν **F** : ἀποκρουστόν Menag., Mannebach **7** ἣν καὶ τέλος εἶναι del. Roeper^{2} (cf. vv. 10–11) **8** τῶν om. **F** **10** ἀοχλησίαν **BPFΦ** et *Suda* : ἀνοχλησίαν *Frob.*, Cobet, Mannebach | καὶ add. Cobet **11** φησι Cobet : φασί **BPFΦ** et *Suda* : φάς Menag. **14** παροχηκυῖαι **B** | αἱ om. **F** **15** αὑτὴν **Φ**, *Suda* et **F**^{2} : αὐτὴν **BPF**^{1} **16** αὑτὴν **Φ** et *Suda* : αὐτὴν **BPF**

τυχόντας αὐτῆς μηθὲν ἐπιζητεῖν μηθέν τε οὕτω φεύγειν ὡς τὴν ἐναντίαν αὐτῇ ἀλγηδόνα. Εἶναι δὲ τὴν ἡδονὴν ἀγαθὸν κἂν ἀπὸ τῶν ἀσχημοτάτων γένηται, καθά φησιν Ἱππόβοτος ἐν τῷ Περὶ τῶν αἱρέσεων. Εἰ γὰρ καὶ ἡ πρᾶξις ἄτοπος εἴη, ἀλλ' οὖν ἡ ἡδονὴ δι' αὑτὴν αἱρετὴ καὶ ἀγαθόν. Ἡ δὲ τοῦ ἀλγοῦντος ὑπεξαίρεσις, ὡς εἴρηται παρ' **89**
Ἐπικούρῳ, δοκεῖ αὐτοῖς μὴ εἶναι ἡδονή· οὐδὲ ἡ ἀηδονία ἀλγηδών. Ἐν κινήσει γὰρ εἶναι ἀμφότερα, μὴ οὔσης τῆς ἀπονίας ἢ τῆς ἀηδονίας κινήσεως, ἐπεὶ ἡ ἀπονία οἱονεὶ καθεύδοντός ἐστι κατάστασις. Δύνασθαι δέ φασι καὶ τὴν ἡδονήν τινας μὴ αἱρεῖσθαι κατὰ διαστροφήν.

Οὐ πάσας μέντοι τὰς ψυχικὰς ἡδονὰς καὶ ἀλγηδόνας ἐπὶ σωματικαῖς ἡδοναῖς καὶ ἀλγηδόσι γίνεσθαι. Καὶ γὰρ ἐπὶ ψιλῇ τῇ τῆς πατρίδος εὐημερίᾳ ἧπερ τῇ ἰδίᾳ χαρὰν ἐγγίνεσθαι. Ἀλλὰ μὴν οὐδὲ κατὰ μνήμην τῶν ἀγαθῶν ἢ προσδοκίαν ἡδονήν φασιν ἀποτελεῖσθαι· ὅπερ ἤρεσκεν Ἐπικούρῳ. Ἐκλύεσθαι γὰρ τῷ χρόνῳ τὸ τῆς ψυχῆς κίνη- **90**
μα. Λέγουσι δὲ μηδὲ κατὰ ψιλὴν τὴν ὅρασιν ἢ τὴν ἀκοὴν γίνεσθαι ἡδονάς. Τῶν γοῦν μιμουμένων θρήνους ἡδέως

2 Εἶναι – **5** ἀγαθόν : Fr. 225 Mann.; Hippoboti Fr. 4 Gigante **6** Ἡ δὲ – **10** κατάστασις : Fr. 204 Mann.; Epic. Fr. 450 Us. **10** Δύνασθαι – **11** διαστροφήν : Fr. 179 Mann. **12–15** ἐγγίνεσθαι : Fr. 187 Mann. (cf. Epic. Fr. 451 Us.) **15** Ἀλλὰ – **17** κίνημα : Fr. 209 Mann.; Epic. Fr. 453 Us. **18** Λέγουσι – **p. 154.1** ἀηδῶς : Fr. 189 Mann.

1 αὐτῆς **BPΦ** : αὐτοῖς **F** **3** γένηται **P^{1}F** : γίνηται **BΦP^{5}** **4** τῶν om. **F** **5** αὐτὴν **Φ** : αὐτὴν **BPF** **7** ἀηδονία **ΦB^{2}F^{1}P^{5}** : φιληδονία **P^{1}F^{2}QWH** **9** ἀπονοίας et ἀπόνοια **F** **14** τῇ^{1} om. **F** | ᾗπερ Roeper^{2} : ἤπερ **BPΦ** : ἦπερ **F** : ἥνπερ vel ὥσπερ C.F. Hermann **15** ἐνγίγνεσθαι **B** **16** φησιν **F** | ἀποτελέσθαι **B** | ἤρεσκεν in mg **F^{2}** **17** ἐκλύεσθαι Casaubon : ἐκλύεται **BPFΦ** **19** οὖν **F**

ἀκούομεν, τῶν δὲ κατ' ἀλήθειαν ἀηδῶς. Μέσας τε καταστάσεις ὠνόμαζον ἀηδονίαν καὶ ἀπονίαν. Πολὺ μέντοι τῶν ψυχικῶν τὰς σωματικὰς ἀμείνους εἶναι, καὶ τὰς ὀχλήσεις χείρους τὰς σωματικάς. Ὅθεν καὶ ταύταις κολάζεσθαι μᾶλλον τοὺς ἁμαρτάνοντας. Χαλεπώτερον γὰρ τὸ πονεῖν, οἰκειότερον δὲ τὸ ἥδεσθαι ὑπελάμβανον. Ἔνθεν καὶ πλείονα οἰκονομίαν περὶ θάτερον ἐποιοῦντο. Διὸ καὶ καθ' αὑτὴν αἱρετῆς οὔσης τῆς ἡδονῆς, τὰ ποιητικὰ ἐνίων ἡδονῶν ὀχληρὰ πολλάκις ἐναντιοῦσθαι· ὡς δυσκολώτατον αὐτοῖς φαίνεσθαι τὸν ἀθροισμὸν τῶν ἡδονῶν εὐδαιμονίαν [μὴ] ποιοῦντα.

91 Ἀρέσκει δ' αὐτοῖς μήτε τὸν σοφὸν πάντα ἡδέως ζῆν, μήτε πάντα φαῦλον ἐπιπόνως, ἀλλὰ κατὰ τὸ πλεῖστον. Ἀρκεῖ δὲ κἂν κατὰ μίαν τις προσπίπτουσαν ἡδέως ἐπανάγῃ. Τὴν φρόνησιν ἀγαθὸν μὲν εἶναι λέγουσιν, οὐ δι' ἑαυτὴν δὲ αἱρετήν, ἀλλὰ διὰ τὰ ἐξ αὐτῆς περιγινόμενα. Τὸν φίλον τῆς χρείας ἕνεκα· καὶ γὰρ μέρος σώματος, μέχρις ἂν παρῇ, ἀσπάζεσθαι. Τῶν ἀρετῶν ἐνίας καὶ περὶ τοὺς ἄφρονας συνίστασθαι. Τὴν σωματικὴν ἄσκησιν συμβάλ-

1 Μέσας – **2** ἀπονίαν : Fr. 202 Mann. **2** Πολὺ – **5** τοὺς ἁμαρτάνοντας : Fr. 188 A Mann.; Epic. Fr. 452 Us.; DL 10.137 **5** Χαλεπώτερον – **7** ἐποιοῦντο : Fr. 180 Mann. **8** Διὸ – **9** ἐναντιοῦσθαι : Fr. 226 Mann. **9** ὡς – **11** ποιοῦντα et **14** Ἀρκεῖ – ἐπανάγῃ : Fr. 170 Mann. **12–13** τὸ πλεῖστον : Fr. 165 Mann. **15** Τὴν – **16** περιγινόμενα : Fr. 223 Mann. **17** Τὸν – **18** ἀσπάζεσθαι : Fr. 232 Mann. **18** Τῶν – **p. 155.1** ἀνάληψιν : Fr. 245 Mann.

2 ἀηδονίαν **FP⁵** : ἀηδίαν **BP¹QWHΦ** | ἀπονοίαν **F** **6** τὸ² ss. **F²** **8** καθ' αὑτὴν **ΦD** : κατὰ ταύτην **BPF** **11** μὴ del. Menagius | ποιοῦντα **BPFΦ** : ποιουσῶν coni. Menag. **12** τὸ **F** **14** ἀρκεῖ **BFΦP⁴H** : ἀρέσκει **P¹** γρ. **QW** | ἐπανάγῃ **PΦ** : ἐπανάγει **BF** **15** λέγουσιν εἶναι **F** **17** ἕνεκεν **F**

λεσθαι πρὸς ἀρετῆς ἀνάληψιν. Τὸν σοφὸν μήτε φθονήσειν, μήτε ἐρασθήσεσθαι ἢ δεισιδαιμονήσειν· γίνεσθαι γὰρ ταῦτα παρὰ κενὴν δόξαν. Λυπήσεσθαι μέντοι καὶ φοβήσεσθαι· φυσικῶς γὰρ γίνεσθαι. Καὶ τὸν πλοῦτον δὲ 92
ποιητικὸν ἡδονῆς εἶναι καὶ οὐ δι' αὑτὸν αἱρετόν.

Τά τε πάθη καταληπτά. Ἔλεγον οὖν αὐτά, οὐκ ἀφ' ὧν γίνεται. Ἀφίσταντο δὲ καὶ τῶν φυσικῶν διὰ τὴν ἐμφαινομένην ἀκαταληψίαν· τῶν δὲ λογικῶν διὰ τὴν εὐχρηστίαν ἥπτοντο. Μελέαγρος δὲ ἐν τῷ δευτέρῳ Περὶ δοξῶν καὶ Κλειτόμαχος ἐν τῷ πρώτῳ Περὶ τῶν αἱρέσεών φασιν αὐτοὺς ἄχρηστα ἡγεῖσθαι τό τε φυσικὸν μέρος καὶ τὸ διαλεκτικόν. Δύνασθαι γὰρ καὶ εὖ λέγειν καὶ δεισιδαιμονίας ἐκτὸς εἶναι καὶ τὸν περὶ θανάτου φόβον ἐκφεύγειν τὸν ⟨τὸν⟩ περὶ ἀγαθῶν καὶ κακῶν λόγον ἐκμεμαθηκότα. Μηδέν 93
τε εἶναι φύσει δίκαιον ἢ καλὸν ἢ αἰσχρόν, ἀλλὰ νόμῳ καὶ ἔθει. Ὁ μέντοι σπουδαῖος οὐδὲν ἄτοπον πράξει διὰ τὰς ἐπικειμένας ζημίας καὶ δόξας· εἶναι γὰρ τὸν σοφόν. Προκοπήν τε ἀπολείπουσι καὶ ἐν φιλοσοφίᾳ καὶ ἐν τοῖς ἄλλοις. Φασὶ δὲ καὶ λυπεῖσθαι ἄλλον ἄλλου μᾶλλον, καὶ τὰς αἰσθήσεις μὴ πάντοτε ἀληθεύειν.

1 Τὸν σοφὸν – **4** γίνεσθαι : Fr. 241 Mann. **4** Καὶ – **5** Fr. 224 Mann. **6** et **20** Fr. 215 Mann. **7** Ἀφίσταντο – **9** ἥπτοντο : Fr. 149 Mann. **9–14** ἐκμεμαθηκότα : Fr. 146 Mann. **14** Μηδέν τε – **17** τὸν σοφόν : Fr. 229 Mann. **18** Προκοπήν τε – τοῖς ἄλλοις : Fr. 246 Mann. **19** Φασὶ – μᾶλλον : Fr. 242 Mann.

2 γίγνεσθαι **BPF** **3** λυπηθήσεσθαι et **4** φοβηθήσεσθαι **F** **5** καὶ **Φ²** : om. **BPF** | αὑτὸν **Φ** : αὐτὸν **BPF** | post αἱρετὸν addit ὄντα **F** **7** γίνονται **F** **10** τῶν **BP** : om. **F** **11** ἄχρηστον **Φ** **14** τὸν add. Casaubon | μεμαθηκότα **F** **16** οὐδὲν ἄτοπον **P¹Q** : οὐδένα τρόπον **BFΦP¹** γρ. | παραλλάξει **B²** in mg **17** γὰρ Gigante : δὲ **BPFΦ** **18** προκοπῶν **F** | ἀπολίπουσι **B** | ἐν σοφίᾳ **Φ** **19** δὲ ⟨χαίρειν⟩ καὶ Reiske **20** μὴ πάντοτε **BFΦP³W** : μὴ δέποτε **P¹Q**

Οἱ δὲ Ἡγησιακοὶ λεγόμενοι σκοποὺς μὲν εἶχον τοὺς αὐτούς, ἡδονὴν καὶ πόνον. Μήτε δὲ χάριν τι εἶναι, μήτε φιλίαν, μήτε εὐεργεσίαν, διὰ τὸ μὴ δι' αὐτὰ ταῦτα αἱρεῖσθαι ἡμᾶς αὐτά, ἀλλὰ διὰ τὰς χρείας αὐτῶν, ὧν
94 ἀπουσῶν μηδ' ἐκεῖνα ὑπάρχειν. Τὴν εὐδαιμονίαν ὅλως ἀδύνατον εἶναι· τὸ μὲν γὰρ σῶμα πολλῶν ἀναπεπλῆσθαι παθημάτων, τὴν δὲ ψυχὴν συμπαθεῖν τῷ σώματι καὶ ταράττεσθαι, τὴν δὲ τύχην πολλὰ τῶν κατ' ἐλπίδα κωλύειν· ὥστε διὰ ταῦτα ἀνύπαρκτον τὴν εὐδαιμονίαν εἶναι. Τήν τε ζωὴν καὶ τὸν θάνατον αἱρετόν. Φύσει τε οὐδὲν ἡδὺ ἢ ἀηδὲς ὑπελάμβανον· διὰ δὲ σπάνιν ἢ ξενισμὸν ἢ κόρον τοὺς μὲν ἥδεσθαι, τοὺς δ' ἀηδῶς ἔχειν. Πενίαν καὶ πλοῦτον πρὸς ἡδονῆς λόγον εἶναι οὐδέν· μὴ γὰρ διαφερόντως ἥδεσθαι τοὺς πλουσίους ἢ τοὺς πένητας. Δουλείαν ἐπίσης ἐλευθερίᾳ ἀδιάφορον πρὸς ἡδονῆς μέτρον, καὶ εὐγένειαν
95 δυσγενείᾳ, καὶ δόξαν ἀδοξίᾳ. Καὶ τῷ μὲν ἄφρονι τὸ ζῆν λυσιτελὲς εἶναι, τῷ δὲ φρονίμῳ ἀδιάφορον. Τόν τε σοφὸν ἑαυτοῦ ἕνεκα πᾶν πράξειν· οὐδένα γὰρ ἡγεῖσθαι τῶν ἄλλων ἐπίσης ἄξιον αὐτῷ. Κἂν γὰρ τὰ μέγιστα δοκῇ παρά

1–p. 157.10 IV F 1 Giann. **1–2** πόνον : Fr. 171 Mann. **2** Μήτε – **5** ὑπάρχειν : Fr. 236 Mann. **5** Τὴν – **9** εἶναι : Fr. 172 Mann. **10** Τήν τε – αἱρετόν : Fr. 249 C Mann. **10** Φύσει – **12** ἔχειν : Fr. 174 Mann. **12** Πενίαν – **16** ἀδοξίᾳ : Fr. 192 Mann. **16** Καὶ – **17** ἀδιάφορον : Fr. 249 B Mann. (cf. Fr. 249 A) | **17** Τόν τε – **p. 157.1** παρίσχει : Fr. 237 Mann.

1 οἱ δ' ἐνγησιακοὶ **B** **2** τι **BPF** : τινὰ **Φ** et *Frob.* **3** δι' **BPΦ** : δὲ **F** | αὐτὰ **BP** : om. **FΦ** **4** αὐτῶν Reiske : καὶ αὐτοὺς **BPFΦ** : αὐτάς Meibom., Cobet, Mannebach **5** ἀπουσῶν Reiske (conl. 2.97) : ἀπόντων **BPFΦ** **16** δυσγενείᾳ om. **B** | τὸ μὲν **P**[1] (corr. **Q**) **18** πᾶν **BFΦ** : πάντα **P** | οὐδὲν **Φ** **19** αὐτῶ **BPF** : ἑαυτῶ **Φ** | δοκῇ **PΦ** : δοκεῖ **BF** | παρά του Roeper[2] : παρ' αὐτοῦ **BPFΦ**

του καρποῦσθαι, μὴ εἶναι ἀντάξια ὧν αὐτὸς παρίσχει. Ἀνῄρουν δὲ καὶ τὰς αἰσθήσεις ⟨ὡς⟩ οὐκ ἀκριβούσας τὴν ἐπίγνωσιν, τῶν δ' εὐλόγως φαινομένων ⟨παντὶ⟩ πάντα πράττειν. Ἔλεγον τὰ ἁμαρτήματα συγγνώμης τυγχάνειν ⟨δεῖν⟩· οὐ⟨δένα⟩ γὰρ ἑκόντα ἁμαρτάνειν, ἀλλά τινι πάθει κατηναγκασμένον. Καὶ μὴ μισήσειν, μᾶλλον δὲ μεταδιδάξειν. Τόν τε σοφὸν οὐχ οὕτω πλεονάσειν ἐν τῇ τῶν ἀγαθῶν αἱρέσει, ὡς ἐν τῇ τῶν κακῶν φυγῇ, | τέλος τιθέμενον 96
τὸ μὴ ἐπιπόνως ζῆν μηδὲ λυπηρῶς· ὃ δὴ περιγίνεσθαι τοῖς ἀδιαφορήσασι περὶ τὰ ποιητικὰ τῆς ἡδονῆς.

Οἱ δ' Ἀννικέρειοι τὰ μὲν ἄλλα κατὰ ταὐτὰ τούτοις· ἀπέλιπον δὲ καὶ φιλίαν ἐν βίῳ καὶ χάριν καὶ πρὸς γονέας τιμὴν καὶ ὑπὲρ πατρίδος τι πράξειν. Ὅθεν διὰ ταῦτα, κἂν ὀχλήσεις ἀναδέξηται ὁ σοφός, οὐδὲν ἧττον εὐδαιμονήσει, κἂν ὀλίγα ἡδέα περιγίνηται αὐτῷ. Τήν τε τοῦ φίλου εὐδαιμονίαν δι' αὐτὴν μὴ εἶναι αἱρετήν· μηδὲ γὰρ αἰσθητὴν τῷ πέλας ὑπάρχειν. Μὴ εἶναί τε αὐτάρκη τὸν λόγον πρὸς τὸ θαρρῆσαι καὶ τῆς τῶν πολλῶν δόξης ὑπεράνω

2 Ἀνῄρουν – 4 πράττειν : Fr. 220 Mann. 4 Ἔλεγον – 6 μεταδιδάξειν : Fr. 243 Mann. 7 Τόν τε – 10 Fr. 173 Mann. 11–p. 158.7 IV G 3 Giann. 11–15 αὐτῷ : Fr. 186 Mann. 15 Τήν τε – 17 ὑπάρχειν : Fr. 233 Mann. 17 Μὴ – p. 158.2 διάθεσιν : Fr. 244 Mann.

1 παρίσχει **BP** : παρέχει **Φ** : παράσχῃ **F**, Cobet 2 ὡς add. Richards 3 τῶν et φαινομένων **BPFΦ** : τῷ et φαινομένῳ Reiske, Madvig | δ' Madvig : τ' **BPFΦ** | παντὶ addidi 5 δεῖν add. Casaubon | οὐ⟨δένα⟩ scripsi : οὐ **BPFΦ** 6 κατηναγκασμένω **BP** | μισήσεις et μεταδιδάξεις **F** 7 πλεονάσεις **F** 9 γίνεσθαι **Φ** 11 ἀννεικέριοι **B** 12 ἀπέλιπον **FΦ** : ἀπέλειπον **BP** et ss. **Φ** 14 δέξηται **Φ** | εὐδαιμονήσειν Roeper[2], Richards 15 περιγίνηται **BPΦ** : περιγένηται **F** 16 αὐτὴν **Φ** : αὐτὴν **BPF** | ἀρετὴν **F** 17 Μὴ εἶναι – p. 158.2 διάθεσιν secl. R. Hirzel (*Untersuch.* II.2 [1882], p. 678 n.2)

γενέσθαι· δεῖν δὲ ἀνεθίζεσθαι διὰ τὴν ἐκ πολλοῦ συν-
97 τραφεῖσαν ἡμῖν φαύλην διάθεσιν. Τόν τε φίλον μὴ διὰ τὰς χρείας μόνον ἀποδέχεσθαι, ὧν ὑπολειπουσῶν μὴ ἐπιστρέφεσθαι, ἀλλὰ καὶ παρὰ τὴν γεγονυῖαν εὔνοιαν, ἧς ἕνεκα καὶ πόνους ὑπομενεῖν. Καίτοι τιθέμενον ἡδονὴν τέλος καὶ ἀχθόμενον ἐπὶ τῷ στέρεσθαι αὐτῆς, ὅμως ἑκουσίως ὑπομενεῖν διὰ τὴν πρὸς τὸν φίλον στοργήν.

ΘΕΟΔΩΡΟΣ

Οἱ δὲ Θεοδώρειοι κληθέντες τὴν μὲν ὀνομασίαν ἔσπασαν ἀπὸ Θεοδώρου τοῦ προγεγραμμένου, καὶ δόγμασιν ἐχρήσαντο τοῖς αὐτοῦ. Ἦν δὲ ὁ Θεόδωρος παντάπασιν ἀναιρῶν τὰς περὶ θεῶν δόξας· καὶ αὐτοῦ περιετύχομεν βιβλίῳ ἐπιγραφομένῳ Περὶ θεῶν, οὐκ εὐκαταφρονήτῳ· ἐξ οὗ φασιν Ἐπίκουρον λαβόντα τὰ πλεῖστα εἰπεῖν.

98 Ἤκουσε δὲ καὶ Ἀννικέριδος ὁ Θεόδωρος καὶ Διονυσίου τοῦ Διαλεκτικοῦ, καθά φησιν Ἀντισθένης ἐν Φιλοσόφων διαδοχαῖς. Τέλος δ᾽ ὑπελάμβανε χαρὰν καὶ λύπην· τὴν μὲν ἐπὶ φρονήσει, τὴν δ᾽ ἐπὶ ἀφροσύνῃ· ἀγαθὰ δὲ φρόνησιν καὶ δικαιοσύνην, κακὰ δὲ τὰς ἐναντίας ἕξεις, μέσα δὲ ἡδονὴν καὶ πόνον. Ἀνῄρει δὲ καὶ φιλίαν, διὰ τὸ

2 Τόν τε – **7** Fr. 234 Mann. **9–p. 162.1** IV H 13 Giann. **9–11** αὐτοῦ : Fr. 252 Mann. **11** Ἦν – **14** Fr 268 A Mann.; Epic. Fr. 391 Us. **15–17** διαδοχαῖς : Fr. 250 Mann.; Fr. 46 Doering; *FGrHist* 508 F 5 **17** Τέλος – **20** πόνον : Fr. 175 Mann. **20** Ἀνῄρει – **p. 159.4** φίλων : Fr. 238 Mann.

1 συνεθίζεσθαι Reiske **3** ἀπολιπουσῶν **Φ** **4** παρὰ **BPΦ** : πρὸς **F** **5** ὑπομενεῖν Casaubon : ὑπομένειν **BPFΦ** **6** τέλος καὶ ἀχθόμενον in mg infer. **B²** | τῷ **PΦ** : τὸ **BF** **7** ὑπομενεῖν Casaubon : ὑπομένειν **BPFΦ** **8** *tit.* **P** (et **Φ** 28) : om. **BF** **9** δὲ et κληθέντες om. **B** | ὀνομασίαν μὲν **F** | ἐπεσπάσαντο **F** **11** αὐτοῦ **BP** : αὐτοῖς **F** **13** ἐπιγραφομένω **BP** : ἐπιγεγραμμένω **F** **14** τὰ om. **B**

μήτε ἐν ἄφροσιν αὐτὴν εἶναι, μήτ' ἐν σοφοῖς. Τοῖς μὲν γὰρ τῆς χρείας ἀναιρεθείσης καὶ τὴν φιλίαν ἐκποδὼν εἶναι· τοὺς δὲ σοφοὺς αὐτάρκεις ὑπάρχοντας μὴ δεῖσθαι φίλων. Ἔλεγε δὲ καὶ εὔλογον εἶναι τὸν σπουδαῖον μὴ ἐξαγαγεῖν ὑπὲρ τῆς πατρίδος αὐτόν· οὐ γὰρ ἀποβαλεῖν τὴν φρόνησιν ἕνεκα τῆς τῶν ἀφρόνων ὠφελείας.

Εἶναί τε πατρίδα τὸν κόσμον. Κλέψειν τε καὶ μοι- 99
χεύσειν καὶ ἱεροσυλήσειν ἐν καιρῷ· μηδὲν γὰρ τούτων φύσει αἰσχρὸν εἶναι, τῆς ἐπ' αὐτοῖς δόξης αἱρομένης, ἣ σύγκειται ἕνεκα τῆς τῶν ἀφρόνων συνοχῆς. Φανερῶς τε τοῖς ἐρωμένοις ἄνευ πάσης ὑφοράσεως χρήσεσθαι τὸν σοφόν. Διὸ καὶ τοιούτους λόγους ἠρώτα· "Ἆρά γε γυνὴ γραμματικὴ χρήσιμος ἂν εἴη παρ' ὅσον γραμματική ἐστι;" "Ναί." "Καὶ παῖς καὶ νεανίσκος ⟨γραμματικὸς⟩ χρήσιμος ἂν εἴη παρ' ὅσον γραμματικός ἐστι;" "Ναί." "Οὐκοῦν καὶ γυνὴ καλὴ χρησίμη ἂν εἴη παρ' ὅσον καλή ἐστι, καὶ παῖς καὶ νεανίσκος καλὸς χρήσιμος ἂν εἴη παρ' ὅσον καλός ἐστι;" "Ναί." "Καὶ παῖς ἄρα καὶ νεανίσκος καλὸς πρὸς τοῦτ' ἂν εἴη χρήσιμος, πρὸς ὃ καλός ἐστι;" "Ναί." | "Ἔστι 100
δὲ χρήσιμος πρὸς τὸ πλησιάζειν;" Ὧν διδομένων ἐπῆγεν·

4 Ἔλεγε – **p. 161.10** νομίζω : Arsen., pp. 296–298 Walz **4** Ἔλεγε – **6** Fr. 239 Mann. **7–10** συνοχῆς : Fr. 230 Mann. **10** Φανερῶς – **p. 160.4** Fr. 271 A Mann.

4–5 μὴ ἐξαγαγεῖν ὑπὲρ τῆς πατρίδος **BP φ** 35 et Arsen. : ὑπὲρ τῆς πατρίδος μὴ ἐξαγαγεῖν **F** | μὴ ἐξαγαγεῖν **BPF** : ὑπεξαγαγεῖν **φ** **5** αὐτὸν **B** et Arsen. : αὐτὸν **P** : ἑαυτὸν **Fφ** | ἀποβαλεῖν **B** et Arsen. : ἀποβάλλειν **PFφ** **8** ἐν καιρῷ om. Arsen. | καιρῷ **BFφ** : κέρ $\mathbf{B}^{1}$ et ss. ματι $\mathbf{B}^{2}$ **9** τῆς **BP** : τοῖς **F** | αἱρομένης **BPFφ** : αἱρουμένης *Frob.*, Arsen. (αἱρουμένους) **10** τε $\mathbf{BFP}^{3}\mathbf{W}$ et Arsen. : δὲ $\mathbf{P}^{1}\mathbf{Q}$ **14** Καὶ παῖς – **15** Ναί om. Arsen. **14** γραμματικὸς add. Cobet **15** γραμματικός **BP** : καλός **F** **15** Οὐκοῦν – **19** Ναί om. $\mathbf{F}^{1}$, in mg add. $\mathbf{F}^{2}$ **17** καὶ om. $\mathbf{F}^{2}$ **18** καλὸς **D** : om. $\mathbf{BPF}^{2}\mathbf{\Phi}$ 28 et Arsen. **20** δέ γε **B** | διδομένων **BPΦ** et Arsen. : δεδομένων **F**

"Οὐκοῦν εἴ τις πλησιασμῷ χρῷτο παρ' ὅσον χρήσιμός ἐστιν, οὐ διαμαρτάνει· οὐδ' ἄρα εἰ κάλλει χρήσαιτο παρ' ὅσον χρήσιμόν ἐστι, διαμαρτήσεται." Τοιαῦτα ἄττα διερωτῶν ἴσχυε τῷ λόγῳ.

Δοκεῖ δὲ Θεὸς κληθῆναι Στίλπωνος αὐτὸν ἐρωτήσαντος οὕτως· "Ἆρά γε, Θεόδωρε, ὃ εἶναι φῄς, τοῦτο καὶ εἶ;" Ἐπινεύσαντος δέ, "Φῂς δ' εἶναι θεόν." Τοῦ δ' ὁμολογήσαντος, "Θεὸς εἶ ἄρα," ἔφη. Δεξαμένου δ' ἀσμένως, γελάσας φησίν, "Ἀλλ', ὦ μόχθηρε, τῷ λόγῳ τούτῳ καὶ κολοιὸς ἂν ὁμολογήσειας εἶναι καὶ ἄλλα μυρία."

101 Ὁ δ' οὖν Θεόδωρος προσκαθίσας ποτὲ Εὐρυκλείδῃ τῷ ἱεροφάντῃ, "Λέγε μοι," ἔφη, "Εὐρυκλείδη, τίνες εἰσὶν οἱ ἀσεβοῦντες περὶ τὰ μυστήρια;" Εἰπόντος δ' ἐκείνου, "Οἱ τοῖς ἀμυήτοις αὐτὰ ἐκφέροντες," "Ἀσεβεῖς ἄρα," ἔφη, "καὶ σύ, τοῖς ἀμυήτοις διηγούμενος." Καὶ μέντοι παρ' ὀλίγον ἐκινδύνευσεν εἰς Ἄρειον ἀχθῆναι πάγον, εἰ μὴ Δημήτριος αὐτὸν ὁ Φαληρεὺς ἐρρύσατο. Ἀμφικράτης δ' ἐν τῷ Περὶ ἐνδόξων ἀνδρῶν φησι κώνειον πιεῖν αὐτὸν καταδικασθέντα.

Διατρίβων δὲ παρὰ Πτολεμαίῳ τῷ Λάγου ἀπεστάλη
102 ποθ' ὑπ' αὐτοῦ πρὸς Λυσίμαχον πρεσβευτής. Ὅτε καὶ

5–10 μυρία : Fr. 260 A Mann.; Fr. 182 Doering; II O 13 Giann. **11–15** διηγούμενος : Fr. 263 Mann. **15** Καὶ μέντοι – **19** Fr. 265 Mann.; Demetrii Fr. 43 Wehrli; Amphicratis Fr. 2 (*FHG* IV, p. 300) **20–p. 161.10** νομίζω : Fr. 256 Mann.

1 χρῷτο **BPFΦ** et Arsen. : χρώμενος Cobet **2** διαμαρτάνει – **3** ἐστι om. Arsen. **2** ἄρα εἰ Cobet : εἰ ἄρα **BPFΦ** **6** ὃ **FΦP**^{3}**W** : θεὸς **BP**^{1} (?) et Arsen. | εἶναι φῄς **BPΦ** et Arsen. : φῄς εἶναι **F** **7** θεόν Cobet : θεὸς **BPFΦ** et Arsen. **10** ὁμολογήσαις **Φ** **14** ἀσεβεῖς ἄρα **BPF** : ἀσεβὴς ἄρα εἶ **Φ** et Arsen. **17** ὁ φαληρεὺς αὐτὸν **F** **18** πιεῖν αὐτὸν **BP** (ποιεῖν **B**) : αὐτὸν πιεῖν **F** **21** ποθ' **BP** : ποτὲ **Φ** : πόθω **F** : τόθ' Arsen.

παρρησιαζομένῳ φησὶν ὁ Λυσίμαχος· "Λέγε μοι, Θεόδωρε, οὐ σὺ εἶ ὁ ἐκπεσὼν Ἀθήνηθεν;" Καὶ ὅς· "Ὀρθῶς ἀκήκοας· ἡ γὰρ τῶν Ἀθηναίων πόλις οὐ δυναμένη με φέρειν, ὥσπερ ἡ Σεμέλη τὸν Διόνυσον, ἐξέβαλε." Πάλιν δ' εἰπόντος τοῦ Λυσιμάχου, "Βλέπε ὅπως μὴ παρέσῃ πρὸς ἡμᾶς ἔτι," "Οὐκ ἄν," ἔφη, "ἂν μὴ Πτολεμαῖος ἀποστείλῃ." Μίθρου δὲ διοικητοῦ Λυσιμάχου παρεστῶτος καὶ εἰπόντος, ""Ἔοικας σὺ μὴ μόνον θεοὺς ἀγνοεῖν, ἀλλὰ καὶ βασιλέας," "Πῶς," εἶπεν, "ἀγνοῶ, ὅπου γε καὶ σὲ θεοῖς ἐχθρὸν εἶναι νομίζω;" Φασὶ δέ ποτε ἐν Κορίνθῳ παρέρχεσθαι αὐτὸν συχνοὺς ἐπαγόμενον μαθητάς, Μητροκλέα δὲ τὸν Κυνικὸν σκάνδικας πλύνοντα εἰπεῖν· "Σὺ ὁ σοφιστὴς οὐκ ἂν τοσούτων ἔχρῃζες μαθητῶν, εἰ λάχανα ἔπλυνες·" τὸν δ' ὑπολαβόντα εἰπεῖν· "Καὶ σὺ εἴπερ ἀνθρώποις ᾔδεις ὁμιλεῖν, οὐκ ἂν τούτοις τοῖς λαχάνοις ἐχρῶ." Τὸ ὅμοιον 103 ἀναφέρεται, καθάπερ προείρηται, εἴς τε Διογένη καὶ Ἀρίστιππον.

Τοιοῦτος μὲν ὁ Θεόδωρος κἀν τούτοις. Τελευταῖον δ' εἰς Κυρήνην ἀπελθὼν καὶ Μάγᾳ συμβιοὺς ἐν πάσῃ τιμῇ διετέλει τυγχάνων. Ἔνθεν τὸ πρῶτον ἐκβαλλόμενος λέγεται χάριέν τι εἰπεῖν· φησὶ γάρ· "Καλῶς ποιεῖτε, ἄνδρες

10 Φασὶ – 17 Fr. 261 Mann. **15–17** cf. 2.68; 6.58 **18–p. 162.1** Fr. 267 Mann. **21–p. 162.1** cf. *Gnom. Vat.* 28

2 εἶ om. **P** et Arsen. **5** βλέπε del. Cobet **6** μὴ om. et ἀποστείλει με **F** | μέθρου **B** **7** τοῦ λυσιμάχου **F** **8** μὴ ss. **F**^{2}, om. Arsen. | βασιλεῖς **F** **9** σὲ θεοῖς **BPΦ** : θεοῖς σε **F** **10** εἶναι **BFΦ** : ὄντα **P** **11** καὶ μητροκλέα **F** **12** σὺ εἶ ὁ **Φ** | ὁ σοφιστὴς om. **F** **14** ἤπερ **B**^{2} **16** καθὰ **F** | εἴς τε **BP** : καὶ εἰς **F** | διογένη **BP** : διογένην **F** **19** Μάγᾳ Palmerius ap. Menagium : μαρίω(ι) **BPFΦ** | πᾶσι **B** **20** τυγχάνων om. **Φ** | ἔνθεν **BPF** : ὅθεν **Φ** **21** φησὶ **BP**^{1}**QFΦ** : ἔφη **P**^{3}**W**, Cobet | καλῶς Stephanus^{2} (in *Praef.*) : κακῶς **BPFΦ** : "μεγάλα με ἡ πατρὶς ἠδίκησεν ἐκ τῆς Λιβύης με εἰς τὴν Ἑλλάδα ἐκβαλοῦσα" *Gnom. Vat.*

Κυρηναῖοι, ἐκ τῆς Λιβύης εἰς τὴν Ἑλλάδα με ἐξορίζοντες."

Θεόδωροι δὲ γεγόνασιν εἴκοσι· πρῶτος Σάμιος, υἱὸς Ῥοίκου. Οὗτός ἐστιν ὁ συμβουλεύσας ἄνθρακας ὑποτεθῆναι τοῖς θεμελίοις τοῦ ἐν Ἐφέσῳ νεώ· καθύγρου γὰρ ὄντος τοῦ τόπου τοὺς ἄνθρακας ἔφη τὸ ξυλῶδες ἀποβαλόντας αὐτὸ τὸ στερεὸν ἀπαθὲς ἕξειν ὕδατι. Δεύτερος Κυρηναῖος, γεωμέτρης, οὗ διήκουσε Πλάτων· τρίτος ὁ προγεγραμμένος φιλόσοφος· τέταρτος οὗ τὸ φωνασκικὸν
104 φέρεται βιβλίον πάγκαλον· πέμπτος ὁ περὶ τῶν νομοποιῶν πεπραγματευμένος, ἀρξάμενος ἀπὸ Τερπάνδρου· ἕκτος ⟨φιλόσοφος⟩ Στωϊκός· ἕβδομος ὁ τὰ περὶ Ῥωμαίων πεπραγματευμένος· ὄγδοος Συρακόσιος, περὶ τακτικῶν γεγραφώς· ἔνατος Βυζάντιος, ἀπὸ λόγων πολιτικῶν· δέκατος ὁμοίως, οὗ Ἀριστοτέλης μνημονεύει διὰ τῆς ἐπιτομῆς τῶν ῥητόρων· ἑνδέκατος Θηβαῖος ἀνδριαντοποιός· δωδέκατος ζωγράφος, οὗ μέμνηται Πολέμων· τρισκαιδέκατος ζωγράφος, Ἀθηναῖος, περὶ οὗ ἐγεγράφει Μηνόδοτος· τεσσαρεσκαιδέκατος Ἐφέσιος, ζωγράφος, οὗ μέμνηται Θεοφάνης ἐν τῷ Περὶ γραφικῆς· πεντεκαιδέκατος ποιητὴς ἐπιγραμμάτων· ἑκκαιδέκατος γεγραφὼς περὶ ποιητῶν· ἑπτακαιδέκατος ἰατρός, Ἀθηναίου μαθητής· ὀκτωκαιδέ-

3–7 ὕδατι : **φ** 36 **7–8** 43 A 3 DK. Cf. DL 3.6 **15–16** Aristot. Fr. 138 Rose^3 **16–17** Polemonis Fr. 67 (*FHG* III, p. 135) **17–18** *FGrHist* 541 F 3 **19–20** Theophanis Fr. 7 (*FHG* III, p. 316)

1 με om. **F** **4** ὑποτιθέναι Cobet **5** τοῦ **F**$\mathbf{P^2}$**Qφ** : τῷ **B**$\mathbf{P^1}$ **6** ἀποβαλόντας **Pφ** : ἀποβάλλοντας **BF** **7** ἕξειν Richards : ἔχειν **BPFφ** **10** πάγκαλον **BF**$\mathbf{P^5}$: om. $\mathbf{P^1}$**Q** **WH** **12** φιλόσοφος addidi **13** συρακούσιος **P** **15** οὗ **P** : ὃν **F** : ὧν $\mathbf{B^2}$ **18** ζωγράφος – τεσσαρεσκαιδέκατος om. **F** | περὶ scripsi : ὑπὲρ **BP** | ἐγεγράφει **B**, γεγράφει **P** : γέγραφε **D** : γράφει *Frob.* **21** ἑξκαιδέκατος $\mathbf{P^4}$**H**

κατος Χῖος, φιλόσοφος Στωϊκός· ἐννεακαιδέκατος Μιλήσιος, καὶ αὐτὸς Στωϊκὸς φιλόσοφος· εἰκοστὸς ποιητὴς τραγῳδίας.

ΦΑΙΔΩΝ

Φαίδων Ἠλεῖος, τῶν εὐπατριδῶν, συνεάλω τῇ πατρίδι 105
καὶ ἠναγκάσθη στῆναι ἐπ' οἰκήματος· ἀλλὰ τὸ θύριον προσθεὶς μετεῖχε Σωκράτους, ἕως αὐτὸν λυτρώσασθαι τοὺς περὶ Ἀλκιβιάδην ἢ Κρίτωνα προὔτρεψε· καὶ τοὐντεῦθεν ἐλευθερίως ἐφιλοσόφει. Ἱερώνυμος δ' ἐν τῷ Περὶ ἐποχῆς καθαπτόμενος δοῦλον αὐτὸν εἴρηκε. Διαλόγους δὲ συνέγραψε γνησίους μὲν Ζώπυρον, Σίμωνα, καὶ δισταζόμενον Νικίαν, Μήδειον, ὅν φασί τινες Αἰσχίνου, οἱ δὲ Πολυαίνου· Ἀντίμαχον ἢ Πρεσβύτην· καὶ οὗτος διστάζεται· σκυτικοὺς λόγους· καὶ τούτους τινὲς Αἰσχίνου φασίν.

Διάδοχος δ' αὐτοῦ Πλείσταινος Ἠλεῖος, καὶ τρίτοι ἀπ' αὐτοῦ οἱ περὶ Μενέδημον τὸν Ἐρετριέα καὶ Ἀσκληπιάδην τὸν Φλιάσιον, μετάγοντες ἀπὸ Στίλπωνος. Καὶ ἕως μὲν τούτων Ἠλειακοὶ προσηγορεύοντο, ἀπὸ δὲ Μενεδή-

2–3 *TrGF* I, Nr. 134 Snell **5–10 et 15–p. 164.2** III A 1 Giann. **5–9** cf. 2.31 **9–10** Hieronymi Fr. 24 Wehrli **10'** Διαλόγους – **14** III A 8 Giann. **15–17** Fr. 171 Doering

4 *tit.* **P**[4] in mg **F** : om. **B** **5** φαίδων – **6** οἰκήματος **B**[2] **5** ἥλιος **B**[2] **7** προσθεὶς Kuehn : προστιθεὶς **BPF** **8** ἢ **B P** : καὶ **F** **10** δὲ **BP** : μὲν **F** **12** Μήδειον, ὅν Croenert (*Kolotes,* 30 n. 158) : μηδείονον **B** : μήδιον ὃν **PF** et *Suda,* Φ 154 : Μηδεῖον, ὅν Menagius **13** πολυαίνου **BPF** : Πλεισταίνου Croenert | πρεσβύτην **FP**[1] ss. et *Suda* (Φ 154) : πρεσβύτας **BP**[1]**Q W H** **14** σκυτικοὺς **BPF** : Σκυθικοὺς Menagius **15** Πλείσταινος Roeper[2] (qui et Πλείσταρχος coniecit conl. 9.61) : πλείστενος **P**[1]**QF** : πλείστανος **BP**[3]**WH** | ἥλιος **B** | τρίτη **F** **16** ἐρετρία **B** **18** ἠλειακοὶ **PF** : ἡλιακοὶ **B** | δὲ om. **F**

μου Ἐρετριακοί· περὶ οὗ λέξομεν ἐν ὑστέρῳ διὰ τὸ καὶ αὐτὸν κατάρχειν αἱρέσεως.

ΕΥΚΛΕΙΔΗΣ

106 Εὐκλείδης ἀπὸ Μεγάρων τῶν πρὸς Ἰσθμῷ, ἢ Γελῷος κατ' ἐνίους, ὥς φησιν Ἀλέξανδρος ἐν Διαδοχαῖς. Οὗτος καὶ τὰ Παρμενίδεια μετεχειρίζετο. Καὶ οἱ ἀπ' αὐτοῦ Μεγαρικοὶ προσηγορεύοντο, εἶτ' Ἐριστικοί, ὕστερον δὲ Διαλεκτικοί, οὓς οὕτως ὠνόμασε πρῶτος Διονύσιος ὁ Χαλκηδόνιος διὰ τὸ πρὸς ἐρώτησιν καὶ ἀπόκρισιν τοὺς λόγους διατίθεσθαι. Πρὸς τοῦτόν φησιν Ἑρμόδωρος ἀφικέσθαι Πλάτωνα καὶ τοὺς λοιποὺς φιλοσόφους μετὰ τὴν Σωκράτους τελευτήν, δείσαντας τὴν ὠμότητα τῶν τυράννων. Οὗτος ἓν τὸ ἀγαθὸν ἀπεφαίνετο πολλοῖς ὀνόμασι καλούμενον· ὁτὲ μὲν γὰρ φρόνησιν, ὁτὲ δὲ θεόν, καὶ ἄλλοτε νοῦν καὶ τὰ λοιπά. Τὰ δ' ἀντικείμενα τῷ ἀγαθῷ ἀνῄρει, μὴ εἶναι φάσκων.

107 Ταῖς τε ἀποδείξεσιν ἐνίστατο οὐ κατὰ λήμματα, ἀλλὰ κατ' ἐπιφοράν. Καὶ τὸν διὰ παραβολῆς λόγον ἀνῄρει, λέγων ἤτοι ἐξ ὁμοίων αὐτὸν ἢ ἐξ ἀνομοίων συνίστασθαι·

1 λέξομεν : 2.125–144 **4–5** III A 1 Giann. **4–10** διατίθεσθαι : Fr. 31 Doering **5** *FGrHist* 273 F 87 **6** Καὶ οἱ – **10** διατίθεσθαι : II A 22 et II P 3 Giann. **10** Πρὸς – **13** τῶν τυράννων : Fr. 4 B Doer.; II A 5 Giann. Cf. DL 3.6 **13** Οὗτος – **16** Fr. 24 Doer.; II A 30 Giann.; Arsen., p. 253 s. W. **18–p. 165.7** Frr. 29, 30 et 8 Doer.; II A 34 Giann.; Arsen., p. 254

1 λέξωμεν **B** | ἐν ὑστέρῳ **BP** : ὕστερον **F** **2** κατάρχεσθαι **F** **3** *tit.* **P** : om. **F** et **B** spatio relicto **4** πρὸς τῷ **F**[1] (expunxit τῷ **F**[2]) **6** παρμενίδια **BF** **9** Χαλκηδόνιος I. Ionsius (*De scriptoribus historiae philos.*, 1716[2], III, p. 45) conl. Strab. 12.4.9 : καρχηδόνιος **BPF** **13** οὕτως **F**

καὶ εἰ μὲν ἐξ ὁμοίων, περὶ αὐτὰ δεῖν μᾶλλον ἢ οἷς ὅμοιά ἐστιν ἀναστρέφεσθαι· εἰ δ' ἐξ ἀνομοίων, παρέλκειν τὴν παράθεσιν. Διὰ ταῦτα δὲ καὶ περὶ αὐτοῦ ταῦτά φησι Τίμων, προσπαρατρώγων καὶ τοὺς λοιποὺς Σωκρατικούς·

'Αλλ' οὔ μοι τούτων φλεδόνων μέλει· οὐδὲ γὰρ ἄλλου
οὐδενός, οὐ Φαίδωνος ὅτις γέ⟨νε⟩τ', οὐδ' ἐριδάντεω
Εὐκλείδου, Μεγαρεῦσιν ὃς ἔμβαλε λύσσαν ἐρισμοῦ.

Διαλόγους δὲ συνέγραψεν ἕξ· Λαμπρίαν, Αἰσχίνην, **108**
Φοίνικα, Κρίτωνα, 'Αλκιβιάδην, 'Ερωτικόν. Τῆς δὲ Εὐκλείδου διαδοχῆς ἐστι καὶ Εὐβουλίδης ὁ Μιλήσιος, ὃς καὶ πολλοὺς ἐν διαλεκτικῇ λόγους ἠρώτησε, τόν τε ψευδόμενον καὶ τὸν διαλανθάνοντα καὶ 'Ηλέκτραν καὶ ἐγκεκαλυμμένον καὶ σωρείτην καὶ κερατίνην καὶ φαλακρόν. Περὶ τούτου φησί τις τῶν κωμικῶν·

Οὑριστικὸς δ' Εὐβουλίδης ⟨ὁ⟩ κερατίνας ἐρωτῶν
καὶ ψευδαλαζόσιν λόγοις τοὺς ῥήτορας κυλίων

5–7 Timonis B 28 Diels; *Suppl. Hell.* 802 **8–9** Fr. 15 Doer.; II A 10 Giann. **9** Τῆς δὲ – **10** ὁ Μιλήσιος : Fr. 50 Doer.; II A 23 et II B 1 Giann. **10** ὃς καὶ πολλοὺς – **13** φαλακρόν : Fr. 64 Doer.; II B 13 Giann. **14** Περὶ τούτου – **p. 166.3** Fr. 51 A Doer.; II B 1 Giann. **15–p. 166.1** *PCG* VIII Fr. 149. Cf. *Suda,* P 224

1 δεῖν **B^2** in ras. **5** μέλλει **PF** **6** ὅτις γέ⟨νε⟩τ', οὐδ' ἐριδάντεω Diels (ὅτις γένετ' iam Meineke) : ὅστις γε τ' οὐδ' ἐριδάντεω **B** : ὅστις γε (τ ss. add. **P^5**) οὐδ' ἐριδάντεω **P^{1}QW H** : ὅς τις γε τοῦ δερινδάτεω **F** : ὅστις γε μέν, οὐδ' ἐριδάντεω Arsen. **7** εὐκλείδου **BPF** : Εὐκλείδεω Meineke **8** ἀμπρίαν **P^{1}QW**, corr. **P^{4}H** **13** σωρείτην **BPF** : σωρίτην **Φ** **15** οὑριστικὸς **Φ**, οὐριστικὸς **BP^1** et *Suda* F : ὁ ὑβριστικὸς **F** (**P^5**) : ἐριστικὸς *Suda* cett. | ὁ add. Roeper^3 **16** ψευδαλαζόσιν **B^1** et *Suda* : ψευδαλοζόσι **B^{2}PFΦ** | κολούων **Φ**

ἀπῆλθ' ἔχων Δημοσθένους τὴν ῥωβοστωμυλήθραν.

Ἐῴκει γὰρ αὐτοῦ καὶ Δημοσθένης ἀκηκοέναι καὶ ῥω-
109 βικώτερος ὢν παύσασθαι. Ὁ δὲ Εὐβουλίδης καὶ πρὸς
Ἀριστοτέλη διεφέρετο, καὶ πολλὰ αὐτὸν διαβέβληκε.

Μεταξὺ δὲ ἄλλων ὄντων ⟨τῶν⟩ τῆς Εὐβουλίδου διαδοχῆς Ἀλεξῖνος ἐγένετο Ἠλεῖος, ἀνὴρ φιλονεικότατος· διὸ καὶ Ἐλεγξῖνος ἐπεκλήθη. Διεφέρετο δὲ μάλιστα πρὸς Ζήνωνα. Φησὶ δ' Ἕρμιππος περὶ αὐτοῦ ὡς ἄρα ἀπελθὼν ἐκ τῆς Ἤλιδος εἰς Ὀλυμπίαν αὐτόθι φιλοσοφοίη. Τῶν δὲ μαθητῶν αὐτοῦ πυνθανομένων διὰ τί τῇδε κατοικεῖ, φάναι βούλεσθαι αἵρεσιν συστήσασθαι ἣν Ὀλυμπικὴν κληθήσεσθαι. Τοὺς δὲ καὶ τοῖς ἐφοδίοις θλιβομένους καὶ τὸ χωρίον νοσερὸν καταγνόντας ἀπελθεῖν, καὶ τοῦ λοιποῦ διατρίβειν ἔρημον τὸν Ἀλεξῖνον σὺν οἰκέτῃ μόνῳ· ἔπειτα μέντοι νηχόμενον ἐν τῷ Ἀλφειῷ νυχθῆναι καλάμῳ καὶ οὕτω τελευτῆσαι.

110 Καὶ ἔστιν εἰς αὐτὸν ἡμῶν οὕτως ἔχον·

Οὐκ ἆρα μῦθος ἦν ἐκεῖνος εἰκαῖος
ὡς ἀτυχής τις ἐὼν
τὸν πόδα κολυμβῶν περιέπειρέ πως ἥλῳ.

3–4 Fr. 59 Doer.; II B 8 Giann. **5 – 7** ἐπεκλήθη : Fr. 73 Doer.; II B 5 et II C 1 Giann. **7–8** Fr. 92 Doer.; II C 1 Giann. **8 Φησὶ – p. 167.3** καλάμῳ : Fr. 74 Doer.; II C 1 Giann.; Hermippi Fr. 36 Wehrli **18–p. 167.3** *Anth. Pal., App.* 3.129 Cougny

1 ἐπῆλθ' *Suda* H, Roeper[3] | ῥωβοστωμυλήθραν **BPF** : ῥομβοστωμυλήθραν **Φ** et *Suda* : ῥωποπερπερήθραν Meineke ex Plut. *V. Demosth.* 9.5; Eustath. *in Il.* p. 927.56 **2** δημοσθένους **F** | ῥωβικώτερος **BP** : ῥωμικώτερος **F** : ῥωπικώτερος Roeper[3] **4** ἀριστοτέλη **BP** : ἀριστοτέλην **F** **5** τῶν addidi **6** Ἠλεῖος om. **F** **12** θλειβόνους **B** **13** νοσηρὸν **BP**[1] | καταγνῶντας **B** **18** ἆρα Huebner : ἄρα **BPF** | εἰκαῖος **P** : εἰ καὶ ὃς **B** : εἰκαίως **F** **20** περιεπῆρε **B**

Καὶ γὰρ ὁ σεμνὸς ἀνήρ,
πρὶν Ἀλφεόν ποτ' ἐκπερᾶν, Ἀλεξῖνος
θνῆσκε νυγεὶς καλάμῳ.

Γέγραφε δ' οὐ μόνον πρὸς Ζήνωνα, ἀλλὰ καὶ ἄλλα βιβλία, ὧν καὶ πρὸς Ἔφορον τὸν ἱστοριογράφον.

Εὐβουλίδου δὲ καὶ Εὔφαντος γέγονε ⟨γνώριμος⟩ ὁ Ὀλύνθιος, ἱστορίας γεγραφὼς τὰς κατὰ τοὺς χρόνους τοὺς ἑαυτοῦ. Ἐποίησε δὲ καὶ τραγῳδίας πλείους, ἐν αἷς εὐδοκίμει κατὰ τοὺς ἀγῶνας. Γέγονε δὲ καὶ Ἀντιγόνου τοῦ βασιλέως διδάσκαλος, πρὸς ὃν καὶ λόγον γέγραφε Περὶ βασιλείας σφόδρα εὐδοκιμοῦντα. Τὸν βίον δὲ γήρᾳ κατέστρεψεν.

Εἰσὶ ⟨δὲ⟩ καὶ ἄλλοι διακηκοότες Εὐβουλίδου, ἐν οἷς 111 καὶ Ἀπολλώνιος ὁ Κρόνος, οὗ Διόδωρος Ἀμεινίου Ἰασεύς, καὶ αὐτὸς Κρόνος ἐπίκλην, περὶ οὗ φησι Καλλίμαχος ἐν ἐπιγράμμασιν·

αὐτὸς ὁ Μῶμος
ἔγραφεν ἐν τοίχοις· "ὁ Κρόνος ἐστὶ σοφός."

Ἦν δὲ καὶ οὗτος διαλεκτικός, πρῶτος δόξας εὑρηκέναι τὸν ἐγκεκαλυμμένον καὶ κερατίνην λόγον κατά τινας. Οὗτος παρὰ Πτολεμαίῳ τῷ Σωτῆρι διατρίβων λόγους τινὰς διαλεκτικοὺς ἠρωτήθη πρὸς Στίλπωνος· καὶ μὴ δυνάμενος

4–5 Fr. 93 Doer.; II C 1 Giann.; *FGrHist* 70 T 31 **6–12** Fr. 68 Doer., II D 1 Giann.; *FGrHist* 74 T 1 **8–9** *TrGF* I Nr. 118 Snell **9** i.e Antigoni II Gonatae (Jacoby) **13–p. 168.11** Frr. 96, 99 et 109 Doer.; II E 1 et II F 1 Giann. **13–15** ἐπίκλην : Strab. 17.3.22; 14.2.21 **17–18** Callim. Fr. 393.1–2 Pf.

3 νυγεὶς **B** (-θ- super -γ- add. **B**^{2}) : νυχθεὶς **PF** **5** ὧν **B** : ὃν **F** : om. **P** **6** γνώριμος add. Casaubon **10** ἔγραφε **F** **13** δὲ add. *Frob.* : om. **BPF** **14** οὗ om. **P** **15** φασὶ **F** **17** μῶμος in ras. **F**^{2} **18** τείχοις **F** **22–p. 168.1** παραχρῆμα μὴ δυνάμενος **BP**

παραχρῆμα διαλύσασθαι, ὑπὸ τοῦ βασιλέως τά τε ἄλλα ἐπετιμήθη καὶ δὴ καὶ Κρόνος ἤκουσεν ἐν σκώμματος
112 μέρει. Ἐξελθὼν δὴ τοῦ συμποσίου καὶ λόγον γράψας περὶ τοῦ προβλήματος ἀθυμίᾳ τὸν βίον κατέστρεψε. Καὶ ἔστιν ἡμῶν εἰς αὐτόν·

Κρόνε Διόδωρε, τίς σε δαιμόνων κακῇ
ἀθυμίῃ ξυνείρυσεν,
ἵν' αὐτὸς αὐτὸν ἐμβάλῃς εἰς Τάρταρον
Στίλπωνος οὐ λύσας ἔπη
αἰνιγματώδη; Τοιγὰρ εὑρέθης Κρόνος
ἔξωθε τοῦ ῥῶ κάππα τε.

Τῶν δ' ἀπὸ Εὐκλείδου ἐστὶ καὶ Ἰχθύας Μετάλλου, ἀνὴρ γενναῖος, πρὸς ὃν καὶ Διογένης ὁ Κυνικὸς διάλογον πεποίηται· Κλεινόμαχος θ' ὁ Θούριος, ὃς πρῶτος περὶ ἀξιωμάτων καὶ κατηγορημάτων καὶ τῶν τοιούτων συνέγραψε· καὶ Στίλπων ὁ Μεγαρεύς, διασημότατος φιλόσοφος, περὶ οὗ λεκτέον.

ΣΤΙΛΠΩΝ

113 Στίλπων Μεγαρεὺς τῆς Ἑλλάδος διήκουσε μὲν τῶν ἀπ' Εὐκλείδου τινῶν· οἱ δὲ καὶ αὐτοῦ Εὐκλείδου φασὶν ἀκοῦσαι αὐτόν, ἀλλὰ καὶ Θρασυμάχου τοῦ Κορινθίου, ὃς

6–11 *Anth. Pal., App.* 7.19 Cougny **12-17** Fr. 32 A Doer.; II A 24; II H 1 et II I 1 Giann. **13** Διογένης : cf. 6.80 Ἰχθύας **19–p. 169.1** Fr. 147 Doer.; II O 2 Giann.; Heraclidis Lembi Fr 14 (*FHG* III, 170); Sotionis Fr. 8 Wehrli

1 διαλύσασθαι **BP** : διαλῦσαι **F** **2** ἐπετιμήθη : -πεss. **F**[2] | καί[2] om. **PF** **3** δὴ **BP** : δὲ **Fφ** **6** κρόνος διόδωρος **F** | κακὴ **F** **7** ἀθυμίαι **P** **8** ἐμβάλλεις **F**[1], -ης **F**[2] | ἐς **B** **11** ἔξωθε **B**[1]**PF** : ἔξωθεν **B**[2] : ἔξω γε Casaubon **12** μετάλλου **PF**, μεταλλοῦ **B** : Μεγάλλου Roeper[3] **14** τε **F** : δὲ **BP** **18** *tit.* **P** : om. **F** et **B** spatio relicto **21** θρασυμμάχου **F**

ἦν Ἰχθύα γνώριμος, καθά φησιν Ἡρακλείδης. Τοσοῦτον δ' εὑρεσιλογίᾳ καὶ σοφιστείᾳ προῆγε τοὺς ἄλλους, ὥστε μικροῦ δεῆσαι πᾶσαν τὴν Ἑλλάδα ἀφορῶσαν εἰς αὐτὸν μεγαρίσαι. Περὶ τούτου φησὶ Φίλιππος ὁ Μεγαρικὸς κατὰ λέξιν οὕτω· "Παρὰ μὲν γὰρ Θεοφράστου Μητρόδωρον τὸν θεωρηματικὸν καὶ Τιμαγόραν τὸν Γελῷον ἀπέσπασε, παρὰ Ἀριστοτέλους δὲ τοῦ Κυρηναϊκοῦ Κλείταρχον καὶ Σιμμίαν· ἀπὸ δὲ τῶν Διαλεκτικῶν Παιώνειον μὲν ἀπὸ Ἀριστείδου, Δίφιλον δὲ τὸν Βοσποριανὸν ⟨ἀπὸ⟩ ⟨*⟩ ⟨τὸν⟩ Εὐφάντου καὶ Μύρμηκα τὸν Ἐξαινέτου παραγενομένους ὡς ἐλέγξοντας ἀμφοτέρους ζηλωτὰς ἔσχε." Χωρὶς τοίνυν 114 τούτων Φρασίδημον μὲν τὸν Περιπατητικὸν καὶ φυσικῶν ἔμπειρον ὄντα προσηγάγε⟨το⟩, καὶ τὸν ῥητορικὸν Ἄλκιμον, ἁπάντων πρωτεύοντα τῶν ἐν τῇ Ἑλλάδι ῥητόρων, Κράτητά τε καὶ ἄλλους πλείστους ὅσους ἐθήρασε· καὶ δὴ καὶ Ζήνωνα τὸν Φοίνικα μετὰ τούτων ἀφείλετο. Ἦν δὲ καὶ πολιτικώτατος.

Καὶ γυναῖκα ἠγάγετο· καὶ ἑταίρᾳ συνῆν Νικαρέτῃ, ὥς φησί που καὶ Ὀνήτωρ. Καὶ θυγατέρα ἀκόλαστον ἐγέννη-

1 Τοσοῦτον – **4** μεγαρίσαι : Fr. 163 A Doer.; II O 2 Giann. **4** Περὶ – **11** ἔσχε : Fr. 164 Doer.; II O 3 Giann. **7** Ἀριστοτέλους : IV E 5 Giann. | Κλείταρχον : *FGrHist* 137 T 3 **10** Μύρμηκα τὸν ἐξ Ἐνετοῦ legit Steph. Byz., s.v. Ἐνετοί **11** Χωρὶς – **16** ἀφείλετο : Fr. 165 Doer.; II O 3 Giann. **16–17** Fr. 162 Doer.; II O 35 Giann. **18–p. 170.4** Fr. 153 Doer.; II O 17 Giann. **19** Ὀνήτωρ : cf. 3.9

2 εὑρεσιλογία **PF** : εὑρησειλογιᾳ **B**, εὑρησιολογία *Suda* (M 388) et φ 63 | προῆγε **BP⁴HF** : διῆγε **P¹QW** **6** τειμαγώραν **B** **7** Κυρηναίου Roeper³ **8** παιώνειον **F** : παιώνιον **P** : πεώνιον **B** **9** ⟨ἀπὸ⟩ ⟨*⟩ ⟨τὸν⟩ Doering (p. 145) **12** μὲν ss. **P¹** | φυσικῶν **F** : φυσικὸν **BP** **13** προσηγάγετο Cobet : προσήγαγε **BPF** **13–14** ἀλκίμονα πάντων **B** **15** καὶ ὅσους **BP**

σεν, ἣν ἔγημε γνώριμός τις αὐτοῦ Σιμμίας Συρακόσιος. Ταύτης οὐ κατὰ τρόπον βιούσης εἶπέ τις πρὸς τὸν Στίλπωνα ὡς καταισχύνοι αὐτόν· ὁ δέ, "Οὐ μᾶλλον," εἶπεν, "ἢ ἐγὼ ταύτην κοσμῶ."

115 Ἀπεδέχετο δ' αὐτόν, φασί, καὶ Πτολεμαῖος ὁ Σωτήρ. Καὶ ἐγκρατὴς Μεγάρων γενόμενος ἐδίδου τε ἀργύριον αὐτῷ καὶ παρεκάλει εἰς Αἴγυπτον συμπλεῖν· ὁ δὲ μέτριον μέν τι τἀργυριδίου προσήκατο, ἀρνησάμενος δὲ τὴν ὁδὸν μετῆλθεν εἰς Αἴγιναν, ἕως ἐκεῖνος ἀπέπλευσεν. Ἀλλὰ καὶ Δημήτριος ὁ Ἀντιγόνου καταλαβὼν τὰ Μέγαρα τήν τε οἰκίαν αὐτῷ φυλαχθῆναι καὶ πάντα τὰ ἁρπασθέντα προὐνόησεν ἀποδοθῆναι. Ὅτε καὶ βουλομένῳ παρ' αὐτοῦ τῶν ἀπολωλότων ἀναγραφὴν λαβεῖν ἔφη μηδὲν τῶν οἰκείων ἀπολωλεκέναι· παιδείαν γὰρ μηδένα ἐξενηνοχέναι, τόν τε λόγον ἔχειν καὶ τὴν ἐπιστήμην.

116 Καὶ αὐτῷ διαλεχθεὶς περὶ ἀνθρώπων εὐεργεσίας οὕτως εἷλεν, ὥστε προσέχειν αὐτῷ. Τοῦτόν φασι περὶ τῆς Ἀθηνᾶς τῆς Φειδίου τοιοῦτόν τινα λόγον ἐρωτῆσαι· "Ἆρά γε ἡ τοῦ Διὸς Ἀθηνᾶ θεός ἐστι;" Φήσαντος δὲ "Ναί," "Αὕτη δέ γε," εἶπεν, "οὐκ ἔστι Διός, ἀλλὰ Φειδίου." Συγχωρουμένου δέ, "Οὐκ ἄρα," εἶπεν, "αὐτὴ θεός ἐστιν." Ἐφ' ᾧ καὶ εἰς Ἄρειον πάγον προσκληθέντα μὴ ἀρνήσασθαι, φάσκειν δ' ὀρθῶς διειλέχθαι· μὴ γὰρ εἶναι αὐτὴν θεόν, ἀλλὰ θεάν·

5–9 ἀπέπλευσεν : Fr. 150 Doer.; II O 14 Giann. **9** Ἀλλὰ – **17** αὐτῷ : Fr. 151 A Doer.; II O 15 Giann. Cf. *Gnom. Vat.* 515a; Plut. *Demetr.* 9.9 et al. **17** Τοῦτον – **p. 171.6** Fr. 183 Doer.; II O 12 Giann.

1 συρακόσιος **B** : συρακούσιος **PF** **7** πλεῖν **F** **11** αὐτῶ **BPF** : αὐτοῦ **φ** 63 **14** οἰκείων **PF** : ἰδίων **B** et **φ** | ἀπολελωκέναι **B**[2] **17** εἷλεν **Fφ** et **P**[1] ut vid. : εἶδεν **B** : εἶχεν **P**[2]**Q** **18** φειδίου **BFΦ** : τοῦ φειδίου **P** **19** αὐτὴ **P** **20** εἶπεν **B**[1] : εἰπεῖν **B**[2]**PFΦ** **21** αὐτὴ **BP** : αὕτη **Φ** : om. **F** | ἐφ' ᾧ(ι) **BPΦ** : ἐφ' οὗ **F** **23** διηλέγθαι **B**, διηλέχθαι **F**

θεοὺς δὲ εἶναι τοὺς ἄρρενας. Καὶ μέντοι τοὺς Ἀρεοπαγίτας εὐθέως αὐτὸν κελεῦσαι τῆς πόλεως ἐξελθεῖν. Ὅτε καὶ Θεόδωρον τὸν ἐπίκλην Θεὸν ἐπισκώπτοντα εἰπεῖν· "Πόθεν δὲ τοῦτ' ᾔδει Στίλπων; Ἢ ἀνασύρας αὐτῆς τὸν κῆπον ἐθεάσατο;" Ἦν δὲ ἀληθῶς οὗτος μὲν θρασύτατος, Στίλπων δὲ κομψότατος.

Κράτητος γοῦν αὐτὸν ἐρωτήσαντος εἰ οἱ θεοὶ χαίρουσι 117
ταῖς προσκυνήσεσι καὶ εὐχαῖς, φασὶν εἰπεῖν· "Περὶ τούτων μὴ ἐρώτα, ἀνόητε, ἐν ὁδῷ, ἀλλὰ μόνον." Τὸ δ' αὐτὸ καὶ Βίωνα ἐρωτηθέντα εἰ θεοί εἰσιν εἰπεῖν·

Οὐκ ἀπ' ἐμοῦ σκεδάσεις ὄχλον, ταλαπείριε πρέσβυ;

Ἦν δ' οὖν ὁ Στίλπων καὶ ἀφελὴς καὶ ἀνεπίπλαστος πρός τε τὸν ἰδιώτην εὔθετος. Κράτητος γοῦν ποτε τοῦ Κυνικοῦ πρὸς μὲν τὸ ἐρωτηθὲν οὐκ ἀποκριναμένου, ἀποπαρδόντος δέ, "Ἤιδειν," ἔφη, "ὡς πάντα μᾶλλον φθέγξῃ ἢ ἃ δεῖ." Ἀλλὰ καὶ ἰσχάδα προτείναντος αὐτῷ ποτε καὶ 118
ἐρώτημα, δεξάμενον καταφαγεῖν· τοῦ δέ, "Ὦ Ἡράκλεις," εἰπόντος, "ἀπολώλεκα τὴν ἰσχάδα·" "Οὐ μόνον," ἔφη, "ἀλλὰ καὶ τὸ ἐρώτημα, οὗ ἦν ἀρραβὼν ἡ ἰσχάς." Πάλιν δὲ ἰδὼν τὸν Κράτητα χειμῶνος συγκεκαμμένον, "Ὦ Κρά-

2 Ὅτε – **6** Fr. 260 B Mannebach **7–9** μόνον : Fr. 177 Doer.; II O 6 Giann. **7–11** Bionis F 25 Kindstrand **12–13** εὔθετος : Fr. 161 Doer.; II O 6 Giann. **13** Κράτητος – **16** δεῖ : Fr. 178 Doer.; II O 6 Giann. **16** Ἀλλὰ – **19** ἡ ἰσχάς : Fr. 179 Doer.; II O 6 Giann. **19** Πάλιν – **p. 172.7** : Fr. 180 Doer.; II O 6 Giann.

2 εὐθέως om. **Φ** **5** κῆπον **PFΦ** : κόλπον **B** **7** γοῦν **BP** : τοίνυν **F** | αὐτὸν om. **Φ** **8** εἰπεῖν αὐτὸν **F** **9** ἀνόητε μὴ ἐρώτα **F** | ἀλλὰ μόνον om. **Φ** **11** ἀπ' ἐμοῦ **P**^{3}**W** : ἄπο μοῦ **BP**^{1} : ἄπο μου **FΦ** **16** ἢ ἃ δεῖ **BFP**^{4}**HΦ** : ἰάδι **P**^{1}**QW** **17** καταφαγεῖν – **18** οὐ μόνον in mg super. **B**^{2} **20** συγκεκαμμένον **B** et coni. Jos. Scaliger et Reiske : συγκεκαυμένον **PF** : συγκεκαλυμμένον **φ** 63

της," εἶπε, "δοκεῖς μοι χρείαν ἔχειν ἱματίου καινοῦ" (ὅπερ ἦν νοῦ καὶ ἱματίου). Καὶ τὸν αἰδεσθέντα παρῳδῆσαι εἰς αὐτὸν οὕτω·

Καὶ μὴν Στίλπων' εἰσεῖδον χαλέπ' ἄλγε' ἔχοντα
ἐν Μεγάροις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.
Ἔνθ' ἔτ' ἐρίζεσκεν, πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι·
τὴν δ' ἀρετὴν παρὰ γράμμα διώκοντες κατέτριβον.

119 Λέγεται δ' οὕτως Ἀθήνησιν ἐπιστρέψαι τοὺς ἀνθρώπους, ὥστε ἀπὸ τῶν ἐργαστηρίων συνθεῖν, ἵνα αὐτὸν θεάσαιντο. Καί τινος εἰπόντος· "Στίλπων, θαυμάζουσί σε ὡς θηρίον," "Οὐ μὲν οὖν," εἶπεν, "ἀλλ' ὡς ἄνθρωπον ἀληθινόν." Δεινὸς δ' ἄγαν ὢν ἐν τοῖς ἐριστικοῖς ἀνῄρει καὶ τὰ εἴδη· καὶ ἔλεγε τὸν λέγοντα ἄνθρωπον λέγειν μηδένα· οὔτε γὰρ τόνδε λέγειν οὔτε τόνδε. Τί γὰρ μᾶλλον τόνδε ἢ τόνδε; Οὐδ' ἄρα τόνδε. Καὶ πάλιν· Τὸ λάχανον οὐκ ἔστι τὸ δεικνύμενον· λάχανον μὲν γὰρ ἦν πρὸ μυρίων ἐτῶν· οὐκ ἄρα ἐστὶ τοῦτο λάχανον. Φασὶ δ' αὐτὸν ὁμι-

1–2 cf. 6.3 **4–7** Cratetis B 1 Diels; *Suppl. Hell.* 347; **φ** 63 **4** cf. *Odyss.* 11.582 **5** cf. *Iliad.* 2.783. –Τυφωέος ad vocem τῦφος alludit **6** cf. *Iliad.* 2.417 **8–12** ἀληθινόν : Fr. 176 Doer.; II O 11 Giann. **12** Δεινὸς – **17** λάχανον : Fr. 199 Doer.; II O 27 Giann. **17–p. 173.4** Fr. 181 Doer.; II O 6 Giann.

1 ἔχειν χρείαν **F** **1–2** ὅπερ ἦν νοῦ καὶ ἱματίου**BP** : ἤτοι νοῦ καὶ ἱματίου **φ** : om. **F** : del. Cobet **2** αἰδεσθέντα **BPF** : ἀχθεσθέντα Emperius, Cobet : om. **φ** | παρωδίσαι **F** **4** μὴν **B^2PFφ** : μὴ **B^1** | χαλεπ' **BPφ** : κρατερ' **F** | ἄλγη **B** | ἔχοντ' ἄλγεα **φ** **6** Ἔνθ' ἔτ' Diels : ἔνθε τ' **P^1QW, B^1** (ενθετ-) : ἔνθεν τ' **φ** : ἔνθα τ' **FP^4H** : ἔνθ' ὅ γ' Wilamowitz (conl. *Il.* 2.314) | ἐρίζεσκεν **B** : ἐρίζεσκε **P Fφ** **8** ἀθήνηθεν **Φ** **10** θεάσωνται **F** **11** εἶπεν **FΦ** : εἰπεῖν **BP** **12–13** ἀνήρει καὶ **PF** : ἀνήρηκε **B** : ἀνήρει **φ** **13** λέγειν Roeper[3] : εἶναι **BPFφ** **14** λέγειν **BPFφ** : εἶναι Cobet **15** οὐδ' Cobet : οὔτε **BPFφ**

λοῦντα Κράτητι μεταξὺ σπεῦσαι ἰχθῦς πρίασθαι· τοῦ δ' ἐπισπωμένου καὶ φάσκοντος· "Καταλείπεις τὸν λόγον;" "Οὐκ ἔγωγε," ἔφη, "ἀλλὰ τὸν μὲν λόγον ἔχω, σὲ δὲ καταλείπω· ὁ μὲν γὰρ λόγος περιμένει, τὸ δ' ὄψον πεπράσεται."

Φέρονται δ' αὐτοῦ διάλογοι ἐννέα ψυχροί· Μόσχος, 120
Ἀρίστιππος ἢ Καλλίας, Πτολεμαῖος, Χαιρεκράτης, Μητροκλῆς, Ἀναξιμένης, Ἐπιγένης, Πρὸς τὴν ἑαυτοῦ θυγατέρα, Ἀριστοτέλης. Τούτου καὶ Ἡρακλείδης φησὶ τὸν Ζήνωνα ἀκοῦσαι τὸν τῆς Στοᾶς κτίστην. Γηραιὸν δὲ τελευτῆσαί φησιν Ἕρμιππος, οἶνον προσενεγκάμενον, ὅπως θᾶττον ἀποθάνῃ.

Ἔστι δὲ καὶ εἰς τοῦτον ἡμῶν·

Τὸν Μεγαρέα [τὸν] Στίλπωνα, γινώσκεις δ' ἴσως,
γῆρας, ἔπειτα νόσος καθεῖλε, δύσμαχον ζυγόν·
ἀλλ' οἶνον εὗρε τῆς κακῆς συνωρίδος
φέρτερον ἡνίοχον· πιὼν παρ' ⟨Ἅιδην⟩ ἤλασεν.

6–9 Ἀριστοτέλης : Fr. 187 Doer.; II O 23 Giann. **9–10** κτίστην : Fr. 167 Doer.; II O 4 Giann.; Heraclidis Lembi Fr 14 (*FHG* III, 170 s.); Sotionis Fr. 9 Wehrli; DL 2.114; 7.2 et 7.24 **10** Γηραιὸν – **17** Fr. 152 Doer.; II O 16 Giann. **10–12** Hermippi Fr. 35 Wehrli **14–17** *Anth. Pal., App.* 5.42 Cougny

1 ἰχθύας **P**[1]**F** **2** φάσκοντος **BPΦ** : λέγοντος **F** | καταλίπης **F** **4** μὲν om. **Φ** | περιμένει **BPΦ** : περιμενεῖ **F**, Cobet **9** καὶ ἡρακλείδης φησὶ **BP** : φησὶ καὶ ἡρακλείδης **F** : φησὶν Ἡρακλείδης καὶ Cobet **12** ὅπως **BP** : ἵνα **F** **13** καὶ om. **F** **14** τὸν[2] **BPF**, del. G. Hermann et Meineke (*Frr. Com. Gr.* IV, 386) | γιγνώσκεις Cobet **17** πιὼν παρ' ⟨Ἅιδην⟩ ἤλασεν scripsi (cf. DL 7.184 et Soph. *O.C.* 1552) : πιὼν γὰρ ἤλασε **BPF** : ⟨χανδὸν⟩ πιὼν γὰρ ἤλασεν Cobet (cf. 7.184) : πιὼν γὰρ ἤλασεν πρόσω. Ἐσκώφθη (pro προσεσκώφθη **BP**) Meineke

Προσεσκώφθη δὲ ὑπὸ Σωφίλου τοῦ κωμικοῦ ἐν δράματι Γάμῳ·

Στίλπωνός ἐστι βύσμαθ' ὁ Χαρίνου λόγος.

ΚΡΙΤΩΝ

121 Κρίτων Ἀθηναῖος· οὗτος μάλιστα φιλοστοργότατα διετέθη πρὸς Σωκράτην, καὶ οὕτως ἐπεμελεῖτο αὐτοῦ, ὥστε μηδέποτ' ἐλλείπειν τι τῶν πρὸς τὴν χρείαν. Καὶ οἱ παῖδες δὲ αὐτοῦ διήκουσαν Σωκράτους, Κριτόβουλος, Ἑρμογένης, Ἐπιγένης, Κτήσιππος. Ὁ δ' οὖν Κρίτων διαλόγους γέγραφεν ἐν ἑνὶ φερομένους βιβλίῳ ἑπτακαίδεκα, τοὺς ὑπογεγραμμένους·

Ὅτι οὐκ ἐκ τοῦ μαθεῖν οἱ ἀγαθοί,
Περὶ τοῦ πλεῖον ἔχειν,
Τί τὸ ἐπιτήδειον ἢ Πολιτικός,
Περὶ τοῦ καλοῦ,
Περὶ τοῦ κακουργεῖν,
Περὶ εὐθημοσύνης,
Περὶ νόμου,
Περὶ τοῦ θείου,
Περὶ τεχνῶν,
Περὶ συνουσίας,
Περὶ σοφίας,

1–3 Fr. 185 Doer.; II O 16 Giann. **3** *PCG* VII, Sophili Fr. 3 **5–p. 175.7** VI B 42 Giann.

1 πρὸς ἐσκώφθη **F** | σωφίλου **B**^{2} : σοφίλου **B**^{1}**PF** : φίλου **P**^{5} et *Frob.* : Διφίλου *Aldobr.* et Menagius **2** γάμω(ι) **BP** : γάμου **FP**^{3}**W** **4** *tit.* **P** : om. **F** et **B** (spatio relicto) **5** φιλοστοργώτατα **P** **6** ἐπεμελήθη **F** **7** μηδέποτ' ἐλλείπειν **F** : μηδέποτε λείπειν **BP** | τὴν om. **F** **9** γ' οὖν **F** **13 et 14** unus titulus in **BP**^{1} **14** πολιτικός **BPF** : Βουλευτικός Roeper^{3} **15** περὶ τοῦ καλοῦ secl. Roeper^{3} **17** εὐθυμοσύνης **B** **18** νόμου **BP** : τοῦ νόμου ἢ **F**

Πρωταγόρας [ἢ Πολιτικός],
Περὶ γραμμάτων,
Περὶ ποιητικῆς,
[Περὶ τοῦ καλοῦ,]
Περὶ τοῦ μαθεῖν,
Περὶ τοῦ γνῶναι ἢ Περὶ ἐπιστήμης,
Τί τὸ ἐπίστασθαι.

ΣΙΜΩΝ

Σίμων Ἀθηναῖος, σκυτοτόμος. Οὗτος ἐρχομένου Σω- 122
κράτους ἐπὶ τὸ ἐργαστήριον καὶ διαλεγομένου τινά, ὧν ἐμνημόνευεν ὑποσημειώσεις ἐποιεῖτο· ὅθεν σκυτικοὺς αὐτοῦ τοὺς διαλόγους καλοῦσιν. Εἰσὶ δὲ εἷς καὶ τριάκοντα ἐν ἑνὶ φερόμενοι βιβλίῳ·

Περὶ θεῶν,
Περὶ τοῦ ἀγαθοῦ,
Περὶ τοῦ καλοῦ,
Τί τὸ καλόν,
Περὶ δικαίου πρῶτον, δεύτερον,
Περὶ ἀρετῆς, ὅτι οὐ διδακτόν,
Περὶ ἀνδρείας πρῶτον, δεύτερον, τρίτον,
Περὶ νόμου,
Περὶ δημαγωγίας,
Περὶ τιμῆς,

9–p. 177.4 VI B 87 Giann.

1 ἢ πολιτικός seclusi (cf. p. 174.14) **3** ποιητικῆς **BP** : ποιητῶν **F** **4** περὶ τοῦ καλοῦ secl. Cobet **6–7** Περὶ τοῦ γνῶναι, περὶ ἐπιστήμης ἢ τί τὸ ἐπίστασθαι (unus titulus) Casaubon : Περὶ τοῦ γνῶναι, Περὶ ἐπιστήμης ἢ τί τὸ ἐπίστασθαι (duo tituli) Roeper[3] **8** *tit.* **P** (in fine versus) : om. **F** et **B** (spatio relicto) **11** ἐμνημόνευσεν **F** **12** εἷς scripsi : τρεῖς **BPF** **14** θεῶν **BP** : θεοῦ **F** **15** τἀγαθοῦ **F** **17** τί τὸ καλὸν in mg **F**[1] **18** περὶ τοῦ δικαίου α´ καὶ β´**F**

[Περὶ ποιήσεως,]
Περὶ εὐπαθείας,
Περὶ ἔρωτος,
Περὶ φιλοσοφίας,
Περὶ ἐπιστήμης,
Περὶ μουσικῆς,
Περὶ ποιήσεως,
[Τί τὸ καλόν,]
123 Περὶ διδασκαλίας,
Περὶ τοῦ διαλέγεσθαι,
Περὶ κρίσεως,
Περὶ τοῦ ὄντος,
Περὶ ἀριθμοῦ,
Περὶ ἐπιμελείας,
Περὶ τοῦ ἐργάζεσθαι,
Περὶ φιλοκερδοῦς,
Περὶ ἀλαζονείας,
[Περὶ τοῦ καλοῦ].

Οἱ δέ·

Περὶ τοῦ βουλεύεσθαι,
Περὶ λόγου ἢ Περὶ ἐπιτηδειότητος,
Περὶ κακουργίας.

Οὗτος, φασί, πρῶτος διελέχθη τοὺς λόγους τοὺς Σωκρατικούς. Ἐπαγγειλαμένου δὲ Περικλέους θρέψειν αὐτὸν καὶ κελεύοντος ἀπιέναι πρὸς αὐτόν, οὐκ ἂν ἔφη τὴν

1 περὶ ποιήσεως seclusi (cf. v. 7) : Περὶ ⟨παιδο⟩ποιήσεως coni. Roeper[3] | post ποιήσεως addit τί τὸ καλόν· περὶ διδασκαλίας **F** (cf. vv. 8–9) **2** εὐπαθίας **B** **7–9** περὶ ποιήσεως, τί τὸ καλόν, περὶ διδασκαλίας **BP**, om. **F** (cf. v.1) **8** τί τὸ καλόν secl. Reiske (cf. p. 175.17) **18** secl. Reiske (cf. p. 175.16) : Περὶ ⟨φιλο⟩κάλου coni. Roeper[3] **21** Περὶ ⟨πολιτικοῦ⟩ λόγου coni. Reiske (conl. p. 174.14) **23** διειλέχθη **F** | post λόγους addidit σωκρατ **B**[1], sed erasit

παρρησίαν ἀποδόσθαι.

Γέγονε δὲ καὶ ἄλλος Σίμων ῥητορικὰς τέχνας γεγραφώς· καὶ ἕτερος ἰατρὸς κατὰ Σέλευκον τὸν Νικάνορα· καί τις ἀνδριαντοποιός.

ΓΛΑΥΚΩΝ

Γλαύκων Ἀθηναῖος· καὶ τούτου φέρονται ἐν ἑνὶ διά- **124**
λογοι ἐννέα·

Φειδύλος,
Εὐριπίδης,
Ἀμύντιχος,
Εὐθίας,
Λυσιθείδης,
Ἀριστοφάνης,
Κέφαλος,
Ἀναξίφημος,
Μενέξενος.

Φέρονται καὶ ἄλλοι δύο καὶ τριάκοντα, οἳ νοθεύονται.

ΣΙΜΜΙΑΣ

Σιμμίας Θηβαῖος· καὶ τούτου φέρονται ἐν ἑνὶ διάλογοι τρεῖς καὶ εἴκοσι·

Περὶ σοφίας,
Περὶ λογισμοῦ,
Περὶ μουσικῆς,
Περὶ ἐπῶν,

6–17 VI B 63 Giann. **19–p. 178.19** cf. *Suda,* 432 Σιμμίας Θηβαῖος

3 νικάνορα **FP^{3}W** : νικάτορα **BP^{1}Q** **5** *tit.* **P** : om. **BF** **6** ἐν ἑνὶ ⟨βιβλίῳ⟩ Cobet **8** φείδυλος **BPF** et *Frob.*, corr. Bast **17** ἄλλοι **BP** : διάλογοι **F** | post οἳ addit καὶ **F** **18** *tit.* **P** in fine versus : om. **BF** **19** ὁ θηβαῖος **P** | ἐν ἑνὶ ⟨βιβλίῳ⟩ Cobet

Περὶ ἀνδρείας,
Περὶ φιλοσοφίας,
Περὶ ἀληθείας,
Περὶ γραμμάτων,
Περὶ διδασκαλίας,
Περὶ τέχνης,
Περὶ τοῦ ἐπιστατεῖν,
Περὶ πρέποντος,
Περὶ αἱρετοῦ καὶ φευκτοῦ,
Περὶ φίλου,
Περὶ τοῦ εἰδέναι,
Περὶ ψυχῆς,
Περὶ τοῦ εὖ ζῆν,
Περὶ δυνατοῦ,
Περὶ χρημάτων,
Περὶ ζωῆς,
Τί τὸ καλόν,
Περὶ ἐπιμελείας,
Περὶ ἔρωτος.

ΚΕΒΗΣ

125 Κέβης ὁ Θηβαῖος· καὶ τούτου φέρονται διάλογοι τρεῖς·

Πίναξ,
Ἑβδόμη,
Φρύνιχος.

10 περὶ φίλου **BPF** : περὶ φιλίας *Suda* **13** εὖ ζῆν in mg **F**[1] **18** Περὶ ἐπιμελείας ψυχῆς *Suda* (l. Περὶ ἐπιμελείας, ⟨Περὶ⟩ ψυχῆς [cf. v. 12] Menagius) **20** *tit.* **P** in fine versus : om. **F** et **B** (spatio relicto)

ΜΕΝΕΔΗΜΟΣ

Οὗτος τῶν ἀπὸ Φαίδωνος, Κλεισθένους τοῦ τῶν Θεοπροπιδῶν καλουμένων υἱός, ἀνδρὸς εὐγενοῦς μέν, ἀρχιτέκτονος δὲ καὶ πένητος· οἱ δὲ καὶ σκηνογράφον αὐτὸν εἶναί φασι καὶ μαθεῖν ἑκάτερα τὸν Μενέδημον· ὅθεν γράψαντος αὐτοῦ ψήφισμά τι καθήψατό τις Ἀλεξίνειος, εἰπὼν ὡς οὔτε σκηνὴν οὔτε ψήφισμα προσήκει τῷ σοφῷ γράφειν. Πεμφθεὶς δὴ φρουρὸς ὁ Μενέδημος ὑπὸ τῶν Ἐρετριῶν εἰς Μέγαρα ἀνῆλθεν εἰς Ἀκαδημίαν πρὸς Πλάτωνα, καὶ θηραθεὶς κατέλιπε τὴν στρατείαν.

Ἀσκληπιάδου δὲ τοῦ Φλιασίου περισπάσαντος αὐτὸν 126
⟨παρ⟩εγένετο ἐν Μεγάροις παρὰ Στίλπωνα, οὗπερ ἀμφότεροι διήκουσαν· κἀντεῦθεν πλεύσαντες εἰς Ἦλιν Ἀγχιπύλῳ καὶ Μόσχῳ τοῖς ἀπὸ Φαίδωνος παρέβαλον. Καὶ

2–p. 191.13 ed. Wilamowitz, *Antigonos* (1881), 95–102 et praesertim D. Knoepfler (1991), 170–204 **2–8** γράφειν : Fr. 85 Doering; II C 18 Giann. **2–p. 180.3** III F 1 Giann. **8** Πεμφθεὶς – **13** διήκουσαν : Fr. 170 Doer.; II O 7 Giann. **9-10** ἀνῆλθεν εἰς Ἀκαδημίαν πρὸς Πλάτωνα : Menedemum Pyrrhaeum Academicum cum Menedemo Eretriensi confudit auctor; cf. Wilamowitz, p. 86 **13** κἀντεῦθεν – **14** παρέβαλον : III D 1 Giann.

1 *tit.* **P** bis, $\mathbf{B}^{2}$ (in fine versus) et **F** ante 2 οὗτος **2** Μενέδημος ⟨Ἐρετριεύς⟩· οὗτος Knoepfler (post Fr. Leo) conl. **φ** 44 | τῶν[1] corr. ex τὸν $\mathbf{B}^{2}$ **3** υἱοῦ **F** **4** σκηνορράφον $\mathbf{FP}^{4}\mathbf{HV}$ (-φου) **6** ἀλεξίνιος **Bφ** : ἀλεξείνιος **P** **7** σκηνὴν ⟨ῥάφειν⟩ οὔτε Jos. Scaliger et Stephanus[2] (in *Praef.*) | ψηφίσματα **φ** **8** δὴ $\mathbf{BF}^{2}\mathbf{P}^{5}$: δὲ $\mathbf{P}^{1}\mathbf{Q}\boldsymbol{\varphi}$ **9** ἐρετριῶν **B**, ἐρετρίων **P** : ἐρετριέων **Fφ** **10** κατέλιπε $\mathbf{F}\boldsymbol{\varphi}\mathbf{P}^{4}\mathbf{H}$: κατέληγε $\mathbf{BP}^{1}\mathbf{QW}$ | στρατιὰν **B** **11** τοῦ φλιασίου **BP** : τυφλιασίου **F** : τοῦ Φλειασίου Wilamowitz **12** ⟨παρ⟩εγένετο scripsi : ἐγένετο **B PF** | Στίλπωνι Cobet **13** ἀγχιπύλω **BP** : ἀρχιπύλω **F** : Ἀγχιμόλῳ Roeper[3] conl. Athen. 2, 44 C

μέχρι μὲν τούτων, ὡς προείρηται ἐν τῷ περὶ Φαίδωνος, Ἠλειακοὶ προσηγορεύοντο· Ἐρετρικοὶ δὲ ἐκλήθησαν ἀπὸ τῆς πατρίδος τοῦ περὶ οὗ ὁ λόγος.

Φαίνεται δὴ ὁ Μενέδημος σεμνὸς ἱκανῶς γενέσθαι· ὅθεν ⟨εἰς⟩ αὐτὸν Κράτης παρῳδῶν φησι·

Φλιάσιόν τ' Ἀσκληπιάδην καὶ ταῦρον Ἐρετρῆ.

Ὁ δὲ Τίμων οὕτως·

ὄχλον ἀναστήσας ὠφρυωμένος ἀφροσιβόμβαξ.

127 Οὕτω δ' ἦν σεμνός, ὡς Εὐρύλοχον τὸν Κασανδρέα μετὰ Κλεϊππίδου Κυζικηνοῦ μειρακίου κληθέντα ὑπ' Ἀντιγόνου ἀπειπεῖν· φοβεῖσθαι γὰρ μὴ Μενέδημος αἴσθηται. Ἦν γὰρ καὶ ἐπικόπτης καὶ παρρησιαστής. Μειρακίου γοῦν καταθρασυνομένου εἶπε μὲν οὐδέν· λαβὼν δὲ κάρφος διέγραψεν εἰς τὸ ἔδαφος περαινομένου σχῆμα· ἕως

1 ὡς προείρηται : cf. 2.105 **4–p. 181.18** γεγάμηκα : III F 5 Giann. **6** Cratetis B 2 Diels; *Suppl. Hell.* 348 **8** Timonis B 29 Diels; *Suppl. Hell.* 803 | ὠφρυωμένος : cf. Hes. κατωφρυωμένος· μεγαλοφρονῶν; ὠφρυωμένος· ἐπηρμένος; Roeper^3, p. 19 s.

2 ἠλειακοὶ **PF** : ἠλιακοὶ **B** | ἐρετρικοὶ **BP**^{1}**F** : ἐρετριακοὶ **P**^{5} (et DL 2.105) **5** εἰς add. Knoepfler (cf. 2.118; 4.63) | παροδὸν **F** **6** φλιάσιόν **BPFφ** : Φλειάσιόν Wilamowitz, Diels | ταῦρον **F**^{2} (τόρον **F**^{1} ut vid.) | Ἐρετρῆ Bergk : ἐρέτρην **BPFφ** **8** ὄχλον coni. Bywater (*Journ. of Philol.* 10 [1882], 79) : λόγον **BPFφ** : ὄγκον Diels post A. Ludwich : λῆρον Hadrianus Iunius | ὠφρυωμένος **PFφ** (ob -υ- quadrisyllaba est, cf. Schwyzer, I, 244) : ὀφρυωμένος **B**, Menag. : ὀφρυούμενος Ludwich, Knoepfler | ἀφροσιβόμβαξ **BP**, ἀφροσιβόμμαξ **F** : ἄφροσι βόμβαξ **φ** : ἀφρασιβόμβαξ Jos. Scaliger **9–10** μετ' ἀσκλειπίδου **F** **10** κυζινοῦ **F** **11** ἀπειπεῖν Wilamowitz : ἀντειπεῖν **BPFφ** **12** καὶ^1 om. **φ** | ἐπικόπης **F** **14** διέγραψεν **Φ** : διέγραφεν **BPF** | τοὔδαφος **PF**

ὁρώντων πάντων συνὲν τὸ μειράκιον τὴν ὕβριν ἀπηλ-
λάγη. Ἱεροκλέους δὲ τοῦ ἐπὶ τοῦ Πειραιῶς συνανακάμ-
πτοντος αὐτῷ ἐν Ἀμφιαράου καὶ πολλὰ λέγοντος περὶ τῆς
ἁλώσεως τῆς Ἐρετρίας, ἄλλο μὲν οὐδὲν εἶπεν, ἠρώτησε
δὲ εἰς τί αὐτὸν Ἀντίγονος περαίνει.
Πρὸς δὲ τὸν θρασυνόμενον μοιχόν, "Ἀγνοεῖς," ἔφη, **128**
"ὅτι οὐ μόνον κράμβη χυλὸν ἔχει χρηστόν, ἀλλὰ καὶ
ῥαφανίδες;" Πρὸς δὲ τὸν νεώτερον ⟨μέγα⟩ κεκραγότα,
"Σκέψαι," ἔφη, "μή τι ὄπισθεν ἔχων λέληθας." Ἀντιγόνου
δὲ συμβουλευομένου εἰ ἐπὶ κῶμον ἀφίκοιτο, σιωπήσας
τἄλλα μόνον ἐκέλευσεν ἀπαγγεῖλαι ὅτι βασιλέως υἱός
ἐστιν. Πρὸς δὲ τὸν ἀναίσθητον ἀναφέροντά τι αὐτῷ
εἰκαίως, ἠρώτησεν εἰ ἀγρὸν ἔχει· φήσαντος δὲ καὶ πάμ-
πλειστα κτήματα, "Πορεύου τοίνυν," ἔφη, "κἀκείνων ἐπι-
μελοῦ, μὴ συμβῇ σοι καὶ ταῦτα καταφθεῖραι καὶ κομψὸν
ἰδιώτην ἀπολαβεῖν." Πρὸς δὲ τὸν πυθόμενον εἰ γήμαι ὁ
σπουδαῖος, ἔφη· "Πότερον ἐγώ σοι σπουδαῖος δοκῶ ἢ οὔ;"
Φήσαντος δ' εἶναι, "Ἐγὼ τοίνυν," εἶπε, "γεγάμηκα." Πρὸς **129**
δὲ τὸν εἰπόντα πολλὰ τὰ ἀγαθὰ ἐπύθετο πόσα τὸν ἀριθ-

7 κράμβη : sensu obscoeno; cf. Athen. 1, 34 D (Knoepfler) **8** ῥαφανίδες : ad ἀποραφανίδωσιν alludit (cf. Aristoph. *Nub.* 1083; Hes., s.v. Λακιάδαι) **18** Πρὸς – **p. 182.1** τῶν ἑκατόν : III F 17 Giann.

1 ἀπηλλάγη **ΦFP**^{5} : ἀπηλλάχθη **BP**^{1}**QWH** 2 τοῦ^{1} om. *Frob.* | συνανακάμπτοντος **BP**^{1}**QW** : συνανακόπτοντος **FP**^{4}**H** *Frob.* 3 ἐν **BFP**^{5} : ἐπὶ **P**^{1}**V** *Frob.* 4 ἀλλ' ὁ **F** 7 ὅτι – **9** ἔφη in mg super. **F**^{2} **8** ῥαφανίδες **BPΦ** : ῥαφανὶς **F**^{2}, Cobet | μέγα addidi | κεκραγότος **B**^{1}, corr. **B**^{2} **10** ante εἰ ἐπὶ addit τί εἴποι **φ**, def. Menagius, Knoepfler **15** καταφθεῖραι **BPF** : διαφθεῖραι **φ** **15–16** κομψὴν ἰδιωτείαν coni. Roeper^{3} **16** ἀπολαβεῖν scripsi : ἀποβαλεῖν **BPFφ** **16** γήμαι **ΦF** : γήμη **B**^{1}**P**^{2} : γήμει **B**^{2} : γήμοι **Q**^{2} *Frob.* **17** σπουδαῖον **F** **18** δ' εἶναι **BPF** : δὴ ναὶ **Φ**

μὸν καὶ εἰ νομίζει πλείω τῶν ἑκατόν. Μὴ δυνάμενος δὲ τῶν καλούντων ἐπὶ δεῖπνόν τινος περιελεῖν τὴν πολυτέλειαν, κληθείς ποτε οὐδὲν μὲν εἶπε· σιωπῶν δ' αὐτὸν ἐνουθέτησε μόνας ἐλαίας προσενεγκάμενος.

Διὰ οὖν δὴ τὸ παρρησιαστικὸν τοῦτο μικροῦ καὶ ἐκινδύνευσεν ἐν Κύπρῳ παρὰ Νικοκρέοντι σὺν Ἀσκληπιάδῃ τῷ φίλῳ. Τοῦ γάρ τοι βασιλέως ἐπιμήνιον ἑορτὴν τελοῦντος καὶ καλέσαντος καὶ τούτους ὥσπερ καὶ τοὺς ἄλλους φιλοσόφους, τὸν Μενέδημον εἰπεῖν ὡς εἰ καλὸν ἦν ἡ τῶν τοιούτων ἀνδρῶν συναγωγή, καθ' ἡμέραν ἔδει γίνεσθαι
130 τὴν ἑορτήν· εἰ δ' οὔ, περιττῶς καὶ νῦν. Πρὸς δὲ τοῦτο ἀπαντήσαντος τοῦ τυράννου καὶ εἰπόντος ὡς ταύτην τὴν ἡμέραν ἔχοι σχολάζουσαν πρὸς τὸ διακούειν φιλοσόφων, ἔτι καὶ μᾶλλον ἀτειρότερον ἐνέκειτο, δεικνὺς ἐπὶ τῆς θυσίας ὡς χρὴ πάντα καιρὸν φιλοσόφων ἀκούειν· ἕως εἰ μή τις αὐλητὴς αὐτοὺς διεπέμψατο, κἂν ἀπώλοντο. Ὅθεν χειμαζομένων ἐν τῷ πλοίῳ τὸν Ἀσκληπιάδην φασὶν εἰπεῖν ὡς ἡ μὲν τοῦ αὐλητοῦ εὐμουσία σέσωκεν αὐτούς, ἡ δὲ τοῦ Μενεδήμου παρρησία ἀπολώλεκεν.

Ἦν δέ, φασί, καὶ ἐκκλίτης καὶ τὰ τῆς σχολῆς ἀδιάφορος· οὔτε γοῦν τάξιν τινὰ ἦν παρ' αὐτῷ βλέπειν, οὔτε

1 Μὴ δυνάμενος – **p. 183.7** διεκρύπτετο : III F 8 Giann.

1 νομίζει **BP** : νομίζῃ **F** : νομίζοι **φ**, Cobet **2** δεῖπνον **ΦFP**^{4}**H** : τὸ δεῖπνον **BP**^{1}**QW** **4** ἐνομοθέτησε **F** | ἐλαίας **ΦFB**^{2} : ἐλάας **B**^{1}**P** **5** γοῦν **F** | τούτου **F**^{1} (corr. **F**^{2}) **6** ἐν κρυπτῷ **P**^{1}**QW** (corr. **P**^{4}**H**) | σὺν **ΦBP** : ἐν **F** **8** καὶ^3 **Φ** : om. **BPF** **10** καθ' ἡκάστην ἡμέραν **F**, Cobet **13** ἔχει **F** **14** ἀτειρότερον **B**^{2} in mg, *Aldobr.*, Menag. : ἀτηρότερον **B**^{1}**P**^{1}**QW** (cf. 6.99) : αὐστηρότερον **ΦF**^{2}**B**^{2} in mg **P**^{4}**H** **15** ἕως **BPFΦ** : ὥστ' Cobet **16** ἀπόλωντο **F** **17** ἀσκληπιάδη **P** **20** ἦν δὲ φασὶ καὶ ἐκκλίτης in mg super. **F**^{2} | ἐκκλίτης **PφF**^{2}**B**^{2} (-τῆς) : ἐκκλινὴς R. Burn, agn. Long **21** γοῦν τάξιν **BPφ** : τάξιν **F**^{1} (et γοῦν ss. add. **F**^{3})

βάθρα κύκλῳ διέκειτο, ἀλλ' οὗ ἂν ἕκαστος ἔτυχε περι-
πατῶν ἢ καθήμενος ἤκουε, καὶ αὐτοῦ τοῦτον τὸν τρόπον
διακειμένου. Ἀγωνιάτης μέντοι, φασίν, ἦν ἄλλως καὶ 131
φιλόδοξος· ὥστε τὸ πρότερον τέκτονι συνοικοδομοῦντες
αὐτός τε καὶ ὁ Ἀσκληπιάδης, ὁ μὲν Ἀσκληπιάδης ἐφαί-
νετο γυμνὸς ἐπὶ τοῦ τέγους τὸν πηλὸν παραφέρων, ὁ δὲ εἴ
τινα ἴδοι ἐρχόμενον, διεκρύπτετο. Ἐπεὶ δ' ἥψατο τῆς πο-
λιτείας, οὕτως ἦν ἀγωνιάτης, ὥστε καὶ τὸν λιβανωτὸν
τιθεὶς διήμαρτε τοῦ θυμιατηρίου. Καί ποτε Κράτητος
περιϊσταμένου αὐτὸν καὶ καθαπτομένου εἰς τὸ ὅτι πολι-
τεύεται, ἐκέλευσέ τισιν εἰς τὸ δεσμωτήριον ἐμβαλεῖν αὐ-
τόν· τὸν δὲ μηδὲν ἧττον τηρεῖν παριόντα, καὶ ὑπερκύπ-
τοντα Ἀγαμεμνόνειόν τε καὶ Ἡγησίπολιν ἀποκαλεῖν.
Ἦν δέ πως ἠρέμα καὶ δεισιδαιμονέστερος. | Σὺν γοῦν 132
Ἀσκληπιάδῃ κατ' ἄγνοιαν ἐν πανδοκείῳ ποτὲ κρεάτων
ῥιπτουμένων φαγών, ἐπειδὴ μάθοι, ἐναυτία τε καὶ ὠχρία,
ἕως Ἀσκληπιάδης ἐπετίμησεν αὐτῷ, εἰπὼν ὡς οὐδὲν
ἠνώχλησεν αὐτὸν τὰ κρέα, ἡ δὲ περὶ τούτων ὑπόνοια. Τὰ

7 Ἐπεὶ – 13 : III F 11 Giann. **14–p. 184.7** III F 8 Giann.

1 ἂν del. Knoepfler 3 μέντοι om. **F** | ἦν φασὶ καὶ ἄλλως **F** 4 τὸ om. **Φ** | τέκτωνι **F** 5 ὁ^{1} om. **Φ** 6 στέγους **B**^{2} 7 ἴδοι **PΦ** : εἴδοι **B** : ᾔδει **F** | διεκρύπτετο **BP**^{1}**QW Φ** : παρεκρύπτετο **P**^{4}**H** et *Frob.* : παρεκρύβετο **F** 8 τὸν om. **F** 9 καὶ τοῦ **VP**^{4} ss., **H** 10 περισταμένου **B** | καὶ καθαπτομένου in mg **F**^{2} 11 δεσμοτήριον **B** | αὐτὸν ἐμβαλεῖν **F** 13 ἀγαμεμνόνιόν **B** | Αἱρησίπολιν coni. Croenert (*Kolotes*, 177) 14 οὖν **F**^{1} (corr. **F**^{2}) 15 ποτὲ ἐν **P**^{1}**Q**, erasit ποτὲ **P**^{3}**W** | πανδοχείῳ **F**^{2} 16 ῥιπτομένων **F** | μάθοι ἐναυτία **φ**, μάθοιεν αὐτία **FV** : μάθοι ἀνεναυτία **B**^{2} (-οιαν- **B**^{1}) Von der Muehll, Knoepfler : μάθοιαν, ἐναυτία **P** 17 εἰπὼν ὡς οὐδὲν Knoepfler : ὡς οὐδὲν εἰπὼν **BPφF** (εἰπὼν ss. **F**^{2}) : εἰπὼν secl. Cobet 18 ἐνόχλησεν **B** | αὐτῷ **φ** | τὰ κρέα αὐτὸν **F** | ἡ δὲ **BP** : ἀλλ' ἡ **F** : ἡ δὲ περὶ τούτων ὑπόνοια om. **φ**

δ' ἄλλα μεγαλόψυχος ἀνὴρ ἦν καὶ ἐλευθέριος. Κατά τε τὴν ἕξιν τὴν σωματικὴν ἤδη καὶ πρεσβύτης ὑπάρχων οὐδὲν ἧττον ἀθλητοῦ, στερεός τε καὶ ἐπικεκαυμένος τὸ εἶδος, ⟨ἁ⟩πίων τε καὶ τετριμμένος· τὸ δὲ μέγεθος σύμμετρος, ὡς δῆλον ἐκ τοῦ εἰκονίου τοῦ ἐν Ἐρετρίᾳ ἐν τῷ ἀρχαίῳ σταδίῳ. Ἔστι γάρ, ὡς ἐπίτηδες, παράγυμνον, τὰ πλεῖστα μέρη φαῖνον τοῦ σώματος.

133 Ἦν δὲ καὶ φιλυπόδοχος καὶ διὰ τὸ νοσῶδες τῆς Ἐρετρίας πλείω συνάγων συμπόσια· ἐν οἷς καὶ ποιητῶν καὶ μουσικῶν. Ἠσπάζετο δὲ καὶ Ἄρατον καὶ Λυκόφρονα τὸν τῆς τραγῳδίας ποιητὴν καὶ τὸν Ῥόδιον Ἀνταγόραν· μάλιστα δὲ πάντων Ὁμήρῳ προσεῖχεν· εἶτα καὶ τοῖς μελικοῖς· ἔπειτα Σοφοκλεῖ, καὶ δὴ καὶ Ἀχαιῷ, ᾧπερ καὶ τὸ δευτερεῖον ἐν τοῖς Σατύροις, Αἰσχύλῳ δὲ τὸ πρωτεῖον ἀπεδίδου. Ὅθεν καὶ πρὸς τοὺς ἀντιπολιτευομένους ταῦτα, φασί, προεφέρετο·

Ἡλίσκετ' ἆρα καὶ πρὸς ἀσθενῶν ταχύς,
καὶ πρὸς χελώνης αἰετὸς βραχεῖ χρόνῳ.

134 Ταῦτα δ' ἐστὶν Ἀχαιοῦ ἐκ τῆς Σατυρικῆς Ὀμφάλης· | ὥσ-

8–p. 185.7 ἐλευθέριος : III F 12 Giann. **10** Lycophronis T 5 Snell (*TrGF* I) **13–19** Achaei T 6 et Fr. 34 Snell (*TrGF* I)

3 στερρός **F** **4** ⟨ἁ⟩πίων scripsi : πίων **BPF** : ἐμπινής coni. Von der Muehll (conl. 5.67) | δὲ om. **F** **5** ἐρετριδ' **B** **7** πλεῖστα **BP** : πλείω **F** **9** συνάγων πλείω **F** | συμπτόσια **B** | post συμπόσια addit ἐν Ἀμφιαράου Roeper[3] (conl. Athen. 2, 46 C–D) **13** ὥπερ **BP** : ὅπερ **FV** : ᾧ **φ** | τὸ **φ** : om. **BPF** **14** δευτέριον **B** | τὸ **PFφ** : τῶ **B** **16** προεφέρετο **BFφ** : προσεφέρετο **P** et *Frob.* **17** ἆρα Orelli : ἄρα **BPFφ** **18** αἰετὸς **F** : ἀετὸς **BPφ** | βραχὺ **F** | χρόνω **BPFφ** : πόνῳ F.G. Schmidt (*Krit. St.*, III, 6) **19** ὀμφάδης **B**[1] (corr. **B**[2])

τε πταίουσιν οἱ λέγοντες μηδὲν αὐτὸν ἀνεγνωκέναι πλὴν τῆς Μηδείας τῆς Εὐριπίδου, ἣν ἔνιοι Νεόφρονος εἶναι τοῦ Σικυωνίου φασίν.

Τῶν δὲ διδασκάλων τοὺς περὶ Πλάτωνα καὶ Ξενοκράτην, ἔτι τε Παραιβάτην τὸν Κυρηναῖον κατεφρόνει, Στίλπωνα δ' ἐτεθαυμάκει· καί ποτε ἐρωτηθεὶς περὶ αὐτοῦ ἄλλο μὲν οὐδὲν εἶπε πλὴν ὅτι ἐλευθέριος. Ἦν δὲ καὶ δυσκατανόητος ὁ Μενέδημος καὶ ἐν τῷ συνθέσθαι δυσανταγώνιστος· ἐστρέφετό τε πρὸς πάντα καὶ εὑρεσιλόγει· ἐριστικώτατός τε, καθά φησιν Ἀντισθένης ἐν Διαδοχαῖς, ἦν. Καὶ δὴ καὶ τόδε ἐρωτᾶν εἰώθει· "Τὸ ἕτερον τοῦ ἑτέρου ἕτερόν ἐστι;" "Ναί." "Ἕτερον δέ ἐστι τὸ ὠφελοῦν τοῦ ἀγαθοῦ;" "Ναί." "Οὐκ ἄρα τὸ ἀγαθὸν ὠφελοῦν ἐστιν."

Ἀνῄρει δέ, φασί, καὶ τὰ ἀποφατικὰ τῶν ἀξιωμάτων, **135**
καταφατικὰ τιθείς· καὶ τούτων τὰ ἁπλᾶ προσδεχόμενος τὰ οὐχ ἁπλᾶ ἀνῄρει, λέγων δὲ συνημμένα καὶ συμπεπλεγμένα. Φησὶ δ' Ἡρακλείδης ἐν μὲν τοῖς δόγμασι Πλα-

4–7 ἐλευθέριος : Fr. 172 Doering **5** Παραιβάτην : Fr. 139 Mannebach | Στίλπωνα : II O 7 Giann. **7** Ἦν δὲ – **p. 186.6** ἀντιβῆναι : III F 18 et II C 6 Giann. **10** Ἀντισθένης : *FGrHist* 508 F 6 **14–p. 186.6** ἀντιβῆναι : Fr. 84 Doer. **17** Ἡρακλείδης : i.e. Lembus, *FHG* III, 167; Sotionis Fr. 12 Wehrli

1 πταίουσιν **BPF** : προσπταίουσιν **φ** | αὐτὸν μηδὲν **φ** **2** ἔνιοι Menagius : ἐν τοῖς **BPF** : om. *Suda*, N 218 | τοῦ om. **F** **4** τοὺς Richards : τῶν **BPF** | ξενοκράτη **B** **5** παραβάτην **F** | Κυρηναϊκὸν Roeper^3 **6** δ' ἐτεθαυμάκει **WD** (*Frob.*) : δὲ τεθαυμάκει **PF** : δὲ τεθαύμακε **B** **7** πλὴν ὅτι ἐλευθέριος in mg **B**^{2} **9** εὑρεσιλόγει **V** : εὑρεσιολόγει **F** : εὑρησιλόγει **B** (εὑρ-) **P** **12** καὶ **B** | τὸ ὠφελοῦν Roeper^3 : τὸ ὠφελεῖν **BPFΦ** **13** τὸ ἀγαθὸν ὠφελοῦν Roeper^3 : τὸ ἀγαθὸν ὠφελεῖν **BPΦ** : τὸ ὠφελεῖν ἀγαθὸν **F** **16** λέγων **BPV** : λέγω **F** | δὲ **BPFV** : om. *Frob.* : ⟨ὧ⟩δε Knoepfler

τωνικὸν εἶναι αὐτόν, διαπαίζειν δὲ τὰ διαλεκτικά· ὥστε Ἀλεξίνου ποτὲ ἐρωτήσαντος εἰ πέπαυται τὸν πατέρα τύπτων, "Ἀλλ' οὔτ' ἔτυπτον," φάναι, "οὔτε πέπαυμαι." Πάλιν τ' ἐκείνου λέγοντος ὡς χρῆν εἰπόντα ναί ἢ οὔ λῦσαι τὴν ἀμφιβολίαν, "Γελοῖον," εἶπε, "τοῖς ὑμετέροις νόμοις ἀκολουθεῖν, ἐξὸν ἐν πύλαις ἀντιβῆναι." Βίωνός τε ἐπιμελῶς κατατρέχοντος τῶν μάντεων, νεκροὺς αὐτὸν ἐπισφάττειν ἔλεγε.

136 Καί ποτέ τινος ἀκούσας ὡς μέγιστον ἀγαθὸν εἴη τὸ πάντων ἐπιτυγχάνειν ὧν τις ἐπιθυμεῖ, εἶπε· "Πολὺ δὲ μεῖζον τὸ ἐπιθυμεῖν ὧν δεῖ." Φησὶ δ' Ἀντίγονος ὁ Καρύστιος γράψαι αὐτὸν μηδὲν μηδὲ συντάξαι, ὥστε μηδ' ἐπὶ δόγματός τινος στηρίζειν. Ἐν δὲ ταῖς ζητήσεσι, φησίν, ὧδε μάχιμος ἦν, ὥσθ' ὑπώπια φέρων ἀπῄει. Ὅμως δ' οὖν τοιοῦτος ἐν τοῖς λόγοις ὑπάρχων ἐν τοῖς ἔργοις πρᾳότατος ἦν. Ἀλεξῖνον γοῦν πολλὰ καταπαίζων καὶ σκληρῶς ἐπισκώπτων, ὅμως αὐτὸν εὖ ἐποίησε τὴν γυναῖκα παραπέμψας ἐκ Δελφῶν ἕως Χαλκίδος, εὐλαβουμένην κλωπείας τε καὶ τὰς καθ' ὁδὸν λῃστείας.

137 Φιλ⟨ικ⟩ός τε ἦν μάλιστα, ὡς δῆλον ἐκ τῆς πρὸς Ἀσ-

6 Βίωνός τε – **8** III F 7 Giann. **6** Βίωνός τε : Fr. 32 Kindstrand **9–11** δεῖ : III F 13 Giann.; Stob. 3.5.18; *Gnom. Vat.* 407 **11** Φησὶ – **19** III F 14 Giann. **14** Ὅμως – **19** Fr. 82 Doer.; II C 6 Giann. **20–p. 188.3** III F 8 Giann.

2 λαεξίνου $\mathbf{P^1Q}$ (corr. $\mathbf{P^3}$) | διερωτήσαντος **P** et *Frob.* **10** εἶπε $\mathbf{\Phi P^1}$ (?), Cobet : εἰπεῖν $\mathbf{BP^2F}$ **11** καρίστιος **B** **14** ὑπόπια **F** | ἀπήει $\mathbf{P\varphi B^2F^2}$: ὑπήει Cobet **15** πραότατος $\mathbf{FP^4H}$: πρακτικώτατος $\mathbf{P^2QWF^2}$ γρ. **H** γρ. : πρακτιώτατος $\mathbf{P^1}$ (?) : πραξιώτατος **B** **16** ἦν om. **F** | ἀλεξίνου **B** | ἐπισκώπτων **PF** : ἐπισκόπτων **BV** : ἐπικόπτων coni. Von der Muehll **18** τὰς κλωπείας **F** **20** φιλ⟨ικ⟩ός Reiske : φίλος **BPF** | τε **BP** : δ' **F**

κληπιάδην συμπνοίας, οὐδέν τι διαφερούσης ⟨τῆς Ὀρέστου πρὸς⟩ Πυλάδην φιλοστοργίας (ἀλλὰ πρεσβύτερος Ἀσκληπιάδης, ὡς λέγεσθαι ποιητὴν μὲν αὐτὸν εἶναι, ὑποκριτὴν δὲ Μενέδημον). Καί ποτέ φασιν Ἀρχεπόλιδος τρισχιλίας αὐτοῖς διαγράψαντος ⟨δραχμὰς⟩ στηριζομένους περὶ τοῦ τίς δεύτερος ἀρεῖ, μηδέτερον λαβεῖν. Λέγεται δὲ καὶ γυναῖκας ἀγαγέσθαι αὐτούς· ὧν τὴν μὲν μητέρα Ἀσκληπιάδην, τὴν δὲ θυγατέρα Μενέδημον. Κἀπειδὴ τελευτῆσαι τῷ Ἀσκληπιάδῃ τὸ γύναιον, λαβεῖν τὸ τοῦ Μενεδήμου· ἐκεῖνόν τε, ἐπειδὴ προὔστη τῆς πολιτείας, πλουσίαν γῆμαι· οὐδὲν μέντοι ἧττον μιᾶς οὔσης οἰκίας ἐπιτρέψαι τὸν Μενέδημον τὴν διοίκησιν τῇ προτέρᾳ γυναικί.

Ὁ μέντοι Ἀσκληπιάδης προκατέστρεψεν ἐν Ἐρετρίᾳ 138
γηραιὸς ἤδη, συζήσας τῷ Μενεδήμῳ σφόδρα εὐτελῶς ἀπὸ μεγάλων· ὅτε καὶ μετὰ χρόνον ἐλθόντος ἐπὶ κῶμον τοῦ ἐρωμένου τοῦ Ἀσκληπιάδου καί τινων νεανίσκων ἀποκλειόντων αὐτόν, ὁ Μενέδημος ἐκέλευσεν εἰσδέξασθαι, εἰπὼν ὅτι Ἀσκληπιάδης αὐτῷ καὶ κατὰ γῆς ὢν τὰς θύρας ἀνοίγει. Ἦσαν δ' οἱ σωματοποιήσαντες αὐτοὺς Ἱππόνικός τε ὁ Μακεδὼν καὶ Ἀγήτωρ ὁ Λαμιεύς· ὁ μὲν ἑκατέρῳ δοὺς τριάκοντα μνᾶς, ὁ δ' Ἱππόνικος Μενεδήμῳ εἰς ἔκδο-

1 τῆς add. Richards **1–2** ⟨Ὀρέστου πρὸς⟩ Πυλάδην scripsi : πυλάδου **BPF** **2** ἀλλὰ καὶ **F** **4** ἀρχεπόλιδος **BPF φ** : Ἀρχιπόλιδος *Frob.* **5** τρισχίλια **P** et *Frob.* | δραχμὰς add. Knoepfler | στηριζομένους **BPFφ** : ἐριζομένους Iunius, *Ambros.*, Menag. **6** ἀρεῖ **φ** et Wilamowitz : ἄρη **P F** : ἄρις **B**[1], ἄρης **B**[2] **8** μητέρα et θυγατέρα scripsi : θυγατέρα et μητέρα **BPFφ** **9** τελευτῆσαι **BPF** : τελευτήσοι **φ** : ἐτελεύτησε *Frob.* **10** τε αὖ **φ**, Knoepfler **15** γηρεὸς **B** **16** ὅτε **B** : ὥστε **PF**[2] | τοῦ **Φ** : om. **BPF** **17** τινων scripsi : τῶν **BPFΦ** (οἱ) **18** ἐκέλευσεν ὁ μενέδημος **Φ** | post ἐκέλευσεν addit αὐτὸν **B** **19** ὅτι **BPΦ** : ὅτε καὶ **F**

σιν τῶν θυγατέρων δισχιλίας δραχμάς. Ἦσαν δὲ τρεῖς, καθά φησιν Ἡρακλείδης, ἐξ Ὠρωπίας αὐτῷ γυναικὸς γεγεννημέναι.

139 Τὰ δὲ συμπόσια τοῦτον ἐποιεῖτο τὸν τρόπον· προηρίστα μετὰ δυ οῖν ἢ τριῶν ἐς ὃ βαθέως ἦν τῆς ἡμέρας· ἔπειτά τις ἐκάλει τοὺς παραγενομένους καὶ αὐτοὺς ἤδη δεδειπνηκότας· ὥστε εἴ τις ἔλθοι θᾶττον, ἀνακάμπτων ἐπυνθάνετο τῶν ἐξιόντων ⟨παίδων⟩ τί εἴη παρακείμενον καὶ πῶς ἔχοι τοῦ χρόνου· εἰ μὲν οὖν λαχάνιον ἢ ταρίχιον, ἀνεχώρουν· εἰ δὲ κρεάδιον, εἰσῄεσαν. Ἦν δὲ τοῦ μὲν θέρους ψίαθος ἐπὶ τῶν κλινῶν, τοῦ δὲ χειμῶνος κώδιον· προσκεφάλαιον δὲ αὐτῷ φέρειν ἔδει. Τό τε περιαγόμενον ποτήριον οὐ μεῖζον ἦν κοτυλιαίου· τράγημα θέρμος ἢ κύαμος, ἔστι δ' ὅτε καὶ τῶν ὡρίων ἄπιος ἢ ῥόα ἢ ὦχροι ἢ
140 νὴ Δί' ἰσχάδες. Ἃ πάντα φησὶν ὁ Λυκόφρων ἐν τοῖς πεποιημένοις Σατύροις αὐτῷ, οὓς Μενέδημον ἐπέγραψεν, ἐγκώμιον τοῦ φιλοσόφου ποιήσας τὸ δρᾶμα· ὧν καί τινά ἐστι τοιαυτί·

Ὡς ἐκ βραχείας δαιτὸς ἡ βαιὰ κύλιξ
αὐτοῖς κυκλεῖται πρὸς μέτρον, τράγημα δὲ
ὁ σωφρονιστὴς τοῖς φιληκόοις λόγος.

1–3 Heraclidis Lembi Fr. 15 (*FHG* III, 171); Sotionis Fr. 11 Wehrli **4–21** III F 15 Giann. **4–15** ἰσχάδες : cf. Athen. 10, 419 E – 420 A **19–21** Lycophronis Fr. 3 Snell (*TrGF* I)

2 γυναικὸς **FP^5** *Frob.* : γυναῖκες **BP^{1}QWH** **3** γεγεννημέναι *Aldobr.* : γεγενημέναι **BP** : γεγεννημένας **F** **5** ἐς ὃ **P^{1}φ** : ἔσω **B** : ἕως **FP^4** | βαθέως Kuehn : βραδέως **BPFφ** **6** τοὺς παραγινομένους Athen. | ἤδη om. **F** et Athen. **8** παίδων addidi ex Athen. **9** ⟨τὸ⟩ τοῦ χρόνου Cobet **12** αὐτῶ **φ** : αὐτῶ **BPF** **14** ὅτι **B** | ῥόα **Bφ** et Athen. : ῥοὰ **P^{1}V** : ῥοιὰ **F** | ὦχροι **BPF** et Athen. : ὄχναι **φ** **15** ὁ om. **F** **16** μενέδημον **BP** (et Athen.) : μενέδημος **F**, Cobet **18** τοιαυτὶ **P** : τοιαυται **B^1** (?), τοιαῦτα **B^2** : τοιαυτή **F^1** ss. -ί **F^2** **20** δὲ **BPFφ** : γὰρ Athen. **21** τοῖς φιληκόοις **(B)P Fφ** : πᾶσιν ἐν μέσῳ Athen.

Τὰ μὲν οὖν πρῶτα κατεφρονεῖτο, κύων καὶ λῆρος ὑπὸ
τῶν Ἐρετριέων ἀκούων· ὕστερον δὲ ἐθαυμάσθη, ὥστε καὶ
τὴν πόλιν ἐγχειρίσασθαι. Ἐπρέσβευσε δὲ καὶ πρὸς
Πτολεμαῖον καὶ Λυσίμαχον, τιμώμενος πανταχοῦ· οὐ μὴν
ἀλλὰ καὶ πρὸς Δημήτριον. Καὶ τῆς πόλεως διακόσια τά-
λαντα τελούσης πρὸς ἔτος αὐτῷ, τὰ πεντήκοντα ἀφεῖλε·
πρὸς ὃν διαβληθεὶς ὡς τὴν πόλιν ἐγχειρίζων Πτολεμαίῳ,
ἀπολογεῖται δι' ἐπιστολῆς, ἧς ἡ ἀρχή· "Μενέδημος
βασιλεῖ Δημητρίῳ χαίρειν. Ἀκούω πρὸς σὲ ἀνατεθῆναι **141**
περὶ ἡμῶν." Λόγος δὲ διαβαλεῖν αὐτὸν τῶν ἀντιπολιτευο-
μένων τινὰ Αἰσχύλον. Δοκεῖ δ' ἐμβριθέστατα πρεσβεῦσαι
πρὸς Δημήτριον ὑπὲρ τοῦ Ὠρωποῦ, ὡς καὶ Εὔφαντος ἐν
Ἱστορίαις μνημονεύει. Ἠγάπα δ' αὐτὸν καὶ Ἀντίγονος
καὶ μαθητὴν ἀνεκήρυττεν αὐτοῦ. Καὶ ἡνίκα ἐνίκα τοὺς
βαρβάρους περὶ Λυσιμάχειαν, γράφει ψήφισμα αὐτῷ
Μενέδημος ἁπλοῦν τε καὶ ἀκόλακον, οὗ ἡ ἀρχή· "Οἱ **142**
στρατηγοὶ καὶ οἱ πρόβουλοι εἶπαν· Ἐπειδὴ βασιλεὺς
Ἀντίγονος μάχῃ νικήσας τοὺς βαρβάρους παραγίνεται
εἰς τὴν ἰδίαν, καὶ τὰ ἄλλα πάντα πράσσει κατὰ γνώμην,
ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ ..."

Διὰ ταῦτα δὴ καὶ τὴν ἄλλην φιλίαν ὑποπτευθεὶς
προδιδόναι τὴν πόλιν αὐτῷ, διαβάλλοντος Ἀριστοδήμου

1–p. 191.10 III F 16 Giann. **5** Δημήτριον : i.e. Πολιορκήτην **11** Δοκεῖ – **13** μνημονεύει : *FGrHist* 74 F 2; Fr. 71 Doering **21-p. 190.7** Hermippi Fr. 38 Wehrli

2 ὥστε **PF** : ὅθεν **B**, Knoepfler **3** δὲ ss. **F**^{2} | καὶ om. **F** **6** ἀφεῖλε **BP** : ἀφείλατο **F** **8** ἡ om. **BPV** **10** διαβαλεῖν Rossi (*Comm. Laert.* 15, p. 41), διαβάλλειν Casaubon : διαβλέπειν **BPF** **12** ὡς ss. **B**^{1} **14** αὐτοῦ **BPF** : αὑτὸν *Frob.* : αὑτόν Cobet **15** Λυσιμάχειαν Roeper^{3} : λυσιμαχείαν **B** : λυσιμαχίαν **P**, *Frob.*, λυσιμάχιαν **F** **17** εἶπαν **BP**^{1}**Q** : εἶπον **FP**^{4}**HV** **19** ἰδίαν **BF**^{1}**VP**^{5} : ἠλείαν **P**^{1}**QF**^{2} in mg γρ.

ὑπεξῆλθε· καὶ διέτριβεν ἐν Ὠρωπῷ ἐν τῷ τοῦ Ἀμφιαράου ἱερῷ· ἔνθα χρυσῶν ποτηρίων ἀπολομένων, καθά φησιν Ἕρμιππος, δόγματι κοινῷ τῶν Βοιωτῶν ἐκελεύσθη μετελθεῖν. Ἐντεῦθεν ἀθυμήσας λαθραίως παρεισδὺς εἰς τὴν πατρίδα καὶ τήν τε γυναῖκα καὶ τὰς θυγατέρας παραλαβών, πρὸς Ἀντίγονον ἐλθὼν ἀθυμίᾳ τὸν βίον κατέστρεψεν.

143 Φησὶ δὲ ⟨περὶ⟩ αὐτὸν Ἡρακλείδης πᾶν τοὐναντίον· πρόβουλον γενόμενον τῶν Ἐρετριῶν πολλάκις ἐλευθερῶσαι τὴν πατρίδα ἀπὸ τῶν τυράννων ἐπαγόμενον Δημήτριον· οὐκ ἂν δὴ οὖν προδοῦναι αὐτὸν Ἀντιγόνῳ τὴν πόλιν, ἀλλὰ διαβολὴν ἀναλαβεῖν ψευδῆ· φοιτᾶν τε πρὸς τὸν Ἀντίγονον καὶ βούλεσθαι ἐλευθερῶσαι τὴν πατρίδα· τοῦ δὲ μὴ εἴκοντος, ὑπ' ἀθυμίας ἀσιτήσαντα ἑπτὰ ἡμερῶν τὸν βίον μεταλλάξαι. Τὰ ὅμοια τούτῳ καὶ Ἀντίγονος ὁ Καρύστιος ἱστορεῖ. Μόνῳ δὲ Περσαίῳ διαπρύσιον εἶχε πόλεμον· ἐδόκει γάρ, Ἀντιγόνου βουλομένου τὴν δημοκρατίαν ἀποκαταστῆσαι τοῖς Ἐρετριεῦσι χάριν Μενεδή-
144 μου, κωλῦσαι. Διὸ καί ποτε παρὰ πότον ὁ Μενέδημος

8–p. 191.5 βιούς : Sotionis Fr. 10 Wehrli **15** Τὰ ὅμοια – **16** ἱστορεῖ : p. 102 Wilamowitz **16** Μόνῳ – **p. 191.3** *SVF* I Nr. 460; *FGrHist* 584 T 4

1 ἐν ss. **F**^{2} | Ἀμφιαράου Knoepfler (conl. p. 181.3) : ἀμφιάραω **BP**^{1}**QW** : ἀμφιάρεως **F** : ἀμφιάρεω **P**^{4}**HV** et *Frob.* **2** ἀπολομένων **BPV** : κλαπέντων **F** **3** βιωτῶν **B** **4** λαθρέως **B**^{1} (corr. **B**^{2}) | παρεισδὺς **BVH** in mg : παρεισδυεὶς **P** : ὑπεισδυεὶς **F**^{2} **8** ⟨περὶ⟩ αὐτὸν Ἡρακλείδης scripsi : αὐτὸν ἡρακλείδης **BP** : ἡρακλείδης αὐτὸν **F** **9** ἐρετριῶν **BP**^{1}**F** : ἐρετριέων **P**^{4}**HV** (cf. p. 179.9) **10** πατρίδα **BF** : πόλιν **PV** | ἐπαγόμενον **BPFV** : ἐπαγομένων Meibom., Knoepfler **11** προδοῦναι **BPV** : προδιδόναι **F** **14** ἡμέρων **BPφ** : ἡμέρας **F** **17** δημοκρατείαν **B** **19** παρὰ τόπον **B**^{1} (corr. **B**^{2})

ἐλέγξας αὐτὸν ἐν λόγοις τά τε ἄλλα ἔφη καὶ δὴ καί· "Φιλόσοφος μέντοι οὗτος, ἀνὴρ δὲ καὶ τῶν ὄντων καὶ τῶν γενησομένων κάκιστος."

Ἐτελεύτα δὲ κατὰ τὸν Ἡρακλείδην τέταρτον καὶ ὀγδοηκοστὸν ἔτος βιούς. Καὶ εἰς αὐτὸν ἡμῶν ἐστιν οὕτως ἔχον·

Ἔκλυον, ⟨ὦ⟩ Μενέδημε, τεὸν μόρον, ὡς ἑκὼν ἀπέσβης
ἐν ἡμέρῃσιν ἑπτὰ μηδὲν ἔσθων·
κᾆτ' ἔργον ⟨μὲν⟩ ἔρεξας Ἐρετρικόν, ἀλλ' ὅμως ἄνανδρον·
ἀψυχίη γὰρ ἡγεμών ⟨σ'⟩ ἔπειγεν.

Καὶ οὗτοι μὲν οἱ Σωκρατικοὶ καὶ οἱ ἀπ' αὐτῶν· μεττέον δὲ ἐπὶ Πλάτωνα τὸν τῆς Ἀκαδημίας κατάρξαντα καὶ τοὺς ἀπ' αὐτοῦ, ὁπόσοι γεγόνασιν ἐλλόγιμοι.

4–6 Sotionis Fr. 10 Wehrli **7–10** *Anth. Pal., App.* 5.40 Cougny. Cf. G. Morelli, *GIF* 23 (1971) 121–140 **9** Ἐρετρικόν : i.q. philosophum (Menagius)

1 καί [2] **F** : om. **BPV** **2** μέντοι οὗτος **PV** : μὲν τοιοῦτος **BF** **4** ὀγδοηκοστὸν **B**, π′ **F**[1], *Aldobr.*, Knoepfler : ἑβδομηκοστὸν **PV**, ο′ γρ. in mg infer. **F**[2] et edd. **5–6** οὕτως ἔχον **F** et *Frob.* : οὗτος **B** : οὕτως **PV** **7** ὦ add. G. Hermann (1829) **8** ἔσθων Menagius : ἐσθίων **BPFV** **9** κᾆτ' **BPFV** : καὶ ⟨δῆτ'⟩ Roeper[3] (p. 42) | μὲν add. Meineke : μέγ' add. Hermann **10** σ' addidi | ἔπειγεν **PF** : ἐπῆγεν **B**[1] (?), ἐπεῖγε **B**[2] : ἔπειγέ ⟨σε⟩ Cobet **13** sine subscriptione **B F** : β′ **P**

Γ

ΠΛΑΤΩΝ

1 Πλάτων, Ἀρίστωνος καὶ Περικτιόνης (ἢ Πωτώνης), Ἀθηναῖος, ἥτις τὸ γένος ἀνέφερεν εἰς Σόλωνα. Τούτου γὰρ ἦν ἀδελφὸς Δρωπίδης, οὗ Κριτίας, οὗ Κάλλαισχρος, οὗ Κριτίας ὁ τῶν τριάκοντα καὶ Γλαύκων, οὗ Χαρμίδης καὶ Περικτιόνη, ἧς καὶ Ἀρίστωνος Πλάτων, ἕκτος ἀπὸ Σόλωνος. Ὁ δὲ Σόλων εἰς Νηλέα καὶ Ποσειδῶνα ἀνέφερε τὸ γένος. Φασὶ δὲ καὶ τὸν πατέρα αὐτοῦ ἀνάγειν εἰς Κόδρον τὸν Μελάνθου, οἵτινες ἀπὸ Ποσειδῶνος ἱστοροῦνται κατὰ Θράσυλλον.

2 Σπεύσιππος δ' ἐν τῷ ἐπιγραφομένῳ Πλάτωνος περιδείπνῳ καὶ Κλέαρχος ἐν τῷ Πλάτωνος ἐγκωμίῳ καὶ Ἀναξιλίδης ἐν τῷ δευτέρῳ Περὶ φιλοσόφων φασὶν ὡς

1 de l. 3 cf. O. Gigon, *Elenchos* 7 (1986) 133–182; L. Brisson, *ANRW* II 36.5 (1992) 3619–3760 et 2° – 25° **2–7** Σόλωνος : cf. Procli *In Tim.* I, pp. 81.27–82.11 Diehl **7–8** Κόδρον : cf. Olympiod. *V. Plat.* 1 **8–10** Thrasylli Fr. 6 (*FHG* III, 505) **11–p. 193.4** Speusippi Fr. 147 Isnardi Parente; F 1 Tarán; Clearchi Fr. 2 Wehrli. Cf. Hieron. *Adv. Iovinian.* 1.42 (ed. E. Bickel, *Diatribe in Sen. Frr.*, I, Lipsiae, 1915, p. 384.27); Plut. *Quaest. conviv.* 717 E; Apul. *De Plat. dogm.* 1.1; Orig. *c. Cels.* 1.37 et 6.8

inscriptio ἐν τῷ γ' **B**^{2} : λαερτίου διογένους βίων φιλοσόφων τῶν εἰς δέκα τὸ τρίτον **P**^{4}**FVD** : τόμος γ' **Φ** **1** **PV** : om. **BF** **3** Ἀθηναῖος post Σόλωνα transp. Meibom. **4** κάλλαισχρος **BP**^{5} : κάλαισχρος **P**^{1}**F** **6** περικτιόνη ἧς **B**^{2}**F**^{1}**P**^{3}**W** : περικτιόνης **P**^{1}**QF**^{2} **7** σώλωνος et σώλων **F** **9** μελάνθου **BP**^{1}**Q** : μελανθίου **P**^{3}**W** : μελενθίου **F** **10** θρασύλον **BP** **11** περιδείπνω – **12** πλάτωνος in mg super. **B**^{2} **11** περιδείπνω **B**^{2}**P**^{5}, περὶ δείπνω **F** : περὶ δείπνου **P**^{1}**QWH** **13** ἀναξιλίδης **FP**^{5} : ἀναξιλήδης **B** : ἀναξιάδης **P**^{1}**(Q)W** **H** : Ἀναξιλαΐδης Cobet | ὡς om. **P**

Ἀθήνησιν ἦν λόγος ὡραίαν ⟨γάμου⟩ οὖσαν τὴν Περικτιόνην βιάζεσθαι τὸν Ἀρίστωνα καὶ μὴ τυγχάνειν· παυόμενόν τε τῆς βίας ἰδεῖν τὴν τοῦ Ἀπόλλωνος ὄψιν· ὅθεν καθαρὰν γάμου φυλάξαι ἕως τῆς ἀποκυήσεως.

Καὶ γίνεται Πλάτων, ὥς φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς, ὀγδόῃ καὶ ὀγδοηκοστῇ Ὀλυμπιάδι, Θαργηλιῶνος ἑβδόμῃ, καθ' ἣν Δήλιοι τὸν Ἀπόλλω γενέσθαι φασί. Τελευτᾷ δέ (ὥς φησιν Ἕρμιππος, ἐν γάμοις δειπνῶν) τῷ πρώτῳ ἔτει τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, βιοὺς ἔτος ἓν πρὸς τοῖς ὀγδοήκοντα. Νεάνθης δέ φησιν αὐτὸν 3 τεττάρων καὶ ὀγδοήκοντα τελευτῆσαι ἐτῶν. Ἔστιν οὖν Ἰσοκράτους νεώτερος ἔτεσιν ἕξ· ὁ μὲν γὰρ ἐπὶ Λυσιμάχου, Πλάτων δὲ ἐπὶ Ἀμεινίου γέγονεν, ἐφ' οὗ Περικλῆς ἐτελεύτησεν. Ἦν δὲ τῶν δήμων Κολλυτεύς, ὥς φησιν Ἀντιλέων ἐν δευτέρῳ Περὶ χρόνων. Καὶ ἐγεννήθη κατά

5–7 Apollodori F 37 (*FGrHist* 244) **6** i.e. 428–424 **8–10** Hermippi Fr. 41 Wehrli **9–10** i.e. 348–347. Cf. Theopompi F 294 (*FGrHist* 115); Philochori F 223 (*FGrHist* 328); Pap. Hercul. 1021, col. 2.36–38 ed. Gaiser (1988) et Dorandi (1991); Favorini Fr. 13 Mensching; DL 5.9 **10–11** Neanthis F 20 (*FGrHist* 84) **11** Ἔστιν – **14** ἐτελεύτησεν : Plut. *Decem orat. v.* 4.1, 836 F; Anon. *Proleg. in Plat.* 2 Westerink; Phot. *Bibl.* 260, p. 486 b 12 **12** ἐπὶ Λυσιμάχου : i.e. 436–435 **13** ἐπὶ Ἀμεινίου : i.e. 429–428 **14** Ἦν δὲ – **15** *FGrHist* 247 F 1; P. Herc. 1021, col. 2.34–35 **15** Καὶ – **p. 194.5** Αἰγινήταις : Anonymi *Proleg. in Plat.* 2 (p. 197.32 Hermann)

1 ἦν om. **B** | γάμου addidi (cf. v 4 γάμου) **2** super τυγχάνειν add. ἐπι- **F**[2] **7** ἀπόλλω **BP** : ἀπόλλωνα **FV** **8** ἕρπιππος **B** **11** Δ′ **F**, τεττάρων **BP** : Α′ Diels (*Rhein. Mus.* 31 [1876] 42) : Β′ Jacoby **12** ἕξ **BPF** et Olympiod. : ἑπτά Meursius (*Archont. Athen.* 3.2) et Jacoby ex Plut. et Photio | λυσιμάχου **BPF** et Plut. : ⟨Ν⟩αυσιμάχου Nunnesius (*Notae ad V. Aristot.*) conl. Diod. 12.33.1 **13** ἀμεινίου **BPF** : ⟨Ἐπ⟩αμείνωνος Zeller et Jacoby

τινας ἐν Αἰγίνῃ (ἐν τῇ Φειδιάδου οἰκίᾳ τοῦ Θάλητος, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ), τοῦ πατρὸς αὐτοῦ μετὰ καὶ ἄλλων πεμφθέντος ⟨ἐκεῖ⟩ κληρούχου καὶ ἐπανελθόντος εἰς Ἀθήνας, ὁπόθ' ὑπὸ Λακεδαιμονίων ἐξεβλήθησαν βοηθούντων Αἰγινήταις. Ἀλλὰ καὶ ἐχορήγησεν Ἀθήνησι Δίωνος ἀναλίσκοντος, ὥς φησιν Ἀθηνόδωρος
4 ἐν η΄ Περιπάτων. Ἔσχε δ' ἀδελφοὺς Ἀδείμαντον καὶ Γλαύκωνα καὶ ἀδελφὴν Πωτώνην, ἐξ ἧς ἦν Σπεύσιππος.

Καὶ ἐπαιδεύθη μὲν γράμματα παρὰ Διονυσίῳ, οὗ καὶ μνημονεύει ἐν τοῖς Ἀντερασταῖς. Ἐγυμνάσατο δὲ παρὰ Ἀρίστωνι τῷ Ἀργείῳ παλαιστῇ· ἀφ' οὗ καὶ Πλάτων διὰ τὴν εὐεξίαν μετωνομάσθη, πρότερον Ἀριστοκλῆς ἀπὸ τοῦ πάππου καλούμενος [ὄνομα], καθά φησιν Ἀλέξανδρος ἐν Διαδοχαῖς. Ἔνιοι δὲ διὰ τὴν πλατύτητα τῆς ἑρμηνείας οὕτως ὀνομασθῆναι· ἢ ὅτι πλατὺς ἦν τὸ μέτωπον, ὥς φησι Νεάνθης. Εἰσὶ δ' οἳ καὶ παλαῖσαί φασιν αὐτὸν Ἰσθμοῖ,
5 καθὰ καὶ Δικαίαρχος ἐν πρώτῳ Περὶ βίων, | καὶ γραφικῆς ἐπιμεληθῆναι καὶ ποιήματα γράψαι, πρῶτον μὲν διθυράμ-

1 ἐν – **2** ἱστορίᾳ : Favorini Fr. 32 Mensching **5** Ἀλλὰ καὶ – **7** Περιπάτων : cf. Plut. *Dion.* 17.2; *Aristid.* 1.4 **9–14** ἐν Διαδοχαῖς : cf. Apul. *De Plat. dogm.* 1.1 et 2; Olympiod. *V. Plat.* 2; Anon. *Proleg. in Plat.* 1 et 2; Sen. *Ep.* 58.30; Serv. *In Aen.* 6.668 **10** Plat. *Amat.* 132 a 1 **13–14** *FGrHist* 273 F 88 **15** ὅτι πλατὺς – **16** Νεάνθης : *FGrHist* 84 F 21; P. Herc. 1021, col. 2.40–43 et Gaiser 407–409. Cf. J.A. Notopoulos, *C.P.* 34 (1939) 135–145 **16** Εἰσὶ – **17** Περὶ βίων : Dicaearchi Fr. 40 Wehrli **17** γραφικῆς – **p. 195.1** τραγῳδίας : cf. Apul. *De Plat. dogm.* 1.2; Olympiod. *V. Plat.* 2 et 3; Ael. *V.H.* 2.30

2 φαβορεῖνος **B** **3** ἐκεῖ addidi (ἐν τῇ Αἰγίνῃ Olymp.) | κληρούχων **F** **5** ἐχωρήγησεν **B** **8** ποτώτην **B** | ἦν ss. **F**[2] **13** ὄνομα om. **F**, del. Cobet **15** ὠνομασθῆναι **F** **16** εἰσί(ν) δ' **PF** : εἰσὶν **B** | παλέσαι **F** | φησὶν **BF** **17** post βίων addit λέγεται δὲ ὅτι **F**, agn. Cobet **18** ἐπεμελήθη et ἔγραψε **F** | πρῶτον **BP** : καὶ πρῶτα **F**

βους, ἔπειτα καὶ μέλη καὶ τραγῳδίας. Ἰσχνόφωνός τε, φασίν, ἦν, ὡς καὶ Τιμόθεός φησιν ὁ Ἀθηναῖος ἐν τῷ Περὶ βίων. Λέγεται δ' ὅτι Σωκράτης ὄναρ εἶδε κύκνου νεοττὸν ἐν τοῖς γόνασιν ἔχειν, ὃν καὶ παραχρῆμα πτεροφυήσαντα ἀναπτῆναι ἡδὺ κλάγξαντα· καὶ μεθ' ἡμέραν Πλάτωνα αὐτῷ συστῆναι, τὸν δὲ τοῦτον εἰπεῖν εἶναι τὸν ὄρνιν.

Ἐφιλοσόφει δὲ τὴν ἀρχὴν ἐν Ἀκαδημίᾳ, εἶτα ἐν τῷ κήπῳ τῷ παρὰ τὸν Κολωνόν, ὥς φησιν Ἀλέξανδρος ἐν Διαδοχαῖς, καθ' Ἡράκλειτον. Ἔπειτα μέντοι μέλλων ἀγωνιεῖσθαι τραγῳδίᾳ πρὸ τοῦ Διονυσιακοῦ θεάτρου Σωκράτους ἀκούσας κατέφλεξε τὰ ποιήματα εἰπών·

Ἥφαιστε, πρόμολ' ὧδε· Πλάτων νύ τι σεῖο χατίζει.

Τοὐντεῦθεν δὴ γεγονώς, φασίν, εἴκοσιν ἔτη διήκουσε 6
Σωκράτους· ἐκείνου δ' ἀπελθόντος προσεῖχε Κρατύλῳ τε τῷ Ἡρακλειτείῳ καὶ Ἑρμογένει τῷ τὰ Παρμενίδου φιλοσοφοῦντι. Εἶτα γενόμενος ὀκτὼ καὶ εἴκοσιν ἐτῶν, καθά φησιν Ἑρμόδωρος, εἰς Μέγαρα πρὸς Εὐκλείδην σὺν καὶ

1–3 *FHG* IV, 523 **3** Λέγεται – **6** Olympiod. *V. Plat.* 4; Anon. *Proleg. in Plat.* 1; Paus. 1.30.3; Orig. *c. Cels.* 6.8; Apul. 1.1; Arsen. *Violetum,* p. 438 Walz **7–9** *FGrHist* 273 F 89 **9** Ἔπειτα – **12** Olympiod. *V. Plat.* 3; Anon. *Proleg. in Plat.* 3; *Iliad.* 18.392; Apul. *De Plat. dogm.* 1.2; Ael. *V.H.* 2.30; Procli *In Plat. Remp.* I, p. 205.5 Knoll **14–16** cf. Aristot. *Metaph.* A 6, 987 a 32; Apul. 1.3; Olympiod. *V. Plat.* 4; Anon. *Proleg. in Plat.* 4 (p. 199.24) **17** εἰς Μέγαρα – **p. 196.1** ὑπεχώρησεν : 2.106; Cic. *De fin.* 5.87

1 ἔπειτα δὲ **FV** **2** φασὶν om. **F** | ὁ ἀθηναῖος om. **F** **3** ὅτι καὶ **F** | ἴδε **B** **4** σχεῖν **B** **6** τοῦτο $\mathbf{F}^1$ (corr. $\mathbf{F}^2$) **7** δὲ $\mathbf{FP}^2\mathbf{Q}$: δὴ $\mathbf{BP}^1$ | ἐν ἀκαδημία εἶτα secl. Roeper[1] **8** παρὰ **BF** : περὶ **PV** **9** ἡράκλητον **B** **10** πρὸ τῶν Διονυσίων Ael. **12** ἥφεστε **B** | τι $\mathbf{B}^2\mathbf{\Phi}$ et Hom. : τοι **PF** **14** προσεῖχε – **16** εἶτε secl. Roeper[1] **14** τε om. **F** **15** ἡρακλείτω **F** **16** εἶτα **BF** : ἔπειτα **PV** **17** ἐς **F**

ἄλλοις τισὶ Σωκρατικοῖς ὑπεχώρησεν. Ἔπειτα εἰς Κυρήνην ἀπῆλθε πρὸς Θεόδωρον τὸν μαθηματικόν· κἀκεῖθεν εἰς Ἰταλίαν πρὸς τοὺς Πυθαγορικοὺς Φιλόλαον καὶ Εὔρυτον. Ἔνθεν τε εἰς Αἴγυπτον παρὰ τοὺς προφήτας· οὗ φασι καὶ Εὐριπίδην αὐτῷ συνακολουθῆσαι καὶ αὐτόθι νοσήσαντα πρὸς τῶν ἱερέων ἀπολυθῆναι τῇ διὰ θαλάττης θεραπείᾳ· ὅθεν που καὶ εἰπεῖν·

θάλασσα κλύζει πάντα τἀνθρώπων κακά.

7 Ἀλλὰ καὶ Ὅμηρον φάναι ⟨περὶ⟩ πάντων ἀνθρώπων Αἰγυπτίους ἰατροὺς εἶναι. Διέγνω δὴ ὁ Πλάτων καὶ τοῖς Μάγοις συμμίξαι· διὰ δὲ τοὺς τῆς Ἀσίας πολέμους ἀπέστη. Ἐπανελθὼν δὲ εἰς Ἀθήνας διέτριβεν ἐν Ἀκαδημίᾳ. Τὸ δ' ἐστὶ γυμνάσιον προάστειον ἀλσῶδες, ἀπό τινος ἥρωος ὀνομασθὲν Ἑκαδήμου, καθὰ καὶ Εὔπολις ἐν Ἀστρατεύτοις φησίν·

ἐν εὐσκίοις δρόμοισιν Ἑκαδήμου θεοῦ.

Ἀλλὰ καὶ ὁ Τίμων εἰς τὸν Πλάτωνα λέγων φησί·

1 Ἔπειτα – **4** προφήτας : P. Herc. 1021, col. X.7–9; Apul. 1.3; Olympiod. *V. Plat.* 3; Anon. *Proleg. in Plat.* 4; Cic. *Tusc.* 1.39; Quint. *Inst.* 1.12.15 **8** Eurip. *I.T.* 1193 **9–10** cf. *Odyss.* 4.229–232 **12–16** cf. 3.40; Aristoph. *Nub.* 1005 ss. et *Schol.*; Plut. *V. Cim.* 13.7 **16** Eupolidis Fr. 36 (*PCG* V)

4 οἷ Cobet **6** ἀπολυθῆναι **BPFΦ** : ἀπολουσθῆναι in mg $\mathbf{B}^{2}$ **7** εἰπεῖν φασι **Φ** **8** πάντ' ἀνθρώπων **F** **9** καὶ ed. Basil. : καθ' **BPF** : καὶ καθ' *Frob.* | ⟨περὶ⟩ πάντων ἀνθρώπων ex Homero Wilamowitz, *Plato* II (1919) 5 : πάντας ἀνθρώπους **BPF** **12** ἀκαδημία **PF** : ἀκαδημεία **B** **14** ὠνομασθὲν **B** | Ἑκαδήμου Huebner : ἑκαδήμου **B** : ἀκαδήμου **PΦ** : ἀκαδήμου **F** **16** ἑκαδήμου **BF** : ἀκαδήμου $\mathbf{P}^{1}$ (ss. ε- $\mathbf{P}^{1}$) **17** τείμων **B**

Τῶν πάντων δ' ἡγεῖτο πλατίστατος, ἀλλ' ἀγορητὴς
ἡδυεπής, τέττιξιν ἰσογράφος, οἵ θ' Ἑκαδήμου
δένδρῳ ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱᾶσιν.

Πρότερον γὰρ διὰ τοῦ ε Ἑκαδημία ἐκαλεῖτο. Ὁ δ' οὖν 8 φιλόσοφος καὶ Ἰσοκράτει φίλος ἦν. Καὶ αὐτῶν Πραξιφάνης ἀνέγραψε διατριβήν τινα περὶ ποιητῶν γενομένην ἐν ἀγρῷ παρὰ Πλάτωνι ἐπιξενωθέντος τοῦ Ἰσοκράτους. Καὶ αὐτόν φησιν Ἀριστόξενος τρὶς ἐστρατεῦσθαι, ἅπαξ μὲν εἰς Τάναγραν, δεύτερον δὲ εἰς Κόρινθον, τρίτον ἐπὶ Δηλίῳ· ἔνθα καὶ ἀριστεῦσαι. Μίξιν τε ἐποιήσατο τῶν τε Ἡρακλειτείων λόγων καὶ Πυθαγορικῶν καὶ Σωκρατικῶν· τὰ μὲν γὰρ αἰσθητὰ καθ' Ἡράκλειτον, τὰ δὲ νοητὰ κατὰ Πυθαγόραν, τὰ δὲ πολιτικὰ κατὰ Σωκράτην ἐφιλοσόφει.

Λέγουσι δέ τινες, ὧν ἐστι καὶ Σάτυρος, ὅτι Δίωνι ἐπέ- 9 στειλεν εἰς Σικελίαν ὠνήσασθαι τρία βιβλία Πυθαγορικὰ παρὰ Φιλολάου μνῶν ἑκατόν. Καὶ γὰρ ἐν εὐπορίᾳ, φασίν, ἦν παρὰ Διονυσίου λαβὼν ὑπὲρ τὰ ὀγδοήκοντα τάλαντα, ὡς καὶ Ὀνήτωρ φησὶν ἐν τῷ ἐπιγραφομένῳ Εἰ χρηματιεῖται ὁ σοφός. Πολλὰ δὲ καὶ παρ' Ἐπιχάρμου τοῦ

1–3 Timonis B 30 Diels; *Suppl. Hell.* 804 **4** Dicaearchi Fr. 66 Wehrli; Plut. *Thes.* 32.5; Herodiani I, 277 et II, 471 Lentz **5** Καὶ – **7** Praxiphanis Fr. 61 Wehrli **8** Καὶ – **10** Aristoxeni Fr. 61 Wehrli; Ael. *V.H.* 7.14 **10** Μίξιν – **13** cf. Procli *In Tim.* I, p. 7.24 Diehl **14–18** τάλαντα : 8.15; 44 A 8 DK; Satyri Fr. 16 (*FHG* III, 163 s.); Gell. 3.17.1–2; Cic. *De rep.* 1.10.16 **19** Πολλὰ – **p. 203.3** ὠφέλειαν : Alcimi F 6 (*FGrHist* 560). Cf. C. Gaiser, *Zetesis* (Festschrift E. de Strycker, Antverpiae, 1973) 61–79

1 πλατίστατος **B** : πλατίστακος **Pφ**, πλατύστακος **F** (πλατίστακος def. Diels conl. Athen. 3, 118 C; Luc. *Pisc.* 49) **3** δένδρω **Bφ** : δένδρει **PFV** | λιριόεσαν **B**^{2} | ἰᾶσιν **B**^{2} et ss. **P**^{2}**Q** : ἱεῖσι **P**^{1}**F** **5** καὶ^1 ss. **F**^{2} **6** συνέγραψε **P** **10** καὶ ss. **F**^{2} **11** ἡρακλειτίων **B** | καὶ^1 in mg **F**^{2} **12** ἡράκλιτον **B** **15** ὠνίσασθαι **F** **16** γὰρ **P** : γὰρ καὶ **BF**

κωμῳδοποιοῦ προσωφέληται τὰ πλεῖστα μεταγράψας, καθά φησιν Ἄλκιμος ἐν τοῖς Πρὸς Ἀμύνταν, ἅ ἐστι τέτταρα. Ἔνθα καὶ ἐν τῷ πρώτῳ φησὶ ταῦτα·

"Φαίνεται δὲ καὶ Πλάτων πολλὰ τῶν Ἐπιχάρμου λέγων. Σκεπτέον δέ· ὁ Πλάτων φησὶν αἰσθητὸν μὲν εἶναι τὸ μηδέποτε ἐν τῷ ποιῷ μηδὲ ποσῷ διαμένον, ἀλλ' ἀεὶ ῥέον
10 καὶ μεταβάλλον, | ὡς ἐξ ὧν ἄν τις ἀνέλῃ τὸν ἀριθμόν, τούτων οὔτε ἴσων οὔτε τινῶν οὔτε ποσῶν οὔτε ποιῶν ὄντων. Ταῦτα δ' ἐστὶν ὧν ἀεὶ γένεσις, οὐσία δὲ μηδέποτε πέφυκε. Νοητὸν δὲ ἐξ οὗ μηθὲν ἀπογίνεται μηδὲ προσγίνεται. Τοῦτο δ' ἐστὶν ἡ τῶν ἀϊδίων φύσις, ἣν ὁμοίαν τε καὶ τὴν αὐτὴν ἀεὶ συμβέβηκεν εἶναι. Καὶ μὴν ὅ γε Ἐπίχαρμος περὶ τῶν αἰσθητῶν καὶ νοητῶν ἐναργῶς εἴρηκεν·

— Ἀλλ' ἀεί τοι θεοὶ παρῆσαν χὐπέλιπον οὐ πώποκα,
τάδε δ' ἀεὶ πάρεσθ' ὁμοῖα διά τε τῶν αὐτῶν ἀεί.
— Ἀλλὰ λέγεται μὰν Χάος πρᾶτον γενέσθαι τῶν θεῶν.
— Πῶς δέ κα; Μὴ ἔχον γ' ἀπὸ τίνος μηδ' ἐς ὅ τι πρᾶτον μόλοι.
— Οὐκ ἄρ' ἔμολε πρᾶτον οὐθέν; — Οὐδὲ μὰ Δία δεύτερον,

7 τὸν ἀριθμόν : cf. Aristot. *Metaph.* Δ 8, 1017 b 17–21 et Gaiser, 72 **14–p. 199.1** 23 B 1 DK; Fr. 170a Kaibel (*CGF* I.1); *FGrHist* 560 F 6 **16** cf. Hes. *Theog.* 116

1 κωμωδοποιοῦ **P**, κωμοδοποιοῦ **F** : κωμωδιοποιοῦ **B** **5** αἰθητὸν **B**^{1} (corr. **B**^{2}) | τὸν **B**^{1} (corr. **B**^{2}) **6** τῶ ποσῶ **F** **10** μηδὲν **F** **12** ἀεὶ om. **F** **14** ἀλλὰ **F** | χὐπέλιπον Dobree (ad Porsoni *Aristoph.*, p. 126) : καὶ ὑπέλιπον **PF** : καὶ ὑπέλειπον **B** | οὐ πώποκα **FP**^{4}, οὔπω ποκα **P**^{1}**QW** : οὔ πωκα **B**^{1} : οὔπω ποτέ κα **B**^{2} in mg **15** τε Kuehn : δὲ **BPF** **16** μὰν **FP**^{4} : μὰ **BP**^{1} | πρᾶτον **P**^{1}**F** : πρῶτον **BP**^{2}**Q** **17** δέ κα; Μὴ ἔχον G. Hermann : δὲ κἀμήχανόν **BP**, δέ κ' ἀμήχανόν **F** | γε **F** | μηδ' ἐς **B** : μηδὲν **P**^{1} (-ν in ras.) **Q F** (-ν ss. **F**^{2}) | ὅττι **P**^{2}**Q** | πρᾶτον **PF** : πρῶτον **B** **19** ἔμολεν **B** | πρᾶτον **PF** : πρῶτον **B** | οὐδὲν **P**

τῶνδέ γ' ὧν ἁμὲς νῦν ὧδε λέγομες, ἀλλ' ἀεὶ τάδ' ἦς. 11
Καί·
⟨Αἰ⟩ πὸτ ἀριθμόν τις περισσόν, αἰ δὲ λῇς πὸτ ἄρτιον,
ποτθέμειν λῇ ψᾶφον ἢ καὶ τᾶν ὑπαρχουσᾶν λαβεῖν,
ἦ δοκεῖ κά τοί γ' ⟨ἔθ'⟩ ὡὐτὸς εἶμεν; — Οὐκ ἐμίν γά κα.
— Οὐδὲ μὰν οὐδ' αἰ ποτὶ μέτρον παχυαῖον ποτθέμειν
λῇ τις ἕτερον μᾶκος ἢ τοῦ πρόσθ' ἐόντος ἀποταμεῖν,
ἔτι χ' ὑπάρχοι κῆνο τὸ μέτρον; — Οὐ γάρ. — Ὧδε νῦν ὅρη
καὶ τὸς ἀνθρώπως· ὁ μὲν γὰρ αὔξεθ', ὁ δέ γα μὰν φθίνει,
ἐν μεταλλαγᾷ δὲ πάντες ἐντὶ πάντα τὸν χρόνον.
Ὃ δὲ μεταλλάσσει κατὰ φύσιν κοὔποκ' ἐν ταὐτῷ μένει
ἕτερον εἴη κα τόδ' ἤ⟨δη⟩ τοῦ παρεξεστακότος.

3–p. 200.3 23 B 2 DK; Fr. 170b Kaibel

1 τῶν δὲ γε **BP**[1] (?) : τῶν δ' **FP**[3]**W** | αμες **B**, ἅμες **P**, ἅμες **F** | λέγομες G. Hermann, ἀλλ' ἀεὶ τάδ' ἦς Bergk et **2** Καί Diels (cf. p. 202.15) : λέγω (λέγων **F**) μέλλει τάδ' εἶναι (ἦναι **B**[2]**F**[1]) **B**[1]**PF**[2] **3** Αἰ add. G. Hermann | πὸτ[2] Bergk : τὸν **BPF** **4** ποτθέμειν (vel ποτθέμεν) Ahrens : ποτεθεμην **B**[1], ποτὲ θέμην **P**[1], πότε θέμιν **F** : ποτὲ θέμιν **B**[2]**P**[2]**Q** **5** γ' ⟨ἔθ'⟩ ὡὐτὸς Kaibel : κ' ἑαυτὸς **BP**[1] : καὶ ὁ αὐτὸς **FP**[4]**H** | ειμεν **B**, εἰ μὲν **PF** | γά G. Hermann : τά **BPF** **6** αἰ ποτὶ Casaubon : ἀποτί **BP**, ἀπό τι **F** | παχυαῖον Casaubon : παχὺ ἐὸν **BPF** | ποτ' θεμειν **B**[2] : ποτ' ἐθέμιν **P** : ποτεθέμην **F** **7** ἕτερον **P**[5] : στερον **B**[2], στερρὸν **P**[1]**F** : ἕτερον στερὸν **V** et *Frob.* **8** χ' Huebner : κ' **BPF** | κῆνο **B F**[1] : κεῖνο **PF**[2] : τῆνο G. Hermann **10** τὸς **B** : τὼς **PF V** | ἀνθρώπως **F** : ἀνθρώπους **BPV** | γ' αμαν **B** **13** κοὔποκ' Huebner : καὶ οὔπωκ' **P**[1]**QWF** (-ο- **P**[4]) : καὶ οὔποτ' **B**[2] (οὔπωκ' **B**[1] ?) **14** μένει **B** : μενεῖ **PF** **15** κα τόδ' ἤ⟨δη⟩ Kaibel : καὶ τὸ δεὶ **B** : κάτω δὴ **P** : κατοδὴ **F**[1] (-ω- ss. **F**[2]) : κα τόδ' ⟨ἀ⟩εὶ ed. Basil.

Καὶ τὺ δὴ κἀγὼ χθὲς ἄλλοι καὶ νῦν ἄλλοι τελέθομες
καὖθις ἄλλοι κοὔποχ' ωὑτοὶ κατά ⟨γα τοῦτον⟩ τὸν
λόγον."

12 Ἔτι φησὶν ὁ Ἄλκιμος καὶ ταυτί· "Φασὶν οἱ σοφοὶ τὴν ψυχὴν τὰ μὲν διὰ τοῦ σώματος αἰσθάνεσθαι, οἷον ἀκούουσαν, βλέπουσαν, τὰ δ' αὐτὴν καθ' αὑτὴν ἐνθυμεῖσθαι μηδὲν τῷ σώματι χρωμένην· διὸ καὶ τῶν ὄντων τὰ μὲν αἰσθητὰ εἶναι, τὰ δὲ νοητά. Ὧν ἕνεκα καὶ Πλάτων ἔλεγεν ὅτι δεῖ τοὺς συνιδεῖν τὰς τοῦ παντὸς ἀρχὰς ἐπιθυμοῦντας πρῶτον μὲν αὐτὰς καθ' αὑτὰς διελέσθαι τὰς ἰδέας, οἷον ὁμοιότητα καὶ μονάδα καὶ πλῆθος καὶ μέγεθος καὶ στάσιν καὶ κίνησιν· δεύτερον αὐτὸ καθ' αὑτὸ τὸ καλὸν καὶ
13 ἀγαθὸν καὶ δίκαιον καὶ τὰ τοιαῦτα ὑποθέσθαι· τρίτον τῶν ἰδεῶν συνιδεῖν ὅσαι πρὸς ἀλλήλας εἰσίν, οἷον ἐπιστήμην ἢ μέγεθος ἢ δεσποτείαν (ἐνθυμουμένους ὅτι τὰ παρ' ἡμῖν διὰ τὸ μετέχειν ἐκείνων ὁμώνυμα ἐκείνοις ὑπάρχει· λέγω δὲ οἷον δίκαια μὲν ὅσα τοῦ δικαίου, καλὰ δὲ ὅσα τοῦ καλοῦ). Ἔστι δὲ τῶν εἰδῶν ἓν ἕκαστον ἀΐδιόν τε καὶ νόημα καὶ πρὸς τούτοις ἀπαθές. Διὸ καί φησιν ἐν τῇ φύσει τὰς ἰδέας ἑστάναι καθάπερ παραδείγματα, τὰ δ' ἄλλα ταύταις ἐοικέναι, τούτων ὁμοιώματα καθεστῶτα. Ὁ τοί-

10 πρῶτον μὲν – **12** κίνησιν : cf. Plat. *Parm.* 129 d 6 – e 1 (et Gaiser, 74–77) **12** δεύτερον – **13** ὑποθέσθαι : *Parm.* 130 b 7–9 **13** τρίτον – **17–18** τοῦ καλοῦ : *Parm.* 133 c 8–134 a 1 **19** ἐν τῇ φύσει – **21** καθεστῶτα : *Parm.* 132 d 1–3

1 κἠγὼ Ahrens | τελέθοιμες **B** **2** ωὑτοὶ Cobet : αὐτοὶ **B** : αὐτοὶ **PF** | κατά ⟨γα τοῦτον⟩ τὸν λόγον ed. Basil. : κατὰ τὸν λόγον **BPF** : καττὸν ⟨αὐτὸν αὖ⟩ λόγον Cobet **4** ταυταὶ **B** **4–5** τὴν ψυχὴν in mg **F**^{2} **7** μηδὲ **P**^{1}**QW**, corr. **P**^{4}**H** **8** εἵνεκα **F** **9** ὅτι δὴ **P** **14** ἐπιστήμη **F** **15** τὰ om. **B** **16** μὴ μετέχειν **F**^{1} (μὴ erasit **F**^{2}) | ἐκείνοις **PF** : ἐκείναις **Bφ** **17** δὲ^{1} : δὴ **F** | οἷον om. **F** **18** δὲ καὶ τῶν **F** | ἓν om. **φ** | τε ss. **F**^{2} **20** ἑστάναι τὰς ἰδέας **F** **21** ὁμοιότατα **P**

νυν Ἐπίχαρμος περί τε τοῦ ἀγαθοῦ καὶ περὶ τῶν ἰδεῶν οὕτω λέγει·

— Ἆρ' ἔστιν αὔλησίς τι πρᾶγμα; — Πάνυ μὲν οὖν. 14
— Ἄνθρωπος οὖν αὔλησίς ἐστιν; — Οὐθαμῶς.
— Φέρ' ἴδω, τί δ' αὐλητάς; Τίς εἶμέν τοι δοκεῖ;
Ἄνθρωπος, ἦ οὐ γάρ; — Πάνυ μὲν οὖν. — Οὐκ οὖν δοκεῖς
οὕτως ἔχειν ⟨κα⟩ καὶ περὶ τἀγαθοῦ; Τὸ μὲν
ἀγαθόν τὸ [δὲ] πρᾶγμ' εἶμεν καθ' αὔθ', ὅστις δέ κα
εἰδῇ μαθὼν τῆν', ἀγαθὸς ἤδη γίγνεται.
Ὥσπερ γάρ ἐστ' αὔλησιν αὐλητὰς μαθὼν
ἢ ὄρχησιν ὀρχηστάς τις ἢ πλοκεὺς πλοκάν,
ἢ πᾶν γ' ὁμοίως τῶν τοιούτων ὅ τι τὺ λῇς,
οὐχ αὐτὸς εἴη χά τέχνα, τεχνικός γα μάν.

Πλάτων ἐν τῇ περὶ τῶν ἰδεῶν ὑπολήψει φησίν, εἴπερ 15 ἐστὶ μνήμη, τὰς ἰδέας ἐν τοῖς οὖσιν ὑπάρχειν διὰ τὸ τὴν μνήμην ἠρεμοῦντός τινος καὶ μένοντος εἶναι· μένειν δὲ

3–14 23 B 3 DK; Fr. 171 Kaibel **16** cf. Alex. Aphrod. *In Aristot. Metaph.*, p. 78.15 Hayduck (et Gaiser, 65–70) **16** τὴν μνήμην – **17** μένοντος εἶναι : cf. Plat. *Crat.* 437 b 3; *Phaed.* 96 b 7–8

1 τἀγαθοῦ **F** **3** ἄρα **F** | τι **P** : τις **BF** | οὖν **BPF** : ὦν (hic et 4, 6 bis) Ahrens **4** οὖν om. **B** | οὐδαμῶς **PF** **5** φέρε **BPF** **6** ἦ del. Cobet **7** δοκεῖς **PF** : δοκεῖ **B** **8** κα add. Diels : τοι add. G. Hermann : γα (post περὶ) add. Kaibel **9** ἀγαθὸν – **10** ἀγαθὸς in mg infer. $\mathbf{F}^2$ | τὸ Diels : τὸ δὲ **Bφ**, τόδε **PF** : τι Ahrens | πρᾶγμα **BPF** | εἰ μὲν **BPF** | αὐτὸ **BPFφ** | δέκα **BPφ** **10** εἴδη **Bφ** | τῆνο **PFφ** : τὴν ὁ **B** | ἤδη om. **φ** **11** ἐστ' Kaibel : εἰς τὴν $\mathbf{BPF}^2$: εἰ τὴν $\mathbf{F}^1\mathbf{V}$ **12** ἢ τὴν ὄρχησιν $\mathbf{FP}^4\mathbf{HV}$ **13** ἢ **BPF** : καὶ Wilamowitz | γε **BPF** | τὺ **BF** : τοι **P** | δης $\mathbf{B}^1$ (corr. $\mathbf{B}^2$) **14** οὐχ αὐτὸς **BPF** : οὐκ αὐτὸς Scaliger, agn. Diels | εἴη **F** : εἴηι $\mathbf{BP}^2$ (ἤειι $\mathbf{P}^1$) | χά **BPF** : κα Kaibel, agn. Diels | γα Scaliger : γε **PF** : τε **B** | μὰν om. **B** **15** τῶν om. **F** | διαλήψει coni. Reiske

οὐδὲν ἕτερον ἢ τὰς ἰδέας. "Τίνα γὰρ ἂν τρόπον," φησί, "διεσῴζετο τὰ ζῷα ⟨τὰ⟩ μὴ τῆς ἰδέας ἐφαπτόμενα καὶ πρὸς τοῦτο τὸν νοῦν φυσικῶς εἰληφότα; Νῦν δὲ μνημονεύει τῆς ὁμοιότητος ⟨γένους⟩ τε καὶ τροφῆς, ὁποία τις ἐστὶν αὐτοῖς, ἐνδεικνύμενα διότι πᾶσι τοῖς ζῴοις ἔμφυτός ἐστιν ἡ τῆς ὁμοιότητος θεωρία· διὸ καὶ τῶν ὁμοφύλων αἰσθάνεται." Πῶς οὖν ὁ Ἐπίχαρμος;

16 Εὔμαιε, τὸ σοφόν ἐστιν οὐ καθ' ἓν μόνον,
ἀλλ' ὅσσα περ ζῇ, πάντα καὶ γνώμαν ἔχει.
Καὶ γὰρ τὸ θῆλυ τᾶν ἀλεκτορίδων γένος,
αἰ λῇς καταμαθεῖν ἀτενές, οὐ τίκτει τέκνα
ζῶντ', ἀλλ' ἐπῴζει καὶ ποιεῖ ψυχὰν ἔχειν.
Τὸ δὲ σοφὸν ἁ φύσις τόδ' οἶδεν ὡς ἔχει
μόνα· πεπαίδευται γὰρ αὐταύτας ὕπο.

Καὶ πάλιν·

Θαυμαστὸν οὐδὲν ⟨ἁ⟩μὲ ταῦθ' οὕτω λέγειν
καὶ ἁνδάνειν αὐτοῖσιν αὐτοὺς καὶ δοκεῖν
καλῶς πεφύκειν· καὶ γὰρ ἁ κύων κυνὶ
κάλλιστον εἶμεν φαίνεται καὶ βοῦς βοΐ,
ὄνος δ' ὄνῳ κάλλιστον, ὗς δέ θην ὑΐ."

8–14 23 B 4 DK; Fr. 172 Kaibel **16–20** 23 B 5 DK; Fr. 173 Kaibel

1 φησί om. **F** **2** τὰ^{2} add. Gaiser **3** φυσικῶς **F** : φυσικὸν **BP** **4** ὁμοιότητος **BPF** : οἰκειότητος coni. Gaiser | γένους addidi : γενέσεως add. Diels **5** τοῖς πᾶσι **F** | ἡ ss. **P**^{2} **9** ἀλλὰ **B** | ὅσαπερ **BPF**, corr. Ahrens **10** τᾶν **B** : τῶν **PFV** | ἀλεκτωρίδων **B** **12** ζῶντα **BPF** | ἐπωίζει **BP**^{1} : ἐπόζει **F** : ἐπωάζει **P**^{4}**H** | ψυχὰν **F** : ψυχὴν **BP** **14** γὰρ om. **B** | αὐταύτας Porson : αὖ ταύτας **BPF** **16** ⟨ἁ⟩μὲ Ahrens : με **BPF** **18** πεφύκειν Ahrens : πεφυκέναι **BPF** : πεφῦκεν coni. ed. Basil. **19** κάλλιστα **B** | εἰ μὲν **BP**^{1}**F** | τινὶ φαίνεται **F** **20** δὲ **BPF** | θην **B**^{1}**PF** : θήλει in mg **B**^{2} | ὑὶ **B**^{2}**P**^{1}**F** : ὑεῖ **B** ὑιὶ **P**^{5}

Καὶ ταῦτα μὲν καὶ τὰ τοιαῦτα διὰ τῶν τεττάρων βιβλίων παραπήγνυσιν ὁ Ἄλκιμος παρασημαίνων τὴν ἐξ Ἐπιχάρμου Πλάτωνι περιγινομένην ὠφέλειαν. Ὅτι δ' οὐδ' αὐτὸς Ἐπίχαρμος ἠγνόει τὴν αὑτοῦ σοφίαν, μαθεῖν ἔστι κἀκ τούτων ἐν οἷς τὸν ζηλώσοντα προμαντεύεται· 17

Ὡς δ' ἐγὼ δοκέω—δοκέω γάρ; Σάφα ἴσαμι τοῦθ', ὅτι
τῶν ἐμῶν μνάμα ποκ' ἐσσεῖται λόγων τούτων ἔτι.
Καὶ λαβών τις αὐτὰ περιδύσας τὸ μέτρον ὃ νῦν ἔχει,
εἶμα δοὺς καὶ πορφυροῦν λόγοισι ποικίλας καλοῖς,
δυσπάλαιστος ὢν τὸς ἄλλως εὐπαλαίστως ἀποφανεῖ.

Δοκεῖ δὲ Πλάτων καὶ τὰ Σώφρονος τοῦ μιμογράφου βιβλία ἠμελημένα πρῶτος εἰς Ἀθήνας διακομίσαι καὶ ἠθοποιῆσαι πρὸς αὐτόν· ἃ καὶ εὑρεθῆναι ὑπὸ τῇ κεφαλῇ αὐτοῦ. Τρὶς δὲ πέπλευκεν εἰς Σικελίαν· πρῶτον μὲν κατὰ θέαν τῆς νήσου καὶ τῶν κρατήρων, ὅτε καὶ Διονύσιος ὁ Ἑρμοκράτους τύραννος ὢν ἠνάγκασεν ὥστε συμμῖξαι αὐτῷ. Ὁ δὲ διαλεγόμενος περὶ τυραννίδος καὶ φάσκων ὡς 18

6–10 23 B 6 DK; Fr. 254 Kaibel **11–14** αὐτοῦ : Olympiod. *V. Plat.* 3; Anon. *Proleg. in Plat.* 3; Quint. *Inst.* 1.10.17; Val. Max. 8.7 ext. 3 **14** Τρὶς δὲ : cf. P. Herc. 1021, col. X.5–Z.7 et Gaiser, pp. 393–402

3 περιγενομένην **F**, Diels **4** αὑτοῦ Huebner : αὐτοῦ **BPF** **5** ζηλώσαντα **F** **6** δὲ **BPF** | δοκέω² *Frob.*, Ahrens : δοκέων **BPF** | σάφα ἴσαμι Ahrens : σαφαισαμι **B¹** in mg : σαφίσαιμι **B²** : σαφὲς ἅμι **P** : σαφάσαιμι **F** **7** ἐσεῖται **F** **8** περιδύσας **PF** : περιδήσας **B** **9** ἶμα **B** | καὶ **BP** : om. **F** : κα ed. Basil. | πορφυροῦν **BP¹F** : πορφυρᾶν **QV** | ποικίλλας **PF** | καλοῖσι **F** **10** τοὺς ἄλλους εὐπαλαίστους **BPF**, corr. G. Hermann | ἀποφανεῖ Casaubon : ἀποφαίνει **B¹P** : ἀποφάνη **F** : ἀποφαίνη **B²** **13** αὐτόν **F¹** : αὐτῶν **BPF²** **15** κρατήδων **B** **16** ἑρμοκράτου **B**

οὐκ ἔστι τὸ τοῦ κρείττονος συμφέρον αὐτ⟨άρκες⟩ μόνον, εἰ
μὴ καὶ ἀρετῇ διαφέροι, προσέκρουσεν αὐτῷ. Ὀργισθεὶς
γὰρ "Οἱ λόγοι σου," φησί, "γεροντιῶσι·" καὶ ὅς· "Σοῦ δέ γε
τυραννιῶσιν." Ἐντεῦθεν ἀγανακτήσας ὁ τύραννος πρῶ-
19 τον μὲν ἀνελεῖν ὥρμησεν αὐτόν· εἶτα παρακληθεὶς ὑπὸ
Δίωνος καὶ Ἀριστομένους τοῦτο μὲν οὐκ ἐποίησε, παρέ-
δωκε δὲ αὐτὸν Πόλλιδι τῷ Λακεδαιμονίῳ, κατὰ καιρὸν
διὰ πρεσβείαν ἀφιγμένῳ, ὥστε ἀποδόσθαι. Κἀκεῖνος ἀγα-
γὼν αὐτὸν εἰς Αἴγιναν ἐπίπρασκεν· ὅτε καὶ Χάρμανδρος
Χαρμανδρίδου ἐγράψατο αὐτῷ δίκην θανάτου κατὰ τὸν
παρ' αὐτοῖς τεθέντα νόμον, τὸν ἐπιβάντα Ἀθηναίων τῇ
νήσῳ ἄκριτον ἀποθνῄσκειν. Ἦν δ' αὐτὸς ὁ θεὶς τὸν
νόμον, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ.
Εἰπόντος δέ τινος, ἀλλὰ κατὰ παιδιάν, φιλόσοφον εἶναι
τὸν ἐπιβάντα, ἀπέλυσαν. Ἔνιοι δέ φασι παραχθῆναι
αὐτὸν εἰς τὴν ἐκκλησίαν καὶ τηρούμενον μηδ' ὁτιοῦν
φθέγξασθαι, ἑτοίμως δὲ ἐκδέξασθαι τὸ συμβαῖνον· οἱ δὲ
ἀποκτεῖναι μὲν αὐτὸν οὐ διέγνωσαν, πωλεῖν δὲ ἔκριναν
τῷ τρόπῳ τῶν αἰχμαλώτων.
20 Λυτροῦται δὴ αὐτὸν κατὰ τύχην παρὼν Ἀννίκερις ὁ
Κυρηναῖος εἴκοσι μνῶν (οἱ δὲ τριάκοντα) καὶ ἀναπέμπει

1 cf. Plat. *Reip.* 1, 339 a 3 **7** Πόλλιδι : cf. Diod. 15.7.1; Plut. *V. Dion.* 5.2–3; *Schol.* in Aeschin. *Ctesiph.* 485 a Dilts **12–13** Favorini Fr. 33 Mensching **20–21** cf. 2.86; Fr. 131 A Mannebach

1 τὸ τοῦ **B**[2] in mg sin. : τούτου **B**[1]**P**[1] : τοῦτο **FP**[2]**Q** | κρείττονος συμφέρον **B** : κρεῖττον ὃ συμφέρον **PF** | συμφέρει **Φ** et *Frob.* : συμφέροι Reiske | αὐτ⟨άρκες⟩ scripsi : αὐτὸ **BF**[1] : αὐτῶ(ι) **PF**[2]**Φ** **3** σοῦ[2] **B**[1]**PF** : οὐ **B**[2]**Φ** **5** ὥρμηκεν **F** **7** πόλιδι **PF** **8** ἀποδόσθαι **BPF** : πωλῆσαι **Φ** **11** τὸν ἐπιβάντα – **13** τὸν νόμον in mg infer. **F**[2] **11** post τὸν addunt πρῶτον **VP**[5] et *Frob.* **13** φησὶν ante ἱστορία **BF** | φαβορεῖνος **B** **15** ἀπέλυσεν **F** **20** δὴ **BP** : δὲ **FV** | παριὼν **F**

Ἀθήναζε πρὸς τοὺς ἑταίρους. Οἱ δ' εὐθὺς τἀργύριον ἐξέ-
πεμψαν· ὅπερ οὐ προσήκατο, εἰπὼν μὴ μόνους ἐκείνους
ἀξίους εἶναι Πλάτωνος κήδεσθαι. Ἔνιοι δὲ καὶ Δίωνα
ἀποστεῖλαί φασι τὸ ἀργύριον καὶ τὸν μὴ προσέσθαι,
ἀλλὰ καὶ κηπίδιον αὐτῷ τὸ ἐν Ἀκαδημίᾳ πρίασθαι. Τὸν
μέντοι Πόλλιν λόγος ὑπό τε Χαβρίου ἡττηθῆναι καὶ μετὰ
ταῦτα ἐν Ἑλίκῃ καταποντωθῆναι, τοῦ δαιμονίου μηνί-
σαντος διὰ τὸν φιλόσοφον, ὡς καὶ Φαβωρῖνός φησιν ἐν
πρώτῳ τῶν Ἀπομνημονευμάτων. Οὐ μὴν ἡσύχαζεν ὁ 21
Διονύσιος· μαθὼν δὲ ἐπέστειλε Πλάτωνι μὴ κακῶς ἀγο-
ρεύειν αὐτόν. Καὶ ὃς ἀντεπέστειλε μὴ τοσαύτην αὐτῷ
σχολὴν εἶναι, ὥστε Διονυσίου μεμνῆσθαι.

Δεύτερον πρὸς τὸν νεώτερον ἧκε Διονύσιον αἰτῶν γῆν καὶ ἀνθρώπους τοὺς κατὰ τὴν πολιτείαν αὐτοῦ ζησομένους· ὁ δὲ καίπερ ὑποσχόμενος οὐκ ἐποίησεν. Ἔνιοι δέ φασι καὶ κινδυνεῦσαι αὐτὸν ὡς ἀναπείθοντα Δίωνα καὶ Θε⟨οδ⟩όταν ἐπὶ τῇ τῆς νήσου ἐλευθερίᾳ· ὅτε καὶ Ἀρχύτας αὐτὸν ὁ Πυθαγορικὸς γράψας ἐπιστολὴν πρὸς Διονύσιον παρῃτήσατο καὶ διεσώσατο εἰς Ἀθήνας. Ἔστι δὲ ἡ ἐπιστολὴ ἥδε·

"Ἀρχύτας Διονυσίῳ ὑγιαίνειν.

Ἀπεστάλκαμές τοι πάντες οἱ Πλάτωνος φίλοι τὼς περὶ 22

8–9 Favorini Fr. 4 Mensching **13–p. 206.13** cf. Plut. *Dion.* 12–21; Olympiod. *V. Plat.* 5; Apul. *De Plat. dogm.* 1.4 et al. **21–p.206.11** Hercher, p. 132

1 τὸ ἀργύριον ἔπεμψαν **F** **4** προσέσθαι **FP[2]Q** : προέσθαι **BP[1]** **5** καὶ om. **F** | ἀκαδιμεία **B** **6** πόλιν **PF** | χαβρίου **BF[1]** : χαυρίου **P** : χωρίου **F[2]** **8** ante διὰ addunt αὐτῶ **FP[3]WHV** et *Frob.* | φαβορεῖνος **B** | φασὶν **F** **9** μὴν δὲ **PV** **11** ὃς καὶ **F** | ἀντ' ἀπέστειλε **F** **13** τὸν om. **BP V** | ἧκε **B[2]** in mg (ἣ καὶ **B[1]** in textu) **15** ἐποίη **F** **17** Θεοδόταν Cobet : θεώταν **PF** : θεωτᾶν **B**, ed. Basil. **18** ὁ πυθαγορικὸς in mg **B[2]** **19** διέσωσε **P** **20** ἤδη in mg **F[2]** **22** ἀπεστάλκαμες Menagius : ἀπεστάλκαμεν **BPF** | τοι om. **PV**

Λαμίσκον τε καὶ Φωτίδαν ἀπολαμψούμενοι τὸν ἄνδρα κὰτ τὰν πὰρ τὶν γενομέναν ὁμολογίαν. Ὀρθῶς δέ κα ποιοῖς ἀμμιμνᾳσκόμενος τήνας τᾶς σπουδᾶς, ἡνίκα πάντας ἀμὲ παρεκάλεις πὸτ τὰν Πλάτωνος ἄφιξιν, ἀξιῶν προτρέπεσθαί τε αὐτὸν καὶ ἀναδέχεσθαι τά τε ἄλλα καὶ περὶ τὰν ἀσφάλειαν μένοντί τε καὶ ἀφορμίοντι. Μέμνασο δὲ καὶ τῆνο ὅτι περὶ πολλῶ ἐποιήσω τὰν ἄφιξιν αὐτῶ καὶ ἀγάπης ἐκ τήνω τῶ χρόνω ὡς οὐδένα τῶν πὰρ τίν. Αἰ δέ τις γέγονε τραχύτας, ἀνθρωπίζειν χρὴ κἀποδιδόμεν ἀμὶν ἀβλαβῆ τὸν ἄνδρα. Ταῦτα γὰρ ποιῶν δίκαια πραξεῖς καὶ ἀμὶν χαριξῇ."

23 Τρίτον ἦλθε διαλλάξων Δίωνα Διονυσίῳ· οὐ τυχὼν δὲ ἄπρακτος ἐπανῆλθεν εἰς τὴν πατρίδα. Ἔνθα πολιτείας μὲν οὐχ ἥψατο, καίτοι πολιτικὸς ὢν ἐξ ὧν γέγραφεν. Αἴτιον δὲ τὸ ἤδη τὸν δῆμον ἄλλοις πολιτεύμασιν ἐνειθίσθαι. Φησὶ δὲ Παμφίλη ἐν τῷ πέμπτῳ καὶ εἰκοστῷ τῶν Ὑπο-

16 Φησὶ – **p. 207.3** οὐκ ἐπορεύθη : Pamphilae Fr. 8 (*FHG* III, 521). Cf. Ael. *V.H.* 2.42

1 ἀπολαμψούμενοι Cobet : ἀπολαμψύμενοι **BFP^{4}V** : ἀπολαμψοίμενοι **P^{1}QW** **2** κατταν **B**, κατὰν **P^1** : κατὰ τὰν **P^{2}QV** : καθὰ τὴν **F** | παρὰ **BPF**, corr. Bast (cf. v. 8) | τὴν **P^1** (corr. **P^{2}Q**) | κα **B^{1}F^1** : καὶ **PV** | ποιοῖς **BP^5** : ποιεῖς **FP^{1}QV** **3** ἀμμιμνᾳσκόμενος ed. Basil. : ἀμιμναισκόμενος **B** : ἀσμιμναισκόμενος **P^{1}QW** : μιμνασκόμενος **FVP^{4}H** | τήνας τᾶς σπουδᾶς **FP^{4}H** : τηνας (σ)τας σποδῆς **B** et **P^1** (?) **4** ἀμὲ Cobet : ἄμμε **BPF** | παρεκάλεις **PFV** : παρεκάλης **B**, ed. Basil. | ποτὰν **P** | ἀφίξειν **B** : ἄφηξιν **F^2** in mg | προστρέπεσθαι **B^1** (?) **5** ante περὶ ss. τὰ **P^{2}QV** | τὴν **PV** **6** τε om. **F** | ἀφορμιῶντι **PV** : ἀφορμείοντι **F** | μέμνησο **P** **7** πολλῶ **FP^{3}W** : πολλῶς **BP^{1}Q** | ἀγάπης **P^1** (-ας **P^2**) **9** καὶ ἀνθρωπίζειν **FV**, κἀνθρωπίζειν *Frob.* | ἀμιν **B(F^1)** : ἄμμιν **P^{1}V**, ἄμμιν **F^2** **10** post δίκαια addit τε Cobet | πράξεις **BPF**, corr. Cobet | ἀμῖν **B(F^1)** : ἄμμιν **P**, ἄμμιν **F^2** **11** χαριξῇ Cobet : χαρίζη **B^{2}PF** : χαρίξη **B^1** (?) **15** ἐνηθεῖσθαι **B**

μνημάτων ὡς Ἀρκάδες καὶ Θηβαῖοι Μεγάλην πόλιν οἰκίζοντες παρεκάλουν αὐτὸν νομοθέτην· ὁ δὲ μαθὼν ⟨αὐτοὺς τὸ⟩ ἴσον ἔχειν οὐ θέλοντας οὐκ ἐπορεύθη. Λόγος ὅτι καὶ Χαβρίᾳ συνεῖπε τῷ στρατηγῷ φεύγοντι θανάτου, μηδενὸς τῶν πολιτῶν τοῦτο πρᾶξαι βουληθέντος. Ὅτε καὶ ἀνιόντι 24 αὐτῷ εἰς τὴν ἀκρόπολιν σὺν τῷ Χαβρίᾳ Κρωβύλος ὁ συκοφάντης ἀπαντήσας φησίν· "Ἄλλῳ συναγορεύσων ἥκεις, ἀγνοῶν ὅτι καὶ σὲ τὸ Σωκράτους κώνειον ἀναμένει;" Τὸν δὲ φάναι· "Καὶ ὅτε ὑπὲρ τῆς πατρίδος ἐστρατευόμην, ὑπέμενον τοὺς κινδύνους, καὶ νῦν ὑπὲρ τοῦ καθήκοντος διὰ φίλον ὑπομενῶ."

Οὗτος πρῶτος ἐν ἐρωτήσει λόγον παρήνεγκεν, ὥς φησι Φαβωρῖνος ἐν ὀγδόῃ Παντοδαπῆς ἱστορίας. Καὶ πρῶτος τὸν κατὰ τὴν ἀνάλυσιν τῆς ζητήσεως τρόπον εἰσηγήσατο ⟨παραδοὺς⟩ Λεωδάμαντι τῷ Θασίῳ. Καὶ πρῶτος ἐν φιλοσοφίᾳ ἀντίποδα ὠνόμασε καὶ στοιχεῖον καὶ διαλεκτικὴν καὶ ποιότητα καὶ τοῦ ἀριθμοῦ τὸν προμήκη καὶ τῶν περάτων τὴν ἐπίπεδον ἐπιφάνειαν καὶ θεοῦ πρόνοιαν.

12–13 Favorini Fr. 25 Mensching **13** Καὶ – **15** cf. P. Herc. 1021, col. Y.14; Procli *In Euclid.*, p. 211.19 Friedlein; Anon. *Proleg. in Plat.* 27 **16** ἀντίποδα : cf. Plat. *Tim.* 63 a 3; Anon. *Prol. in Plat.* 5 **17** ποιότητα : cf. Plat. *Theaet.* 182 a 8; Anon. *Proleg. in Plat.* 5 | τοῦ ἀριθμοῦ τὸν προμήκη : cf. Plat. *Theaet.* 148 a 4; Anon. *Prol. in Plat.* 5 **17** τῶν περάτων – **18** ἐπιφάνειαν : cf. Plat. *Men.* 76 a 1; *Reip.* 7, 528 d 3 et al. **18** cf. Plat. *Tim.* 30 b 8; 44 c 7

2 παρεκάλουν **BP²Q** : κατεκάλουν **F** : ἐκάλουν **Φ** **2–3** αὐτοὺς τὸ addidi (πῶς ἔχουσι πρὸς τὸ ἴσον ἔχειν ἅπαντας Ael.) **3** ante ἴσον add. αὐτὸν **F¹**, sed erasum **4 et 6** χαυρία **PV** | συνεῖπε Valckenaer (*Diatr. Eurip.*, p. 289) : συνείπετο **BPFVφ** **7** συναγορεύσων **Fφ** : συναγορεύων **PBV** **13** φαβορεῖνος **B** **14** τὸν om. **F** | ἠσηγήσατο **B** **15** παραδοὺς addidi ex Proclo (παραδέδωκεν) : ἀποδεχθεὶς addi suad. ed. Basil. | ἐν τῇ φιλοσοφίᾳ **F** **16** ἀντιπόδων **B²** **17** ποιότητα Menagius : ποιήματα **BPF**, def. ed. Basil. | προμήκει **F** **18** τὴν **FP³** : τῶν **B** : τὸν **P¹Q** | ἐπίποδον **F** | καὶ θεοῦ πρόνοιαν in mg **F²**

25 Καὶ πρῶτος τῶν φιλοσόφων ἀντεῖπε πρὸς τὸν λόγον τὸν Λυσίου τοῦ Κεφάλου, ἐκθέμενος αὐτὸν κατὰ λέξιν ἐν τῷ Φαίδρῳ. Καὶ πρῶτος ἐθεώρησε τῆς γραμματικῆς τὴν δύναμιν. Πρῶτός τε ἀντειρηκὼς σχεδὸν ἅπασι τοῖς πρὸ αὐτοῦ, ζητεῖται διὰ τί μὴ ἐμνημόνευσε Δημοκρίτου. Τούτου φησὶ Νεάνθης ὁ Κυζικηνὸς εἰς Ὀλύμπια ἀνιόντος τοὺς Ἕλληνας ἅπαντας ἐπιστραφῆναι εἰς αὐτόν· ὅτε καὶ Δίωνι συνέμιξε μέλλοντι στρατεύειν ἐπὶ Διονύσιον. Ἐν δὲ τῷ πρώτῳ τῶν Ἀπομνημονευμάτων Φαβωρίνου φέρεται ὅτι Μιθριδάτης ὁ Πέρσης ἀνδριάντα Πλάτωνος ἀνέθετο εἰς τὴν Ἀκαδημίαν καὶ ἐπέγραψε· "Μιθραδάτης Ὀροντοβάτου Πέρσης Μούσαις εἰκόνα ἀνέθηκε Πλάτωνος, ἣν Σιλανίων ἐποίησε."

26 Φησὶ δ' Ἡρακλείδης ὅτι νέος ὢν οὕτως ἦν αἰδήμων καὶ κόσμιος, ὥστε μηδέποτε ὀφθῆναι γελῶν ὑπεράγαν. Τοιοῦτος δ' ὢν ὅμως ἐσκώφθη καὶ αὐτὸς ὑπὸ τῶν κωμικῶν. Θεόπομπος γοῦν ἐν Ἡδυχάρει φησὶν οὕτως·

Ἓν γάρ ἐστιν οὐδὲ ἕν,
τὼ δὲ δύο μόλις ἕν ἐστιν, ὥς φησι Πλάτων.

2–3 Plat. *Phaedri* 230 e 6 – 234 c 5 **5–8** *FGrHist* 84 F 22. Cf. P. Herc. 1021, col. Z.9 et Gaiser, pp. 403–406; Plat. *Ep.* 7, 350 b–e; Plut. *V. Dion.* 22.1 **8** Ἐν – **13** Favorini Fr. 5 Mensching **14–15** Heraclidis Lembi Fr. 16 (*FHG* III, 171); Sotionis Fr. 13 Wehrli **18–19** Theopompi Fr. 16 (*PCG* VII)

2 τὸν **BP¹Q** : τοῦ **FP⁴HV** | τὸν τοῦ **F** **4** τε om. **F** **6** φησὶ ἄνθης **PV** | ὀλύμπια **BFP⁴H** : ὀλυμπιάδα **P¹QW** **7** εἰς **BF** : πρὸς **PV** **9** πρώτῳ : α′ **PF** : Δ′ **B** | φαβουρείνου **B** **10** μιθρηδάτης **F** **12** Ὀροντοβάτου Marres : ὁ ῥοδοβάτου **PV** et *Frob.* : ῥοδοβάτου **B** : ῥοδοάτου **F²** | ἀνέθηκε **BP** : ἀνέθετο **FV** et *Frob.* **13** σειλανίων **B** **14** οὗτος **F** **17** οὖν **F** | Ἡδυχάρει Casaubon : αὐτοχάρει **P** : αυτοχαρι **B**, αὐτόχαρι **F** | φησὶν ante ἐν **F** **19** τὼ **Bφ** : τὸ **PFV** | φησὶν Huebner

Ἀλλὰ καὶ Ἀναξανδρίδης ἐν Θησεῖ·

Ὅτε τὰς μορίας ἔτρωγεν, ὥσπερ ⟨καὶ⟩ Πλάτων.

Ἀλλὰ καὶ Τίμων οὑτωσὶ παραγραμματίζων αὐτόν·

Ὡς ἀνέπλασσε Πλάτων ⟨ὁ⟩ πεπλασμένα θαύματα εἰδώς.

Ἄλεξις Μεροπίδι· **27**

Εἰς καιρὸν ἥκεις, ὡς ἔγωγ' ἀπορουμένη
ἄνω κάτω τε περιπατοῦσ', ὥσπερ Πλάτων
σοφὸν οὐδὲν εὕρηκ', ἀλλὰ κοπιῶ τὰ σκέλη.

Καὶ ἐν Ἀγκυλίωνι·

Λέγεις περὶ ὧν οὐκ οἶσθα· συγγενοῦ τρέχων
Πλάτωνι καὶ γνώσῃ λίτρον καὶ κρόμμυον.

Ἄμφις Ἀμφικράτει·

Τὸ δ' ἀγαθὸν ὅ τι ποτ' ἐστίν, οὗ σὺ τυγχάνειν
μέλλεις διὰ ταύτην, ἧττον οἶδα τοῦτ' ἐγώ,
ὦ δέσποτ', ἢ τὸ Πλάτωνος ἀγαθόν. — Πρόσεχε δή.

2 Anaxandridis Fr. 20 (*PCG* II) **4** Timonis B 19 Diels; *Suppl. Hell.* 793; Athen. 11, 505 E; *Suda,* Π 316 **6–8** Alexidis Fr. 151 (*PCG* II) **10–11** Eiusdem Fr. 1 **13–15** Amphidis Fr. 6 (*PCG* II)

1 Ἀλλὰ – **2** Πλάτων in mg infer. **F**^{2} **2** μωρίας **F**^{2}**φ** | ὥσπερ ⟨καὶ⟩ G. Hermann : ὡσπερ⟨εὶ⟩ Meineke **3** τείμων **B** **4** ἀνέπλασσε **P** et Athen. (ἀνέπλαττε) : ἀνέπλασε **BFVφ** et *Suda* | Πλάτων ⟨ὁ⟩ Nauck : ὁ πλάτων Athen. A : πλάτων **BPFφ**, *Suda* et Athen. E | θαύματα **BPFΦ** : θύματα *Suda,* Athen. **5** μεροπίδη **F** **6** ἔγωγε **F** **8** εὕρηκα **F** | τὰ **BPφ** : τὼ **F** **10** post λέγεις add. γὰρ **F** | συγγενοῦ Cobet (*Novae lect.,* 20) : συγγενοῦς **BPFφ** : συγγενῶς **D** et *Frob.* **11** γνὼς ἢ **BP** | κρόμυον **F** **12** ἀμφικράτει **FP**^{4}**H** : ἀμφικράτη **BP**^{1} **13** σὺ ss. **F**^{2} **14** μέλλης **B**^{1} **15** ὦ δέσποτ' ἢ **FP**^{2}**Q** : ὡς δεσπότη **BP**^{1}

28 Ἐν Δεξιδημίδῃ·

Ὦ Πλάτων,
ὡς οὐδὲν ᾖσθα πλὴν σκυθρωπάζειν μόνον,
ὥσπερ κοχλίας σεμνῶς ἐπηρκὼς τὰς ὀφρῦς.

Κρατῖνος Ψευδυποβολιμαίῳ·

— Ἄνθρωπος εἶ; — Δηλονότι. — Καὶ ψυχὴν ἔχεις;
— Κατὰ μὲν Πλάτων' οὐκ οἶδ', ὑπονοῶ δ' ⟨ὧδ'⟩ ἔχειν.

Ἄλεξις Ὀλυμπιοδώρῳ·

Σῶμα μὲν ὁμοῦ τὸ θνητὸν αὖον ἐγένετο,
τὸ δ' ἀθάνατον ἐξῆρε πρὸς τὸν ἀέρα.
— Ταῦτ' οὐ σχολὴ Πλάτωνος;

Καὶ ἐν Παρασίτῳ·

Ἢ μετὰ Πλάτωνος ἀδολεσχεῖν κατὰ μόνας.

Χλευάζει δ' αὐτὸν καὶ Ἀναξίλας Βοτρυλίωνι καὶ Κίρκῃ καὶ Πλουσίαις.

29 Ἀρίστιππος δ' ἐν τῷ τετάρτῳ Περὶ παλαιᾶς τρυφῆς φησιν αὐτὸν Ἀστέρος μειρακίου τινὸς ἀστρολογεῖν συν-

2–4 Amphidis Fr. 13 **6–7** Cratini Iunioris Fr. 10 (*PCG* IV) **9–11** Alexidis Fr. 163 (*PCG* II) **13** Eiusdem Fr. 185 **14–15** Anaxilae Frr. 5, 14 et 26 (*PCG* II) **16–p. 211.1** *FHG* II, 79

1 δεξιδημίδῃ **BP**[3]**W** : δεξιδημήδει **P**[1]**Q** : δεξιμίδῃ **F** **3** ᾖσθα ed. Basil. : ἦσθα **BPVΦ** et *Suda* : οἶσθα **F** **4** σεμνὸς **F** **6** sic distinxit Meineke **7** μὲν **BPF** : τὸν Richards | οἰδ' **BP** : οἶδα **F** : οἶδά ⟨γ'⟩ ed. Basil. | ὧδ' add. G. Hermann **8** ἄλεξις **PF** : ἀλλ' ἕξεις **B** **9** ὁμοῦ **BP**[1] : ἐμοῦ **FP**[2]**Q** **10** τὸ ss. **P**[1] | ἐξῆρε (intransitive) **BPF** : ἐξῇξε K.F. Hermann (*Allg. Schulzeitung* 1829, p. 373) **12** ἐμπαρασείτω **B** **14** post ἀναξίλας addunt ἐν τῶ **F** : ἐν **P**[4]**HV** et *Frob.* | βοτρυδίων εἰ **B** **16** Δ' ss. **F**[2] **17** φησιν **BP** : λέγειν **F**

ασκουμένου ἐρασθῆναι, ἀλλὰ καὶ Δίωνος τοῦ προειρημένου (ἔνιοι καὶ Φαίδρου φασί)· δηλοῦν δὲ τὸν ἔρωτα αὐτοῦ τάδε τὰ ἐπιγράμματα, ἃ καὶ πρὸς αὐτοῦ γενέσθαι εἰς αὐτούς·

'Αστέρας εἰσαθρεῖς, 'Αστὴρ ἐμός· εἴθε γενοίμην
οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.

Καὶ ἄλλο·

'Αστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζῳοῖσιν 'Εῷος,
νῦν δὲ θανὼν λάμπεις Ἕσπερος ἐν φθιμένοις.

Εἰς δὲ τὸν Δίωνα ὧδε· **30**

Δάκρυα μὲν 'Εκάβῃ τε καὶ 'Ιλιάδεσσι γυναιξὶ
Μοῖραι ἐπέκλωσαν δὴ τότε γεινομέναις,
σοὶ δέ, Δίων, ῥέξαντι καλῶν ἐπινίκιον ἔργων
δαίμονες εὐρείας ἐλπίδας ἐξέχεαν.
Κεῖσαι δ' εὐρυχόρῳ ἐν πατρίδι τίμιος ἀστοῖς,
ὦ ἐμὸν ἐκμήνας θυμὸν ἔρωτι Δίων.

Τοῦτο καὶ ἐπιγεγράφθαι φησὶν ἐν Συρακούσαις ἐπὶ τῷ τάφῳ.

1 Δίωνος : Ael. *V.H.* 4.21 **5–6** *Anth. Pal.* 7.669; *Plan.* Cf. Apostol. 4.12 a **8–9** *Anth. Pal.* 7.670; *Plan.* Cf. Apul. *Apol.* 10; Apostol. 4.12 b **11–16** *Anth. Pal.* 7.99; *Plan.* Cf. *Suda,* Γ 214; C.M. Bowra, *A.J.P.* 59 (1938) 394–404; H. Herter, *Rhein. Mus.* 92 (1943–1944) 289–302

2 ἔνιοι δὲ **F** | δηλοῦν $\mathbf{B}^{1}$**PF** : δηλοῦσι $\mathbf{B}^{2}$ **5** εἰσαθρει $\mathbf{B}^{1}$ (corr. $\mathbf{B}^{2}$), *Pal.*^{1}, *Plan.* **6** βλέπω **BPΦ** : βλέπων **F** **8** μὴν πρὶν Apost. | πρὶν post ἔλαμπες **F** | ἐν **PV** **11** μὴν Jacobs | ἐλιάδεσι **F** **12** ἐπεκλώσαντο *Suda* | τότε *Pal., Suda,* ed. Basil. : ποτε **BPF** et *Plan.* | γινομέναις **BV** **13** ῥέξαντι **BPF** : ῥέξοντι ed. Basil. | καλὸν $\mathbf{P}^{5}$ et *Plan.* | ἔργον $\mathbf{F}^{2}\mathbf{P}^{5}$ et *Plan.* **15** εὐρυχώρω **BFV** | ἐν erasum in **B** **17** φησὶν (sic. 'Αρίστιππος) **BP** : φασὶν **F**

31 Ἀλλὰ καὶ Ἀλέξιδος, φασίν, ἐρασθεὶς καὶ Φαίδρου, καθὰ προείρηται, τοῦτον ἐποίησε τὸν τρόπον·

Νῦν, ὅτε μηδὲν Ἄλεξις ὅσον μόνον εἶφ' ὅτι καλός,
ὦπται καὶ πάντῃ πᾶς τις ἐπιστρέφεται.
Θυμέ, τί μηνύεις κυσὶν ὀστέον; Εἶτ' ἀνιήσεις
ὕστερον. Οὐχ οὕτω Φαῖδρον ἀπωλέσαμεν;

Ἔχειν τε Ἀρχεάνασσαν, εἰς ἣν καὶ αὐτὴν οὕτω ποιῆσαι·

Ἀρχεάνασσαν ἔχω, τὴν ἐκ Κολοφῶνος ἑταίραν,
ἧς καὶ ἐπὶ ῥυτίδων ἕζετο δριμὺς Ἔρως.
Ἆ δειλοὶ νεότητος ἀπαντήσαντες ἐκείνης
πρωτοπλόου, δι' ὅσης ἤλθετε πυρκαϊῆς.

32 Ἀλλὰ καὶ εἰς Ἀγάθωνα·

Τὴν ψυχὴν Ἀγάθωνα φιλῶν ἐπὶ χείλεσιν εἶχον·
ἦλθε γὰρ ἡ τλήμων ὡς διαβησομένη.

Καὶ ἄλλο·

3–6 *Anth. Pal.* 7.100; *Plan.* Cf. Apul. *Apol.* 10 **8–11** *Anth. Pal.* 7.217; *Plan.* Cf. Athen. 13, 589 C. – **8–9** *Suda,* 319 Ῥύτορα **13–14** *Anth. Pal.* 5.78 (77)

1 Ἀλλὰ ⟨μὴν⟩ καὶ Meibom. **2** τοῦτον τρόπον ἐποίησε **F** **3** Ἄλεξιν Bergk | ὅσον **BPF** et *Pal.*, Apul. : ὁ σὸς coni. Reiske | καλὸς **BP** et *Pal.*[corr.] : καλὸν *Pal.*[1] : καλῶς **F** **4** ὦ παι **F**[2]**D** et Apul. | πᾶς τις ἐπιστρέφεται **BPF** et Apul. : πᾶσι περιβλέπεται *Pal.*[corr.], *Plan.* **5** θ' υμε **B** | ἀνιήσεις **PF** et *Pal.* : ἀνιῆς εἰς **B** : ἀνιήσει Apul. : ἀνιήσῃ Stephanus **6** φέδρον **B** **7** Ἀρχεάνασσαν Cobet (cf. v. 8) : ἀρχαιάνασσαν **BPFΦ** **8** Ἀρχεάνασσαν Huebner ex *Pal.* : ἀρχαιάνασσαν **BPFΦ** | τὰν *Pal.* | ἑταίρην *Pal.*[corr.], *Suda,* Athen. **9** ἇς *Pal.*, *Suda* | ἕζετο δριμὺς **BPFΦ** : ὁ γλυκὺς ἕζετ' *Pal.*, *Plan.*, *Suda* : πικρὸς ἔπεστιν Athen. **10** ἀδειλοὶ **B** | νεότητες **F** | ἆ – ἐκείνης **BPFΦ** et Athen. : ἆ νέον ἥβης ἄνθος ἀποδρέψαντες ἐρασταὶ *Pal.* **11** πρωτοπλόου **BPFΦ** et *Pal.*[b] : πρωτοβόλου *Pal.*[corr. a] : πρωτοπόρου Athen. **13** ἐνὶ **F** | εἶχον **BPFΦ** : ἔσχον *Pal.*

Τῷ μήλῳ βάλλω σε· σὺ δ' εἰ μὲν ἑκοῦσα φιλεῖς με,
δεξαμένη τῆς σῆς παρθενίης μετάδος·
εἰ δ' ἄρ', ὃ μὴ γίγνοιτ', ὀκνεῖς, τοῦτ' αὐτὸ λαβοῦσα
σκέψαι τὴν ὥρην ὡς ὀλιγοχρόνιος.

⟨Καὶ⟩ ἄλλο·

Μῆλον ἐγώ· βάλλει με φιλῶν σέ τις. Ἀλλ' ἐπίνευσον,
Ξανθίππη· κἀγὼ καὶ σὺ μαραινόμεθα.

Φασὶ δὲ καὶ τὸ εἰς τοὺς Ἐρετριέας τοὺς σαγηνευθέν- **33**
τας αὐτοῦ εἶναι·

Εὐβοίης γένος εἰμὲν Ἐρετρικόν, ἄγχι δὲ Σούσων
κείμεθα· φεῦ, γαίης ὅσσον ἀφ' ἡμετέρης.

Κἀκεῖνο·

Ἁ Κύπρις Μούσαισι· "Κοράσια, τὰν Ἀφροδίταν
τιμᾶτ', ἢ τὸν Ἔρωτ' ὔμμιν ἐφοπλίσομαι."
Αἱ Μοῦσαι ποτὶ Κύπριν· ""Αρει τὰ στωμύλα ταῦτα·
ἡμῖν οὐ πέτεται τοῦτο τὸ παιδάριον."

Καὶ ἄλλο·

1–4 *Anth. Pal.* 5.79 (78); *Plan.* **6–7** *Anth. Pal.* 5.80 (79); *Plan.* **10–11** *Anth. Pal.* 7.259; *Plan.* Cf. *Suda,* 545 Ἱππίας; *Schol.* in Hermog. 7.1 **13–16** *Anth. Pal.* 9.39; *Plan.*

2 παρθενίης **PF^1** et *Pal.* : παρθενίας **BF^{2}Φ** **3** γίγνοιτ' ὀκνεῖς M. Schmidt, def. H. Erbse (*Hermes* 112 [1984] 119–121) : γίγνοιτο νοεῖς **BPFΦ** et *Plan.* : γίγνοιτο μογεῖς *Pal.*^{1} **5** Καὶ add. Huebner et ἄλλο **Φ** : om. **BPF** **8** τοὺς^1 om. **F** **10** εὐβοέων *Suda* | εἰμὲν **BF^{1}Φ** et *Schol.* : ἦμεν **PF^{2}V**, *Frob.* : ἐσμὲν *Pal., Suda* **11** αἴας *Schol.* | ὅσσον *Pal., Suda,* ὅσον **F** : τόσσον **PΦ**, *Schol.,* τόσον **B** **13** μούσησι **F** | ἀφρόταν **F** **14** τειματ' **B** : τιμᾶ· τ' ἢ **F** | ἔρωτ' **BPFΦ** : ἔρων *Pal.* | ὔμμιν **PF** | ἐφοπαισομαι **B** **15** αἱ **BPFΦ** : χ' ἃ *Pal.* : χαι c | κύπρι *Pal.* **16** ἡμῖν δ' οὐ *Pal.*, c | πέταται *Pal.*

Χρυσὸν ἀνὴρ εὑρὼν ἔλιπε βρόχον· αὐτὰρ ὁ χρυσὸν
ὃν λίπεν οὐχ εὑρὼν ἧψεν ὃν εὗρε βρόχον.

34 Ἀλλά τοι Μόλων ἀπεχθῶς ἔχων πρὸς αὐτόν, "Οὐ τοῦτο," φησί, "θαυμαστὸν εἰ Διονύσιος ἐν Κορίνθῳ, ἀλλ' εἰ Πλάτων ἐν Σικελίᾳ." Ἔοικε δὲ καὶ Ξενοφῶν πρὸς αὐτὸν ἔχειν οὐκ εὐμενῶς. Ὥσπερ γοῦν διαφιλονεικοῦντες τὰ ὅμοια γεγράφασι, Συμπόσιον, Σωκράτους ἀπολογίαν, τὰ ἠθικὰ ἀπομνημονεύματα (εἶθ' ὁ μὲν Πολιτείαν, ὁ δὲ Κύρου παιδείαν· καὶ ἐν τοῖς Νόμοις ὁ Πλάτων πλάσμα φησὶν εἶναι τὴν παιδείαν αὐτοῦ· μὴ γὰρ εἶναι Κῦρον τοιοῦτον) ἀμφότεροί τε Σωκράτους μνημονεύοντες, ἀλλήλων οὐδαμοῦ, πλὴν Ξενοφῶν Πλάτωνος ἐν τρίτῳ Ἀπομνημονευμά-
35 των. Λέγεται δ' ὅτι καὶ Ἀντισθένης μέλλων ἀναγινώσκειν τι τῶν γεγραμμένων αὐτῷ παρεκάλεσεν αὐτὸν παρατυχεῖν. Καὶ πυθομένου τί μέλλει ἀναγινώσκειν, εἶπεν ὅτι περὶ τοῦ μὴ εἶναι ἀντιλέγειν· τοῦ δ' εἰπόντος· "Πῶς οὖν σὺ περὶ αὐτοῦ τούτου γράφεις;" καὶ διδάσκοντος ὅτι περιτρέπεται, ἔγραψε διάλογον κατὰ Πλάτωνος Σάθωνα ἐπιγράψας· ἐξ οὗ διετέλουν ἀλλοτρίως ἔχοντες πρὸς ἀλλήλους. Φασὶ δὲ καὶ Σωκράτην ἀκούσαντα τὸν Λύσιν ἀναγιγνώσκοντος Πλάτωνος, "Ἡράκλεις," εἰπεῖν, "ὡς πολλά

1–2 *Anth. Pal.* 9.44; *Plan.* **4** Διονύσιος ἐν Κορίνθῳ : cf. Cic. *Ad Att.* 9.9.2 **5** Ἔοικε – **12** cf. 2.57 et Athen. 11, 504 E – 505 B **9–10** cf. Plat. *Legg.* 3, 694 c 5–8 **12** cf. Xenoph. *Mem.* 3.6.1 **13** Λέγεται – **19** ἀλλήλους : cf. 6.16; Antisthenis Fr. 36 Decleva; Athen. 5. 220 D; 11, 507 A **20** Φασὶ – **p. 215.2** cf. Anon. *Proleg. in Plat.* 3; Athen. 11, 505 E; 507 D

1 εὑρὼν om. *Pal.*[1] | ἔλιπεν *Pal.*[1] **2** λίπεν **PFΦ**, *Pal.* : λειπεῖν **B** **3** μόλον et ἔχον **F** **5** καὶ om. **F** **6** οὖν **F** | διαφιλονικοῦντες **B** **15** πυθομένου Reiske : πυθόμενος **BPF** : πυθομένῳ Cobet : ἐρωτηθεὶς **Φ** **20** λυσίαν **Φ** **21** εἰπεῖν **B**[2] (εἶπεν **B**[1])

μου καταψεύδεθ' ὁ νεανίσκος." Οὐκ ὀλίγα γὰρ ὧν οὐκ εἴρηκε Σωκράτης γέγραφεν ἀνήρ.

Εἶχε δὲ φιλέχθρως ὁ Πλάτων καὶ πρὸς Ἀρίστιππον. 36
Ἐν γοῦν τῷ Περὶ ψυχῆς διαβάλλων αὐτόν φησιν ὅτι οὐ παρεγένετο Σωκράτει τελευτῶντι, ἀλλ' ἐν Αἰγίνῃ ἦν καὶ σύνεγγυς. Καὶ πρὸς Αἰσχίνην δέ τινα φιλοτιμίαν εἶχε, φασίν, ὅτι δή περ καὶ αὐτὸς εὐδοκίμει παρὰ Διονυσίῳ. Ὃν ἐλθόντα δι' ἀπορίαν ⟨εἰς Σικελίαν⟩ ὑπὸ μὲν Πλάτωνος παροφθῆναι, ὑπὸ δ' Ἀριστίππου συσταθῆναι. Τούς τε λόγους οὓς Κρίτωνι περιτέθηκεν ἐν τῷ δεσμωτηρίῳ περὶ τῆς φυγῆς συμβουλεύοντι, φησὶν Ἰδομενεὺς εἶναι Αἰσχίνου· τὸν δ' ἐκείνῳ περιθεῖναι διὰ τὴν πρὸς τοῦτον δυσμένειαν.

Ἑαυτοῦ τε Πλάτων οὐδαμόθι τῶν ἑαυτοῦ συγγραμμά- 37
των μνήμην πεποίηται ὅτι μὴ ἐν τῷ Περὶ ψυχῆς καὶ Ἀπολογίᾳ. Φησὶ δ' Ἀριστοτέλης τὴν τῶν λόγων ἰδέαν αὐτοῦ μεταξὺ ποιήματος εἶναι καὶ πεζοῦ λόγου. Τοῦτον μόνον παραμεῖναι Πλάτωνι Φαβωρῖνός πού φησιν ἀναγινώσκοντι τὸν Περὶ ψυχῆς, τοὺς δ' ἄλλους ἀναστῆναι πάντας.

3 cf. Aristot. *Rhet.* B 23, 1398 b 29 **4** Ἐν – **6** σύνεγγυς : 2.65; Plat. *Phaed.* 59 c 3–4; Aristippi Fr. 103C Mannebach; Demetrii *De elocut.* 288; Athen. 11, 507 B **6** Καὶ – **9** συσταθῆναι : 2.61. Aliter Plut. *De adul. et amico* 67 DE **9** Τοὺς – **12** 2.60; Idomenei F 17b (*FGrHist* 338) **14** cf. Plat. *Phaed.* 59 b 10 | cf. Plat. *Apol.* 34 a 1 **15** Φησὶ – **16** λόγου : Aristot. Fr 73 Rose^3 **16** Τοῦτον – **18** πάντας : Favorini Fr. 52 Mensching

1 καταψεύδεθ' : -δε- ss. F^2 | οὐκ ὀλίγα **BP** : οὗτος πολλὰ **F** : πολλὰ **Φ** **2** ἀνήρ Cobet, Hicks : ἀνὴρ **BPFΦ** **4** τὸ **F** **5** καὶ om. **F** **6** αἰσχύνην **B** **6–7** φασὶν ὅτι δή περ **BF** : φασὶ δ' ὅτιπερ **P** et *Frob.* **7** περ delendum ed. Basil. | ⟨Παρ'⟩ ὃν coni. ed. Basil. **8** εἰς Σικελίαν supplevi ex 2.61 **9** συστῆναι Cobet ex 2.61 **10** κρίτων **B** | περιτέθεικεν **PV** **12** ἐκεῖνο **F** | περιθῆναι **F** **17** φαβορεῖνος **B** | που om. **F**

Ἔνιοί τε φασὶν ὅτι Φίλιππος ὁ Ὀπούντιος τοὺς Νόμους
αὐτοῦ μετέγραψεν ὄντας ἐν κηρῷ. Τούτου δὲ καὶ τὴν Ἐπι-
νομίδα φασὶν εἶναι. Εὐφορίων δὲ καὶ Παναίτιος εἰρήκασι
πολλάκις ἐστραμμένην εὑρῆσθαι τὴν ἀρχὴν τῆς Πολι-
τείας. Ἣν Πολιτείαν Ἀριστόξενός φησι πᾶσαν σχεδὸν ἐν
38 τοῖς Πρωταγόρου γεγράφθαι Ἀντιλογικοῖς. Λόγος δὲ πρῶ-
τον γράψαι αὐτὸν τὸν Φαῖδρον· καὶ γὰρ ἔχειν μειρα-
κιῶδές τι τὸ πρόβλημα. Δικαίαρχος δὲ καὶ τὸν τρόπον τῆς
γραφῆς ὅλον ἐπιμέμφεται ὡς φορτικόν.

Ὁ γοῦν Πλάτων λέγεται θεασάμενός τινα κυβεύοντα
αἰτιάσασθαι· τοῦ δὲ εἰπόντος ὡς ἐπὶ μικροῖς, "Ἀλλὰ τό γε
ἔθος," εἰπεῖν, "οὐ μικρόν." Ἐρωτηθεὶς εἰ ἀπομνημονεύμα-
τα αὐτοῦ ἔσται ὥσπερ τῶν πρότερον ἀπεκρίνατο· "Ὀνό-
ματος δεῖ τυχεῖν πρῶτον, εἶτα πολλὰ ἔσται." Εἰσελθόντος
ποτὲ Ξενοκράτους εἶπε μαστιγῶσαι τὸν παῖδα· αὐτὸν γὰρ
39 μὴ δύνασθαι διὰ τὸ ὠργίσθαι. Ἀλλὰ καὶ πρός τινα τῶν
παίδων, "Μεμαστίγωσο ἄν," εἶπεν, "εἰ μὴ ὠργιζόμην."

1 Ἔνιοι – **3** εἶναι : Anon. *Proleg. in Plat.* 24; P. Herc. 1021, col. 3.37–38; *Suda,* Φ 418 **3** Euphorionis Fr. 152 Scheidweiler | Panaetii Fr. 130 van Straaten **5** Ἣν – **6** Ἀντιλογικοῖς : 3.57; Aristoxeni Fr. 67 Wehrli; 80 B 5 DK **6** Λόγος – **8** πρόβλημα : Olympiod. *V. Plat.* 3; Anon. *Proleg in Plat.* 24 **8–9** Dicaearchi Fr. 42 Wehrli **10–12** *Gnom. Vat.* 502 **14** Εἰσελθόντος – **16** ὠργίσθαι : *Gnom. Vat.* 436; Arsen. *Viol.*, p. 422 Walz; Plut. *De lib. educ.* 10 D; *De sera num. vind.* 551 B; *Adv. Col.* 1108 A; Val. Max. 4.1.15 ext. 2 **16** Ἀλλὰ καὶ – **17** ὠργιζόμην : Stob. 3.20.42; Sen. *De ira* 3.12.5; Val. Max. 4.1.15 ext. 1

3 εἶναι ss. **B**^{2} **4** εὑρεῖσθαι **BV** **5** πᾶσα **BV** **6** προταγόρου **B** **7** ἔχειν **B** : ἔχει **PFV** et *Frob.* **8** καὶ om. **F** **9** ab ὡς φορτικόν usque ad p. 222.15 ἀποκρί- scripsit **F**^{3} (f. 38^{rv}) **12** εἰπεῖν **B** : εἶπεν **PF**^{3}**V** **15** αὐτὸς Cobet **16** διὰ – τινα in mg **F**^{3} | ὠργίσθαι **BPΦ** : ὀργίζεσθαι **F**^{3}**B**^{2} et *Frob.* **17** μεμαστίγωσο **B**^{1}**PF**^{3}**Φ** : ἐ- ss. **B**^{2} | ὀργιζόμην **F**^{3}

Ἐφ' ἵππου καθίσας εὐθέως κατέβη φήσας εὐλαβεῖσθαι μὴ ἱπποτυφίᾳ ληφθῇ. Τοῖς μεθύουσι συνεβούλευε κατοπτρίζεσθαι· ἀποστήσεσθαι γὰρ τῆς τοιαύτης ἀσχημοσύνης. Πίνειν δ' εἰς μέθην οὐδαμοῦ πρέπον ἔλεγε πλὴν ἐν ταῖς ἑορταῖς τοῦ καὶ τὸν οἶνον δόντος θεοῦ. Καὶ τὸ πολλὰ δὲ καθεύδειν ἀπήρεσκεν αὐτῷ. Ἐν γοῦν τοῖς Νόμοις φησί· "Κοιμώμενος οὐδεὶς οὐδενὸς ἄξιος." Εἶναί τε ἥδιον τῶν ἀκουσμάτων τὴν ἀλήθειαν· οἱ δὲ τὸ λέγειν τἀληθῆ. Καὶ περὶ ἀληθείας δ' ἐν τοῖς Νόμοις φησὶν οὕτως | "Καλὸν 40 μὲν ἡ ἀλήθεια, ὦ ξένε, καὶ μόνιμον· ἔοικε μὴν οὐ ῥᾴδιον ⟨εἶναι⟩ πείθειν." Ἀλλὰ καὶ ἠξίου μνημόσυνον αὑτοῦ λείπεσθαι ἢ ἐν φίλοις ἢ ἐν βιβλίοις· ἐξετόπιζε καὶ αὐτὸς τὰ πλεῖστα, καθά τινες φασί.

Καὶ ἐτελεύτα μὲν ὃν εἴπομεν τρόπον Φιλίππου βασιλεύοντος ἔτος τρισκαιδέκατον, καθὰ καὶ Φαβωρῖνός φησιν ⟨ἐν⟩ Ἀπομνημονευμάτων τρίτῳ. Ὑφ' οὗ καὶ ἐπιτιμηθῆναί φησιν αὐτὸν Θεόπομπος. Μυρωνιανὸς δ' ἐν Ὁμοίοις φησὶ Φίλωνα παροιμίας μνημονεύειν περὶ τῶν Πλάτωνος φθειρῶν, ὡς οὕτως αὐτοῦ τελευτήσαντος. Καὶ ἐτάφη

2 Τοῖς μεθύουσι – **3** ἀσχημοσύνης : cf. 1.103; Sen. *De ira* 2.36.1; Plut. *De cohib. ira* 456 AB; Gell. 15.2 **5** Καὶ – **7** ἄξιος : Plat. *Legg.* 7. 808 b 5 **9** Καὶ – **11** πείθειν : Plat. *Legg.* 2, 663 c 3 **11** Ἀλλὰ καὶ – **12** βιβλίοις : cf. Plat. *Phaedri* 275 c 5 – 277 a 4 **14** εἴπομεν : 3.2 **14–16** Favorini Fr. 13 Mensching **16** Ὑφ' οὗ – **17** *FGrHist* 115 F 294. Cf. Ael. *V.H.* 4.19 **17–19** τελευτήσαντος : Myroniani Fr. 2 (*FHG* IV, 454)

2 ἱπποτυπία **F**^{3} | τῆς **F**^{3} | κατοπτήζεσθαι **F**^{3} **7** κοιμώμενος **BPF**^{3} : καθεύδων Plato | δὲ οὐδεὶς **PF**^{3} | ἤδειον **B** **10** μὴν **B** et Plato : δὲ **PF**^{3} **11** εἶναι ex Plat. add. ed. Basil. **12** ἢ^2 ss. **P**^{1} **13** κατά **F**^{3} **15** φαβορεῖνος **B** **16** ἐν addidi | [ἐπι]τιμηθῆναι Wilamowitz (ap. E. Maass, *De biographis gr.*, *Ph. U.* 3 [1880], 160) **17** φασὶν **B**

ἐν τῇ Ἀκαδημίᾳ, ἔνθα τὸν πλεῖστον χρόνον διετέλεσε
41 φιλοσοφῶν. Ὅθεν καὶ Ἀκαδημαϊκὴ προσηγορεύθη ἡ ἀπ'
αὐτοῦ αἵρεσις. Καὶ παρεπέμφθη πανδημεὶ πρὸς τῶν αὐτό-
θι διαθέμενος τοῦτον τὸν τρόπον.
"Τάδε κατέλιπε Πλάτων καὶ διέθετο· τὸ ἐν Ἰφιστια-
δῶν χωρίον, ᾧ γείτων βορρᾶθεν ἡ ὁδὸς ἡ ἐκ τοῦ Κηφισιᾶ-
σιν ἱεροῦ, νοτόθεν τὸ Ἡράκλειον τὸ ἐν Ἰφιστιαδῶν, πρὸς
ἡλίου δὲ ἀνιόντος Ἀρχέστρατος Φρεάρριος, πρὸς ἡλίου
δὲ δυομένου Φίλιππος Χολλιδεύς· καὶ μὴ ἐξέστω τοῦτο
μηδενὶ μήτε ἀποδόσθαι μήτε ἀλλάξασθαι, ἀλλ' ἔστω
42 Ἀδειμάντου τοῦ παιδίου εἰς τὸ δυνατόν· καὶ τὸ ἐν Εἰρε-
σιδῶν χωρίον, ὃ παρὰ Καλλιμάχου ἐπριάμην, ᾧ γείτων
βορρᾶθεν Εὐρυμέδων Μυρρινούσιος, νοτόθεν δὲ Δημό-
στρατος Ξυπεταιών, πρὸς ἡλίου ἀνιόντος Εὐρυμέδων
Μυρρινούσιος, πρὸς ἡλίου δυομένου Κηφισός. Ἀργυρίου
μνᾶς τρεῖς. Φιάλην ἀργυρᾶν ἕλκουσαν ρξε', κυμβίον
ἄγον με', δακτύλιον χρυσοῦν καὶ ἐνώτιον χρυσοῦν ἄγον-

3 Καὶ – τῶν αὐτόθι : Olympiod. *V. Plat.* 6

1 ἀκαδημεία **B** | πλεῖστον in mg add. **F**^{3} **3** πανδημὶ **B** | τῶν **B**^{2} (τὸν **B**^{1}) **5** κατέλειπε **B** | ἐνϊφιστιάδων **BP**^{1} in mg γρ. : ἐν ἡφαιστιάδων **P**^{1} in textu et **F**^{3} **6** βοράθεν **F**^{3}**V** | κηφισιάσιν **F**^{3}**P**^{4}**H** : κηφησιάσιν **BP**^{1} **7** ἐνϊφιστιάδων **B** : ἐν ἡφαιστιάδων **PF**^{3} **8** φρεάρριος **B** : φρεάριος **PV** : φλεάριος **F**^{3} **9** χολλιδεύς **B** et Steph. Byz. (s.v. Χολλίδαι) : χολιδεύς **PF**^{3} : Χολλείδης ed. Basil., agn. Hicks **11** ἀδιμάντου **B** | πεδίου **P**^{1}, corr. **P**^{4}**H** | ante εἰς τὸ δυνατὸν lac. indic. Th. Gomperz (*Beiträge zur Kritik* ..., VII.5, Vindob. 1900, 9–13) | Εἰρεσιδῶν Palmer, Menagius : ἐρισιάδων **BPF**^{3} **13** μυρριννούσιος **F**^{3}, μυριννούσιος **V** et *Frob.* | δὲ om. **B** **14** Ξυπεταιών Cobet post Is. Casaubon (Ξυπετέων) : ξυπεταίρων **B** : ξυπετέρων **PF**^{3}**V** et *Frob.* **15** μυρρινούσιος **BP**^{1} : μυρριννούσιος **F**^{3}, μυριννούσιος **P**^{5} γρ. et *Frob.* | κηφεισός **B** : κηφησσός **P**^{1} : κηφισσός **F**^{3}**P**^{2}**QV** et *Frob.* **16** κύμβιον **BP**^{1} in mg : κυμβεῖον **F**^{3}**P**^{1} in textu, **V** et *Frob.*

τα συνάμφω δ΄ δραχμάς, ὀβολοὺς γ΄. Εὐκλείδης ὁ λιθοτόμος ὀφείλει μοι τρεῖς μνᾶς. Ἄρτεμιν ἀφίημι ἐλευθέραν. Οἰκέτας καταλείπω Τύχωνα Βίκταν Ἀπολλωνίδην Διονύσιον. Σκεύη τὰ ⟨κατα⟩γεγραμμένα, ὧν ἔχει τὰ ἀντίγραφα 43 Δημήτριος. Ὀφείλω δ' οὐδενὶ οὐθέν. Ἐπίτροποι Λεωσθένης Σπεύσιππος Δημήτριος Ἡγίας Εὐρυμέδων Καλλίμαχος Θράσιππος."

Καὶ διέθετο μὲν οὕτως. Ἐπεγράφη δ' αὐτοῦ τῷ τάφῳ ἐπιγράμματα τάδε· πρῶτον·

Σωφροσύνῃ προφέρων θνητῶν ἤθει τε δικαίῳ
ἐνθάδε δὴ κεῖται θεῖος Ἀριστοκλέης·
εἰ δέ τις ἐκ πάντων σοφίης μέγαν ἔσχεν ἔπαινον,
τοῦτον ἔχει πλεῖστον καὶ φθόνος οὐχ ἕπεται.

Ἕτερον δέ· 44

Γαῖα μὲν ἐν κόλπῳ κρύπτει τόδε σῶμα Πλάτωνος,
ψυχὴ δ' ἀθάνατον τάξιν ἔχει μακάρων
υἱοῦ Ἀρίστωνος, τόν τις καὶ τηλόθι ναίων
τιμᾷ ἀνὴρ ἀγαθὸς θεῖον ἰδόντα βίον.

10–13 *Anth. Pal.* 7.60; *Plan.* **15–18** *Anth. Pal.* 7.61; *Plan.* Cf. 16.31 Beckby (*App. Plan.*, III^b 26.7) et L. Tarán, *G.R.B.S.* 25 (1984) 63–82

3 βίκταν **BPF**^{3} : Βιθίαν vel Βιτίαν Menagius : Βύκταν coni. ed. Basil. | ἀπολλωνίδην **B** : ἀπολλωνιάδην **PF**^{3}**V** et *Frob.* **4** post σκεύη lac. indic. ed. Basil | ⟨κατα⟩γεγραμμένα scripsi : γεγραμμένα **BPF**^{3} | τὰ^2 **BP** : om. **F**^{3} **5** Λεωσθένης ed. Basil. : δὲ ὡσθένης **B** : δὲ σωσθένης **P**^{1}**F**^{3} et *Frob.* : δὲ λεωσθένης **P**^{3}**WV** **10** δικαίων *Pal.*^{1} **11** δὴ κεῖται **BPF**^{3} : κεῖται ἀνὴρ *Pal.* | θεῖος **B** et *Pal.* : δῖος **PF**^{3} **13** οὗτος ἔχει πουλὺν καὶ φθόνον οὐ φέρεται *Pal.* **15** κόλπω **BPF**^{3} : κόλποις *Pal.* et *App. Plan.* | κρύπτει **BPF**^{3} et *Pal.* : κατέχει *App. Plan.* **16** ἀθάνατον **B** et *Pal.* : ἀθανάτων **PF**^{3}**V**, *Frob.* et *Plan.* : ἰσοθέων *App. Plan.* (ἰσόθεος Bergk) **17** τηλότι **F**^{3} | τήλοθιν ἐὼν **B** **18** ἰδὼν βίοτον Bergk

Καὶ ἄλλο νεώτερον·

Αἰετέ, τίπτε βέβηκας ὑπὲρ τάφον; Ἢ τίνος, εἰπέ,
ἀστερόεντα θεῶν οἶκον ἀποσκοπέεις;
— Ψυχῆς εἰμι Πλάτωνος ἀποπταμένης ἐς Ὄλυμπον
εἰκών· σῶμα δὲ ⟨γῆ⟩ γηγενὲς Ἀτθὶς ἔχει.

45 Ἔστι καὶ ἡμέτερον οὕτως ἔχον·

Καὶ πῶς, εἰ μὴ Φοῖβος ἀν' Ἑλλάδα φῦσε Πλάτωνα,
ψυχὰς ἀνθρώπων γράμμασιν ἠκέσατο;
Καὶ γὰρ ὁ τοῦδε γεγὼς Ἀσκληπιός ἐστιν ἰητὴρ
σώματος, ὡς ψυχῆς ἀθανάτοιο Πλάτων.

Καὶ ἄλλο, ὡς ἐτελεύτα·

Φοῖβος ἔφυσε βροτοῖς Ἀσκληπιὸν ἠδὲ Πλάτωνα,
τὸν μέν, ἵνα ψυχήν, τὸν δ', ἵνα σῶμα σάοι.
Δαισάμενος δὲ γάμον πόλιν ἤλυθεν, ἥν ποθ' ἑαυτῷ
ἔκτισε καὶ δαπέδῳ Ζηνὸς ἐνιδρύσατο.

Καὶ τὰ μὲν ἐπιγράμματα ταῦτα.

46 Μαθηταὶ δ' αὐτοῦ Σπεύσιππος Ἀθηναῖος, Ξενοκράτης

2–5 *Anth. Pal.* 7.62; *Plan.* **7–10** *Anth. Pal.* 7.108; *Plan.* **12–15** *Anth. Pal.* 7.109; *Plan.* Cf. Olympiod. *V. Plat.* 6 (p. 195.11–12) **17–p. 221.6** cf. P. Herc. 1021, col. 5.32–6.20 et Gaiser, pp. 443–449 **17** Speusippi T 5 Tarán

2 αἰετέ **PF**^{3} et *Pal.* : ἀετέ **BΦ** | ἦ τίνος **BPF**^{3}**Φ** et *Pal.* : ἦ τινος ed. Basil. **3** ἀποσκοπεῖς **P**^{1}**QW**, corr. **P**^{4}**H** **4** εἰ μὴ **F**^{3} | εἰς **PV** **5** γῆ ex *Pal.* add. Huebner : om. **BPΦ** : τοῦ **F**^{3} **7** ἂν **F**^{3} **8** ἠκέσατ' ⟨ἄν⟩ Richards **9** καὶ : ὡς Richards | ἀσκλειπιὸς **B** | ἰκτὴρ **F**^{3} **10** σωμάτων **P**^{1}**QW**, corr. **P**^{4}**H** | ὡς **BPF**^{3} : ὣς Richards (cf. v. 9) : ὧ *Pal.*^{1} **12** φοῖβος ἔφυσε βροτοῖς **BPF**^{3}**Φ** et *Pal.* : τοὺς δύ' Ἀπόλλων φῦσ' Olympiod. **14** ποθ' ἑαυτῷ Jacobs et Huebner ex *Pal.* et *Plan.* : ποτε αὐτῶ(ι) **BPF**^{3}

Καλχηδόνιος, Ἀριστοτέλης Σταγειρίτης, Φίλιππος Ὀπούντιος, Ἑστιαῖος Περίνθιος, Δίων Συρακούσιος, Ἀμύκλας Ἡρακλεώτης, Ἔραστος καὶ Κορίσκος Σκήψιοι, Τιμόλαος Κυζικηνός, Εὐαίων Λαμψακηνός, Πύθων καὶ Ἡρακλείδης Αἴνιοι, Ἱπποθάλης καὶ Κάλλιππος Ἀθηναῖοι, Δημήτριος Ἀμφιπολίτης, Ἡρακλείδης Ποντικὸς καὶ ἄλλοι πλείους, σὺν οἷς καὶ γυναῖκες δύο, Λασθένεια Μαντινικὴ καὶ Ἀξιοθέα Φλιασία, ἣ καὶ ἀνδρεῖα ἠμπίσχετο, ὥς φησι Δικαίαρχος. Ἔνιοι δὲ καὶ Θεόφραστον ἀκοῦσαί φασιν αὐτοῦ· καὶ Ὑπερίδην τὸν ῥήτορα Χαμαιλέων φησὶ καὶ Λυκοῦργον. Ὁμοίως Πολέμων ἱστορεῖ. Καὶ Δημοσθένην | Σαβῖνος λέγει Μνησίστρατον Θάσιον παρα- 47 τιθέμενος ἐν δ′ Μελετητικῆς ὕλης· καὶ εἰκός ἐστι.

6 Heraclidis Pontici Fr. 4 Wehrli **7–8** cf. 4.2; Clem. *Strom.* 4.122.2; Anon. *Proleg in Plat.* 4; Athen. 12, 546 D; Themist. *Or.* 23, 295 C **7–9** Dicaearchi Fr. 44 Wehrli **9** Θεόφρατον : cf. 5.36 **10** Ὑπερίδην : Plut. *V. decem or.* 848 D **10** Chamaeleonis Fr. 45 Wehrli **11** Λυκοῦργον : Plut. *V. decem or.* 841 B; 848 D **11** Polemonis Fr. 9 (*FHG* III, 117) **11–12** Καὶ Δημοσθένην : Plut. *V. Dem.* 5.5; *V. decem or.* 844 B; Quint. *Inst.* 12.2.22; 12.10.24 et saepius

1 καλχηδόνιος **P**, καλχιδόνιος **B** : χαλκηδόνιος **F**^{3}**V** et *Frob.* | ὁ ὀπούντιος **F**^{3} **2** ἐστι·ος **P**^{1}**Q**, corr. **P**^{3}**W** | δίων συρακούσιος om. **F**^{3} | συρακούσιος **B**^{2}**P** : συρακόσιος **B**^{1} **3** Ἀμύκλας scripsi ex P. Herc. 1021, col. 6.1 et Ael. *V.H.* 3.19; Procli *In Euclid.*, p. 67.8 Friedlein : ἄμυκλος **BPF**^{3} : Ἀμύντας *Ind. Acad. Hercul.* VI.1 | ἔρασκος **F**^{3} | κουρίσκος **F**^{3} **4** τιμόλαος **B**^{2}**PF**^{3} et *Ind. Acad.* VI.12 : Τίμαιος Athen. 11, 509 A | εὐαίων **BPF**^{3} : Εὐάγων Athen. 11, 508 F | πύθων **B**^{2} et *Ind. Acad.* VI.15 : πείθων **PF**^{3} **5** καὶ **F**^{3} : om. **BPV** **7** λανθάνεια **F**^{3} **8** φλιασία **PF**^{3}**V** : φλειασία **B** **10** ὑπερήδην **B** | χαμελέων **B** **12** δεμοσθένη **B**^{2} (-νην **B**^{1}) | σαβεῖνος **B** | λέγει καὶ **F**^{3} **13** μελετητικῆς **BP** : μελετικῆς **F** et *Suda,* Σ 11

Φιλοπλάτωνι δέ σοι δικαίως ὑπαρχούσῃ καὶ παρ' ὁντινοῦν τὰ τοῦ φιλοσόφου δόγματα φιλοτίμως ζητούσῃ ἀναγκαῖον ἡγησάμην ὑπογράψαι καὶ τὴν φύσιν τῶν λόγων καὶ τὴν τάξιν τῶν διαλόγων καὶ τὴν ἔφοδον τῆς ἐπαγωγῆς, ὡς οἷόν τε στοιχειωδῶς καὶ ἐπὶ κεφαλαίων, πρὸς τὸ μὴ ἀμοιρεῖν αὐτοῦ τῶν δογμάτων τὴν περὶ τοῦ βίου συναγωγήν· γλαῦκα γὰρ εἰς Ἀθήνας, φασίν, εἰ δέῃ σοι τὰ κατ' εἶδος διηγεῖσθαι.

Διαλόγους τοίνυν φασὶ πρῶτον γράψαι Ζήνωνα τὸν
48 Ἐλεάτην· Ἀριστοτέλης δὲ ἐν πρώτῳ Περὶ ποιητῶν Ἀλε-
ξαμενὸν Στυρέα ἢ Τήιον, ὡς καὶ Φαβωρῖνος ἐν Ἀπομνη-
μονεύμασι. Δοκεῖ δέ μοι Πλάτων ἀκριβώσας τὸ εἶδος καὶ
τὰ πρωτεῖα δικαίως ἂν ὥσπερ τοῦ κάλλους οὕτω καὶ τῆς
εὑρέσεως ἀποφέρεσθαι. Ἔστι δὲ διάλογος ⟨λόγος⟩ ἐξ
ἐρωτήσεως καὶ ἀποκρίσεως συγκείμενος περί τινος τῶν
φιλοσοφουμένων καὶ πολιτικῶν μετὰ τῆς πρεπούσης ἠθο-
ποιΐας τῶν παραλαμβανομένων προσώπων καὶ τῆς κατὰ
τὴν λέξιν κατασκευῆς. Διαλεκτικὴ δ' ἐστὶ τέχνη λόγων,
δι' ἧς ἀνασκευάζομέν τι ἢ κατασκευάζομεν ἐξ ἐρωτή-
σεως καὶ ἀποκρίσεως τῶν προσδιαλεγομένων.
49 Τοῦ δὴ ⟨δια⟩λόγου τοῦ Πλατωνικοῦ δύο εἰσὶν ⟨οἱ⟩ ἀνω-
τάτω χαρακτῆρες, ὅ τε ὑφηγητικὸς καὶ ὁ ζητητικός. Δι-

3 τὴν φύσιν : cf. 3.48 ss. **4** τὴν τάξιν : cf. 3.57 ss. | τὴν ἔφοδον : cf. 3.53 ss. **6** τῶν δογμάτων : cf. 3.67 ss. et P. Von der Muehll, *Philol.* 109 (1965) 313–315 **9** cf. 8.57; 9.25 **9–11** Aristot. Fr. 72 Rose^3; Athen. 11, 505 BC **11** Favorini Fr. 17 Mensching **14** Ἔστι – **18** κατασκευῆς = Albini *Introd.* 1 (p. 147.16–19 Hermann); Anon. *Proleg. in Plat.* 24 **21–p. 223.7** cf. Albini *Introd.* 3; Anon. *Prol. in Plat.* 17

5 στοιχιωδῶς **B** **7–8** δέῃ σοι **B** : δεῆσοι **PF**, Cobet : δέοι σοι C.F. Hermann **9** φασὶ τοίνυν **B** **11** τυρέα **F**^{3} | φαβορεῖνος **B** **13** κάλλους **B** : καλοῦ **PF**^{3} **14** λόγος add. Stephanus e *Suda*, Δ 627 **21** ⟨δια⟩λόγου Cobet : λόγου **BPF** et *Suda* | οἱ add. Cobet (cf. *Suda* et Albinum) **22** ὅτε ὁ **F**

αιρεῖται δὲ ὁ ὑφηγητικὸς εἰς ἄλλους δύο χαρακτῆρας, θεωρηματικόν τε καὶ πρακτικόν. Καὶ τῶν ὁ μὲν θεωρηματικὸς εἰς τὸν φυσικὸν καὶ λογικόν, ὁ δὲ πρακτικὸς εἰς τὸν ἠθικὸν καὶ πολιτικόν. Τοῦ δὲ ζητητικοῦ καὶ αὐτοῦ δύο εἰσὶν οἱ πρῶτοι χαρακτῆρες, ὅ τε γυμναστικὸς καὶ ἀγωνιστικός. Καὶ τοῦ μὲν γυμναστικοῦ μαιευτικός τε καὶ πειραστικός, τοῦ δὲ ἀγωνιστικοῦ ἐνδεικτικὸς καὶ ἀνατρεπτικός.

Οὐ λανθάνει δ' ἡμᾶς ὅτι τινὲς ἄλλως διαφέρειν τοὺς
διαλόγους φασί | (λέγουσι γὰρ αὐτῶν τοὺς μὲν δραμα- 50
τικούς, τοὺς δὲ διηγηματικούς, τοὺς δὲ μικτούς), ἀλλ' ἐκεῖνοι μὲν τραγικῶς μᾶλλον ἢ φιλοσόφως τὴν διαφορὰν τῶν διαλόγων προσωνόμασαν. Εἰσὶ δὲ τοῦ μὲν φυσικοῦ οἷον ὁ Τίμαιος· τοῦ δὲ λογικοῦ ὅ τε Πολιτικὸς καὶ ὁ Κρατύλος καὶ Παρμενίδης καὶ Σοφιστής· τοῦ δ' ἠθικοῦ ἥ τε Ἀπολογία καὶ ὁ Κρίτων καὶ Φαίδων καὶ Φαῖδρος καὶ τὸ Συμπόσιον Μενέξενός τε καὶ Κλειτοφῶν καὶ Ἐπιστολαὶ καὶ Φίληβος, Ἵππαρχος, Ἀντερασταί· τοῦ δὲ πολιτικοῦ ἥ τε Πολιτεία καὶ οἱ Νόμοι καὶ ὁ Μίνως καὶ Ἐπινομὶς καὶ ὁ
Ἀτλαντικός· τοῦ δὲ μαιευτικοῦ Ἀλκιβιάδαι ⟨δύο⟩, Θεά- 51
γης, Λύσις, Λάχης· τοῦ δὲ πειραστικοῦ Εὐθύφρων, Μένων, Ἴων, Χαρμίδης, Θεαίτητος· τοῦ δὲ ἐνδεικτικοῦ ὡς ὁ Πρωταγόρας· καὶ τοῦ ἀνατρεπτικοῦ Εὐθύδημος, Γοργίας, Ἱππίαι δύο. Καὶ περὶ μὲν διαλόγου τί ποτέ ἐστι καὶ τίνες αὐτοῦ διαφοραί, ⟨τοσαῦτα⟩ ἀπόχρη λέγειν.

12 Εἰσὶ δὲ – **23** δύο : cf. Albini *Introd.* 3 **18–19** ὁ Ἀτλαντικός : i.e. *Critias*

5 πρῶτοι ss. $\mathbf{F}^2$ **6** μεευτικὸς $\mathbf{B}^1$ (corr. $\mathbf{B}^2$) **7** ἐνδεικτικός τε καὶ **FV** **10** μικτοὺς $\mathbf{B}^2$**PF** : μεικτοὺς $\mathbf{B}^1$ **15** ὁ φαίδων καὶ ὁ φαῖδρος **F** **17** φίληβος **BP** : φίλιος **F** **19** μεευτικοῦ $\mathbf{B}^1$ (corr. $\mathbf{B}^2$) | δύο addidi (cf. v. 23) **22** προταγόρας **B** **22–23** ἱππίαι δύο γοργίας **PV** et *Frob.* **24** τοσαῦτα post H. Diels et H. Richards add. ed. Basil. (ταῦτα add. iam Reiske)

Ἐπεὶ δὲ πολλὴ στάσις ἐστὶ καὶ οἱ μέν φασιν αὐτὸν δογματίζειν, οἱ δ' οὔ, φέρε καὶ περὶ τούτου διαλάβωμεν. Αὐτὸ τοίνυν τὸ δογματίζειν ἐστὶ δόγματα τιθέναι, ὡς τὸ νομοθετεῖν νόμους τιθέναι. Δόγματα δὲ ἑκατέρως καλεῖται, τό τε δοξαζόμενον καὶ ἡ δόξα αὐτή.

52 Τούτων δὲ τὸ μὲν δοξαζόμενον πρότασίς ἐστιν, ἡ δὲ δόξα ὑπόληψις. Ὁ τοίνυν Πλάτων περὶ μὲν ὧν κατείληφεν ἀποφαίνεται, τὰ δὲ ψευδῆ διελέγχει, περὶ δὲ τῶν ἀδήλων ἐπέχει. Καὶ περὶ μὲν τῶν αὐτῷ δοκούντων ἀποφαίνεται διὰ τεττάρων προσώπων, Σωκράτους, Τιμαίου, τοῦ Ἀθηναίου ξένου, τοῦ Ἐλεάτου ξένου· εἰσὶ δ' οἱ ξένοι οὐχ, ὥς τινες ὑπέλαβον, Πλάτων καὶ Παρμενίδης, ἀλλὰ πλάσματά ἐστιν ἀνώνυμα· ἐπεὶ καὶ τὰ Σωκράτους καὶ τὰ Τιμαίου λέγων Πλάτων δογματίζει. Περὶ δὲ τῶν ψευδῶν ἐλεγχομένους εἰσάγει οἷον Θρασύμαχον καὶ Καλλικλέα καὶ Πῶλον Γοργίαν τε καὶ Πρωταγόραν, ἔτι τ' Ἱππίαν καὶ Εὐθύδημον καὶ δὴ καὶ τοὺς ὁμοίους.

53 Ποιούμενος δὲ τὰς ἀποδείξεις πλείστῳ χρῆται τῷ τῆς ἐπαγωγῆς τρόπῳ, οὐ μὴν μονοτρόπως, ἀλλὰ διχῇ. Ἔστι μὲν γὰρ ἐπαγωγὴ λόγος διά τινων ἀληθῶν τὸ ὅμοιον ἑαυτῷ ἀληθὲς οἰκείως ἐπιφέρων. Δύο δὲ τῆς ἐπαγωγῆς εἰσι τρόποι, ὅ τε κατ' ἐναντίωσιν καὶ ὁ ἐκ τῆς ἀκολουθίας. Ὁ μὲν οὖν κατ' ἐναντίωσίν ἐστιν ἐξ οὗ τῷ ἐρωτωμένῳ περὶ πᾶσαν ἀπόκρισιν ἀκολουθήσει τὸ ἐναντίον, οἷον· Ὁ ἐμὸς

1–2 Cf. Numenii Fr. 24 des Places (p. 64.57 ss.) **7–9** cf. Quint. *Inst.* 2.15.26 **19** Ἔστι – **21** ἐπιφέρων : cf. Aristot. *Anal. pr.* B 23, 68 b 15 **24–p. 225.9** cf. Plat. *Euthyd.* 297 e – 299 a

2 τούτου **BF** : τούτων **PV** | διαλάβομεν **F** **4** δόγματα **BF** : δόγμα **PV** : δόξαν *Suda* **10** τειμαίου **B** | τιμαίου καὶ **F** **11** δ' add. F[2] **16** πῶλον καὶ **F** | τε om. **F** | προταγόραν **B** | ἔτι τὲ **F** : ἔτι δ' **PV** : ἔτ' **B** **17** εὐθύδρομον **F** | καὶ δὴ eiecit Cobet **19** μονοτρόπως Stephanus : μονοτρόπῳ **PF** : μονωτρόπω **B** **23** παρὰ Reiske

πατὴρ τῷ σῷ πατρὶ ἤτοι ἕτερός ἐστιν ἢ ὁ αὐτός. Εἰ μὲν οὖν
ἕτερος ἐστι τοῦ ἐμοῦ πατρὸς ὁ σὸς πατήρ, ⟨τοῦ ἐμοῦ⟩
πατρὸς ἕτερος ὢν οὐκ ἂν εἴη ⟨ὁ ἐμὸς⟩ πατήρ· εἰ δὲ ὁ αὐτός
ἐστι τῷ ἐμῷ πατρί, ὁ αὐτὸς ὢν τῷ ἐμῷ πατρί, ὁ ἐμὸς ἂν εἴη
πατήρ. Καὶ πάλιν· Εἰ μή ἐστι ζῷον ὁ ἄνθρωπος, λίθος ἂν 54
εἴη ἢ ξύλον. Οὐκ ἔστι δὲ λίθος ἢ ξύλον· ἔμψυχον γάρ ἐστι
καὶ ἐξ αὐτοῦ κινεῖται· ζῷον ἄρα ἐστίν. Εἰ δὲ ζῷόν ἐστι,
ζῷον δὲ καὶ ὁ κύων καὶ ὁ βοῦς, εἴη ἂν καὶ ὁ ἄνθρωπος
ζῷον ⟨ὢν⟩ καὶ κύων καὶ βοῦς.

Οὗτος μὲν ὁ τῆς ἐπαγωγῆς κατ' ἐναντίωσιν καὶ μάχην
τρόπος, ᾧ ἐχρῆτο οὐ πρὸς τὸ δογματίζειν, ἀλλὰ πρὸς τὸ
διελέγχειν. Ὁ δ' ἐκ τῆς ἀκολουθίας ἐστὶ διπλοῦς· ὁ μὲν τὸ
ἐπὶ μέρους ζητούμενον διὰ τοῦ ἐπὶ μέρους ἀποδεικνύς, ὁ
δὲ τὸ καθόλου διὰ τῶν ἐπὶ μέρους πιστούμενος. Καὶ ἔστιν
ὁ μὲν πρότερος ῥητορικός, ὁ δὲ δεύτερος διαλεκτικός. Οἷ-
ον ἐν τῷ προτέρῳ ζητεῖται εἰ ὅδε ἀπέκτεινεν. Ἀπόδειξις
τὸ εὑρῆσθαι αὐτὸν κατ' ἐκεῖνον τὸν χρόνον ᾑμαγμένον.
Ῥητορικὸς δ' ἐστὶν ὁ τρόπος τῆς ἐπαγωγῆς οὗτος, ἐπειδὴ 55
καὶ ἡ ῥητορικὴ περὶ τὰ ἐπὶ μέρους, οὐ τὰ καθόλου τὴν
πραγματείαν ἔχει. Ζητεῖ γὰρ οὐ περὶ αὐτοῦ τοῦ δικαίου,
ἀλλὰ τῶν ἐπὶ μέρους δικαίων. Ὁ δὲ ἕτερός ἐστι διαλεκ-

2 τοῦ ἐμοῦ addidi (cf. v.4) **3** ὁ ἐμὸς addidi (cf. v.4) **6** οὐκ ἔστι δὲ λίθος ἢ ξύλον om. **B** | ἔμψυχον **BPΦ** : ἔμψυχος **FV** et *Suda* **7** αὐτοῦ **P** et *Suda* : ἑαυτοῦ **F** : αὑτοῦ **B** | εἰ δὲ ζῷόν ἐστι in mg **F**^{2} **8** ὁ^1 om. **F** **8** εἴη ἂν – **9** βοῦς in mg **F**^{2} **9** ὢν add. Cobet (ὂν add. iam C.F. Hermann) **12** δ'ἐκ **Φ** : δὲ **BPF** et *Suda* **13** ἀποδεικνεὶς **B** **13–14** ὁ δὲ τὸ καθόλου διὰ τῶν ἐπιμέρους πιστούμενος in mg **B**^{2} (cf. p. 226.1) : ὁ δὲ τὸ καθόλου διὰ τοῦ (**F**^{2} : τὸ **F**^{1}) ἐπὶ μέρους **FP**^{5} in mg : om. **P**^{1} : ὁ δὲ διὰ τῶν ἐπὶ μέρους κατασκευαστικὸς τοῦ καθόλου προαποδειχθέντος **Φ** : ὁ δὲ ⟨διὰ⟩ τοῦ καθόλου [διὰ τοῦ ἐπὶ μέρους] ed. Basil. vix recte **16** ζητεῖτε **B** | ὅδε **BPF** et *Suda* : ὁ δεῖνα Cobet **17** εὑρεῖσθαι **B** | χρόνον **BPF** : καιρὸν *Suda* **19** περὶ ss. **F**^{2} **20** ζητεῖται **F** **21** ἀλλὰ περὶ τῶν **F**

τικός, προαποδειχθέντος τοῦ καθόλου διὰ τῶν ἐπὶ μέρους. Οἷον ζητεῖται εἰ ἡ ψυχὴ ἀθάνατος καὶ εἰ ἐκ τῶν τεθνεώτων οἱ ζῶντες· ὅπερ ἀποδείκνυται ἐν τῷ Περὶ ψυχῆς διά τινος καθολικοῦ, ὅτι ἐκ τῶν ἐναντίων τὰ ἐναντία. Καὶ αὐτὸ δὲ τὸ καθόλου κατασκευάζεται ἔκ τινων ὄντων ἐπὶ μέρους· οἷον ὅτι τὸ καθεύδειν ἐκ τοῦ ἐγρηγορέναι καὶ ἀνάπαλιν, καὶ τὸ μεῖζον ἐκ τοῦ μικροτέρου καὶ ἀνάπαλιν. Τούτῳ δὲ ἐχρῆτο εἰς τὴν τῶν ἑαυτῷ δοκούντων κατασκευήν.

56 Ὥσπερ δὲ τὸ παλαιὸν ἐν τῇ τραγῳδίᾳ πρότερον μὲν μόνος ὁ χορὸς διεδραμάτιζεν, ὕστερον δὲ Θέσπις ἕνα ὑποκριτὴν ἐξεῦρεν ὑπὲρ τοῦ διαναπαύεσθαι τὸν χορὸν καὶ δεύτερον Αἰσχύλος, τὸν δὲ τρίτον Σοφοκλῆς καὶ συνεπλήρωσεν τὴν τραγῳδίαν, οὕτως καὶ τῆς φιλοσοφίας ὁ λόγος πρότερον μὲν ἦν μονοειδὴς ὡς ὁ φυσικός, δεύτερον δὲ Σωκράτης προσέθηκε τὸν ἠθικόν, τρίτον δὲ Πλάτων τὸν διαλεκτικὸν καὶ ἐτελεσιούργησε τὴν φιλοσοφίαν. Θράσυλλος δέ φησι καὶ κατὰ τὴν τραγικὴν τετραλογίαν ἐκδοῦναι αὐτὸν τοὺς διαλόγους, οἷον ἐκεῖνοι τέτρασι δράμασιν ἠγωνίζοντο (Διονυσίοις, Ληναίοις, Παναθηναίοις, Χύτροις), ὧν τὸ τέταρτον ἦν Σατυρικόν· τὰ δὲ τέτταρα δράματα ἐκαλεῖτο τετραλογία.

2 Οἷον – **4** τὰ ἐναντία : cf. Plat. *Phaed.* 70 d – 72 a **11** Thespidis T 7 Snell (*TrGF* I, 62) **14–17** : cf. Aristot. *Top.* A 14, 105 b 19; S.E. *Adv. math.* 7.16; Hippol. *Ref.* 1.18.2 **18** Θράσυλλος – **22** Anon. *Proleg. in Plat.* 24 et 25; Thrasylli Fr. 6 (*FHG* III, 505). Cf. Fr. Susemihl, *Philol.* 54 (1895) 567–574

1 προσαποδειχθέντος C.F. Hermann **2** ζητεῖτε **B** **3** ἀποδείκνυνται **B** **8** τούτω **PB**^{2} : τοῦτο **B**^{1}**FV** **10** πρότερον μὲν in mg **F**^{2} **13** συνεπλήρωσεν Usener (*Rhein. Mus.* 25 [1870] 579) : συνεπλήρωσαν **BPF** **15** ὡς del. Reiske **18** θρασύλος **BP** | καὶ ss. **F**^{1} **20** δηναίοις **B** | παναθηναίοις ληναίοις **F**

Εἰσὶ τοίνυν, φησίν, οἱ πάντες αὐτῷ γνήσιοι διάλογοι 57
ἓξ καὶ πεντήκοντα, τῆς μὲν Πολιτείας εἰς δέκα διαι-
ρουμένης (ἣν καὶ εὑρίσκεσθαι σχεδὸν ὅλην παρὰ Πρωτα-
γόρᾳ ἐν τοῖς Ἀντιλογικοῖς, ⟨ὥς⟩ φησι Φαβωρῖνος ἐν
Παντοδαπῆς ἱστορίας δευτέρῳ), τῶν δὲ Νόμων εἰς
δυοκαίδεκα. Τετραλογίαι δὲ ἐννέα, ἑνὸς βιβλίου χώραν
ἐπεχούσης τῆς Πολιτείας καὶ ἑνὸς τῶν Νόμων. Πρώτην
μὲν οὖν τετραλογίαν τίθησι τὴν κοινὴν ὑπόθεσιν ἔχου-
σαν· παραδεῖξαι γὰρ βούλεται ὁποῖος ἂν εἴη ὁ τοῦ φιλο-
σόφου βίος. Διπλαῖς τε χρῆται ταῖς ἐπιγραφαῖς καθ'
ἑκάστου τῶν βιβλίων, τῇ μὲν ἀπὸ τοῦ ὀνόματος, τῇ δὲ ἀπὸ
τοῦ πράγματος. Ταύτης τῆς τετραλογίας, ἥτις ἐστὶ πρώτη, 58
ἡγεῖται Εὐθύφρων ἢ περὶ ὁσίου· ὁ διάλογος δ' ἐστὶ πει-
ραστικός· δεύτερος Ἀπολογία Σωκράτους, ἠθικός· τρίτος
Κρίτων ἢ περὶ πρακτέου, ἠθικός· τέταρτος Φαίδων ἢ περὶ
ψυχῆς, ἠθικός. Δευτέρα τετραλογία, ἧς ἡγεῖται Κρατύλος
ἢ περὶ ὀρθότητος ὀνομάτων, λογικός· Θεαίτητος ἢ περὶ
ἐπιστήμης, πειραστικός· Σοφιστὴς ἢ περὶ τοῦ ὄντος,
λογικός· Πολιτικὸς ἢ περὶ βασιλείας, λογικός. Τῆς τρίτης
ἡγεῖται Παρμενίδης ἢ περὶ ἰδεῶν, λογικός· Φίληβος ἢ περὶ
ἡδονῆς, ἠθικός· Συμπόσιον ἢ περὶ ἀγαθοῦ, ἠθικός· Φαῖ-
δρος ἢ περὶ ἔρωτος, ἠθικός.

3–4 cf. 3.37 (Aristoxenus) **4–5** Favorini Fr. 23 Mensching **6** Τετραλογίαι δὲ ἐννέα : cf. Albini *Introd.* 4; Anon. *Proleg. in Plat.* 25; Fr. Susemihl, *Philol.* 54 (1895) 567–574; R.G. Hoerber, *Phronesis* 2 (1957) 10–20; A.–H. Chroust, *Hermes* 93 (1965) 34–46; J.A. Philip, *Phoenix* 24 (1970) 296–308 **20** Παρμενίδης : cf. 9.23

2 εἰς ss. **P^1** **4** ὥς addidi | φασὶ **F** | φαβορεῖνος **B** **10** καθ' **BP^{1}QW** : om. **FVP^{4}H** et *Frob.* **12** post ταύτης addit τε **F**, δὲ Cobet **14–15** τρίτος ἢ περὶ πρακτέου ἠθικός (omisso κρίτων) in mg **F^2** **16** κρατύλλος **F** **20** ἢ φίληβος **F** **21** ἠθικὸς^2 **FP^{4}H** : ἠθικὸν **BP^1**

59 Τῆς τετάρτης ἡγεῖται Ἀλκιβιάδης ἢ περὶ ἀνθρώπου
φύσεως, μαιευτικός· Ἀλκιβιάδης δεύτερος ἢ περὶ εὐχῆς,
μαιευτικός· Ἵππαρχος ἢ φιλοκερδής, ἠθικός· Ἀντερασ-
ταὶ ἢ περὶ φιλοσοφίας, ἠθικός. Τῆς πέμπτης ἡγεῖται Θεά-
γης ἢ περὶ φιλοσοφίας, μαιευτικός· Χαρμίδης ἢ περὶ
σωφροσύνης, πειραστικός· Λάχης ἢ περὶ ἀνδρείας, μαιευ-
τικός· Λύσις ἢ περὶ φιλίας, μαιευτικός. Τῆς ἕκτης ἡγεῖται
Εὐθύδημος ἢ ἐριστικός, ἀνατρεπτικός· Πρωταγόρας ἢ
σοφισταί, ἐνδεικτικός· Γοργίας ἢ περὶ ῥητορικῆς, ἀνα-
60 τρεπτικός· Μένων ἢ περὶ ἀρετῆς, πειραστικός. Τῆς ἑβδό-
μης ἡγοῦνται Ἱππίαι δύο (α´ ἢ περὶ τοῦ καλοῦ, β´ ἢ περὶ
τοῦ ψεύδους), ἀνατρεπτικοί· Ἴων ἢ περὶ Ἰλιάδος, πει-
ραστικός· Μενέξενος ἢ ἐπιτάφιος, ἠθικός. Τῆς ὀγδόης
ἡγεῖται Κλειτοφῶν ἢ προτρεπτικός, ἠθικός· Πολιτεία ἢ
περὶ δικαίου, πολιτικός· Τίμαιος ἢ περὶ φύσεως, φυσικός·
Κριτίας ἢ Ἀτλαντικός, ἠθικός. Τῆς ἐνάτης ἡγεῖται Μίνως
ἢ περὶ νόμου, πολιτικός· Νόμοι ἢ περὶ νομοθεσίας, πολιτι-
κός· Ἐπινομὶς ἢ νυκτερινὸς σύλλογος ἢ φιλόσοφος, πολι-
61 τικός· Ἐπιστολαὶ τρεισκαίδεκα, ἠθικαί (ἐν αἷς ἔγραφεν
εὖ πράττειν, Ἐπίκουρος δὲ εὖ διάγειν, Κλέων χαίρειν)·
πρὸς Ἀριστόδωρον μία, πρὸς Ἀρχύταν δύο, πρὸς Διονύ-
σιον τέτταρες, πρὸς Ἑρμίαν καὶ Ἔραστον καὶ Κορίσκον
μία, πρὸς Λεωδάμαντα μία, πρὸς Δίωνα μία, πρὸς Περ-

19 ἐν αἷς – **20** χαίρειν : cf. 10.14; Luciani *Pro lapsu* 5–6

5 σοφίας **F** **13** τῆς ὀγδόης – **16** ἠθικός in mg super. $\mathbf{F}^2$ **15** τείμαιος **B** **16** μείνως **B** **18** ἐπινομῆς **FV** | post νυκτερινὸς addit ss. πολιτικὸς $\mathbf{B}^2$ **21** Ἀριστόδωρον Long ex Plat. *Ep.* 10 : ἀριστόδημον **BPFV** (ἀριστήδημον) | μίαν **F** **22** ἑρμίαν **B** : ἑρμείαν **PF** | post ἑρμίαν addit ss. μία $\mathbf{B}^2$ | καὶ[1] *Frob.* : πρὸς **BPF** **23–p. 229.1** λεοδάμαντα μίαν, πρὸς δίωνα μίαν, πρὸς περδίκαν μίαν, πρὸς in mg $\mathbf{F}^2$ **23–p. 229.1** πρὸς περδίκκαν μία om. **B**

δίκκαν μία, πρὸς τοὺς Δίωνος οἰκείους δύο. Καὶ οὗτος μὲν οὕτω διαιρεῖ καί τινες.

Ἔνιοι δέ, ὧν ἐστι καὶ Ἀριστοφάνης ὁ γραμματικός, εἰς τριλογίας ἕλκουσι τοὺς διαλόγους, καὶ πρώτην μὲν τιθέασιν ἧς ἡγεῖται Πολιτεία, Τίμαιος, Κριτίας· δευτέραν Σοφιστής, Πολιτικός, Κρατύλος· τρίτην Νόμοι, Μίνως, **62** Ἐπινομίς· τετάρτην Θεαίτητος, Εὐθύφρων, Ἀπολογία· πέμπτην Κρίτων, Φαίδων, Ἐπιστολαί. Τὰ δ' ἄλλα καθ' ἓν καὶ ἀτάκτως. Ἄρχονται δὲ οἱ μέν, ὡς προείρηται, ἀπὸ τῆς Πολιτείας· οἱ δ' ἀπὸ Ἀλκιβιάδου τοῦ μείζονος· οἱ δὲ ἀπὸ Θεάγους· ἔνιοι δὲ Εὐθύφρονος· ἄλλοι Κλειτοφῶντος· τινὲς Τιμαίου· οἱ δ' ἀπὸ Φαίδρου· ἕτεροι Θεαιτήτου· πολλοὶ δὲ Ἀπολογίαν τὴν ἀρχὴν ποιοῦνται. Νοθεύονται δὲ τῶν διαλόγων ὁμολογουμένως Μίδων ἢ Ἱπποτρόφος, Ἐρυξίας ἢ Ἐρασίστρατος, Ἀλκυών, Ἀκέφαλοι, Σίσυφος, Ἀξίοχος, Φαίακες, Δημόδοκος, Χελιδών, Ἑβδόμη, Ἐπιμενίδης· ὧν ἡ Ἀλκυὼν Λεοντός τινος εἶναι δοκεῖ, καθά φησι Φαβωρῖνος ἐν τῷ πέμπτῳ τῶν Ἀπομνημονευμάτων.

Ὀνόμασι δὲ κέχρηται ποικίλοις πρὸς τὸ μὴ εὐσύνοπτον εἶναι τοῖς ἀμαθέσι τὴν πραγματείαν· ἰδιαίτατα μὲν **63**

9 Ἄρχονται δὲ : cf. Albini *Introd.* 4 **13** Νοθεύονται : cf. Anon. *Proleg.* 26 **17** ἡ Ἀλκυών : cf. Athen. 11, 506 C **18** Favorini Fr. 15 Mensching **21** ἰδιαίτατα – **p. 230.2** ἐπιστήμην : cf. Plat. *Reip.* 4, 429 a 2; *Defin.* 414 b

7 ἐπινομίς : -νομίς ss. add. **B**[2] | δ' **B**[2] et ss. **F**[2] **11** κλητοφῶντος **B** **14** ἱπποστρόφος **P** et *Frob.* : ὑότροφος **V** **15** ἀλκιὼν **F** | ἀκέφαλοι σίσυφος **FQ** : ἀκεφάλοις, εἴσυφος **B**, ἀκεφάλοις, εἰ σίσυφος **P**[1] : ἀκέφαλοι ἢ σίσυφος **P**[4]**V** : Ἀκέφαλος ἢ Σίσυφος Stephanus, def. J. Pavlou (*Wien. St.* 34 [1912] 63–66) : Κέφαλος, Σίσυφος coni. ed. Basil. (conl. 4.4) **16** φέακες **B**[1] (corr. **B**[2]) | χεληδὼν **B** **18** φαβορεῖνος **B** | πέμπτω **BPF** γρ. : δευτέρω **F** in textu **20** κέχρηνται **P**[1]**QW** (corr. **P**[4]**H**)

σοφίαν ἡγεῖται εἶναι τὴν τῶν νοητῶν καὶ ὄντως ὄντων ἐπιστήμην, ἥν φησι περὶ θεὸν καὶ ψυχὴν σώματος κεχωρισμένην. Ἰδίᾳ δὲ σοφίαν καὶ τὴν φιλοσοφίαν καλεῖ, ὄρεξιν οὖσαν τῆς θείας σοφίας. Κοινῶς δὲ λέγεται παρ' αὐτῷ σοφία καὶ ἡ πᾶσα ἐμπειρία, οἷον ὅταν σοφὸν λέγῃ τὸν δημιουργόν. Χρῆται δὲ καὶ ἐπὶ διαφερόντως σημαινομένων τοῖς αὐτοῖς ὀνόμασιν. Ὁ γοῦν φαῦλος λέγεται παρ' αὐτῷ καὶ ἐπὶ τοῦ ἁπλοῦ, ὡς καὶ παρὰ Εὐριπίδῃ ἐν Λικυμνίῳ φέρεται ἐπὶ τοῦ Ἡρακλέους οὑτωσί·

> φαῦλον, ἄκομψον, τὰ μέγιστ' ἀγαθόν,
> πᾶσαν ἐν ἔργῳ περιταμνόμενον
> σοφίαν, λέσχης ἀτρίβωνα.

64 Χρῆται δὲ ὁ Πλάτων ἐνίοτε αὐτῷ καὶ ἐπὶ τοῦ κακοῦ· ἔστι δ' ὅτε καὶ ἐπὶ τοῦ μικροῦ. Πολλάκις δὲ καὶ διαφέρουσιν ὀνόμασιν ἐπὶ τοῦ αὐτοῦ σημαινομένου χρῆται. Τὴν γοῦν ἰδέαν καὶ εἶδος ὀνομάζει καὶ γένος καὶ παράδειγμα καὶ ἀρχὴν καὶ αἴτιον. Χρῆται δὲ καὶ ταῖς ἐναντίαις φωναῖς ἐπὶ τοῦ αὐτοῦ. Τὸ γοῦν αἰσθητὸν καὶ ὂν καλεῖ καὶ μὴ ὄν· ὂν

4 cf. Alcinoi *Didasc.* 1, p. 152.2 Hermann (ed. Whittaker) **4** Κοινῶς δὲ – **5** ἐμπειρία : Plat. *Theag.* 123 cd **5** οἷον – **6** τὸν δημιουργόν : cf. *Reip.* 1, 340 e 4 **8** ἐπὶ τοῦ ἁπλοῦ : cf. *Theaet.* 147 c 5 **10–12** Eurip. Fr. 473 N^2 **13** ἐπὶ τοῦ κακοῦ : cf. *Theaet.* 194 a 3 et al.; *Phaed.* 95 e 8 citat *Suda* **14** ἐπὶ τοῦ μικροῦ : cf. *Theaet.* 179 d 4 et al. **16** ἰδέαν = εἶδος : cf. *Parmen.* 132 d 1; 135 a 1 et al. | ἰδέαν = γένος : cf. *Sophist.* 257 a 9; *Parmen.* 129 c 2 | ἰδέαν = παράδειγμα : cf. *Theaet.* 176 e 3; *Tim.* 29 b 4; 48 e 5

1 εἶναι ss. **F**^{2} | νοητῶν **B**^{1}**F**^{1}**P**^{4}**H** : ὄντων **P**^{1}**QWF**^{2} **4** σοφίας : φιλοσοφίας *Suda* **6** διαφερόντως **BP** : διαφερόντων **F** et *Suda* **10** μέγιστα **F** | ἀγαθῶν **B** **11** περιτεμνόμενον Nauck **13** ἐπὶ **BP** : περὶ **F** | κακοῦ Casaubon e *Suda* : καλοῦ **BPF**

μὲν διὰ τὸ γένεσιν αὐτοῦ εἶναι, μὴ ὂν δὲ διὰ τὴν συνεχῆ
μεταβολήν. Καὶ τὴν ἰδέαν οὔτε κινούμενον οὔτε μένον·
καὶ ταὐτὸ καὶ ἓν καὶ πολλά. Τὸ δ' αὐτὸ καὶ ἐπὶ πλειόνων
εἴθισται ποιεῖν.
Ἔστι δὲ ἡ ἐξήγησις αὐτοῦ τῶν λόγων τριπλῆ· | πρῶτον 65
μὲν γὰρ ἐκδιδάξαι χρὴ ὅ τι ἐστὶν ἕκαστον τῶν λεγομένων·
ἔπειτα, τίνος εἵνεκα λέλεκται, πότερα κατὰ προηγούμε-
νον ἢ ἐν εἰκόνος μέρει, καὶ ⟨εἰ⟩ εἰς δογμάτων κατασκευὴν
ἢ εἰς ἔλεγχον τοῦ προσδιαλεγομένου· τὸ δὲ τρίτον, εἰ ὀρ-
θῶς λέλεκται.
Ἐπεὶ δὲ καὶ σημεῖά τινα τοῖς βιβλίοις αὐτοῦ παρατί-
θενται, φέρε καὶ περὶ τούτων τι εἴπωμεν. Χῖ λαμβάνεται
πρὸς τὰς λέξεις καὶ τὰ σχήματα καὶ ὅλως τὴν Πλατωνικὴν
συνήθειαν· διπλῆ πρὸς τὰ δόγματα καὶ τὰ ἀρέσκοντα 66
Πλάτωνι· χῖ περιεστιγμένον πρὸς τὰς ἐκλογὰς καὶ καλλι-
γραφίας· διπλῆ περιεστιγμένη πρὸς τὰς ἐνίων διορθώ-
σεις· ὀβελὸς περιεστιγμένος πρὸς τὰς εἰκαίους ἀθετήσεις·
ἀντίσιγμα περιεστιγμένον πρὸς τὰς διττὰς χρήσεις καὶ
μεταθέσεις τῶν γραφῶν· κεραύνιον πρὸς τὴν ἀγωγὴν τῆς
φιλοσοφίας· ἀστερίσκος πρὸς τὴν συμφωνίαν τῶν δογμά-

2 Καὶ τὴν ἰδέαν –**3** καὶ πολλά : cf. *Sophist.* 244 b 9 – 245 e 2; *Parmen.* 129 b 5; *Phileb.* 14 c 8 **12** Χῖ – **p. 232.1** τὴν ἀθέτησιν : cf. V. Bartoletti, in *Mélanges E. Tisserant* (Studi e testi, 231; Romae, 1964) 25–30; F. Solmsen, *I.C.S.* 6 (1981) 102–111; M. Gigante, *Elenchos* 7 (1986) 67–71

4 ἤθισται **F** **5** τῶν λόγων αὐτοῦ **PV** et *Frob.* **6** διδάξαι **F** | ὅ τι ἐστὶν post τῶν λεγομένων **F** **8** εἰ add. ed. Basil. **9** ἢ ss. **P**^{1} **12** εἴπομεν **B** | χῖ : ad novem signa imagines in mg adpictas praebet **B**^{1} (f. 65^v). Cf. Meibom. I, p. 203 s. **14–15** καὶ τὰ παλαίσματα τὰ ἀρέσκοντα **F** **15** περιεστιγμένου **F** **17** et **p. 232.1** ὀβολὸς **BPF**, corr. **H** et Stephanus **17** εἰκαίους **P**^{1}**Q**, εἰκέους **B** : δικαίους **FP**^{3}

των· ὀβελὸς πρὸς τὴν ἀθέτησιν. Τὰ μὲν σημεῖα ταῦτα καὶ τὰ βιβλία τοσαῦτα· ἅπερ (Ἀντίγονός φησιν ὁ Καρύστιος ἐν τῷ Περὶ Ζήνωνος) νεωστὶ ἐκδοθέντα εἴτις ἤθελε διαναγνῶναι, μισθὸν ἐτέλει τοῖς κεκτημένοις.

67 Τὰ δὲ ἀρέσκοντα αὐτῷ ταῦτα ἦν. Ἀθάνατον ἔλεγε τὴν ψυχὴν καὶ πολλὰ μεταμφιεννυμένην σώματα, ἀρχήν τε ἔχειν ἀριθμητικήν, τὸ δὲ σῶμα γεωμετρικήν· ὡρίζετο δὲ αὐτὴν ἰδέαν τοῦ πάντῃ διεστῶτος πνεύματος. Αὐτοκίνητόν τε εἶναι καὶ τριμερῆ· τὸ μὲν γὰρ αὐτῆς λογιστικὸν μέρος περὶ τὴν κεφαλὴν καθιδρῦσθαι, τὸ δὲ θυμοειδὲς περὶ τὴν καρδίαν, τὸ δὲ ἐπιθυμητικὸν περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἧπαρ συνίστασθαι.

68 Περιέχειν δὲ ἐκ τοῦ μέσου διὰ παντὸς κύκλῳ τὸ σῶμα καὶ συνεστάναι ἐκ τῶν στοιχείων. Διαιρεθεῖσάν τε κατὰ ἁρμονικὰ διαστήματα δύο κύκλους ποιεῖν συνημμένους, ὧν τὸν ἐντὸς κύκλον ἑξαχῇ τμηθέντα τοὺς ἅπαντας ἑπτὰ κύκλους ποιεῖν. Καὶ τοῦτον μὲν κατὰ διάμετρον κ⟨ιν⟩εῖσ-

2 ἅπερ – **4** Wilamowitz, *Antigonos von Karystos,* 122 **5–p. 239.8** cf. M. Untersteiner, *Posidonio nei placita di Platone ...* (1970) 25–112; B. Centrone, *Elenchos* 8 (1987) 105–118 **6** ἀρχήν τε – **7** γεωμετρικήν : cf. *Tim.* 54 a ss. **7** ὡρίζετο – **8** πνεύματος : cf. Speusippi Fr. 54; Plut. *De an. procr.* 1023 B **8** Αὐτοκίνητον : *Phaedri* 245 c 5 – 246 a 2; *Legg.* 10, 896 a 3 **9** τριμερῆ – **12** cf. *Phaedri* 246 a ss.; 253 c ss.; *Reip.* 4, 438 d ss.; 8, 550 b; 9, 580 d; *Tim.* 69 c ss.; 89 e 4 **13–p. 233.5** cf. *Tim.* 34 b 3 – 36 d 7; Alcinoi *Didasc.* 14, p. 170.3

2 τοσαῦτα **PF** : ταῦτα **B** | post ἅπερ add. ὡς Cobet **3** ἐκδοθέντα **B** : ἐκδοθέντι **F** : ἐκδοθέντι · ἃ **P**[1] | διαναγνῶναι **BP**[1]**Q** : διαγνῶναι **FP**[3]**WHV** : ἀναγνῶναι Casaubon **5** ἔλεγε **BPF** : ἐδόξαζε **Φ** **7** ἔχει **B** | γεωμετρικὸν **F** **9** τε **BFφ** : δὲ **PV** **10** μέρος **BP** : om. **FΦ** | τὴν κεφαλὴν **FΦ** : τῇ κεφαλῇ **BP** **11** τὴν καρδίαν **FΦ** : τῇ καρδίᾳ **BP** **13** κύκλω ss. **F**[2] **15** συνηγμένους **F** **17** διάμετρα **F** | κ⟨ιν⟩εῖσθαι ed. Basil. (conl. *Tim.* 36 c 3) : κεῖσθαι **BPFΦ** 6

θαι ἐπ᾽ ἀριστερὰ ἔσωθεν, τὸν δὲ κατὰ πλευρὰν ἐπὶ τὰ δεξιά. Διὸ καὶ κρατεῖν αὐτὸν ἕνα ὄντα· τὸν γὰρ ἕτερον ἔσωθεν διῃρῆσθαι. Καὶ τὸν μὲν εἶναι ταὐτοῦ, τοὺς δὲ θατέρου, λέγων τὴν τῆς ψυχῆς κίνησιν εἶναι τὴν [δὲ] τοῦ ὅλου καὶ τὰς τῶν πλανωμένων φοράς.

Οὕτω δ᾽ ἐχούσης τῆς ἐκ μέσου τομῆς αὐτῇ προσαρμο- 69
ζομένης πρὸς τὰ ἔσχατα γινώσκειν τε τὰ ὄντα καὶ ἐναρμόζειν διὰ τὸ ἔχειν ἐν αὐτῇ τὰ στοιχεῖα κατὰ ἁρμονίαν. Καὶ γίνεσθαι δόξαν μὲν κατὰ τὸν θατέρου κύκλον ὀρθούμενον, ἐπιστήμην δὲ κατὰ τὸν ταὐτοῦ.

Δύο δὲ τῶν πάντων ἀπέφηνεν ἀρχάς, ὕλην καὶ θεόν, ὃν καὶ νοῦν προσαγορεύει καὶ αἴτιον. Εἶναι δὲ τὴν ὕλην ἀσχημάτιστον καὶ ἄποιον, ἐξ ἧς γίνεσθαι τὰ συγκρίματα. Ἀτάκτως δέ ποτε αὐτὴν κινουμένην ὑπὸ τοῦ θεοῦ φησιν εἰς ἕνα συναχθῆναι τόπον, τάξιν ἀταξίας κρείττονα ἡγησαμένου. Τραπέσθαι δὲ τὴν οὐσίαν ταύτην εἰς τὰ τέτταρα 70
στοιχεῖα, πῦρ, ὕδωρ, ἀέρα, γῆν· ἐξ ὧν αὐτόν τε τὸν κόσ-

6–10 *Tim.* 36 d 8 – 37 c 5 **11–12** αἴτιον : cf. Theophr. *Phys. opin.* Fr 9 Diels; Aet. *Plac.* 1.3.21; 1.7.31 **12** Εἶναι – **13** τὰ συγκρίματα : *Tim.* 50 d–e; 51 a; Aet. 1.9.4; Alcinoi *Didasc.* 8 **14** Ἀτάκτως – **15** ἡγησαμένου : *Tim.* 30 a 2–6; 69 b 2–5; Alcin. 12, p. 167.11–18; Aet. 1.7.6 **16** Τραπέσθαι – **p. 234.1** γεννᾶσθαι : *Tim.* 53 a–b

1 κατὰ **BPΦ** : ἐπὶ **F** **3** διῃρῆσθαι **PΦ**, διῃρεῖσθαι **B** : διαιρεῖσθαι **F** **4** τὴν^{1} **BP^{1}QFΦ** : τὸν **P^{3}W** | post τὴν^{1} addunt ss. μὲν **FP^{1}** | δὲ del. ed. Basil. **5** πλανομένων **B** **7** τε τὰ ed. Basil. : τά τε **BPFΦ** **8** αὐτῇ ed. Basil. : αὐτῇ **BP FΦ** **9** ὀρθούμενον C.F. Hermann (ex *Tim.* 37 b 7 ὀρθὸς ἰών) : ὀρθουμένου **BPΦ** : om. **F** **11** ἀπέφαινεν **Φ** | ὕλην καὶ θεόν Richards (cf. Theophr.) : θεὸν καὶ ὕλην **BPFΦ** (cf. p. 237.7) **11** ὃν – **12** αἴτιον secl. ut glossema Menagius et M.M. Peretti (*R.F.I.C.* 93 [1965] 446–449) **13** ἄποιον Menagius : ἄπειρον **BPFΦ** **14** ποτε post κινουμένην **F** **16** δὲ om. **F**

μον καὶ τὰ ἐν αὐτῷ γεννᾶσθαι. Μόνην δὲ τὴν γῆν ἀμετάβολον εἶναί φησι, νομίζων αἰτίαν τὴν τῶν σχημάτων διαφοράν, ἐξ ὧν σύγκειται. Τῶν μὲν γὰρ ἄλλων ὁμογενῆ φησιν εἶναι τὰ σχήματα (ἅπαντα γὰρ ἐξ ἑνὸς συγκεῖσθαι τοῦ προμήκους τριγώνου), τῆς δὲ γῆς ἴδιον εἶναι τὸ σχῆμα· πυρὸς μὲν γὰρ εἶναι στοιχεῖον πυραμίδα, ἀέρος τὸ ὀκτάεδρον, ὕδατος τὸ εἰκοσάεδρον, γῆς δὲ κύβον. Ὅθεν μήτε γῆν εἰς ταῦτα μεταβάλλειν, μήτε ταῦτα εἰς γῆν.

71 Οὐ διακεκρίσθαι δ' εἰς τοὺς οἰκείους τόπους ἕκαστον, ὅτι ἡ περιφορὰ σφίγγουσα καὶ πρὸς τὸ μέσον συνάγουσα συγκρίνει τὰ μικρά, τὰ δὲ διακρίνει, τὰ μεγάλα. Διόπερ τὰ εἴδη μεταβάλλοντα καὶ τοὺς τόπους μεταβάλλειν.

Κόσμον τε εἶναι ἕνα γεννητόν, ἐπειδὴ καὶ αἰσθητός
ἐστιν ὑπὸ θεοῦ κατεσκευασμένος· ἔμψυχόν τε εἶναι διὰ
τὸ κρεῖττον εἶναι τοῦ ἀψύχου τὸ ἔμψυχον, τοῦτο δὲ δημι-
ούργημα ὑποκεῖσθαι τοῦ βελτίστου αἰτίου. Ἕνα τε αὐτὸν
καὶ οὐκ ἀπείρους κατεσκευάσθαι, ὅτι καὶ τὸ ὑπόδειγμα ἓν
72 ἦν, ἀφ' οὗ αὐτὸν ἐδημιούργησε· σφαιροειδῆ δὲ διὰ τὸ καὶ
τὸν γεννήσαντα τοιοῦτον ἔχειν σχῆμα. Ἐκεῖνον μὲν γὰρ
περιέχειν τὰ ἄλλα ζῷα, τοῦτον δὲ τὰ σχήματα πάντων.
Λεῖον δὲ καὶ οὐδὲν ὄργανον ἔχοντα κύκλῳ διὰ τὸ μηδε-

1 Μόνην – **2** φησι : *Tim.* 56 d 5–6; Aet. 1.17.4 **6** πυρὸς – **7** κύβον : *Tim.* 55 d 8 – 56 b 3; Aet. 2.6.5–6; Alcin. 13 **9–12** *Tim.* 58 a 4 – c 3 **13** *Tim.* 31 b 3; 55 d 4 **14** ἔμψυχον – **16** αἰτίου : *Tim.* 30 b 4 – c 1 **17–18** τὸ ὑπόδειγμα ἓν ἦν : *Tim.* 31 a 3 **18** σφαιροειδῆ – **p. 235.1** αὐτῶν : *Tim.* 33 b – d; 34 b 1

2 νομίζων **FP^{2}Q** : κομίζων **BP^{1}ΦV** **3** σύγκειται **BPF** : συνέστηκε **Φ** **10** τὸ **PFΦV** : τὸν **B** **12** τὰ ἤδη **F** **13** τε **BPF** : δὲ **Φ** | γεννητὸν **BF** : γενητὸν **PΦV** **15** δὲ **BFΦ** : τε **P** **17** ἀπείρους Casaubon ex Platone : ἄπειρον **BPFΦ** | κατασκευάσθαι **FV** et *Frob.* **20** τἆλλα **BΦ**

μίαν εἶναι χρῆσιν αὐτῶν. Ἀλλὰ μὴν καὶ ἄφθαρτον διαμένειν τὸν κόσμον διὰ τὸ μὴ διαλύεσθαι εἰς τὸν θεόν. Καὶ τῆς μὲν ὅλης γενέσεως αἴτιον εἶναι τὸν θεόν, ὅτι πέφυκεν ἀγαθοποιὸν εἶναι τὸ ἀγαθόν, τοῦ δὲ οὐρανοῦ τῆς γενέσεως τὸ⟨ν νοῦν⟩ αἴτιον· τοῦ γὰρ καλλίστου τῶν γεννητῶν τὸ ἄριστον εἶναι τῶν νοητῶν αἴτιον. Ὥστε ἐπεὶ τοιοῦτος ὁ θεός, ὅμοιος δὲ τῷ ἀρίστῳ ὁ οὐρανὸς κάλλιστός γε ὤν, οὐθενὶ ἂν ὅμοιος εἴη τῶν γεννητῶν ἀλλ' ἢ τῷ θεῷ.

Συνεστάναι δὲ τὸν κόσμον ἐκ πυρός, ὕδατος, ἀέρος, 73
γῆς. Ἐκ πυρὸς μέν, ὅπως ὁρατὸς ᾖ· ἐκ γῆς δέ, ὅπως στερεός· ἐξ ὕδατος δὲ καὶ ἀέρος, ὅπως ἀνάλογος (αἱ γὰρ τῶν στερεῶν δυνάμεις δύο μεσότησιν ἀναλογοῦσιν, ὡς ἓν γενέσθαι τὸ πᾶν), ἐξ ἁπάντων δέ, ἵνα τέλειος καὶ ἄφθαρτος ᾖ.

Χρόνον τε γενέσθαι εἰκόνα τοῦ ἀϊδίου ⟨αἰῶνος⟩. Κἀκεῖνον μὲν ἀεὶ μένειν, τὴν δὲ τοῦ οὐρανοῦ φορὰν χρόνον εἶναι· καὶ γὰρ νύκτα καὶ ἡμέραν καὶ μῆνα καὶ τὰ τοιαῦτα

1 Ἀλλὰ – **2** τὸν θεόν : *Tim.* 32 c 3; 33 a 6–7; 38 b 6 – c 3 **3** Καὶ – **4** τὸ ἀγαθόν : *Tim.* 29 e 1 – 30 a 6 **5** τὸ⟨ν νοῦν⟩ αἴτιον : *Tim.* 30 b 7 τόνδε τὸν κόσμον ζῷον ἔμψυχον ἔννουν τε τῇ ἀληθείᾳ διὰ τὴν τοῦ θεοῦ γενέσθαι πρόνοιαν; Alcinoi *Didasc.* 27, p. 179.41 τοῦ πρώτου ἀγαθοῦ, ὅπερ θεόν τε καὶ νοῦν τὸν πρῶτον προσαγορεῦσαι ἄν τις; Aet. 1.7.31 **6** Ὥστε – **9** *Tim.* 29 a **10–15** *Tim.* 31 b 4 – 33 a **16–p. 236.3** *Tim.* 37 d 5 – 38 b 7; Aet. 1.21.2

1 εἶναι **BFΦ**$\mathbf{P^1}$ in mg : ἔχειν $\mathbf{P^1}$ in textu | αὐτῶν **BPF** : αὐτῷ **Φ** **2** εἰς : ἐὰν coni. ed. Basil. **4** τοῦ οὐρανοῦ δὲ **F** **5** τὸ⟨ν νοῦν⟩ scripsi (cf. p. 233.12) : τὸ **BPFΦ** : τὸ ἄριστον **D** et *Frob.* : τὸ⟨ν αὐτὸν⟩ coni. ed. Basil. **5** et **8** γεννητῶν $\mathbf{B^1}$**F** : γενητῶν $\mathbf{B^2}$**PΦV** **7** ὁ^2 om. **F** **8** τῶν γεννητῶν secl. M.M. Peretti **11** δὲ om. **F** **13** μεσότησιν **FΦ** : μεσότητες **BP** **16** αἰῶνος ex Platone add. Fr. Solmsen (per litteras, 1978) **17** ἀεὶ **BPΦ** : δεῖ **F**

πάντα χρόνου μέρη εἶναι. Διόπερ ἄνευ τῆς τοῦ κόσμου φύσεως οὐκ εἶναι χρόνον· ἅμα γὰρ ⟨τὸ⟩ ὑπάρχειν αὐτὸν καὶ χρόνον εἶναι.

74 Πρὸς δὲ χρόνου γένεσιν ἥλιον καὶ σελήνην καὶ τὰ πλανώμενα γενέσθαι. Ὅπως δὲ διάδηλος τῶν ὡρῶν ᾖ ἀριθμὸς καὶ μετάσχοι τὰ ζῷα ἀριθμοῦ, τὸ τοῦ ἡλίου φῶς ἀνάψαι τὸν θεόν. Εἶναι δὲ ἐν μὲν τῷ ὑπὲρ γῆς κύκλῳ σελήνην, ἐν δὲ τῷ ἐχομένῳ ἥλιον, ἐν δὲ τοῖς ἐπάνω τοὺς πλανήτας· ἐμψύχους δὲ πάντως διὰ τὸ ἐμψύχῳ φορᾷ δεδέσθαι. Ἵνα δὲ ὁ κόσμος τελειωθῇ γενόμενος ὅμοιος τῷ νοητῷ ζῴῳ, τὴν τῶν ἄλλων ζῴων γενέσθαι φύσιν. Ἐπεὶ οὖν ἐκεῖνο εἶχε, καὶ τὸν οὐρανὸν δεῖν ἔχειν. Θεοὺς μὲν οὖν ἔχειν τὸ πολὺ πυρίνους· εἶναι δὲ τρία γένη τἆλλα,
75 πτηνόν, ἔνυδρον, πεζόν. Γῆν δὲ πρεσβυτάτην μὲν εἶναι τῶν ἐν τῷ οὐρανῷ θεῶν· γενέσθαι δὲ ὡς δημιούργημα νύκτα καὶ ἡμέραν ποιεῖν· οὖσαν δ' ἐπὶ τοῦ μέσου κινεῖσθαι περὶ τὸ μέσον. Ἐπεὶ δ' αἰτίαι εἰσὶ δύο, τὰ μὲν διὰ γνώμην εἶναι, τὰ δ' ἐξ ἀναγκαίας αἰτίας, φησί, λεκτέον.

4–10 δεδέσθαι : *Tim.* 38 c 3 – 39 d 7 **10** Ἵνα – **14** πεζόν : *Tim.* 30 c 2 – 31 b 3; 39 e 3 – 40 b 7; 41 b–c **14** Γῆν – **16** ποιεῖν : *Tim.* 40 b–c **16** οὖσαν – **17** τὸ μέσον : cf. *Phaed.* 108 e 5 **17** Ἐπεὶ – **18** λεκτέον : *Tim.* 46 d–e; 47 e – 48 a; 68 e – 69 a; Aet. 1.25.5

2 τὸ addidi | αὐτὸν **FΦ** et Casaubon : αὐτῷ **BP** **5** ὁ τῶν ὡρῶν **Φ** **6** τοῦ ss. **F**[2] **7** ἐν μὲν τῷ ὑπὲρ γῆς κύκλῳ ed. Basil. : ὑπὲρ μὲν τῶν ἐκ γῆς κύκλων **BFΦ** : ὑπὲρ μὲν τὸν τῆς γῆς κύκλον **PV** **9** ἐμψύχους coni. ed. Basil. : ἔμψυχον **BPFΦ** | πάντας coni. ed. Basil. | φθορᾷ **F** **10** δεδέσθαι **BPF** : φέρεσθαι **Φ** | ὅμοιος **B** : ὁμοίως **PFΦ** **12** οὖν : γὰρ coni. ed. Basil. | ἐκεῖνο ed. Basil. : ἐκεῖνος **BPFΦ** **13** πειρίνους **P**[3]**W** **14** εἶναι μὲν **F** **15** δημιούργημα ὡς **BPFΦ**, transp. ed. Basil. **17–18** διὰ γνώμην Mericus Casaubon (*Notae ad. M. Antoninum* V, 68) : διαμονὴν **BPFΦ** : διὰ νοῦν Petrus Petitus : διὰ νοῦ ed. Basil. (conl. *Tim.* 48 a 1)

Ταῦτα δ' ἐστὶν ἀήρ, πῦρ, γῆ, ὕδωρ, [καὶ] οὐκ ὄντα μὲν
στοιχεῖα κατὰ ἀκρίβειαν, ἀλλὰ δεκτικά. Ταῦτα δ' ἐκ τῶν
τριγώνων εἶναι συντιθεμένων καὶ διαλύεσθαι εἰς ταῦτα·
στοιχεῖα δ' αὐτῶν εἶναι τό τε πρόμηκες τρίγωνον καὶ τὸ
ἰσοσκελές.

Ἀρχὰς μὲν οὖν εἶναι καὶ αἴτια τὰ λεχθέντα δύο, [μὲν 76
ὧν παράδειγμα] τὸν θεὸν καὶ τὴν ὕλην· ὅπερ ἀνάγκη ἄ-
μορφον εἶναι, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων δεκτικῶν. Αἴτιον
δὲ τούτων ἐξ ἀνάγκης εἶναι· δεχόμενον γάρ πως τὰς ἰδέας
γεννᾶν τὰς οὐσίας, καὶ δι' ἀνομοιότητα δυνάμεως κινεῖσ-
θαι καὶ κινούμενον τὰ γινόμενα ἐξ αὐτοῦ ἀντικινεῖν.
Ταῦτα δὲ πρὶν μὲν ἀλόγως κινεῖσθαι καὶ ἀτάκτως, ἐπεὶ δὲ
ἤρξαντο συνιστάναι τὸν κόσμον, ἐκ τῶν ἐνδεχομένων ὑπὸ
τοῦ θεοῦ συμμέτρως καὶ τεταγμένως γενέσθαι. Τὰς μὲν 77
γὰρ αἰτίας καὶ πρὸ τῆς οὐρανοποιΐας [δύο] εἶναι [καὶ τρί-
την γένεσιν], ἀλλ' οὐ σαφεῖς, ἴχνη δὲ μόνον καὶ ἀτάκ-
τους· ἐπειδὴ δὲ ὁ κόσμος ἐγένετο, λαβεῖν καὶ ταύτας τά-
ξιν. Ἐξ ἁπάντων δὲ τῶν ὑπαρχόντων σωμάτων γενέσθαι
τὸν οὐρανόν. Δοκεῖ δ' αὐτῷ τὸν θεὸν ὡς καὶ τὴν ψυχὴν
ἀσώματον εἶναι· οὕτω γὰρ μάλιστα φθορᾶς καὶ πάθους
ἀνεπίδεκτον ὑπάρχειν. Τὰς δὲ ἰδέας ὑφίσταται, καθὰ καὶ

1 Ταῦτα – **2** δεκτικά : *Tim.* 49 a ss.; 50 b – 51 b; 52 a–b **2** Ταῦτα – **5** *Tim.* 53 c – 55 c **9** δεχόμενον – **17** τάξιν : *Tim.* 52 d; 53 ab; 57 c; 69 bc **11** κινούμενον : sc. τὸ αἴτιον, ἡ ὕλη **14–15** Τὰς ... αἰτίας : i.e. τὰ τέτταρα στοιχεῖα **19** Δοκεῖ – **20** εἶναι : cf. *Epinom.* 981 b 7; DL 5.32 **21–p. 238.2** cf. Alcinoi *Didasc.* 12, p. 167.5; Arii Did. Fr. 1 (p. 447.19 Diels)

1 καὶ delevi **3** τριγόνων **BV** | συντηθεμένων **B** **6–7** μὲν ὧν παράδειγμα seclusi ut glossema | μὲν ὧν **PΦVB**[2] (μὲν **B**[1]) : ὧν ss. **F**[2] : ὧν μὲν Cobet **11** γινόμενα **BF**[1]**Φ** : κινούμενα **PF**[2]**V** | αὐτοῦ scripsi : αὐτῆς **BPFΦ** **15** δύο et **15–16** καὶ τρίτην γένεσιν seclusi ut glossemata **16** δὲ μόνον **BPF** : δὲ τούτων μόνα **Φ** **21** ὑπάρχειν **BP** : εἶναι **FΦ**

προείρηται, αἰτίας τινὰς καὶ ἀρχὰς τοῦ τοιαῦτ' εἶναι τὰ
φύσει συνεστῶτα, οἷάπερ εἰσὶν αὐταί.
78 Περὶ δὲ ἀγαθῶν ἢ κακῶν τοιαῦτα ἔλεγε. Τέλος μὲν
εἶναι τὴν ἐξομοίωσιν τῷ θεῷ. Τὴν δ' ἀρετὴν αὐτάρκη μὲν
εἶναι πρὸς εὐδαιμονίαν, ὀργάνων δὲ προσδεῖσθαι τῶν
περὶ σῶμα πλεονεκτημάτων, ἰσχύος, ὑγιείας, εὐαισθησί-
ας, τῶν ὁμοίων· καὶ τῶν ἐκτός, οἷον πλούτου καὶ εὐγενεί-
ας καὶ δόξης. Οὐδὲν δὲ ἧττον εὐδαίμονα ἔσεσθαι τὸν
σοφόν, κἂν ταῦτα μὴ παρῇ. Πολιτεύσεσθαι αὖ καὶ γαμή-
σειν καὶ τοὺς κειμένους νόμους οὐ παραβήσεσθαι· ἐκ δὲ
τῶν ἐνδεχομένων καὶ νομοθετήσειν τῇ ἑαυτοῦ πατρίδι,
ἐὰν μὴ τέλεον ἀπαραίτητα ὁρᾷ τὰ πράγματα ἐν ὑπερβαλ-
79 λούσῃ διαφορᾷ δήμου. Οἴεται δὲ καὶ θεοὺς ἐφορᾶν τὰ ἀν-
θρώπινα καὶ δαίμονας εἶναι. Ἔννοιάν τε καλοῦ πρῶτος
ἀπεφήνατο τὴν ἐχομένην τοῦ ἐπαινετοῦ καὶ λογικοῦ καὶ
χρησίμου καὶ πρέποντος καὶ ἁρμόττοντος· ἅπερ πάντα
ἔχεσθαι τοῦ ἀκολούθου τῇ φύσει καὶ ὁμολογουμένου.

Διελέξατο δὲ καὶ περὶ ὀνομάτων ὀρθότητος· ὥστε καὶ τὴν ἐπιστήμην τοῦ ὀρθῶς ἀποκρίνεσθαι καὶ ἐρωτᾶν πρῶτον αὐτὸν διασυστῆσαι κατακόρως χρησάμενον. Ἐν δὲ

3 Τέλος – **4** τῷ θεῷ : *Theaet.* 176 b 1; *Phaedri* 248 a 2; 253 a 4; *Reip.* 10, 613 b 1; Albini *Introd.* 6 (p. 151.4); Alcinoi *Didasc.* 2 (p. 153.7); Hippol. *Ref.* 1.19.17 **4–5** *Phaed.* 69 a ss.; *Theaet.* 176 a ss.; *Gorg.* 470 e 9 **5** ὀργάνων – **8** δόξης : *Philebi* 63 e; Hippol. *Ref.* 1.19.15 **14-16** ἁρμόττοντος : *Crat.* 416 c ss.; *Hipp. maior.* 290 c ss.; 295 c; 297 d **18** *Crat.* 422 c 3

1 τοῦ τὰ τοιαῦτα **F** **2** εἰσὶν αὐταί scripsi : ἐστὶν αὐτά **BPFΦ** **6** ὑγείας **PΦ** **7** · · ἐκτὸς (videtur δὲ erasum esse) **P** : ἐκτὸς δὲ **F** | εὐγενίας **F** **9** πολιτεύσεσθαι **BΦ** : πολιτεύεσθαι **PF** **12** τέλαιον **B** | ἀπαραίτητα Casaubon : εὐπαραίτητα **BPFΦ** | ὑπερβαλούσῃ **P** **13** διαφθορᾷ Casaubon **13–14** τἀνθρώπινα **F** **16** ἅπαντα **B** **17** ὡμολογημένου **PV** **18** διεδέξατο B^1P^1, corr. B^2P^4H **20** συστῆσαι Cobet

τοῖς διαλόγοις [καὶ] τὴν δικαιοσύνην θεοῦ νόμον ὑπελάμβανεν, ὡς ἰσχυροτέραν ⟨οὖσαν⟩ προτρέψαι τὰ δίκαια πράττειν, ἵνα μὴ καὶ μετὰ θάνατον δίκας ὑπόσχοιεν οἱ κακοῦργοι. Ὅθεν καὶ μυθικώτερος ἐνίοις ὑπελήφθη τοῖς **80** συγγράμμασιν ἐγκαταμίξας τὰς τοιαύτας διηγήσεις, ὅπως διὰ τοῦ ἀδήλου τρόπου ὧν ἔχει τὰ μετὰ τὸν θάνατον οὕτως ἀπέχωνται τῶν ἀδικημάτων. Καὶ ταῦτα μὲν ἦν αὐτῷ τὰ ἀρέσκοντα.

Διῄρει δέ, φησὶν Ἀριστοτέλης, καὶ τὰ πράγματα τοῦτον τὸν τρόπον. Τῶν ἀγαθῶν ἐστι τὰ μὲν ἐν ψυχῇ, τὰ δὲ ἐν σώματι, τὰ δὲ ἐκτός· οἷον ἡ μὲν δικαιοσύνη καὶ ἡ φρόνησις καὶ ἡ ἀνδρεία καὶ ἡ σωφροσύνη καὶ τὰ τοιαῦτα ἐν ψυχῇ· τὸ δὲ κάλλος καὶ ἡ εὐεξία καὶ ἡ ὑγίεια καὶ ἡ ἰσχὺς ἐν σώματι· οἱ δὲ φίλοι καὶ ἡ τῆς πατρίδος εὐδαιμονία ⟨καὶ ἡ εὐδοξία⟩ καὶ ὁ πλοῦτος ἐν τοῖς ἐκτός. Τῶν ἀγαθῶν ἄρα **81** τρία εἴδη ἐστί· τὰ μὲν ἐν ψυχῇ, τὰ δὲ ἐν σώματι, τὰ δὲ ἐκτός.

1 τὴν δικαιοσύνην θεοῦ νόμον : *Gorg.* 523 ab; *Reip.* 10, 613 a; *Tim.* 42 b; *Legg.* 4, 716 a; 10, 904 b **3** ἵνα μὴ – **4** κακοῦργοι : *Phaed.* 107 de; 113 d; *Theaet.* 177 a; *Phaedri* 249 ab; *Gorg.* 523 a ss.; *Reip.* 10, 614 a ss.; *Legg.* 10, 903 b – 905 d; 12, 959 de; *Tim.* 42 b; *Ep.* 7, 335 a **9** Διῄρει – **p. 255.1** τὸν Ἀριστοτέλην ed. H. Mutschmann (*Divisiones Aristoteleae,* Lipsiae, 1906, 1–41) **9** Aristot. Fr. 114 Rose[3] **10–11** cf. Plat. *Legg.* 3, 697 b

1 καὶ delevi | ὑπέλαβεν **Φ** **2** ἰσχυροτέραν ⟨οὖσαν⟩ coni. ed. Basil. : ἰσχυροτέραν **BPF** : ἰσχύουσαν **Φ** **3** ἵνα **BPF** : ὡς **Φ** | καὶ om. **Φ** | ⟨τὸν⟩ θάνατον Cobet | οἱ : ὡς ed. Basil. **4** μυθικότερος **B** **6** διὰ **BP** : μετὰ **F** | τοῦ ἀδήλου τρόπου ὧν ἔχει scripsi : τοῦ ἀδήλου τρόπου τοῦ ἔχειν **BPF** : τὸ ἄδηλον τοῦ πῶς ἔχει Cobet : τὸ ἄδηλον τρόπον [τοῦ] ἔχειν coni. ed. Basil. | τὰ om. **F** **7** ἀπέχωνται **B²P** : ἀπέχονται **B¹FV** **9** διαιρεῖ **F** | φησὶν ὁ **V**, Cobet **12** καὶ ἡ σωφροσύνη om. **B** **14–15** καὶ ἡ εὐδοξία supplevi ex Divisionum codice Marciano gr. 257 f. 251–254 (Nr. 5)

Τῆς φιλίας τρία ⟨ἐστὶν⟩ εἴδη· ἡ μὲν γὰρ αὐτῆς ἐστι φυσική, ἡ δὲ ἑταιρική, ἡ δὲ ξενική· φυσικὴν μὲν οὖν ταύτην λέγομεν, ἣν οἱ γονεῖς πρὸς τὰ ἔκγονα ἔχουσι καὶ οἱ συγγενεῖς πρὸς ἀλλήλους· ταύτης δὲ κεκλήρωται καὶ τἆλλα ζῷα. Ἑταιρικὴν δὲ καλοῦμεν τὴν ἀπὸ συνηθείας γινομένην καὶ μηδὲν προσήκουσαν γένει, ἀλλ' οἷον ἡ Πυλάδου πρὸς Ὀρέστην. Ἡ δὲ ξενικὴ φιλία ἡ ἀπὸ συστάσεως καὶ διὰ γραμμάτων γινομένη πρὸς τοὺς ξένους. Τῆς ἄρα φιλίας ἡ μέν ἐστι φυσική, ἡ δὲ ἑταιρική, ἡ δὲ ξενική· προστιθέασι δέ τινες τετάρτην ἐρωτικήν.

82 Τῆς πολιτείας ἐστὶν εἴδη πέντε· τὸ μὲν γὰρ αὐτῆς ἐστι δημοκρατικόν, ἄλλο δὲ ἀριστοκρατικόν, τρίτον δὲ ὀλιγαρχικόν, τέταρτον βασιλικόν, πέμπτον τυραννικόν. Δημοκρατία μὲν οὖν ἐστιν, ἐν αἷς πόλεσι κρατεῖ τὸ πλῆθος καὶ τὰς ἀρχὰς καὶ τοὺς νόμους δι' ἑαυτοῦ αἱρεῖται. Ἀριστοκρατία δέ ἐστιν, ἐν ᾗ μήθ' οἱ πλούσιοι μήθ' οἱ πένητες μήθ' οἱ ἔνδοξοι ἄρχουσιν, ἀλλ' οἱ ἄριστοι τῆς πόλεως προστατοῦσιν. Ὀλιγαρχία δέ ἐστιν, ὅταν ἀπὸ τιμημάτων αἱ ἀρχαὶ αἱρῶνται· ἐλάττους γάρ εἰσιν οἱ πλούσιοι τῶν πενήτων. Τῆς δὲ βασιλείας ἡ μὲν κατὰ νόμον, ἡ δὲ κατὰ γένος ἐστίν. Ἡ μὲν οὖν ἐν Καρχηδόνι κατὰ νόμον· πωλη-

1–10 cf. 5.31; Aristot. *E.N.* Θ 14, 1161 b 12; Alcinoi *Didasc.* 33, p. 187.14; Stob. 2.7.5[1] et 22; cod. Marcian. gr. 257 (Nr. 58) **11–13** cf. Plat. *Polit.* 291 d–e; Aristot. *Rhet.* A 8, 1365 b 29 **21** πωλητή : cf. Plat. *Reip.* 8, 544 d 1; Aristot. *Polit.* B 11, 1273 a 36

1 ἐστὶν[1] add. Cobet **2** ἑτερικὴ et **5** ἑτερικὴν **B^1**, corr. **B^2** **3** ἔκγονα **P** : ἔγγονα **BFΦ** | οἱ **PFΦ** : ἡ **B** **4** ταύτης **BF** : ταύτην **PV** | τὰ ἄλλα **F** **5** γινομένην **PF** : γενομένην **BV** **10** ἐρωτηκήν **B** **11** τὸ **BFP^4H** : ἡ **P^1QW** | ἐστὶ[2] om. **F** **13** δημοκρατία Marcian. 257 et coni. ed. Basil. : δημοκρατικὸν **BPF** **14** κρατεῖται **F^1** (sed -ται expunctum) **15** ἀριστοκρατικὸν **F** **19** αἴρονται **B^1**, αἴρωνται **PV** **21** πωλητὴ **BPF** : πολιτικὴ Stephanus : ὠνητὴ coni. Gigante

τῇ γάρ ἐστιν. Ἡ δὲ ἐν Λακεδαίμονι καὶ Μακεδονίᾳ κατὰ 83
γένος· ἀπὸ γάρ τινος γένους ποιοῦνται τὴν βασιλείαν. Τυραννὶς δέ ἐστιν, ἐν ᾗ παρακρουσθέντες ἢ βιασθέντες ὑπό τινος ἄρχονται. Τῆς ἄρα πολιτείας ἡ μέν ἐστι δημοκρατία, ἡ δὲ ἀριστοκρατία, ἡ δὲ ὀλιγαρχία, ἡ δὲ βασιλεία, ἡ δὲ τυραννίς.

Τῆς [δὲ] δικαιοσύνης ἐστὶν εἴδη τρία· ἡ μὲν γὰρ αὐτῆς ἐστι περὶ θεούς, ἡ δὲ περὶ ἀνθρώπους, ἡ δὲ περὶ τοὺς ἀποιχομένους. Οἱ μὲν γὰρ θύοντες κατὰ νόμους καὶ τῶν ἱερῶν ἐπιμελούμενοι δῆλον ὅτι περὶ θεοὺς εὐσεβοῦσιν· οἱ δὲ δάνεια ἀποδιδόντες καὶ παραθήκας δικαιοπραγοῦσι περὶ ἀνθρώπους· οἱ δὲ τῶν μνημείων ἐπιμελούμενοι δῆλον ὅτι περὶ τοὺς ἀποιχομένους. Τῆς ἄρα δικαιοσύνης ἡ μὲν περὶ θεούς ἐστιν, ἡ δὲ περὶ ἀνθρώπους, ἡ δὲ περὶ τοὺς ἀποιχομένους.

Τῆς ἐπιστήμης εἴδη ἐστὶ τρία· τὸ μὲν γάρ ἐστι πρακτι- 84
κόν, τὸ δὲ ποιητικόν, τὸ δὲ θεωρητικόν. Ἡ μὲν οἰκοδομικὴ καὶ ναυπηγικὴ ποιητικαί εἰσιν· ἔστι γὰρ αὐτῶν ἰδεῖν ἔργον πεποιημένον. Πολιτικὴ δὲ καὶ αὐλητικὴ καὶ κιθαριστικὴ καὶ αἱ τοιαῦται πρακτικαί· οὐ γὰρ ἔστιν οὐδὲν ἰδεῖν

7–8 cf. Ps.-Aristot. *De virt. et vit.* 5, 1250 b 19; Menadri Περὶ ἐπιδεικτικῶν IX, p. 198 Walz **16–17** cf. Aristot. *Top.* 5, 145 a 15 et al.

2 ἀπό τινος γένους γὰρ **F^2** **4** δημοκρατεία et **5** ἀριστοκρατεία **B** **5** ὀλιγαρχία : -γαρ- ss. **B^1** **7** δὲ **BP** : om. **F**, delendum ed. Basil. **8** ἡ δὲ περὶ ἀνθρώπους in mg **B^2** | ἡ^2 **PF** : οἱ **B** **10** ἐπιμελόμενοι **P^{1}QW**, corr. **P^{4}H** **10** θεοὺς – **13** περὶ^1 in mg infer. **F^2** **11** παραθήκας **BP** : παρακαταθήκας **F^{2}VH** in mg **13** ἀποιχουμένους **B** | περὶ^2 scripsi (cf. v. 8) : πρὸς **BPF** **14** θεόν **F** : τὸν θεὸν Marcian. 257 (Nr. 4) | περὶ^1 **B** : πρὸς **PF^2** | πρὸς ἀνθρώπους, ἡ δὲ in mg **F^2** **16** ἤδη **FV** | ἐστὶν ante ἤδη **F** **17** ἡ μὲν γὰρ **F** | οἰκονομικὴ **F** **18** ναυπηγικὴ **BF** : ναυτικὴ **PV** **20** οὐδὲν om. **F**

ἔργον αὐτῶν πεποιημένον, ἀλλὰ πράττουσί τι· ὁ μὲν γὰρ αὐλεῖ καὶ κιθαρίζει, ὁ δὲ πολιτεύεται. Ἡ δὲ γεωμετρικὴ καὶ ἁρμονικὴ καὶ ἀστρολογικὴ θεωρητικαί· οὔτε γὰρ πράττουσιν οὔτε ποιοῦσιν οὐθέν· ἀλλ' ὁ μὲν γεωμέτρης θεωρεῖ πῶς πρὸς ἀλλήλας ἔχουσιν αἱ γραμμαί, ὁ δ' ἁρμονικὸς τοὺς φθόγγους, ὁ δ' ἀστρολογικὸς τὰ ἄστρα καὶ τὸν κόσμον. Τῶν ἄρα ἐπιστημῶν αἱ μέν εἰσι θεωρητικαί, αἱ δὲ πρακτικαί, αἱ δὲ ποιητικαί.

85 Τῆς ἰατρικῆς ἐστιν εἴδη πέντε· ἡ μὲν φαρμακευτική, ἡ δὲ χειρουργική, ἡ δὲ διαιτητική, ἡ δὲ νοσογνωμονική, ἡ δὲ βοηθητική. Ἡ μὲν φαρμακευτικὴ διὰ φαρμάκων ἰᾶται τὰς ἀρρωστίας, ἡ δὲ χειρουργικὴ διὰ τοῦ τέμνειν καὶ καίειν ὑγιάζει, ἡ δὲ διαιτητικὴ διὰ τοῦ διαιτᾶν ἀπαλλάττει τὰς ἀρρωστίας, ἡ δὲ νοσογνωμονικὴ διὰ τοῦ γνῶναι τὸ ἀρρώστημα, ἡ δὲ βοηθητικὴ διὰ τοῦ βοηθῆσαι εἰς τὸ παραχρῆμα ἀπαλλάττει τῆς ἀλγηδόνος. Τῆς ἄρα ἰατρικῆς ἡ μέν ἐστι φαρμακευτική, ἡ δὲ χειρουργική, ἡ δὲ διαιτητική, ἡ δὲ βοηθητική, ἡ δὲ νοσογνωμονική.

86 Νόμου διαιρέσεις δύο· ὁ μὲν γὰρ αὐτοῦ γεγραμμένος, ὁ δὲ ἄγραφος. Ὧι μὲν ἐν ταῖς πόλεσι πολιτευόμεθα, γεγραμμένος ἐστίν. Ὁ δὲ κατὰ ἔθη γινόμενος οὗτος ἄγραφος καλεῖται· οἷον τὸ μὴ γυμνὸν πορεύεσθαι εἰς τὴν ἀγοράν, μηδὲ γυναικεῖον ἱμάτιον περιβάλλεσθαι. Ταῦτα γὰρ οὐθεὶς νόμος κωλύει, ἀλλ' ὅμως οὐ πράττομεν διὰ τὸ ἀγράφῳ νόμῳ κωλύεσθαι. Τοῦ ἄρα νόμου ἐστὶν ὁ μὲν γεγραμμένος, ὁ δὲ ἄγραφος.

1 ἔργον Mutschmann et ed. Basil. (cf. p. 241.18) : θετὸν **BPF** : θεατὸν **Φ** et *Frob.* | γὰρ ss. $\mathbf{F}^2$ **3** ἀστρολογητικὴ **F** **7** θεωριτικαὶ **B** **10** et **14** νοσογνωμικὴ **F** **14** τὰς $\mathbf{B}^1$**PF** : τῆς ss. $\mathbf{B}^2$ **15** διὰ τὸ **F** **16** ἀπαλλάττειν **BV** | ἀλγιδόνος **B** **18** βοηθιτικὴ **B** | ἡ δὲ νοσογνωμονικὴ ante ἡ δὲ βοηθητικὴ transp. Huebner **20** πολιτευόμεθα in mg $\mathbf{P}^1$

Ὁ λόγος διαιρεῖται εἰς πέντε, ὧν εἷς μέν ἐστιν ὃν οἱ πολιτευόμενοι λέγουσιν ἐν ταῖς ἐκκλησίαις, ὃς καλεῖται πολιτικός. Ἑτέρα δὲ διαίρεσις λόγου, ὃν οἱ ῥήτορες γρά- **87**
φουσιν εἰς ἐπίδειξιν καὶ προφέρουσιν εἰς ἐγκώμια καὶ ψόγους ⟨καὶ ἀπολογίας⟩ καὶ κατηγορίας· τὸ δὴ τοιοῦτον εἶδός ἐστι ῥητορικόν. Τρίτη δὲ διαίρεσις λόγου, ὃν οἱ ἰδιῶται διαλέγονται πρὸς ἀλλήλους· οὗτος δὴ ὁ τρόπος προσαγορεύεται ἰδιωτικός. Ἑτέρα δὲ διαίρεσις λόγου, ὃν οἱ κατὰ βραχὺ ἐρωτῶντες καὶ ἀποκρινόμενοι τοῖς ἐρωτῶσιν ⟨διαλέγονται⟩· οὗτος δὴ καλεῖται ὁ λόγος διαλεκτικός. Πέμπτη δὲ διαίρεσις λόγου, ὃν οἱ τεχνῖται περὶ τῆς ἑαυτῶν διαλέγονται τέχνης· ὃς δὴ καλεῖται τεχνικός. Τοῦ λόγου ἄρα τὸ μέν ἐστι πολιτικόν, τὸ δὲ ῥητορικόν, τὸ δὲ ἰδιωτικόν, τὸ δὲ διαλεκτικόν, τὸ δὲ τεχνικόν.

Ἡ μουσικὴ εἰς τρία διαιρεῖται· ἔστι γὰρ ἡ μὲν διὰ τοῦ **88**
στόματος μόνον, οἷον ἡ ᾠδή· δεύτερον δὲ διὰ τοῦ στόματος καὶ τῶν χειρῶν, οἷον ἡ κιθαρῳδία· τρίτον ἀπὸ τῶν χειρῶν μόνον, οἷον ἡ κιθαριστική. Τῆς ἄρα μουσικῆς ἐστι τὸ μὲν ἀπὸ τοῦ στόματος μόνον, τὸ δ' ἀπὸ τοῦ στόματος καὶ τῶν χειρῶν, τὸ δ' ἀπὸ τῶν χειρῶν.

Διαιρεῖται δὲ ἡ εὐγένεια εἰς εἴδη τέτταρα. Ἓν μέν, ἐὰν ὦσιν οἱ πρόγονοι καλοὶ κἀγαθοὶ καὶ δίκαιοι, ἵνα τοὺς

3 Ἑτέρα – **6** ῥητορικόν : cf. 3.93–94

1 ante ὁ λόγος titulum λόγου διαιρέσεις in textu **BP**, lineola obduxit **P**^{4} **4** εἰς ἐπίδειξιν καὶ scripsi : εἰς ἐπίδειξίν τε **P** : καὶ εἰς ἐπίδειξιν **F** : εἰς ἐπίδειξιν **B** | προσφέρουσιν **F** **5** καὶ ἀπολογίας add. Wendland (cf. 3.93–94) **6** εἶδος ss. **F**^{2} | δὲ om. **F** **10** διαλέγονται add. *Frob.* | δὴ scripsi : δὲ **BP** : om. **F** **11** δὲ om. **F** **12** αὐτῶν **B** | δὴ om. **F** **12–13** τοῦ ἄρα τοῦ λόγου **F**^{2} ut vid. **14** διαλεκτι- **B**^{1} et -κόν, τὸ δὲ τεχνικὸν **B**^{2} **17** καὶ τῶν χειρῶν in mg **F**^{2} **18** μόνον **BP**^{1} **Q** : μόνων **FP**^{3}**W** | ἡ **FV** : om. **BP** | κιθαριστηκή **B** | ἐστι om. **F** **22** ἵνα τοὺς **BP**^{1}**QW** : τοὺς **FP**^{4}**H**

ἐκ τούτων γεγεννημένους εὐγενεῖς φασιν εἶναι. Ἄλλο δέ, ἐὰν ὦσιν οἱ πρόγονοι δεδυναστευκότες καὶ ἄρχοντες γεγενημένοι, ⟨καὶ⟩ τοὺς ἐκ τούτων εὐγενεῖς φασιν εἶναι. Ἄλλο δέ, ἐὰν ὦσιν οἱ πρόγονοι ὀνομαστοί, οἷον ἀπὸ στρατηγίας, ἀπὸ στεφανιτῶν ἀγώνων· καὶ γὰρ τοὺς ἐκ τούτων γεγεννη-
89 μένους εὐγενεῖς προσαγορεύομεν. Ἄλλο εἶδος, ἐὰν αὐτός τις ᾖ γεννάδας τὴν ψυχὴν καὶ μεγαλόψυχος· καὶ τοῦτον εὐγενῆ φασι· καὶ τῆς γε εὐγενείας αὕτη κρατίστη. Τῆς ἄρα εὐγενείας τὸ μὲν ἀπὸ προγόνων ἐπιεικῶν, τὸ δὲ δυναστῶν, τὸ δὲ ἐνδόξων, τὸ δ' ἀπὸ τῆς αὐτοῦ καλοκαγαθίας.

Τὸ κάλλος διαιρεῖται εἰς τρία· ἓν μὲν γὰρ αὐτοῦ ἐστιν ἐπαινετόν, οἷον ἡ διὰ τῆς ὄψεως εὐμορφία· ἄλλο δὲ χρηστικόν, οἷον ὄργανον καὶ οἰκία καὶ τὰ τοιαῦτα, ⟨ἃ⟩ πρὸς χρῆσίν ἐστι καλά· τὸ δὲ περὶ νόμους καὶ ἐπιτηδεύματα καὶ τὰ τοιαῦτα, ⟨ἃ⟩ πρὸς ὠφέλειάν ἐστι καλά. Τοῦ ἄρα κάλλους τὸ μέν ἐστι πρὸς ἔπαινον, τὸ δὲ πρὸς χρῆσιν, τὸ δὲ πρὸς ὠφέλειαν.

90 Ἡ ψυχὴ διαιρεῖται εἰς τρία· τὸ μὲν γὰρ αὐτῆς ἐστι λογιστικόν, τὸ δὲ ἐπιθυμητικόν, τὸ δὲ θυμικόν. Τούτων δὲ τὸ μὲν λογιστικόν ἐστιν αἴτιον τοῦ βουλεύεσθαί τε καὶ λογίζεσθαι καὶ διανοεῖσθαι καὶ πάντων τῶν τοιούτων· τὸ δ' ἐπιθυμητικὸν μέρος ἐστὶ τῆς ψυχῆς αἴτιον τοῦ ἐπιθυμεῖν φαγεῖν καὶ τοῦ πλησιάσαι καὶ τῶν τοιούτων πάντων. Τὸ

11-17 cf. Plat. *Gorg.* 474 d–e; *Hipp. maior.* 295 c; 296 e; 298 a **18–19** cf. Plat. *Reip.* 4, 439 d–e; Ps.-Aristot. *De virt. et vit.* 5, 1249 a 30

1 φῶσιν **B**[2] **1–2** δὲ ἐὰν **PF**, δ' ἐὰν **B**[2] : δ' ἂν **B**[1] **2** οἱ πρόγονοι οἷον **F** | γεγεννημένοι **F** **3** καὶ addidi | post τούτων addit γεγεννημένους **F** **4** δὲ ἐὰν **F**, δ' ἐὰν **B** : δὲ ἂν **PV** **5** στεφανητῶν **B** **6** προσαγορεύομεν **BP** : φασὶν εἶναι **F** **8** γε om. **F** **13** ἃ addidi **14** περὶ Reiske, Wendland : πρὸς **BPF** : κατὰ *Gorg.* 474 e 5 **15** ἃ add. ed. Basil. **18, 20 et p. 245.2** λογικὸν **F** **22** τῆς ψυχῆς ἐστιν **F**

δὲ θυμικὸν μέρος αἴτιόν ἐστι τοῦ θαρρεῖν καὶ ἥδεσθαι καὶ λυπεῖσθαι καὶ ὀργίζεσθαι. Τῆς ἄρα ψυχῆς ἐστι τὸ μὲν λογιστικόν, τὸ δὲ ἐπιθυμητικόν, τὸ δὲ θυμικόν.

Τῆς τελείας ἀρετῆς ⟨ἐστιν⟩ εἴδη τέτταρα· ἓν μὲν φρόνησις, ἓν δὲ δικαιοσύνη, ἄλλο δ' ἀνδρεία, τέταρτον σωφροσύνη. Τούτων ἡ μὲν φρόνησις αἰτία τοῦ πράττειν ὀρθῶς **91** τὰ πράγματα· ἡ δὲ δικαιοσύνη τοῦ ἐν ταῖς κοινωνίαις καὶ τοῖς συναλλάγμασι δικαιοπραγεῖν· ἡ δὲ ἀνδρεία τοῦ ἐν τοῖς κινδύνοις καὶ φοβεροῖς μὴ ἐξίστασθαι ⟨τοῦ⟩ πονεῖν, ἀλλὰ μένειν· ἡ δὲ σωφροσύνη τοῦ κρατεῖν τῶν ἐπιθυμιῶν καὶ ὑπὸ μηδεμιᾶς ἡδονῆς δουλοῦσθαι, ἀλλὰ κοσμίως ζῆν. Τῆς ἀρετῆς ἄρα τὸ μέν ἐστι φρόνησις, ἄλλο δικαιοσύνη, τρίτον ἀνδρεία, τέταρτον σωφροσύνη.

Ἡ ἀρχὴ διαιρεῖται εἰς μέρη πέντε· ἓν μὲν εἰς τὸ κατὰ νόμον, ἓν δὲ εἰς τὸ κατὰ φύσιν, ἓν δὲ εἰς τὸ κατὰ ἔθος, τέταρτον εἰς τὸ κατὰ γένος, πέμπτον δὲ κατὰ βίαν. Οἱ μὲν **92** οὖν ἐν ταῖς πόλεσιν ἄρχοντες ὑπὸ τῶν πολιτῶν ἐπὰν αἱρεθῶσι, κατὰ νόμον ἄρχουσιν· οἱ δὲ κατὰ φύσιν, ⟨οἷον⟩ οἱ ἄρρενες, οὐ μόνον ἐν τοῖς ἀνθρώποις, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ζῴοις· ἐπὶ πολὺ γὰρ πανταχοῦ τὰ ἄρρενα τῶν θηλειῶν ἄρχει. Ἡ δὲ τοῦ κατὰ ἔθος ἀρχὴ τοιαύτη ἐστίν, οἵαν οἱ παιδαγωγοὶ τῶν παίδων ἄρχουσι καὶ οἱ διδάσκα-

4–5 cf. Plat. *Reip.* 4, 427 e; *Phaed.* 69 a–c; *Legg.* 1, 630 ab et al. **14–16** cf. Plat. *Legg.* 3, 690 a–c

1 ἐστὶν αἴτιον **F** **4** εἴδη ⟨ἐστὶ⟩ τέτταρα Cobet **4** ἓν μὲν – **5** σωφροσύνη **BP** : φρόνησις· δικαιοσύνη· ἀνδρεία καὶ σωφροσύνη **F** **8** ἀνδρία **F** **9** ἐξίστασθαι secl. Sudhaus | ⟨τοῦ⟩ πονεῖν scripsi : ποιεῖν **BPF** : τρεῖν Sudhaus : del. Emperius, Cobet **12** ἄλλο **BP** : τὸ δὲ **F** **16** post τέταρτον addit δ' Cobet **16** ⟨εἰς τὸ⟩ κατὰ βίαν Huebner, agn. Cobet **17** ἄρχοντες **BPF** : πράττοντες **Φ** **18** νόμους **F** | οἷον add. Sudhaus **20** ἄλλοις **BPF** et Marcian. 257 (Nrr. 63 et 51) : ἀλόγοις Cobet **21** τοῦ del. Reiske : habet Marcianus

λοι τῶν φοιτώντων. Κατὰ γένος δὲ ἀρχὴ τοιαύτη τις λέγεται, οἵαν οἱ Λακεδαιμόνιοι βασιλεῖς ἄρχουσιν· ἀπὸ γὰρ γένους τινὸς ἡ βασιλεία. Καὶ ἐν Μακεδονίᾳ δὲ τὸν αὐτὸν τρόπον ἄρχουσι· καὶ γὰρ ἐκεῖ ἀπὸ γένους ἡ βασιλεία καθίσταται. Οἱ δὲ βιασάμενοι ἢ παρακρουσάμενοι ἄρχουσιν ἀκόντων τῶν πολιτῶν· ἡ τοιαύτη ἀρχὴ κατὰ βίαν λέγεται εἶναι. Τῆς ἀρχῆς ἄρα ἐστὶ τὸ μὲν κατὰ νόμον, τὸ δὲ κατὰ φύσιν, τὸ δὲ κατὰ ἔθος, τὸ δὲ κατὰ γένος, τὸ δὲ κατὰ βίαν.

93 Τῆς ῥητορείας εἴδη ἐστὶν ἕξ· ὅταν μὲν γὰρ κελεύωσι πολεμεῖν ἢ συμμαχεῖν πρός τινα, καλεῖται τὸ τοιοῦτον εἶδος προτροπή. Ὅταν δ' ἀξιῶσι μὴ πολεμεῖν ⟨ἢ⟩ μὴ συμμαχεῖν, ἀλλ' ἡσυχίαν ἄγειν, τὸ τοιοῦτον εἶδός ἐστιν ἀποτροπή. Τρίτον εἶδος τῆς ῥητορείας, ὅταν τις φάσκῃ ἀδικεῖσθαι ὑπό τινος καὶ πολλῶν κακῶν αἴτιον ⟨αὐτὸν⟩ ἀποφαίνῃ· τὸ δὴ τοιοῦτον εἶδος κατηγορία ὀνομάζεται. Τέταρτον εἶδος τῆς ῥητορείας [ἀπολογία καλεῖται], ὅταν ἀποφαίνῃ αὐτὸν μηθὲν ἀδικοῦντα μήτε ἄλλο ἄτοπον μη-
94 θὲν πράττοντα· τὸ δὴ τοιοῦτον ἀπολογίαν καλοῦσι. Πέμπτον εἶδος ῥητορείας, ὅταν τις εὖ λέγῃ καὶ ἀποφαίνῃ καλὸν κἀγαθόν· τὸ δὴ τοιοῦτον εἶδος καλεῖται ἐγκώμιον. Ἕκτον εἶδος, ὅταν τις ἀποφαίνῃ φαῦλον· τὸ δὴ τοιοῦτον εἶδος καλεῖται ψόγος. Τῆς ἄρα ῥητορείας ἐστὶ τὸ μὲν ἐγκώμιον,

10–p. 247.2 cf. Aristot. *Rhet.* A 3, 1358 b 6 ss.

3 δὲ **BP** : γὰρ **F** **5** οἱ **BP** : εἰ **F** **10** ἐστὶν om. **F** **12** ⟨ἢ⟩ μὴ ed. Basil. : μὴ **BP** : μηδὲ **F** **13–14** ἀποτροπή ἐστιν **F** **14** ῥητορικῆς **F** | φάσκει **FVB**[1] (corr. **B**[2]) **15** αὐτὸν addidi (cf. v. 18) **16** δὴ ss. add. **P**[4]**H** | ἀποφαίνεται καὶ ὀνομάζεται **F** **17** ἀπολογία καλεῖται secl. Cobet **18** post ἀποφαίνῃ addit τις Cobet | μηδὲ Wendland **19** δὴ *Frob.* : δὲ **BPF** **20** post λέγῃ addit τινὰ Cobet **22** post ἀποφαίνῃ addit τινὰ Cobet | δὴ *Frob.* : δὲ **BPF**

τὸ δὲ ψόγος, τὸ δὲ προτροπή, τὸ δὲ ἀποτροπή, τὸ δὲ κατηγορία, τὸ δὲ ἀπολογία.

Τὸ ὀρθῶς λέγειν διαιρεῖται εἰς τέτταρα· ἓν μὲν ἃ δεῖ λέγειν, ἓν δὲ ὅσα δεῖ λέγειν, τρίτον πρὸς οὓς δεῖ λέγειν, τέταρτον δὲ πηνίκα δεῖ λέγειν. Ἃ μὲν οὖν δεῖ λέγειν, ἃ μέλλει συμφέρειν ⟨καὶ⟩ τῷ λέγοντι καὶ τῷ ἀκούοντι· τὸ δὲ ὅσα δεῖ λέγειν, μὴ πλείω μηδὲ ἐλάττω τῶν ἱκανῶν. Τὸ δὲ 95
πρὸς οὓς δεῖ λέγειν, ἄν τε πρὸς πρεσβυτέρους [ἁμαρτάνοντας] λέγῃ, ἁρμόττοντας δεῖ τοὺς λόγους διαλέγεσθαι ὡς πρεσβυτέροις· ἄν τε πρὸς νεωτέρους, ἁρμόττοντας δεῖ ⟨δια⟩λέγεσθαι ὡς νεωτέροις. Πηνίκα δὲ λέγειν ἐστί, μήτε προτέρω μήτε ὑστέρω· εἰ δὲ μή, διαμαρτήσεσθαι καὶ οὐκ ὀρθῶς ἐρεῖν.

Ἡ εὐεργεσία διαιρεῖται εἰς τέτταρα· ἢ γὰρ χρήμασιν ἢ σώμασιν ἢ ταῖς ἐπιστήμαις ἢ τοῖς λόγοις. Τοῖς μὲν οὖν χρήμασιν, ὅταν δεομένῳ παραβοηθήσῃ τις, ⟨ὡς⟩ εἰς χρημάτων λόγον εὐπορῆσαι· τοῖς δὲ σώμασιν εὖ ποιοῦσιν ἀλλήλους, ὅταν παραγενόμενοι τυπτομένοις παραβοηθῶσιν· οἱ δὲ παιδεύοντες καὶ ἰατρεύοντες καὶ διδάσκοντες 96
ἀγαθόν τι, οὗτοι δὴ ταῖς ἐπιστήμαις εὐεργετοῦσιν· ὅταν δ' εἰσέλθωσιν εἰς δικαστήριον ἄλλος ὑπὲρ ἄλλου βοηθὸς

4 ἓν **BP** : δεύτερον **F** **5** δεῖ λέγειν **FΦ** et Marcianus 257 (Nr. 52) : λέγειν δεῖ **BP** **6** καὶ[1] addidi ex cod. Marciano **8** ἁμαρτάνοντας secl. Menagius **9** λέγῃ scripsi ex cod. Marc. : διαλέγῃ **BPF** : διαλέγηται **D**, Stephanus **10** ὡς πρεσβυτέροις om. **B** | τε om. **B** | πρὸς om. **F** **10–11** δεῖ ⟨δια⟩λέγεσθαι coni. ed. Basil. : δεῖ λέγεσθαι **BP** : om. **F**, Cobet **11–12** μήτε προτέρω μήτε ὑστέρω **BPF** : μήτε πρότερον μήτε ὕστερον Cobet (et cod. Marc.) **12–13** οὐκ ὀρθῶς **BF** : κακῶς **PV** **14** τέσσαρα **FV** **16** βοηθήσῃ **F** | ὡς add. Richards **17** εὐπορῆσαι **BP** : εὐπορήσῃ **F** : εὐπορήσας Casaubon **18** ἀλλήλους **PF**[2] : ἄλλους **BF**[1] | βοηθοῦσι **F**, βοηθῶσιν Cobet **20** τι, οὗτοι **PF** : τοιοῦτοι **B** | δὴ R. Burn : δὲ **BF**[1] : om. **PF**[2] (erasit)

καὶ λόγον τινὰ ἐπιεικῆ ὑπὲρ αὐτοῦ εἴπῃ, οὗτος δὴ λόγῳ εὐεργετεῖ. Τῆς ἄρα εὐεργεσίας ἡ μέν ἐστι διὰ χρημάτων, ἡ δὲ διὰ σωμάτων, ἡ δὲ διὰ ἐπιστημῶν, τετάρτη διὰ λόγων.

Διαιρεῖται τὸ τέλος τῶν πραγμάτων εἰς τέτταρα εἴδη· ἓν μὲν κατὰ νόμον τέλος τὰ πράγματα λαμβάνει, ὅταν ψήφισμα γένηται καὶ τοῦθ᾽ ὁ νόμος τελέσῃ· κατὰ φύσιν δὲ τέλος τὰ πράγματα λαμβάνει, ⟨οἷον⟩ ἥ τε ἡμέρα καὶ ὁ ἐνιαυτὸς καὶ αἱ ὧραι. Κατὰ τέχνην δὲ τέλος τὰ πράγματα λαμβάνει, οἷον ἡ οἰκοδομική· οἰκίαν γάρ [τις] ἐπιτελεῖ·
97 καὶ ἡ ναυπηγική· πλοῖα γάρ. Κατὰ τύχην δὲ γίνεται τοῖς πράγμασι τέλος, ὅταν ἄλλως καὶ μὴ ὡς ὑπολαμβάνει τις ἀποβαίνῃ. Τοῦ τέλους ἄρα τῶν πραγμάτων τὸ μὲν κατὰ νόμον, τὸ δὲ κατὰ φύσιν, τὸ δὲ κατὰ τέχνην, τὸ δὲ κατὰ τύχην ἐστίν.

Ἡ δύναμις διαιρεῖται εἰς τέτταρα εἴδη· ἓν μὲν ὃ δυνάμεθα τῇ διανοίᾳ, ⟨οἷον⟩ λογίζεσθαι καὶ ὑπονοεῖν· ἕτερον δὲ τῷ σώματι, οἷον πορεύεσθαι καὶ διδόναι καὶ λαμβάνειν καὶ τὰ τοιαῦτα· τρίτον ὃ δυνάμεθα πλήθει στρατιωτῶν καὶ χρημάτων· ὅθεν λέγεται πολλὴν δύναμιν ἔχειν βασιλεύς· τετάρτη δὲ διαίρεσις δυνάμεως ⟨τὸ⟩ πάσχειν καὶ εὖ ποιεῖν καὶ κακῶς· οἷον ἀρρωστεῖν καὶ παιδεύεσθαι δυνάμεθα καὶ ὑγιεῖς γίνεσθαι καὶ πάντα τὰ τοι-

5–15 cf. Plat. *Legg.* 10, 888 e; 889 e

1 ἐπιεικῆ om. **F** | εἴπῃ ὑπὲρ αὐτοῦ **PV** **3** τετάρτη ⟨δὲ⟩ Cobet **7** τελέσει **B** **8** οἷον add. Mutschmann **8** ἥ τε ἡμέρα – **10** λαμβάνει in mg infer. **F**[2] **9** ἡ ὥρα **B** **10** ἡ om. **FV** | τις del. Reiske **12** ὑπολαμβάνει **F** : ὑπολαμβάνῃ **BPV** **17** οἷον add. Menagius | διαλογίζεσθαι **F** **19** πλήθη **FB**[1] (?) **20** λέγεται scripsi ex cod. Marc. (Nr. 33) (λέγεται γὰρ μεγάλην ἔχειν δύναμιν, ὅταν χρήματα καὶ στρατιῶται πολλοὶ συνηθροισμένοι ὦσιν) : καλεῖται **BPF** **21** ἔχειν scripsi : ἔχων **BPF** | τὸ addidi **22** ποιεῖν εὖ Menagius

αὐτα. Τῆς ἄρα δυνάμεως ἡ μέν ἐστιν ἐν διανοίᾳ, ἡ δ' ἐν τῷ σώματι, ἡ δ' ἐν στρατοπέδῳ καὶ χρήμασιν, ἡ δ' ἐν τῷ ποιεῖν καὶ πάσχειν.

Τῆς φιλανθρωπίας ἐστὶν εἴδη τρία· ἓν μὲν διὰ τῆς 98
προσηγορίας γινόμενον, οἷον ἐν οἷς τινες τὸν ἐντυχόντα πάντα προσαγορεύουσι καὶ τὴν δεξιὰν ἐμβάλλοντες χαιρετίζουσιν. Ἄλλο εἶδος, ὅταν τις βοηθητικὸς ᾖ παντὶ τῷ ἀτυχοῦντι. Ἕτερον εἶδός ἐστι τῆς φιλανθρωπίας, ἐν ᾧ τινες φιλοδειπνισταί εἰσι. Τῆς ἄρα φιλανθρωπίας τὸ μέν ἐστι διὰ τοῦ προσαγορεύειν, τὸ δὲ διὰ τοῦ εὐεργετεῖν, τὸ δὲ διὰ τοῦ ἑστιᾶν καὶ φιλοσυνουσιάζειν.

Ἡ εὐδαιμονία διαιρεῖται εἰς πέντε μέρη· ἡ μὲν γὰρ αὐτῆς ἐστιν εὐβουλία, ἕτερον δὲ εὐαισθησία καὶ ὑγίεια τοῦ σώματος, τρίτον εὐτυχία ἐν ταῖς πράξεσι, τέταρτον εὐδοξία παρὰ τοῖς ἀνθρώποις, πέμπτον εὐπορία χρημάτων καὶ τῶν εἰς τὸν βίον χρησίμων. Ἡ μὲν εὐβουλία 99
γίνεται ἐκ παιδείας καὶ ἐκ τοῦ πολλῶν ἔμπειρον γενέσθαι· ἡ δὲ εὐαισθησία ἐκ τῶν τοῦ σώματος μερῶν, οἷον ἐάν τις τοῖς ὀφθαλμοῖς ὁρᾷ καὶ τοῖς ὠσὶν ἀκούῃ καὶ τῇ ῥινὶ καὶ τῷ στόματι αἰσθάνηται ὧν δεῖ αἰσθάνεσθαι· τὸ δὴ τοιοῦτον εὐαισθησία. Ἡ δὲ εὐτυχία, ὅταν ⟨τις⟩ ἐφ' ἃ σκοπεῖ πράξῃ κατ' ὀρθὸν ἃ δεῖ πράττειν τὸν σπουδαῖον. Εὐδοξία δ' ἐστὶν ὅταν τις εὖ ἀκούῃ· εὐπορία δ' ἐστὶν ὅταν τις πρὸς τὰς ἐν τῷ βίῳ χρήσεις οὕτως ἔχῃ, ὥστε καὶ φίλους εὖ

2 τῷ[1] om. V | ἡ[1] : εἰ **B** | δ' ἐν τῷ **B**[2] (δὲ τὸ **B**[1]) **5** εὐπροσαγορίας Stephanus | ἐν οἷς (sc. τόποις) **BPF** : ἐν ᾧ Wendland, agn. Mutschmann **6** ἐμβάλλοντες **PF** : ἐμβάλοντες **B** **8** ἐστι om. **F** **9** φιλοδειπνησταὶ **F** **12** ἡ[1] δὲ **F** **13** ἕτερον δὲ **BF** : ἡ δὲ **PV** | ὑγεία **B**[2]**PFVΦ** **16** μὲν ⟨οὖν⟩ Cobet **18** τις **PF** : τοῖς **B** **19** τοῖς **Φ** : om. **BPF** **19–20** τῷ σώματι **F** **20** δὴ om. **F** **21** τις addi suad. Mutschmann **22** κατ' ὀρθὸν **BPF** : κατορθῶν Rossi (XIX, 49), agn. Wendland, Mutschmann **24** χρήσεις **BP** : πράξεις **FV**, Cobet

ποιῆσαι καὶ φιλοτίμως καὶ εὐπόρως ἀπολειτουργῆσαι. Ὧι δὲ ὑπάρχει ταῦτα πάντα, οὗτός ἐστιν εὐδαίμων τελέως. Τῆς ἄρα εὐδαιμονίας ἐστὶ τὸ μὲν εὐβουλία, τὸ δὲ εὐαισθησία καὶ ὑγίεια τοῦ σώματος, τὸ δὲ εὐτυχία, τὸ δὲ εὐδοξία, τὸ δὲ εὐπορία.

100 Αἱ τέχναι εἰς τρία διαιροῦνται· ἡ μὲν πρώτη, ἡ δὲ δευτέρα, ἡ δὲ τρίτη. Πρώτη μὲν οὖν ἡ μεταλλευτικὴ καὶ ὑλοτομική· παρασκευαστικαὶ γάρ εἰσιν. Ἡ δὲ χαλκευτικὴ καὶ ἡ τεκτονικὴ μετασχηματιστικαί εἰσιν· ἐκ μὲν γὰρ τοῦ σιδήρου ἡ χαλκευτικὴ ὅπλα ποιεῖ, ἡ δὲ τεκτονικὴ ἐκ τῶν ξύλων αὐλοὺς καὶ λύρας. Ἡ δὲ χρηστική, οἷον ἱππικὴ τοῖς χαλινοῖς χρῆται, ἡ πολεμικὴ τοῖς ὅπλοις, ἡ μουσικὴ τοῖς αὐλοῖς καὶ τῇ λύρᾳ. Τῆς τέχνης ἄρα τρία εἴδη ἐστί· τὸ μέν τι πρῶτον, τὸ δέ τι δεύτερον, τὸ δέ τι τρίτον.

101 Τὸ ἀγαθὸν εἰς τέτταρα γένη διαιρεῖται· ὧν ἓν μὲν λέγομεν εἶναι τὸν τὴν ἀρετὴν ἔχοντα ἰδίᾳ ἀγαθόν· ἄλλο δὲ αὐτὴν τὴν ἀρετὴν καὶ τὴν δικαιοσύνην λέγομεν ἀγαθὸν εἶναι· τρίτον δέ, οἷον σιτία καὶ γυμνάσια τὰ πρόσφορα καὶ φάρμακα· τέταρτον δέ φαμεν εἶναι ἀγαθόν, οἷον αὐλητικὴν καὶ ὑποκριτικὴν καὶ τὰ τοιαῦτα. Ἀγαθοῦ ἄρα τέτταρα εἴδη ἐστί· τὸ μὲν τὸ τὴν ἀρετὴν ἔχειν, ἕτερον δὲ αὐτὴ ἡ ἀρετή, τρίτον δὲ σιτία καὶ γυμνάσια τὰ ὠφέλιμα·

6–14 cf. cod. Marciani 257 Nr. 53 Mutschmann: Αἱ ἐπιστῆμαι **15–p. 251.2** cf. cod. Marciani 257 (f. 251–254) Nr. 36

2 πάντα ταῦτα **B** | τελείως **F** **3** ἐστὶ om. **F** **4** ὑγεία **B**[2]**PF** **7** οὖν om. **F** | μεταλευτικὴ **F** **8 et 10** χαλκευτηκὴ **B** **9** ἡ ss. **F**[2] | μετασχηματιστικαί **B** : μετασχηματικαί **F** : μετασκευαστικαί (cf. v. 8) **PV** et *Frob.* **12** χαληνοῖς **F** **13** τῆς om. **PV** | εἴδη τρία **F** **14** τι[1] **P** : τοι **BFV** | πρῶτον **BF** : πρότερον **P** | τι[2] **B**[1]**PF** : τοι **B**[2] | τι[3] **B**[1]**P**[1]**F** : τοι **B**[2] : erasit **P**[5] **15 et 21** τέττερα **B** **17** αὐτὴν **Φ**, Cobet : αὐτὸ **B**[2]**PFV** : αὐτὸν **B**[1] **19** εἶναι om. **F** **20** τὰ τοιαῦτα : ποιητικὴν *Ambrosius* (cf. p. 251.1)

τέταρτον δὲ αὐλητικὴν καὶ ὑποκριτικὴν [καὶ ποιητικὴν] ἀγαθὸν λέγομεν εἶναι.

Τῶν ὄντων τὰ μέν ἐστι κακά, τὰ δὲ ἀγαθά, τὰ δὲ οὐ- 102
δέτερα. Τούτων κακὰ μὲν ταῦτα λέγομεν, τὰ δυνάμενα
βλάπτειν ἀεί, οἷον ἀκρισίαν καὶ ἀφροσύνην καὶ ἀδικίαν
καὶ τὰ τοιαῦτα· τὰ δὲ τούτοις ἐναντία ἀγαθά ἐστι. Τὰ δὲ
ἐνίοτε μὲν ὠφελεῖν, ἐνίοτε δὲ βλάπτειν (οἷον τὸ περι-
πατεῖν καὶ τὸ καθῆσθαι καὶ τὸ ἐσθίειν) ⟨ἢ⟩ ὅλως μήτε
ὠφελῆσαι μήτε βλάψαι δυνάμενα, ταῦτα γοῦν οὔτε
ἀγαθὰ οὔτε κακά ἐστι. Τῶν ἄρα ὄντων τὰ μὲν ἀγαθά, τὰ
δὲ κακά, τὰ δ' οὐδέτερα τούτων.

Εὐνομία διαιρεῖται εἰς τρία· ἓν μέν, ἐὰν ὦσιν οἱ νόμοι 103
σπουδαῖοι, εὐνομίαν φαμὲν εἶναι· ἕτερον δέ, ἐὰν τοῖς
κειμένοις νόμοις ἐμμένωσιν οἱ πολῖται, καὶ τοῦτό φαμεν
εὐνομίαν εἶναι· τρίτον δέ, ἐὰν μὴ ὄντων [τῶν] νόμων κα-
τὰ ἔθη καὶ ἐπιτηδεύματα χρηστῶς πολιτεύωνται, καὶ τοῦ-
το εὐνομίαν προσαγορεύομεν. Τῆς εὐνομίας ἄρα ἓν μέν
ἐστι νόμους σπουδαίους εἶναι· ἄλλο δέ, ἐὰν τοῖς οὖσι
νόμοις ἐμμένωσι· τρίτον δέ, ἐὰν ἔθεσι καὶ ἐπιτηδεύμασι
χρηστοῖς πολιτεύωνται.

3 cf. Plat. *Gorg.* 467 e 1; DL 7.101 et al. **12–15** εἶναι : cf. Aristot. *Pol.* Δ 8, 1294 a 3

1 καὶ ποιητικὴν **BP** : om. **FΦ** et Marc. 257 : seclusi **4** ταῦτα delendum ed. Basil. | λέγομεν ταῦτα **P** **5** ἀκρισίαν **BPFV** et *Frob.* : ἀκρασίαν ss. **Q^2**, Stephanus, Cobet **6** post ἐστι addit ὡς δικαιοσύνη **Φ** **8** τὸ² **F** : om. **BP** | ἢ add. *Frob.* **8-9** μήτε βλάψαι μήτε ὠφελῆσαι **F** **9** οὖν **F** **10** τῶν ἄρα ὄντων **FQP^3W** in mg : om. **BP^1** **12** ante εὐνομία *tit.* εὐνομίας διαίρεσις addunt **BP^1QW**, del. **P^4H** **13** ἕτερον δὲ – **15** εἶναι in mg infer. **F^2** **15** μὴ om. **PV** | τῶν om. **Φ** et Marcian. (Nr. 14), del. Richards, Mutschmann **16 et 20** πολιτεύονται **BF** **20** χρηστῶς Stephanus (cf. v. 16)

Διαιρεῖται ἡ ἀνομία εἰς τρία· ὧν ἓν μέν ἐστιν, ἐὰν
ὦσιν οἱ νόμοι μοχθηροὶ καὶ πρὸς ξένους καὶ πρὸς πολίτας·
104 | ἕτερον δέ, ἐὰν τοῖς ὑπάρχουσι μὴ πείθωνται· ἄλλο δέ,
ἐὰν ὅλως μηδεὶς ᾖ νόμος. Τῆς ἄρα ἀνομίας ἓν μέν ἐστι τὸ
μοχθηροὺς εἶναι τοὺς νόμους· ἄλλο δέ, ἐὰν τοῖς οὖσι μὴ
πείθωνται· τρίτον δέ, ἐὰν μηδεὶς ᾖ νόμος.

Τὰ ἐναντία διαιρεῖται εἰς τρία· οἷον ἀγαθὰ κακοῖς
ἐναντία φαμὲν εἶναι, ὡς τὴν δικαιοσύνην τῇ ἀδικίᾳ καὶ
τὴν φρόνησιν τῇ ἀφροσύνῃ καὶ τὰ τοιαῦτα. Κακὰ δὲ κα-
κοῖς ἐναντία ἐστίν, οἷον ἡ ἀσωτία τῇ ἀνελευθερίᾳ καὶ τὸ
ἀδίκως στρεβλοῦσθαι τῷ δικαίως στρεβλοῦσθαι· καὶ τὰ
τοιαῦτα κακὰ κακοῖς ἐναντία ἐστίν. Τὸ δὲ βαρὺ τῷ
κούφῳ καὶ τὸ ταχὺ τῷ βραδεῖ καὶ τὸ μέλαν τῷ λευκῷ ὡς
105 οὐδέτερα οὐδετέροις ἐναντία ἐστίν. Τῶν ἐναντίων ἄρα τὰ
μὲν ὡς ἀγαθὰ κακοῖς ἐναντία ἐστί· τὰ δὲ ὡς κακὰ κακοῖς·
τὰ δὲ ὡς οὐδετέροις οὐδέτερα.

Τῶν ἀγαθῶν γένη ἐστὶ τρία· τὰ μὲν γάρ ἐστιν ἑκτά, τὰ δὲ μεθεκτά, τὰ δὲ ὑπαρκτά. Τὰ μὲν οὖν ἑκτά ἐστιν, ὅσα ἐνδέχεται ἔχειν, οἷον ἡ δικαιοσύνη καὶ ἡ ὑγίεια· μεθεκτὰ δέ, ὅσα ἔχειν μὲν μὴ ἐνδέχεται, μετασχεῖν δὲ αὐτῶν ἐνδέχεται· οἷον αὐτὸ τὸ ἀγαθὸν ἔχειν μὲν οὐκ ἐνδέχεται, μετασχεῖν δὲ αὐτοῦ ἐνδέχεται. Ὑπαρκτὰ δέ, ὅσα μήτε

1 ante διαιρεῖται *tit.* ἀνομίας διαίρεσις (διαιρέσεις **P**) addunt **BP**^{1}, del. **P**^{2}**Q** **3** ἄλλο δὲ **BP(Φ)** : τρίτον **F** **4** ὅλως om. **F** **5** ἐὰν **P** : ἂν **BF** **6** δὲ **B** : om. **PF** **7** ante τὰ ἐναντία addunt *tit.* διαίρεσις (διαιρέσεις **P**) τῶν ἐναντίων **BP**^{1}, del. **P**^{4}**H** **10** ἀσωτεία **BV** **11** τῶ **BP** : τὸ **FV** **12** κακὰ ss. **F**^{2} | post ἐναντία ἐστὶν pergit **D** τὰ δὲ ὡς οὐδετέροις οὐδέτερα· οἷον τὸ πένεσθαι τῶ πλουτεῖν· ἑκάτερον γὰρ καθ' αὑτὸ οὔτ' ἀγαθὸν οὔτε κακόν, ἐναντία δὲ ὅμως, agn. Stephanus **13** τῶ ταχεῖ τὸ βραδύ **B** **14** ἐστὶν ἐναντία **F** **14** ἐναντία – **16** οὐδέτερα in mg **F**^{2} **16** οὐδετέροις **B**^{2}**FQP**^{5} : ἑτέροις **B**^{1}**P**^{1}**WH** **19** ἔχειν **BFΦ** : εἶναι **PV** | ἡ^2 ss. **P**^{1} | ὑγεία **B** **20** μὲν om. **F** **22** μετασχεῖν – ἐνδέχεται in mg **B**^{2}

μετασχεῖν μήτε σχεῖν ἐνδέχεται, ὑπάρχειν δὲ δεῖ· οἷον τὸ σπουδαῖον εἶναι ⟨καὶ⟩ τὸ δίκαιον εἶναι ἀγαθόν ἐστι· καὶ ταῦτα οὔτε σχεῖν οὔτε μετασχεῖν ἔστιν, ἀλλ᾽ ὑπάρχειν δεῖ [σπουδαῖον εἶναι καὶ δίκαιον εἶναι]. Τῶν ἀγαθῶν ἄρα 106
τὰ μέν ἐστιν ἑκτά, τὰ δὲ μεθεκτά, τὰ δὲ ὑπαρκτά.

Ἡ συμβουλία διαιρεῖται εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐκ τῶν παροιχομένων χρόνων λαμβανόμενον, ἓν δὲ ἐκ τῶν μελλόντων, ἓν δὲ ἐκ τῶν ἐνεστώτων. Τὰ μὲν οὖν ἐκ τῶν παροιχομένων παραδείγματα, οἷον τί ἔπαθον Λακεδαιμόνιοι ⟨ἀ⟩πιστεύσαντες· τὰ δ᾽ ἐκ τῶν παρόντων, οἷον ἀποφαίνειν τείχη ἀσθενῆ, δειλοὺς ἀνθρώπους, σῖτον ὀλίγον· τὰ δ᾽ ἐκ τῶν μελλόντων, οἷον ταῖς ὑπονοίαις μὴ ἀδικεῖν τὰς πρεσβείας, ὅπως μὴ ἄδοξος ἡ Ἑλλὰς γένηται. Τῆς ἄρα συμβουλίας τὰ μέν ἐστιν ἐκ τῶν παροιχομένων, τὰ δ᾽ ἐκ τῶν παρόντων, τὰ δ᾽ ἐκ τῶν μελλόντων.

Ἡ φωνὴ διαιρεῖται εἰς δύο· ἓν μὲν αὐτῆς ἐστιν ἔμ- 107
ψυχον, ἓν δὲ ἄψυχον. Ἔμψυχον μὲν ἡ τῶν ζῴων φωνή, ἄψυχον δὲ φθόγγοι καὶ ἦχοι. Τῆς τοῦ ἐμψύχου φωνῆς ἡ μέν ἐστιν ἐγγράμματος, ἡ δὲ ἀγράμματος. Ἐγγράμματος μὲν ἡ τῶν ἀνθρώπων, ἀγράμματος δὲ ἡ τῶν ζῴων. Τῆς ἄρα φωνῆς ἡ μὲν ἔμψυχος, ἡ δὲ ἄψυχος.

6–15 cf. cod. Marc. 257 Nr. 18

1 σχεῖν **BFΦ** : ἔχειν **PV** **2** καὶ[1] add. *Frob.* **3** οὔτε μετασχεῖν οὔτε σχεῖν **F** **4** σπουδαῖον εἶναι καὶ δίκαιον εἶναι ut glossema secl. ed. Basil. **5** ὑπαρκτικὰ **FP**[5] **6** ante ἡ συμβουλία addunt *tit.* συμβουλείας διαίρεσις **B**, συμβουλίας διαιρέσεις **P**[1], del. **P**[4]**H** | ἡ συμβουλεία **B** **7, 9 et 14** παρωχημένων **B** **9** οἱ λακεδαιμόνιοι **B** **10** ⟨ἀ⟩πιστεύσαντες scripsi ex Marc. (Nr. 18) (καὶ πρότερον ἡμῶν ἀπειθήσαντες ἀνηκέστοις κακοῖς περιέπεσαν) : πιστεύσαντες **BPF** **14** συμβουλείας **B**[2] **16** ante ἡ φωνὴ addunt *tit.* φωνῆς διαίρεσις (διαιρέσεις **P**) **BP**, del. **P**[4]**H** | ἔμψον **P**[1], corr. **P**[2]**Q** **18** φθόγγοι **BFV** : φθογγὴ **P** : φωνὴ **Φ** **20** τῶν ⟨ἄλλων⟩ ζῴων coni. Mutschmann **21** ἡ μὲν ἄψυχος, ἡ δὲ ἔμψυχος **F**

Τῶν ὄντων ἐστὶ τὰ μὲν μεριστά, τὰ δὲ ἀμέριστα. Τού-
των δὲ τῶν μεριστῶν τὰ μὲν ὁμοιομερῆ, τὰ δὲ ἀνομοιο-
μερῆ. Ἀμερῆ μὲν οὖν ἐστιν ὅσα μὴ ἔχει διαίρεσιν μηδὲ ἔκ
τινος σύγκειται, οἷον ἥ τε μονὰς καὶ ἡ στιγμὴ καὶ ὁ
φθόγγος· μεριστὰ δὲ ὅσα ἔκ τινος σύγκειται, οἷον αἵ τε
συλλαβαὶ καὶ συμφωνίαι καὶ ζῷα [καὶ ὕδωρ καὶ χρυσός].
108 Ὁμοιομερῆ ⟨μὲν⟩ ὅσα ἐξ ὁμοίων ⟨μερῶν⟩ σύγκειται καὶ
μηδὲν διαφέρει τὸ ὅλον τοῦ μέρους εἰ μὴ τῷ πλήθει, οἷον
τὸ ὕδωρ καὶ τὸ χρυσίον καὶ πᾶν τὸ χυτὸν καὶ τὸ τοιοῦτον·
ἀνομοιομερῆ δὲ ὅσα ἐξ ἀνομοίων μερῶν σύγκειται, οἷον
οἰκία καὶ τὰ τοιαῦτα. Τῶν ὄντων ἄρα τὰ μέν ἐστι μεριστά,
τὰ δὲ ἀμερῆ· τῶν δὲ μεριστῶν τὰ μὲν ὁμοιομερῆ, τὰ δὲ
ἀνομοιομερῆ.

Τῶν ὄντων τὰ μέν ἐστι καθ' ἑαυτά, τὰ δὲ πρός τι
λέγεται. Τὰ μὲν οὖν καθ' ἑαυτὰ λεγόμενά ἐστιν ὅσα ἐν τῇ
ἑρμηνείᾳ μηδενὸς προσδεῖται· ταῦτα δ' ἂν εἴη οἷον ἄν-
θρωπος, ἵππος καὶ τἆλλα ζῷα. Τούτων γὰρ οὐδὲν δι'
109 ἑρμηνείας χωρεῖ. Τὰ δὲ πρός τι λεγόμενα ὅσα προσδεῖταί
τινος ἑρμηνείας, οἷον τὸ μεῖζόν τινος καὶ τὸ θᾶττόν τινος
καὶ τὸ κάλλιόν ⟨τινος⟩ καὶ τὰ τοιαῦτα· τό τε γὰρ μεῖζον
ἐλάττονός ἐστι μεῖζον καὶ τὸ θᾶττόν τινός ἐστι ⟨θᾶττον⟩.
Τῶν ὄντων ἄρα τὰ μὲν αὐτὰ καθ' αὑτὰ λέγεται, τὰ δὲ

14–15 cf. Plat. *Soph.* 255 c 12; *Reip.* 4. 438 b ss.

1 ἐστὶ τὰ μὲν **BF** : τὰ μέν ἐστι **PV** **3** Ἀμέριστα Huebner (*App.*) **3–4** et **5** ἔκ τινων Richards **5** ὅσα – σύγκειται in mg **F**^{2} **6** καὶ ὕδωρ καὶ χρυσός seclusi (cf. v. 9) **7** μὲν add. *Frob.* | μερῶν add. Huebner (*App.*), cf. v. 10 **9** χυτὸν **B**^{2}**P**^{1}**F** : τυχὸν **P**^{4}**HV** | τοιοῦτον **B**^{2}**F** : τοιοῦτο **B**^{1}**P** **10** ἀνομοίων μερῶν **P**^{4}**H** : ἀνομοιομερῶν **BP**^{1}**F** **17** τὰ ἄλλα **P** **18** Τὰ et λεγό-μενα **Φ** : τῶν et λεγομένων **BPF** **20** τινος addidi | ante μεῖζον addit μάλιστα **F** **21** θᾶττον^2 add. Cobet et ed. Basil. **22** post μὲν addit ἐστιν **F**, agn. Cobet **22–p. 255.1** τὰ δὲ πρός τι λέγεται Cobet

πρός τι. Ὧδε καὶ τὰ πρῶτα διῄρει κατὰ τὸν Ἀριστοτέλην.

Γέγονε δὲ καὶ ἄλλος Πλάτων φιλόσοφος Ῥόδιος, μαθητὴς Παναιτίου, καθά φησι Σέλευκος ὁ γραμματικὸς ἐν πρώτῳ Περὶ φιλοσοφίας· καὶ ἄλλος, Περιπατητικός, μαθητὴς Ἀριστοτέλους· καὶ ἕτερος Πραξιφάνους· καὶ ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητής.

2–3 Panaetii Fr. 157 van Straaten **3–4** *FHG* III, 150 **5** Praxiphanis Fr. 6 Wehrli **5–6** *PCG* VII, 431–548

1 τὸν **BPF** : τῶν **P** | ἀριστοτέλην **PF** : ἀριστοτέλη **B** **5** πραξιφάνης **F** | *subscriptio* Γ′ **P**

Δ

ΣΠΕΥΣΙΠΠΟΣ

1 Τὰ μὲν περὶ Πλάτωνος τοσαῦτα ἦν ἐς τὸ δυνατὸν ἡμῖν συναγαγεῖν, φιλοπόνως διειλήσασι τὰ λεγόμενα περὶ τἀνδρός. Διεδέξατο δ' αὐτὸν Σπεύσιππος Εὐρυμέδοντος Ἀθηναῖος, τῶν δὲ δήμων Μυρρινούσιος, ὃς ἦν υἱὸς τῆς ἀδελφῆς αὐτοῦ Πωτώνης. Καὶ ἐσχολάρχησεν ἔτη ὀκτώ, ἀρξάμενος ἀπὸ τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος. Χαρίτων τε ἀγάλματα ἀνέθηκεν ἐν τῷ μουσείῳ τῷ ὑπὸ Πλάτωνος ἐν Ἀκαδημίᾳ ἱδρυθέντι. Καὶ ἔμεινε μὲν ἐπὶ τῶν αὐτῶν Πλάτωνι δογμάτων· οὐ μὴν τό γ' ἦθος διέμεινε τοιοῦτος· καὶ γὰρ ὀργίλος καὶ ἡδονῶν ἥττων ἦν. Φασὶ γοῦν αὐτὸν ὑπὸ θυμοῦ τὸ κυνίδιον εἰς τὸ φρέαρ ῥῖψαι καὶ ὑφ' ἡδονῆς ἐλθεῖν εἰς Μακεδονίαν ἐπὶ τὸν Κασσάνδρου γάμον.

2 Ἐλέγοντο δὲ αὐτοῦ καὶ αἱ Πλάτωνος ἀκούειν μαθήτριαι, Λασθένειά τε ἡ Μαντινικὴ καὶ Ἀξιοθέα ἡ Φλιασία. Ὅτε καὶ Διονύσιος πρὸς αὐτὸν γράφων τωθαστικῶς

2 de l. **4** cf. T. Dorandi, *ANRW* II 36.5 (1992) 3761–3792 **2–p. 260.7** ed. M. Isnardi Parente (1980) Fr 2 et L. Tarán (1981) T 1 **6** Καὶ – **7** Ὀλυμπιάδος : i.e. 348–344; *FGrHist* 244 F 344 a; P. Herc. 1021, col. 6.39–40 ed. Gaiser et Dorandi **8** Χαρίτων – **9** ἱδρυθέντι : P. Herc. 1021, col. 6.30–38 **13-14** ἐπὶ τὸν Κασσάνδρου γάμον : cf. Philostr. *V. Apoll.* 1.35 **15–p. 257.4** cf. Athen. 7, 279 EF; 12, 546 D **15–16** cf. 3.46

inscriptio λαερτίου διογένους τῶν εἰς ι′ τὸ δ′ **FVDP**^{4} : τόμος δ′ **Φ** **1** *tit.* **BP**^{1} (σπεύσιππος δ′) **2** ἐς **P**^{1}, εἰς ss. **P**^{4} **3** διειλήσασι **PB** (διειλίσασι) : διελοῦσι **F** **4** τοῦ ἀνδρὸς **B** **5** τῶν δὲ δήμων **F** : τὸν (corr. ex τῶν) δὲ δῆμον **B** : τῶν μὲν δήμων **P** et *Frob.* | ὃς ἦν υἱὸς **BF**, ἦν υἱὸς **P** : υἱὸς δὲ *Frob.* **6** ποτώνης **F** | ἔτη **BFP**^{4}**H** : ἐν ἔτει **P**^{1} **10** γ' om. **P** **13** κασσάνδρου **B** : κασάνδρου **PFΦ** **16** φλισία **P**

φησι· "Καὶ ἐκ τῆς Ἀρκαδικῆς σου μαθητρίας ἔστι ⟨σου⟩
τὴν σοφίαν καταμαθεῖν. Καὶ Πλάτων μὲν ἀτελεῖς φόρων
τοὺς παρ' αὐτὸν φοιτῶντας ἐποίει· σὺ δὲ δασμολογεῖς καὶ
παρ' ἑκόντων καὶ ἀκόντων λαμβάνεις." Οὗτος πρῶτος,
καθά φησι Διόδωρος ἐν Ἀπομνημονευμάτων πρώτῳ, ἐν
τοῖς μαθήμασιν ἐθεάσατο τὸ κοινὸν καὶ συνῳκείωσε καθ'
ὅσον ἦν δυνατὸν ἀλλήλοις· καὶ πρῶτος παρὰ Ἰσοκράτους
τὰ καλούμενα ἀπόρρητα ἐξήνεγκεν, ὥς φησι Καινεύς. Καὶ 3
πρῶτος εὗρεν ᾧ τὰ φορμία τῶν φρυγάνων εὔογκα ποιοῦ-
σιν.

Ἤδη δὲ ὑπὸ παραλύσεως καὶ τὸ σῶμα διέφθαρτο, καὶ πρὸς Ξενοκράτη διεπέμπετο παρακαλῶν αὐτὸν ἐλθεῖν καὶ τὴν σχολὴν διαδέξασθαι. Φασὶ δὲ ἐπ' ἁμαξίου αὐτὸν φερόμενον εἰς τὴν Ἀκαδημίαν συναντῆσαι Διογένει καὶ "Χαῖρε" εἰπεῖν· τὸν δὲ φάναι· "Ἀλλὰ μὴ σύ γε, ὅστις ὑπομένεις ζῆν τοιοῦτος ὤν." Καὶ τέλος ὑπὸ ἀθυμίας ἑκὼν τὸν βίον μετήλλαξε γηραιὸς ὤν. Καὶ ἔστιν ἡμῶν εἰς αὐτόν·

4 Οὗτος – 7 ἀλλήλοις : F 70 Tarán. Cf. P. Herc. 1021, col. T 2 7 καὶ πρῶτος – 8 Καινεύς : *FGrHist* 338 F 18 8–9 cf. 9.53 11–13 διαδέξασθαι : cf. P. Herc. 1021, col. 6.38 a; Ps.-Galeni *Hist. philos.* 3 13 Φασὶ δὲ – 16 ὤν : cf. Stob. 4.52a.17

1 σου^{2} addidi 2 τὴν σοφίαν καταμαθεῖν **B**, τὴν φιλοσοφίαν καταμαθεῖν **P** : καταμαθεῖν τὴν σοφίαν **F** 3 αὐτῶν **F** 6 τὸ **BP** : τοῦ **F** | κοινὸν **BP**$\mathbf{F}^{2}$: κοινονοῦ $\mathbf{F}^{1}$ ut vid. 7 ἰσοκράτου **F** 8 καινεὺς **PF**, κενεὺς **B** : Ἰδομενεὺς coni. Jacoby : Ἀφαρεὺς coni. Gigante (*P.P.* 24 [1969] 47–49) 12 ξενοκράτη **BP** : ξενοκράτην **F** | αὐτὸν ss. $\mathbf{F}^{2}$ 13 ἐπ' ἁμαξίου αὐτὸν **BP** : αὐτὸν ἐπ' ἁμαξίου **F** | ἐφ' ἁμαξίου **Φ** 14 συναντῆσαι **FΦ**$\mathbf{P}^{4}$**H** : συναντάσθαι **B**$\mathbf{P}^{1}$ 15 τὸν δὲ φάναι $\mathbf{P}^{4}$**H**, om. $\mathbf{P}^{1}$ 17 μετήλλαξε **BP** : διήλλαξε **F**

Ἀλλ' εἰ μὴ Σπεύσιππον ἐμάνθανον ὧδε θανεῖσθαι,
οὐκ ἂν ἔπεισέ μέ τις τόδε λέξαι,
ὡς ἦν οὐχὶ Πλάτωνι πρὸς αἵματος· οὐ γὰρ ἀθυμῶν
κάτθανεν ἂν διά τι σφόδρα μικρόν.

4 Πλούταρχος δέ φησιν ἐν τῷ Λυσάνδρου βίῳ καὶ Σύλλα φθειρσὶν ἐκζέσαι αὐτόν. Ἦν δὲ καὶ τὸ σῶμα διακεχυμένος, ὥς φησι Τιμόθεος ἐν τῷ Περὶ βίων. Οὗτος, φασί, πρὸς τὸν πλούσιον ἐρῶντα ἀμόρφου ἔφη· "Τί δέ σοι δεῖ τούτου; Ἐγὼ γάρ σοι δέκα ταλάντων εὐμορφότερον εὑρήσω."

Καταλέλοιπε δὲ πάμπλειστα ὑπομνήματα καὶ διαλόγους πλείονας, ἐν οἷς καί·

⟨Πρὸς⟩ Ἀρίστιππον τὸν Κυρηναῖον ⟨α'⟩,
Περὶ πλούτου α',
Περὶ ἡδονῆς α',
Περὶ δικαιοσύνης α',
Περὶ φιλοσοφίας α',
Περὶ φιλίας α',
Περὶ θεῶν α',
Φιλόσοφος α',
Πρὸς Κέφαλον α',

1-4 *Anth. Pal.* 7.101 **5–6** φθειρσὶν ἐκζέσαι αὐτόν : in Plut. *Sulla* 36.5–6 non invenitur **6** Ἦν δὲ – **7** Περὶ βίων : *FHG* IV, 523 **11– p. 260.7** cf. L. Tarán, 188–198

1 ὧδε θανόντα Richards **3** ὡς **BPF** : ὃς *Pal.* | ἦν ss. **P**[1] | οὐ **BPF** : ὃς *Pal.* **6** ἔκζεσε **B** **8** φασί scripsi : φησὶ **BPF** | τὸν πλούσιον ἐρῶντα scripsi conl. **Φ** : τὸν ἐρῶντα πλούσιον **BPF** **9** δεῖ ss. **F**[2] | εὐμορφότερον scripsi (cf. τούτου) : εὐμορφοτέραν **BPFΦ** : ἀμορφότερον Richards **11** καταλέλειπε (-ει- corr. ex -η-) **B** **13** Πρὸς add. R. Hirzel (*Der Dialog*, I, 313 n. 4) | α' addidi **13–14** unus titulus in **B**, agn. Hirzel, Mannebach (*Aristippi Frr.*, 84) **17** Περὶ φιλοσόφων coni. Menagius (conl. 9.23) **19** α' **BF** : ἕνα **P** **21** πρὸς κεφάλαιον **B**

Κέφαλος α΄,
Κλεινόμαχος ἢ Λυσίας α΄,
Πολίτης α΄,
Περὶ ψυχῆς α΄,
Πρὸς Γρύλλον α΄,
Ἀρίστιππος α΄,
Τεχνῶν ἔλεγχος α΄,
Ὑπομνηματικοὶ διάλογοι,
Τεχνικὸν α΄,
[Διάλογοι]
Τῶν περὶ τὴν πραγματείαν ὁμοίων α΄ β΄ γ΄ δ΄ ε΄ ς΄ ζ΄ η΄ θ΄ ι΄,
Διαιρέσεις καὶ πρὸς τὰ ὅμοια ὑποθέσεις,
Περὶ γενῶν καὶ εἰδῶν παραδειγμάτων,
Πρὸς τὸν Ἀμάρτυρον,
Πλάτωνος ἐγκώμιον,
Ἐπιστολαὶ πρὸς Δίωνα, Διονύσιον, Φίλιππον,
Περὶ νομοθεσίας,
Μαθηματικός,
Μανδρόβολος,
Λυσίας,
Ὅροι,
Τάξεις ὑπομνημάτων.

11 cf. Speusippi Frr. 6–27 Tarán (τὰ Ὅμοια) **15** cf. 6.15; Isocrat. *Or.* 21 (Ἀμάρτυρος)

5 Γρύλλον *Frob.* : γύλαον **B** : γύλλον **P** : γῦλον **F** **6–9** in mg **F**^{2} **6** ἀρίστιππος α΄ del. Menagius (conl. p. 258.13) **8–9** unus titulus in **B** **10** διάλογοι del. Tarán. (cf. v. 8) **11** τῶν περὶ τὴν πραγματείαν ὁμοίων **BPF** : Τῆς περὶ τὰ ὅμοια πραγματείας Brinkmann (conl. p. 266.8 Τῆς περὶ τὸ διαλέγεσθαι πραγματείας), agn. Tarán **12** θ΄ om. **F** **14–16** unus tit. in **B** **14** παράδειγμα τῶν **F** **17–20** unus tit. in **B** **20** μανδρόβολος **B** : μανδρόβουλος **P** : ἀνδρόβουλλος **F**

Στίχοι μ(υριάδες) κβʹ, ͵δοεʹ. Πρὸς τοῦτον γράφει καὶ Τιμωνίδης τὰς ἱστορίας, ἐν αἷς κατατετάχει τὰς πράξεις Δίωνός [τε καὶ Βίωνος]. Φησὶ δὲ καὶ Φαβωρῖνος ἐν δευτέρῳ Ἀπομνημονευμάτων ὡς Ἀριστοτέλης αὐτοῦ τὰ βιβλία τριῶν ταλάντων ὠνήσατο.

Γέγονε Σπεύσιππος καὶ ἕτερος, ἰατρὸς Ἡροφίλειος, Ἀλεξανδρεύς.

ΞΕΝΟΚΡΑΤΗΣ

6 Ξενοκράτης Ἀγαθήνορος Χαλκηδόνιος· οὗτος ἐκ νέου Πλάτωνος ἤκουσεν, ἀλλὰ καὶ εἰς Σικελίαν αὐτῷ συναπεδήμησεν. Ἦν δὲ τὴν φύσιν νωθρός, ὥστε φασὶ λέγειν τὸν Πλάτωνα συγκρίνοντα αὐτὸν Ἀριστοτέλει· "Τῷ μὲν μύωπος δεῖ, τῷ δὲ χαλινοῦ·" καί· "Ἐφ' οἷον ἵππον οἷον ὄνον ἀλείφω." Σεμνὸς δὲ τά τ' ἄλλα Ξενοκράτης ⟨ἦν⟩ καὶ σκυθρωπὸς ἀεί, ὥστε αὐτῷ λέγειν συνεχὲς τὸν Πλάτωνα· "Ξενόκρατες, θῦε ταῖς Χάρισι." Διῆγέ τε ἐν Ἀκαδημίᾳ τὰ

1 Πρὸς – **3** Δίωνος : *FGrHist* 561 T 3 b; Plut. *Dion.* 35.4 **3** Φησὶ δὲ – **5** Favorini Fr. 9 Mensching; T 42 c Duering. Cf. Gell. 3.17.3 **9–p. 268.8** ed. M. Isnardi Parente (1981), Fr. 2 **14–15** σκυθρωπὸς ἀεί : cf. Ael. *V.H.* 4.9 **16** Διῆγε – **p. 261.1** ἀνιέναι : cf. Plut. *De exilio* 603 BC

1 M. κβʹ (i.e. μυριάδες κβʹ) ͵δοεʹ (= 224,075) Ritschl (*Opusc. philol.* I, 191 et 830) : μ^{κβ} ͵γδοε in mg **B**^{2} (spatium vacuum litt. 14 in textu) : μ^{κβ} ͵γδοε **P**^{1} : μγ. κβδοε. **F** **2** Τιμωνίδης Westermann : σιμωνίδης **BPF** | κατατετάχει **BP** : κατέταξε **F** **3** τε καὶ βίωνος secl. C. Mueller : τε καὶ Διονυσίου coni. Hicks | καὶ om. **BP** | φαβορεῖνος **B** **3–4** ἐν βʹ ἀπομνημονευμάτων φαβωρῖνος (δὲ **P**^{5}) φησὶν **P**^{1}**QWH**, corr. **P**^{5} **6** ἡροφίλεος **F** **8** *tit.* **P** : om. **BF** **9** ἀγαθήνορος **D**, *Frob.* : ἀγαθάνορος **BPF** et *Suda* | χαλκηδόνιος **N**, *Frob.* : καλχηδόνιος **BPF** et P. Herc. 1021, col. 6.44 **11** φασὶ **BP** : om. **FΦ** **12** συγκρίνεσθαι **B** **14** ἦν addidi (habet **Φ**) **15** αὐτὸν **F**

πλεῖστα· καὶ εἴ ποτε μέλλοι ἐς ἄστυ ἀνιέναι, φασὶ τοὺς θορυβώδεις πάντας καὶ προυνίκους ὑποστέλλειν αὐτοῦ τῇ παρόδῳ.

Καί ποτε καὶ Φρύνην τὴν ἑταίραν ἐθελῆσαι πειρᾶσαι 7 αὐτόν, καὶ δῆθεν διωκομένην ὑπό τινων καταφυγεῖν εἰς τὸ οἰκίδιον ⟨αὐτοῦ⟩. Τὸν δὲ ἕνεκα τοῦ ἀνθρωπίνου εἰσδέξασθαι, καὶ ἑνὸς ὄντος κλινιδίου δεομένῃ μεταδοῦναι τῆς κατακλίσεως· καὶ τέλος πολλὰ ἐκλιπαροῦσαν ἄπρακτον ἀναστῆναι. Λέγειν τε πρὸς τοὺς πυνθανομένους ὡς οὐκ ἀπ' ἀνδρός, ἀλλ' ἀπ' ἀνδριάντος ἀνασταίη. Ἔνιοι δὲ Λαΐδα φασὶ παρακατακλῖναι αὐτῷ τοὺς μαθητάς· τὸν δὲ οὕτως εἶναι ἐγκρατῆ, ὥστε καὶ τομὰς καὶ καύσεις πολλάκις ὑπομεῖναι περὶ τὸ αἰδοῖον.

Ἦν δὲ καὶ ἀξιόπιστος σφόδρα, ὥστε μὴ ἐξὸν ἀνώμοτον μαρτυρεῖν, τούτῳ μόνῳ συνεχώρουν Ἀθηναῖοι. Καὶ 8 δὴ καὶ αὐταρκέστατος ἦν. Ἀλεξάνδρου γοῦν συχνὸν ἀργύριον ἀποστείλαντος αὐτῷ, τρισχιλίας Ἀττικὰς ἀφελὼν τὸ λοιπὸν ἀπέπεμψεν εἰπὼν ἐκείνῳ πλειόνων δεῖν πλείονας τρέφοντι. Ἀλλὰ καὶ ⟨τὸ⟩ ὑπ' Ἀντιπάτρου πεμφθὲν μὴ προσέσθαι, ὥς φησι Μυρωνιανὸς ἐν Ὁμοίοις. Καὶ χρυσῷ στεφάνῳ τιμηθέντα ἐπάθλῳ πολυποσίας τοῖς Χουσὶ παρὰ

4 Καί ποτε – **10** ἀνασταίη : Val. Max. 4.3 ext. 3 **16** Ἀλεξάνδρου – **19** τρέφοντι : cf. Val. Max. *ib.* **20** Myroniani Fr. 3 (*FHG* IV, 45) **20** Καὶ – **p. 262.2** εἴωθε : P. Herc. 1021, col. 8.30–4.3; Athen. 10, 437 BC

1 μέλλει **B** | ἀνιέναι **BFP**[5] : ἀπιέναι **P**[1] et *Suda* : παριέναι (omisso ἐς ἄστυ) **Φ** **2** προυνίκους **BP**[1] (προυνείκους *Suda*, προνείκους **Φ**) : πορνικοὺς **FP**[4] (ss.) **H** **6** αὐτοῦ addidi | εἰσδέξασθαι αὐτὴν *Suda* **9** διαναστῆναι **Φ** **10** δὲ καὶ **F** **12** κλύσεις **B**[1], κλαύσεις ss. **B**[2] **18** ἐπέπεμψεν **B** | ἐκεῖνο **F** **19** τὸ add. Cobet **20** ὥς del. Madvig **21** χουσὶ **BP**[1] : κατασχοῦσι **FP**[3]**W**

Διονυσίῳ ἐξιόντα θεῖναι πρὸς τὸν ἱδρυμένον Ἑρμῆν, ἔνθαπερ τιθέναι καὶ τοὺς ἀνθινοὺς εἴωθε.

Λόγος δὲ αὐτὸν μετὰ καὶ ἄλλων πεμφθῆναι πρεσβευτὴν πρὸς Φίλιππον· καὶ τοὺς μὲν δώροις μαλθασσομένους καὶ ἐς τὰς κλήσεις συνιέναι καὶ τῷ Φιλίππῳ λαλεῖν· τὸν δὲ μηδέτερον τούτων ποιεῖν. Οὔτε γὰρ ὁ Φίλιππος αὐτὸν
9 προσίετο διὰ τοῦτο. Ὅθεν ⟨ἀν⟩ελθόντας τοὺς πρέσβεις εἰς τὰς Ἀθήνας φάσκειν ὡς μάτην αὐτοῖς Ξενοκράτης συνεληλύθοι· καὶ τοὺς ἑτοίμους εἶναι ζημιοῦν αὐτόν. Μαθόντας δὲ παρ' αὐτοῦ ὡς νῦν καὶ μᾶλλον φροντιστέον εἴη τῆς πόλεως αὐτοῖς (τοὺς μὲν γὰρ ᾔδει δωροδοκήσαντας ὁ Φίλιππος, ἐμὲ δὲ μηδενὶ λόγῳ ὑπαξόμενος) φασὶ διπλασίως αὐτὸν τιμῆσαι. Καὶ τὸν Φίλιππον δὲ λέγειν ὕστερον ὡς μόνος εἴη Ξενοκράτης τῶν πρὸς αὐτὸν ἀφιγμένων ἀδωροδόκητος. Ἀλλὰ καὶ πρεσβεύων πρὸς Ἀντίπατρον περὶ αἰχμαλώτων Ἀθηναίων κατὰ τὸν Λαμιακὸν πόλεμον, καὶ κληθεὶς ἐπὶ δεῖπνον πρὸς αὐτὸν προηνέγκατο ταυτί·

Ὦ Κίρκη, τίς γάρ κεν ἀνήρ, ὃς ἐναίσιμος εἴη,
πρὶν τλαίη πάσσασθαι ἐδητύος ἠδὲ ποτῆτος
πρὶν λύσασθ' ἑτάρους καὶ ἐν ὀφθαλμοῖσιν ἰδέσθαι;

Καὶ τὸν ἀποδεξάμενον τὴν εὐστοχίαν εὐθὺς ἀνεῖναι.

15 Ἀλλὰ – **21** cf. S.E. *Adv. math.* 1.295 **18–20** *Odyss.* 10.383–385

1 θῆναι **B** | ἱδρυμένον **BP** et Athen. : εἰρημένον **F** **2** εἴωθε(ν) **BPF** : εἰώθει P. Herc. 4.2, Athen. et Cobet **5** ἐς **BP F** : εἰς Cobet **7** προσείετο **B** | διὰ τοῦτο om. **P**[1], ss. add. **P**[5] | ⟨ἀν⟩ελθόντας scripsi : ἐλθόντας **BPF** **10** εἴη **F** : εἶναι **BP** **11** δωροδοκήσαντας **BF** : δωροδοκῆσαι **P**[1] : δωροδοκήσων **P**[5] et Madvig | ὁ om. **B** **12** ὑπαξόμενος **F** : ἐπαξόμενος **BP** **14** εἴη ξένος **F** **18** ὃς om. **F** | αἰνέσιμος **B** **19** πρὶν ss. **B**[2] | πάσασθαι **BPΦ** : παύσεσθαι **F** | ποτῆος **F**[1], corr. **F**[2] **20** ἑταίρους **BPFΦ**, corr. *Frob.*

10 Στρουθίου δέ ποτε διωκομένου ὑπὸ ἱέρακος καὶ εἰσπηδήσαντος εἰς τοὺς κόλπους αὐτοῦ, καταψήσας μεθῆκεν, εἰπὼν τὸν ἱκέτην δεῖν μὴ ἐκδιδόναι. Σκωπτόμενος ὑπὸ Βίωνος οὐκ ἔφη αὐτῷ ἀποκρινεῖσθαι· μηδὲ γὰρ τὴν τραγῳδίαν ὑπὸ τῆς κωμῳδίας σκωπτομένην ἀποκρίσεως ἀξιοῦν. Πρός τε τὸν μήτε μουσικὴν μήτε γεωμετρικὴν μήτε ἀστρονομικὴν μεμαθηκότα, βουλόμενον δὲ παρ' αὐτὸν φοιτᾶν, "Πορεύου," ἔφη· "λαβὰς γὰρ οὐκ ἔχεις φιλοσοφίας." Οἱ δὲ τοῦτό φασιν εἰπεῖν· "Παρ' ἐμοὶ γὰρ πόκος οὐ κνάπτεται."

11 Εἰπόντος δὲ Διονυσίου πρὸς Πλάτωνα ὡς ἀφαιρήσει τις αὐτοῦ τὸν τράχηλον, παρὼν οὗτος καὶ δείξας τὸν ἴδιον, "Οὐκ ἄν γε," ἔφη, "τὶς πρότερον τούτου." Φασὶ καὶ Ἀντιπάτρου ποτὲ ἐλθόντος εἰς Ἀθήνας καὶ ἀσπασαμένου αὐτόν, μὴ πρότερον ἀντιπροσαγορεῦσαι πρὶν ἢ τὸν λόγον ὃν ἔλεγε διαπεράνασθαι. Ἀτυφότατος δὲ ὢν πολλάκις τῆς ἡμέρας ἐμελέτα ἑαυτῷ, καὶ ὥραν μίαν, φασίν, ἀπένεμε σιωπῇ.

Καὶ πλεῖστα ὅσα καταλέλοιπε συγγράμματα καὶ ἔπη καὶ παραινέσεις, ἅ ἐστι ταῦτα·

1–3 μὴ ἐκδιδόναι : Ael. *V.H.* 13.31 **3** Σκωπτόμενος – **5** ἀξιοῦν : Bionis T 22 Kindstrand **6** Πρὸς – **8** φιλοσοφίας : Arsen. *Violetum*, p. 374 Walz **8** λαβὰς – φιλοσοφίας : cf. Plut. *De virtute mor.* 452 D; Fr. 2 Heinze **11–13** τούτου : *Gnom. Vat.* 418 **19–p. 267.4** cf. Heinze, 157–159; H. Doerrie, *RE* IX A (1967) 1514–1518; Isnardi, 280 s.

4 γὰρ ss. $\mathbf{F}^2$ **5** σκωπτομένην σ- ss. $\mathbf{B}^2$ | ἀξιῶν **B** **6** τε $\mathbf{BP}^1\mathbf{F}$: δὲ $\mathbf{P}^2\mathbf{Q}$ | γεωμετρικὴν **BFΦ** et *Suda* : γεωμετρίαν **P** **7** ἀστρονομικὴν **BFΦ** : ἀστρονομίαν **P** et *Suda* **9** τοῦτον **F** | ἐμοῦ **B** | κόπος **F** **10** κνάμπτεται **Φ** **11** ἀφερήσει **B** **17** τῆς ἡμέρας ἐμελέτα ἑαυτῷ **F** (ἑαυτῷ ἐμελέτα Cobet) : ἑαυτῷ τῆς ἡμέρας ἐμελέτα (διεμελέτα **P**) **BPφ** 50 | φασὶν **P** : φησὶν **BF**

Περὶ φύσεως α′ β′ γ′ δ′ ε′ ς′,
Περὶ σοφίας ς′,
Περὶ πλούτου α′,
Ἀρκὰς α′,
Περὶ τοῦ ἀορίστου α′,
Περὶ τοῦ παιδίου α′,
12 Περὶ ἐγκρατείας α′,
Περὶ τοῦ ὠφελίμου α′,
Περὶ τοῦ ἐλευθέρου α′,
Περὶ θανάτου α′,
Περὶ ἑκουσίου α′,
Περὶ φιλίας α′ β′,
Περὶ ἐπιεικείας α′,
Περὶ τοῦ ἐναντίου α′ β′,
Περὶ εὐδαιμονίας α′ β′,
Περὶ τοῦ γράφειν α′,
Περὶ μνήμης α′,
Περὶ τοῦ ψεύδους α′,
Καλλικλῆς α′,
Περὶ φρονήσεως α′ β′,
Οἰκονομικὸς α′,
Περὶ σωφροσύνης α′,
Περὶ δυνάμεως νόμου α′,
Περὶ πολιτείας α′,
Περὶ ὁσιότητος α′,

20 cf. Clem. *Strom.* 2.24.1

4–5 Ἀρκὰς [α′] ⟨ἢ⟩ περὶ τοῦ ἀορίστου Doerrie **6** παιδίου **BP** : παι$^{δ'}$ **F** : ἀϊδίου coni. Heinze **10-11** Περὶ θανάτου [α′, Περὶ] ἑκουσίου coni. Doerrie (1516 n. 3) **12** φιλίας **BP** : ἐλευθερίας **F** **13** ἐπιεικίας **B** **14** τοῦ om. **F** **19** καλικλῆς **F** **19–20** Καλλικλῆς [α′] ⟨ἢ⟩ περὶ φρονήσεως Doerrie (conl. p. 265.25) **20** α′ **BP** : μία **F** **21** οἰκονομικῶς **F** **26** α′ **BP** : μία **F**

῞Οτι παραδοτὴ ἡ ἀρετὴ α´,
Περὶ τοῦ ὄντος α´,
Περὶ εἱμαρμένης α´,
Περὶ παθῶν α´,
Περὶ βίων α´,
Περὶ ὁμονοίας α´,
Περὶ μαθητῶν α´ β´,
Περὶ δικαιοσύνης α´,
Περὶ ἀρετῆς α´ β´,
Περὶ εἰδῶν α´,
Περὶ ἡδονῆς α´,
Περὶ ἡδονῆς α´ β´,
Περὶ βίου α´,
Περὶ ἀνδρείας α´,
Περὶ τοῦ ἑνὸς α´,
Περὶ ἰδεῶν α´,
Περὶ τέχνης α´,
Περὶ θεῶν α´ β´, **13**
Περὶ ψυχῆς α´ β´,
Περὶ ἐπιστήμης α´,
Πολιτικὸς α´,
Περὶ ἐπιστημοσύνης α´,
Περὶ φιλοσοφίας α´,
Περὶ τῶν Παρμενίδου α´,
Ἀρχέδημος ἢ περὶ δικαιοσύνης α´,
Περὶ τἀγαθοῦ α´,
Τῶν περὶ τὴν διάνοιαν α´ β´ γ´ δ´ ε´ ς´ ζ´ η´,
Λύσεις τῶν περὶ τοὺς λόγους α´ ι´,

18 cf. Cic. *N.D.* 1.34

3 ἱμαρμένης **B**[2] **4** τῶν παθῶν **BP** **8** post hunc tit. repetit **F** v. 14, sed erasit **16** ἡδεῶν **B** **25** ἀρχαίδημος **P** | α´ om. **P** **26** ἀγαθοῦ **P** **28** λύσεις Menagius (cf. p. 266.5) : λύσις **BPF** | α´ ι´ **BPF** : ι´ Cobet

Φυσικῆς ἀκροάσεως α′ β′ γ′ δ′ ε′ ς′,
Κεφάλαια α′,
Περὶ γενῶν καὶ εἰδῶν α′,
Πυθαγόρεια α′,
Λύσεις α′ β′,
Διαιρέσεις η′,
Θέσεων βιβλία κ′, ⟨στίχοι⟩ Μ. ,γ,
Τῆς περὶ τὸ διαλέγεσθαι πραγματείας βιβλία ιδ′, ⟨στίχοι⟩ μ(υριὰς) α′, ,βψμ′.
Μετὰ τοῦτο βιβλία ιε′ καὶ ἄλλα βιβλία ις′ περὶ μαθημάτων τῶν περὶ τὴν λέξιν,
Λογιστικῶν βιβλία θ′,
Τῶν περὶ τὰ μαθήματα βιβλία ς′,
Τῶν περὶ τὴν διάνοιαν ἄλλα βιβλία β′,
Περὶ γεωμετρικῶν βιβλία ε′,
Ὑπομνημάτων α′,
Ἐναντίων α′,
Περὶ ἀριθμῶν α′,
Ἀριθμῶν θεωρία α′,
Περὶ διαστημάτων α′,
14 Τῶν περὶ ἀστρολογίαν ς′ [στοιχεῖα],
Πρὸς Ἀλέξανδρον περὶ βασιλείας δ′,

8–9 cf. Cic. *Acad. pr.* 2.143 **22** cf. Plut. *Adv. Colot.* 1126 CD

2 κεφάλαια **BP** : κεφάλαιον **F** **4** πυθαγορία **B** **7** στίχοι post Fr. Ritschl add. Long | Μ. ,γ (i.e. 13,000) Ritschl (*Opusc. philol.* I, 192) : μ^{γ} **BPQ** : μ′ **F** : μύριοι γ′ (i.e. 30,000) Long **8** διαλέγεσθαι : δια- in mg **F**[1] **9** στίχοι post Fr. Ritschl add. Long | Μ. α′ ,βψμ′ (i.e. 12,740) Ritschl : μ^{α} ,βψμ **BP** : μ βψμ **F** **12** post θ′ addunt **BP** τῶν περὶ τὴν διάνοιαν ἄλλα βιβλία δ′ (cf. v. 14) **13** om. **F** **14** β′ **BP** : δύο **F** **15** γεωμετρικῶν **C** : γεωμετριῶν **BF** (cf. p. 267.10) : γεωμετρῶν **P** et *Frob.* **21–22** στοιχεῖα secl. Reiske : στοιχεῖα πρὸς ἀλέξανδρον **BPF**

Πρὸς Ἀρρύβαν,
Πρὸς Ἡφαιστίωνα,
Περὶ γεωμετρίας α′ β′,
Στίχοι μ(υριάδες) κβ′, ͵δσλθ′.

Ἀθηναῖοι δ' ὅμως αὐτὸν ὄντα τοιοῦτον ἐπίπρασκόν ποτε, τὸ μετοίκιον ἀτονοῦντα θεῖναι. Καὶ αὐτὸν ὠνεῖται Δημήτριος ὁ Φαληρεὺς καὶ ἑκάτερον ἀποκατέστησε· Ξενοκράτει μὲν τὴν ἐλευθερίαν, Ἀθηναίοις δὲ τὸ μετοίκιον. Τοῦτό φησι Μυρωνιανὸς ὁ Ἀμαστριανὸς ἐν τῷ πρώτῳ τῶν Ἱστορικῶν ὁμοίων κεφαλαίων. Διεδέξατο δὲ Σπεύσιππον καὶ ἀφηγήσατο τῆς σχολῆς πέντε καὶ εἴκοσιν ἔτη ἐπὶ Λυσιμαχίδου, ἀρξάμενος κατὰ τὸ δεύτερον ἔτος τῆς δεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος. Ἐτελεύτα δὲ νυκτὸς λεκάνῃ προσπταίσας, ἔτος ἤδη γεγονὼς δεύτερον καὶ ὀγδοηκοστόν. Φαμὲν δὲ καὶ εἰς τοῦτον οὑτωσί· 15

Χαλκῇ προσκόψας λεκάνῃ ποτὲ καὶ τὸ μέτωπον
πλήξας ἴαχεν "Ὦ" σύντονον, εἶτ' ἔθανεν,
ὁ πάντα πάντῃ Ξενοκράτης ἀνὴρ γεγώς.

Γεγόνασι δὲ καὶ ἄλλοι Ξενοκράτεις ἕξ· ὅ τε τακτικὸς ἀρχαῖος σφόδρα ⟨*⟩ καὶ ὁ συγγενὴς ἅμα καὶ πολίτης τῷ

5–8 τὸ μετοίκιον : Demetrii Fr. 44 Wehrli. Cf. Plut. *T. Flam.* 12.7; *Vitae decem orat.* 842 B **9–10** Myroniani Fr. 4 (*FHG* IV, 455) **12–13** i.e. 339–338. Cf. *FGrHist* 244 F 345 **16–18** *Anth. Pal.* 7.102

1 ἀρρύβαν **F** : ἀρύββαν **B** : ἀρύβαν **P** **4** Μ. κβ′ ͵δσλθ′ Ritschl : $μ^{κβ}$ ͵δσλθ **P** : · · · δσλθ **B** : μδ. κβ σλθ **F** **7** ἀπεκατέστησε **B** **9** μυρρωνιανὸς **F** **10** ἱστορικῶν **PF** : ἱστοριῶν **B** **12** λυσιμαχίδου **BF**^{1} ut vid. : λυσιμάχου **PF**^{2} **14** post προσπταίσας addit χαλκῇ **Φ** (ex v. 16) **17** ἀίαχεν *Pal.* | ὦ **PF** : ω **B**^{1} : ὡς **B**^{2} et *Pal.* **18** ὁ om. *Pal.* | πάντῃ **BPF** : παντὶ *Pal.* | γεγώς **B** et *Pal.* : γεγονὼς **PF** **19** ἕξ Menagius, agn. Cobet : πέντε **BP** : ε′ **F** **20** post σφόδρα lac. indic. Cobet

προειρημένῳ φιλοσόφῳ· φέρεται δὲ αὐτοῦ λόγος Ἀρσινοητικός, γεγραμμένος περὶ Ἀρσινόης ἀποθανούσης. Τέταρτος φιλόσοφος, ἐλεγείαν γεγραφὼς οὐκ ἐπιτυχῶς. Ἴδιον δέ· ποιηταὶ μὲν γὰρ ἐπιβαλλόμενοι πεζογραφεῖν ἐπιτυγχάνουσι· πεζογράφοι δὲ ἐπιτιθέμενοι ποιητικῇ πταίουσι· τῷ δῆλον τὸ μὲν φύσεως εἶναι, τὸ δὲ τέχνης ἔργον. Πέμπτος ἀνδριαντοποιός· ἕκτος ᾄσματα γεγραφώς, ὥς φησιν Ἀριστόξενος.

ΠΟΛΕΜΩΝ

16 Πολέμων Φιλοστράτου μὲν ἦν υἱός, Ἀθηναῖος, τῶν δήμων Οἴηθεν· νέος δ' ὢν ἀκόλαστός τε καὶ διακεχυμένος ἦν οὕτως, ὥστε καὶ περιφέρειν ἀργύριον πρὸς τὰς ἑτοίμους λύσεις τῶν ἐπιθυμιῶν. Ἀλλὰ καὶ ἐν τοῖς στενωποῖς διέκρυπτεν· καὶ ἐν Ἀκαδημίᾳ πρὸς κίονί τινι τριώβολον εὑρέθη προσπεπλασμένον αὐτοῦ διὰ τὴν ὁμοίαν τῇ προειρημένῃ πρόφασιν. Καί ποτε συνθέμενος τοῖς νέοις μεθύων καὶ ἐστεφανωμένος εἰς τὴν Ξενοκράτους ᾖξε σχολήν· ὁ δὲ οὐδὲν διατραπεὶς εἶρε τὸν λόγον ὁμοίως· ἦν δὲ περὶ σωφροσύνης. Ἀκοῦον δὴ τὸ μειράκιον κατ' ὀλίγον ἐθηράθη

7–8 Aristoxeni Fr. 126 Wehrli **10–p. 272.6** ed. M. Gigante (1977) **10–13** ἐπιθυμιῶν : cf. P. Herc. 1021, col. 4.43–45; 13.7–10 **16** Καί ποτε – **18** σωφροσύνης : cf. P. Herc. 1021, col. 13.1–3; Val. Max. 6.6.15 ext. 1; Luc. *Bis acc.* 16

1 ἀρσενοειτικὸς **B** **3** ἐλεγεῖον **F** **4** ἐπιβαλλόμενοι **PF** : ἐπιλαβόμενοι **B** **6** τῷ **PF** : τὸ **B** **9** *tit.* **P** : om. **BF** **10** πολέμων – υἱός in ras. **B**^{2} **12** οὕτως **BPΦ** : οὗτος **F** **14** καὶ **F** : ἀλλὰ καὶ **BP** **15** προσπεπηγμένον coni. Menagius | τὴν secl. Wilamowitz **16** συνθέμενος **B**^{1}**P** **F** : συνθέων in mg **B**^{2} et coni. Menagius **17** ᾖξε Cobet : ἧξε **BPF** : ἦξε **Φ** **18** εἶρε **BFΦ** : ἦρε **P** : ἦγε Richards **19** ἀκοῦον **PFΦ** : ἀκούων **B**

καὶ οὕτως ἐγένετο φιλόπονος, ὡς ὑπερβαλέσθαι τοὺς ἄλλους καὶ αὐτὸν διαδέξασθαι τὴν σχολήν, ἀρξάμενον ἀπὸ τῆς ἕκτης καὶ δεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος.

17 Φησὶ δὲ Ἀντίγονος ὁ Καρύστιος ἐν τοῖς Βίοις τὸν πατέρα αὐτοῦ πρῶτόν τε εἶναι τῶν πολιτῶν καὶ ἁρματοτροφῆσαι. Φυγεῖν δὲ τὸν Πολέμωνα καὶ δίκην κακώσεως ὑπὸ τῆς γυναικός, ὡς μειρακίοις συνόντα. Τοσοῦτον δὲ ἐπιτεῖναι τὸ ἦθος ἀρξάμενον φιλοσοφεῖν, ὥστε ἐπὶ ταὐτοῦ σχήματος τῆς μορφῆς πάντοτε μένειν. Ἀλλὰ καὶ τὴν φωνὴν ἀναλλοίωτος ἦν· διὸ καὶ θηραθῆναι Κράντορα ὑπ' αὐτοῦ. Κυνὸς γοῦν λυττῶντος [καὶ] τὴν ἰγνύαν ⟨αὐτοῦ⟩ [τινὸς] διασπάσαντος μόνον μὴ ὠχριᾶσαι· καὶ ταραχῆς γενομένης ἐπὶ τῆς πόλεως πυθομένων τὸ γενόμενον ἄτρεπτον μεῖναι.

18 Ἔν τε τοῖς θεάτροις ἀσυμπαθέστατος ἦν. | Νικοστράτου γοῦν ποτε τοῦ ἐπικαλουμένου Κλυταιμνήστρα ἀναγινώσκοντός τί του ποιητοῦ αὐτῷ τε καὶ Κράτητι, τὸν μὲν

2 διαδέξασθαι : P. Herc., col. 4.14–16 **2–3** i.e. 316–312. Cf. *FGrHist* 244 F 346 a **4** cf. Wilamowitz, *Antigonos,* 63–66 **4** τὸν πατέρα – **7** συνόντα : cf. P. Herc., col. 4.38–43; 13.3–7 **7** Τοσοῦτον δὲ – **10** ἦν : cf. P. Herc., col. 13.10–19 **11** Κυνὸς – **14** μεῖναι : cf. P. Herc., col. 13.20–33 **15** cf. P. Herc., col. 13.38–41 **15** Νικοστράτου – **p. 270.1** μὴ ἀκοῦσαι : *TrGF* I, Nr. 252

1 ὑπερβαλέσθαι **PΦ** : ὑπερβαλλέσθαι (sic) **BF** **2** ἀρξάμενον **PF** : ἀρξάμενος **B** **3** καί^2 om. **B** **5** τε om. **F** **11** λυττῶντος **BFΦ** : ἄττοντος **P**^{1}, corr. **P**^{5} | καὶ del. Wilamowitz : om. **Φ** | ἰγνοίαν **B** : ἰγνύην **Φ** | αὐτοῦ addidi ex P. Herc. 1021, col. 13.24 **12** τινὸς **BP**^{1}**FΦ**, del. **P**^{4}**H** et Menagius **13** γενομένης **BPF** : γεγονυίας **Φ** | πυθομένων Cobet : πυθόμενον **BPFΦ** | γενόμενον **PΦ** : γινόμενον **B F** : γεγονὸς Cobet **16** οὖν **F** | κλυταιμνήστρα **PF** : κλυταιμήστρα **B** **17** του scripsi : τοῦ **BPF** (i.e. Homeri, Snell)

συνδιατίθεσθαι, τὸν δ' ἴσα καὶ μὴ ἀκοῦσαι. Καὶ ὅλως ἦν τοιοῦτος οἷόν φησι Μελάνθιος ὁ ζωγράφος ἐν τοῖς Περὶ ζωγραφικῆς· φησὶ γὰρ δεῖν αὐθάδειάν τινα καὶ ξηρότητα τοῖς ἔργοις ἐπιτρέχειν, ὁμοίως δὲ κἀν τοῖς ἤθεσιν. Ἔφασκε δὴ ὁ Πολέμων δεῖν ἐν τοῖς πράγμασι γυμνάζεσθαι καὶ μὴ ἐν τοῖς διαλεκτικοῖς θεωρήμασι, καθάπερ ἁρμονικόν τι τεχνίον καταπιόντα καὶ ⟨μὴ⟩ μελετήσαντα, ὡς κατὰ μὲν τὴν ἐρώτησιν θαυμάζεσθαι, κατὰ δὲ τὴν διάθεσιν ἑαυτοῖς μάχεσθαι.

Ἦν οὖν ἀστεῖός τις καὶ γενναῖος, παρῃτημένος ἅ φησιν Ἀριστοφάνης περὶ Εὐριπίδου, "ὀξωτὰ καὶ σιλφιωτά·"
19 ἅπερ, ὡς αὐτός φησι,

καταπυγοσύνη ταῦτ' ἐστὶ πρὸς κρέας μέγα.

Ἀλλὰ μὴν οὐδὲ καθίζων ἔλεγε πρὸς τὰς θέσεις, φασί, περιπατῶν δὲ ἐπεχείρει. Διὰ δὴ οὖν τὸ φιλογενναῖον ἐτιμᾶτο ἐν τῇ πόλει. Οὐ μὴν ἀλλὰ καὶ ἐκπεπατηκὼς ἦν διατρίβων ἐν τῷ κήπῳ, παρ' ὃν οἱ μαθηταὶ μικρὰ καλύβια

1 Καὶ – **4** τοῖς ἤθεσιν : cf. P. Herc., col. 13.43–14.3; *FHG* IV, 445 **4** Ἔφασκε – **9** cf. P. Herc., col. 14.3–7 **10** cf. P. Herc., col. 14.7–10 et 24; 13.43–44 **11–13** Aristoph. Fr. 128 (*PCG* III.2) **16** Οὐ μὴν – **p. 271.1** τῆς Ἐξέδρας : cf. P. Herc., col. 14.12–16 et 35–41; Plut. *De exilio* 603 BC

1 ὅλως **P** : ὅλος **BF** **2** μελάνθιος **BPF** : μέλανθος Pap. (col. 14.1) **3** αὐθάδιαν **B** | ξηρότητα **BF** et Pap. (col. 14.44–45) : σκληρότητα **P**, Cobet **4** κἀν **BPF** : καὶ Wilamowitz **5** δὴ **BP** : δὲ **F** **7** μὴ add. Cobet **10** οὖν **BPF** : οὐκ Gigante | καὶ γενναῖος **BPF** : γενναῖος δὲ Gigante **11** εὐριπίδου ὀξῶτα (ὀξωτα **P**) **BP** : εὐοξότην **F** | ὀξωτὰ Salmasius (*Ad Solinum,* 368) ex Poll. 6.69 : ὀζωτὰ *Suda* | σιλφιωτὰ Salmasius ex Poll. (FS) : σιλφωτα **F** : στιλφῶτα **BP**, στιλφωτὰ *Suda* **13** ταῦτα **BPF**, corr. Menagius **14** καθέζων **F** **15** ἐπεχείρει ss. **F**[2] | δὴ om. **F** **16** ἐκπεπατικὸς **B**

ποιησάμενοι κατῴκουν πλησίον τοῦ Μουσείου καὶ τῆς Ἐξέδρας. Ὡς ἐῴκει δή, ὁ Πολέμων κατὰ πάντα ἐζηλώκει τὸν Ξενοκράτην· καὶ ἐρασθῆναι αὐτοῦ φησιν Ἀρίστιππος ἐν τετάρτῳ Περὶ παλαιᾶς τρυφῆς. Ἀεὶ γοῦν ἐμέμνητο ὁ Πολέμων αὐτοῦ, τήν τε ἀκακίαν καὶ τὸν αὐχμὸν ἐνεδέδυτο τἀνδρὸς καὶ τὸ βάρος οἱονεὶ Δώριόν τιν' ἁρμονίαν.
Ἦν δὲ καὶ φιλοσοφοκλῆς, καὶ μάλιστα ἐν ἐκείνοις ὅπου **20**
κατὰ τὸν κωμικὸν τὰ ποιήματα αὐτῷ

κύων τις ἐδόκει συμποεῖν Μολοττικός,

καὶ ἔνθα ἦν κατὰ τὸν Φρύνιχον

οὐ γλύξις οὐδ' ὑπόχυτος, ἀλλὰ Πράμνιος.

Ἔλεγεν οὖν τὸν μὲν Ὅμηρον ἐπικὸν εἶναι Σοφοκλέα, ⟨τὸν⟩ δὲ Σοφοκλέα Ὅμηρον τραγικόν.

2 Ὡς ἐῴκει – **3** τὸν Ξενοκράτην : cf. P. Herc., col. 14.41–45 **3–4** *FHG* II, 79 **6** Δώριόν τιν' ἁρμονίαν : cf. P. Herc., col. 14.10–12 καὶ Πινδάρειος ὀργιαστὴς ἁρμονίας, ὡς ἂν εἴποι τις **7** Ἦν δὲ – **11** cf. P. Herc., col. 14.45–15.3 **9** Aristoph. Fr. 958 (*PCG* III.2) **11** Phrynichi Fr. 68 (*PCG* VII) **12–13** Sophoclis T 115 ab Radt

2 ὡς ἐῴκει **P** : ὡς ἔωκε **B** : ἕως ἐώκει **F** : ἐώκει Cobet | κατὰ πάντα in mg **F**[2] | ἐζηλώκει **BP** : ἐζηλωκέναι **F**, Cobet | post ἐζηλωκέναι addit κατὰ πάντα **F**[1] **3** φησὶν αὐτοῦ **BPF**, transp. Huebner **4** ἐν **BP** : δὲ ἐν τῷ **F** **6** Δώριόν τιν' ἁρμονίαν scripsi : δώριός τις οἰκονομία **BPF** et *Suda* : Δώριός τις ἁρμονία iam Florens Christianus : Δωρίας τινὸς ἁρμονίας G. Hermann : τῆς Δωριστὶ ἁρμονίας Cobet, agn. Wilamowitz **8** τὰ ποιήματα αὐτῷ in mg **F**[2] **9** συμποεῖν **BP**[1] et *Suda* : συμποιεῖν **FP**[3]**WH** **11** γλύξις **B** : γλῦξις **F** : γαῦξις **P** : γλυκὺς *Suda* | πράμνειος **F** **12** ἐπεικὸν **B** **13** ⟨τὸν⟩ δὲ Σοφοκλέα Ὅμηρον τραγικόν Cobet e *Suda* : σοφοκλέα δὲ εἶναι ὅμηρον τραγικόν **Φ** : ὅμηρον δὲ σοφοκλέα τραγικόν **BPF**

Ἐτελεύτησε δὲ γηραιὸς ἤδη ὑπὸ φθίσεως, ἱκανὰ συγγράμματα καταλιπών. Καὶ ἔστιν ἡμῶν εἰς αὐτόν·

Οὐκ ἀΐεις; Πολέμωνα κεκεύθαμεν, ὃν θέτο τῇδε
ἀρρωστίη, τὸ δεινὸν ἀνθρώποις πάθος.
Οὐ μᾶλλον Πολέμωνα, τὸ σῶμα δέ· τοῦτο γὰρ αὐτὸς
μέλλων ἐς ἄστρα διαβαλεῖν θῆκεν χαμαί.

ΚΡΑΤΗΣ

21 Κράτης πατρὸς μὲν ἦν Ἀντιγένους, ⟨Ἀθηναῖος⟩, Θριάσιος δὲ τῶν δήμων, καὶ ἀκροατὴς ἅμα καὶ ἐρώμενος Πολέμωνος· ἀλλὰ καὶ διεδέξατο τὴν σχολὴν αὐτοῦ. Καὶ οὕτως ἀλλήλω ἐφιλείτην, ὥστε καὶ ζῶντε οὐ μόνον τῶν αὐτῶν ἤστην ἐπιτηδευμάτων, ἀλλὰ καὶ μέχρι σχεδὸν ἀποπνοῆς ἐξωμοιώσθην ἀλλήλοιν καὶ θανόντε τῆς αὐτῆς

3–6 *Anth. Pal., App.* 2.380 Cougny **9–10** ἐρώμενος Πολέμωνος : cf. P. Herc., col. 15.31–46 **10** διεδέξατο τὴν σχολὴν αὐτοῦ : cf. P. Herc., col. Q.1–2

1 γηραιὸς ἤδη ex corr. **F**² **2** λιπὼν **B** **3** οὐκ ἀΐεις **P** et *Anth.* : οὐ καὶ εἰς **BF** | κεκεύθαμεν ὃν : κεκευθαμένον **B** **4** ἀρρωστίη Cobet ex *Anth.* : ἀρρωστεία ἢ **B** : ἀρρωστία ἢ **P**¹ (ἢ del. **P**⁵) : ἀρρωστία· ἢ **F** **5** πολέμωνα **BP** et *Anth.* : πολέμων ἢ **F** | δὲ **D** et *Anth.* : om. **BPF** **6** μέλλων **BPF** : βαίνων Cobet ex *Anth.* | διαβαλεῖν G. Hermann : διαβαίνειν **FP⁴H** : διάβορον Cobet ex *Anth.* : διάβορος **B** : διαβρὸς **P¹QW** | θῆκαι **F**¹ (corr. **F**²) **7** *tit.* **P** : om. **F** et **B** (spatio relicto) **8** κράτης – **9** δὲ **B**² in ras. **8** Ἀθηναῖος add. Cobet | θράσιος **B** **9** τὸν δῆμον **B** | καὶ¹ **BP** : om. **F** **10** αὐτὸν **B** **11** ἀλλήλω ἐφιλείτην Palmer, Menagius ex **φ** (ἐφιλήτην ἀλλήλω) : ἀλληλωφελείτην **BP** : ἀλληλωφελέτην **F** : ἀλλήλους ὠφελείτην **P²Q** **11–12** τῶν αὐτῶν ss. **F**² **13** ἀποπνοῆς Madvig : ἀναπνοῆς **BPFφ** | ἐξωμοιούσθην **F**¹, ἐξομοιούσθην **P⁴H** : ἐξομοιότην **B**, ἐξωμοιότην **P¹QWφ** et γρ. **F**²

ταφῆς ἐκοινωνείτην. Ὅθεν Ἀνταγόρας εἰς ἄμφω τοῦτον ἐποίησε τὸν τρόπον·

Μνήματι τῷδε Κράτητα θεουδέα καὶ Πολέμωνα
ἔννεπε κρύπτεσθαι, ξεῖνε, παρερχόμενος,
ἄνδρας ὁμοφροσύνῃ μεγαλήτορας, ὧν ἀπὸ μῦθος
ἱερὸς ἤϊσσεν δαιμονίου στόματος,
καὶ βίοτος καθαρὸς σοφίας ἐπὶ θεῖον ἐκόσμει
αἰῶν', ἀστρέπτοις δόγμασι πειθόμενος.

Ἔνθεν καὶ Ἀρκεσίλαον μετελθόντα παρὰ Θεοφράστου 22
πρὸς αὐτοὺς λέγειν ὡς εἶεν θεοί τινες ἢ λείψανα τῶν ἐκ τοῦ χρυσοῦ γένους. Καὶ γὰρ ἤστην οὐ φιλοδημώδεε· ἀλλ' οἷον Διονυσόδωρόν ποτέ φασι τὸν αὐλητὴν εἰπεῖν, σεμνυνόμενον ἐπὶ τῷ μηδένα τῶν κρουμάτων αὐτοῦ μήτ' ἐπὶ τριήρους μήτ' ἐπὶ κρήνης ἀκηκοέναι, καθάπερ Ἰσμηνίου. Συσσίτιον δὲ αὐτῷ φησιν ὁ Ἀντίγονος εἶναι παρὰ Κράντορι, ὁμονόως συμβιούντων τούτων τε καὶ Ἀρκεσιλάου. Τὴν δὲ οἴκησιν Ἀρκεσίλαον μὲν ἔχειν μετὰ Κράντορος,

3–8 *Anth. Pal.* 7.103; Antagorae Fr. 2 Powell; Fr. 1 Gow-Page. Cf. P. Von der Muehll, *Mus. Helv.* 19 (1962) 28–31 **9** Ἔνθεν – **11** γένους : cf. P. Herc., col. 15.3–10 **15** Συσσίτιον – **p. 274.2** τῶν πολιτῶν : Wilamowitz, *Antigonos*, 67

1 ἐκοινωνείτην **P^4H** : κοινωνήτην **Bφ** : κοινωνείτην **P^1F** **3–4** om. *Pal.* **5** ὃν **F** | ἀπὸ **F** : ἄπο **BP** **6** ἤϊσσεν Jacobs : ἤϊσεν **B^2P^5** : ἤισε **P^1F** : ἤεισεν *Pal.*, **V** et *Frob.* **8** αἰῶν' ἀστρεπτοῖς *Pal.*[1], Jacobs : αἰῶνα **B^2** et τρεπτοῖς **B^1** : αἰῶνα στρεπτοῖς **PF** et *Pal.*[corr.] | πειθόμενος **BPF** et *Pal.* : πειθομένους Von der Muehll, agn. Gow-Page **11** φιλοδημώδεε **P^4H** : φιλοδημώδε **BP^1Q** : φιλοδημώδει **F^2** **12** οἷον **BP** : ὥσπερ **F** | αὐλητὴν **BPF** γρ. : ἀθλητὴν **F** **13** τὸ **FB^1** (corr. **B^2**) | μηδένα *Frob.* et *Suda* : μηδὲν **BPFφ** **14** ἀκηκοέναι ss. **P^4H** | εἰσμηνίου **B** **15** συσσείτειον **B** | φησιν αὐτῷ (αὐτὸν **F**) **BPF**, transposui | κράντωρι **F**

Πολέμωνα δὲ σὺν Κράτητι μετὰ Λυσικλέους τινὸς τῶν πολιτῶν. Ἦν δέ, φησίν, ἐρώμενος Κράτης μέν, ὡς προείρηται, Πολέμωνος· Ἀρκεσίλαος δὲ Κράντορος.

23 Τελευτῶν δὴ ὁ Κράτης ⟨κατὰ τὸ ⟨*⟩ ἔτος τῆς η΄ καὶ κ΄ καὶ ρ΄ Ὀλυμπιάδος⟩, καθά φησιν Ἀπολλόδωρος ἐν τρίτῳ Χρονικῶν, ἀπέλιπε βιβλία τὰ μὲν φιλοσοφούμενα, τὰ δὲ περὶ κωμῳδίας, τὰ δὲ λόγους δημηγορικοὺς καὶ πρεσβευτικούς. Ἀλλὰ καὶ μαθητὰς ἐλλογίμους· ὧν Ἀρκεσίλαον, περὶ οὗ λέξομεν (διήκουσε γὰρ καὶ τούτου) καὶ Βίωνα τὸν Βορυσθενίτην, ὕστερον δὲ Θεοδώρειον ἀπὸ τῆς αἱρέσεως ἐπικαλούμενον, περὶ οὗ καὶ αὐτοῦ λέξομεν ἐχομένως Ἀρκεσιλάου.

Γεγόνασι δὲ Κράτητες δέκα· πρῶτος ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητής, δεύτερος ῥήτωρ Τραλλιανὸς Ἰσοκράτειος, τρίτος ταφρωρύχος Ἀλεξάνδρῳ συνών, τέταρτος ὁ Κύων, περὶ οὗ λέξομεν, πέμπτος φιλόσοφος Περιπατητικός, ἕκτος Ἀκαδημαϊκὸς ὁ προειρημένος, ἕβδομος Μαλλώτης, γραμματικός, ὄγδοος γεωμετρικὰ γεγραφώς, ἔνατος ἐπιγραμμάτων ποιητής, δέκατος Ταρσεύς, φιλόσοφος Ἀκαδημαϊκός.

ΚΡΑΝΤΩΡ

24 Κράντωρ Σολεὺς θαυμαζόμενος ἐν τῇ ἑαυτοῦ πατρίδι ἀπῆρεν εἰς Ἀθήνας καὶ Ξενοκράτους διήκουσε Πολέμωνι

2 ὡς προείρηται : 4.21 **4–6** *FGrHist* 244 F 14 **15-16** τέταρτος ὁ Κύων : cf. 6.85–93 **17** ἕβδομος : T 2 Mette **22–p. 277.13** ed. Mette, *Lustrum* 26 (1984), T 1a **22–23** cf. P. Herc., col. 16.1–8 et 15–18

4–5 κατὰ τὸ ⟨*⟩ ἔτος τῆς η΄ καὶ κ΄ καὶ ρ΄ Ὀλυμπιάδος suppl. Jacoby ex Apollodoro **9, 11 et 16** λέξωμεν **B** **9** δίωνα **F** **11** λέξειν **F** ut vid. **17** ἀκαδιμικὸς **B** **18** ἔννατος **BF** **19** ταρσεὺς **BFP**^{4}**H** : περσεὺς **P**^{1}**QW** **20** ἀκαδημιακὸς **F**^{2} **21** *tit.* κράντωρ **P** : κάντωρ **B**^{2} (sed om. v. 22 κράντωρ) : κράτωρ **F** in mg **22** κράτωρ **F**

συσχολάζων. Καὶ κατέλιπεν ὑπομνήματα εἰς μυριάδας στίχων τρεῖς, ὧν τινά τινες Ἀρκεσιλάῳ προσάπτουσι. Φασὶ δὲ αὐτὸν ἐρωτηθέντα τίνι θηραθείη ὑπὸ Πολέμωνος, εἰπεῖν τῷ μήτ' ὀξύτερον μήτε βαρύτερον ἀκοῦσαι φθεγγομένου. Οὗτος νοσήσας εἰς τὸ Ἀσκληπιεῖον ἀνεχώρησε κἀκεῖ περιεπάτει· οἱ δὲ πανταχόθεν προσῄεσαν αὐτῷ, νομίζοντες οὐ διὰ νόσον, ἀλλὰ βούλεσθαι αὐτόθι σχολὴν συστήσασθαι. Ὧν ἦν καὶ Ἀρκεσίλαος, θέλων ὑπ' αὐτοῦ συστῆναι Πολέμωνι, καίπερ ἐρῶντος, ὡς ἐν τῷ περὶ Ἀρκεσιλάου λέξομεν. Ἀλλὰ καὶ αὐτὸν ὑγιάναντα διακούειν **25** Πολέμωνος, ἐφ' ᾧ καὶ μάλιστα θαυμασθῆναι. Λέγεται δὲ καὶ τὴν οὐσίαν καταλιπεῖν Ἀρκεσιλάῳ, ταλάντων οὖσαν δυοκαίδεκα. Καὶ ἐρωτηθέντα πρὸς αὐτοῦ ποῦ βούλεται ταφῆναι, εἰπεῖν·

Ἐν γῆς φίλης ὄχθοισι κρυφθῆναι καλόν.

Λέγεται δὲ καὶ ποιήματα γράψαι καὶ ἐν τῇ πατρίδι ἐπὶ τῷ τῆς Ἀθηνᾶς ἱερῷ σφραγισάμενος αὐτὰ θεῖναι. Καί φησι Θεαίτητος ὁ ποιητὴς περὶ αὐτοῦ οὑτωσί·

Ἥνδανεν ἀνθρώποις, ὁ δ' ἐπὶ πλέον ἥνδανε Μούσαις
Κράντωρ, καὶ γήρως ἤλυθεν οὔτι πρόσω.

1 Καὶ – **2** προσάπτουσι : cf. P. Herc., col. 16.12–15 **13** Καὶ – **15** cf. P. Herc., col. 16.41–5.3 **15** *TrGF* II, Adesp. Fr. 281. Cf. Stob. 3.40.8 **19–p. 276.2** *Anth. Pal., App.* 2.28 Cougny

1 σχολάζων **F** **4** τὸ **F** | βραδύτερον **Φ** **5** τὸν **B** | ἀσκληπιεῖον **FP^{4}H** : ἀσκληπίδιον **BP^1** | ἀνεχώρισε **B** **6** περιεπάτη **B** **8** θέλων **PF** : τε ὂν **B** **10** λέξωμεν **B** **15** ἐν **BPF** : καὶ Stob. | φίλης **F^2** et Stob. : φίλοις **BPF^1** | ὄχθοισι **F^1** et Stob. : ἐχθροῖσι **BP^1** : μυχοῖσι **VF^{2}P^{4}H** **16** τῶ **P** : τὸ **BF** **17** αὐτὰ θεῖναι **BPF** : ἀναθεῖναι Wilamowitz (*Antigonos*, 68) **18** οὑτωσὶ περὶ αὐτοῦ **BP** **19** ὁ δὲ ἐπὶ **B** : ὅδε ἐπὶ **F** : ὅδε ἐπεὶ **P^2** | μούσαις **BP** : μούσας **FV** **20** γήρως **BP^{4}H** : γήρας **F** : ἥρως **P^{1}Q**

Γῆ, σὺ δὲ τεθνηῶτα τὸν ἱερὸν ἄνδρ' ὑπόδεξαι·
ἦ ῥ' ὅ γε καὶ κεῖθι ζώει ἐν εὐθενίῃ.

26 Ἐθαύμαζε δὲ ὁ Κράντωρ πάντων δὴ μᾶλλον Ὅμηρον καὶ Εὐριπίδην, λέγων ἐργῶδες ⟨εἶναι⟩ ἐν τῷ κυρίῳ τραγικῶς ἅμα καὶ συμπαθῶς γράψαι. Καὶ προεφέρετο τὸν στίχον τὸν ἐκ τοῦ Βελλεροφόντου·

Οἴμοι· τί δ' οἴμοι; Θνητά τοι πεπόνθαμεν.

Λέγεται δὲ καὶ Ἀνταγόρα τοῦ ποιητοῦ ὡς Κράντορος εἰς Ἔρωτα πεποιημένα φέρεσθαι ταυτί·

Ἐν δοιῇ μοι θυμός, ὅ τοι γένος ἀμφίσβητον,
ἤ σε θεῶν τὸν πρῶτον ἀειγενέων, Ἔρος, εἴπω,
τῶν ὅσσους Ἔρεβός τε πάλαι βασίλειά τε παῖδας
γείνατο Νὺξ πελάγεσσιν ὑπ' εὐρέος Ὠκεανοῖο·
27 ἤ σέ γε Κύπριδος υἷα περίφρονος ἠέ σε Γαίης

7 Eurip. Fr. 300 N^2 **10–p. 277.2** Antagorae Fr. 1 Powell; *Suppl. Hell.* 344 **10** cf. Callim. *In Iovem* 5; Acusilai 9 B 3 DK

1 γῆ σὺ **FP^{2}Q** : γῆς οἱ (ἡ ss. **B^2**) **B^{1}P^1** | τεθνηώτα **B** : τεθνειῶτα **P** : τεθνεῶτα **F** | ἄνδρα **F** | ὑπόδεξαι Jacobs : ὑποδέξῃ **BPV** : προσδέξῃ **F** **2** ἦ (ἢ **F**) ρ' ὅ γε **PF** : ηρογε **B** : ἠρέμα Wilamowitz (*Antigonos*, 68) | κεῖθι ζώει G. Hermann (ad *Orphica*, p. 770) : ζώει κεῖθει **B**, ζώῃ κεῖθι **PF** : κεῖθι ζῴη Cobet, agn. Wilamowitz | ἐν **FP^{4}H** : om. **BP^1** | εὐθενίῃ Huebner, agn. Cobet, Wilamowitz : εὐθυειδη **B**, εὐθὺ ἤδη **P^{1}Q** : εὐθυμίῃ **FVP^{4}H** : εὐθαλίῃ Jacobs **4** εἶναι add. Cobet **6** βελλερεφόντου **B** : βελεροφόντου **P^{1}F** (corr. **P^2**) **8** Ἀνταγόρα τοῦ ποιητοῦ Casaubon : ἀνταγόραν τὸν ποιητὴν **BPF** | κράντορος **BF** (-τω-) **P^{4}H** : κράντορα **P^{1}QW** **8–9** εἰς ἔρωτα om. **P^1**, add. **P^{4}H** **9–10** ταυτὶ ἐν **BF** : ταῦτ' εἶεν **B** **10** ὅ τοι **PB^{2}F^2** : ὅτι **B^{1}F^{1}V** | ἀμφίσβητον Meineke, Meibom. : ἀμφιβόητον **BPF** : ἀμφινόητον **V** : ἀμφήριστον Wilamowitz ex Callim. **11** θεὸν **B^1** (corr. **B^2**) | ἀειγενέων **B^{1}P** : αἰει- **B^2** : ἀεὶ γενέος **F** | ἔρως **F** **12** ὅσσοις **F** **13** πελάγεσιν **BF** **14** ἤ^1 **P**, ἢ **B** : ἠέ **F** | γε om. **F** | γέης **B**

ἢ Ἀνέμων· τοῖς ἶσα κακὰ φρονέων ἀλάλησαι
ἀνθρώποις ἠδ' ἐσθλά· τὸ καὶ σέο σῶμα δίφυιον.

Ἦν δὲ καὶ δεινὸς ὀνοματοποιῆσαι· τραγῳδὸν γοῦν ⟨τινα⟩ ἀπελέκητον εἶπεν ἔχειν φωνὴν καὶ φλοιοῦ μεστήν· καί τινος ποιητοῦ σκίφης μεστοὺς εἶναι τοὺς στίχους· καὶ τὰς Θεοφράστου θέσεις ὀστρέῳ γεγράφθαι. Θαυμάζεται δὲ αὐτοῦ μάλιστα βιβλίον τὸ Περὶ πένθους. Καὶ κατέστρεψε πρὸ Πολέμωνος καὶ Κράτητος, ὑδρωπικῇ διαθέσει νοσήσας. Καὶ ἔστιν εἰς αὐτὸν ἡμῶν·

Ἐπέκλυσε καὶ σέ, Κράντορ, ἡ νόσων κακίστη,
χοὔτω μέλαν κατῆλθες Πλουτέως ἄβυσσον.
Καὶ σὺ μὲν ἐκεῖ νῦν ἄχρι, σῶν λόγων δὲ χήρη
ἕστηκεν Ἀκαδήμεια καὶ Σόλοι, πατρίς σευ.

10–13 *Anth. Pal., App.* 2.381. Metrum: 4 asynarteti (hemiamb. et ithyph.). Cf. B.M. Palumbo Stracca, *Riv. Cult. Class. e Medioev.* 23 (1981) 155–158

1 τοῖς ἶσα Von der Muehll : τοια ϊσα **B**, τοῖα ἶσα **F** : τοι αἶσα **P** : τοῖος σὺ **D**, Huebner **2** ἀνθρώποις Jacobs : ἀνθρώπων **BPF** | δίφυον **F** **3** τραγωδὸν **BFQ** : τραγωδῶν **P**[1] et *Suda* | δ' οὖν **B** | τινα addidi **4** ἀπελέκυτον **F** | εἶπεν ἔχειν **P**[4] : ἔχειν εἶπεν **F** : εἶχε **BP**[1] **5** σκίφης **FP**[2] : σκείφης **B** : σκίθης **P**[1] **7** βιβλίον μάλιστα **F** **10** ἐπέκλυσε **F** **P**[4]**H** : ἐπικεκλῦσαι **B**, ἐπικέκλυσε **P**[1]**QV** | Κράντωρ Mette (servato v. 12 χαίρεις, ut sit bacch.) | ἡ νόσων **PF** : ὡς ὧν **B** **11** μέλαν κατῆλθες Cobet : κατῆλθες εἰς (ἐς **B**) μέλαν **BP**[1] : κατῆλθες εἰς μέλαιναν **FP**[4]**HV** | πλούτεως **BP** : πλούτωνος **F** **12** ἐκεῖ scripsi : ἐκεῖθι **BPF** | νῦν ἄχρι **BP**[1]**QW** : νῦν χαίρεις **FP**[4]**H** : χαίρεις (servato ἐκεῖθι) Cobet | σῶν **BP** : ὧν **F** **13** ἀκαδημία **BPF**

ΑΡΚΕΣΙΛΑΟΣ

28 Ἀρκεσίλαος Σεύθου (ἢ Σκύθου, ὡς Ἀπολλόδωρος ἐν τρίτῳ Χρονικῶν), Πιταναῖος τῆς Αἰολίδος. Οὗτός ἐστιν ὁ τῆς μέσης Ἀκαδημίας κατάρξας, πρῶτος ἐπισχὼν τὰς ἀποφάσεις διὰ τὰς ἐναντιότητας τῶν λόγων. Πρῶτος δὲ καὶ ἐς ἑκάτερον ἐπεχείρησε, καὶ πρῶτος τὸν λόγον ἐκίνησε τὸν ὑπὸ Πλάτωνος παραδεδομένον καὶ ἐποίησε δι' ἐρωτήσεως καὶ ἀποκρίσεως ἐριστικώτερον.

Παρέβαλε δὲ Κράντορι τοῦτον τὸν τρόπον. Τετράδελφος ἦν, ὧν εἶχε δύο μὲν ὁμοπατρίους, δύο δὲ ὁμομητρίους· καὶ τῶν μὲν ὁμομητρίων πρεσβύτερον Πυλάδην, τῶν
29 δὲ ὁμοπατρίων Μοιρέαν, ὃς ἦν αὐτῷ ἐπίτροπος. Ἤκουσε δὲ κατ' ἀρχὰς μὲν Αὐτολύκου τοῦ μαθηματικοῦ πολίτου τυγχάνοντος, πρὶν ἀπαίρειν εἰς Ἀθήνας, μεθ' οὗ καὶ εἰς Σάρδεις ἀπεδήμησεν· ἔπειτα Ξάνθου τοῦ Ἀθηναίου μουσικοῦ· μεθ' ὃν Θεοφράστου διήκουσεν. Ἔπειτα μετῆλθεν εἰς Ἀκαδημίαν πρὸς Κράντορα· Μοιρέας μὲν γὰρ ὁ προειρημένος ἀδελφὸς ἦγεν αὐτὸν ἐπὶ ῥητορικήν· ὁ δὲ φιλοσοφίας ἤρα. Καὶ αὐτοῦ Κράντωρ ἐρωτικῶς διατεθεὶς ἐπύθετο τὰ ἐξ Ἀνδρομέδας Εὐριπίδου προενεγκάμενος·

2–p. 289.15 ed. Mette, *Lustrum* 26 (1984), T 1a. Cf. Wilamowitz, *Antigonos*, 70–76; A.A. Long, *Elenchos* 7 (1986) 431–449 **2–8 et 12–17** Κράντορα : Eudociae *Violarium* 171 **2–3** *FGrHist* 244 F 15 **9** Τετράδελφος – **12** ἐπίτροπος : cf. P. Herc. 1021, col. 17.1–4 **12** Ἤκουσε δὲ – **19** ἤρα : cf. P. Herc., col. 17.7–14 et 27–32 **19** cf. Pap., col. 17.36–37

1 *tit.* **P**, om. **FB** (spatio relicto) **2** σεύθου **P** : εὐθοῦ **B** : σέφθου **F** **6** ἐς **BP** : εἰς **F** **9** τετράδελφος Madvig : τέταρτος ἀδελφὸς **BPF** **12** μυρέαν **P**[1], -οι- ss. **P**[2] **13** δὲ *Frob.* : δὴ **BPF** **16** μετῆλθεν **BP** : διῆλθεν **F** **17** μυρέας **P**[1], -οι- ss. **P**[2] **20** προσενεγκάμενος **BPFΦ**, corr. Casaubon

Ὦ παρθέν', εἰ σώσαιμί σ', εἴσῃ μοι χάριν;

Καὶ ὃς τὰ ἐχόμενα·

Ἄγου ⟨δέ⟩ μ', ὦ ξέν', εἴτε ⟨πρόσπολον⟩ θέλεις
εἴτ' ἄλοχον εἴτε δμωΐδ'.

Ἐκ τούτου συνήστην ἀλλήλοιν· | ἵνα καὶ τὸν Θεόφραστον 30
κνιζόμενόν φασιν εἰπεῖν· "Ὡς εὐφυὴς καὶ εὐεπιχείρητος ἀπεληλυθὼς τῆς διατριβῆς εἴη νεανίσκος." Καὶ γὰρ ἐν τοῖς λόγοις ἐμβριθέστατος καὶ φιλογράμματος ἱκανῶς γεγόμενος ἥπτετο καὶ ποιητικῆς. Καὶ αὐτοῦ φέρεται ἐπίγραμμα εἰς Ἄτταλον οὕτως ἔχον·

Πέργαμος οὐχ ὅπλοις κλεινὴ μόνον, ἀλλὰ καὶ ἵπποις
πολλάκις αὐδᾶται Πῖσαν ἀνὰ ζαθέην.
Εἰ δὲ τὸν ἐκ Διόθεν θεμιτὸν θνητῷ νόον εἰπεῖν,
ἔσσεται εἰς αὖθις πολλὸν ἀοιδοτέρη.

Ἀλλὰ καὶ εἰς Μηνόδωρον, τὸν Εὐδάμου ἑνὸς τῶν συσχολαστῶν ἐρώμενον·

1 Eurip. Fr. 129 N^2 **3–4** Eurip. Fr. 132 N^2. Cf. Herodiani Π. σχημάτων, p. 98.11 Spengel **10** Ἄτταλον : i.e. Attalum Philetaerum, Attali I patrem adoptivum **11–14** *Anth. Pal., App.* 3.56; *Suppl. Hell.* 121. Cf. P. Von der Muehll, *Studi U.E. Paoli* (Florentiae, 1955) 717–720

1 παρθέν(ε) et σε **BPF** | οἴσῃ $\mathbf{F}^2$ **3–4** ἄγου με ὦ ξέν(ε) εἴτε δμωΐδ' ἐθέλεις εἴτ' ἄλοχον **BPFΦ** et *Suda,* ex Herodiano corr. Mette | δμῶ ἰδ' **B** : δμωι τ' $\mathbf{P}^1$ **5** ἀλλήλοις **Φ** | ἵνα **BPF** : ὅτε **Φ** **8** ἐμβρυθέστατος **F** **9** et **10** ἐπίγραμμα et ἔχον Cobet : ἐπιγράμματα et ἔχοντα **BPF** **10** ἔχοντα οὕτω **F** **12** λύδατε **B** | πεισαν **B** : πίσσαν **PFV** **13** θνητώνοον **B** : θνατῶ νόον **P** : θνατὸν $\mathbf{F}^2$ (θνη- $\mathbf{F}^1$) **14** ἔσεται **F** | εἰσαῦτις Jacobs | ἀοιδοτέρη $\mathbf{FP}^4\mathbf{H}$: ἀοιδοτέρα $\mathbf{P}^1$: λοιδοτέρη $\mathbf{B}^2$ **15** εὐδάμου et **p. 280.5** εὔδαμος **BP F** : Εὐγάμου et Εὔγαμος Wilamowitz (*Antigonos,* 71)

31 Τηλοῦ μὲν Φρυγίη, τηλοῦ δ' ἱερὴ Θυάτειρα·
ὦ Μηνόδωρε, σὴ πατρίς, Καδαυάδη.
Ἀλλὰ γὰρ εἰς Ἀχέροντα τὸν οὐ φατὸν ἶσα κέλευθα,
ὡς αἶνος ἀνδρῶν, πάντοθεν μετρεύμενα.
Σῆμα δέ τοι τόδ' ἔρεξεν ἀριφραδὲς Εὔδαμος, ᾧ σὺ
πολλῶν πενεστέων ἦσθα προσφιλέστερος.

Ἀπεδέχετο δὲ πάντων μᾶλλον Ὅμηρον, οὗ καὶ εἰς ὕπνον ἰὼν πάντως τι ἀνεγίνωσκεν· ἀλλὰ καὶ ὄρθρου, λέγων ἐπὶ τὸν ἐρώμενον ἀπιέναι, ὁπότ' ἂν βούλοιτο ἀναγνῶναι. Τόν τε Πίνδαρον ἔφασκε δεινὸν εἶναι φωνῆς ἐμπλῆσαι καὶ ὀνομάτων καὶ ῥημάτων εὐπορίαν παρασχεῖν. Ἴωνα δὲ καὶ ἐχαρακτήριζε νέος ὤν.

32 Διήκουσε δὲ καὶ Ἱππονίκου τοῦ γεωμέτρου· ὃν καὶ ἔσκωψε τὰ μὲν ἄλλα νωθρὸν ὄντα καὶ χασμώδη, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένον, εἰπὼν τὴν γεωμετρίαν αὐτοῦ χάσκοντος εἰς τὸ στόμα ἐμπτῆναι. Τοῦτον καὶ παρακόψαντα ἀναλαβὼν οἴκοι ἐς τοσοῦτον ἐθεράπευσεν, ἐς ὅσον ἀποκαταστῆσαι.

Κράτητος δὲ ἐκλιπόντος κατέσχε τὴν σχολήν, ἐκχωρήσαντος αὐτῷ Σωκρατίδου τινός. Διὰ δὲ τὸ περὶ πάντων

1–6 *Anth. Pal., App.* 2.382; *Suppl. Hell.* 122. Cf. Von der Muehll, 720–724 **7–12** cf. P. Herc., col. 17.15–27 **7–p. 281.8** : Eudociae *Violarium* 171 **19** Κράτητος – **20** τινός : cf. P. Herc., col. 17.41–18.7

2 καδαυάδη **P**, καδαυαδὴ **B** : καναδὴ **F** : καδαβαδὴ γρ. **F**^{2} : καδανάδη **D** et *Frob.* **3** εἰς ἀκέλευθα **B** **4** αἶνος Luzac (*Lect. Att.*, 206) et Porson (*Advers.*, 121) : δεινὸς **BPF** | μετερεύμεναι **F** **5** δέ τοι **BP** : δ' ἔτι **F**, δέ τι **V** | ᾧ **P** : ὡς **BF** **6** πολλὸν **P** | πενεστέρων **F** : περ ἕς τε ὧν **P**^{1}, corr. **P**^{2}**Q** | προσφιλέστατος Cobet **9** ἂν om. **Φ** **13** διήκου **F** | ἔσκοψε **B** **14** νωθρὸν **BPF** et *Suda* : ῥάθυμον **Φ** | δὲ ss. **F**^{2} **17** ἐς τοσοῦτον om. **Φ** | ἐς^2 **PF** : εἰς **BΦ**

ἐπέχειν οὐδὲ βιβλίον τι, φασί, συνέγραψεν· οἱ δέ, ὅτι ἐφωράθη ⟨Κράντορός⟩ τινα διορθῶν, ἅ φασιν οἱ μὲν ἐκδοῦναι, οἱ δὲ κατακαῦσαι. Ἐῴκει δὴ θαυμάζειν καὶ τὸν Πλάτωνα καὶ τὰ βιβλία ἐκέκτητο αὐτοῦ. Ἀλλὰ καὶ 33 τὸν Πύρρωνα κατά τινας ἐζηλώκει καὶ τῆς διαλεκτικῆς εἴχετο καὶ τῶν Ἐρετρικῶν ἥπτετο λόγων. Ὅθεν καὶ ἐλέγετο ἐπ' αὐτοῦ ὑπ' Ἀρίστωνος·

Πρόσθε Πλάτων, ὄπιθεν [δὲ] Πύρρων, μέσσος Διόδωρος.

Καὶ ὁ Τίμων ἐπ' αὐτοῦ φησιν οὕτως·

Τῇ γὰρ ἔχων Μενεδήμου ὑπὸ στέρνοισι μόλυβδον
θεύσεται εἰς Πύρρωνα τὸ πᾶν κρέας ἢ Διόδωρον.

Καὶ διαλιπὼν αὐτὸν ποιεῖ λέγοντα·

1 cf. Plut. *De Alex. fort.* 328 A **2** ἐφωράθη – **3** κατακαῦσαι : cf. P. Herc., col. 18.34–40 Dorandi: ... λειφθέντα ὑπὸ Κράντορος ὑπομνήματά [φησ]ι διὰ χειρὸς ἔχειν καὶ μετατιθέναι· τινὲς αὐτὸν ἔφασαν αὐτὰ γεγραφέναι, τινὲς δ' ἃ συνέγραψε κατακεκαυκέναι **8** *SVF* I, Nr. 343; *Suppl. Hell.* 204. Cf. S.E. *P. hypot.* 1.234; Numenii Fr. 25 des Places; *Iliad.* 6.181 **10–11** Timonis B 31 Diels; *Suppl. Hell.* 805. Cf. Numenii Fr. 25 (ap. Eus. *P.E.* 14.5.12)

1 τι, φασί, scripsi : φασὶ τί **BP** : τι **F** : φασί τινες *Frob.* **2** Κράντορος add. Wilamowitz (*Antigonos,* 62) conl. P. Herc. | διορθῶν Cobet : κατορθῶν **BPF** | post διορθῶν addit Gigante ταῦτα συγγράψαι **3** ἐκδοθῆναι **F** **5** τῆς om. **Φ** **7** ἐπ' **PFΦ** : ὑπ' **B** **8** πρόσθεν $\mathbf{B}^2$ (πρόσθε $\mathbf{B}^1$) | πρόσθε πλάτων in mg $\mathbf{F}^2$ | ὄπιθεν Casaubon : ὄπιθεν δε $\mathbf{B}^2$ (ὄπιθε δε $\mathbf{B}^1$) : ὄπισθε δὲ **PFΦ** | μέσος **BPFΦ**, corr. Casaubon **10** γὰρ **BPF** : μὲν Eus. | μενεδήμου Casaubon ex Eus. : μενέδημον **BPF** | μόλιβδον **PFV** **11** θεύσεται Casaubon ex Eus. : θήσεται **BPF** : δύσεται coni. Kassel | εἰς Casaubon ex Eus. (cf. p. 282.1) : ἢ **BPF** : ἢ ⟨ 'ς⟩ Meineke, agn. Mette | κρέας **BPF** et Eus. : κέρας Lloyd-Jones et Parsons **12** Καὶ – **13** Διόδωρον om. **PV** ob isoteleuton **12** διαλιπεῖν **F**

Νήξομαι εἰς Πύρρωνα καὶ εἰς σκολιὸν Διόδωρον.

Ἦν δὲ καὶ ἀξιωματικώτατος καὶ συνηγμένος καὶ ἐν τῇ λαλιᾷ διαστατικὸς τῶν ὀνομάτων, ἐπικόπτης θ' ἱκανῶς
34 καὶ παρρησιαστής· διὸ καὶ πάλιν ὁ Τίμων οὑτωσὶ περὶ αὐτοῦ·

Καὶ νέων κηλήσεις ἐπιπλήξεσιν ἐγκαταμιγνύς.

Ὅθεν καὶ πρὸς τὸν θρασύτερον διαλεγόμενον νεανίσκον, "Οὐ λήψεταί τις," ἔφη, "τοῦτον ἀστραγαλωτῇ;" Πρὸς δὲ τὸν αἰτίαν ἔχοντα περαίνεσθαι, ὡς ἀνήνεγκεν αὐτῷ ὅτι οὐ δοκεῖ ἕτερον ἑτέρου μεῖζον εἶναι, ἠρώτησεν εἰ οὐδὲ τὸ δεκαδάκτυλον τοῦ ἑξαδακτύλου. Ἥμονος δέ τινος Χίου, ἀειδοῦς ὄντος καὶ ὑπολαμβάνοντος εἶναι καλοῦ καὶ ἐν χλανίσιν ἀεὶ ἀναστρεφομένου, εἰπόντος ὅτι οὐ δοκεῖ αὐτῷ ὁ σοφὸς ἐρασθήσεσθαι, ἔφη· "Πότερον οὐδ' ἐὰν οὕτω καλὸς ᾖ τις ὥσπερ σύ, οὐδ' ἐὰν οὕτω καλὰ ἱμάτια ἔχῃ;" Ἐπεὶ δὲ καί ⟨τις⟩ παρακίναιδος ὢν ὡς εἰς βαρὺν τὸν Ἀρκεσίλαον ἔφη·

1 Timonis B 32; *Suppl. Hell.* 806 **2–4** Eudociae *Violarium* 171 **6** Timonis B 33; *Suppl. Hell.* 807 **11** Ἥμονος – **15** ἔχῃ : Arsen. *Violetum,* p. 118 Walz

1 ἴξομαι **F** **2** καὶ[1] **F** : om. **BPV** **3** ἱκανὸς **F** **4** παρρησιαστικὸς **F** | τείμων **B** **6** νέων κηλήσεις coni. Diels : νέον μηλήσεις **B** : νεόν μηλήσης **P** : νέον μὴ λήσῃ σε **F** : Καὶἐν ὁμιλήσεις coni. Ludwich : νόον οὐ λήσῃς coni. Casaubon **7** διαλεγόμενος **F** **8** ἀστραγαλωτῇ (sc. μάστιγι) Iunius : ἀστραγαλωτί **φ** : ἀστραγάλω **BPF** (in **B** post -λω ras. litt. 2) : ἀστραγάλω(ν) <˘ ¯> versum esse ratus Mette **11** ἥμονος **P** : ἥμωνος **B** : ἥμωνος **F** **12** ἀηδοῦς **B**[1] (corr. **B**[2]) **Φ** **13** ἀεὶ post ἀναστρεφομένου **F** | ὅτι Stephanus : ἢ **B**[2]**PFΦ** et Arsen. : εἰ **B**[1] **14** ὁ om. **PV** | οὐδ' ἐὰν Cobet : οὐδὲ ἂν **PF** : οὐδὲν ἂν **B** **15** οὐδὲ ἐὰν **B** : οὐδὲ ἂν **PF** **16** τις addidi | ὡς om. **F**

Ἔξεστ' ἐρωτᾶν πότνιά σ' ἢ σιγὴν ἔχω; 35

ὑπολαβὼν ἔφη·

Γύναι, τί μοι τραχεῖα κοὐκ εἰθισμένως
λαλεῖς;

Στωμύλου δὲ ἀγεννοῦς πράγματα αὐτῷ παρέχοντος ἔφη·

Ἀκόλασθ' ὁμιλεῖν γίνεται δούλων τέκνα.

Ἄλλου δὲ πολλὰ φλυαροῦντος οὐδὲ τίτθης αὐτὸν χαλεπῆς τετυχηκέναι ἔφη. Τισὶ δὲ οὐδὲ ἀπεκρίνετο. Πρὸς δὲ τὸν δανειστικὸν καὶ φιλόλογον εἰπόντα τι ἀγνοεῖν, ἔφη·

Λήθουσι γάρ τοι κἀνέμων διέξοδοι
θήλειαν ὄρνιν, πλὴν ὅταν τόκος παρῇ.

Ἔστι δὲ ταῦτα ἐκ τοῦ Οἰνομάου τοῦ Σοφοκλέους.

Πρὸς Ἀλεξίνειόν τινα διαλεκτικὸν μὴ δυνάμενον 36
κατ' ἀξίαν τῶν Ἀλεξίνου τι διηγήσασθαι τὸ Φιλοξένῳ πρὸς τοὺς πλινθιακοὺς πραχθὲν εἶπεν· ἐκεῖνος γὰρ τὰ αὐτοῦ κακῶς ᾄδοντας τούτους καταλαβὼν αὐτὸς τὰς πλίν-

1 et **3–4** *TrGF* II, Adesp. Frr. 282 et 283 Kannicht-Snell **5–6** Arsen. *ibid.* **6** Eurip. Fr. 976 N^2. Cf. Plut. *De cup. divit.* 526 C **10–11** Sophocl. Fr. 477 Radt. Cf. Plut. *Qu. conviv.* 718 A; *Suda,* Δ 932 **13–p. 284.2** τὰ ὑμέτερα : II C 17 Giannantoni

1 ἔξεστιν **BPFΦ** | πότνιά σε **FP^{4}H** : πότνιέ σε **Φ** : ποτνιᾶσαι **BP^{1}Q** | σειγὴν **B^1** | ἔχω Nauck : ἔχειν **BPFΦ** **2** ὑπολαβὼν ἔφη **ΦF^2** : ἔφη ὑπολαβὼν **PV** : ὑπολαβὼν **BF^1** **3** τραχέα **F** | κοὐκ G. Hermann : καὶ οὐκ **BPFΦ** **5** δὲ **BPF** : τινὸς Arsen. : om. **Φ** | ἀγενοῦς **Φ** **6** ἀκόλαστα **BPFΦ** | γείνεται **B** | δούλων γίνεται **F** **7** ἄλλου **BFΦ** : λάλου **PV** | τίθθης **B** **9** δανιστικὸν **B** **10** πλήθουσι Plut. | κἀνέμων Plut. : καὶ ἀνέμων **BPFΦ** et *Suda* **11** τόκῳ σπαρῇ *Suda* **12** ἔστι – ἐκ τοῦ in mg **B^2** **13** ἀλεξίνιον **BF** : ἀλεξῖνον **P** **14** τὸ **BP** : τῶ δὲ **F** **15** πλινθουακοὺς **B** : πλινθυακοὺς **F** | αὐτοῦ **BPFφ**, corr. Huebner **16** πλήνθους **B**

θους αὐτῶν συνεπάτησεν, εἰπών· "Ὡς ὑμεῖς τὰ ἐμὰ διαφθείρετε, κἀγὼ τὰ ὑμέτερα." Ἤχθετο οὖν δὴ τοῖς μὴ καθ' ὥραν τὰ μαθήματα ἀνειληφόσι. Φυσικῶς δέ πως ἐν τῷ διαλέγεσθαι ἐχρῆτο τῷ Φήμ' ἐγώ, καί, Οὐ συγκαταθήσεται τούτοις ὁ δεῖνα, εἰπὼν τοὔνομα· ὃ καὶ πολλοὶ τῶν μαθητῶν ἐζήλουν καὶ τὴν ῥητορείαν καὶ πᾶν τὸ σχῆμα.

37 Ἦν δὲ καὶ εὑρησιλογώτατος ἀπαντῆσαι εὐστόχως καὶ ἐπὶ τὸ προκείμενον ἀνενεγκεῖν τὴν περίοδον τῶν λόγων καὶ ἅπαντι συναρμόσασθαι καιρῷ. Πειστικός τε ὑπὲρ ἅπανθ' ὁντινοῦν· παρ' ὃ καὶ πλείους πρὸς αὐτὸν ἀπήντων εἰς τὴν σχολήν, καίπερ ὑπ' ὀξύτητος αὐτοῦ ἐπιπληττόμενοι. Ἀλλ' ἔφερον ἡδέως· καὶ γὰρ ἦν ἀγαθὸς σφόδρα καὶ ἐλπίδων ὑποπιμπλὰς τοὺς ἀκούοντας.

Ἔν τε τῷ βίῳ κοινωνικώτατος ἐγένετο καὶ εὐεργετῆσαι πρόχειρος ἦν καὶ λαθεῖν τὴν χάριν ἀτυφότατος. Εἰσελθὼν γοῦν ποτε πρὸς Κτησίβιον νοσοῦντα καὶ ἰδὼν ἀπορίᾳ θλιβόμενον, κρύφα βαλάντιον ὑπέθηκε τῷ προσκεφαλαίῳ· καὶ ὃς εὑρών, "Ἀρκεσιλάου," φησί, "τὸ παίγνιον." Ἀλλὰ καὶ ἄλλοτε χιλίας ἀπέστειλεν.

38 Ἀρχίαν τε τὸν Ἀρκάδα Εὐμένει συστήσας πολλῆς ἐποίησε τυχεῖν τῆς ἀξίας. Ἐλευθέριός τε ὢν καὶ ἀφιλαργυρώτατος εἰς τὰς ἀργυρικὰς δείξεις ἀπήντα πρῶτος, καὶ ἐπὶ τὴν Ἀρχεκράτους καὶ Καλλικράτους τὰς χρυσιαίας παντὸς ἔσπευδε μᾶλλον. Συχνοῖς τε ἐπήρκει καὶ συνηράνιζε· καί ποτέ τινος ἀργυρώματα ⟨αὐτοῦ⟩ λαβόντος εἰς

12 καὶ γὰρ – **15** ἀτυφότατος : Eudoc. *Viol.* 171 **16** Εἰσελθὼν – **19** Arsen. *Viol.*, p. 118 s.

1 αὐτοῦ κατεπάτησεν **F** | διαφθείρεται **B** : διεφθείρατε **F** **2** δὴ om. **F** | μὴ om. **BF** **3** τῶ **PF**[2] et *Suda* : τὸ **BF**[1] **5** ὁ δεῖνα post τοὔνομα **F** **6** ῥητορίαν **FV** **7** εὑρησιλογώτατος **BP** : εὑρεσι- **Fφ** **9** πιστικὸς **B** : πειστικώτατος **φ** **10** ἅπανθ' **BF** : πάνθ' **PV** : om. **φ** **12** ἀλλ' ὅμως ἔφερον **φ** **15** προχειρότατος **φ** **16** οὖν **PV** **17** κρύβδην **F** | βαλλάντιον **B** **18** εὑρὼν **BPFφ** : ἰδὼν Arsen. | φησὶ : ἔφη **φ** **19** χιλίας δραχμὰς Arsen. **20** ἀρχείαν **B** **21** ὢν ss. **F**[2] **25** αὐτοῦ addidi

ὑποδοχὴν φίλων καὶ ἀποστεροῦντος οὐκ ἀπῄτησεν οὐδὲ προσεποιήθη. Οἱ δέ φασιν ἐπίτηδες χρῆσαι καὶ ἀποδιδόντος, ἐπεὶ πένης ἦν, χαρίσασθαι.

Ἦν μὲν οὖν αὐτῷ καὶ ἐν Πιτάνῃ περιουσία, ἀφ' ἧς ἀπέστειλεν αὐτῷ Πυλάδης ὁ ἀδελφός. Ἀλλὰ καὶ ἐχορήγει αὐτῷ πολλὰ Εὐμένης ὁ τοῦ Φιλεταίρου· διὸ καὶ τούτῳ μόνῳ τῶν ἄλλων βασιλέων προσεφώνει. Πολλῶν δὲ καὶ 39
τὸν Ἀντίγονον θεραπευόντων καὶ ⟨ὁπ⟩ότε ἥκοι ἀπαντώντων αὐτὸς ἡσύχαζε, μὴ βουλόμενος προεμπίπτειν εἰς γνῶσιν. Φίλος τε ἦν μάλιστα Ἱεροκλεῖ τῷ τὴν Μουνιχίαν ἔχοντι καὶ τὸν Πειραιᾶ· ἔν τε ταῖς ἑορταῖς κατῄει πρὸς αὐτὸν ἑκάστοτε. Καὶ δὴ καὶ πολλὰ ἐκείνου συμπείθοντος ὥστε ἀσπάσασθαι τὸν Ἀντίγονον, οὐκ ἐπείσθη, ἀλλὰ ἕως πυλῶν ἐλθὼν ἀνέστρεψε. Μετά τε τὴν Ἀντιγόνου ναυμαχίαν πολλῶν προσιόντων καὶ ἐπιστόλια παρακλητικὰ γραφόντων αὐτὸς ἐσιώπησεν. Ἀλλ' οὖν ὅμως ὑπὲρ τῆς πατρίδος εἰς Δημητριάδα ἐπρέσβευσε πρὸς Ἀντίγονον καὶ οὐκ ἐπέτυχε. Τὸ πᾶν δὴ διέτριβεν ἐν τῇ Ἀκαδημίᾳ τὸν πολιτισμὸν ἐκτοπίζων. Καί ποτε δὴ καὶ [Ἀθήνησιν] ἐν τῷ 40
Πειραιεῖ πρὸς τὰς θέσεις λέγων ἐχρόνισεν, οἰκείως ἔχων πρὸς Ἱεροκλέα· ἐφ' ᾧ καὶ πρός τινων διεβάλλετο.

7 προσεφώνει : i.e. libros dicavit (cf. 7.185) **14** τὴν Ἀντιγόνου ναυμαχίαν : prope insulam Coum, anno 262

2 προσεποιήσατο **φ** 3 ἐπεὶ πένης ἦν : ἐπιπένησιν **B** **5** ἐχωρήγει **B** **6** φιλετέρου **BF** : φιλαιτέρου P^1**Q** (corr. P^2) **7** καὶ ss. F^2 **8** ⟨ὁπ⟩ότε Cobet : ὅτε **BPF** **9** προσεμπίπτειν **B** **10** τε ἦν **F** : ἦν τε **BP** | ἱεροκλεῖ τῶ **PF** : ἱεροκλίτω **B** | μουνυχίαν **P** **11** πειρέα B^1 (corr. in mg B^2) : πυραῖα **F** | τε ss. B^2 **13** ἀντίγωνον **B** | ἐπίσθη **B** **14** ὑπέστρεψε **F** | ναυμαχίαν **BP** : συμμαχίαν **F** (corr. in mg γρ. F^2) **15** προσιόντων πολλῶν **F** **17** ἐπρέσβευσεν εἰς δημητριάδα **F** **18** ἐπέτυχε **BPFφ** : ἀπέτυχε Hultsch (*Jbb. f. Cl. Ph.* 135 [1887] 223–225) | ἀκαδημεία **B** **19** ἀθήνησιν seclusi : post ἀθήνησιν lac. indicavit Wilamowitz (p. 75) **21** διεβάλετο **B**

Πολυτελής τε ἄγαν ὤν (καὶ τί γὰρ ἄλλο ἢ ἕτερος
Ἀρίστιππος) ἐπὶ τὰ δεῖπνα πρὸς τοὺς ὁμοιοτρόπους μέν,
πλὴν ἀλλ' ἀπήντα. Καὶ Θεοδότῃ τε καὶ Φίλᾳ ταῖς Ἠλεί-
αις ἑταίραις συνῴκει φανερῶς καὶ πρὸς τοὺς διασύρον-
τας προεφέρετο τὰς Ἀριστίππου χρείας. Φιλομειράκιός τε
ἦν καὶ καταφερής· ὅθεν οἱ περὶ Ἀρίστωνα τὸν Χῖον Στωϊ-
κοὶ ἐπεκάλουν αὐτῷ, φθορέα τῶν νέων καὶ κιναιδολόγον
41 καὶ θρασὺν ἀποκαλοῦντες. Καὶ γὰρ καὶ Δημητρίου τοῦ
πλεύσαντος εἰς Κυρήνην ἐπὶ πλέον ἐρασθῆναι λέγεται,
καὶ ⟨Κ⟩λεοχάρους τοῦ Μυρλεανοῦ· ἐφ' ᾧ καὶ πρὸς τοὺς
κωμάσαντας εἰπεῖν αὐτὸς μὲν θέλειν ἀνοῖξαι, ἐκεῖνον δὲ
διακωλύειν. Τούτου δὲ ἤρων καὶ Δημοχάρης ὁ Λάχητος
καὶ Πυθοκλῆς ὁ τοῦ Βουσέλου· οὓς καταλαβὼν ὑπ' ἀνε-
ξικακίας παραχωρεῖν ἔφη. Διὰ ταῦτα δὴ οὖν ἔδακνόν τε
αὐτὸν οἱ προειρημένοι καὶ ἐπέσκωπτον ὡς φίλοχλον καὶ
φιλόδοξον.

Μάλιστα δὲ ἐπετίθεντο αὐτῷ οἱ περὶ Ἱερώνυμον τὸν
Περιπατητικόν, ὁπότε συνάγοι τοὺς φίλους εἰς τὴν Ἀλκυ-
ονέως τοῦ Ἀντιγόνου υἱοῦ ἡμέραν, εἰς ἣν ἱκανὰ χρήματα
42 ἀπέστελλεν ὁ Ἀντίγονος πρὸς ἀπόλαυσιν. Ἔνθα καὶ
παραιτούμενος ἑκάστοτε τὰς ἐπικυλικίους ἐξηγήσεις

3 Καὶ – **5** χρείας : Fr. 123 Mannebach; IV A 99 Giannantoni **6** ὅθεν – **8** ἀποκαλοῦντες : *SVF* I, Fr. 345 **17** Μάλιστα – **20** ἀπόλαυσιν : Hieronymi Rhodii Fr. 4 Wehrli

1 τε **BF** : δὲ **PV** **3** Φίλᾳ ταῖς Cobet : φιλαίτῃ $\mathbf{B}^{2}$ (φιλετη $\mathbf{B}^{1}$) **PF** | ἠλείαις $\mathbf{FP}^{4}\mathbf{H}$: ἤλιδι $\mathbf{BP}^{1}$ **4** ἑταίραις **P**, ἑτέραις **F** : ἑταῖρα **B** | συνοίκει **B** **5** προσεφέρετο **BP F**, corr. Huebner **7** αὐτὸν **F** **8** καὶ γὰρ δὴ καὶ **F** **10** Κλεοχάρους Valckenaer (ap. Ruhnken. ad *Rutil. Lup.*, p. 6) : λεοχάρους **B** : λεωχάρους **PFVΦ** | ᾧ **P** : οὗ **BF** **12** δημοχάρις **B** **13** ὁ τοὺς τοῦ **BPF**, corr. *Frob.* | βουσέλου **BPF** : Βουγέλου *Frob.* **17–18** οἱ περὶ ἱερώνυμον τὸν περιπατητικὸν **D** : παρὰ ἱερωνύμω τῶ περιπατητικῶ **BPF** **18** συνάγει **B** | εἰς **F** : ἐς **BP** **20** ἀπέστειλεν **F** | ὁ **BF** : om. **P** **21** ἐπικυλικείους **PV** | post ἐξηγήσεις ss. μή $\mathbf{P}^{5}$

τρὸς Ἀριδείκην προτείνοντά τι θεώρημα καὶ ἀξιοῦντα εἰς αὐτὸ λέγειν εἶπεν· "Ἀλλ' αὐτὸ τοῦτο μάλιστα φιλοσοφίας ἴδιον, τὸ καιρὸν ἑκάστων ἐπίστασθαι." Εἰς δὲ τὸ διαβαλλόμενον αὐτοῦ φίλοχλον καὶ Τίμων τά τε ἄλλα φησίν, ἀτὰρ δὴ ⟨καὶ⟩ τοῦτον τὸν τρόπον·

Ὥς εἰπὼν ὄχλοιο περίστασιν εἰσκατέδυνεν.
Οἱ δέ μιν ἠΰτε γλαῦκα πέρι σπίζα⟨ι⟩ τερατοῦντο
ἠλέματον δεικνύντες, ὁθούνεκεν ὀχλοάρεσκος.
Οὐ μέγα πρῆγμα, τάλας· τί πλατύνεαι ἠλίθιος ὥς;

Οὐ μὴν ἀλλ' οὕτως ἄτυφος ἦν, ὥστε τοῖς μαθηταῖς παρῄνει καὶ ἄλλων ἀκούειν. Καί τινος Χίου νεανίσκου μὴ εὐαρεστουμένου τῇ διατριβῇ αὐτοῦ, ἀλλ' Ἱερωνύμου τοῦ προειρημένου, αὐτὸς ἀπαγαγὼν συνέστησε τῷ φιλοσόφῳ, παραινέσας εὐτακτεῖν.

Χάριεν δ' αὐτοῦ φέρεται κἀκεῖνο· πρὸς τὸν πυθόμενον 43
διὰ τί ἐκ μὲν τῶν ἄλλων μεταβαίνουσιν εἰς τὴν Ἐπικούρειον, ἐκ δὲ ⟨τῆς⟩ τῶν Ἐπικουρείων οὐδέποτε, ἔφη· "Ἐκ μὲν γὰρ ἀνδρῶν Γάλλοι γίνονται, ἐκ δὲ Γάλλων ἄνδρες οὐ γίνονται."

Λοιπὸν δὲ πρὸς τῷ τέλει γινόμενος ἅπαντα κατέλιπε

6–9 Timonis B 34 Diels; *Suppl. Hell.* 808 **11** Καί τινος – **14** Hieronymi Fr. 6 Wehrli **15** πρὸς – **19** Arsen. *Viol.*, p. 119

1 Ἀριδείκην Wilamowitz (p. 75) ex P. Herc. 1021, col. 20.7 Dorandi : ἀρίδηλον **BPF** **2** αὐτὸν **B** | εἶπεν **φ** et Stephanus : εἰπεῖν **BPF** | ἀλλ' **Pφ** : ἀλλὰ **BF** **4** τείμων **B** **5** καὶ add. Cobet **7** πέρι σπίζα⟨ι⟩ Casaubon et Salmasius : περισπιζα **BPF**[2]**φ** **8** ἠλέματον **BPφ** : ἡ δὲ μάγω **F** | ὅθ' οὕνεκα **φ** : ὁθούνεκε **B** | ὀχλοάρεσκος **D** : ὀχλοαρέσκης **P**[1]**Q** : ὄχλω ἀρέσκεις **BFφ** **9** τάλας ss. **F**[2] | πλατύνεται **F**, πλατύνε · αι **B** **15** φέρεται **BP** : φαίνεται **F** **16** ἐπικούριον **B** **17** τῆς addidi **20** γενόμενος **F** | κατέλιπε **P**, κατέλειπε **B** : καταλέλοιπε **F**

Πυλάδῃ τῷ ἀδελφῷ τὰ αὑτοῦ, ἀνθ' ὧν ἐς Χῖον αὐτὸν προήγαγε τὸν Μοιρέαν λανθάνων, κἀκεῖθεν εἰς Ἀθήνας ἀπήγαγε. Περιὼν δὲ ⟨τῇ οὐσίᾳ⟩ οὔτε γύναιον εἰσηγάγετο οὔτε ἐπαιδοποιήσατο. Τρεῖς τε διαθήκας ποιησάμενος ἔθετο τὴν μὲν ἐν Ἐρετρίᾳ πρὸς Ἀμφίκριτον, τὴν δὲ Ἀθήνησι παρά τινας τῶν φίλων, τὴν δὲ τρίτην ἀπέστειλεν εἰς οἶκον πρὸς Θαυμασίαν, ἕνα τινὰ τῶν ἀναγκαίων, ἀξιώσας διατηρῆσαι· πρὸς ὃν καὶ γράφει ταυτί·

"Ἀρκεσίλαος Θαυμασίᾳ χαίρειν.

44 Δέδωκα Διογένει διαθήκας ἐμαυτοῦ κομίσαι πρὸς σέ· διὰ γὰρ τὸ πολλάκις ἀρρωστεῖν καὶ τὸ σῶμα ἀσθενῶς ἔχειν ἔδοξέ μοι διαθέσθαι, ἵν' εἴ τι γένοιτο ἀλλοῖον, μή τι σὲ ἠδικηκὼς ἀπίω τὸν εἰς ἐμὲ ἐκτενῶς οὕτω πεφιλοτιμημένον. Ἀξιοπιστότατος δὲ εἶ τῶν ἐνθάδε σύ μοι τηρεῖν αὐτὰς διά τε τὴν ἡλικίαν καὶ τὴν πρὸς ἡμᾶς οἰκειότητα. Πειρῶ οὖν, μεμνημένος διότι σοι πίστιν τὴν ἀναγκαιοτάτην παρακατατίθεμαι, δίκαιος ἡμῖν εἶναι, ὅπως ὅσον ἐπὶ σοὶ τὰ κατ' ἐμὲ εὐσχημόνως ᾖ μοι διῳκημένα. Κεῖνται δὲ Ἀθήνησιν αὗται παρά τισι τῶν γνωρίμων καὶ ἐν Ἐρετρίᾳ παρ' Ἀμφικρίτῳ."

Ἐτελεύτησε δέ, ὥς φησιν Ἕρμιππος, ἄκρατον ἐμφορηθεὶς πολὺν καὶ παρακόψας, ἤδη γεγονὼς ἔτος πέμπτον καὶ ἑβδομηκοστόν, ἀποδεχθεὶς πρὸς Ἀθηναίων ὡς οὐδείς.

9-20 Hercher, p. 131 **21–23** Hermippi Fr. 43 Wehrli **22-23** Eudoc. *Viol.* 171

1 τἀδελφῷ **F** | αὑτοῦ Huebner : αὐτοῦ **BPF** **2** προήγαγε **P** : προσήγαγε **B** : παρήγαγε **F** | μυρέαν **P**^{1} (corr. **P**^{2}**Q**) **3** περιὼν **BPF** : περιιὼν Cobet, † περιιὼν Wilamowitz (p. 76) | τῇ οὐσίᾳ addidi conl. 4.38 | εἰσηγάγετο **B** : ἐπηγάγετο **PFV** **5** ἐν **FP**^{4}**H** : om. **BP**^{1}**Q** | ἐρετρῇ **P**^{1}**Q** (corr. **P**^{4}**H**) **7** τινὰ om. **P**^{1}**Q**, add. **P**^{4}**H** **8** ταυτα **B**^{2} **12** ἀλλ' οἷον **B** | μήτοι **B** **14** καὶ ἀξιοπιστώτατος **F** | δε εἶ **F** : δ' αἰεὶ **BP** | τηρεῖν Reiske : τηρῶν **BPF** **17** ὅσον om. **F** **19** τισι **BF** : τινι **PV** **22** ὡς ἔτος **F** **23** πρὸς **BF** : παρ' **PV**

Ἔστι καὶ εἰς τοῦτον ἡμῶν· 45

Ἀρκεσίλαε, τί μοι, τί τοσοῦτον ἄκρητον ἀφειδῶς
ἔσπασας, ὥστε φρενῶν ἐκτὸς ὄλισθες ἐών;
Οἰκτείρω σ' οὐ τόσσον ἐπεὶ θάνες, ἀλλ' ὅτι Μούσας
ὕβρισας οὐ μετρίῃ χρησάμενος κύλικι.

Γεγόνασι δὲ καὶ ἄλλοι τρεῖς Ἀρκεσίλαοι· ποιητὴς ἀρχαίας κωμῳδίας, ἄλλος ἐλεγείας, ἕτερος ἀγαλματοποιός· εἰς ὃν καὶ Σιμωνίδης ἐποίησεν ἐπίγραμμα τουτί·

Ἀρτέμιδος τόδ' ἄγαλμα, διηκόσιαι δ' ἄρ' ὁ μισθὸς
δραχμαὶ ταὶ Πάριαι, τῶν ἐπίσημα ⟨τ⟩ράγος.
Ἀσκητὸς δ' ἐποίησεν Ἀθηναίης παλάμῃσιν
⟨Ν⟩άξιος Ἀρκεσίλας υἱὸς Ἀριστοδίκου.

Ὁ δὲ προειρημένος φιλόσοφος, καθά φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς, ἤκμαζε περὶ τὴν ⟨* καὶ⟩ εἰκοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα.

2–5 *Anth. Pal.* 7.104. Arsen., p. 119. Cf. *Suda,* E 3181 **6–7** *PCG* II **9–12** *Anth. Pal., App.* 3.9. Simonidis Fr. 157 Bergk; Arsen. *ib.* **13–15** *FGrHist* 244 F 16. Cf. Eudoc. *Viol.* 171

1 τούτων **B** **2** τί τοσοῦτον **BP** et Arsen. : τί τόσον *Pal.* : τόσον **F**^{1}, *Suda* : τόσσον **F**^{2} **3** ὄλισθες ἐὼν **P**^{4}**H**, *Pal., Suda* : ὤλισθες ἐὼν **F** : ὀλίσθαισεων **B**^{1} : ὀλλεῖσθαι σε ὧν **B**^{2} : ὀλέσθαι ὃν **P**^{1}**QW** **4** οἰκτείρω σ' οὐ **FP**^{4}**H** et Arsen. : οἰκτείρω δ' οὐ *Pal.* : οἰκτείρων κ' οὐ **BP**^{1}**Q** **5** κίλικι **F** **8** σιμονίδης **B** **9** δ' ἀρ **F**, δ' ἄρ' Menagius : γὰρ **PB**^{2} (ss.) et Arsen. **10** ταὶ **BP**^{4}**H** : τὲ **FP**^{1}**Q** : τοι Arsen. | τῶν δ' Arsen. | ἐπίσημα τράγος Heyne (*Comm. soc. reg.* 10, 105) : ἐπίσημ' ἄρατος **BPF** et Arsen. **11** ἀσκητὸς δ' **BP** : ἀσκητὴς δ' **F** : ἀσκητῶς coni. Bergk **12** Νάξιος M. Schmidt : ἄξιος **BPF** et Arsen. | ἀρκεσίλας **F** : ἀρκεσίλαος **BP** et Arsen. | ἀριστοδίκου **BP** : ἀριστοδόκου **F** : ἀριστοδήμου Arsen. **14** post περὶ τὴν lac. indic. Mette : ἕκτην καὶ suppl. Diels (*Rh. Mus.* 31 [1876] 46 s.) : ὀγδόην καὶ suppl. Jacoby

ΒΙΩΝ

46 Βίων τὸ μὲν γένος ἦν Βορυσθενίτης, ὧντινων δὲ γονέων καὶ ἀφ' οἵων πραγμάτων ἦξεν ἐπὶ φιλοσοφίαν, αὐτὸς Ἀντιγόνῳ διασαφεῖ. Ἐρομένου γὰρ αὐτὸν

Τίς πόθεν εἰς ἀνδρῶν; Πόθι τοι πόλις ἠδὲ τοκῆες;

αἰσθόμενος ὅτι προδιαβέβληται, φησὶ πρὸς αὐτόν· "Ἐμοῦ ὁ πατὴρ μὲν ἦν ἀπελεύθερος, τῷ ἀγκῶνι ἀπομυσσόμενος (διεδήλου δὲ τὸν ταριχέμπορον), γένος Βορυσθενίτης, ἔχων οὐ πρόσωπον, ἀλλὰ συγγραφὴν ἐπὶ τοῦ προσώπου, τῆς τοῦ δεσπότου πικρίας σύμβολον· μήτηρ δὲ οἵαν ὁ τοιοῦτος ἂν γήμαι, ἀπ' οἰκήματος. Ἔπειτα ὁ πατὴρ παρατελωνησάμενός τι πανοίκιος ἐπράθη μεθ' ἡμῶν. Καί με ἀγοράζει τις ῥήτωρ νεώτερον ὄντα καὶ εὔχαριν· ὃς καὶ
47 ἀποθνήσκων κατέλιπέ μοι πάντα. Κἀγὼ κατακαύσας αὐτοῦ τὰ συγγράμματα καὶ πάντα συγξύσας Ἀθήναζε ἦλθον καὶ ἐφιλοσόφησα.

Ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.

Ταῦτά ἐστι τὰ κατ' ἐμέ. Ὥστε παυσάσθωσαν Περσαῖός τε καὶ Φιλωνίδης ἱστοροῦντες αὐτά· σκόπει δέ με ἐξ ἐμαυτοῦ."

Καὶ ἦν ὡς ἀληθῶς ὁ Βίων τὰ μὲν ἄλλα πολύτροπος καὶ

2–p. 297.16 ed. J.F. Kindstrand (1976), 103–105 **2–20** Bionis F 1A Kindstrand **5** *Odyss.* 1.170; 10.325 et al. Cf. Stob. 4.29a.13 **17** *Iliad.* 6.211 **18–19** *SVF* I, Fr. 459 **21–p. 291.3** δυνάμενος : T 2A K. Cf. Eudoc. *Viol.* 235

1 *tit.* **P** : om. **BF** **2** βωρυσθενείτης **B** **3** ἦξεν coni. Croenert (*Kolotes*, 177) **4** ἐρωμένου **BF** **5** ἧς **F** | ποθεῖ **B**^{2} | ἠὲ **F** **6** αἰσθανόμενος **F** | ἐμοῦ **BPFΦ** et *Suda* : ἐμοὶ Cobet **8** ἐδήλου **Φ** | βωρυσθενείτης **B** **10** σύμβουλον **B** **11** γήμαι **ΦQ**^{2} : γῆμαι **BPF** **12** πανοίκιον **Φ** **15–16** ἦλθον ἀθήναζε **F** **19** ὑστεροῦντες **F**

σοφιστὴς ποικίλος καὶ πλείστας ἀφορμὰς δεδωκὼς τοῖς βουλομένοις καθιππάζεσθαι φιλοσοφίας· ἔν τισι δὲ καὶ πότιμος καὶ ἀπολαῦσαι τύφου δυνάμενος. Πλεῖστά τε καταλέλοιπεν ὑπομνήματα, ἀλλὰ καὶ ἀποφθέγματα χρειώδη πραγματείαν περιέχοντα. Οἷον ὀνειδιζόμενος ἐπὶ τῷ μὴ θηρᾶσαι μειράκιον, "Οὐχ οἷόν τε," εἶπεν, "ἁπαλὸν τυρὸν ἀγκίστρῳ ἐπισπᾶσθαι." Ἐρωτηθείς ποτε τίς μᾶλλον 48 ἀγωνιᾷ, ἔφη· "Ὁ τὰ μέγιστα βουλόμενος εὐημερεῖν." Ἐρωτηθεὶς εἰ γήμαι (ἀναφέρεται γὰρ καὶ εἰς τοῦτον), ἔφη· "Ἐὰν μὲν γήμῃς αἰσχράν, ἕξεις ποινήν· ἂν δὲ καλήν, ἕξεις κοινήν."

Τὸ γῆρας ἔλεγεν ὅρμον εἶναι κακῶν· εἰς αὐτὸ γοῦν πάντα⟨ς⟩ καταφεύγειν. Τὴν δόξαν ⟨ἀνιῶν ἀσχ⟩έτων μητέρα εἶναι· τὸ κάλλος ἀλλότριον ἀγαθόν· τὸν πλοῦτον νεῦρα πραγμάτων. Πρὸς τὸν τὰ χωρία κατεδηδοκότα, "Τὸν μὲν Ἀμφιάραον," ἔφη, "ἡ γῆ κατέπιε, σὺ δὲ τὴν γῆν."

3 Πλεῖστά τε – **5** περιέχοντα : T 7A K. Cf. Eudoc. *Viol.* 235 **5** Οἷον – **7** ἐπισπᾶσθαι : F 58 K. **7** Ἐρωτηθεὶς – **8** εὐμηερεῖν : F 24 K. **9** Ἐρωτηθεὶς – **11** κοινήν : F 61A K. Cf. DL. 6.3; *Gnom. Vat.* 2; Paris. gr. 1168 Nr. 14 **12-13** F 62A K. Cf. Paris. gr. 1168 Nr. 15 **13** Τὴν δόξαν – **14** εἶναι : F 22 K. Cf. Teletem ap. Stob. 3.1.98 (Fr 2 Hense) : ἀνιάσῃ ... ὑπὸ τῆς ψευδοῦς δόξης (F 21 K.) **14** τὸ κάλλος – ἀγαθόν : F 54 K. **14–15** F 46 K. **15** Πρὸς – **16** τὴν γῆν : F 45 K.

1 πλείστας **BF**, *Suda*, Eudoc. : παῖς· τὰς **P** **3** πότιμος **BPF** : πομπικὸς Cobet | ἀπολαῦσαι **BPF** : ἀποκλῦσαι Reiske (conl. Plat. *Phaedri* 243 d 5) **5** περιέχοντα **B** : ἔχοντα **PF** et Eudocia | τῶ **PΦ** : τὸ **BF** **6** εἶπεν **Φ** et Cobet : εἰπεῖν **BPF** **8** ὅ τε τὰ **P**[1]**Q**, corr. **P**[4]**H** **9** γήμαι **B**[1] : γῆμαι **PF** : γαμητέον **Φ** **10** ἐὰν : ἂν **Φ** | ἂν : ἐὰν **F** **12** κακὸν **F** **13** πάντας coni. Kindstrand (cf. p. 293.14 πάντες) : πάντα **BPFΦ** | ⟨ἀνιῶν ἀσχ⟩έτων scripsi : ἀνιῶν Reiske : ἐτῶν **BPFΦ** : ἀτῶν Mer. Casaubon : ἀρετῶν Hirzel (*Der Dialog*, I, 377 n. 2) et Richards : θεῶν Croenert (*Kolotes*, 32 n. 168) : αἰτιῶν Gigante (*Epimetron*, II, 640) **16** ἀμφιάραων **F**

Μέγα κακὸν τὸ μὴ δύνασθαι φέρειν κακόν. Κατεγίνωσκε
δὲ καὶ τῶν τοὺς νεκροὺς κατακαόντων μὲν ὡς ἀναισθή-
49 τους, παρακαόντων δὲ ⟨αὐτοῖς⟩ ὡς αἰσθανομένοις. Ἔλεγε
δὲ συνεχὲς ὅτι αἱρετώτερόν ἐστι τὴν ὥραν ἄλλῳ χα-
ρίζεσθαι ἢ ἀλλοτρίας ἀποδρέπεσθαι· καὶ γὰρ εἰς σῶμα
βλάπτεσθαι καὶ εἰς ψυχήν. Διέβαλλε δὲ καὶ τὸν
Σωκράτην, λέγων ὡς εἰ μὲν εἶχεν Ἀλκιβιάδου χρείαν καὶ
ἀπείχετο, μάταιος ἦν· εἰ δὲ μὴ εἶχεν, οὐδὲν ἐποίει παρά-
δοξον. Εὔκολον ἔφασκε τὴν εἰς ᾅδου ὁδόν· καταμύοντας
γοῦν ἀπιέναι. Τὸν Ἀλκιβιάδην μεμφόμενος ἔλεγεν ὡς
νέος μὲν ὢν τοὺς ἄνδρας ἀπάγοι τῶν γυναικῶν, νεανίσκος
δὲ γενόμενος τὰς γυναῖκας τῶν ἀνδρῶν. Ἐν Ῥόδῳ τὰ
ῥητορικὰ διασκούντων Ἀθηναίων τὰ φιλοσοφούμενα
ἐδίδασκε· πρὸς οὖν τὸν αἰτιασάμενον ἔφη· "Πυροὺς
ἐκόμισα καὶ κριθὰς πιπράσκω;"
50 Ἔλεγε τοὺς ἐν ᾅδου μᾶλλον ἂν κολάζεσθαι εἰ ὁλο-
κλήροις καὶ μὴ τετρημένοις ἀγγείοις ὑδροφόρουν. Πρὸς

1 F 23 K. **1** Κατεγίνωσκε – **3** F 71 K. Cf. *Gnom. Vat.* 20 πάραδοξον· τὸ τοὺς νεκροὺς καίεσθαι μὲν ὡς ἀναισθήτους, ἀποκαίεσθαι δὲ αὐτοῖς ὡς αἰσθανομένοις **3** Ἔλεγε δὲ – **6** ψυχήν : F 57 K. **6** Διέβαλλε – **8** παράδοξον : F 59 K. **9** Εὔκολον – **10** ἀπιέναι : F 66 K. Cf. *Gnom. Vat.* 528; Stob. 4.52b.28 **10** Τὸν – **12** τῶν ἀνδρῶν : F 60 K. **12** Ἐν – **15** F 4 K. **16–17** ὑδροφόρουν : F 28 K **17** Πρὸς – **p. 293.3** μὴ ἔλθῃς : F 74 K.

2 νεκροὺς scripsi ex *Gnom.* : μὲν ἀνθρώπους **BP**[1] : ἀνθρώπους **FΦP**[5] **2** ὡς – **3** ἔλεγε δὲ in mg super. **F**[2] **3** παρακα(ι)όντων **BPF**[2]**Φ** (ἀποκαίεσθαι *Gnom.*) : παρακαλούντων Menagius : παρακλαιόντων Gassendi | αὐτοῖς addidi ex *Gnom.* | αἰσθανομένοις Kindstrand ex *Gnom.* : αἰσθανομένους **BPFΦ** **4** ἄλλος **F** **5** post εἰς σῶμα addit τὸν τοιοῦτον **Φ** **6** διέβαλε **F** **16** ἔλεγε **BPΦ** : ἔλεγε δὲ **F** **17** μὴ τετρημένοις **BP**[1]**QΦ** : μεμετρημένοις **FP**[4]**H** | ὑδροφορεῖν **F**

τὸν ἀδολέσχην λιπαροῦντα συλλαβέσθαι αὐτῷ, "Τὸ
ἱκανόν σοι ποιήσω," φησίν, "ἐὰν παρακλήτους πέμψῃς
καὶ αὐτὸς μὴ ἔλθῃς." Πλέων μετὰ πονηρῶν λῃσταῖς περι-
έπεσε· τῶν δέ, "Ἀπολώλαμεν," εἰπόντων, "ἐὰν γνωσθῶ-
μεν," "Ἐγὼ δέ," φησίν, "ἐὰν μὴ γνωσθῶμεν." Τὴν οἴησιν
ἔλεγε προκοπῆς ἐγκοπήν. Πρὸς τὸν μικρολόγον πλούσιον,
"Οὐχ οὗτος," ἔφη, "τὴν οὐσίαν κέκτηται, ἀλλ' ἡ οὐσία
τοῦτον." Ἔλεγε τοὺς μικρολόγους τῶν μὲν ὑπαρχόντων
ὡς ἰδίων ἐπιμελεῖσθαι, ὡς δὲ ἐξ ἀλλοτρίων μηδὲν
ὠφελεῖσθαι. Τῇ μὲν ἀνδρείᾳ νέους ὄντας ⟨ἡμᾶς δεῖν⟩ ἔφη
χρῆσθαι, τῇ δὲ φρονήσει γηράσκοντας ἀκμάζειν. Το- 51
σοῦτον διαφέρειν τὴν φρόνησιν τῶν ἄλλων ἀρετῶν, ὅσον
τὴν ὅρασιν τῶν ἄλλων αἰσθήσεων. Μὴ δεῖν ἔφασκεν
ὀνειδίζειν τὸ γῆρας, εἰς ὃ [ἔφη] πάντες εὐχόμεθα ἐλθεῖν.
Πρὸς τὸν βάσκανον ἐσκυθρωπακότα, "Οὐκ οἶδα," ἔφη,
"πότερον σοὶ κακὸν γέγονεν ἢ ἄλλῳ ἀγαθόν." Τὴν δυσ-
γένειαν πονηρὸν ἔλεγεν εἶναι σύνοικον τῇ παρρησίᾳ·

δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύστομός τις ᾖ.

3 Πλέων – 5 F 79 K. 5 Τὴν οἴησιν – 6 ἐγκοπήν : F 20 K. Cf. 22 B 131 DK; *Gnom. Vat.* 306 6 Πρὸς – 8 τοῦτον : F 36 K. 8 Ἔλεγε – 10 ὠφελεῖσθαι : F 37 K. 10 Τῇ μὲν – 11 ἀκμάζειν : F 65 K. 11 Τοσοῦτον – 13 αἰσθήσεων : F 12A K. Cf. Paris. gr. 1168 Nr. 16 13 Μὴ – 14 ἐλθεῖν : F 63 K. 15 Πρὸς – 16 ἀγαθόν : F 48 K. 16 Τὴν δυσγένειαν – 18 F 53 K. 18 Eurip. *Hippol.* 424

1 συλλαβέσθαι αὐτῷ **BPΦ** : αὐτῷ συλλαβέσθαι **F** 3 πλέον **B**^{2} 5 δὲ **BPΦ** : δέ γε **F** | μὴ γνωσθῶ Cobet 6 τὸν μικρολόγον πλούσιον **FΦ** : τὸν (om. **P**) πλούσιον μικρολόγον **BP** 9 ἐξ om. **F** 10 ἡμᾶς δεῖν addidi | ἔφη ante νέους ὄντας **F** 11 χρῆσαι **F** 12 τῶν add. **F**^{1} 14 ἔφη delevi, om. **Φ** 15 ἐσκυθρωπακότα, **PΦ** : σκυθρωπάζοντα **F** : ἐσκυθρωπακέναι **B** 16 ἄλλο **F**^{1} (corr. **F**^{2}) | δυσγένειαν Menagius : δυσσέβειαν **BPFΦ** 17 ἔλεγεν post σύνοικον **F** 18 θρασύστομος **BPΦ** : θρασύσπλαγχνος **F** et Eurip.

Τοὺς φίλους ὁποῖοι ἂν ὦσι συντηρεῖν, ἵνα μὴ δοκοίημεν
πονηροῖς κεχρῆσθαι ἢ χρηστοὺς παρῃτῆσθαι.

Οὗτος τὴν ἀρχὴν μὲν προῃρεῖτο τὰ Ἀκαδημαϊκά, καθ'
ὃν χρόνον ἤκουε Κράτητος· εἶτ' ἐπανείλετο τὴν Κυνικὴν
52 ἀγωγήν, λαβὼν τρίβωνα καὶ πήραν. Καὶ τί γὰρ ἄλλο,
μετεσκεύασεν αὐτὸν πρὸς ἀπάθειαν. Ἔπειτα ἐπὶ τὰ Θεο-
δώρεια μετῆλθε διακούσας Θεοδώρου τοῦ Ἀθέου κατὰ
πᾶν εἶδος λόγου σοφιστεύοντος· μεθ' ὃν Θεοφράστου διή-
κουσε τοῦ Περιπατητικοῦ.

Ἦν δὲ καὶ θεατρικὸς καὶ πολὺς ἐν τῷ γελοίως διαφορῆσαι, φορτικοῖς ὀνόμασι κατὰ τῶν πραγμάτων χρώμενος. Διὰ δὴ οὖν τὸ παντὶ εἴδει κεκρᾶσθαι λόγου φασὶ λέγειν ἐπ' αὐτοῦ τὸν Ἐρατοσθένην ὡς πρῶτος Βίων φιλοσοφίαν ἀνθινὰ ἐνέδυσεν. Εὐφυὴς γὰρ ἦν καὶ παρῳδῆσαι· οἷά ἐστιν αὐτοῦ καὶ ταῦτα·

Ὦ πέπον Ἀρχύτα, ψαλληγενές, ὀλβιότυφε,
τῆς ὑπάτης ἔριδος πάντων ἐμπειρότατ' ἀνδρῶν.

53 Καὶ ὅλως καὶ μουσικὴν καὶ γεωμετρίαν διέπαιζεν.

1–2 F 49 K. **3–9** τοῦ Περιπατητικοῦ : T 19 K. **6–8** Fr. 254 B Mannebach; IV H 28 Giannantoni **10** Ἦν δὲ – **14** ἐνέδυσεν : T 11 K. Cf. *FGrHist* 241 T 10 (ap. Stob. 1.2.2); P. Herc. 1055, col. 18.1–5 De Falco **14** Εὐφυὴς – **18** διέπαιζεν : F 7 et 8 K. **16–17** Wachsmuth, *Sillogr.*, p. 201 s. Cf. *Iliad.* 3.182; 1.146

1 δοκείημεν **F** **2** παρητεῖσθαι **F** **3** προῃρεῖτο Madvig et Hirzel (*Untersuch.*, II, 60 n. 2), προῄρητο iam Reiske : παρητεῖτο **BPF** **4** ἤκουσε **F** | ἀνείλετο **P** **5** τί γὰρ ἄλλο ⟨ἢ⟩ Hirzel (*Der Dialog*, I, 376 n. 1) **6** αὑτὸν **P** et Hirzel : αὐτὸν **BF** | πρὸς **BP** : εἰς **F** **8** λόγου ss. **F^2** | ἤκουσε **F** **10** γελοίως Reiske et Richards : γελοίῳ **B^{2}PF** **12** τῶ **B** **13** ἐρατοσθένην **FΦ** : ἐρατοσθένη **BP** | τὴν φιλοσοφίαν **P** **14** ἄνθινα **F** : ἀνθεινὰ **BP** : om. **Φ** | ἐνέδυσεν **FΦP^{4}H** : ἐνδύσαι **B^{2}P^{1}Q** **15** ἔνεστιν **B^2** (εστιν **B^1**) **16** ψαλμηγενές Reiske **17** ἐμπειρότατε **BPFΦ**, corr. **D**

Ἦν τε πολυτελής· καὶ διὰ τοῦτο πόλιν ἐκ πόλεως ἤμειβεν, ἐνίοτε καὶ φαντασίαν ἐπιτεχνώμενος. Ἐν γοῦν Ῥόδῳ τοὺς ναύτας ἔπεισε σχολαστικὰς ἐσθῆτας ἀναλαβεῖν καὶ ἀκολουθῆσαι αὐτῷ· σὺν οἷς εἰσβάλλων εἰς τὸ γυμνάσιον περίβλεπτος ἦν. Εἰώθει τε νεανίσκων τινῶν υἱοθεσίας ποιεῖσθαι εἰς τὸ ἀποχρῆσθαι αὐτοῖς ἔς τε τὰς ἡδονὰς καὶ ὥστε φυλάττεσθαι ὑπ' εὐνοίας αὐτῶν· ἀλλὰ καὶ φίλαυτος ἦν ἰσχυρῶς καὶ πολὺς ἐγκείμενος τῷ Κοινὰ τὰ φίλων. Παρ' ὃ καὶ οὐδεὶς αὐτοῦ μαθητὴς ἐπιγράφεται, τοσούτων αὐτῷ σχολασάντων· καίτοι τινὰς εἰς ἀναισχυντίαν προῆγεν. Ὁ γοῦν Βιττίων εἷς τῶν συνήθων αὐτῷ πρὸς Μενέδη- 54
μόν ποτε λέγεται εἰπεῖν· "Ἐγώ τοι, ὦ Μενέδημε, νύκτωρ συνδέομαι Βίωνι καὶ οὐδὲν ἄτοπον δοκῶ γε πεπονθέναι." Πολλὰ δὲ καὶ ἀθεώτερον προεφέρετο τοῖς ὁμιλοῦσι, τοῦτο Θεοδώρειον ἀπολαύσας.

Καὶ ὕστερόν ποτε ἐμπεσὼν εἰς νόσον, ὡς ἔφασκον οἱ ἐν Χαλκίδι (αὐτόθι γὰρ καὶ κατέστρεψε), περίαπτα λαβεῖν ἐπείσθη καὶ μεταγινώσκειν ἐφ' οἷς ἐπλημμέλησεν εἰς τὸ θεῖον. Ἀπορίᾳ δὲ καὶ τῶν νοσοκομούντων δεινῶς διετίθετο, ἕως Ἀντίγονος αὐτῷ δύο θεράποντας ἀπέστειλε. Καὶ ἠκολούθει γε αὐτῷ ἐν φορείῳ, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ. Ἀλλὰ καὶ ὣς κατέστρεψε· καὶ ἡμεῖς

1–15 T 3 K. **14–15** IV H 28 Giannantoni **16** Καὶ ὕστερον – **22** ἱστορίᾳ : T 5 K. Favorini Fr. 34 Mensching

1 τε **BPF** : δὲ **Φ** | τοῦτο ss. **F**^{2} **2** ἐντεχνόμενος **B** **4** εἰσβάλλων **PF** : εἰσβάλων **B** : εἰσβαλὼν **Φ** **5** ἦν ss. **F**^{2} **6** ἔς **B**^{1}**PΦ** : εἰς **B**^{2}**F** **10** ἀναισχυντείας **F** | προσῆγεν **F** **11** βιττίων **BPΦ** : βιτίων **F** : Βητίων *Frob.* | post συνήθων addit ὑπάρχων **F** **13** συνδέδεμαι Reiske **14** προεφέρετο Cobet : προσεφέρετο **BPFΦ** | τοῖς ὁμιλοῦσιν αὐτῷ **Φ** | τοῦτο δὲ **F** **17** χαλκίδι **FP**^{3}**WH** : χαλδὶ **B**, χάλδη **P**^{1}**Q** : χαλδία **Φ** **18** μεταγινώσκειν **BPΦ** : μετεγίνωσκεν **F** | ἐς **P** **21** ἠκολούθει (sc. Βίων Ἀντιγόνῳ, Mensching) **BPF** : ἠκολούθουν (sc. οἱ θεράποντες) Gigante | γε αὐτῷ **BPF** : δὲ αὐτὸς Reiske

αὐτὸν οὕτως ἠτιασάμεθα·

55 Βίωνα, τὸν Βορυσθένης ἔφυσε γῆ Σκύθισσα,
λέγειν ἀκούομεν θεοὺς ὡς οὐδέν εἰσιν ὄντως.
Κεἰ μὲν τὸ δόγμα τοῦτ' ἔχων ἔμιμνεν, ἦν ἂν εἰκὸς
λέγειν· "Φρονεῖν ὅπως δοκεῖ· κακῶς μέν, ἀλλ' ἔδοξε."
Νῦν δ' ἐς νόσον πεσὼν μακρὴν καὶ μὴ θάνῃ δεδοικὼς
ὁ μὴ θεοὺς εἶναι λέγων, ὁ νηὸν οὐδὲ βλέψας,
56 ὁ πολλὰ χλευάσας βροτούς, ὅσοι θεοῖς ἔθυον,
οὐ μοῦνον ἐσχάρης ὕπερ βωμῶν τε καὶ τραπέζης
κνίσῃ, λίπει, θυήμασιν θεῶν ἔδαισε ῥῖνας·
οὐδ' εἶπε μοῦνον "Ἤλιτον, σύγγνωτε τοῖς πρίν·" ἀλλὰ
καὶ γραῒ δῶκεν εὐμαρῶς τράχηλον εἰς ἐπῳδὴν
καὶ σκυτίσιν βραχίονας πεπεισμένως ἔδησε·
57 ῥάμνον τε καὶ κλάδον δάφνης ὑπὲρ θύρην ἔθηκεν,
ἅπαντα μᾶλλον ἢ θανεῖν ἕτοιμος ὢν ὑπουργεῖν.
Μωρὸς δ' ὃς ἤθελέν τινος μισθοῦ τὸ θεῖον εἶναι,
ὡς τῶν θεῶν ὄντων ὅταν Βίων θέλῃ νομίζειν.

2-p. 297.3 *Anth. Pal., App.* 5.37; **φ** 13

1 ἠτιασάμεθα ss. **F**^{2} **2** Βορυσθένης ἔφυσε γῆ Σκύθισσα Cobet : βορυσθενίτην ἔφησεν ἡ σκύθισσα **P**^{1}**Qφ**, βορυσθενείτην ἔφησεν ἡ σκύθεισσα **B** : βορυσθενίτην ὃν ἔφησεν ἡ σκυθὶς αἶα **FP**^{4}**H** **3** ἀλέγειν **F** | ἀκούωμεν **B** **5** κακῶς μὲν **BPφ** : μὲν κακὸς **F** **6** νῦν add. **B**^{2} | μακρὴν **BP**^{1}**Fφ** : μακρὰν **P**^{2}**Q** **7** ὁ νεὸν **FP**^{4}**H** : ονηουν **Bφ**, ὀνηοῦν **P**^{1}**Q** **8** ὅσοι Cobet : οἳ **BPFφ** : οἵπερ Stephanus : οἳ τοῖς *Aldobr.* **9** οὐ **BPφ** : καὶ **F** | μόνον **B**^{1} (corr. **B**^{2}) **φ** | ὕπερ **PF** : ὑπὲρ **Bφ** **10** κνείσῃ **B** : κνίσσῃ **PFφ** | λίπει **FP**^{4}**H** : λειπει **B** : λίπῃ **P**^{1}**Q** | θυήμασι **FP**^{4}**H** : θυλήμασιν **BP**^{1}**Q** : θυηλήμασι **φ** | ἔδαισε **P**^{2}**Q** : ἔδεσε **BP**^{1} : ἔδησε **F** : ἔδισε **φ** **11** ἤλειτον **B** **13** σκυτίσιν **B**^{1} : σκυτίσι **B**^{2}**PFφ** | πεπεισμένως **B** : πεπεισμένος **PFφ** | ἔδησεν **B**^{1} **16** ἤθελεν **F** : ἤθελε **BPφ** **17** θέλει **F**

Τοιγὰρ μάτην φρονῶν, ὅτ' ἦν ἅπας ὁ λέμφος ἄνθραξ,
τὴν χεῖρα τείνας ὧδέ πως, "Χαῖρ'," εἶπε, "χαῖρε,
Πλουτεῦ."

Γεγόνασι δὲ Βίωνες δέκα· πρῶτος ὁ Φερεκύδῃ τῷ 58
Συρίῳ συνακμάσας, οὗ φέρεται βιβλία δύο Ἰάδι· ἔστι δὲ Προκοννήσιος. Δεύτερος Συρακούσιος, τέχνας ῥητορικὰς γεγραφώς· τρίτος αὐτὸς οὗτος· τέταρτος Δημοκρίτειος καὶ μαθηματικός, Ἀβδηρίτης, Ἀτθίδι γεγραφὼς καὶ Ἰάδι· οὗτος πρῶτος εἶπεν εἶναί τινας οἰκήσεις, ἔνθα γίνεσθαι ἓξ μηνῶν τὴν νύκτα καὶ ἓξ τὴν ἡμέραν. Πέμπτος Σολεύς, Αἰθιοπικὰ γεγραφώς· ἕκτος ῥητορικός, οὗ φέρεται ἐννέα βιβλία Μουσῶν ἐπιγραφόμενα· ἕβδομος μελικὸς ποιητής· ὄγδοος Μιλήσιος ἀνδριαντοποιός, οὗ μέμνηται καὶ Πολέμων· ἔνατος ποιητὴς τραγῳδίας τῶν Ταρσικῶν λεγομένων· δέκατος ἀγαλματοποιὸς Κλαζομένιος ἢ Χῖος, οὗ μέμνηται καὶ Ἱππῶναξ.

ΛΑΚΥΔΗΣ

Λακύδης Ἀλεξάνδρου Κυρηναῖος. Οὗτός ἐστιν ὁ τῆς 59
νέας Ἀκαδημίας κατάρξας καὶ Ἀρκεσίλαον διαδεξάμε-

4–16 Eudociae *Viol.* 235 **4** πρῶτος : *FGrHist* 14 T 1 **7** τέταρτος : φ 14; 77 A 1 DK **10** πέμπτος : *FGrHist* 89 T 1 **13** Polemonis Fr. 68 (*FHG* III, 135) **16** Fr. 95 Bergk **18–p. 299.6** ed. Mette, *Lustrum* 27 (1985), T 1a

1 ὁ in mg **F**^{2} | λέμφος G. Hermann : λέμβος **BPFφ** **2** τὴν Stephanus : τὴν δὲ **BPFφ** | προτείνας **F** **3** πλούτων **F** **4** φερεκύδῃ **F** : φερεκύδει **BP** et Eudocia **5** ἰάδι **D** : ταδὶ **BPF** : om. Eudoc., *Frob.* | δὲ καὶ **F** **6** πρικωνύσιος **F** | συρακούσιος **P** et Eudoc. : συρακόσιος **B** : συρρακούσιος **F** **7** ὁ αὐτὸς **BP** | δημοκρίτεος **B**, δημοκρίτιος **F** **8** ἀβδηρίτης **B** (-είτης) **Fφ** : αὐδηρίτης **P** et Eudoc. | ἀττίθι **P**^{1} (corr. **P**^{2}**Q**) **9** εἶναι om. **F** | γενέσθαι **B** **13** μειλήσιος **B**, μηλήσιος **F** **14** τραγωδίας ss. **F**^{2} **17** *tit.* **P** : om. **F** et **B** spatio relicto **18** ἐστὶν ss. **F**^{2} **19** καὶ om. **PV**

νος, ἀνὴρ σεμνότατος καὶ οὐκ ὀλίγους ἐσχηκὼς ζηλωτάς· φιλόπονός τε ἐκ νέου καὶ πένης μέν, εὔχαρις δ' ἄλλως καὶ εὐόμιλος. Τοῦτόν φασι καὶ περὶ οἰκονομίαν γλισχρότατα ἐσχηκέναι· ἐπειδὰν γάρ τι προέλοι τοῦ ταμείου, σφραγισάμενος πάλιν εἴσω τὸν δακτύλιον διὰ τῆς ὀπῆς ἐρρίπτει, ὡς μηδέποτε αὐτοῦ περιαιρεθείη τι καὶ βασταχθείη τῶν ἀποκειμένων. Μαθόντα δὴ τοῦτο τὰ θεραπόντια ἀπεσφράγιζε καὶ ὅσα ἐβούλετο ἐβάσταζεν· ἔπειτα τὸν δακτύλιον τὸν αὐτὸν τρόπον διὰ τῆς ὀπῆς ἐνίει εἰς τὴν στοάν· καὶ τοῦτο ποιοῦντα οὐδεπώποτε ἐφωράθη.

60 Ὁ γοῦν Λακύδης ἐσχόλαζεν ἐν Ἀκαδημίᾳ ἐν τῷ κατασκευασθέντι κήπῳ ὑπὸ Ἀττάλου τοῦ βασιλέως, ⟨ὃς⟩ καὶ Λακύδειον ἀπ' αὐτοῦ προσηγορεύετο. Καὶ μόνος τῶν ἀπ' αἰῶνος ζῶν παρέδωκε τὴν σχολὴν Τηλεκλεῖ καὶ Εὐάνδρῳ τοῖς Φωκαεῦσι. Παρὰ δὲ Εὐάνδρου διεδέξατο Ἡγησίνους Περγαμηνός, ἀφ' οὗ Καρνεάδης. Χάριεν δ' εἰς τὸν Λακύδην ἀναφέρεται· Ἀττάλου γὰρ αὐτὸν μεταπεμπομένου φασὶν εἰπεῖν τὰς εἰκόνας πόρρωθεν δεῖν θεωρεῖσθαι. Ὀψὲ δὲ αὐτῷ γεωμετροῦντι λέγει τις· "Εἶτα νῦν καιρός;" ⟨Καὶ ὅς·⟩ "Εἶτα μηδὲ νῦν;"

61 Ἐτελεύτησε δὲ σχολαρχεῖν ἀρξάμενος τῷ τετάρτῳ ἔτει τῆς τετάρτης καὶ τριακοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος, τῆς σχολῆς ἀφηγησάμενος ἓξ πρὸς τοῖς εἴκοσιν

3 Τοῦτον – **10** cf. Numenii Fr. 26 des Places (ap. Eus. *P.E.* 14.7.1–3) **21–22** i.e. 241–240

3 γλισχρότατα Th. Gataker et Menagius ex Numenio (ὑπογλισχρότερος) : γλυκύτατα **BPFV** **4** τι ss. **P**[2]**F**[2] **5** ἐρρείπτει **B** **6** τι καὶ Cobet : καί τι **B**[2]**P** et *Suda* : καί τοι **B**[1]**F** **7** τὰ θεραπόντια **BPΦ** : τὸν θεράποντα **F**[2] **8** ἐβούλετο **P** : ἠβούλετο **BPΦ** **9** τὸν om. **B** | τὸν αὐτὸν τρόπον om. **P** | ἐνείει **B** **10** οὐδέποτε **B** | ἐφοράθη **B** **11** ἀκαδημεία **B** **12** ὃς addidi **13** λακύδιον **BV** | προσηγόρευσε **F** **18–19** ὄψεται ἑαυτῶ γε μετροῦντι **B** **19** δὲ **P V** : τε **F** : (-ται **B**) **19–20** Καὶ ὅς add. Emperius : ὁ δέ add. Casaubon

ἔτη· ἡ τελευτὴ δ' αὐτῷ παράλυσις ἐκ πολυποσίας. Καὶ αὐτῷ προσεπαίξαμεν ἡμεῖς οὑτωσί·

Καὶ σέο, Λακύδη, φάτιν ἔκλυον, ὡς ἄρα καί σε
Βάκχος ἑλὼν Ἀΐδην ποσσὶν ἔσυρεν ἄκροις.
Ἦ σαφὲς ἦν· Διόνυσος ὅταν πολὺς ἐς δέμας ἔλθῃ,
λῦσε μέλη· διὸ δὴ μή τι Λυαῖος ἔφυ;

ΚΑΡΝΕΑΔΗΣ

Καρνεάδης Ἐπικώμου ἢ Φιλοκώμου, ὡς Ἀλέξανδρος **62**
ἐν Διαδοχαῖς, Κυρηναῖος. Οὗτος τὰ τῶν Στωϊκῶν βιβλία ἀναγνοὺς ἐπιμελῶς ⟨καὶ μάλιστα⟩ τὰ Χρυσίππου, ἐπιεικῶς αὐτοῖς ἀντέλεγε καὶ εὐημέρει τοσοῦτον, ὥστε ἐκεῖνο ἐπιλέγειν·

Εἰ μὴ γὰρ ἦν Χρύσιππος, οὐκ ἂν ἦν ἐγώ.

Φιλόπονος δὲ ἄνθρωπος γέγονεν εἰ καί τις ἄλλος, ἐν μὲν τοῖς φυσικοῖς ἧττον φερόμενος, ἐν δὲ τοῖς ἠθικοῖς μᾶλλον. Ὅθεν καὶ ἐκόμα καὶ ἔτρεφεν ὄνυχας ἀσχολίᾳ τῇ περὶ τοὺς λόγους. Τοσοῦτον δὲ ἴσχυσεν ἐν φιλοσοφίᾳ, ὥστε καὶ τοὺς ῥήτορας ἀπολύσαντας ἐκ τῶν σχολῶν παρ' αὐτὸν

3–6 *Anth. Pal.* 7.105 **8–p. 302.6** ἀναγίνωσκε : edd. Wisniewski (1970), Fr. 1; Mette (1985), T 1a **8–9** *FGrHist* 273 F 90 **13** cf. 7.183

2 οὑτωσί **P** : οὕτως· εἰ **BF** **3** σὲ ὁ **B** | λακύδη **F**$^{}$**P**^{4}**H** et *Pal.* : λακύδης **B**$^{}$**P**^{1}**Q** | φάτην **B** | ἄρα καί σε Cobet : ἄρα καὶ σὺ **BPF** et *Pal.* : ἄρ' ἄκαιρος Beckby **4** Βάκχος Cobet : βάκχον **PF**, βάχχον **B** : βάκχου *Pal.* | Ἀΐδῃ Cobet | ποσσὶν **B** et *Pal.* : ποσὶν **PF** | ἔσυρεν Cobet : ἔσυρες **BPF** et *Pal.* **5** ἔλθοι **P** **6** λύσε μέλη **BP** : λυσιμελὴς **F** : λυσιμελὴ *Pal.*^{1} **7** *tit.* **P** et **B** (omisso v. 8 καρνεάδης) : om. **F** **10** ἐπιμελῶς ⟨καὶ μάλιστα⟩ Cobet : ἐπιμελέστατα **BP**^{1} **F** : ἐπιμελῶς **P**^{2}**Q** : om. **Φ** | τὰ om. **F** **13** γὰρ μὴ **F** **16** ἐκώμα **P**^{1}**QV** (corr. **P**^{4}**H**) **17** τοὺς om. **F** **18** τοὺς om. **F**

ἰέναι καὶ αὐτοῦ ἀκούειν.

63 Ἦν δὲ καὶ μεγαλοφωνότατος, ὥστε τὸν γυμνασίαρχον προσπέμψαι αὐτῷ μὴ οὕτω βοᾶν· τὸν δὲ εἰπεῖν· "Καὶ δὸς μέτρον φωνῆς." Ὅθεν ⟨ἐκεῖνον⟩ εὐστόχως ἑλόντα ἀμείψασθαι· φάναι γάρ· "Μέτρον ἔχεις τοὺς ἀκούοντας." Δεινῶς τε ἦν ἐπιπληκτικὸς καὶ ἐν ταῖς ζητήσεσι δύσμαχος. Τά τε δεῖπνα λοιπὸν παρῃτεῖτο διὰ τὰς προειρημένας αἰτίας. Οὗτός ποτε Μέντορος τοῦ Βιθυνοῦ μαθητοῦ ὄντος καὶ παρ' αὐτὸν ἐλθόντος εἰς τὴν διατριβήν, ὡς ἐπείρα αὐτοῦ τὴν παλλακὴν ὁ Μέντωρ, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, μεταξὺ λέγων παρῴδησεν εἰς αὐτόν·

64 Πωλεῖταί τις δεῦρο γέρων ἅλιος νημερτής,
Μέντορι εἰδόμενος ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν·
τοῦτον σχολῆς τῆσδ' ἐκκεκηρῦχθαι λέγω.

Καὶ ὃς ἀναστάς ἔφη·

Οἱ μὲν ἐκήρυσσον, τοὶ δ' ἠγείροντο μάλ' ὦκα.

Δειλότερον δέ πως δοκεῖ περὶ τὴν τελευτὴν ἀνεστράφθαι, ὅτε συνεχὲς ἔλεγεν· "Ἡ συστήσασα φύσις καὶ διαλύσει." Μαθών τε Ἀντίπατρον φάρμακον πιόντα ἀποθανεῖν, παρωρμήθη πρὸς τὸ εὐθαρσὲς τῆς ἀπαλλαγῆς καί φησι·

2–5 τοὺς ἀκούοντας : Plut. *De garrul.* 513 C **8** Οὗτός ποτε – **16** Favorini Fr. 35 Mensching. Cf. Numenii Fr. 27 des Places (ap. Eus. *P.E.* 14.7.13) **12–13** cf. *Odyss.* 4.384; 2.268 = 401 **14** cf. Soph. *Antig.* 203 **16** cf. *Iliad.* 2.52 **19** Μαθὼν – **p. 301.2** εἶπε : Stob. 4.52.19; *SVF* III, Antipatris Nr. 7

3 προπέμψαι **F** **4** ὅθεν **BPF** : τὸν δὲ **Φ** | ἐκεῖνον addidi **5** ἔχεις μέτρον **Φ** | δεινὸς **F** **8** βιθινοῦ **B** **9** ὡς **FP^{4}H** : om. **BP^{1}Q** **10** παλακὴν **F** | φαβορεῖνος **B** **14** τῆσδε **BPΦ** **15** ἔφη **ΦP^2** ss. **Q** ss. **V** : om. **BP^{1}F^1** **16** τοὶ **PFφ** : οἳ **B** **17** δειλότερον Kuehn : δεινότερον **BPF** | ἀπεστράφθαι **P^{1}Q** (corr. **P^{2}H**) **18** συνεχῶς **Φ** **19** μαθόντα **F**

"Δότε οὖν κἀμοί·" τῶν δὲ εἰπόντων· "Τί;", "Οἰνόμελι," εἶπε. Τελευτῶντος δ' αὐτοῦ φασιν ἔκλειψιν γενέσθαι σελήνης, συμπάθειαν, ὡς ἂν εἴποι τις, αἰνιττομένου τοῦ μεθ' ἥλιον καλλίστου τῶν ἄστρων.

65 Φησὶ δὲ Ἀπολλόδωρος ἐν Χρονικοῖς ἀπελθεῖν αὐτὸν ἐξ ἀνθρώπων ἔτει τετάρτῳ τῆς δευτέρας καὶ ἑξηκοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος, βιώσαντα ἔτη πέντε πρὸς τοῖς ὀγδοήκοντα. Φέρονται δὲ αὐτοῦ ἐπιστολαὶ πρὸς Ἀριαράθην τὸν Καππαδοκίας βασιλέα. Τὰ δὲ λοιπὰ αὐτοῦ οἱ μαθηταὶ συνέγραψαν· αὐτὸς δὲ κατέλιπεν οὐδέν.

Ἔστι καὶ εἰς τοῦτον ἡμῶν τῷ λογαοιδικῷ καὶ Ἀρχεβουλείῳ μέτρῳ·

Τί με Καρνεάδην, τί με, Μοῦσα, θέλεις ἐλέγχειν;
Ἀμαθὴς ⟨γὰρ⟩ ὃς οὔ τι κάτοιδεν ὅπως δεδοίκει
τὸ θανεῖν· ὅτε καὶ φθισικὴν ποτ' ἔχων κακίστην
νόσον, οὐκ ἔθελεν λύσιν ἰσχέμεν. Ἀλλ' ἀκούσας
ὅτι φάρμακον Ἀντίπατρός ⟨τι⟩ πιὼν ἀπέσβη,
| "Δότε τοίνυν," ἔφησε, "τὶ κἀμὲ πιεῖν." "Τί μέντοι, **66**
τί;" "Δότ' οἰνόμελι." Σφόδρα τ' εἶχε πρόχειρα ταυτί·

2–4 cf. *Suda*, Κ 400: τὴν σελήνην ἐκλιπεῖν καὶ τὸν ἥλιον ἀμυδρὸν γενέσθαι (= **φ** 39) **5–8** *FGrHist* 244 F 51 **6–7** i.e. 129–128 **13–p. 302.3** *Anth. Pal., App.* 5.39 Cougny

1 τί δε **F** **2** εἶπε **Φ**, Cobet : εἰπεῖν **BPF** **3** συμπάθιαν **B** | αἰνιττομένου **V**, *Frob.* : αἰνιττομένης **BFΦ** : αἰνιττομένε **P**^{1}**Q** **4** καλίστου **B** : κάλλιστον **F** **8** ἀριαράθην **PF** : ἀριανὸν **B** **10** ξυνέγραψαν **BP** | κατέλειπεν **B** | οὐδὲν **BF** : μηδὲν **P**^{2}**Q** **11** καὶ ἔστι καὶ **F** | λογιαοιδικῶ **BP**^{1}**Q** | καὶ Ἀρχεβουλείῳ del. Cobet | ἀρχεβουλίω **BP**^{1} : ἀρχαιβουλίω **F** **12** μέτρω post v. 11 λογαοιδικῶ in **F** **13** μοῦσαι **BP**^{1}**Q** **14** γὰρ add. Grotius et Menagius **16** ἔθελε **PFV** | ἐσχέμεν **F** **17** τι add. Menag. **18** κἀμὲ **B** : κἀμοὶ **PFV** **19** δ' ὅτε **B** | τε **F**

"Φύσις ἡ συνέχουσά με καὶ διαλύσεται δή."
[Καὶ] ὁ μὲν οὐδὲν ἔλασσον ἔβη κατὰ γῆς, ἐνῆν δ' ⟨οἷ⟩
τὰ πλέω κακὰ κέρδε' ἔχοντι μολεῖν ἐς ᾅδην.

Λέγεται καὶ τὰς ὄψεις νυκτὸς ὑποχυθῆναι καὶ ἀγνοεῖν· κελεῦσαί τε τὸν παῖδα λύχνον ἅψαι· εἰσκομίσαντος δὲ καὶ εἰπόντος "Κεκόμικα," "Οὐκοῦν," εἰπεῖν, "σὺ ἀναγίνωσκε." Τούτου πολλοὶ μὲν καὶ ἄλλοι γεγόνασι μαθηταί, ἐλλογιμώτατος δὲ Κλειτόμαχος· περὶ οὗ καὶ λεκτέον.

Γέγονε μέντοι καὶ ἄλλος Καρνεάδης, ἐλεγείας ποιητὴς ψυχρός.

ΚΛΕΙΤΟΜΑΧΟΣ

67 Κλειτόμαχος Καρχηδόνιος. Οὗτος ἐκαλεῖτο μὲν Ἀσδρούβας καὶ τῇ ἰδίᾳ φωνῇ κατὰ τὴν πατρίδα ἐφιλοσόφει. Ἐλθὼν δ' εἰς Ἀθήνας ἤδη τετταράκοντα ἔτη γεγονὼς ἤκουσε Καρνεάδου· κἀκεῖνος ἀποδεξάμενος αὐτοῦ τὸ φιλόπονον γράμματά τε ἐποίησε μαθεῖν καὶ συνήσκει τὸν ἄνδρα. Ὁ δὲ ἐς τοσοῦτον ἤλασεν ἐπιμελείας, ὥστε ὑπὲρ τὰ τετρακόσια βιβλία συνέγραψε. Καὶ διεδέξατο τὸν Καρνεάδην καὶ τὰ αὐτοῦ μάλιστα διὰ τῶν συγγραμμάτων ἐφώτισεν. Ἀνὴρ ἐν ταῖς τρισὶν αἱρέσεσι διατρίψας, ἔν τε

12–p. 303.1 ed. Mette, *ib.*, T 1a **14** τετταράκοντα ἔτη : cf. P. Herc. 1021, col. 25.1 ss. Dorandi (24 annos natus); Steph. Byz., s.v. Καρχηδών (28 annos natus)

2 [Καὶ] ὁ μὲν οὐδὲν Cobet : καιομένου δὲ **B** : χὸ μὲν οὐδὲν Menag. | ἔλασσον – ἐνῆν δὲ in mg super. **B**^{2} | δ' ⟨οἷ⟩ scripsi (metri gratia) : δὲ **BPF** **3** κέρδε' ἔχοντι scripsi : κέρδε' ἔχοντα **BPF** : κερτομέοντα Gigante | εἰς **F** | ᾅδου Cobet **5** τέ τε τὸν **B** **7** μὲν ss. **F**^{2} **11** *tit.* **PB** (sed om. 12 κλειτόμαχος) : om. **F** **12** ἀνδρούβας **BF** **14** τεττεράκοντα **B** | ἔτη τεσσαράκοντα **F** **20** διατρίψας **BPF** : διαπρέψας Cobet

τῇ Ἀκαδημαϊκῇ καὶ Περιπατητικῇ καὶ Στωϊκῇ.

Καθόλου δὲ τοὺς Ἀκαδημαϊκοὺς ὁ Τίμων οὕτω διασύρει·

Οὐδ' Ἀκαδημαϊκῶν πλατυρημοσύνης ἀναλίστου.

4 Timonis B 35 Diels; *Suppl. Hell.* 809

2 τείμων **B** | οὑτωσὶ **F** 4 ἀκαδημαϊκῶν **BPF** : Ἀκαδημιακῶν Guil. Dindorf, agn. Wachsmuth, Diels | πλατυρρημοσύνης **FQ** | ἀναλήστου **FP**[1] (corr. **P**[2]**Q**) *subscriptio* δʹ **P**

Ε

4.67 Ἡμεῖς δὲ τοὺς Ἀκαδημαϊκοὺς τοὺς ἀπὸ Πλάτωνος διεληλυθότες ἔλθωμεν ἐπὶ τοὺς ἀπὸ Πλάτωνος Περιπατητικούς, ὧν ἦρξεν Ἀριστοτέλης.

ΑΡΙΣΤΟΤΕΛΗΣ

5.1 Ἀριστοτέλης Νικομάχου καὶ Φαιστίδος Σταγειρίτης. Ὁ δὲ Νικόμαχος ἦν ἀπὸ Νικομάχου τοῦ Μαχάονος τοῦ Ἀσκληπιοῦ, καθά φησιν Ἕρμιππος ἐν τῷ Περὶ Ἀριστοτέλους· καὶ συνεβίου Ἀμύντᾳ τῷ Μακεδόνων βασιλεῖ ἰατροῦ καὶ φίλου χρείᾳ. Οὗτος γνησιώτατος τῶν Πλάτωνος μαθητῶν ⟨ὤν⟩, τραυλὸς τὴν φωνήν, ὥς φησι Τιμόθεος ὁ Ἀθηναῖος ἐν τῷ Περὶ βίων· ἀλλὰ καὶ ἰσχνοσκελής, φασίν, ἦν καὶ μικρόμματος ἐσθῆτί τε ἐπισήμῳ χρώμενος καὶ δακτυλίοις καὶ κουρᾷ. Ἔσχε δὲ καὶ υἱὸν Νικόμαχον ἐξ

1 de l. 5 cf. P. Moraux, *Elenchos* 7 (1986) 247–294; M.G. Sollenberger, *ANRW* II, 36.6 (1992) 3793–3879 **5–p. 331.16** primum ed. *Aristotelis Operum ed. Aldina* (vol. II, Venetiis, 1497). Ed. I. Duering (1957), 29–56. Cf. P. Moraux, *R.E.G.* 63 (1955) 124–163; A.-H. Chroust, *A.C.* 34 (1965) 97–129 **5–7** Hermippi Fr. 41 Wehrli **10** τραυλὸς – **11** βίων : Timothei Fr. 41 (*FHG* IV, 523). Cf. Plut. *De aud. poetis* 26 B; *De adul. et amic.* 53 C; Hesychii *V. Aristot.* 1 **12** ἐσθῆτι – **13** κουρᾷ : Ael. *V.H.* 3.19 **13** Ἔσχε δὲ – **p. 305.1** Hermippi Fr. 46 Wehrli (ap. Athen. 13, 589 C) et al.

inscriptio ε´ **P** : λαερτίου διογένους τῶν εἰς δέκα τὸ ε´ **FP**[4] et ante v. 5 Ἀριστοτέλης **VD** : τόμος ε´ **Φ** **4** *tit.* **PDΦ** : om. **BV** : περὶ ἀριστοτέλους in mg **F**[2] **5** φαιστίδος Vatic. 1144, f. 213ᵛ et J.G. Buhle ex Dionys. Halic. *Ep.* 1 *ad Ammaeum* 5 : φαιστιάδος **PV** et *Suda* : ἐφεστιάδος **F** | σταγειρείτης **B** **6** νεικο- bis **B** | μαχάωνος **F** **9** ⟨ἐν⟩ ἰατροῦ Richards **10** μαθητῶν **BPF**[2] in mg : ἀδελφῶν **F** in textu | ὤν addidi **13** καὶ κουρᾷ **B**[2] (sed erasit)

Ἑρπυλλίδος τῆς παλλακῆς, ὥς φησι Τιμόθεος.
Ἀπέστη δὲ Πλάτωνος ἔτι περιόντος· ὥστε φασὶν ἐκεῖ- 2
νον εἰπεῖν· "Ἀριστοτέλης ἡμᾶς ἀπελάκτισε καθαπερεὶ τὰ
πωλάρια ⟨ὑπόπτερα⟩ γενηθέντα τὴν μητέρα." Φησὶ δὲ
Ἕρμιππος ἐν τοῖς Βίοις ὅτι πρεσβεύοντος αὐτοῦ πρὸς
Φίλιππον ὑπὲρ Ἀθηναίων σχολάρχης ἐγένετο τῆς ἐν
Ἀκαδημίᾳ σχολῆς Ξενοκράτης· ἐλθόντα δὴ αὐτὸν καὶ
θεασάμενον ὑπ' ἄλλῳ τὴν σχολήν, ἑλέσθαι περίπατον
τὸν ἐν Λυκείῳ καὶ μέχρι μὲν ἀλείμματος ἀνακάμπτοντα
τοῖς μαθηταῖς συμφιλοσοφεῖν· ὅθεν Περιπατητικοὺς
προσαγορευθῆναι (οἱ δ' ὅτι ἐκ νόσου περιπατοῦντι Ἀλεξ-
άνδρῳ συμπαρὼν διελέγετο ἄττα). Ἐπειδὴ δὲ πλείους 3
ἐγίνοντο, ἤδη καὶ ἐκάθισεν εἰπών·

Αἰσχρὸν σιωπᾶν, Ξενοκράτη δ' ἐᾶν λέγειν·

καὶ πρὸς θέσιν συνεγύμναζε τοὺς μαθητάς, ἅμα καὶ ῥητορικῶς ἐπασκῶν.

2–4 τὴν μητέρα : Ael. *V.H.* 4.9 **4** Φησὶ δὲ – **16** ἐπασκῶν : Hermippi Fr. 45 Wehrli **14** cf. Eurip. Fr. 796 N^2; Philodemi *Rhet.* col. 48.36 (II, p. 50 Sudhaus); Cic. *De or.* 3.141; Quint. *Inst. or.* 3.1

1 ἑρπιλίδος et παλακῆς **PF** | τιμόθεος **BPF** : Τίμαιος C. Mueller (*FHG* I, 211) **2** περιιόντος **P^{1}QW**, corr. **P^{4}H** **3** τὰ om. **P^{1}Q**, add. **P^{4}H** **4** πολάρια **B** | ὑπόπτερα addidi : μεγάλα add. Richards | γενηθέντα Richards : γεννηθέντα **BPFΦ** : κορασθέντα (ex Aeliano) Duering | δὲ καὶ **F** **8** ἄλλος **F** **9** λυκίω **B** | μὲν om. **P^{1}Q**, add. **P^{4}H** **10** περιπατητικοὺς Reiske : περιπατητικὸν **BPF** **11** ἐκ νόσου **BFP^{4}H** : ἐκεῖνος οὐ **P^{1}Q** **12** συμπαρὼν **BPF** : συμπαριὼν Richards : συμπεριπατῶν Cobet, agn. Duering **13** ἐγένοντο **D**, Cobet | ἐκάθισεν καὶ (deleto v. 15 καὶ^1) Duering (cf. G. Roeper^2) | ἐκάθησεν **B** **14** ξενοκράτη **BPF** : Ἰσοκράτην e testimoniis Menagius, vix recte **15** ἅμα om. **F**

Ἔπειτα μέντοι ἀπῆρε πρὸς Ἑρμείαν τὸν εὐνοῦχον, Ἀταρνέως ὄντα τύραννον· ὃν οἱ μέν φασι παιδικὰ γενέσθαι αὐτοῦ, οἱ δὲ καὶ κηδεῦσαι αὐτῷ δόντα τὴν θυγατέρα ἢ ἀδελφιδῆν, ὥς φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς Περὶ ὁμωνύμων ποιητῶν τε καὶ συγγραφέων· ὃς καὶ δοῦλον Εὐβούλου φησὶ γενέσθαι τὸν Ἑρμείαν, γένει Βιθυνὸν ὄντα καὶ τὸν δεσπότην ἀνελόντα. Ἀρίστιππος δ' ἐν τῷ πρώτῳ Περὶ παλαιᾶς τρυφῆς φησιν ἐρασθῆναι τὸν Ἀρισ-
4 τοτέλη παλλακίδος τοῦ Ἑρμείου· τοῦ δὲ συγχωρήσαντος ἔγημέ τε αὐτὴν καὶ ἔθυεν ὑπερχαίρων τῷ γυναίῳ, ὡς Ἀθηναῖοι τῇ Ἐλευσινίᾳ Δήμητρι· τῷ τε Ἑρμείᾳ παιᾶνα ἔγραψεν, ὃς ἔνδον γέγραπται.

Ἐντεῦθέν τε γενέσθαι ἐν Μακεδονίᾳ παρὰ Φιλίππῳ καὶ λαβεῖν μαθητὴν παρ' αὐτοῦ τὸν υἱὸν Ἀλέξανδρον· καὶ αἰτῆσαι ἀναστῆσαι αὐτοῦ τὴν πατρίδα κατασκαφεῖσαν ὑπὸ Φιλίππου καὶ τυχεῖν. Οἷς καὶ νόμους θεῖναι. Ἀλλὰ καὶ ἐν τῇ σχολῇ νομοθετεῖν μιμούμενον Ξενοκράτην, ὥστε κατὰ δέκα ἡμέρας ἄρχοντα ποιεῖν. Ἐπειδὴ δὲ ἐδόκει ἐπιεικῶς αὐτῷ συγγεγενῆσθαι Ἀλεξάνδρῳ, ἀπῆρεν εἰς Ἀθήνας, συστήσας αὐτῷ τὸν συγγενῆ Καλλισθέ-
5 νη τὸν Ὀλύνθιον· ὃν καὶ παρρησιαστικώτερον λαλοῦντα

1 Ἑρμείαν τὸν εὐνοῦχον : cf. 5.11; Didymi *In Demosth.* (P. Berol. 9780), coll. 4.68; 5.23; 6.46 Pearson-Stephens (1983); *FGrHist* 115 (Theopompi) F 250 et 291; Strab. 13.1.57 **3** κηδεῦσαι : Didymi col. 6.18; Strab. *ib.* **4** Demetrii F 15 Mejer **7** Ἀρίστιππος – **9** Ἑρμείου : *FHG* II, 79 **9** τοῦ δὲ – **11** Δήμητρι : cf. Lyconem ap. Eus. *P.E.* 15.2.8 **12** ἔνδον : 5.7–8

6 βυθινὸν **B**, βιθινὸν **F** **8** πρώτω **BP** : om. **F** : τετάρτῳ Wilamowitz **9** παλακίδος **PF** **11** ἐλευσινίδι **P** **14** παρ' αὐτοῦ μαθητὴν **B** **20** καλλισθένη **BP** : καλλισθένην **F**

τῷ βασιλεῖ καὶ μὴ πειθόμενον αὐτῷ φασιν ἐπιπλήξαντα εἰπεῖν·

Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγορεύεις.

Καὶ δὴ καὶ ἐγένετο. Δόξας γὰρ Ἑρμολάῳ συμμετεσχηκέναι τῆς εἰς Ἀλέξανδρον ἐπιβουλῆς ἐν σιδηρᾷ περιήγετο γαλεάγρᾳ, φθειριῶν καὶ ἀκόμιστος· καὶ τέλος λέοντι παραβληθείς, οὕτω κατέστρεψεν.

Ὁ δ' οὖν Ἀριστοτέλης ἐλθὼν εἰς τὰς Ἀθήνας καὶ τρία πρὸς τοῖς δέκα τῆς σχολῆς ἀφηγησάμενος ἔτη ὑπεξῆλθεν εἰς Χαλκίδα, Εὐρυμέδοντος αὐτὸν τοῦ ἱεροφάντου δίκην ἀσεβείας γραψαμένου ἢ Δημοφίλου, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ, ἐπειδήπερ τὸν ὕμνον ἐποίησεν εἰς τὸν προειρημένον Ἑρμείαν, | ἀλλὰ καὶ ἐπίγραμμα ἐπὶ τοῦ **6**
ἐν Δελφοῖς ἀνδριάντος τοιοῦτον·

Τόνδε ποτ' οὐχ ὁσίως παραβὰς μακάρων θέμιν ἁγνὴν
ἔκτεινεν Περσῶν τοξοφόρων βασιλεύς,
οὐ φανερῶς λόγχῃ φονίοις ἐν ἀγῶσι κρατήσας,
ἀλλ' ἀνδρὸς πίστει χρησάμενος δολίου.

Ἐνταῦθα δὴ πιὼν ἀκόνιτον ἐτελεύτησεν, ὥς φησιν

3 *Iliad.* 18.95. Cf. DL 6.53 **4–7** cf. Plut. *Alex.* 53–55 (Hermippi Fr. 50 Wehrli); Tatiani *Orat.* 2.2; Arriani *Anab.* 4.14.1 **10** Εὐρυμέδοντος : Hesych. *V. Aristot.*, Ind. libr. 189 Ἀπολογία ἀσεβείας πρὸς Εὐρυμέδοντα **11–12** Favorini Fr. 36 Mensching **15–18** *Anth. Pal., App.* 3.48; Didymi *In Demosth.*, col. 6.39–43; Aristot. Fr. 674 Rose^3 **19–p. 308.4** *FGrHist* 77 F 1. Cf. Hesych. *V. Aristot.* 6–7

1 φασὶ δὲ **F** **3** ὠκύμωρος **F** | ἔσσαιε **B**, ἔσαιε **F** **6** γαλαιάγρα **BP** **11** φαβορεῖνος **B** **12** παντοδαπῆ ἱστορία in mg **F**^{2} | ἐποίει **F** **15** θέμην **F** **16** ἔκτεινεν **B**^{2}**P**^{4} et Didym. : ἔκτεινε **B**^{1}**P**^{1}**F** **17** φανερῶς λόγχη **BPF** : φανερᾶς λόγχης Didym. : φανερᾷ λόγχῃ coni. Diels-Schubart (*Berliner Klassikertexte*, 1904)

Εὔμηλος ἐν τῇ πέμπτῃ τῶν Ἱστοριῶν, βιοὺς ἔτη ἑβδομήκοντα. Ὁ δ' αὐτός φησιν αὐτὸν καὶ Πλάτωνι τριακοντούτην συστῆναι, διαπίπτων· βεβίωκε γὰρ τρία μὲν πρὸς τοῖς ἑξήκοντα, Πλάτωνι δὲ ἑπτακαιδεκέτης συνέστη.

Ὁ δὲ ὕμνος ἔχει τοῦτον τὸν τρόπον·

7 Ἀρετὰ πολύμοχθε γένει βροτέῳ,
θήραμα κάλλιστον βίῳ,
σᾶς πέρι, παρθένε, μορφᾶς
καὶ θανεῖν ζηλωτὸς ἐν Ἑλλάδι πότμος
καὶ πόνους τλῆναι μαλεροὺς ἀκάμαντας·
τοῖον ἐπὶ φρένα βάλλεις
†καρπὸν† ἰσαθάνατον χρυσοῦ τε †κρεῖσσον†
καὶ †γονέων† μαλακαυγήτοιό θ' ὕπνου.

6–p. 309.13 Didymi *In Demosth.*, col. 6.22–34; Athen. 15, 696 B–D; Hermippi Fr. 48 Wehrli; *PMG* 842; Aristot. Fr. 675 R.^{3}. Cf. Wilamowitz, *Aristoteles u. Athen*, II 404–412; C.M. Bowra, *C.Q.* 32 (1938) 182–189

3 γὰρ τρία μὲν **BP** : μὲν γ´ **F** **4** ἑπτακαιδεκέτης **P**^{1}**Q** : ἑπτακαιδεκαέτης **BP**^{4}**H** : ἑπτακαιδεκάτης **F** **6** βροτεω Didym. (= Π) : βροτείω **BP** et Athen. : βροτοῖο **F** **7–8** βίω σᾶς **PF** et Π : βιωσας **B**, βιώσας τε Athen. A (corr. E) **8** μορφα ας **B** **9** ζαλωτὸς Buhle **10** ἀκάμαντας **BPF** : ἀκαμάτους Athen. : ακαμαντος Π **11** τοιοῦτον **F** **12** καρπὸν **BPF**, Athen. et Π : τέρπος scripsi in Aristot. (conl. Ariphronis paeanis v. 3 [*PMG* 813] εἰ γάρ τις ἢ πλούτου χάρις ἢ τεκέων ... et 6 τέρψις) : ἅρπυν Bergk^4 : κάρτος Bywater : ἵμερον Kaibel | ἰσαθάνατον Π et coni. Bergk^2, Wilamowitz : εἰς ἀθάνατον **BPF** : τ' ἀθάνατον Athen. | κρεῖσσον **PF** : κρεῖσσων **B** : κρείσσω Athen., Π **13** γόνων scripsi in Aristot. (conl. Ariphronis τεκέων) : γονέων **BPF**, Athen., Π | μαλακαυγῆ τοῖο θ' **P** : μάλα κ' αὐγὴ· τοιοῦθ' **F** : μαλακαυγητου θ' Π | ὕπνους Athen.

Σοῦ δ' ἕνεκεν ⟨καὶ ὁ⟩ δῖος
  Ἡρακλῆς Λήδας τε κοῦροι
πόλλ' ἀνέτλασαν ⟨ἐν⟩ ἔργοις
  σὰν ⟨συν⟩αγρεύοντες †δύναμιν·†
σοῖς τε πόθοις Ἀχιλεὺς Αἴ-
  ας τ' †Ἀΐδαο δόμους† ἦλθον·
σᾶς δ' ἕνεκεν φιλίου μορφᾶς Ἀταρνέος 8
  ἔντροφος ἀελίου χήρωσεν αὐγάς.
Τοιγὰρ ἀοίδιμος ἔργοις,
  ἀθάνατόν τε μιν αὐδήσουσι Μοῦσαι,
Μναμοσύνας θύγατρες, Δι-
  ὸς ξενίου σέβας αὔξου-
  σαι φιλίας τε γέρας βεβαίου.

1 σοῦ **BPF** et Π : σεῦ Athen. | δ' **BPF** et Athen. : γ' Π | ἕνεκεν Athen. : ἕνεκα **P**^{2}**Q** : ἕνεκ' ἐκ **P**^{1}**F** : (ὕπνους οὐδ)ὲν ἐκ ἐκ **B** : ενειος Π | καὶ add. Page | ὁ Athen., Π : om. **BPF** | ἕνεχ' οὐκ coni. Brunck (*Anal.* I, 177), ἕνεχ' οἱ Wilamowitz | δῖος Neander (in *Gnomolog.*), Page : δειος Π : διὸς **BPF** et Athen. **2** ἡρακλῆς Athen. et Π : ἡρακλέης **BP F** | κοῦροι **BPF**^{2} et Athen. : κόροι **F**^{1} et Π **3** πολληνεπλασαν Π | ἐν add. anonymus : ἐπ' add. Bergk **4** σὰν ⟨συν⟩-αγρεύοντες scripsi (possis et σὰν δύναμιν ⟨συν⟩αγρεύοντες) : σὰν ἀγρεύοντες Menagius ex Athenaeo : ἀναγορεύοντες **BP F** :]εποντε[Π : σὰν ἐφέποντες (vel διέποντες) Diels : σὰν ἀνειπόντες Bowra | ἰσχύν scripsi in Aristot. : δύναμιν (contra metrum) **BPF**, Athen. et Π **5** τε **BPF** et Π : δὲ Athen. | ἀχιλεὺς Π (et coni. Maittaire) : ἀχιλλεὺς **BPF** et Athen. **6** τ' Ἄϊδος scripsi in Aristot. : τ' ἀΐδαο **BPF**, Athen. et Π : θ' ἀΐδαο **B** : τ' Αΐδα Wilamowitz | δόμον Wilamowitz in Aristot. : δόμους **BPF**, Athen. et Π **7** φιλίου **FP**^{2}**Q**, Athen. et Π : φιλίους **BP**^{1} | post μορφᾶς addit καὶ Athen. **8** ἔντροφον **P** | ἁλίου Π | αὐγᾶς **P** : αυτὰς **B** **9** ποὶ γὰρ **PF** | ἀοίδιμος **BPF** : ἀοίδιμον Athen. et Π **10** ἀθάνατον Buhle, Huebner ex Athen. (et Π) : ἀθάνατοι **BPF** | αὐδήσουσι Wilamowitz : αὐξήσουσι (cf. v. 12) **BPF**, Athen. et Π **11** μνημοσύνης Athen. | θύγατερ **P**^{1}**Q** (corr. **P**^{4}**H**) : θυγατέρες Athen. **12** βεβαίας Athen.

Ἔστι δ' οὖν καὶ εἰς τοῦτον ἡμῶν οὕτως ἔχον·

Εὐρυμέδων ποτ' ἔμελλεν Ἀριστοτέλην ἀσεβείας
γράψασθαι Δηοῦς μύστιδος ὢν πρόπολος,
ἀλλὰ πιὼν ἀκόνιτον ὑπέκφυγε· τοῦτ' ἀκονιτὶ
ἦν ἄρα νικῆσαι συκοφάσεις ἀδίκους.

9 Τοῦτον πρῶτον Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ λόγον δικανικὸν ὑπὲρ ἑαυτοῦ συγγράψαι φησὶν ἐπ' αὐτῇ ταύτῃ τῇ δίκῃ καὶ λέγειν ὡς Ἀθήνησιν

ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ.

Φησὶ δ' Ἀπολλόδωρος ἐν Χρονικοῖς γεννηθῆναι μὲν αὐτὸν τῷ πρώτῳ ἔτει τῆς ἐνάτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος, παραβαλεῖν δὲ Πλάτωνι καὶ διατρῖψαι παρ' αὐτῷ εἴκοσιν ἔτη, ἑπτακαιδεκέτη συστάντα. Πλάτωνος δὲ τελευτήσαντος τῷ πρώτῳ ἔτει ⟨τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος⟩ ἐπὶ Θεοφίλου, πρὸς Ἑρμείαν ἀπᾶραι καὶ

2–5 *Anth. Pal.* 7.107 **6–9** Favorini Fr. 37 Mensching. Cf. Athen. 15, 697 AB; Orig. *C. Cels.* 1.65 **9** *Odyss.* 7.120–121 et Eustath. ad loc.; Ael. *V.H.* 3.36; Eliae *In Cat.* prooem., p. 123.15 Busse; Aristot. Fr. 667 Rose^3 **10–311.11** *FGrHist* 244 F 38a **10** γεννηθῆναι : i.e. 384–383. Cf. Dionys. Hal. 1 *Ep. ad Ammaeum* 5; *V. Marc.* 10; *V. Hesych.* 6 **13** εἴκοσιν ἔτη : Dion. Hal. 5; *V. Marc.* 5 et 11 | ἑπτακαιδεκέτη : cf. p. 308.4; Dion. Hal. 5 et al. **15** πρὸς Ἑρμείαν ἀπᾶραι : i.e. 348–347

2 ποτὲ μέλλεν **FP^{4}H** **3** προσπόλος **D**, πρόσπολος *Pal.*^{1} **5** συκοφάσεις **BP** : συκοφάντας **F** : συκοφάσους *Pal.* et *Suda* (Σ 1333) **6** φαβορεῖνος **B** **7** λόγον ss. **F^2** | αὐτοῦ **B** | φησὶν **F** : om. **BP^1** : post λόγον add. **P^{4}H** **9** ὄγχνη (bis) **BP^2** : ὄχνη **P^{1}FΦ** | σύκω **FP^{4}H** : νίκη **BP^{1}QWΦ** **11** ἐν τῶ πρώτω **F** **12** παρ' αὐτὸν **BPF**, corr. Scaliger **13** ἑπτακαιδεκέτη **P** : ἑπτὰ καὶ δεκαετῆ (-α- ss.) **B** : ἑπτακαίδεκα ἐτῶν **F** **14–15** τῆς ρη' Ὀλυμπιάδος suppl. A. Stahr, agn. Jacoby

μεῖναι ἔτη τρία· καὶ εἴς [τε] Μυτιλήνην ἐλθεῖν ἐπ' ἄρχοντος Εὐβούλου τῷ τετάρτῳ ἔτει τῆς ὀγδόης καὶ ἑκατοστῆς Ὀλυμπιάδος. Ἐπὶ Πυθοδότου δὲ ἐλθεῖν πρὸς Φίλιππον τῷ **10** δευτέρῳ ἔτει τῆς ἐνάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, Ἀλεξάνδρου πεντεκαίδεκα ἔτη ἤδη γεγονότος. Εἰς δ' Ἀθήνας ἀφικέσθαι τῷ δευτέρῳ ἔτει τῆς ἑνδεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος καὶ ἐν Λυκείῳ σχολάσαι ἔτη τρία πρὸς τοῖς δέκα. Εἶτα ἀπᾶραι εἰς Χαλκίδα τῷ τρίτῳ ἔτει τῆς τετάρτης καὶ δεκάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος καὶ τελευτῆσαι ἐτῶν τριῶν που καὶ ἑξήκοντα νόσῳ, ὅτε καὶ Δημοσθένη καταστρέψαι ἐν Καλαυρίᾳ, ἐπὶ Φιλοκλέους. Λέγεται δὲ διὰ τὴν Καλλισθένους πρὸς Ἀλέξανδρον σύστασιν προσκροῦσαι τῷ βασιλεῖ· κἀκεῖνον ἐπὶ τῷ τοῦτον λυπῆσαι Ἀναξιμένη μὲν αὐξῆσαι, πέμψαι δὲ καὶ Ξενοκράτει δῶρα.

Ἀπέσκωψε δ' εἰς αὐτὸν ἐπίγραμμα καὶ Θεόκριτος ὁ **11** Χῖος, οὑτωσὶ ποιήσας, ὥς φησιν Βρύων ἐν τῷ Περὶ Θεοκρίτου·

1–3 i.e. 345–344 **3–4** i.e. 343–342 **5** Εἰς δ' Ἀθήνας – **7–8** τρία πρὸς τοῖς δέκα : i.e 335–334. Cf. Dion. Hal. 5; *V. Hesych.* 5 **8** Εἶτα – **9** Ὀλυμπιάδος : i.e. 322–321. Cf. Strab. 10.1.11; Dion. Hal. 5; *V. Marc.* 18 **13** κἀκεῖνον – **15** cf. 4.8; Plut. *Alex.* 8.3

1 καὶ εἰς – **3** Ὀλυμπιάδος post p. 310.13 συστάντα in **BPF**, huc traiecit Stahr, agn. Jacoby **1** τε del. Cobet | μιτυλήνην **BPF**, corr. Cobet **3** πυθοδώτου **B** : πυθότου **F** | πρὸς **B F** : εἰς **P** **5** πεντεκαίδεκα **BPF** : ιγ' s. ιδ' Jacoby | ἔτη (**B**)**P** : ἐτῶν **F** | δ' ss. **P**^{2} **7** λυκίῳ **B** **9** τετάρτης καὶ om. **F** **10** ἐτῶν ⟨ὄντα⟩ Bywater | ποῦ τριῶν **B** **11** δημοσθένη **BP** : δημοσθένην **F** **13** -κροῦσαι – **14** μὲν in mg **F**^{2} **14** ἀναξυμένη **P**, ἀναξημένη **B** : ἀναξιμένην **F**^{2} : Ἀνάξαρχον ex Plut. *Aldobr.* **15** ξενοκράτη **B** **17** οὑτωσεὶ **B** | Βρύων R. Laqueur (*RE* V A.2, 2025) ex Didymo (cf. *SIG*^{3} 142.41) : ἀμβρύων **BP**^{1}**F** : ἀμβυρύων **P**^{4}

Ἑρμίου εὐνούχου ἠδ᾿ Εὐβούλου ἅμα δούλου
σῆμα κενὸν κενόφρων τεῦξεν ᾿Αριστοτέλης.

᾿Αλλὰ καὶ Τίμων αὐτοῦ καθήψατο εἰπών·

Οὐδ᾿ ἄρ᾿ ᾿Αριστοτέλους εἰκαιοσύνης ἀλεγεινῆς.

Καὶ οὗτος μὲν ὁ βίος τοῦ φιλοσόφου. Ἡμεῖς δὲ καὶ διαθήκαις αὐτοῦ περιετύχομεν, οὕτω πως ἐχούσαις·

""Εσται μὲν εὖ· ἐὰν δέ τι συμβαίνῃ, τάδε διέθετο
᾿Αριστοτέλης. Ἐπίτροπον μὲν εἶναι πάντων καὶ διὰ παν-
12 τὸς ᾿Αντίπατρον· ἕως δ᾿ ἂν Νικάνωρ καταλάβῃ, ἐπιμε-
λεῖσθαι ᾿Αριστομένη, Τίμαρχον, Ἵππαρχον, Διοτέλη,
Θεόφραστον, ἐὰν βούληται καὶ ἐνδέχηται αὐτῷ, τῶν τε
παιδίων καὶ Ἑρπυλλίδος καὶ τῶν καταλελειμμένων. Καὶ
ὅταν ὥρα ᾖ τῇ παιδί, ἐκδόσθαι αὐτὴν Νικάνορι· ἐὰν δὲ τῇ

1–2 *Anth. Pal., App.* 2.46 Cougny; *Suppl. Hell.* 738. Cf. Didymi *In Demosth.*, col. 6.46–49; Aristoclem ap. Eus. *P.E.* 15.2.12; Plut. *De exilio* 603 C **4** Timonis B 36 Diels; *Suppl. Hell.* 810. Cf. *Iliad.* 23.701 **7–p. 315.13** cf. A.-H. Chroust, *Wien. St.* 80 (1967) 90–114; H.B. Gottschalk, *Hermes* 100 (1972) 314–342 **13** ἐκδόσθαι αὐτὴν Νικάνορι : cf. S.E. *Adv. math.* 1.258

1 ἑρμίου **B** : ἑρμείου **PF** | ἠδ᾿ **BPF** : τε καὶ Eus., Did. (?) | ἅμα **BPF** : τόδε Eus., Did. **2** σῆμα **BPF** et Did. (?) : μνῆμα Eus. | κενόφρον **B** | τεῦξεν **BPF** : θῆκεν Eus., Did. | post ᾿Αριστοτέλης ex Eus. et Did. addi suadet Casaubon:

ὃς διὰ τὴν ἀκρατῆ γαστρὸς φύσιν εἵλετο ναίειν
ἀντ᾿ ᾿Ακαδημείας Βορβόρου ἐν προχοαῖς.

(ὃς γαστρὸς τιμῶν ἄνομον φύσιν Did.) **3** τείμων **B** **4** ἀλέγειν ἧς **B** **6** περιετύχομεν **BF** : ἐνετύχομεν **P** **7** διετίθετο **F** **9** νεικάνωρ **B** **10** ἀριστομένη **BP** : ἀριστομένην **F** | διοτέλη **P** : διοτελῆ **BF** **12** παιδίων **B**[2]**P** : παίδων **B**[1]**F** | ἑρπυλίδος **P**[2]**Q** : ἑρπυλαΐδος **BP**[1]**F** **13** ἐκδόσθαι **BP** : ἐκδίδοσθαι **F** | νεικάνωρι **B**, νικάνωρι **F**

παιδὶ συμβῇ τι (ὃ μὴ γένοιτο οὐδὲ ἔσται) πρὸ τοῦ γήμασθαι ἢ ἐπειδὰν γήμηται, μήπω παιδίων ὄντων, Νικάνωρ κύριος ἔστω καὶ περὶ τοῦ παιδίου καὶ περὶ τῶν ἄλλων διοικεῖν ἀξίως καὶ αὐτοῦ καὶ ἡμῶν. Ἐπιμελείσθω δὲ Νικάνωρ καὶ τῆς παιδὸς καὶ τοῦ παιδὸς Νικομάχου, ὅπως ἂν ἀξιοῖ τὰ περὶ αὐτῶν, ὡς καὶ πατὴρ ὢν καὶ ἀδελφός. Ἐὰν δέ τι πρότερον συμβαίνῃ Νικάνορι (ὃ μὴ γένοιτο) ἢ πρὸ τοῦ λαβεῖν τὴν παῖδα ἢ ἐπειδὰν λάβῃ, μήπω παιδίων ὄντων, ἐὰν μέν τι ἐκεῖνος τάξῃ, ταῦτα κύρια ἔστω. Ἐὰν **13**
δὲ βούληται Θεόφραστος ἐπιμε⟨λεῖσθαι⟩ τῆς παιδός, ⟨αὐτὸς κύριος ἔστω⟩, καθάπερ ⟨καὶ τὰ⟩ πρὸς Νικάνορα· εἰ δὲ μή, τοὺς ἐπιτρόπους βουλευομένους μετὰ Ἀντιπάτρου καὶ περὶ τῆς παιδὸς καὶ περὶ τοῦ παιδίου διοικεῖν ὅπως ἂν αὐτοῖς δοκῇ ἄριστα εἶναι.

Ἐπιμελεῖσθαι δὲ τοὺς ἐπιτρόπους καὶ Νικάνορα μνησθέντας ἐμοῦ καὶ Ἑρπυλλίδος, ὅτι σπουδαία περὶ ἐμὲ ἐγένετο, τῶν τε ἄλλων καὶ ἐὰν βούληται ἄνδρα λαμβάνειν, ὅπως μὴ ἀναξίως ἡμῶν δοθῇ. Δοῦναι δ' αὐτῇ πρὸς τοῖς

9 ἐὰν μέν τι ἐκεῖνος τάξῃ : "if Nicanor in his will has made arrangements about the property that I leave," *versio Arabica* **9** Ἐὰν δὲ – **11** Νικάνορα : "If Nicanor should die intestate, and if Theophrastus consents and is willing to take his place, it shall be the same in all matters in which Nicanor was in charge ...," *versio Arab.* **16** Ἑρπυλλίδος : cf. Athen. 13, 589 C = Hermippi Fr. 46 Wehrli

2 et 5 νεικάνωρ **B** **4** αὑτοῦ Huebner : αὐτοῦ **BPF** **5** νεικομάχου **B** **6** ἄξιοι **B** | τὰ περὶ αὐτὰ Reiske **7** συμβαίνῃ **P**, συμβαίνει **B** : συμβαίη **F** : συμβῇ Cobet | νεικάνωρι **B** **9** τι **P** : τοι **BP** | τάξοι **F** **10** ἐπιμε⟨λεῖσθαι⟩ scripsi (conl. vers. Arab.) : εἶναι μετὰ **BPF** : corruptum Duering **11** αὐτὸς κύριος ἔστω et καὶ τὰ supplevi | πρὸς om. **F** | νεικάνορα **B** **12** βουλομένους **F** **13** περὶ^2 om. **P**^{1}**Q**, ss. add. **P**^{4}**H** | παιδίου **BF** : παιδὸς **P** **14** δοκεῖ **F** **15** νεικάνορα **B** **16** ἑρπυλίδος **P** : ἑρπυλαίδος **F** | περὶ ἐμοῦ **F** **18** ἀναξίως **BF** : ἀνάξιος **P** : ἀναξίῳ Cobet

πρότερον δεδομένοις καὶ ἀργυρίου τάλαντον ἐκ τῶν καταλελειμμένων καὶ θεραπαίνας τρεῖς, ⟨ἃς⟩ ἂν βούληται,
14 καὶ τὴν παιδίσκην ἣν ἔχει καὶ παῖδα τὸν Πυρραῖον. Καὶ ἐὰν μὲν ἐν Χαλκίδι βούληται οἰκεῖν, τὸν ξενῶνα τὸν πρὸς τῷ κήπῳ· ἐὰν δὲ ἐν Σταγείροις, τὴν πατρῴαν οἰκίαν· ὁποτέραν δ' ἂν τούτων βούληται, κατασκευάσαι τοὺς ἐπιτρόπους σκεύεσιν οἷς ἂν δοκῇ κἀκείνοις καλῶς ἔχειν καὶ Ἑρπυλλίδι ἱκανῶς.

Ἐπιμελείσθω δὲ Νικάνωρ καὶ Μύρμηκος τοῦ παιδίου, ὅπως ἀξίως ἡμῶν τοῖς ἰδίοις ἐπικομισθῇ σὺν τοῖς ὑπάρχουσιν ἃ εἰλήφαμεν αὐτοῦ. Εἶναι δὲ καὶ Ἀμβρακίδα ἐλευθέραν καὶ δοῦναι αὐτῇ, ὅταν ἡ παῖς ἐκδοθῇ, πεντακοσίας δραχμὰς καὶ τὴν παιδίσκην ἣν ἔχει. Δοῦναι δὲ καὶ Θαλῇ πρὸς τῇ παιδίσκῃ ἣν ἔχει, τῇ ὠνηθείσῃ, χιλίας
15 δραχμὰς καὶ παιδίσκην· καὶ Σίμῳ χωρὶς τοῦ πρότερον ἀργυρίου αὐτῷ εἰς παῖδα ⟨δοθέντος⟩ ἢ ἄλλον παῖδα πρίασθαι ἢ ἀργύριον ἐπιδοῦναι. Τύχωνα δὲ ἐλεύθερον εἶναι, ὅταν ἡ παῖς ἐκδοθῇ, καὶ Φίλωνα καὶ Ὀλύμπιον καὶ τὸ παιδίον αὐτοῦ. Μὴ πωλεῖν δὲ τῶν παιδίων μηδένα τῶν ἐμὲ θεραπευόντων, ἀλλὰ χρῆσθαι αὐτοῖς· ὅταν δ' ἐν

2 ἃς add. Bywater | ἂν **BF** : ἐὰν **P** **4** ἐν in mg **F**[2] **6** βούληται τούτων **F** **8** ἑρπυλίδι **BPF** **10** ἀξίως **B** : ἂν ἀξίως **P** : ἀξίως ἂν **F** | ἐπικομισθῇ **D** : ἐπικοσμιθῇ **B**, ἐπικοσμηθῇ **PF** **11** ἀμβρακίδα **PF** in mg : ἀμβρακάδα **B** : ἀμειρακίδα **F** in textu **12** καὶ – **13** ἣν add. **B**[2] **12** post δοῦναι αὐτῇ lac. indic. Bywater, Duering ("My maid Ambracis shall be given her freedom, and if, after she has been set free, she remains in my daughter's service, until my daughter marries, she shall receive 500 drachmas and the maid she now has," *vers. Arab.*) **13** τὴν ss. **F**[2] **15** σίμω **F**, σιμω **B**, σιμῶ **P**[1]**Q** : σίμων **D** : Σίμωνι *Frob.* **16** δοθέντος suppl. Casaubon | ἄλλον ἢ **BPF**, transposui **17** ἐπιδοῦναι **F** : δοῦναι **BP** | Τύχωνα *Frob.* : τάχωνα **BPF** **19** παιδίων **BPF** : παίδων Cobet

ἡλικίᾳ γένωνται, ἐλευθέρους ἀφεῖναι κατ' ἀξίαν.

Ἐπιμελεῖσθαι δὲ καὶ τῶν ἐκδεδομένων εἰκόνων παρὰ Γρυλλίωνι, ὅπως ἐπιτελεσθεῖσαι ἀνατεθῶσιν, ἥ τε Νικάνορος καὶ ἡ Προξένου, ἣν διενοούμην ἐκδοῦναι, καὶ ἡ τῆς μητρὸς τῆς Νικάνορος· καὶ τὴν Ἀριμνήστου τὴν πεποιημένην ἀναθεῖναι, ὅπως μνημεῖον αὐτοῦ ᾖ, ἐπειδὴ ἄπαις ἐτελεύτησε· καὶ ⟨τὴν⟩ τῆς μητρὸς τῆς ἡμετέρας τῇ Δήμητρι **16**
ἀναθεῖναι εἰς Νεμέαν ἢ ὅπου ἂν δοκῇ. Ὅπου δ' ἂν ποιῶνται τὴν ταφήν ⟨μου⟩, ἐνταῦθα καὶ τὰ Πυθιάδος ὀστᾶ ἀνελόντας θεῖναι, ὥσπερ αὐτὴ προσέταξεν· ἀναθεῖναι δὲ καὶ ⟨διὰ⟩ Νικάνορα σωθέντα, ἣν εὐχὴν ὑπὲρ αὐτοῦ ηὐξάμην, ζῷα λίθινα τετραπήχη Διὶ σωτῆρι καὶ Ἀθηνᾷ σωτείρᾳ ἐν Σταγείροις."

Τοῦτον ἴσχουσιν αὐτῷ αἱ διαθῆκαι τὸν τρόπον. Λέγεται δὲ καὶ λοπάδας αὐτοῦ πλείστας εὑρῆσθαι· καὶ Λύκωνα λέγειν ὡς ἐν πυέλῳ θερμοῦ ἐλαίου λούοιτο καὶ τοὔλαιον διαπωλοῖτο. Ἔνιοι δὲ καὶ ἀσκίον θερμοῦ ἐλαίου ἐπιτιθέναι αὐτὸν τῷ στομάχῳ φασί· καὶ ὁπότε κοιμῷτο,

7 τῆς μητρός : cf. Plin. *N.H.* 35.106 **15** Λέγεται – **17** διαπωλοῖτο : cf. Aristoclem ap. Eus. *P.E.* 15.2.8 **18** καὶ ὁπότε – **p. 316.3** cf. Amm. Marc. 16.5.4 (de Alexandro); Athen. 4, 174 C (de Platone); P. Moraux, *Les Études Class.* 19 (1951) 305–315

1 ἀφῆναι **BF** **3** Γρυλλίωνι Buhle : γρυλλίωνα **BP** : γρυλίωνα **F** : Γρυλλίωνος **D**, Stephanus | εἴ τε **F** | νεικάνορος **B** : νικάνωρος **F** **4** ἣν δὲ **F** **5** τῆς ss. $\mathbf{P}^1$ **6** ἀναθῆναι **B** **7** τὴν add. Casaubon | τῇ Δήμητρι Casaubon : τὴν δὴ μητέρα **B** : τὴν δημήτερα **PF** **8** ἀναθῆναι **BF** | ποιῶντε $\mathbf{B}^1$ (corr. $\mathbf{B}^2$) **9** μου addidi **10** ἀνελόντας $\mathbf{P}^4$ et *Frob.* : ἀνελόντα $\mathbf{BP}^1\mathbf{F}$ **11** διὰ addidi | νεικάνορα **B** **12** εὐξάμην **B** **13** σωτείρη **BP** | σταγείροις **F** : σταγείρη **BP** **14** αἱ ss. $\mathbf{F}^2$ **15** λοπάδας : schol. in mg $\mathbf{B}^2$ χύτραι τήγανα σοροί **16** πυέλω : ὑγρῷ ss. $\mathbf{B}^2$ **16–17** καὶ τοὔλαιον διαπωλεῖτο in mg $\mathbf{F}^2$ **18** ὁπότ' ἐκοιμῶτο **B**

σφαῖραν χαλκῆν βάλλεσθαι αὐτῷ εἰς τὴν χεῖρα λεκάνης ὑποκειμένης, ἵν' ἐκπεσούσης τῆς σφαίρας εἰς τὴν λεκάνην ὑπὸ τοῦ ψόφου ἐξέγροιτο.

17 Ἀναφέρεται δὲ εἰς αὐτὸν καὶ ἀποφθέγματα κάλλιστα ταυτί. Ἐρωτηθεὶς τί περιγίνεται κέρδος τοῖς ψευδομένοις, "Ὅταν," ἔφη, "λέγωσιν ἀλήθειαν, μὴ πιστεύεσθαι." Ὀνειδιζόμενός ποτε ὅτι πονηρῷ ἀνθρώπῳ ἐλεημοσύνην ἔδωκεν, "Οὐ τὸν τρόπον," εἶπεν, "ἀλλὰ τὸν ἄνθρωπον ἠλέησα." Συνεχὲς εἰώθει λέγειν πρός τε τοὺς φίλους καὶ τοὺς φοιτῶντας αὐτῷ, ἔνθα ἂν καὶ ὅπου διατρίβων ἔτυχεν, ὡς ἡ μὲν ὅρασις ἀπὸ τοῦ περιέχοντος ἀέρος λαμβάνει τὸ φῶς, ἡ δὲ ψυχὴ ἀπὸ τῶν μαθημάτων. Πολλάκις δὲ καὶ ἀποτεινόμενος ⟨πρὸς⟩ τοὺς Ἀθηναίους ἔφασκεν εὑρηκέναι πυροὺς καὶ νόμους· ἀλλὰ πυροῖς μὲν χρῆσθαι, νόμοις δὲ μή.

18 Τῆς παιδείας ἔφη τὰς μὲν ῥίζας εἶναι πικράς, τὸν δὲ καρπὸν γλυκύν. Ἐρωτηθεὶς τί γηράσκει ταχύ, "Χάρις," ἔφη. Ἐρωτηθεὶς τί ἐστιν ἐλπίς, "Ἐγρηγορότος," εἶπεν, "ἐνύπνιον." Διογένους ἰσχάδ' αὐτῷ διδόντος νοήσας ὅτι,

6 – πιστεύεσθαι : Stob. 3.12.8 (Demetrii Phaler. Fr. 198 Wehrli) **7** Ὀνειδιζόμενος – **9** ἠλέησα : Arsen. *Viol.*, p. 120 Walz. Cf. DL 5.21 **11** ἡ μὲν ὅρασις – **12** τῶν μαθημάτων : Arsen. *ib.*; *Gnom. Vat.* 297 (Zenonis) **16–17** γλυκύν : Arsen. *ib.*; *Gnom. Vat.* 59; Stob. 2.31.29 et al. **17** Arsen. *ib.*; *Gnom. Vat.* 138; Stob. 2.46.13 **18** Ἐρωτηθεὶς – **19** ἐνύπνιον : Arsen. *ib.*; *Gnom. Vat.* 375 (Anacreontis); Stob. 4.47.12 (Pindari); Ael. *V.H.* 13.29 (Platonis)

1 χεῖρα **BPFΦ** et Ammian. : καιρίαν (sc. ὥραν) Moraux, agn. Duering **3** ἐξεγείροιτο **Φ** **4** ἀποφέρεται **P** **5** ταῦτα **B** **9** εἰώθη **B** **10** ἂν del. Bywater | ὅπου del. Reiske **11** ἀέρος **BPΦ**, Arsen. et *Gnom.* : om. **F**, del. Cobet **13** πρὸς addidi | ἔφασκεν **BPΦ** : ἔλεγεν **F** **16** ἔφη om. **F** **16–17** γλυκεῖς δὲ τοὺς καρποὺς **P**[1] : γλυκὺν δὲ τὸν καρπὸν **P**[2]**Q** **18** ἔφη **BPΦ** : εἶπεν **F** **19** διδόντος αὐτῶ ἰσχάδα **F**

εἰ μὴ λάβοι, χρείαν εἴη μεμελετηκώς, λαβὼν ἔφη Διογένη μετὰ τῆς χρείας καὶ τὴν ἰσχάδα ἀπολωλεκέναι. Πάλιν τε διδόντος λαβὼν καὶ μετεωρίσας ὡς τὰ παιδία εἰπών τε "Μέγας, διογενής," ἀπέδωκεν αὐτῷ. Τριῶν ἔφη δεῖν παιδείᾳ, φύσεως, μαθήσεως, ἀσκήσεως. Ἀκούσας ὑπό τινος λοιδορεῖσθαι, "Ἀπόντα με," ἔφη, "καὶ μαστιγούτω." Τὸ κάλλος παντὸς ἔλεγεν ἐπιστολίου συστατικώτερον. Οἱ δὲ **19**
οὕτω μὲν Διογένη φασὶν ὁρίσασθαι, αὐτὸν δὲ ⟨φύσεως⟩ δῶρον εἰπεῖν ⟨τὴν⟩ εὐμορφίαν· Σωκράτη δὲ ὀλιγοχρόνιον τυραννίδα· Πλάτωνα προτέρημα φύσεως· Θεόφραστον σιωπῶσαν ἀπάτην· Θεόκριτον ἐλεφαντίνην ζημίαν· Καρνεάδην ἀδορυφόρητον βασιλείαν.

Ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, "Ὅσῳ," εἶπεν, "οἱ ζῶντες τῶν τεθνεώτων." Τὴν παιδείαν ἔλεγεν ἐν μὲν ταῖς εὐτυχίαις εἶναι κόσμον,

4 Τριῶν – **5** ἀσκήσεως : Arsen. *ib.*; Protag. 80 B 3 DK (φύσεως καὶ ἀσκήσεως διδασκαλία δεῖται); Aristot. *E.N.* K 10, 1179 b 20 = *Pol.* H 13, 1332 a 40; *Gnom. Vat.* 439 (Platonis) **5** Ἀκούσας – **6** καὶ μαστιγούτω : *Gnom. Vat.* 222 **6–7** Arsen., p. 122; Stob. 4.21a.11 (Aristotelis); Publil. Syri *Sent.* 169 Formosa facies muta commendatio est **8–9** ⟨φύσεως⟩ δῶρον εἰπεῖν ⟨τὴν⟩ εὐμορφίαν : Stob. 4.21.16 (Dii Pythagoraei) καλλονήν – δώρημα φύσιος **8–12** βασιλείαν : Arsen., p. 120 s. **13** Ἐρωτηθεὶς – **14** τῶν τεθνεώτων : Arsen., p. 121 **15** Τὴν παιδείαν – **p. 318.1** καταφυγήν : Stob. 2.31.35 et 58; *Gnom. Vat.* 50

1 λάβη **Φ** **1 et 8** διογένη **BP** : διογένην **F** **2** καὶ in mg F^2 | ἀπωλωλεκέναι **B** | τε **BFΦ** : δὲ **P** **3** μετεωρήσας **BD** et *Frob.* **4** διογένης **BPFΦ** **7** ἐνσταλτικώτερον **F** **8** οὕτω Bywater : τοῦτο **BPF** | φασὶ διογένην **F** | post δὲ addit τοῦτο **F** | φύσεως addidi e Stobaeo : θεοῦ add. Cobet **9** τὴν add. Matthaei | εὐμορφίαν M. Casaubon : εὐμορφίας **BPFΦ** | σωκράτη **BP** : σωκράτην **F** **14** τεθνεώτων **BF Φ** : τεθνηκότων **P**

ἐν δὲ ταῖς ἀτυχίαις καταφυγήν. Τῶν γονέων τοὺς παιδεύσαντας ἐντιμοτέρους εἶναι τῶν μόνον γεννησάντων· τοὺς μὲν γὰρ τὸ ζῆν, τοὺς δὲ τὸ καλῶς ζῆν παρασχέσθαι. Πρὸς τὸν καυχώμενον ὡς ἀπὸ μεγάλης πόλεως εἴη, "Οὐ τοῦτο," ἔφη, "δεῖ σκοπεῖν, ἀλλ' ὅστις μεγάλης πατρίδος ἄξιός
20 ἐστιν." Ἐρωτηθεὶς τί ἐστι φιλία, ἔφη· "Μία ψυχὴ δύο σώμασιν ἐνοικοῦσα." Τῶν ἀνθρώπων ἔλεγε τοὺς μὲν οὕτω φείδεσθαι ὡς ἀεὶ ζησομένους, τοὺς δ' οὕτως ἀναλίσκειν ὡς αὐτίκα τεθνηξομένους. Πρὸς τὸν πυθόμενον διὰ τί τοῖς καλοῖς πολὺν χρόνον ὁμιλοῦμεν, "Τυφλοῦ," ἔφη, "τὸ ἐρώτημα."

Ἐρωτηθεὶς τί ποτ' αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη· "Τὸ ἀνεπιτάκτως ποιεῖν ἅ τινες διὰ τὸν ἀπὸ τῶν νόμων φόβον ποιοῦσιν." Ἐρωτηθεὶς πῶς ἂν προκόπτοιεν οἱ μαθηταί, ἔφη· "Ἐὰν τοὺς προέχοντας διώκοντες τοὺς ὑστεροῦντας μὴ ἀναμένωσι." Πρὸς τὸν εἰπόντα ἀδολέσχην, ἐπειδὴ πολλὰ αὐτοῦ κατήντλησε, "Μήτι σου κατεφλυά-

1 Τῶν γονέων – **3** παρασχέσθαι : *Gnom. Vat.* 87 (Alexandri); Plut. *Alex.* 8.3; Arsen., p. 95 **3** Πρὸς – **6** ἐστιν : *Gnom. Vat.* 257 (Demetrii Phaler.); Arsen., p. 265 **6–7** cf. Aristot. *E.E.* H 6, 1240 b 2; Arsen., p. 121; *Gnom. Vat.* 137; Porphyr. ad Hor. *C.* 1.3.8; Stob. 2.33.10 (Diogenis) **7** Τῶν ἀνθρώπων – **9** τεθνηξομένους : Arsen. *ib.* **9** Πρὸς – **10** τὸ ἐρώτημα : Arsen., p. 122; *Gnom. Vat.* 141; Stob. 4.21a.14 (Aristotelis) **12** Ἐρωτηθεὶς – **14** ποιοῦσιν : Arsen. *ib.*; *Gnom. Vat.* 417 (Xenocratis); Plut. *De virt. mor.* 446 E; *Adv. Col.* 1124 E; Cic. *De re publ.* 1.3. Cf. DL 2.68 **14** Ἐρωτηθεὶς – **16** μὴ ἀναμένωσι : Arsen. *ib.*

2 ἐντιμωτέρους **F** **3** τοὺς δὲ τὸ καλῶς ζῆν in mg **B**[2] **4** καυχόμενον **B** **5** δεῖ om. **P** | ὅστις **BPFΦ** et Arsen. : εἴ τις Cobet **6** φιλία Richards ex Aristot. : φίλος **BPFΦ** : φιλόσοφος *Frob.* **8** φιλεῖσθαι **F** **12** ποτ' om. **F** | περιεγένετο **F** **13** τὸν νόμον **F** **17** αὐτοῦ πολλὰ **F** | κατήντησεν **B**

ρησα;" "Μὰ Δία," εἶπεν· "οὐ γάρ σοι προσεῖχον." Πρὸς 21
τὸν αἰτιασάμενον ὡς εἴη μὴ ἀγαθῷ ἔρανον δεδωκώς
(φέρεται γὰρ καὶ οὕτως) "Οὐ τῷ ἀνθρώπῳ," φησίν, "ἔδω-
κα, ἀλλὰ τῷ ἀνθρωπίνῳ." Ἐρωτηθεὶς πῶς ἂν τοῖς φίλοις
προσφεροίμεθα, ἔφη· "Ὡς ἂν εὐξαίμεθα αὐτοὺς ἡμῖν
προσφέρεσθαι." Τὴν δικαιοσύνην ἔφη ἀρετὴν ψυχῆς
διανεμητικὴν τοῦ κατ' ἀξίαν. Κάλλιστον ἐφόδιον τῷ
γήρᾳ τὴν παιδείαν ἔλεγε. Φησὶ δὲ Φαβωρῖνος ἐν τῷ
δευτέρῳ τῶν Ἀπομνημονευμάτων ὡς ἑκάστοτε λέγοι·
"Ὧι ⟨πολλοὶ⟩ φίλοι οὐδεὶς φίλος"· ἀλλὰ καὶ ἐν τῶν
Ἠθικῶν τῷ ἑβδόμῳ ἐστί. Καὶ ταῦτα μὲν εἰς αὐτὸν ἀνα-
φέρεται.

Συνέγραψε δὲ πάμπλειστα βιβλία, ἃ ἀκόλουθον ἡγη-
σάμην ὑπογράψαι διὰ τὴν περὶ πάντας λόγους τἀνδρὸς
ἀρετήν·

Περὶ δικαιοσύνης α′ β′ γ′ δ′, 22
Περὶ ποιητῶν α′ β′ γ′,
Περὶ φιλοσοφίας α′ β′ γ′,

1 Πρὸς – **4** τῷ ἀνθρωπίνῳ : cf. 5.17; Stob. 3.37.31; *Gnom. Vat.* 139; Cic. *Pro P. Quinctio* 97; Gell. 9.2.6 **6** Τὴν δικαιοσύνην – **7** τοῦ κατ' ἀξίαν : Ps.-Aristot. *De virt. et vitiis* 1250 b 16; Cic. *De inv.* 2.160 **8–11** Favorini Fr. 10 Mensching **10** Aristot. *E.E.* H 12, 1245 b 20 et al. **16–p. 326.13** cf. Rose^3, pp. 3–22; Hesychii et Ptolemaei ind. libr. Aristot. et P. Moraux, *Listes anciennes des ouvrages d' Aristote,* Lovaniae, 1951; I. Duering, *Class. et Mediaev.* 17 (1956) 11–21; V. Marsellis, *RFIC* 34 (1956) 337–363 **17** cf. 3.48; 8.57

3 οὕτω **BP** **4** ἂν del. Richards **5** προσφερόμεθα **F** | ἔφη post v. 6 προσφέρεσθαι **F** **8** φαβορεῖνος **B** | τῶ om. **F** **9** λέγοι **PF** : λέγει **B** **10** ὦ **BPFΦ**, corr. Casaubon | πολλοὶ addidi ex Aristot. **10–11** τῶν ἠθνικῶν (τῶ ἠθνικῷ **F**^{2}) τῶ ἑβδόμω **F**^{1} : τῶ ἠθικῶ τῶν ἑβδόμων **BP** : τῶ ζ^{ω} τῶν ἠθικῶν **D** : ἐν τῷ Ἠθικῶν ἑβδόμῳ Duering **13** παμπλεῖστα βιβλία **BP** : βιβλία πολλὰ **F** | ἃ **PF** : om. **B**^{1}, ἅπερ ss. **B**^{2} **14** ὑπογράψαι om. **F**

Πολιτικὸς α′ β′,
Περὶ ῥητορικῆς ἢ Γρῦλος α′,
Νήρινθος α′,
Σοφιστὴς α′,
Μενέξενος α′,
Ἐρωτικὸς α′,
Συμπόσιον α′,
Περὶ πλούτου α′,
Προτρεπτικὸς α′,
Περὶ ψυχῆς α′,
Περὶ εὐχῆς α′,
Περὶ εὐγενείας α′,
Περὶ ἡδονῆς α′,
Ἀλέξανδρος ἢ ὑπὲρ ἀποικιῶν α′,
Περὶ βασιλείας α′,
Περὶ παιδείας α′,
Περὶ τἀγαθοῦ α′ β′ γ′,
Τὰ ἐκ τῶν Νόμων Πλάτωνος α′ β′ γ′,
Τὰ ἐκ τῆς Πολιτείας α′ β′,
Οἰκονομικὸς α′,
Περὶ φιλίας α′,
Περὶ τοῦ πάσχειν ἢ πεπονθέναι α′,
Περὶ ἐπιστημῶν α′,

3 cf. R. Laurenti, in *Perennitas: Studi A. Brelich* (Romae, 1980) 273–292 **4** cf. 8.57; 9.25 **13** cf. 5.44 **16** cf. 9.53 **18–19** : cf. 5.43 et Ptolem. (ap. Usaibiam, Nr. 16 Doering)

1 Πολιτικὸς Duering : πολιτικοῦ **BPF**^{1}, περὶ add. in mg infer. **F**^{2} : πολιτικὸν *V. Hes.* **2** ῥητορικῆς **BPF** et Ptolem. : πολιτικῆς *V. Hes.* | ἢ om. **P** | γρύλος **B** : γρύλλος **P**, γρῦλλος **F** **3–4** in mg **B**^{2} **5** ss. **F**^{2} | post 25 addit πλούτου α′ **F** (cf. v.8 et *V. Hes.*) **6** ἐρωτικὸς bis **P** **11** εὐχῶν **F** **14** ἀποικιῶν Bywater ex *V. Hes.* : ἀποίκων **BPF** **20** οἰκονομικὸς **P** : οἰκονομίας **BF** : ⟨περὶ⟩ οἰκονομίας Rose : οἰκονομικὸν *V. Hes.* **21** α′ om. **PF**

Περὶ ἐριστικῶν α′ β′,
Λύσεις ἐριστικαὶ δ′,
Διαιρέσεις σοφιστικαὶ δ′,
Περὶ ἐναντίων α′,
Περὶ εἰδῶν καὶ γενῶν ⟨α′⟩,
Περὶ ἰδίων α′,
Ὑπομνήματα ἐπιχειρητικὰ γ′, 23
Προτάσεις περὶ ἀρετῆς α′ β′,
Ἐνστάσεις α′,
Περὶ τῶν ποσαχῶς λεγομένων ἢ κατὰ πρόσθεσιν α′,
Περὶ παθῶν ⟨α′⟩,
⟨Περὶ⟩ ὀργῆς α′,
Ἠθικῶν α′ β′ γ′ δ′ ε′,
Περὶ στοιχείων α′ β′ γ′,
Περὶ ἐπιστήμης α′,
Περὶ ἀρχῆς α′,
Διαιρέσεις ιζ′,
Διαιρετικῶν α′,
⟨Περὶ⟩ ἐρωτήσεως καὶ ἀποκρίσεως α′ β′,
Προτάσεις [α′] περὶ κινήσεως α′,
Προτάσεις ἐριστικαὶ α′,

2–3 cf. 5.29 **10–11** i.e. *Metaph.* Δ

1 ἐρωτικῶν **F**^{1}, corr. **F**^{2} γρ. **5** α′ *Frob.* : om. **BPFVD** **7** ἐπιχειρητικὰ **B**^{1}**P** : ἐπιχειρηματικὰ **B**^{2}**F** **8** πρότασις **B**^{1}, corr. **B**^{2} **9** ἔνστασις **P** **10** πρόθεσιν **FD** et *V. Hes.*, *Frob.* **12–13** α′ et Περὶ add. Duering : περὶ παθῶν (πάθους *V. Hes.*) ὀργῆς **BPF** et *V. Hes.* : Περὶ παθῶν ⟨ἢ περὶ⟩ ὀργῆς Rose **14** ε′ om. **P**, erasit **F**^{2} **16** περὶ **F** : ὑπὲρ **BP** **19** διαιρετικῶν **BPF** et *V. Hes.* : διαιρετικὸν Rose **20** Περὶ ex *V. Hes.* add. Rose **21** περὶ κινήσεως α′, προτάσεις α′ **B**^{2}**PF** (cf. *V. Hes.* προτάσεων α′, ... Περὶ κινήσεως α′), corr. Duering (cf. v. 8 et p. 322.20) **22** ἐξοριστικαὶ **F**^{1}, corr. **F**^{2} γρ. | α′ **BF** et *V. Hes.* : δ′ **P**

Συλλογισμοὶ α΄,
Προτέρων ἀναλυτικῶν α΄ β΄ γ΄ δ΄ ε΄ ϛ΄ ζ΄ η΄ θ΄,
Ἀναλυτικῶν ὑστέρων μεγάλων α΄ β΄,
Περὶ προβλημάτων α΄,
Μεθοδικὰ α΄ β΄ γ΄ δ΄ ε΄ ϛ΄ ζ΄ η΄,
Περὶ τοῦ βελτίονος α΄,
Περὶ τῆς ἰδέας α΄,
Ὅροι πρὸ τῶν Τοπικῶν α΄,
⟨Τοπικῶν α΄⟩ β΄ γ΄ δ΄ ε΄ ϛ΄ ζ΄,
Συλλογισμῶν α΄ β΄,
Συλλογιστικὸν καὶ ὅροι α΄,
24 Περὶ τοῦ αἱρετοῦ καὶ τοῦ συμβεβηκότος α΄,
Τὰ πρὸ τῶν τόπων α΄,
Τοπικῶν πρὸς τοὺς ὅρους α΄ β΄,
Πάθη α΄,
Διαιρετικὸν α΄,
Μαθηματικὸν α΄,
Ὁρισμοὶ ιγ΄,
Ἐπιχειρημάτων α΄ β΄,
Προτάσεις [α΄] περὶ ἡδονῆς α΄,
Περὶ ἑκουσίου α΄,
Περὶ καλοῦ α΄,
Θέσεις ἐπιχειρητικαὶ κε΄,
Θέσεις ἐρωτικαὶ δ΄,
Θέσεις φιλικαὶ β΄,
Θέσεις περὶ ψυχῆς α΄,

1 συλλογισμὸς **F**^{1} **2** θ΄ del. Huebner **6** βελτίωνος **B** **8** πρὸ τῶν *Frob.* : πρώτων **BF**, πρῶτον **P** **8–9** Τοπικῶν α΄, ⟨Τοπικῶν α΄⟩ β΄ γ΄ δ΄ ε΄ ϛ΄ ζ΄ Jaeger ex *V. Hes.* : τοπικῶν α΄ β΄ γ΄ δ΄ ε΄ ϛ΄ ζ΄ **BPF** **11** συλλογισικῶν **F** | συλλογιστικῶν ὅρων *V. Hes.* **12–13** add. in mg infer. **F**^{2} **12** ἐρετοῦ **B** **20** Προτάσεις περὶ ἡδονῆς α΄ Duering (cf. p. 321.21) : περὶ ἡδονῆς (ἡδονῶν **F**) α΄, προτάσεις α΄ **BPF** **23** ἐπιχειρητικαὶ **B**^{1}**P** et *V. Hes.* : ἐπιχειρηματικαὶ **FB**^{2} **24** om. **P**

Πολιτικὰ β´,
Πολιτικῆς ἀκροάσεως ὡς ἡ Θεοφράστου α´ β´ γ´ δ´ ε´ ς´ ζ´ η´,
Περὶ δικαίων α´ β´,
Τεχνῶν συναγωγὴ α´ β´,
Τέχνης ῥητορικῆς α´ β´,
Τέχνη α´,
Ἄλλη τέχνη α´ β´,
Μεθοδικὸν α´,
Τέχνης τῆς Θεοδέκτου συναγωγὴ α´,
Πραγματεία τέχνης ποιητικῆς α´ β´,
Ἐνθυμήματα ῥητορικὰ α´,
Περὶ μεγέθους α´,
Ἐνθυμημάτων διαιρέσεις α´,
Περὶ λέξεως α´ β´,
Περὶ συμβουλίας α´, 25
Συναγωγῆς α´ β´,
Περὶ φύσεως α´ β´ γ´,
Φυσικὸν α´,
Περὶ τῆς Ἀρχυτείου φιλοσοφίας α´ β´ γ´,
Περὶ τῆς Σπευσίππου καὶ Ξενοκράτους α´,
Τὰ ἐκ τοῦ Τιμαίου καὶ τῶν Ἀρχυτείων α´,
Πρὸς τὰ Μελίσσου α´,
Πρὸς τὰ Ἀλκμαίωνος α´,

20 47 A 13 DK **22** 49 A 2 DK

1 ⟨Θέσεις⟩ πολιτικα⟨ὶ⟩ Rose **3** θ´ add **F**[1], sed erasit **8** τέχνη **BP** : τεχνῶν συναγωγὴ **F** **10** τῆς **BP** et *V. Hes.* : τῶν **F** | συναγωγὴ **F** : συναγωγὴν *V. Hes.* : συναγωγῆς **BP** **11** πραγματεία Buhle : πραγματεῖαι **BPF** **12** α´ om. **P** **14** αἱρέσεις **B** **16** συμβολείας **B** **17–18** transp. **F** **17** συναγωγὴ **F** **20** ἀρχυτίου et **22** ἀρχυτίων **P** : Ἀρχύτου bis *V. Hes.* **22** τοῦ om. **F** **24** τὰ **P** et *V. Hes.* : τὰς **BF** | ἀκμαίωνος **BP**[1] (corr. **P**[4])

Πρὸς τοὺς Πυθαγορείους α΄,
Πρὸς τὰ Γοργίου α΄,
Πρὸς τὰ Ξενοφάνους α΄,
Πρὸς τὰ Ζήνωνος α΄,
Περὶ τῶν Πυθαγορείων α΄,
Περὶ ζῴων α΄ β΄ γ΄ δ΄ ε΄ ς΄ ζ΄ η΄ θ΄,
Ἀνατομῶν α΄ β΄ γ΄ δ΄ ε΄ ς΄ ζ΄,
Ἐκλογὴ ἀνατομῶν α΄,
Περὶ τῶν συνθέτων ζῴων α΄,
Περὶ τῶν μυθολογουμένων ζῴων α΄,
Περὶ τοῦ μὴ γεννᾶν α΄,
Περὶ φυτῶν α΄ β΄,
Φυσιογνωμονικὸν α΄,
Ἰατρικὰ β΄,
Περὶ μονάδος α΄,
Σημεῖα χειμώνων α΄,
26 Ἀστρονομικὸν α΄,
Ὀπτικὸν α΄,
Περὶ κινήσεως α΄,
Περὶ μουσικῆς α΄,
Μνημονικὸν α΄,
Ἀπορημάτων Ὁμηρικῶν α΄ β΄ γ΄ δ΄ ε΄ ς΄,
⟨Ἀπορήματα⟩ ποιητικὰ α΄,
Φυσικῶν κατὰ στοιχεῖον λη΄,
Ἐπιτεθεαμένων προβλημάτων α΄ β΄,

1–4 in mg super. **F**^{2} **1** περὶ τῶν πυθαγορικῶν **F**^{2} **3** Ξενοφάνους Menagius : Ξενοκράτους **BPF** (cf. 323.21) **5** πυθαγοριῶν **B** **9–11** περὶ ter scripsi : ὑπὲρ ter **BPF** (cf. *V. Hes.* Περὶ τῶν συνθέτων ζῴων α΄; Περὶ τῶν μυθολογουμένων ζῴων α΄; Περὶ τοῦ μὴ γεννᾶν α΄ et DL 5.59 Περὶ τῶν μυθολογουμένων ζῴων) **13** φυσιογνωμικὸν **F** **18** in mg **F**^{2} **23** Ἀπορήματα add. Bernays | ποιητικὰ **BP** : ποιητκὸν **F** : Ποιητικῶν Rose **24** φυσικὰ κατὰ στοιχείων **F** **25** ἐπιτεθεαμένων **BPF** et *V. Hes.* : ἐπιτεθειμένων Moraux

Ἐγκυκλίων α′ β′,
Μηχανικὸν α′,
Προβλήματα ἐκ τῶν Δημοκρίτου β′,
Περὶ τῆς λίθου α′,
Παραβολαὶ α′,
Ἄτακτα ιβ′,
Ἐξητασμένα κατὰ γένος ιδ′,
Δικαιώματα α′,
Ὀλυμπιονῖκαι α′,
Πυθιονῖκαι α′,
⟨Περὶ⟩ μουσικῆς α′,
Πυθικὸς α′,
Πυθιονικῶν ἔλεγχοι α′,
Νῖκαι Διονυσιακαὶ α′,
Περὶ τραγῳδιῶν α′,
Διδασκαλίαι α′,
Παροιμίαι α′,
Νόμοι συσσιτικοὶ α′,
Νομ⟨ίμ⟩ων α′ β′ γ′ δ′,
Κατηγοριῶν α′,
Περὶ ἑρμηνείας α′,
Πολιτεῖαι πόλεων δυοῖν δέουσαι ρξ′· κατ' 27
ἰδία⟨ν⟩ δημοκρατικαὶ ⟨καὶ⟩ ὀλιγαρχικαὶ καὶ
ἀριστοκρατικαὶ καὶ τυραννικαί,

7 Ἐξητασμένα Duering ex *V. Hes.* : ἐξηγμένα **BPF** : ἐξηγημένα **D** et *Frob.* **10–11** πυθιονῖκαι μουσικῆς α′ **BPF**, Duering : α′^{1} **D** et *V. Hes.* et Περὶ add. Rose ex *V. Hes.* **14** νεῖκαι **B** **16** διδασκαλίαι **P** : διδασκαλία **B** : διδασκαλιῶν **F** **18** νόμοι συσσιτικοὶ Rose : νόμοι συστατικοὶ **F** et *V. Hes.* : νόμος συστατικὸς **BP** **19** Νομίμων Duering ex *V. Hes.* : νόμων **BPF** **22** δυεῖν **P** | δέουσαι **B**^{1}**F** : δεούσαις **B**^{2}**P**^{1}**Q** : δεούσαιν **P**^{4}**H** et *Frob.* **22–23** κατ' ἰδίαν Duering : καὶ ἰδία **BPF** : ⟨κοιναὶ⟩ καὶ ἴδιαι Bernays : κατ' εἴδη Moraux **23** καὶ^{1} add. Duering | καὶ^{2} et **24** καὶ **BP**, om. **F** **24** τυραννικαὶ ἀριστοκρατικαὶ **F**

Ἐπιστολαί· Πρὸς Φίλιππον ⟨περὶ⟩ Σηλυμβρι-
⟨αν⟩ῶν ἐπιστολαί,
Πρὸς Ἀλέξανδρον δʹ ἐπιστολαί,
Πρὸς Ἀντίπατρον θʹ,
Πρὸς Μέντορα αʹ,
Πρὸς Ἀρίστωνα αʹ,
Πρὸς Ὀλυμπιάδα αʹ,
Πρὸς Ἡφαιστίωνα αʹ,
Πρὸς Θεμισταγόραν αʹ,
Πρὸς Φιλόξενον αʹ,
Πρὸς Δημόκριτον αʹ,

Ἔπη ὧν ἀρχή· Ἁγνὲ θεῶν πρέσβισθ' ἑκαταβόλε.
Ἐλεγεῖα ὧν ἀρχή· Καλλιτέκνου μητρὸς θύγατερ.

Γίνονται αἱ πᾶσαι μυριάδες στίχων τέτταρες καὶ τετταράκοντα πρὸς τοῖς πεντακισχιλίοις καὶ διακοσίοις ἑβδομήκοντα.

28 Καὶ τοσαῦτα μὲν αὐτῷ πεπραγμάτευται βιβλία. | Βούλεται δὲ ἐν αὐτοῖς τάδε· Διττὸν εἶναι τὸν κατὰ φιλοσοφίαν λόγον, τὸν μὲν πρακτικόν, τὸν δὲ θεωρητικόν· καὶ τοῦ

12 Aristot. Fr. 671 Rose^3 **13** Aristot. Fr. 672 R. **17** Βούλεται – **p. 331.5** cf. P. Moraux, *Revue philos. de Louvain* 47 (1949) 5–43 **18** Διττὸν – **19** θεωρητικόν : Aristot. *Metaph.* A 1, 993 b 20–23; Alcinoi *Didasc.* 3 et al.

1 φίλιππον – **3** ἀλέξαν- in mg **B**^{2} **1** περὶ add. Duering | Σηλυμβριανῶν Duering : σηλυμβρίων **B**^{2}**P**, σηλυβρίων **F** **2** ἐπιστολαί **B**^{2}**PF** : εʹ [ἐπιστολαί] M. Plezia (*Aristot. epist.*, Varsoviae, 1961) **3** τέτταρες ἐπιστολαὶ **BP** : ἐπιστολαὶ δʹ **F** : del. ἐπιστολαὶ Plezia **4** θʹ **BPF** : δʹ Plezia **5** αʹ **B P** : θʹ **F** **11** αʹ om. **P** **12** ἀρχαὶ **F** | πρέσβεισθ' **B** | ἑκαταβόλε **BP** : ἑκατιβόλε **F** : ἑκατηβόλη *Frob.* **13** ἐλεγεῖα ὧν **D** et *Frob.* : ἐλεγιαίων **B** : ἐλεγεῖαι ὧν **P** : ἐλεγείων **F**^{1} et ὧν in mg **F**^{2} **14** αἱ πᾶσαι **BP** : ἅπασαι **F**

πρακτικοῦ τόν τε ἠθικὸν καὶ πολιτικόν, οὗ τά τε περὶ πόλιν καὶ τὰ περὶ οἶκον ὑπογεγράφθαι· τοῦ δὲ θεωρητικοῦ τόν τε φυσικὸν καὶ λογικόν, οὗ τὸ λογικὸν οὐχ ὡς ὅλου μέρος, ἀλλ' ὡς ὄργανον προηκριβωμένον. Καὶ τούτου διττοὺς ὑποθέμενος σκοποὺς τό τε πιθανὸν καὶ τὸ ἀληθὲς διεσάφησε. Δύο δὲ πρὸς ἑκάτερον δυνάμεσιν ἐχρήσατο, διαλεκτικῇ μὲν καὶ ῥητορικῇ πρὸς τὸ πιθανόν, ἀναλυτικῇ δὲ καὶ φιλοσοφίᾳ πρὸς τὸ ἀληθές· οὐδὲν ὑπολειπόμενος οὔτε τῶν πρὸς εὕρεσιν, οὔτε τῶν πρὸς κρίσιν, οὔτε μὴν τῶν πρὸς χρῆσιν. Πρὸς μὲν οὖν τὴν εὕρεσιν τά τε Τοπικὰ 29
καὶ Μεθοδικὰ παρέδωκε ⟨καὶ⟩ Προτάσεων πλῆθος, ἐξ ὧν πρὸς τὰ προβλήματα πιθανῶν ἐπιχειρημάτων οἷόν τε εὐπορεῖν· πρὸς δὲ τὴν κρίσιν τὰ Ἀναλυτικὰ πρότερα καὶ ὕστερα (διὰ μὲν οὖν τῶν προτέρων τὰ λήμματα κρίνεται, διὰ δὲ τῶν ὑστέρων ἡ συναγωγὴ ἐξετάζεται)· πρὸς δὲ τὴν χρῆσιν τά τε ἀγωνιστικὰ καὶ ἐριστικὰ [τε] καὶ τὰ περὶ ἐρωτήσεως, σοφιστικῶν ἐλέγχων τε καὶ συλλογισμῶν καὶ τῶν ὁμοίων τούτοις ⟨πλῆθος⟩. Κριτήριον δὲ τῆς ἀληθείας

6 Δύο – **7** ῥητορικῇ : *Rhet.* A 2, 1356 a 25–26; A 4, 1359 b 11–14 **11** Μεθοδικά : cf. p. 322.5 **18** Κριτήριον – **p. 328.3** *De anima* Γ 3, 428 b 18; *E.N.* A 4, 1096 b 29; Arii Didymi Fr. 16 Diels et al.

2 τὴν πόλιν **F** | τοῦ περὶ οἶκον **F** | γεγράφθαι **φ** 6 **3** οὗ τὸ λογικὸν in mg **F**^{2} **3–4** ὡς ὅλου μέρος Moraux : ὡς ··· μέρος **B**^{2} (fuit ὅλου **B**^{1} ut vid.) : ὁλομερῶς **PFφ** : ὡς μέρος Duering **4** προηκριβωμένον Duering (conl. *Metaph* Γ 3, 1005 b 4 προεπισταμένους) : προσηκριβωμένον **BPFφ** **8** ὑπολειπόμενος **P**^{2}**Q** et ss. **F**^{2} : ὑπολειπόμενον **BP**^{1} : ὑπολιπόμενος **φ** **10** Τοπικὰ Stephanus : ὀπτικὰ **BPFφ** **11** καί^2 add. Moraux **12** πειθανῶν **B** **16** ἐριστικά τε καὶ post v. 17 ἐρωτήσεως in **BPFφ**, huc transtuli (conl. Ar. *Soph. el.* 165 b 11 περὶ δὲ τῶν ἀγωνιστικῶν καὶ ἐριστικῶν νῦν λέγωμεν) | ἐριστικά secl. Bywater : ἐριστικῶν Duering | τε^2 **BPφ** : om. **F** : secl. Bywater **17** σοφιστικῶν ἐλέγχων **BP**^{1}**Fφ** : σοφιστικοὶ ἔλεγχοι **P**^{2}**Q** | τε om. **F** **18** πλῆθος addidi (cf. v. 11)

τῶν μὲν κατὰ φαντασίαν ἐνεργημάτων τὴν αἴσθησιν ἀπεφήνατο, τῶν δὲ ἠθικῶν (τῶν περὶ πόλιν καὶ περὶ οἶκον καὶ περὶ νόμους) τὸν νοῦν.

30 Τέλος δὲ ἓν ἐξέθετο, χρῆσιν ἀρετῆς ἐν βίῳ τελείῳ. Ἔφη δὲ τὴν εὐδαιμονίαν συμπλήρωμα ἐκ τριῶν ἀγαθῶν εἶναι· τῶν περὶ ψυχήν, ἃ δὴ καὶ πρῶτα τῇ δυνάμει καλεῖ· ἐκ δευτέρων δὲ τῶν περὶ σῶμα, ὑγείας καὶ ἰσχύος καὶ κάλλους καὶ τῶν παραπλησίων· τῶν δὲ ἐκτός, πλούτου καὶ εὐγενείας καὶ δόξης καὶ τῶν ὁμοίων. Τήν τε ἀρετὴν μὴ εἶναι αὐτάρκη πρὸς εὐδαιμονίαν· προσδεῖσθαι γὰρ τῶν τε περὶ σῶμα καὶ τῶν ἐκτὸς ἀγαθῶν, κακοδαιμονήσοντος τοῦ σοφοῦ κἂν ἐν πόνοις ᾖ, κἂν ἐν πενίᾳ καὶ τοῖς ὁμοίοις. Τὴν μέντοι κακίαν αὐτάρκη πρὸς κακοδαιμονίαν, κἂν ὅτι
31 μάλιστα παρῇ αὐτῇ τὰ ἐκτὸς ἀγαθὰ καὶ τὰ περὶ σῶμα. Τάς τε ἀρετὰς ἔφη μὴ ἀντακολουθεῖν· ἐνδέχεσθαι γὰρ φρόνιμόν τινα καὶ ὁμοίως δίκαιον ὄντα ἀκόλαστον καὶ ἀκρατῆ εἶναι. Ἔφη δὲ τὸν σοφὸν μὴ εἶναι ἀπαθῆ μέν, μετριοπαθῆ δέ.

Τήν τε φιλίαν ὡρίζετο ἰσότητα εὐνοίας ἀντιστρόφου· ταύτης δὲ τὴν μὲν εἶναι συγγενικήν, τὴν δὲ ἐρωτικήν, τὴν δὲ ξενικήν. Εἶναι δὲ καὶ τὸν ἔρωτα μὴ μόνον συνουσίας,

4 *E.N.* A 6, 1098 a 16–20 **5** Ἔφη δὲ – **9** τῶν ὁμοίων : *E.N.* A 6, 1098 b 12–15; *Rhet.* A 5, 1360 b 26–28 **9** Τήν τε ἀρετὴν – **11** ἀγαθῶν : *E.N.* A 8, 1099 a 31–b 6 **13** Τὴν – **14** σῶμα : Stob. 2.7.18 (II, p. 133.23–134.1 W.) **15** *E.N.* Z 13, 1144 b 33–34 **19** *E.N.* Θ 2, 1155 b 33 **20–21** *E.N.* Θ 14, 1161 b 12; Θ 3, 1156 b 3 et a 31; DL 3.81 **21** DL 7.130; Stob. 2.7.21 s.f.

2 τῶν² **D** : τὰ **BPFφ** **8** τῶν δὲ ἐκτὸς **BPFφ** : ἐκ τρίτων δὲ τῶν ἐκτὸς **D** **11** post ἀγαθῶν add. ὡς **D** | κακοδαιμονίσοντος **B** : κακογνωμονήσαντος **F** in textu, κακοδαιμονήσαντος **F**² in mg γρ. **16** ὁμοίως om. **φ** **17** δὲ om. **φ** | ἀπαθῆ μὲν μὴ εἶναι Bywater **19** ὡρίσατο **φ** | ἀντιστρόφου Casaubon : ἀντίστροφον **BPFφ**

ἀλλὰ καὶ φιλίας. Καὶ ἐρασθήσεσθαι δὲ τὸν σοφὸν καὶ πολιτεύσεσθαι, γαμήσειν τε μὴν καὶ βασιλεῖ συμβιώσειν. Βίων τε τριῶν ὄντων, θεωρητικοῦ, πρακτικοῦ, ἡδονικοῦ, τὸν θεωρητικὸν ἐνέκρινεν. Εὔχρηστα δὲ καὶ τὰ ἐγκύκλια μαθήματα πρὸς ἀρετῆς ἀνάληψιν.

Ἔν τε τοῖς φυσικοῖς αἰτιολογώτατος παρὰ πάντας 32
ἐγένετο, ὥστε καὶ περὶ τῶν ἐλαχίστων τὰς αἰτίας ἀποδιδόναι· διόπερ καὶ οὐκ ὀλίγα βιβλία συνέγραψε φυσικῶν ὑπομνημάτων. Τὸν δὲ θεὸν ἀσώματον ἀπέφαινε, καθὰ καὶ ὁ Πλάτων· διατείνειν δὲ αὐτοῦ τὴν πρόνοιαν μέχρι τῶν οὐρανίων καὶ εἶναι ἀκίνητον αὐτόν· τὰ δ' ἐπίγεια κατὰ τὴν πρὸς ταῦτα συμπάθειαν οἰκονομεῖσθαι. Εἶναι δὲ παρὰ τὰ τέτταρα στοιχεῖα καὶ ἄλλο πέμπτον, ἐξ οὗ τὰ αἰθέρια συνεστάναι· ἀλλοίαν δ' αὐτοῦ τὴν κίνησιν εἶναι· κυκλοφορητικὴν γάρ.

Καὶ τὴν ψυχὴν δὲ ἀσώματον, ἐντελέχειαν οὖσαν τὴν

1–2 DL 7.129; Stob. 2.7.24 (II, p. 144.8–10 W.); 2.7.11^{m} (II, p. 111.3–4 W.) **6–7** cf. Strab. 2.3.8 **9** Τὸν δὲ θεὸν – ἀπέφαινε : *Phys.* Θ 10, 267 b 25; Cic. *N.D.* 1.33; S.E. *P.H.* 3.218 **11** ἀκίνητον : *De caelo* A 9, 279 a 30–33 **11** τὰ δ' ἐπίγεια – **12** οἰκονομεῖσθαι : *Meteor.* A 2, 339 a 21–23; Cic. N.D. 3.28 **14–15** Aet. 1.7.32; Galeni *Hist. philos.* 18 Diels: Ἀριστοτέλης δὲ τούτοις προσέθηκε καὶ τὸ κυκλοφορητικὸν σῶμα; 35 (p. 618.16 D.) **16–p. 330.2** *De anima* B 1, 412 a 27–28 et b 5; Aet. 4.2.6 et al.

1 φιλίας J. Davies (in Cic. *Tusc.* 4.70) : φιλοσοφίας **BPFφ** **2** πολιτεύεσθαι **F** | τε **BPFφ** : γε Aldina, Reiske | συμβιώσειν Stephanus : συμβιῶσαι **BPFφ** : συμβιῶναι *Frob.*, Cobet : συμβιώσεσθαι Bywater **4** ἐνέκρινεν **BPFφ** : ἔκρινεν **D** : προέκρινεν *Frob.* **6** αἰτιολογώτατος **BPF** : αἰτιώτατος **φ** : αἰτιολογικώτατος **VD** | παρὰ πάντας **BPφ** : πάντων **F** **7** post ἐγένετο addit μάλιστα **F** **8** βιβλία om. **F** **9** ὑπομνημάτων Cobet : ἀπομνημονευμάτων **BPF** **10** διατείνειν **φ**, Aldina, Buhle : διατείνει **BPF** **12** οἰκονομεῖσθαι **BPF** : κινεῖσθαι **φ** **15** κυκλοφορικὴν **FD** et *Frob.*

πρώτην σώματος [γὰρ] φυσικοῦ καὶ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος. Λέγει δὲ τὴν ἐντελέχειαν ἧς ἐστιν εἶδός τι
33 ἀσώματον. Διττὴ δ' ἐστὶν αὕτη κατ' αὐτόν· ἡ μὲν κατὰ δύναμιν, ὡς ἐν τῷ κηρῷ ὁ Ἑρμῆς ἐπιτηδειότητα ἔχοντι ἐπιδέξασθαι τοὺς χαρακτῆρας, καὶ [ὁ] ἐν τῷ χαλκῷ ἀνδριάς· καθ' ἕξιν δὲ λέγεται ἐντελέχεια ἡ τοῦ συντετελεσμένου Ἑρμοῦ ἢ ἀνδριάντος. Σώματος δὲ φυσικοῦ, ἐπεὶ τῶν σωμάτων τὰ μέν ἐστι χειρόκμητα, ὡς τὰ ὑπὸ τεχνιτῶν γινόμενα, οἷον πύργος, πλοῖον· τὰ δὲ ὑπὸ φύσεως, ὡς φυτὰ καὶ τὰ τῶν ζῴων. Ὀργανικοῦ δὲ εἶπε, τούτεστι πρός τι κατεσκευασμένου, ὡς ἡ ὅρασις πρὸς τὸ ὁρᾶν καὶ ἡ ἀκοὴ πρὸς τὸ ἀκούειν· δυνάμει δὲ ζωὴν ἔχοντος, οἷον ἐν αὐτῷ.

34 Τὸ δυνάμει δὲ διττόν, ἢ καθ' ἕξιν ἢ κατ' ἐνέργειαν· κατ' ἐνέργειαν μὲν ὡς ὁ ἐγρηγορὼς λέγεται ψυχὴν ἔχειν· καθ' ἕξιν δὲ ὡς ὁ καθεύδων. Ἵν' οὖν καὶ οὗτος ὑποπίπτῃ, τὸ δυνάμει προσέθηκε.

Πολλὰ δὲ καὶ ἄλλα περὶ πολλῶν ἀπεφήνατο, ἅπερ μακρὸν ἂν εἴη καταριθμεῖσθαι. Τοῖς γὰρ ὅλοις φιλοπονώτα-

2 Λέγει δὲ – **7** ἀνδριάντος : cf. Philop. *In De anima,* p. 211.29 Hayduck; Arii Didymi Fr. 3 Diels **16** ὡς ὁ καθεύδων : cf. Aristot. *Protr.* Fr. 14 Walzer

1 γὰρ del. Bywater **2** τὴν **BP^{1}Fφ** : del. **P^{2}Q** | ἧ ἐστιν coni. Moraux **3** διττὴ δ' ἐστὶν αὕτη κατ' αὐτὸν ante v. 2 λέγει in **BPFφ** : transtulit Bywater | αὕτη **BPFφ** : ἡ οὐσία Duering **4** ἔχοντι **B** : ἔχων **PF** : ἔχον **φ** **5** ὁ del. Duering **6** ἐντελέχεια **BPFφ** : ⟨ἢ⟩ ἐντελεχείᾳ Moraux, agn. Duering **7** ἢ om. **φ** **10** τουτέστι in mg **F^2** **11** ἡ^2 **φ**, Aldina, Stephanus : om. **BPF** **13** αὐτῷ **D** : αὐτῷ **BPFφ** : ἑαυτῷ *Frob.* **14** Τὸ – **17** προσέθηκε post v. 7 ἀνδριάντος transposuit Moraux, agn. Duering **14** τὸ δυνάμει **PFφ** et **B^2** (in ras.) : τὸ ἐντελεχείᾳ Moraux, Duering | δὲ διττὸν Menagius : διττὸν **B** : δὲ ἧττον **PFφ** | ἢ καθ' ἕξιν **B** : om. **PFφ** **16** κατὰ **BPFφ** | οὕτως **F^2** (οὗτος **F^1**) **17** τῷ **P^{1}Q**, corr. **P^4**

τος ἐγένετο καὶ εὑρετικώτατος, ὡς δῆλον ἐκ τῶν προγεγραμμένων συγγραμμάτων, ἃ τὸν ἀριθμὸν ἐγγὺς ἥκει ⟨τῶν⟩ τετρακοσίων, τὰ ὅσα γε ἀναμφίλεκτα· πολλὰ γὰρ καὶ ἄλλα εἰς αὐτὸν ἀναφέρεται συγγράμματά τε καὶ ἀποφθέγματα, ἀγράφου φωνῆς εὐστοχήματα.

Γεγόνασι δὲ Ἀριστοτέλεις ὀκτώ· | πρῶτος αὐτὸς οὗτος· 35 δεύτερος ὁ πολιτευσάμενος Ἀθήνησιν, οὗ καὶ δικανικοὶ φέρονται λόγοι χαρίεντες· τρίτος περὶ Ἰλιάδος πεπραγματευμένος· τέταρτος Σικελιώτης ῥήτωρ, πρὸς τὸν Ἰσοκράτους Πανηγυρικὸν ἀντιγεγραφώς· πέμπτος ὁ ἐπικληθεὶς Μῦθος, Αἰσχίνου τοῦ Σωκρατικοῦ γνώριμος· ἕκτος Κυρηναῖος, γεγραφὼς περὶ ποιητικῆς· ἕβδομος παιδοτρίβης, οὗ μέμνηται Ἀριστόξενος ἐν τῷ Πλάτωνος βίῳ· ὄγδοος γραμματικὸς ἄσημος, οὗ φέρεται τέχνη περὶ πλεονασμοῦ.

Τοῦ δὴ Σταγειρίτου γεγόνασι μὲν πολλοὶ γνώριμοι, διαφέρων δὲ μάλιστα Θεόφραστος, περὶ οὗ λεκτέον.

ΘΕΟΦΡΑΣΤΟΣ 36

Θεόφραστος Μελάντα κναφέως υἱός, Ἐρέσιος, ὥς φησιν Ἀθηνόδωρος ἐν ὀγδόῃ Περιπάτων. Οὗτος πρότερον

11 Μῦθος : cf. 2.63 et Olympiod. *Proleg.*, p. 13.20 Busse **12** παιδοτρίβης : cf. Olympiod. *ib.* et Aristoxeni Fr. 66 Wehrli **18–p. 349.9** primum ed. *Aristotelis Operum* ed. Aldina (vol. II, Venetiis, 1497). Ed. M.G. Sollenberger (1985), 1–62 = W.W. Fortenbaugh, ed., *Theophrastus of Eresus*, I (1993), 20–46

1 προγεγραμμένων in mg $\mathbf{F}^2$ **3** τῶν add. Cobet | γὰρ **B P** : δὲ **F** **4** συγγράμματά τε Diels : συγγράμματα αὐτοῦ **BPF** : αὐτοῦ del. Reiske | αὐτοῦ καὶ ἀποφθέγματα in mg $\mathbf{F}^2$ **6** αὐτὸς om. **F** **8** φέρονται $\mathbf{BFP}^4\mathbf{H}$: φαίνονται $\mathbf{P}^1\mathbf{Q}$ | λόγοι φέρονται **F** | χαρίεντες et πεπραγματευμένος om. **F** **10** ἀντιγραφὼς **F** **11** αἰσχίνου – γνώριμος in mg $\mathbf{F}^2$ **15** τοῦ in mg $\mathbf{B}^2$ | σταγηρίτου **B** **17** *tit.* **P** : om. **FV** et **B** (spatio relicto) **18** ἐρέσιος post μελάντα in **BPF**, huc transtuli : ante μελάντα *Frob.* **19** ὀγδόῃ **F** : η´ $\mathbf{BP}^2$ in mg (ἢ $\mathbf{P}^1$ in textu) | τῶν ante περιπάτων add. $\mathbf{P}^5$ in mg | προτέρον **BP** : πρῶτον **F**

μὲν ἤκουσεν Ἀλκίππου τοῦ πολίτου ἐν τῇ πατρίδι, εἶτ' ἀκούσας Πλάτωνος μετέστη πρὸς Ἀριστοτέλη· κἀκείνου εἰς Χαλκίδα ὑποχωρήσαντος αὐτὸς διεδέξατο τὴν σχολὴν Ὀλυμπιάδι τετάρτῃ καὶ δεκάτῃ καὶ ἑκατοστῇ. Φέρεται δ' αὐτοῦ καὶ δοῦλος φιλόσοφος ὄνομα Πομπύλος, καθά φησιν Μυρωνιανὸς Ἀμαστριανὸς ἐν τῷ πρώτῳ τῶν Ὁμοίων ἱστορικῶν κεφαλαίων.

Ὁ δὲ Θεόφραστος γέγονεν ἀνὴρ συνετώτατος καὶ φιλοπονώτατος καί, καθά φησι Παμφίλη ἐν τῷ τριακοστῷ δευτέρῳ τῶν Ὑπομνημάτων, διδάσκαλος Μενάνδρου τοῦ
37 κωμικοῦ· ἄλλως τε καὶ εὐεργετικὸς καὶ φιλόλογος. Κάσσανδρος γοῦν αὐτὸν ἀπεδέχετο καὶ Πτολεμαῖος ἔπεμψεν ἐπ' αὐτόν· τοσοῦτον δ' ἀποδοχῆς ἠξιοῦτο παρ' Ἀθηναίοις, ὥστε Ἁγνωνίδης τολμήσας ἀσεβείας αὐτὸν γράψασθαι μικροῦ καὶ προσῶφλεν. Ἀπήντων τε εἰς τὴν διατριβὴν αὐτοῦ μαθηταὶ πρὸς δισχιλίους. Οὗτος τά τε ἄλλα καὶ περὶ δεικτηρίου τοιαῦτα διείλεκται ἐν τῇ πρὸς Φανίαν τὸν Περιπατητικὸν ἐπιστολῇ· "Οὐ γὰρ ὅτι πανήγυριν,

2 Πλάτωνος : cf. 3.46 **4** i.e. 323. Cf. *FGrHist* 244 F 349a **5** Πομπύλος : cf. Gell. 2.18.8 **6–7** Myroniani Fr. 5 (*FHG* IV, 455) **9** Παμφίλη – **10** τοῦ κωμικοῦ : Pamphilae Fr. 10 (*FHG* III, 522); Menandri T 7.1 Koerte **16–p. 333.4** Phaniae Fr. 4 Wehrli. Cf. DL 5.50 **17** δεικτηρίου : i.q. aula lectionum (δείξεων). Cf. G. Glotz, *R.E.G.* 33 (1920) 201 s.

1 ἤκουσεν ss. $\mathbf{P^2}$ | ἀλκίππου $\mathbf{BP^2}$ in mg : λακίππου $\mathbf{P^1}$ in textu : ἀκίππου **F** : Λευκίππου *Frob.* | τῇ om. **F** | εἶτ' **PF** : τ' **B** **2** ἀριστοτέλη **BP** : ἀριστοτέλην **F** **3** εἰς **BP** : πρὸς **F** **10** ὑπομνημονευμάτων **F** **11** ἄλλως τε – φιλόλογος post v. 9 φιλοπονώτατος traiecit Volkmann (1895) | εὐεργετικὸς **BPF** : ἐνεργητικὸς Richards | κάσσανδρος **B** : κάσανδρος **PF** **16** δισχιλίους $\mathbf{P^2QV}$: δισχίλιοι $\mathbf{BP^1F}$ **17** δεικτηρίου $\mathbf{B^2}$: δικτηρίου $\mathbf{B^1P^1Q}$: δικαστηρίου $\mathbf{FP^3}$: διδασκαλίου W. Wyse : διδακτηρίου Apelt | φαννίαν **B**

ἀλλ' οὐδὲ συνέδριον ῥᾳδιον, οἷόν τις βούλεται, λαβεῖν·
αἱ δὲ ἀναγνώσεις ποιοῦσιν ἐπανορθώσεις· τὸ δ' ἀναβάλ-
λεσθαι πάντα καὶ ἀμελεῖν οὐκέτι φέρουσιν αἱ ἡλικίαι."
Ἐν ταύτῃ τῇ ἐπιστολῇ σχολαστικὸν ⟨ἑαυτὸν⟩ ὠνόμακε.

Τοιοῦτος δὲ ὤν, ὅμως πρὸς ὀλίγον ἀπεδήμησε καὶ οὗ- 38
τος καὶ πάντες οἱ λοιποὶ φιλόσοφοι, Σοφοκλέους τοῦ
Ἀμφικλείδου νόμον εἰσενεγκόντος μηδένα τῶν φιλοσό-
φων σχολῆς ἀφηγεῖσθαι ἂν μὴ τῇ βουλῇ καὶ τῷ δήμῳ
δόξῃ· εἰ δὲ μή, θάνατον εἶναι τὴν ζημίαν. Ἀλλ' αὖθις
ἐπανῆλθον εἰς νέωτα, Φίλωνος τὸν Σοφοκλέα γραψαμέ-
νου παρανόμων. Ὅτε καὶ τὸν νόμον μὲν ἄκυρον ἐποίησαν
Ἀθηναῖοι, τὸν δὲ Σοφοκλέα πέντε ταλάντοις ἐζημίωσαν
κάθοδόν τε τοῖς φιλοσόφοις ἐψηφίσαντο, ἵνα καὶ Θεό-
φραστος κατέλθῃ καὶ ἐν τοῖς ὁμοίοις ᾖ.

Τοῦτον Τύρταμον λεγόμενον Θεόφραστον διὰ τὸ τῆς
φράσεως θεσπέσιον Ἀριστοτέλης μετωνόμασεν· οὗ καὶ 39
τοῦ υἱέος Νικομάχου φησὶν ἐρωτικῶς διατεθῆναι, καίπερ
ὄντα διδάσκαλον, Ἀρίστιππος ἐν τετάρτῳ Περὶ παλαιᾶς
τρυφῆς. Λέγεται δ' ἐπ' αὐτοῦ τε καὶ Καλλισθένους τὸ
ὅμοιον εἰπεῖν Ἀριστοτέλην, ὅπερ Πλάτωνα, καθὰ προεί-
ρηται, φασὶν εἰπεῖν ἐπί τε Ξενοκράτους καὶ αὐτοῦ τούτου·
φάναι γάρ, τοῦ μὲν Θεοφράστου καθ' ὑπερβολὴν ὀξύ-

5–14 Pollucis *Onom.* 9.42; Alexidis Fr. 99 (*PCG* II); Athen. 11, 508 F; 13, 610 E–F **15–16** μετωνόμασεν : Procli *In Plat. Crat.* prooem. 16.7 (p. 6.26 Pasquali); Strab. 13.2.4; Cic. *Orat.* 62 et al. **16** οὗ – **19** Aristippi Fr. 157 Giannantoni **19** Λέγεται – **p. 334.2** κέντρου : *Gnom. Vat.* 52. Cf. *V. Isocrat.* 3 (p. 257.99 Westermann) et al. **20** καθὰ προείρηται : 4.6

4 ἑαυτὸν add. Menagius, agn. Wehrli **5** ἀπεδήμησε πρὸς ὀλίγον **P** **7** ἀμφικλίδου **B** | εἰσάγοντος **F** **10** Φίλωνος Menagius ex Athenaeo : φιλλίωνος **PV** : φαλλίωνος **B** : φιλίωνος **F** **14** ἐν om. **B** **20** ἀριστοτέλη **B** **21** εἰπεῖν in mg **F**[2]

τητος πᾶν τὸ νοηθὲν ἐξερμηνεύοντος, τοῦ δὲ νωθροῦ τὴν φύσιν ὑπάρχοντος, ὡς τῷ μὲν χαλινοῦ δέοι, τῷ δὲ κέντρου. Λέγεται δ' αὐτὸν καὶ ἴδιον κῆπον σχεῖν μετὰ τὴν Ἀριστοτέλους τελευτήν, Δημητρίου τοῦ Φαληρέως, ὃς ἦν καὶ γνώριμος αὐτῷ, τοῦτο συμπράξαντος.

Φέρεται δ' αὐτοῦ ἀποφθέγματα ταυτὶ χρειώδη· θᾶττον ἔφη πιστεύειν δεῖν ἵππῳ ἀχαλίνῳ ἢ λόγῳ ἀσυντάκτῳ.
40 Πρὸς δὲ τὸν ἐν τῷ συμποσίῳ σιωπῶντα τὸ ὅλον ἔφη· "Εἰ μὲν ἀμαθὴς εἶ, φρονίμως ποιεῖς· εἰ δὲ πεπαίδευσαι, ἀφρόνως." Συνεχές τε ἔλεγε πολυτελὲς ἀνάλωμα εἶναι τὸν χρόνον.

Ἐτελεύτα δὴ γηραιός, βιοὺς ἔτη πέντε καὶ ὀγδοήκοντα, ἐπειδήπερ ὀλίγον ἀνῆκε τῶν πόνων. Καὶ ἔστιν ἡμῶν εἰς αὐτόν·

Οὐκ ἄρα τοῦτο μάταιον ἔπος μερόπων τινὶ λέχθη,
ῥήγνυσθαι σοφίης τόξον ἀνιέμενον·
δὴ γὰρ καὶ Θεόφραστος ἕως ἐπόνει μὲν ἄπηρος
ἦν δέμας, εἶτ' ἀνεθεὶς κάτθανε πηρομελής.

Φασὶ δ' αὐτὸν ἐρωτηθέντα ὑπὸ τῶν μαθητῶν εἴ τι ἐπισκήπτει, εἰπεῖν· "Ἐπισκήπτειν μὲν ἔχειν οὐδέν, πλὴν ὅτι πολλὰ τῶν ἡδέων ὁ βίος διὰ τὴν δόξαν καταλαζονεύεται.
41 Ἡμεῖς γὰρ ὁπότε ἀρχόμεθα ζῆν, τότε ἀποθνῄσκομεν. Οὐδὲν οὖν ἀλυσιτελέστερόν ἐστι φιλοδοξίας. Ἀλλ' εὐτυχεῖτε καὶ ἤτοι τὸν λόγον ἄφετε (πολὺς γὰρ ὁ πόνος), ἢ καλῶς αὐτοῦ πρόστητε· μεγάλη γὰρ ἡ δόξα. Τὸ δὲ κενὸν τοῦ

3 Λέγεται – **5** Demetrii Fr. 5 Wehrli **5** γνώριμος : Strab. 9.1.20 **8** Πρὸς – **9** ἀφρόνως : *Gnom. Vat.* 333; Arsen., p. 295 Walz **15–18** *Anth. Pal.* 7.110; *Plan.* **19–p. 335.3** ἀπέπνευσε : Arsen. p. 296 (cf. p. 295)

1 ἑρμηνεύοντος **F** **5** τούτῳ **B** **8** τῷ om. **F** **15** τιν' ἐλέχθη *Pal., Plan.* **17** μὲν ἐπόνει **F** **22** ἀρχόμεθα Stephanus : ἠρχόμεθα **BPFΦ** et Arsen. **24** τῶν λόγων Arsen. **25** αὐτοῦ **FΦ Co** $\mathbf{P^4}$: αὐτῷ $\mathbf{BP^1Q}$: αὐτῶν Arsen.

βίου πλεῖον τοῦ συμφέροντος. Ἀλλ' ἐμοὶ μὲν οὐκέτ' ἐκποιεῖ βουλεύεσθαι τί πρακτέον, ὑμεῖς δ' ἐπισκέψασθε τί ποιητέον." Ταῦτα, φασίν, εἰπὼν ἀπέπνευσε· καὶ αὐτόν, ὡς ὁ λόγος, Ἀθηναῖοι πανδημεὶ παρέπεμψαν ποσί, τὸν ἄνδρα τιμήσαντες. Φαβωρῖνος δέ φησι γηράσαντα αὐτὸν ἐν φορείῳ περιφέρεσθαι· καὶ τοῦτο λέγειν Ἕρμιππον, παρατιθέμενον ἱστορεῖν Ἀρκεσίλαον τὸν Πιταναῖον ἐν οἷς ἔφασκε πρὸς Λακύδην τὸν Κυρηναῖον.

Καταλέλοιπε δὲ βιβλία καὶ αὐτὸς ὅτι μάλιστα πάμ- 42
πλειστα, ἃ καὶ αὐτὰ ἄξιον ἡγησάμην ὑπογράψαι διὰ τὸ πάσης ἀρετῆς πεπληρῶσθαι. Ἔστι δὲ τάδε·

Ἀναλυτικῶν προτέρων α' β' γ',
Ἀναλυτικῶν ὑστέρων α' β' γ' δ' ε' ς' ζ',
Περὶ ἀναλύσεως συλλογισμῶν α',
Ἀναλυτικῶν ἐπιτομὴ α',
Ἀνηγμένων τόπων α' β',
Ἀγωνιστικῶν ⟨ἢ⟩ τῆς περὶ τοὺς ἐριστικοὺς λόγους θεωρίας ⟨α'⟩,
Περὶ αἰσθήσεων α',
Πρὸς Ἀναξαγόραν α',

5–8 Favorini Fr. 53 Mensching **6–8** Hermippi Fr. 53 Wehrli **12–p. 345.7** cf. H. Usener, *Analecta Theophrastea* (Diss. Bonn. 1858) = *Kl. Schriften* I, 50–90

2 βούλεσθαι **F**^{1} (corr. **F**^{2} in mg) **3** φασίν om. **F** | καὶ αὐτὸν add. **B**^{2} **4** ὡς ss. **F** | ὁ **FP**^{4}**HV** : om. **BP**^{1}**Q** | ποσὶ **BPF** : οὑτωσὶ Menagius : δημοσίᾳ Volkmann (1895) : εἰκόσι Croenert (*Kolotes*, 129 n. 541) coni. 9.39 **5** φαβορεῖνος **B** **6** περι- add. **B**^{2} **8** ἀλκύδην **B** **9** κατέλοιπε **B** | καὶ αὐτὸς – πάμπλειστα **BP** : πλεῖστα **F** **10** ἃ om. **F** **16** τόπων **BPF** et *Suda* : λόγων A. Brandis (*Rhein. Mus.* 1 [1827] 268 n. 67 (ex Alex. Aphr. *In Arist. An. pr.*, p. 340.14 Wallies) **17–19** unus tit. in **B** **17** ἀγωνιστικῶν **PFV** : ἀγωνιστικὸν **B** | ἢ add. M. Schmidt (1839) | περὶ τοὺς **BP** : πρὸς **F** **18** α' addidi

Περὶ τῶν Ἀναξαγόρου α΄,
Περὶ τῶν Ἀναξιμένους α΄,
Περὶ τῶν Ἀρχελάου α΄,
Περὶ ἁλῶν, νίτρου, στυπτηρίας α΄,
Περὶ τῶν ⟨ἀπο⟩λιθουμένων α΄ β΄,
Περὶ τῶν ἀτόμων γραμμῶν α΄,
Ἀκροάσεως α΄ β΄,
Περὶ ἀνέμων α΄,
Ἀρετῶν διαφοραὶ α΄,
Περὶ βασιλείας α΄,
Περὶ παιδείας βασιλέως α΄,
Περὶ βίων α΄ β΄ γ΄,
Περὶ γήρως α΄,
43 Περὶ τῆς Δημοκρίτου ἀστρολογίας α΄,
⟨Περὶ⟩ τῆς μεταρσιολεσχίας α΄,
Περὶ τῶν εἰδώλων α΄,
Περὶ χυμῶν, χροῶν, σαρκῶν α΄,
Περὶ τοῦ διακόσμου α΄,
Περὶ τοῦ Περὶ ἀνθρώπων α΄,
Τῶν Διογένους συναγωγὴ α΄,
Διορισμῶν α΄ β΄ γ΄,
Ἐρωτικὸς α΄,
Ἄλλο περὶ ἔρωτος α΄,
Περὶ εὐδαιμονίας α΄,

15 et 19 i.e. ⟨Περὶ⟩ τῆς Δημοκρίτου μεταρσιολεσχίας – Περὶ τοῦ Δημοκρίτου Περὶ ἀνθρώπων

5–6 αἰθουμένων α΄ β΄ περὶ τῶν in mg infer. **B**^{2} **5** ⟨ἀπο⟩-λιθουμένων O. Regenbogen (*RE Suppl.* VII [1940] 1418), ⟨ἀπο-λε⟩λιθωμένων iam Usener : λιθουμένων **PFV** : αἰθουμένων **B**^{2} : αἰθομένων Rose (1863) **6** τῶν om. **F** **7** Ἀκροάσεων Usener **15** Περὶ add. Usener | μεταρσιολεσχείας **P** **17** περὶ τῶν **F** **18** τοῦ om. **F** **19** περὶ τοῦ περὶ ἀνθρώπων α΄ **BP** : περὶ ἀνθρώπων **F** **23** in mg **F**^{2}

Περὶ εἰδῶν α΄ β΄,
Περὶ ἐπιλήψεως α΄,
Περὶ ἐνθουσιασμοῦ α΄,
Περὶ ⟨τῶν⟩ Ἐμπεδοκλέους α΄,
Ἐπιχειρημάτων α΄ β΄ γ΄ δ΄ ε΄ ς΄ ζ΄ η΄ θ΄ ι΄ ια΄ ιβ΄ ιγ΄ ιδ΄ ιε΄ ις΄ ιζ΄ ιη΄,
Ἐνστάσεων α΄ β΄ γ΄,
Περὶ ἑκουσίου α΄,
Ἐπιτομὴ τῆς Πλάτωνος Πολιτείας α΄ β΄,
Περὶ ἑτεροφωνίας ζῴων τῶν ὁμογενῶν α΄,
Περὶ τῶν ἀθρόον φαινομένων α΄,
Περὶ δακετῶν καὶ βλητικῶν α΄,
Περὶ τῶν ζῴων ὅσα λέγεται φθονεῖν α΄,
Περὶ τῶν ἐν ξηρῷ διαμενόντων α΄,
Περὶ τῶν τὰς χρόας μεταβαλλόντων α΄, **44**
Περὶ τῶν φωλευόντων α΄,
Περὶ ζῴων α΄ β΄ γ΄ δ΄ ε΄ ς΄ ζ΄,
Περὶ ἡδονῆς ὡς Ἀριστοτέλης α΄,
Περὶ ἡδονῆς ἄλλο α΄,
Θέσεις κδ΄,
Περὶ θερμοῦ καὶ ψυχροῦ α΄,
Περὶ ἰλίγγων καὶ σκοτώσεων α΄,
Περὶ ἱδρώτων α΄,
Περὶ καταφάσεως καὶ ἀποφάσεως α΄,

13 cf. Phot. *Bibl.* cod. 278, p. 528 a 40 Περὶ τῶν λεγομένων ζῴων φθονεῖν

1 εἰδῶν **BP^{4}H** : εἰδώλων **P^{1}Q^1** **3** in mg **B^2** **4** τῶν add. Usener **11** ἀθρόον **PFV** : ἀθρόων **B** : ἀθρόως Photius (*Bibl.* cod. 278, p. 527 b 11) **12** α΄ **BP** : α΄ β΄ **F** **13** φρονεῖν *Frob.* **14** ἐν τῷ **B** **16** φολευόντων **B** **17** περὶ τῶν **F** **19** in mg **F^2** **23** ἱδρώτων **F** et Phot. (278, p. 528 b 28) : ἱδρῶτος **BPV** **24** α΄ post καταφάσεως **BPF**, transp. *Frob.*

Καλλισθένης ἢ περὶ πένθους α΄,
Περὶ κόπων α΄,
Περὶ κινήσεως α΄ β΄ γ΄,
Περὶ λίθων α΄,
Περὶ λοιμῶν α΄,
Περὶ λιποψυχίας α΄,
Μεγαρικὸς α΄,
Περὶ μελαγχολίας α΄,
Περὶ μετάλλων α΄ β΄,
Περὶ μέλιτος α΄,
Περὶ τῶν Μητροδώρου συναγωγῆς α΄,
Μεταρσιολογικῶν α΄ β΄,
Περὶ μέθης α΄,
Νόμων κατὰ στοιχεῖον κδ΄,
Νόμων ἐπιτομῆς α΄ β΄ γ΄ δ΄ε΄ ϛ΄ ζ΄ η΄ θ΄ ι΄,
Πρὸς τοὺς ὁρισμοὺς α΄,
Περὶ ὀδμῶν α΄,
45 Περὶ οἴνου καὶ ἐλαίου ⟨α΄⟩,
Πρώτων προτάσεων α΄ β΄ γ΄ δ΄ ε΄ ϛ΄ ζ΄ η΄ θ΄ ι΄ ια΄ ιβ΄ ιγ΄ ιδ΄ ιε΄ ιϛ΄ ιζ΄ ιη΄,
⟨Πολιτεύματα⟩ νομοθετῶν α΄ β΄ γ΄,
Πολιτικῶν α΄ β΄ γ΄ δ΄ ε΄ ϛ΄,
Πολιτικῶν πρὸς τοὺς καιροὺς α΄ β΄ γ΄ δ΄,
Πολιτικῶν ἐθῶν α΄ β΄ γ΄ δ΄,
Περὶ τῆς ἀρίστης πολιτείας α΄,
Προβλημάτων συναγωγῆς α΄ β΄ γ΄ δ΄ ε΄,

6 λιποψυχίας **BP^3W** : λειποψυχίας **P^1QF** **8** μελαγχονίας **B** **10** περὶ μελίτων Phot. (278, p. 529 b 11) **11** περὶ del. Usener **14** περὶ νόμων **F** **15** η΄ om. **P^1Q** (add. **P^4H**) **18** α΄ addidi (΄numerus deest΄ Usener) **19–20** πρώτων προτάσεων ιη΄ **F** **21** Πολιτεύματα add. Usener (conl. Arist. *Pol.* B 12, 1273 b 27 – 1274 b 28) **22** πολιτικῶν ϛ΄ **F** **23** πολιτικὸν *Frob.* | ε΄ add. **P^1Q**, del. **P^4H** **24** πολιτικῶν ἐθῶν α΄ β΄ γ΄ δ΄ **BP** : πολιτικῶν ε΄ **F** **25–26** in mg infer. **F^2** **26** α΄ β΄ γ΄ δ΄ om. **F^2**

Περὶ παροιμιῶν α′,
Περὶ πήξεων καὶ τήξεων α′,
Περὶ πυρὸς α′ β′,
Περὶ πνευμάτων α′,
Περὶ παραλύσεως α′,
Περὶ πνιγμοῦ α′,
Περὶ παραφροσύνης α′,
Περὶ παθῶν α′,
Περὶ σημείων α′,
Σοφισμάτων α′ β′,
Περὶ συλλογισμῶν ⟨ἀνα⟩λύσεως α′,
Τοπικῶν α′ β′,
Περὶ τιμωρίας α′ β′,
Περὶ τριχῶν α′,
Περὶ τυραννίδος α′,
Περὶ ὕδατος α′ β′ γ′,
Περὶ ὕπνου καὶ ἐνυπνίων α′,
Περὶ φιλίας α′ β′ γ′,
Περὶ φιλοτιμίας α′ β′,
Περὶ φύσεως α′ β′ γ′,
Περὶ φυσικῶν α′ β′ γ′ δ′ ε′ ς′ ζ′ η′ θ′ ι′ ια′ ιβ′ ιγ′ ιδ′ ιε′ ις′ ιζ′ ιη′, 46
Περὶ φυσικῶν ἐπιτομῆς α′ β′,
Φυσικῶν α′ β′ γ′ δ′ ε′ ς′ ζ′ η′,
Πρὸς τοὺς φυσικοὺς α′,
Περὶ φυτικῶν ἱστοριῶν α′ β′ γ′ δ′ ε′ ς′ ζ′ η′ θ′ ι′,

11 cf. pp. 335.14 et 341.6

3 α′ om. **F** **11–12** in mg infer. **F**[2] **11** ⟨ἀνα⟩λύσεως Usener (cf. p. 335.14) : λύσεως **BPF** **12** α′ om. **F**[2] **13** om. **F** **16** α′ β′ om. **F** **18** α′ β′ om. **F** **19** α′ om. **F** **20** α′ β′ om. **F** **21** περὶ φυσικῶν ιη′ **F** **23** om. **F** **24** ἕτερον περὶ φυσικῶν η′ **F** **26** φυτικῶν Casaubon : φυσικῶν **BPF**[2] (φύσεως **F**[1]) : φυτῶν Usener | ἱστορικῶν **BP** (corr. **Q**) **26–27** α′ – ι′ **BP** : ι′ **F**

Φυτικῶν αἰτιῶν α′ β′ γ′ δ′ ε′ ς′ ζ′ η′,
Περὶ χυλῶν α′ β′ γ′ δ′ ε′,
Περὶ ψευδοῦς ἡδονῆς α′,
Περὶ ψυχῆς θέσεις α′,
Περὶ τῶν ἀτέχνων πίστεων α′,
Περὶ τῶν ἁπλῶν διαπορημάτων α′,
Ἁρμονικῶν α′,
Περὶ ἀρετῆς α′,
Ἀφορμαὶ ἢ ἐναντιώσεις α′,
Περὶ ἀποφάσεως α′,
Περὶ γνώμης α′,
Περὶ γελοίου α′,
Δειλινῶν α′ β′,
Διαιρέσεις α′ β′,
Περὶ τῶν διαφορῶν α′,
Περὶ τῶν ⟨δικαιωμάτων καὶ⟩ ἀδικημάτων α′,
Περὶ διαβολῆς α′,
Περὶ ἐπαίνου α′,
Περὶ ἐμπειρίας α′,
Ἐπιστολῶν α′ β′ γ′,
Περὶ τῶν αὐτομάτων ζῴων α′,
Περὶ ἐκκρίσεως α′,
47 Ἐγκώμια θεῶν α′,
Περὶ ἑορτῶν α′,
Περὶ εὐτυχίας α′,
Περὶ ἐνθυμημάτων α′,

10 cf. p. 337.24

1 φυτικῶν Casaubon : φυσικῶν **BPF** **4** θέσεις **BF**^{2} : θέσις **P**^{1}**QF**^{1}**V** | μία **FV** **5** α′ **D** : om. **BPF** **8** om. **F** **13** δειληνῶν **PFV** **15** περὶ (om. τῶν) διαφορῶν α′ in mg **F**^{2} | Περὶ τῶν κατὰ τόπους διαφορῶν Athen. 7, 317 F **16** δικαιωμάτων καὶ add. Fortenbaugh **19–20** unus tit. in **B** (v 19 α′ corr. in ἐ- **B**^{2}) **20** α′ β′ om. **F**

Περὶ εὑρημάτων α′ β′,
Ἠθικῶν σχολῶν α′,
Ἠθικοὶ χαρακτῆρες α′,
Περὶ θορύβου α′,
Περὶ ἱστορίας α′,
Περὶ κρίσεως συλλογισμῶν α′,
Περὶ θαλάττης α′,
Περὶ κολακείας α′,
Πρὸς Κάσανδρον περὶ βασιλείας α′,
Περὶ κωμῳδίας α′,
Περὶ μετεώρων α′,
Περὶ λέξεως α′,
Λόγων συναγωγὴ α′,
Λύσεις α′,
Περὶ μουσικῆς α′ β′ γ′,
Περὶ μέτρων α′,
Μεγακλῆς α′,
Περὶ νόμων α′,
Περὶ παρανόμων α′,
Τῶν Ξενοκράτους συναγωγῆς α′,
Ὁμιλητικὸς α′,
Περὶ ὅρκου α′,
Παραγγέλματα ῥητορικῆς α′,
Περὶ πλούτου α′,
Περὶ ποιητικῆς α′,
Προβλήματα πολιτικά, φυσικά, ἐρωτικά, ἠθικὰ α′,
⟨Περὶ⟩ προοιμίων α′, 48

1 α′ om. **F** **4–5** unus tit. in **BP** (omisso v. 4 α′) **5** om. **F** **8** κολακίας **B** **9** περὶ βασιλείας α′ · πρὸς κάσανδρον **F** **11** μετεώρων **BPV** : μέτρων **F** **12–16** in mg infer. **F²** **12** α′ **BPF²V** : δ′ Usener **14** λύσεις corr. ex λύσις **B¹** **15** α′ β′ om. **F²** **16** μέτρων **BPV** : μετεώρων **F²** **20** ξυναγωγῆς **BPCo** **23** om. **F** **24** α′ om. **F** **26** φυσικά – ἠθικά in mg **F²** **28** Περὶ add. Usener

Προβλημάτων συναγωγῆς α΄,
Περὶ τῶν προβλημάτων φυσικῶν α΄,
Περὶ παραδείγματος α΄,
Περὶ προθέσεως καὶ διηγήματος α΄,
Περὶ ποιητικῆς ἄλλο α΄,
Περὶ τῶν ⟨ζ΄⟩ σοφῶν α΄,
Περὶ συμβουλῆς α΄,
Περὶ σολοικισμῶν α΄,
Περὶ τέχνης ῥητορικῆς α΄,
Περὶ τεχνῶν ῥητορικῶν ⟨κατ'⟩ εἴδη ιζ΄,
Περὶ ὑποκρίσεως α΄,
Ὑπομνημάτων Ἀριστοτελικῶν ἢ Θεοφραστείων α΄ β΄ γ΄ δ΄ ε΄ ς΄,
Φυσικῶν δοξῶν α΄ β΄ γ΄ δ΄ ε΄ ς΄ ζ΄ η΄ θ΄ ι΄ ια΄ ιβ΄ ιγ΄ ιδ΄ ιε΄ ις΄,
Φυσικῶν ἐπιτομῆς α΄,
Περὶ χάριτος α΄,
[Χαρακτῆρες ἠθικοί,]
Περὶ ψευδοῦς καὶ ἀληθοῦς α΄,
Τῶν περὶ τὸ θεῖον ἱστορίας α΄ β΄ γ΄ δ΄ ε΄ ς΄,
Περὶ θεῶν α΄ β΄ γ΄,
Ἱστορικῶν γεωμετρικῶν α΄ β΄ γ΄ δ΄,
49 Ἐπιτομῶν Ἀριστοτέλους περὶ ζῴων α΄ β΄ γ΄ δ΄ ε΄ ς΄,

18 cf. p. 341.3

2 Περὶ τῶν om. **F** | τῶν del. Usener **5** περὶ ποιητικῆς (omissis ἄλλο α΄) in mg **F**[2] **6** ζ΄ add. Usener **10** κατ' add. Fortenbaugh | ιζ΄ **D** : ξα΄ **B** : ζα΄ **PF**[1] : ζ΄ **F**[2] **12** θεοφραστείων **F** : θεοφραστίων **BP** **13** α΄ – ε΄ om. **F** **14–15** α΄ – ιε΄ om. **F** **16** post φυσικῶν add. δοξῶν Meursius **18** del. Casaubon (cf. p. 341.3) **20** τῶν in mg **F**[2] | ἱστορί ·· **B**[2] | α΄ – ε΄ om. **F** **21** α΄ β΄ om. **F** **22** ἱστορικῶν **BP** : π⟨ερὶ⟩ ἱστοριῶν **F** **23** περὶ ζώων **BP** : πεζῶν **F** **23–24** α΄ – ε΄ om. **F**

Ἐπιχειρημάτων α΄ β΄,
Θέσεις γ΄,
Περὶ βασιλείας α΄ β΄,
Περὶ αἰτιῶν α΄,
Περὶ Δημοκρίτου α΄,
[Περὶ διαβολῆς α΄,]
Περὶ γενέσεως α΄,
Περὶ ζῴων φρονήσεως καὶ ἤθους α΄,
Περὶ κινήσεως α΄ β΄,
Περὶ ὄψεως α΄ β΄ γ΄ δ΄,
Πρὸς ὅρους α΄ β΄,
Περὶ τοῦ δεδόσθαι α΄,
Περὶ μείζονος καὶ ἐλάττονος α΄,
Περὶ τῶν μουσικῶν α΄,
Περὶ τῆς θείας εὐδαιμονίας α΄,
Πρὸς τοὺς ἐξ Ἀκαδημίας α΄,
Προτρεπτικὸς α΄,
Πῶς ἄριστ' ἂν πόλεις οἰκοῖντο α΄,
Ὑπομνήματα α΄,

1 cf. p. 337.5 **2** cf. p. 337.20 **3** cf. p. 336.10 **9** cf. p. 338.3

1 α΄ β΄ **BP** : ἑπτὰ **F** **2** post θέσεις add. ἄλλο R. Burn **3** post βασιλείας fortasse addendum ἄλλο (cf. p. 336.10) | α΄ om. **F** **4–7** in mg **F**^{2} **6** del. Huebner (cf. pp. 340.17 et 344.12) **7** post Περὶ add. ζῴων Meursius (conl. Apul. *Apol.* 36), τῆς τῶν στοιχείων add. P. Steinmetz (1964) (conl. Simplic. *In Ar. De caelo,* p. 700.6 Heiberg) **9** α΄ om. **F** **10** α΄ β΄ γ΄ om. **F** **11** πρὸς ὅρους **BP** : περὶ ὅρου in mg super. **F**^{2} | α΄ β΄ om. **F**^{2} **12** post hunc tit. addit περὶ κινήσεως β΄ **F** (cf. v. 9) **14** τῶν om. **F** **15–16** unus tit. in **B**^{2}**PF**, agn. Sollenberger **15** α΄ **B**^{1}, corr. in π- **B**^{2} : om. **PF** **16** ἀκαδημείας **B** **18** ἄριστ' ἂν **BP** : ἂν ἄριστα **F** | οἰκεῖντο **B** | α΄ **B**^{1}**F** : om. **B**^{2}**P** **19** om. **F** : unus tit. cum v. 18 Sollenberger : Ὑπομνήματα ⟨ἱστορικὰ⟩ α΄ E. Koepke (*De hypomn. gr.,* 1842, 11)

Περὶ ῥύακος τοῦ ἐν Σικελίᾳ α´,
Περὶ τῶν ὁμολογουμένων α´,
[Περὶ τῶν προβλημάτων φυσικῶν α´,]
Τίνες οἱ τρόποι τοῦ ἐπίστασθαι α´,
Περὶ τοῦ ψευδομένου α´ β´ γ´,
Τὰ πρὸ τῶν τόπων α´,
Πρὸς Αἰσχύλον α´,
50 Ἀστρολογικῆς ἱστορίας α´ β´ γ´ δ´ ε´ ς´,
Ἀριθμητικῶν ἱστοριῶν περὶ αὐξήσεως α´,
Ἀκίχαρος α´,
Περὶ δικανικῶν λόγων α´,
[Περὶ διαβολῆς α´,]
Ἐπιστολαὶ αἱ ἐπὶ τῷ Ἀστυκρέοντι, Φανίᾳ, Νικάνορι,
Περὶ εὐσεβείας α´,
Εὐιάδος α´,
Περὶ καιρῶν α´ β´,
Περὶ οἰκείων λόγων α´,
Περὶ παίδων ἀγωγῆς α´,
Ἄλλο διάφορον α´,
Περὶ παιδείας ἢ περὶ ἀρετῶν ἢ περὶ σωφροσύνης α´,
[Προτρεπτικὸς α´,]

3 secl. Meursius (cf. p. 342.2) | τῶν om. **F**, del. Usener **5** α´ β´ om. **F** **8** α´ – ε´ om. **F** **9** post ἱστοριῶν add. α´ et duo titulos fecit Meursius **10** ἀκίχαρος α´ **P**, ἀκείχαρος α´ **B** : ἀκίχαρις α´ in mg **F**[2] **12** secl. Huebner (cf. pp. 340.17 et 343.6) **13** ἐπὶ **BPF** : ἐπι⟨γραφόμεναι⟩ coni. Usener | φανία **PV** : φανεῖναι **B**[1], corr. in φανεῖαι **B**[2] : φιλανία **F** **16** εὐϊάδος **PV**, εὐειάδος **B** : εὐΐδαος **F** : Θυιάδες coni. Usener **18** α´ **PFV** : α´ β´ **B** **19** ἀπαγωγῆς **B** **20** in mg **F**[2] **23** secl. Huebner (cf. p. 343.17)

Περὶ ἀριθμῶν α′,
Ὁριστικὰ περὶ λέξεως συλλογισμῶν α′,
Περὶ οὐρανοῦ α′,
Πολιτικοῦ α′ β′,
[Περὶ φύσεως,]
Περὶ καρπῶν ⟨α′⟩,
[Περὶ ζῴων.]

Ἃ γίνονται στίχων μ(υριάδες) κγ′, ,βων′. Τοσαῦτα μὲν οὖν καὶ τῷδε τὰ βιβλία.

Εὗρον δ' αὐτοῦ καὶ διαθήκας τοῦτον ἐχούσας τὸν τρό- 51
πον·

""Ἔσται μὲν εὖ· ἐὰν δέ τι συμβῇ, τάδε διατίθεμαι. Τὰ μὲν οἴκοι ὑπάρχοντα πάντα δίδωμι Μελάντῃ καὶ Παγκρέοντι τοῖς υἱοῖς Λέοντος. Ἀπὸ δὲ τῶν παρ' Ἱππάρχου συμβεβλημένων τάδε μοι βούλομαι γενέσθαι· πρῶτον μὲν [βούλομαι γενέσθαι] τὰ περὶ τὸ μουσεῖον καὶ τὰς θεὰς συντελεσθῆναι καὶ εἴ τι ἄλλο δύναται περὶ αὐτὰς ἐπικομισθῆναι πρὸς τὸ κάλλιον· ἔπειτα τὴν Ἀριστοτέλους εἰκόνα τεθῆναι εἰς τὸ ἱερὸν καὶ τὰ λοιπὰ ἀναθήματα, ὅσα πρότερον ὑπῆρχεν ἐν τῷ ἱερῷ· εἶτα τὸ στωΐδιον οἰκοδομηθῆναι τὸ πρὸς τῷ μουσείῳ μὴ χεῖρον ἢ πρότερον· ἀναθεῖναι δὲ καὶ τοὺς πίνακας, ἐν οἷς αἱ τῆς γῆς περίοδοί

12–p. 349.6 cf. H.B. Gottschalk, *Hermes* 100 (1972) 314–342

1 Περὶ ῥυθμῶν Meursius, agn. Usener **2** in mg **F**^{2} **4** πολιτικοῦ **BPV** : πολιτικὰ in mg **F**^{2} | α′ om. **F**^{2} **5** seclusi (cf. p. 339.20) | post φύσεως addit α′ Usener **6** del. Usener | α′ addidi **7** del. Usener (cf. p. 337.17) | post ζῴων add. α′, sed om. v. 8 ἃ **B** **8** μ^{κγ} ,βων **BPV** : μ ,βων **F** **9** τῶδε corr. in τάδε **B**^{2} **12** ἔστε **B** **13** μελάντη **BF** : μέλαντι **P** **16** βούλομαι γενέσθαι del. *Frob.* **17** καὶ scripsi : κἂν **BPF** | δύναται **BPV** : ἰσχύῃ **F** | ἐπικοσμηθῆναι **P**^{3}**W V** **20** στοίδιον **F** **21** χεῖρον ἢ **BF** : χείρονι **PV** | ἀναθῆναι **B**

52 εἰσιν, εἰς τὴν κάτω στοάν· ἐπισκευασθῆναι δὲ καὶ τὸν
βωμόν, ὅπως ἔχῃ τὸ τέλειον καὶ τὸ εὔσχημον. Βούλομαι δὲ
καὶ τὴν Νικομάχου εἰκόνα συντελεσθῆναι ἴσην. Τὸ μὲν
τῆς πλάσεως ἔχει Πραξιτέλης, τὸ δ' ἄλλο ἀνάλωμα ἀπὸ
τούτου γενέσθω. Σταθῆναι δὲ ὅπου ἂν δοκῇ τοῖς καὶ τῶν
ἄλλων ἐπιμελουμένοις τῶν ἐν τῇ διαθήκῃ γεγραμμένων.
Καὶ τὰ μὲν περὶ τὸ ἱερὸν καὶ τὰ ἀναθήματα τοῦτον ἔχει
τὸν τρόπον.

Τὸ δὲ χωρίον τὸ ἐν Σταγείροις ἡμῖν ὑπάρχον δίδωμι
Καλλίνῳ· τὰ δὲ βιβλία πάντα Νηλεῖ. Τὸν δὲ κῆπον καὶ
τὸν περίπατον καὶ τὰς οἰκίας τὰς πρὸς τῷ κήπῳ πάσας
δίδωμι τῶν γεγραμμένων φίλων ἀεὶ τοῖς βουλομένοις
53 συσχολάζειν καὶ συμφιλοσοφεῖν ἐν αὐταῖς, | ἐπειδήπερ οὐ
δυνατὸν ἀεὶ πᾶσιν ἀνθρώποις ἐπιδημεῖν, μήτε ἐξαλλο-
τριοῦσι μήτε ἐξιδιαζομένου μηδενός, ἀλλ' ὡς ἂν ἱερὸν
κοινῇ κεκτημένοις καὶ ⟨αὐ⟩τῷ πρὸς ἀλλήλους οἰκείως καὶ
φιλικῶς χρωμένοις, ὥσπερ προσῆκον καὶ δίκαιον. Ἔστω-
σαν δὲ οἱ κοινωνοῦντες Ἵππαρχος, Νηλεύς, Στράτων,
Καλλῖνος, Δημότιμος, Δημάρατος, Καλλισθένης, Μελάν-
της, Παγκρέων, Νίκιππος. Ἐξεῖναι δὲ βουλομένῳ φιλοσο-
φεῖν καὶ Ἀριστοτέλει τῷ Μηδίου καὶ Πυθιάδος υἱῷ καὶ

10 cf. Strab. 13.1.54 et al. **10** Τὸν δὲ κῆπον – **20** Νίκιππος : Stratonis Fr. 6 Wehrli

2 τὸ^2 ss. **F**^{2} **3** τὸ : sc. μίσθωμα (Reiske) **7** ἔχει **BPFV** : ἐχέτω Cobet : ἔχει⟨ν⟩ conieci **10** νιλεῖ **B** **13** σχολάζειν **B** | αὐταῖς **F** : αὐτῶ **BP** **14** ἀεὶ post ἀνθρώποις **F** | μήτε **B**^{2} | ἐξ ἀλλοτρίου ·· **B**^{1} **15** μήτε **B**^{2}**P** : μὴ δὲ **F** | ἐξ ἰδιαζομένου μηδενὸς **B**^{2} | ἀλλ' ὡς om. **B** et vacat spatium unius versus | ἀνιαρὸν **B**^{2} **16** κοινοὶ **F** **16** καὶ τὰ – **17** χρωμένοις in mg **F**^{2} **16** ⟨αὐ⟩τῷ scripsi : τὰ **BPF** **18** νιλεύς **B** **19** καλλίνος **BP** : καλλίνικος **FV** | μέλαντις **P** **21** καὶ^1 om. **F** | μηδίου **BF**^{1} : μειδίου **PF**^{2}**V** : Μητροδώρου Nunnesius et Schottus e S.E. *Adv. math.* 1.258, agn. Menagius alii | μυθιάδος **F**

μετέχειν τούτων· καὶ αὐτοῦ πᾶσαν ἐπιμέλειαν ποιεῖσθαι τοὺς πρεσβυτάτους, ὅπως ὅτι μάλιστα προαχθῇ κατὰ φιλοσοφίαν.

Θάψαι δὲ καὶ ἡμᾶς ὅπου ἂν δοκῇ μάλιστα ἁρμόττον εἶναι τοῦ κήπου, μηδὲν περίεργον μήτε περὶ τὴν ταφὴν μήτε περὶ τὸ μνημεῖον ποιοῦντας. Ὅπως δὲ συνείρηται 54 μετὰ τὰ περὶ ἡμᾶς συμβάντα ⟨τὰ⟩ περὶ τὸ ἱερὸν καὶ τὸ μνημεῖον καὶ τὸν κῆπον καὶ τὸν περίπατον θεραπευόμενα, συνεπιμελεῖσθαι καὶ Πομπύλον τούτων, ἐποικοῦντα αὐτὸν καὶ τὴν τῶν ἄλλων ἐπιμέλειαν ποιούμενον ἣν καὶ πρότερον· τῆς δὲ λυσιτελείας ἐπιμελεῖσθαι αὐτοῦ τοὺς ἔχοντας ταῦτα.

Πομπύλῳ δὲ καὶ Θρέπτῃ πάλαι ἐλευθέροις οὖσι καὶ ἡμῖν πολλὴν χρείαν παρεσχημένοις, εἴ τι πρότερον ἔχουσι παρ' ἡμῶν καὶ εἴ τι αὐτοὶ ἐκτήσαντο, καὶ ἃ νῦν παρ' Ἱππάρχου αὐτοῖς συντέταχα, δισχιλίας δραχμάς, ἀσφαλῶς οἶμαι δεῖν αὐτοῖς ὑπάρχειν ταῦτα, καθάπερ καὶ αὐτὸς διελέχθην Μελάντῃ καὶ Παγκρέοντι πλεονάκις καὶ πάντα μοι συγκατετίθεντο. Δίδωμι δὲ αὐτοῖς καὶ Σωματάλην [καὶ] τὴν παιδίσκην.

Τῶν δὲ παίδων Μόλωνα μὲν καὶ Κίμωνα καὶ Παρμένοντα 55 ἤδη ἐλευθέρους ἀφίημι· Μάνην δὲ καὶ Καλλίαν παραμείναντας ἔτη τέτταρα ἐν τῷ κήπῳ καὶ συνεργασαμένους καὶ ἀναμαρτήτους γενομένους ἀφίημι ἐλευθέρους.

2 προαχθῇ **F**^{2} (corr. ex προσαχθῇ) 5 μήτε **F** : om. **BP** 6 μήτε **PF** : μηδὲ **B** | συνήρηται **F** 7 τὰ^1 et συμβάντα **BPF** : τὸ συμβάν, τὰ Roeper^1 | τὰ^2 add. Cobet 8 θεραπευόμενα **BPF** : ὑπὸ τῶν ὀργεώνων Salmasius (*Observ. ad ius Atticum* IV, p. 103) conl. Harpocrat., s.v. ὀργεῶνας 9 τούτων **B**^{2}, Richards : τοῦτον **B**^{1}**PF** 11 αὐτοῦ Menagius : αὐτὸν **B**^{1}**PF**^{1} : αὐτῶν **B**^{2} : αὐτῷ **F**^{2} 17 αὐτὸς Reiske : αὐτοῖς **BPF** 18 διελέχθην **B** : διειλέχθην **P** : διειλέχθημεν **F** 20 καὶ del. *Frob.* 21 μώλωνα **F** | κίμωνα **BPV** : τίμωνα **F** 24 γενωμένους **B**

Τῶν δὲ οἰκηματικῶν σκευῶν ἀποδιδόντας Πομπύλῳ ὅσα
ἂν δοκῇ τοῖς ἐπιμεληταῖς καλῶς ἔχειν, τὰ λοιπὰ ἐξαρ-
γυρίσαι. Δίδωμι δὲ καὶ Καρίωνα Δημοτίμῳ, Δόνακα δὲ
Νηλεῖ· Εὔβοον δ' ἀποδόσθαι.
Δότω δ' Ἵππαρχος Καλλίνῳ τρισχιλίας δραχμάς. Με-
λάντῃ δὲ καὶ Παγκρέοντι εἰ μὲν μὴ ἑωρῶμεν Ἵππαρχον
καὶ [ἡμῖν] πρότερον χρείαν παρεσχημένον καὶ νῦν ἐν τοῖς
ἰδίοις μάλα νεναυαγηκότα, προσετάξαμεν ἂν μετὰ
56 Μελάντου καὶ Παγκρέοντος ἐξάγειν αὐτά. Ἐπειδὴ δὲ
οὔτε ἐκείνοις ἑώρων ῥᾴδιον ὂν τα⟨ῦτα⟩ συνοικονομεῖν
λυσιτελέστερόν τε αὐτοῖς ὑπελάμβανον εἶναι τεταγμένον
τι λαβεῖν παρὰ Ἱππάρχου, δότω δὴ Ἵππαρχος Μελάντῃ
καὶ Παγκρέοντι ἑκατέρῳ τάλαντον. Διδόναι δὲ Ἵππαρχον
καὶ τοῖς ἐπιμεληταῖς εἰς τὰ ἀναλώματα τὰ ἐν τῇ διαθήκῃ
γεγραμμένα κατὰ τοὺς ἑκάστου καιροὺς τῶν δαπανημά-
των. Οἰκονομήσαντα δὲ ταῦτα Ἵππαρχον ἀπηλλάχθαι
τῶν συμβολαίων τῶν πρὸς ἐμὲ πάντων· καὶ εἴ τι ἐπὶ τοῦ
ἐμοῦ ὀνόματος συμβέβληκεν Ἵππαρχος ἐν Χαλκίδι, Ἱπ-
πάρχου τοῦτό ἐστιν.
Ἐπιμεληταὶ δὲ ἔστωσαν τῶν ἐν τῇ διαθήκῃ γεγραμ-
μένων Ἵππαρχος, Νηλεύς, Στράτων, Καλλῖνος, Δημό-
57 τιμος, Καλλισθένης, Κτήσαρχος. Αἱ διαθῆκαι κεῖνται
ἀντίγραφα τῷ Θεοφράστου δακτυλίῳ σεσημασμέναι, μία
μὲν παρὰ Ἡγησίᾳ Ἱππάρχου· μάρτυρες Κάλλιππος
Παλληνεύς, Φιλόμηλος Εὐωνυμεύς, Λύσανδρος Ὑβάδης,

4 νιλεῖ **B** | εὔβοον **PFV** : ἔβοον **B**[2] : Εὔβοιον Meineke, Cobet 5 μέλαντι **P**[1] (corr. **P**[2]**Q**) 7 ἡμῖν **BP** : μὴν **F** : del. Cobet 12 δὴ scripsi : δ' **BP** : om. **F** 14 et 20 τῇ om. **F** 18 συμβέβηκεν **F** 21 νιλεύς **B** | δημότειμος **B** 23 ἀντίγραφα **BPFV** : ⟨κατ'⟩ ἀντίγραφα Richards : ἀντίγραφοι ⟨τρεῖς⟩ Reiske 25 Παλληνεύς Menagius : πελλανεύς **BPV** : πελανεύς **F** 25 φιλόμηλος εὐωνυμεύς om. **F** | φιλόμιλος **B** | Ὑβάδης Menag. : ὑβαίης **BPFV**

Φιλίων Ἀλωπεκῆθεν. Τὴν δ' ἑτέραν ἔχει Ὀλυμπιόδωρος· μάρτυρες δ' οἱ αὐτοί. Τὴν δ' ἑτέραν ἔλαβεν Ἀδείμαντος, ἀπήνεγκε δὲ Ἀνδροσθένης ὁ υἱός· μάρτυρες Ἀείμνηστος Κλεοβούλου, Λυσίστρατος Φείδωνος Θάσιος, Στράτων Ἀρκεσιλάου Λαμψακηνός, Θήσιππος Θησίππου ἐκ Κεραμέων, Διοσκουρίδης Διονυσίου Ἐπικηφίσιος."

Ὧδε ἔχουσιν αὐτῷ καὶ αἱ διαθῆκαι.

Ἀκοῦσαι δ' αὐτοῦ καὶ Ἐρασίστρατον τὸν ἰατρόν εἰσιν οἳ λέγουσι· καὶ εἰκός.

ΣΤΡΑΤΩΝ

Διεδέξατο δ' αὐτοῦ τὴν σχολὴν Στράτων Ἀρκεσιλάου **58**
Λαμψακηνός, οὗ καὶ ἐν ταῖς διαθήκαις ἐμνημόνευσεν· ἀνὴρ ἐλλογιμώτατος καὶ φυσικὸς ἐπικληθεὶς ἀπὸ τοῦ περὶ τὴν θεωρίαν ταύτην παρ' ὁντινοῦν ἐπιμελέστατα διατετριφέναι. Ἀλλὰ καὶ καθηγήσατο Πτολεμαίου τοῦ Φιλαδέλφου καὶ ἔλαβε, φασί, παρ' αὐτοῦ τάλαντα ὀγδοήκοντα. Σχολαρχεῖν δέ, καθά φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς, ἤρξατο τῇ τρίτῃ καὶ εἰκοστῇ καὶ ἑκατοστῇ Ὀλυμπιάδι, τῆς σχολῆς ἀφηγησάμενος ἔτη ὀκτωκαίδεκα.

11–19 Stratonis Fr. 1 Wehrli **17–19** *FGrHist* 244 F 40. I.e. 288–284

1 φιλίων **BPF** : Φίλων Cobet (iam **I**) **2** δ' ἑτέραν **BPF** : δὲ τρίτην Richards **3** ἀείμνηστος **BPF** : Ἀρίμνηστος Menagius **4** φείδωνος **FV** : φίδωνος **BP** | θάσειος **F** **5** κεραμέως **F** **6** διοσκορίδης **F** | ἐπικηφήσσιος **F** **8** εἰσὶν **F** : εἰσὶ δ' **BP** **9** λέγοντες **B** | cum εἰκός explicit caput in **F**[2], *Frob.* : cum v. 11 τὴν σχολήν in **BP**, def. M.G. Sollenberger, *C.P.* 82 (1987) 228–230 **10** *tit.* **P** et **F**[2] in mg (στρα⟨των⟩) : om. **B**, sed v. 11 στράτων litt. uncialibus **B**[2] **11** αὐτοῦ **F** : αὐτὸν **BP** **13** περὶ Cobet : ἐπὶ **BPF** : ἐπὶ τῇ θεωρίᾳ ταύτῃ Richards **14** διατετρυφέναι **B** **16** φασί om. **F** **18** καὶ ἑκα-τοστῇ om. **B**

Φέρεται δ' αὐτοῦ
Περὶ βασιλείας τρία,
Περὶ δικαιοσύνης τρία,
Περὶ τἀγαθοῦ τρία,
Περὶ θεῶν τρία,
Περὶ ἀρχῶν τρία, ἢ δύο,
59 Περὶ βίων,
Περὶ εὐδαιμονίας,
Περὶ βασιλείας φιλοσοφίας,
Περὶ ἀνδρείας,
Περὶ τοῦ κενοῦ,
Περὶ τοῦ οὐρανοῦ,
Περὶ τοῦ πνεύματος,
Περὶ φύσεως ἀνθρωπίνης,
Περὶ ζῳογονίας,
Περὶ μίξεως,
Περὶ ὕπνου,
Περὶ ἐνυπνίων,
Περὶ ὄψεως,
Περὶ αἰσθήσεως,
Περὶ ἡδονῆς,
Περὶ χρωμάτων,
Περὶ νόσων,
Περὶ κρίσεων,
Περὶ δυνάμεων,

1–p. 351.24 Stratonis Fr. 18 Wehrli

1 δ' om. **F** | post αὐτοῦ add. βιβλία ταῦτα Stephanus alii **6** post v. 2 in **F** | ἀρχῆς *Frob.* | ἢ καὶ **F** **9** περὶ βασιλείας φιλοσοφίας **BP** et *Frob.* : περὶ βασι^{λ} φιλ^{ο} **F** : Περὶ βασιλέως φιλοσόφου Cobet : Περὶ βασιλείας· ⟨Περὶ⟩ φιλοσοφίας Wehrli (at cf. v. 2) **12** τοῦ om. **BP**

Περὶ τῶν μεταλλικῶν,
Μηχανικόν,
Περὶ ⟨ἰ⟩λίγγου καὶ σκοτώσεων,
Περὶ κούφου καὶ βαρέος,
Περὶ ἐνθουσιασμοῦ,
Περὶ χρόνου,
Περὶ τροφῆς καὶ αὐξήσεως,
Περὶ τῶν ἀπορουμένων ζῴων,
Περὶ τῶν μυθολογουμένων ζῴων,
Περὶ αἰτιῶν,
Λύσεις ἀπορουμένων,
Τόπων προοίμια,
Περὶ τοῦ συμβεβηκότος,
Περὶ τοῦ ὅρου,
Περὶ τοῦ μᾶλλον καὶ ἧττον, **60**
Περὶ ἀδίκου,
Περὶ τοῦ προτέρου καὶ ὑστέρου,
Περὶ τοῦ προτέρου γένους,
Περὶ τοῦ ἰδίου,
Περὶ τοῦ μέλλοντος,
Εὑρημάτων ἔλεγχοι δύο,
Ὑπομνήματα, ἃ διστάζεται,
Ἐπιστολαὶ ὧν ἡ ἀρχή· "Στράτων Ἀρσινόῃ εὖ πράττειν." ⟨Στίχοι⟩ μ(υριάδες) λγ′, ͵βυκ′.

1–2 unus tit. in **BP** **2** μηχανικόν **B** (cf. p. 325.2) : μηχανικῶν **PQ** et *Frob.* : om. **F** : μηχανημάτων (unus tit. cum 1) Cobet, Diels **3** ⟨ἰ⟩λίγγου Reiske (conl. p. 337.22) : λιμοῦ **BPF** **4** βαρέως **BF** **11–12** unus tit. in **BP** : post τόπων semicolon in **F** **11** λύσις **P** **12** προοίμια unus tit. cum 13 in **F** **17** τοῦ hic et in **18** om. **F** | καὶ ὑστέρου om. **BP** **20** post hunc tit. repetunt περὶ ἀδίκου **BPF** et περὶ τοῦ προτέρου καὶ ὑστέρου **BP** **21** δύο cum 22 unus tit. in **F** **22** ἃ **F** : om. **BP** **23** ἡ **F** : om. **BP** **24** Στίχοι addidi | $\mu^{\alpha\gamma}$ ͵βυκ **BP** : μ ͵βυκ **F** : corr. P. Von der Muehll

Τοῦτόν φασιν οὕτω γενέσθαι λεπτὸν ὡς ἀναισθήτως τελευτῆσαι. Καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν οὕτως ἔχον·

Λεπτὸς ἀνὴρ δέμας ἦν (εἰ μὴ προσέχῃς, ἀπόχρη μοι)·
Στράτωνα τοῦτόν φημί σοι,
Λάμψακος ὅν ποτ' ἔφυσεν· ἀεὶ δὲ νόσοισι παλαίων
θνῄσκει λαθών, οὐδ' ᾔσθετο.

61 Γεγόνασι δὲ Στράτωνες ὀκτώ· πρῶτος Ἰσοκράτους ἀκροατής· δεύτερος αὐτὸς οὗτος· τρίτος ἰατρός, μαθητὴς Ἐρασιστράτου, ὡς δέ τινες, τρόφιμος· τέταρτος ἱστορικός, Φιλίππου καὶ Περσέως τῶν Ῥωμαίοις πολεμησάντων γεγραφὼς πράξεις· ⟨*⟩ ἕκτος ποιητὴς ἐπιγραμμάτων· ἕβδομος ἰατρὸς ἀρχαῖος, ὡς Ἀριστοτέλης φησίν· ὄγδοος Περιπατητικός, βεβιωκὼς ἐν Ἀλεξανδρείᾳ.

Τοῦ δ' οὖν φυσικοῦ φέρονται καὶ διαθῆκαι τοῦτον ἔχουσαι τὸν τρόπον·

"Τάδε διατίθεμαι, ἐάν τι πάσχω. Τὰ μὲν οἴκοι καταλείπω πάντα Λαμπυρίωνι καὶ Ἀρκεσιλάῳ. Ἀπὸ δὲ τοῦ

1–6 Stratonis Fr. 11 Wehrli **3–6** *Anth. Pal.* 7.111 **9** τέταρτος – **11** πράξεις : *FGrHist* 168 T 1 **12** Aristot. Fr. 374 Rose[3] **14–p. 354.11** Stratonis Fr. 10 Wehrli

3 εἰ μὴ προσέχῃς, ἀπόχρη μοι fere G. Hermann ex *Anth.* : om. **B** spatio relicto : εἰ μὴ προσέχῃς ἀποχρησμοῖς **P^1QW** : εἰ μὴ προσεχρίσατο χρισμοῖς **F**, εἰ μὴ προσεχρήσατο χρησμοῖς **P^4H** : εἰ μὴ προσέχῃς, ἀπόχρη μοι *Pal.*$^{corr.}$ (ἀπόχρημος *Pal.*^{1}) : εἰ μοὶ προσέχῃς (προσέχεις Cobet), ἀπὸ χρισμῶν Jacobs, agn. Cobet **4** inde a στράτωνα usque ad v. 6 ᾔσθετο om. **B^1** spatio relicto, quod explevit **B^2** **4** σοι **B^2PF** : γε *Anth.* **5** Λάμψακος Menagius, Jacobs : λαμψακινὸν λάμψακος *Anth.* : λαμψακηνὸν **B^2P** : τὸν λαμψακηνὸν **F** | ποτὲ φύσεν **P^1Q** | ἔφυσεν om. **B** **6** post ᾔσθετο add. θανάτου **P^4H** **8** ἰατρὸς om. **F** **9** ὡς – τρόφιμος om. **F** **11** γεγραφὼς πράξεις in mg **F^2** | post πράξεις lac. indicavere **D** et Menagius ('Excidit quintus Strato')

᾿Αθήνησιν ὑπάρχοντός μοι ἀργυρίου πρῶτον μὲν οἱ ἐπι-
μεληταὶ τὰ περὶ τὴν ἐκφορὰν ἐπιμεληθήτωσαν καὶ ὅσα
νομίζεται μετὰ τὴν ἐκφοράν, μηθὲν μήτε περίεργον ποι-
οῦντες μήτ' ἀνελεύθερον. ᾿Επιμεληταὶ δὲ ἔστωσαν τῶν 62
κατὰ τὴν διαθήκην οἵδε· ᾿Ολύμπιχος, ᾿Αριστείδης, Μνη-
σιγένης, ῾Ιπποκράτης, ᾿Επικράτης, Γοργύλος, Διοκλῆς,
Λύκων, ῎Αθανις. Καταλείπω δὲ τὴν μὲν διατριβὴν Λύ-
κωνι, ἐπειδὴ τῶν ἄλλων οἱ μέν εἰσι πρεσβύτεροι, οἱ δὲ
ἄσχολοι. Καλῶς δ' ἂν ποιοῖεν καὶ οἱ λοιποὶ συγκατα-
σκευάζοντες τούτῳ. Καταλείπω δ' αὐτῷ καὶ τὰ βιβλία
πάντα, πλὴν ὧν αὐτοὶ γεγράφαμεν, καὶ τὰ σκεύη πάντα
κατὰ τὸ συσσίτιον καὶ τὰ στρώματα καὶ τὰ ποτήρια.

Δότωσαν δὲ οἱ ἐπιμεληταὶ ᾿Επικράτει πεντακοσίας
δραχμὰς καὶ τῶν παίδων ἕνα, ὃν ἂν δοκῇ | ᾿Αρκεσιλάῳ. 63
Καὶ πρῶτον μὲν Λαμπυρίων καὶ ᾿Αρκεσίλαος ἀράσθωσαν
τὰς συνθήκας ἃς ἔθετο Δάϊππος ὑπὲρ ῾Ηραίου· καὶ μηδὲν
ὀφειλέτω μήτε Λαμπυρίωνι μήτε τοῖς Λαμπυρίωνος κλη-
ρονόμοις, ἀλλ' ἀπηλλάχθω παντὸς τοῦ συμβολαίου. Δό-
τωσαν δ' αὐτῷ καὶ οἱ ἐπιμεληταὶ ἀργυρίου πεντακοσίας
δραχμὰς καὶ τῶν παίδων ἕνα, ὃν ἂν δοκιμάζῃ ᾿Αρκεσί-
λαος, ὅπως ἂν πολλὰ συμπεπονηκὼς ἡμῖν καὶ παρεσχη-
μένος χρείας ἔχῃ βίον ἱκανὸν καὶ εὐσχημονῇ.

᾿Αφίημι δὲ καὶ Διόφαντον ἐλεύθερον καὶ Διοκλέα καὶ
῎Αβουν· Σιμίαν δὲ ἀποδίδωμι ᾿Αρκεσιλάῳ. ᾿Αφίημι δὲ καὶ

7–9 Lyconis Fr. 4 Wehrli

1 μοι om. **B** **3** μηθὲν **BP** : μηδὲν **F** | μήτε **BP** : τι **F** **5** οὐλυμπικὸς **BPF**, corr. Huebner (cf. p. 354.2) | μνησιένης **B** **7** ἀθάνης **P** **10** τούτω **F** : τοῦτο **BP** **12** κατὰ **BP** : καὶ **F** **14** ἕνα **BP** : ἕνεκα **F** **15** Καὶ Menagius : δὲ **PF** et ss. **B**[2] | λαμπηρίων **F** **16** διέθετο **F** | ἠραίου **B**, ἡραίου **F** : ἱραίου **P** **17** ὀφειλέτω **F** : ὠφείλετο **B**[1]**P**[1] **20** ἕνα ὃν ἂν **D** : ἔνδον ἐὰν **B** : ἕνα ὃν ἐὰν **P** : ἕνα ἐὰν **F** **21** παρεσχόμενος **F** **22** εὐσχημονῇ **BF** : εὐσχήμων ᾖ **P** : εὐσχήμονα Cobet **24** σιμμίαν **F**

Δρόμωνα ἐλεύθερον. Ἐπειδὰν δὲ παραγένηται Ἀρκεσί-
λαος, λογισάσθω Ἥραιος μετ' Ὀλυμπίχου καὶ Ἐπικρά-
τους καὶ τῶν ἄλλων ἐπιμελητῶν τὸ γεγονὸς ἀνάλωμα εἰς
64 τὴν ἐκφορὰν καὶ τὰ ἄλλα τὰ νομιζόμενα. Τὸ δὲ περιὸν
ἀργύριον κομισάσθω Ἀρκεσίλαος παρὰ Ὀλυμπίχου, μη-
θὲν ἐνοχλῶν αὐτὸν κατὰ τοὺς καιροὺς καὶ τοὺς χρόνους.
Ἀράσθω δὲ καὶ τὰς συνθήκας Ἀρκεσίλαος ἃς ἔθετο
Στράτων πρὸς Ὀλύμπιχον καὶ Ἀμεινίαν, τὰς κειμένας
παρὰ Φιλοκράτει Τισαμενοῦ. Τὰ δὲ περὶ τὸ μνημεῖον
ποιείτωσαν ὡς ἂν δοκῇ Ἀρκεσιλάῳ καὶ Ὀλυμπίχῳ καὶ
Λύκωνι."

Καὶ αἵδε μέν εἰσιν αἱ φερόμεναι αὐτοῦ διαθῆκαι, καθά που συνήγαγε καὶ Ἀρίστων ὁ Κεῖος. Αὐτὸς δὲ ὁ Στράτων ἀνὴρ γέγονε, καθάπερ καὶ ἄνω δεδήλωται, πολλῆς τῆς ἀποδοχῆς ἄξιος, διαπρέψας ἐν παντὶ λόγων εἴδει καὶ μάλιστά γε ἐν τῷ καλουμένῳ φυσικῷ, ὅπερ εἶδος ἀρχαιότερόν τε καὶ σπουδαιότερον.

ΛΥΚΩΝ

65 Τοῦτον διεδέξατο Λύκων Ἀστυάνακτος Τρωαδεύς, φραστικὸς ἀνὴρ καὶ περὶ παίδων ἀγωγὴν ἄκρως συντεταγμένος. Ἔφασκε γὰρ δεῖν παρεζεῦχθαι τοῖς παισὶ τὴν αἰδῶ

12–13 Aristonis Fr. 31 Wehrli **13** Αὐτὸς δὲ – **17** Stratonis Fr. 15 Wehrli **19** Lyconis Fr. 2 Wehrli **20** φραστικὸς ἀνὴρ : Lyconis Fr. 18 W. **20** καὶ περὶ – **p. 355.1** Lyconis Fr. 22 W.

1 δρόμονα **B** **2** ἥραιος **B** : ἵραιος **P** : ἡραῖον **F** **6** ὀχλῶν **F** | τοὺς^2 om. **F** **8** ἀμινίαν **B** **9** τισαμενοῦ **F**, τισαμένου **P** : τεισαμένου **B** : corruptum Wehrli **14** καθάπερ **BP** : καθὰ **F** **16** εἶδος in mg **F**^{2} **17** -δαιότερον et **19** τοῦτον διεδέξατο λύκων **B**^{2} in spatio relicto **18** *tit.* **P**^{4} : om. **FB** (sed v. 19 ΛΥΚΩΝ litt. uncialibus **B**^{2}) **19** cum διεδέξατο explicit caput in **BP** **20** ⟨ἐκ⟩φραστικὸς Reiske | ἀγωγὴν Cobet (cf. p. 360.13) : ἀγωγῆς **BPF** | συντεταμένος Richards

καὶ φιλοτιμίαν ὡς τοῖς ἵπποις μύωπα καὶ χαλινόν. Τὸ δὲ ἐκφραστικὸν αὐτοῦ καὶ περιγεγωνὸς ἐν τῇ ἑρμηνείᾳ φαίνεται κἀνθάδε· φησὶ γὰρ τοῦτον τὸν τρόπον ἐπὶ παρθένου πενιχρᾶς· "Βαρὺ γὰρ φορτίον πατρὶ κόρη διὰ σπάνιν προικὸς ἐκτρέχουσα τὸν ἀκμαῖον τῆς ἡλικίας καιρόν." Διὸ δὴ καί φασιν Ἀντίγονον ἐπ' αὐτοῦ τοῦτο εἰπεῖν· ὡς οὐκ ἦν [ὥσπερ] μήλου τὴν εὐωδίαν καὶ χάριν ἄλλοθί που μετενεγκεῖν, καὶ ἐπ' αὐτοῦ τοῦ ἀνθρώπου καθάπερ ἐπὶ τοῦ δένδρου τῶν λεγομένων ἕκαστον ἔδει θεωρεῖσθαι. Τοῦτο 66
δὲ ὅτι ἐν μὲν τῷ λέγειν γλυκύτατος ἦν· παρὸ καί τινες τὸ γάμμα αὐτοῦ τῷ ὀνόματι προσετίθεσαν. Ἐν δὲ τῷ γράφειν ἀνόμοιος αὐτῷ. Ἀμέλει γοῦν καὶ ἐπὶ τῶν μεταγινωσκόντων ἐπειδὴ μὴ ἔμαθον ὅτε καιρὸς καὶ εὐχομένων τοῦτον ἐκαλλιλέκτει τὸν τρόπον· ἔλεγε ⟨γάρ⟩· "αὑτῶν κατηγορεῖν ἀδυνάτῳ μηνύοντας εὐχῇ μετάνοιαν ἀργίας ἀδιορθώτου." Τούς τε βουλευομένους ⟨οὐκ⟩ ὀρθῶς διαπίπτειν ἔφασκε τῷ λογισμῷ, οἱονεὶ στρεβλῷ κανόνι βασανίζοντας εὐθεῖαν φύσιν ἢ πρόσωπον ὕδατι κλυδαττομένῳ ἢ κατόπτρῳ διεστραμμένῳ. Καὶ ἐπὶ μὲν τὸν ἐκ τῆς ἀγορᾶς στέφανον πολλοὺς ἀπιέναι, ἐπὶ δὲ τὸν Ὀλυμπίασιν ἢ ὀλί-

1–4 πενιχρᾶς, **6** Διὸ – **12** αὐτῷ : Lyconis Fr. 18 Wehrli **3–5** Lyconis Fr. 27 W. **12** Ἀμέλει – **16** ἀδιορθώτου : Lyconis Fr. 23 W. **16** Τούς τε – **19** Lyconis Fr. 24 W. **19** Καὶ – **p. 356.1** οὐδένα : Lyconis Fr. 25 W.

1 ὡς καὶ **F** **2** φραστικὸν **F** | περιγεγωνὸς Casaubon : περιγεγονὸς **BPFΦ** **3** κἀνθάδε **BPF** : κἀνταῦθα **Φ** : κἀνθένδε Cobet **4** σπάνην **B** **7** ὥσπερ delevi **8** καὶ scripsi : ἀλλ' **BPF** **10** τὸ λέγειν **B** **12** αὐτῷ **B**^{2} : αὐτῶ **B**^{1} **PF** | γοῦν om. **F** **13** μὴ om. **F** **14** γάρ addidi | αὑτῶν Huebner : αὐτῶν **B**^{2}**P** : αὐτῶ **B**^{1} : αὐτὸν **F** **16** ἀδιορθώτου Casaubon : ἀδιόρθωτον **BPF** | οὐκ add. Casaubon **18** κλυδαττομένω **FP**^{4}**H** : κλυδαττομένων **B** : κλυδαττόμενον **P**^{1}**Q** **20** ἀπιέναι **BPF** : προσιέναι Richards

67 γους ἢ οὐδένα. Πολλάκις τε πολλὰ συμβουλεύσας Ἀθηναίοις, τὰ μέγιστα αὐτοὺς ὠφέλησεν.

Ἦν δὲ καὶ καθαρώτατος τὴν στολήν, ὡς ἀνυπερβλήτῳ χρῆσθαι μαλακότητι ἱματίων, καθά φησιν Ἕρμιππος. Ἀλλὰ καὶ γυμναστικώτατος ἐγένετο καὶ εὐέκτης τὸ σῶμα τήν τε πᾶσαν σχέσιν ἀθλητικὴν ἐπιφαίνων, ὠτοθλαδίας καὶ ἐμπινὴς ὤν, καθά φησιν Ἀντίγονος ὁ Καρύστιος· διὰ τοῦτο δὲ καὶ παλαῖσαι λέγεται τὰ [τε] ἐν τῇ πατρίδι Ἰλίεια καὶ σφαιρίσαι. Ὡς οὐκ ἄλλος τε ἦν φίλος τοῖς περὶ Εὐμένη καὶ Ἄτταλον, οἳ καὶ πλεῖστα ἐπεχορήγουν αὐτῷ. Ἐπειράθη δ' αὐτὸν σχεῖν καὶ Ἀντίοχος, ἀλλ' οὐκ ἔτυχεν.
68 Οὕτω δὲ ἦν ἐχθρὸς Ἱερωνύμῳ τῷ Περιπατητικῷ, ὡς μόνος μὴ ἀπαντᾶν πρὸς αὐτὸν εἰς τὴν ἐτήσιον ἡμέραν, περὶ ἧς ἐν τῷ περὶ Ἀρκεσιλάου βίῳ διειλέγμεθα.

Ἀφηγήσατο δὲ τῆς σχολῆς ἔτη τέτταρα πρὸς τοῖς τετταράκοντα, Στράτωνος αὐτὸν ἐν ταῖς διαθήκαις καταλιπόντος κατὰ τὴν ἑβδόμην καὶ εἰκοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα. Οὐ μὴν ἀλλὰ καὶ Πανθοίδου διήκουσε τοῦ διαλεκτικοῦ. Ἐτελεύτησε δὲ γεγονὼς ἔτος τέταρτον καὶ ἑβδομηκοστόν, νόσῳ ποδαγρικῇ καταπονηθείς. Καὶ ἔστιν ἡμῶν εἰς αὐτόν·

1 Πολλάκις – **2** Lyconis Fr. 12 W. **3–9** σφαιρίσαι : Lyconis Fr. 8 W. **3–4** Hermippi Fr. 57 Wehrli **5–7** cf. Wilamowitz, *Antigonos*, 85 **9** Ὡς – **11** οὐκ ἔτυχεν : Lyconis Fr. 11 W. **12** Οὕτω – **14** Lyconis Fr. 10 W.; Hieronymi Fr. 3 W. **14** cf. 4.41 **15–18** Stratonis Fr. 9 W. **17–18** *FGrHist* 244 F 350. I.e. 274–270 **18–19** Lyconis Fr. 3 W. **19** Ἐτελεύτησε – **20** Lyconis Fr. 16 W.

1 ἀθηναίους **P**[1]**Q**, corr. **P**[4]**H** **7** ἐμπείνης **B** **8** τοῦτο ss. **F**[2] | δὲ om. **F** | τε del. Reiske **9** Ἰλίεια Bentley (*Opusc.*, p. 179) : ἴλεια **P** : ἠλεῖα **B** : ἠλεῖα **F** | σφερεῖσαι **B** **10** εὐμενῆ **BF** : εὐμενεῖ **P** **12** μόνος Cobet : μόνον **BPF** **13** αἰτήσιον **B** **14** περὶ om. **B** **18** πανθίδου **B** **19** γεγονὸς ἐτῶν οδ' **F** **20** καταπονηθεὶς om. **F** **21** καὶ ἡμῶν **BP**

Οὐ μὰ τόν, οὐδὲ Λύκωνα παρήσομεν, ὅττι ποδαλγὴς
κάτθανε· θαυμάζω τοῦτο μάλιστα δ' ἐγώ,
τὴν οὕτως ἀΐδαο μακρὴν ὁδὸν εἰ πρὶν ὁ ποσσὶν
ἀλλοτρίοις βαδίσας ἔδραμε νυκτὶ μιῇ.

Γεγόνασι δὲ Λύκωνες καὶ ἄλλοι· πρῶτος Πυθαγορικός, 69
δεύτερος αὐτὸς οὗτος, τρίτος ἐπῶν ποιητής, τέταρτος ἐπι-
γραμμάτων ποιητής.

Τοῦ δὴ φιλοσόφου καὶ διαθήκαις περιετύχομεν ταῖσδε· "Τάδε διατίθεμαι περὶ τῶν κατ' ἐμαυτόν, ἐὰν μὴ δυνηθῶ τὴν ἀρρωστίαν ταύτην ὑπενεγκεῖν. Τὰ μὲν ἐν οἴκῳ πάντα δίδωμι τοῖς ἀδελφοῖς Ἀστυάνακτι καὶ Λύκωνι. Καὶ οἶμαι δεῖν ἀποδοθῆναι ἀπὸ τούτων ὅσα κατακέχρημαι Ἀθήνησι παρά τινος ἔχων ⟨μ⟩ὴ ἐκπεπραχότος· καὶ ἃ ἂν εἰς τὴν ἐκφορὰν ἀναλωθῇ καὶ εἰς τἆλλα ⟨τὰ⟩ νομιζόμενα.
Τὰ δὲ ἐν ἄστει καὶ ἐν Αἰγίνῃ δίδωμι Λύκωνι διὰ τὸ καὶ 70
τοὔνομα φέρειν ἡμῶν καὶ συνδιατετριφέναι πλείω χρόνον
ἀρεστῶς πάνυ, καθάπερ δίκαιον ἦν τὸν υἱοῦ τάξιν ἐσχη-
κότα.

Τὸν δὲ Περίπατον καταλείπω τῶν γνωρίμων τοῖς βουλομένοις, Βούλωνι, Καλλίνῳ, Ἀρίστωνι, Ἀμφίωνι, Λύκωνι, Πύθωνι, Ἀριστομάχῳ, Ἡρακλείῳ, Λυκομήδει, Λύ-

1–4 *Anth. Pal.* 7.112; *Plan.* **5** 57 A 1 DK **8–p. 360.15** Lyconis Fr. 15 W.

1 ὅττι **P^{2}Q** : ὅτι **BP^{1}F** **2** δ' ἐγὼ **P^{2}Q** : λέγω **BP^1** : ἐγὼ **F** **3** εἰ Jacobs : ἀ- **BP^1** : ἃ **F** : ἃ *Pal.*^{1} : ἂν **P^2** (ἣν **Q**), ἂν **P^{4}H** : αἰ coni. Long | ποσσὶν **BFP^4** et *Pal.* : πουσὶν **P^{1}QW** **4** ἔδραμεν **F** **8** περιετύχωμεν **B** **10** ἀρρωστείαν **B** **11** διαδίδωμι **F** **12** ἀποδοθῆναι in mg **F^2** **13** ⟨μ⟩ὴ ἐκπεπραχότος Diels : ἢ πεπραχὼς **BPF** **14** ἀναλωθῇ **PF** : ἀναδοθῇ **B** | post τἆλλα add. ss. τὰ **P^{4}H** (cf. p. 358.17) **15** ἐν ἄστυ **F** | καὶ ἐν αἰγείνηι in ras. **B^2** **16** συντρυφέναι **F^1** in textu, corr. **F^2** in mg γρ. | χρόνω **B** **19** καταλίπω **B** **20** καὶ καλλίνω **F** | ἀμφίωνι om. **F**

κωνι τῷ ἀδελφιδῷ. Προστησάσθωσαν δὲ αὐτοὶ ὃν ἂν
ὑπολαμβάνωσι διαμενεῖν ἐπὶ τοῦ πράγματος καὶ συνέξειν
μάλιστα δυνήσεσθαι. Συγκατασκευαζέτωσαν δὲ καὶ οἱ
λοιποὶ γνώριμοι κἀμοῦ καὶ τοῦ τόπου χάριν.
Περὶ δὲ τῆς ἐκφορᾶς καὶ καύσεως ἐπιμεληθήτωσαν
Βούλων καὶ Καλλῖνος μετὰ τῶν συνήθων, ὅπως μήτ' ἀνε-
71 λεύθερος γένηται μήτε περίεργος. Τῶν δὲ ἐν Αἰγίνῃ μοι
γενομένων μοριῶν μετὰ τὴν ἐμὴν ἀπόλυσιν καταχωρη-
σάτω Λύκων τοῖς νεανίσκοις εἰς ἐλαιοχριστίαν, ὅπως κἀ-
μοῦ καὶ τοῦ τιμήσαντος ἐμὲ μνήμη γένηται διὰ τῆς χρείας
ταύτης ἡ προσήκουσα. Καὶ ἀνδριάντα ἡμῶν ἀναθέτω· τὸν
δὲ τόπον, ὅπως ἁρμόττων ᾖ τῆς στάσεως, ἐπιβλεψάτω καὶ
συμπραγματευθήτω Διόφαντος καὶ Ἡρακλείδης Δημητρί-
ου. Ἀπὸ δὲ τῶν ἐν ἄστει Λύκων ἀποδότω πᾶσι παρ' ὧν τι
προείληφα μετὰ τὴν ἀποδημίαν τὴν ἐκείνου. Παρεχέσθω-
σαν δὲ Βούλων καὶ Καλλῖνος καὶ ἃ ἂν εἰς τὴν ἐκφορὰν
ἀναλωθῇ καὶ τἆλλα τὰ νομιζόμενα. Κομισάσθω⟨σαν⟩ δὲ
ταῦτα ἀπὸ τῶν ἐν οἴκῳ κοινῇ καταλειπομένων ἀμφοτέ-
72 ροις ὑπ' ἐμοῦ. Τιμησάτω⟨σαν⟩ δὲ καὶ τοὺς ἰατροὺς Πασί-
θεμιν καὶ Μηδίαν, ἀξίους ὄντας καὶ διὰ τὴν ἐπιμέλειαν

2 διαμένειν **BPF**, corr. Cobet | συναύξειν Cobet **6** καὶ in mg F^{2} **7** αἰγείνῃ **B** **8** μοριῶν Cobet : μερῶν **BPF** | καταχωρησάτω **B** : καταχωρισάτω **PF** **9** ἐλαιοχριστίαν Budaeus, Reiske : ἐλεοχριστίαν BPF^{1} : ἐλαιοχριστίον A. Wilhelm (*Glotta* 14 [1925] 73) **10** γένηται **B** : γίνηται **PF** **11** ταύτης Wilhelm : αὐτῆς **BF** : αὔτη **P** **12** ἁρμόττον $B^{1}F$ | ᾖ – **17** τἆλλα om. **B** spatio versuum 6 relicto | στάσεως **PFV** : καταστάσεως Huebner, agn. Cobet **14** παρ' ὧν *Frob.* : παρῶν **PF** | τι Cobet : ἃ **PF** **15** προείληφα P^{1} **F** : προσείληφα FP^{4} | τὴν^{2} om. **F** | παρεχέσθωσαν Cobet, παρεπέσθωσαν **F** : παρακολουθοῦσι **P** **17** τὰ ἄλλα **PF** | κομισάσθωσαν Cobet : κομισάσθω **BPF** **18** ταῦτα **BP** : πάντα **F** **19** τιμησάτωσαν Cobet : τιμησάτω **BPF** **20** Μηδίαν Menagius : μειδίαν **BP** : μηδείαν **F**

τὴν περὶ ἐμὲ καὶ τὴν τέχνην καὶ μείζονος ἔτι τιμῆς. Δίδωμι δὲ τῷ Καλλίνου παιδίῳ Θηρικλείων ζεῦγος καὶ τῇ γυναικὶ αὐτοῦ Ῥο⟨δ⟩ιακῶν ζεῦγος, ψιλοτάπιδα, ἀμφίταπον, περίστρωμα, προσκεφάλαια δύο τὰ βέλτιστα τῶν καταλειπομένων, ὡς ἂν ἐφ' ὅσον ἀνήκει πρὸς τιμὴν καὶ τούτων φανῶμεν μὴ ἀμνήμονες ὄντες.

Περὶ δὲ τῶν θεραπευόντων ἐμαυτὸν οὕτως ἐξάγω· Δημητρίῳ μὲν ἐλευθέρῳ πάλαι ὄντι ἀφίημι τὰ λύτρα καὶ δίδωμι πέντε μνᾶς καὶ ἱμάτιον καὶ χιτῶνα, ἵνα πολλὰ πεπονηκὼς μετ' ἐμοῦ βίον εὐσχήμονα ἔχῃ. Κρίτωνι δὲ Χαλκηδονίῳ καὶ τούτῳ τὰ λύτρα ἀφίημι καὶ δίδωμι τέτταρας μνᾶς. Καὶ τὸν Μίκρον ἀφίημι ἐλεύθερον· καὶ θρεψάτω Λύκων αὐτὸν καὶ παιδευσάτω ἀπὸ τοῦ νῦν χρόνου ἓξ ἔτη. Καὶ Χάρητα ἀφίημι ἐλεύθερον· καὶ θρεψάτω 73
Λύκων αὐτόν. Καὶ δύο μνᾶς αὐτῷ δίδωμι καὶ τὰ ἐμὰ βιβλία τὰ ἀνεγνωσμένα· τὰ δὲ ἀνέκδοτα Καλλίνῳ, ὅπως ἐπιμελῶς αὐτὰ ἐκδῷ. Δίδωμι δὲ καὶ Σύρῳ ἐλευθέρῳ ὄντι τέτταρας μνᾶς καὶ τὴν Μηνοδώραν δίδωμι· καὶ εἴ τί μοι ὀφείλει, ἀφίημι αὐτῷ. Καὶ Ἱλαρᾷ πέντε μνᾶς καὶ ἀμφίταπον καὶ περίστρωμα καὶ δύο προσκεφάλαια καὶ κλίνην ἣν ἂν βούληται. Ἀφίημι δὲ ἐλευθέραν καὶ τὴν τοῦ Μίκρου μητέρα καὶ Νοήμονα καὶ Δίωνα καὶ Θέωνα καὶ Εὐφράνορα καὶ Ἑρμείαν. Καὶ Ἀγάθωνα δύο ἔτη παραμείναντα ἀφεῖσθαι ἐλεύθερον· καὶ τοὺς φορεαφόρους

2 καλλινίκου *Suda* | θηρικλείων **P**^{4}**H** : θηρακλείων **B P**^{1} : θηρικλεῖ **F** **3** Ῥοδιακῶν D.J. van Lennep (ad Phalaridis *Ep.* p. 305 b) : ῥοιάκων **B**^{1}**PF** et *Suda* : ῥοίσκων **B**^{2} | post ψιλοτάπιδα add. καὶ **F** | ἀμφίταπιν *Frob.* **5** ὡς ἂν **P F** : ὅσον **B** **6** ἀμνήμονες ὄντες **BF** : ἀμνημονεύοντες **P** **10** ἔχει **B** **11** χαλκιδονίῳ **B** **12** Μίκρον Huebner (in *Add.*) : μικρὸν **BPF** **14** ἀφείημι **B** **19** αὐτῶ **BF** : αὐτόν **P** **20** καὶ περίστρωμα post προσκεφάλαια **P** **22** Μίκρου Huebner : μικροῦ **BPF** | νοήμωνα **F** | καὶ^2 om. **F** **22–23** καὶ εὐφράνορα in mg **F**^{2} **23** ἑρμείαν **PF** : ἑρμίαν **B**

Ὠφελίωνα καὶ Ποσειδώνιον τέτταρα ἔτη παραμείναντας.
74 Δίδωμι δὲ καὶ Δημητρίῳ καὶ Κρίτωνι καὶ Σύρῳ κλίνην ἑκάστῳ καὶ στρώματα τῶν καταλειπομένων, ἃ ἂν φαίνηται Λύκωνι καλῶς ἔχειν. Ταῦτα ἔστω αὐτοῖς ἀποδείξασιν ὀρθῶς ἐφ' ὧν ἕκαστοι τεταγμένοι εἰσί.

Περὶ δὲ τῆς ταφῆς ἐάν τε αὐτοῦ βούληται Λύκων θάπτειν, ἐάν τε ἐν οἴκῳ, οὕτω ποιείτω. Πέπεισμαι γὰρ αὐτὸν οὐδὲν ἧττον ἐμοῦ συνορᾶν τὸ εὔσχημον. Ταῦτα δὲ πάντα οἰκονομήσαντι κυρία ἔστω ἡ δόσις τῶν ἐνταῦθα. Μάρτυρες Καλλῖνος Ἑρμιονεύς, Ἀρίστων Κεῖος, Εὐφρόνιος Παιανιεύς."

Οὕτω μέντοι αὐτῷ συνετῶς τὰ πάντα πράττοντι τά τε περὶ παιδείαν καὶ πάντας λόγους, οὐδὲν ἧττον καὶ τὰ τῶν διαθηκῶν τρόπον τινὰ καὶ σφόδρα ἐπιμελῶς τε καὶ οἰκονομικῶς ἴσχει· ὥστε κἀνταῦθα ζηλωτέος.

ΔΗΜΗΤΡΙΟΣ

75 Δημήτριος Φανοστράτου Φαληρεύς. Οὗτος ἤκουσε μὲν Θεοφράστου· δημηγορῶν δὲ παρ' Ἀθηναίοις τῆς πόλεως ἐξηγήσατο ἔτη δέκα, καὶ εἰκόνων ἠξιώθη χαλκῶν ἑξήκοντα πρὸς ταῖς τριακοσίαις, ὧν αἱ πλείους ἐφ' ἵππων ἦσαν καὶ ἁρμάτων καὶ συνωρίδων, συντελεσθεῖσαι ἐν οὐδὲ τριακοσίαις ἡμέραις· τοσοῦτον ἐσπουδάσθη. Ἄρξασθαι δ' αὐτὸν τῆς πολιτείας φησὶ Δημήτριος ὁ Μάγνης ἐν τοῖς

17–18 Demetrii Fr. 2 Wehrli **18** δημηγορῶν δὲ – **22** ἐσπουδάσθη : Demetrii Fr. 24 W. Cf. Plin. *N.H.* 34.27 **22–p. 361.2** Ἅρπαλος : Demetrii Fr. 6. W.; Demetrii Magnetis Fr. 16 Mejer

1 ποσιδώνιον **B** : ποσιδόνιον **F** **7** ποιήτω **B** | πέπεισμε **B** **10** post μάρτυρες add. δὲ **F** | ἑρμίων· εὐσαρίστων **B** **11** πλιανιεύς **B** **12** συνετῶς τὰ **P** : συνεστῶτα **B**, συνεστῶτι **F** **15** -ταῦθα ζηλωτέος erasit **B**[2] **16** *tit.* **PF** in mg et **B**[2] (sed om. 17 δημήτριος) **23** δ' ss. **F**[2]

Ὁμωνύμοις, ὁπότε φυγὼν Ἀλέξανδρον εἰς Ἀθήνας ἧκεν
Ἅρπαλος. Πολλὰ δὲ καὶ κάλλιστα τῇ πατρίδι ἐπολιτεύ-
σατο. Καὶ γὰρ προσόδοις καὶ κατασκευαῖς ηὔξησε τὴν
πόλιν, καίπερ οὐκ εὐγενὴς ὤν. Ἦν γὰρ ἐκ τῆς Κόνωνος 76
οἰκίας, ὡς Φαβωρῖνος ἐν πρώτῳ τῶν Ἀπομνημονευμάτων
φησίν, ἀλλὰ ἀστῇ καὶ εὐγενεῖ συνῴκει Λαμίᾳ τῇ ἐρω-
μένῃ, καθάπερ ὁ αὐτὸς ἐν τῷ πρώτῳ φησίν· ἀλλὰ καὶ ὑπὸ
Κλέωνος πεπονθέναι ἐν τῷ δευτέρῳ ἱστορεῖ. Δίδυμος δὲ
ἐν Συμποσιακοῖς καὶ Χαριτοβλέφαρον καὶ Λαμπετὼ
καλεῖσθαι αὐτόν φησιν ἀπό τινος ἑταίρας. Λέγεται δὲ
ἀποβαλόντα αὐτὸν τὰς ὄψεις ἐν Ἀλεξανδρείᾳ κομίσασ-
θαι αὖθις παρὰ τοῦ Σαράπιδος· ὅθεν καὶ τοὺς παιᾶνας
ποιῆσαι τοὺς μέχρι νῦν ᾀδομένους.

Σφόδρα δὲ λαμπρὸς ὢν παρὰ τοῖς Ἀθηναίοις, ὅμως
ἐπεσκοτήθη καὶ αὐτὸς ὑπὸ τοῦ τὰ πάντα διεσθίοντος
φθόνου. Ἐπιβουλευθεὶς γὰρ ὑπό τινων δίκην θανάτου οὐ 77
παρὼν ὦφλεν. Οὐ μὴν ἐκυρίευσαν τοῦ σώματος αὐτοῦ,
ἀλλὰ τὸν ἰὸν ἀπήρυγον εἰς τὸν χαλκόν, κατασπάσαντες
αὐτοῦ τὰς εἰκόνας καὶ τὰς μὲν ἀποδόμενοι, τὰς δὲ βυθί-
σαντες, τὰς δὲ κατακόψαντες εἰς ἀμίδας (λέγεται γὰρ καὶ

2 Ἅρπαλος : i.e. 324 **2** Πολλὰ δὲ – **4** τὴν πόλιν : Dem. Fr. 28 W. **4** καίπερ – **6** φησίν : Dem. Fr. 2 W.; Favorini Fr. 6 Mensching **6** ἀλλὰ ἀστῇ – **10** ἑταίρας : Dem. Fr. 38 W.; Favorini Fr. 11 M. **9–10** cf. Athen. 13, 593 F **10** Λέγεται – **13** Dem. Fr. 68 W. **14–p. 362.4** Dem. Fr. 52 W.

1 φυγὼν **B[1]PF** : φυγόντα in mg **B[2]** **5, p. 362.1** et **4** φαβορεῖνος **B** **6** λαμεία **B** **8** κλέωνος **BPF** : Κόνωνος coni. Wehrli **9** λαμπετὼ **BPF** et **φ** 19 : Λαμπιτὼ Hicks ex Athenaeo **10** ἀπὸ **BPF** : ἀντὶ Schwartz | ἑτέρας **B[1]** (corr. in mg **B[2]**) **11** ἀποβαλόντα **BP** : τυφλωθέντα **F** **12** παρὰ **BP** : ἀπὸ **F** **13** μέχρι τοῦ νῦν **F** **15** ἐπεσκοτήσθη **B[1]** : ἐσκοτίσθη *Suda* | κατεσθίοντος **F** **18** ἀπήρυγον **BP** : ἀπήρυσαν **F** **19** ἀπολόμενοι **B** | βυθήσαντες **B** **20** ἀμύδας **F**

τοῦτο). Μία δὲ μόνη σῴζεται ἐν ἀκροπόλει. Φαβωρῖνος δέ φησιν ἐν Παντοδαπῇ ἱστορίᾳ τοῦτο ποιῆσαι τοὺς Ἀθηναίους Δημητρίου κελεύσαντος τοῦ βασιλέως. Ἀλλὰ καὶ τὰ ἔτη τῆς ἀρχῆς αὐτοῦ ἐπέγραψαν ἀνομίας, ὡς Φαβωρῖνος.

78 Φησὶ δ' αὐτὸν Ἕρμιππος μετὰ τὸν Κασσάνδρου θάνατον φοβηθέντα Ἀντίγονον παρὰ Πτολεμαῖον ἐλθεῖν τὸν Σωτῆρα, κἀκεῖ χρόνον ἱκανὸν διατρίβοντα συμβουλεύειν τῷ Πτολεμαίῳ πρὸς τοῖς ἄλλοις καὶ τὴν βασιλείαν τοῖς ἐξ Εὐρυδίκης περιθεῖναι παισί. Τοῦ δὲ οὐ πεισθέντος, ἀλλὰ παραδόντος τὸ διάδημα τῷ ἐκ Βερενίκης, μετὰ τὴν ἐκείνου τελευτὴν ἀξιωθῆναι πρὸς τούτου παραφυλάττεσθαι ἐν τῇ χώρᾳ μέχρι τι δόξει περὶ αὐτοῦ. Ἐνταῦθα ἀθυμότερον διῆγε· καί πως ὑπνώττων ὑπ' ἀσπίδος τὴν χεῖρα δηχθεὶς τὸν βίον μεθῆκε. Καὶ θάπτεται ἐν τῷ Βουσιρίτῃ νομῷ πλησίον Διοσπόλεως.

79 Καὶ αὐτῷ ἐπεγράψαμεν ἡμεῖς [παρ' ἡμῖν]·

Ἀνεῖλεν ἀσπὶς τὸν σοφὸν Δημήτριον
ἰὸν ἔχουσα πολὺν
ἄσμηκτον, οὐ στίλβουσα φῶς ἀπ' ὀμμάτων,
ἀλλ' ἀΐδην μέλανα.

1–4 Favorini Fr. 38 M. **6–p. 363.4** οὐχ ἕξεις : Dem. Fr. 69 W. **6–16** Hermippi Fr. 58 Wehrli **18–21** *Anth. Pal.* 7.113

2 ἐν παντοδαπῇ ἱστορίᾳ om. **F** **4** τὰ ἔτη C.F. Hermann (cf. p. 360.19 ἔτη δέκα et p. 364.14) : τὸ ἐπὶ **BP**^{1} : τῷ ἔπει **FVP**^{4} : τῷ ἔτει Cobet | ὡς φαβωρῖνος om. **F** **6** φησὶ δ' αὐτὸν ἕρμιππος **BP** : ἕρμιππος δέ φησι **F** | δ' ss. **B**^{2} | κασσάνδρου **B** : κασάνδρου **PF** **9** τῷ om. **F** **10** περιθῆναι **BF** **11** τὸ ἐκ **F** | βερονίκης **BP**^{1}**F**, corr. **P**^{5} **13** δόξῃ **B** **14** ὑπνώττοντος **B** **15** μεθῆκε Kuehn : μετέθηκε **BPFΦ** | θάπτεται **BPF** : τέθαπται Cobet | βουσιρεί τῇ **B** **17** παρ' ἡμῖν del. Scaliger **20** ἄσμικτον **F**^{2} **21** (ἀ)λλ' ἀιδὴν **B**^{2} in ras.

Ἡρακλείδης δ' ἐν τῇ ἐπιτομῇ τῶν Σωτίωνος Διαδοχῶν τῷ Φιλαδέλφῳ τὴν βασιλείαν θέλειν ἐκχωρῆσαι τὸν Πτολεμαῖον, τὸν δ' ἀποτρέπειν φάσκοντα· "Ἂν ἄλλῳ δῷς, σὺ οὐχ ἕξεις." Ὀπηνίκα δ' ἐσυκοφαντεῖτο ἐν ταῖς Ἀθήναις (μανθάνω γὰρ καὶ τοῦτο), Μένανδρος ὁ κωμικὸς παρ' ὀλίγον ἦλθε κριθῆναι δι' οὐδὲν ἄλλο ἢ ὅτι φίλος ἦν αὐτῷ. Ἀλλ' αὐτὸν παρῃτήσατο Τελεσφόρος ὁ ἀνεψιὸς τοῦ Δη- **80**
μητρίου.

Πλήθει δὲ βιβλίων καὶ ἀριθμῷ στίχων σχεδὸν ἅπαντας παρελήλακε τοὺς καθ' αὐτὸν Περιπατητικούς, εὐπαίδευτος ὢν καὶ πολύπειρος παρ' ὁντινοῦν· ὧν ἐστι τὰ μὲν ἱστορικά, τὰ δὲ πολιτικά, τὰ δὲ περὶ ποιητῶν, τὰ δὲ ῥητορικά, δημηγοριῶν τε καὶ πρεσβειῶν, ἀλλὰ μὴν καὶ λόγων Αἰσωπείων συναγωγαὶ καὶ ἄλλα πλείω. Ἔστι δὲ τὰ

Περὶ τῆς Ἀθήνησι νομοθεσίας α′ β′ γ′ δ′ ε′,
Περὶ τῶν Ἀθήνησι πολιτειῶν α′ β′,
Περὶ δημαγωγίας α′ β′,
Περὶ πολιτικῆς α′ β′,
Περὶ νόμων α′,
Περὶ ῥητορικῆς α′ β′,
Στρατηγικῶν α′ β′,
Περὶ Ἰλιάδος α′ β′, **81**

1–4 οὐχ ἕξεις : Sotionis Fr. 18 Wehrli **4** Ὀπηνίκα – **7** Dem. Fr. 57 W.; Menandri T 8 Koerte. Cf. D. Potter, *Historia* 36 (1987) 491–495 **15–p. 365.12** Dem. Fr. 74 W **13–14** Aesopi T 14 Perry

1 σοτίονος **B** **3** ἀπορρέπειν **B** | ἄλλῳ : ἄλλοις in mg γρ. **P**[4] **4** δὲ συκοφαντῆτο **B** **5** ὁ κωμικὸς **PF** : οὔτινος **B** **6** δι' οὐδὲν – **7** τοῦ δημητρίου om. **B** spatio 3 versuum relicto **7** τοῦ om. **F** **9** πλήθει – ἅπαντας **B**[2] in lacuna | ἀριθμῶν **B** **12** ῥητορικὰ **BP** : δημηγορικὰ **F** **14** αἰσωπίων **B** **16** πολιτιῶν **F** : πολιτῶν **BPV** | α′ om. **F** **17, 18, 20, 21** et **22** α′ om. **F** **18** πολιτικῆς **BP** : πολιτικῶν **F**, agn. Wehrli

Περὶ Ὀδυσσείας α′ β′ γ′ δ′,
Πτολεμαῖος α′,
Ἐρωτικὸς α′,
Φαιδώνδας α′,
Μαίδων α′,
Κλέων α′,
Σωκράτης α′,
Ἀρταξέρξης α′,
Ὁμηρικὸς α′,
Ἀριστείδης α′,
Ἀριστόμαχος α′,
Προτρεπτικὸς α′,
Ὑπὲρ τῆς πολιτείας α′,
Περὶ τῆς δεκαετίας α′,
Περὶ τῶν Ἰώνων α′,
Πρεσβευτικὸς α′,
Περὶ πίστεως α′,
Περὶ χάριτος α′,
Περὶ τύχης α′,
Περὶ μεγαλοψυχίας α′,
Περὶ γάμου α′,
Περὶ τοῦ δόκου α′,
Περὶ εἰρήνης α′,
[Περὶ νόμων α′,]
Περὶ ἐπιτηδευμάτων α′,

14 : cf. p. 360.18–19

1 α′ – γ′ om. **F** **5** μέδων **F** **7** post hunc tit. repetunt v. 11 ἀριστόμαχος **BP** **8–10** om. **F** **8** ἀρτοξέρξης **BP**, corr. *Frob.* **10** ἀριστήδης **B** **11** ἄρι- ss. **F**[2] **16** πρεσβυτικὸς **BPF**, corr. *Frob.* **22** δόκου Menagius (= δοκήσεως), agn. Cobet, Wehrli : δοκοῦ **BPF** **24** περὶ νόμων deleri suad. Long (cf. 363.19)

Περὶ καιροῦ α΄,
Διονύσιος α΄,
Χαλκιδικὸς α΄,
Ἀθηναίων καταδρομὴ α΄,
Περὶ Ἀντιφάνους α΄,
Προοίμιον ἱστορικὸν α΄,
Ἐπιστολαὶ α΄,
Ἐκκλησία ἔνορκος α΄,
Περὶ γήρως α΄,
Δίκαια α΄,
Αἰσωπείων α΄,
Χρειῶν α΄.

Χαρακτὴρ δὲ φιλόσοφος, εὐτονίᾳ ῥητορικῇ ⟨καὶ⟩ δυ- 82
νάμει κεκραμένος. Οὗτος ἀκούσας ὅτι τὰς εἰκόνας αὐτοῦ κατέστρεψαν Ἀθηναῖοι, "Ἀλλ' οὐ τὴν ἀρετήν," ἔφη, "δι' ἣν ἐκείνας ἀνέστησαν." Ἔλεγε μὴ μικρὸν εἶναι μέρος τὰς ὀφρῦς· ὅλῳ γοῦν ἐπισκοτῆσαι δύνασθαι τῷ βίῳ. Οὐ μόνον τὸν πλοῦτον ἔφη τυφλόν, ἀλλὰ καὶ τὴν ὁδηγοῦσαν αὐτὸν Τύχην. Ὅσον ἐν πολέμῳ δύνασθαι σίδηρον, τοσοῦτον ἐν

11 Aesopi T 74 Perry **14** Οὗτος – **16** Dem. Fr. 122 W.; Arsen. *Viol.*, p. 187 Walz; *Gnom. Vat.* 48 (de Aristide) **16** Ἔλεγε – **17** τῷ βίῳ : Dem. Fr. 115 W.; Arsen. *ib.* **17** Οὐ μόνον – **19** Τύχην : Dem. Fr. 121 W.; Arsen. *ib.* **19** Ὅσον – **p. 366.1** λόγον : Dem. Fr. 120 W.; Arsen. *ib.*

6 ante προοίμιον addit περὶ **F** **7** ἐπιστολὴ **F** **8** ἐκκλησία ἔνορχος α΄ **FP⁴H** : ἐκκληένορχα **B**, ἐκκληενόρχ' α΄ **P¹ Q** : corr. *Frob.* **11** αἰωπίων **B** **13** καὶ *Frob.* : om. **BP F** | post δυνάμει addit τε **F** **14** κεκραμένος **BP** : πεπυκνωμένος **F** **16** μὴ **BPF¹Φ** et Arsen. : erasit **F²**, om. *Frob.* | post μικρὸν add. μὲν J. Price (ad Lucam 3), agn. Cobet, Wehrli **17** ὀφρεῖς **B** | γοῦν **BPFΦ** : γὰρ Arsen. : δὲ Price, agn. Cobet, Wehrli **17** δύνασθαι τῷ βίῳ **BPΦ** et Arsen. : τῷ βίῳ δύνασθαι **F**

πολιτείαις ἰσχύειν λόγον. Ἰδών ποτε νεανίσκον ἄσωτον, "Ἰδού," ἔφη, "τετράγωνος Ἑρμῆς ἔχων σύρμα, κοιλίαν, αἰδοῖον, πώγωνα." Τῶν τετυφωμένων ἀνδρῶν ἔφη τὸ μὲν ὕψος δεῖν περιαιρεῖν, τὸ δὲ φρόνημα καταλείπειν. Τοὺς νέους ἔφη δεῖν ἐπὶ μὲν τῆς οἰκίας τοὺς γονέας αἰδεῖσθαι, ἐν δὲ ταῖς ὁδοῖς τοὺς ἀπαντῶντας, ἐν δὲ ταῖς ἐρημίαις
83 ἑαυτούς. Τοὺς φίλους ἐπὶ μὲν τὰ ἀγαθὰ παρακαλουμένους ἀπιέναι, ἐπὶ δὲ τὰς συμφορὰς αὐτομάτους. Τοσαῦτα καὶ εἰς τοῦτον ἀναφέρεσθαι δοκεῖ.

Γεγόνασι δὲ Δημήτριοι ἀξιόλογοι εἴκοσι· πρῶτος Χαλκηδόνιος, ῥήτωρ καὶ Θρασυμάχου πρεσβύτερος· δεύτερος αὐτὸς οὗτος· τρίτος Βυζάντιος, Περιπατητικός· τέταρτος καλούμενος Γραφικός, σαφὴς διηγήσασθαι· ἦν δὲ ὁ αὐτὸς καὶ ζωγράφος· πέμπτος Ἀσπένδιος, μαθητὴς Ἀπολλωνίου τοῦ Σολέως· ἕκτος Καλλατιανός, ὁ γεγραφὼς περὶ Ἀσίας καὶ Εὐρώπης εἴκοσι βίβλους· ἕβδομος Βυζάντιος,

1 Ἰδὼν – **3** πώγωνα : Dem. Fr. 118 W.; Arsen. *ib.* **3** Τῶν – **4** καταλείπειν : Dem. Fr. 119 W.; Arsen., p. 188 W. **4** Τοὺς νέους – **7** ἑαυτούς : Dem. Fr. 117 W.; Arsen. *ib.*; *Gnom. Vat.* 255; Clem. *Paed.* 3.33.3 **7** Τοὺς φίλους – **9** Dem. Fr. 116 W.; Arsen., p. 187 W. **10–p. 368.2** Demetrii Magnetis F 17 Mejer **15** ἕκτος : cf. *FGrHist* 85 T 1 **16** ἕβδομος : cf. *FGrHist* 162 T 1

1 πολιτείαις **BP** et Arsen. : πολιτεία **Φ** : πολίταις **F**, agn. Wehrli | ἰσχύειν om. **Φ** | λόγον **PFΦ** : δῶρον **B** et Arsen. **2** σύρμα **BPFΦ** et Arsen. : στόμα Reiske coni. Stob. 3.4.66 **3** ἔφη om. **F** **4** φρόνιμα **F** | καταλείπειν **FΦ** : καταλιπεῖν **BP** et Arsen. **5** ἐπὶ μὲν τῆς οἰκίας **BPΦ** : ἐν (ἐπὶ **F**) μὲν ταῖς οἰκίαις **F** et Arsen., *Gnom.* | γονέας **BFΦ** : γονεῖς **P** et Arsen., *Gnom.* **8** ἀπιέναι **BPF** : ἰέναι **Φ** : παριέναι Richards **10** Χαλκηδόνιος *Ambros.*, Huebner : καλχηδόνιος **P**[1]**F**, καλχιδόνιος **B** : καρχηδόνιος **D** et *Frob.* : χαρκηδόνιος **P**[5] **13** ante σαφὴς addit καὶ *Frob.* | σαφὴς διηγήσασθαι om. **F** **13–14** καὶ ὁ αὐτὸς **BP** **15** καλλαντιανὸς **BPF**, corr. Stephanus **16** καὶ om. **F**

ἐν τρισκαίδεκα βιβλίοις γεγραφὼς τὴν Γαλατῶν διάβασιν ἐξ Εὐρώπης εἰς Ἀσίαν καὶ ἐν ἄλλοις ὀκτὼ τὰ περὶ Ἀντίοχον καὶ Πτολεμαῖον καὶ τὴν τῆς Λιβύης ὑπ' αὐτῶν διοίκησιν· ὄγδοος ὁ διατρίψας ἐν Ἀλεξανδρείᾳ σοφισ- 84
τής, τέχνας γεγραφὼς ῥητορικάς· ἔνατος Ἀδραμυττηνός, γραμματικός, ἐπικληθεὶς Ἰξίων διὰ τὸ ἀδικῆσαί τι δοκεῖν περὶ τὴν Ἥραν· δέκατος Κυρηναῖος, γραμματικός, ὁ ἐπικληθεὶς Στάμνος, ἀνὴρ ἀξιόλογος· ἑνδέκατος Σκήψιος, πλούσιος καὶ εὐγενὴς ἄνθρωπος καὶ φιλόλογος ἄκρως· οὗτος καὶ Μητρόδωρον προεβίβασε τὸν πολίτην. Δωδέκατος γραμματικὸς Ἐρυθραῖος, πολιτογραφηθεὶς ἐν Τήμνῳ· τρισκαιδέκατος Βιθυνὸς Διφίλου τοῦ Στωϊκοῦ υἱός, μαθητὴς δὲ Παναιτίου τοῦ Ῥοδίου· τεσσαρεσκαιδέκατος ῥήτωρ Σμυρναῖος. | Καὶ οὗτοι μὲν λογικοί. Ποιηταὶ δὲ πρῶτος 85
ἀρχαίαν κωμῳδίαν πεποιηκώς· δεύτερος ἐπῶν ποιητής, οὗ μόνα σῴζεται πρὸς τοὺς φθονεροὺς εἰρημένα τάδε·

Ζωὸν ἀτιμήσαντες ἀποφθίμενον ποθέουσι·
καί ποθ' ὑπὲρ τύμβοιο καὶ ἀπνόου εἰδώλοιο
ἄστεα νεῖκος ἐπῆλθεν, ἔριν δ' ἐστήσατο λαός.

Τρίτος Ταρσικός, σατυρογράφος· τέταρτος ἰάμβους γεγραφώς, πικρὸς ἀνήρ· πέμπτος ἀνδριαντοποιός, οὗ μέμνηται

12 τρισκαιδέκατος : Panaetii Fr. 153 van Straaten **14** πρῶτος : cf. Demetrium 1 (*PCG* V) **17–19** *Suda*, Φ 512; *Suppl. Hell.* 373 **20** τρίτος : cf. *TrGF* Nr. 206 Snell

1 τρεισκαίδεκα **B** **4** διήκησιν **B** **5** ἀδραμυτηνὸς **PF** **6** δοκεῖν om. **F** **8** ἀνὴρ ἀξιόλογος ss. **F**^{2} **9** ἄνθρωπος – ἄκρως in mg **F**^{2} **11** πολιτογραφηθεὶς ἐν τῆ μνῶ in mg infer. **F**^{2} | τήμνω **B** : τῆ μνῶ **PF**^{2} : τῇ Μνῷ (Romana?) Cobet : Λήμνῳ Long **12** τρεισκαιδέκατος **B** | δειφίλου **B** : διιφίλου **F** **13** ῥωδίου **F** **17** ἀτιμήσαντες **BP** : ἀτιμάσαντες **F** et *Suda* **18** ποτ' **BP**^{1} (corr. **P**^{2}**Q**) **19** ἄστεϊ **F** | λαός ss. **F**^{2}

Πολέμων· ἕκτος Ἐρυθραῖος, ποικιλογράφος ἄνθρωπος, ⟨ὃς⟩ καὶ ἱστορικὰ καὶ ῥητορικὰ πεποίηκε βιβλία.

ΗΡΑΚΛΕΙΔΗΣ

86 Ἡρακλείδης Εὐθύφρονος Ἡρακλεώτης τοῦ Πόντου, ἀνὴρ πλούσιος. Ἀθήνησι δὲ παρέβαλε πρῶτον μὲν Σπευσίππῳ· ἀλλὰ καὶ τῶν Πυθαγορείων διήκουσε καὶ τὰ Πλάτωνος ἐζηλώκει· καὶ ὕστερον ἤκουσεν Ἀριστοτέλους, ὥς φησι Σωτίων ἐν Διαδοχαῖς. Οὗτος ἐσθῆτί τε μαλακῇ ἐχρῆτο καὶ ὑπέρογκος ἦν τὸ σῶμα, ὥστε αὐτὸν ὑπὸ τῶν Ἀττικῶν μὴ Ποντικὸν ἀλλὰ Πομπικὸν καλεῖσθαι. Πρᾶός τε ἦν τὸ βάδισμα καὶ σεμνός. Φέρεται δ' αὐτοῦ συγγράμματα κάλλιστά τε καὶ ἄριστα· διάλογοι, ὧν

Ἠθικὰ μὲν

Περὶ δικαιοσύνης γ΄,
Ἓν δὲ περὶ σωφροσύνης,
Περί τε εὐσεβείας α΄,

καὶ

Περὶ ἀνδρείας α΄,
87 Κοινῶς τε περὶ ἀρετῆς α΄,

καὶ ἄλλο

Περὶ εὐδαιμονίας α΄,
Περί τε ἀρχῆς α΄,

1 Polemonis Fr. 69 (*FHG* III, 135) | ἕκτος : *FHG* IV, 381 **4–12** ἄριστα : Heraclidis Fr. 3 Wehrli **4–8** Sotionis Fr. 17 Wehrli **11** Φέρεται – **p. 371.6** ἐξουσίας : Heraclidis Fr. 22 W.

2 ὃς add. Cobet | καὶ ῥητορικὰ πεποίηκε βιβλία **B**[2] in lacuna **3** *tit.* **PB** (4 ἡρακλείδης omisso), **F**[2] in mg **6** πυθαγορίων **B** **8** τε om. **F** **9** σῶμα **BPFΦ** : σχῆμα Hemsterhusius (ad Luc. *Somn.* 8) **11** βάδισμα **BPF** : βλέμμα Cobet, agn. Wehrli **12** ante ἄριστα addunt τά τε **BP**[1], expunxit **P**[2] **18** ἀνδρίας **P** **22** τε **BPF** : τῆς ed. Londin., Cobet

καὶ

Νόμων καὶ τῶν συγγενῶν τούτοις α′,
Περὶ ὀνομάτων α′,
Συνθῆκαι α′,
Ἀκούσιος α′,
Ἐρωτικὸς ⟨α′⟩,

καὶ

Κλεινίας α′.

Φυσικὰ δὲ

Περὶ νοῦ,
Περὶ ψυχῆς,
καὶ κατ' ἰδίαν Περὶ ψυχῆς,

καὶ

Περὶ φύσεως,

καὶ

Περὶ εἰδώλων,
Πρὸς Δημόκριτον,
Περὶ τῶν ⟨ἐν⟩ οὐρανῷ α′,
Περὶ τῶν ἐν Ἅιδου,
Περὶ βίων α′ β′,
Αἰτίαι περὶ νόσων α′,
Περὶ τἀγαθοῦ α′,
Πρὸς τὰ Ζήνωνος α′,
Πρὸς τὰ Μήτρωνος α′.

2 α′ post νόμων in **BPF**, huc transtuli **5** α′ om. **BP** **6** α′ addidi **7** καὶ **BPF** : ἢ coni. Gigante (unus titulus cum 8) **10–11** Περὶ νοῦ ⟨καὶ⟩ περὶ ψυχῆς Reiske **12–13** καὶ – καὶ in mg **P**[2] **17–18** unus titulus in **BPF** **18** ⟨ἐν⟩ οὐρανῷ Stephanus : οὐρανῶν **BPF** **20** α′ om. **F** **23 et 24** τὸ **BPF**, corr. Stephanus **24** α′ **F** : om. **BP**

Γραμματικὰ δὲ

Περὶ τῆς Ὁμήρου καὶ Ἡσιόδου ἡλικίας α´ β´,
Περὶ Ἀρχιλόχου καὶ Ὁμήρου α´ β´.

Καὶ μουσικὰ δὲ

Περὶ τῶν παρ' Εὐριπίδῃ καὶ Σοφοκλεῖ α´ β´ γ´,
Περὶ μουσικῆς α´ β´ ⟨γ´⟩,
88 Λύσεων Ὁμηρικῶν α´ β´,
Θεωρηματικὸν α´,
Περὶ τῶν τριῶν τραγῳδοποιῶν α´,
Χαρακτῆρες α´,
Περὶ ποιητικῆς καὶ τῶν ποιητῶν α´,
Περὶ στοχασμοῦ α´,
Προοπτικῶν α´,
Ἡρακλείτου ἐξηγήσεις δ´,
Πρὸς τὸν Δημόκριτον ἐξηγήσεις α´,
Λύσεων ἐριστικῶν α´ β´,
Ἀξίωμα α´,
Περὶ εἰδῶν α´,
Λύσεις α´,
Ὑποθῆκαι α´,
Πρὸς Διονύσιον α´.

Ῥητορικὰ δὲ

Περὶ τοῦ ῥητορεύειν ἢ Πρωταγόρας.

2 ἠσιόδου καὶ ὁμήρου **F** **2, 3, 6** et **7** α´ om. **F** **4** om. **F** **5** τὸν **B** | α´ β´ om. **F** **6** γ´ add Meursius conl. Athen. 10. 455 C et 14, 624 C **8** θεωρηματικῶν **F** **9** τριῶν om. **F** **10** χαρακτῆρες **P** : χαρακτὴρ **BF** **11** τῶν ss. **F**[2] **13** προοπτικῶν **BP** : προοπτικὸν **F**, Cobet **15** Πρὸς τὸν *Frob.* : πρὸς **D** : πρῶτον **BP** : πρώτων **F** | δημοκριτίων **F** **16** ἐρειστικῶν **F** | α´ om. **F** **17** om. **F** **23** προταγόρας **B**

Ἱστορικά·
Περὶ τῶν Πυθαγορείων
καὶ Περὶ εὑρημάτων.

Τούτων τὰ μὲν κωμικῶς πέπλακεν, ὡς τὸ Περὶ ἡδονῆς καὶ Περὶ σωφροσύνης· τὰ δὲ τραγικῶς, ὡς τὸ Περὶ τῶν καθ' Ἅιδην καὶ τὸ Περὶ εὐσεβείας καὶ τὸ Περὶ ἐξουσίας.

Ἔστι δ' αὐτῷ καὶ μεσότης τις ὁμιλητικὴ φιλοσόφων τε 89
καὶ στρατηγικῶν καὶ πολιτικῶν ἀνδρῶν πρὸς ἀλλήλους διαλεγομένων. Ἀλλὰ καὶ γεωμετρικά ἐστιν αὐτοῦ καὶ διαλεκτικά. Ἄλλως τε ἐν ἅπασι ποικίλος τε καὶ διηρμένος τὴν λέξιν ἐστὶ καὶ ψυχαγωγεῖν ἱκανῶς δυνάμενος.

Δοκεῖ δὲ καὶ τὴν πατρίδα τυραννουμένην ἐλευθερῶσαι, τὸν μόναρχον κτείνας, ὥς φησι Δημήτριος ὁ Μάγνης ἐν Ὁμωνύμοις. Ὃς καὶ τοιόνδε ἱστορεῖ περὶ αὐτοῦ· "Θρέψαι αὐτὸν δράκοντα ἐκ νέου καὶ αὐξηθέντα, ἐπειδὴ τελευτᾶν ἔμελλε, κελεῦσαί τινι τῶν πιστῶν αὐτοῦ τὸ σῶμα κατακρύψαι, τὸν δὲ δράκοντα ἐπὶ τῆς κλίνης θεῖναι, ἵνα δόξειεν εἰς θεοὺς μεταβεβηκέναι. Ἐγένετο δὲ πάντα.
Καὶ μεταξὺ παραπεμπόντων τὸν Ἡρακλείδην τῶν πολι- 90
τῶν καὶ εὐφημούντων, ὁ δράκων ἀκούσας τῆς ἐπιβοῆς ἐξέδυ τῶν ἱματίων καὶ διετάραξε τοὺς πλείστους. Ὕστε-

7–9 et **10** Ἄλλως τε – **11** Heraclid. Fr. 25 W. **9–10** Heraclid. Fr. 22 W. **12–14** Heraclid. Fr. 11 W. **12–p. 372.2** Demetrii Magnetis F 18 Mejer **14** Ὃς – **p. 372.8** Heraclid. Fr. 16 W. Cf. *Suda,* H 461. Hippoboti Fr. 7 Gigante

1 om. **F** **2** τῶν om. **P** et *Frob.* **5** περὶ^{1} om. **F** **5–6** περὶ τὸν καθάδην **B** **6** καὶ τὸ περὶ om. **F** **7** ὁμειλητικὴ **B** **10** ἄλλως τε – **11** δυνάμενος in mg **F**^{2} **10** ἄλλως τε **PF**^{2} : ἀλλὰ ὥστε **B** **13** μόναρχον **BPF** : Κλέαρχον Wilamowitz (*Antigonos,* p. 24 n. 17) **15** αὐξηθέντος **Φ** **16** τινι **BPΦ** : τινα **F** | αὐτοῦ Huebner : αὑτοῦ **BPFΦ** **17** κατακρύψαι **BPFΦ** : κατακαῦσαι Casaubon | θῆναι **B** **18** πάντα **BPΦ** : ταῦτα **F** **21** ἐτάραξε **F** | τοὺς πλείους **Φ**

ρον μέντοι ἐξεκαλύφθη πάντα καὶ ὤφθη Ἡρακλείδης οὐχ οἷος ἐδόκει, ἀλλ' οἷος ἦν."

Καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν οὕτως ἔχον·

Ἤθελες ἀνθρώποισι λιπεῖν φάτιν, Ἡρακλείδη,
 ὥς ῥα θανὼν ἐγένου ζωὸς ἅπασι δράκων.
Ἀλλὰ διεψεύσθης, σεσοφισμένε· δὴ γὰρ ὁ μὲν θὴρ
 ἦε δράκων, σὺ δὲ θήρ, οὐ σοφὸς ὤν, ἑάλως.

Ταὐτὰ δέ φησι καὶ Ἱππόβοτος.

91 Ἕρμιππος δὲ λιμοῦ κατασχόντος τὴν χώραν φησὶν αἰτεῖν τοὺς Ἡρακλεώτας τὴν Πυθίαν λύσιν. Τὸν δὲ Ἡρακλείδην διαφθεῖραι χρήμασι τούς τε θεωροὺς καὶ τὴν προειρημένην, ὥστ' ἀνελεῖν ἀπαλλαγήσεσθαι τῶν κακῶν, εἰ ζῶν μὲν Ἡρακλείδης ὁ Εὐθύφρονος χρυσῷ στεφάνῳ στεφανωθείη πρὸς αὐτῶν, ἀποθανὼν δὲ ὡς ἥρως τιμῷτο. Ἐκομίσθη ὁ δῆθεν χρησμὸς καὶ οὐδὲν ὤναντο οἱ πλάσαντες αὐτόν. Αὐτίκα γὰρ ἐν τῷ θεάτρῳ στεφανούμενος ὁ Ἡρακλείδης ἀπόπληκτος ἐγένετο, οἵ τε θεωροὶ καταλευσθέντες διεφθάρησαν. Ἀλλὰ καὶ ἡ Πυθία τὴν αὐτὴν ὥραν κατιοῦσα ἐς τὸ ἄδυτον καὶ ἐπιστᾶσα ἐνὶ τῶν δρακόντων δηχθεῖσα παραχρῆμα ἀπέπνευσε. Καὶ τὰ μὲν περὶ τὸν θάνατον αὐτοῦ τοσαῦτα.

4–7 *Anth. Pal.* 7.114; *Plan.* **9–21** Heraclid. Fr. 14a W. = Hermippi Fr. 42 Wehrli. Cf. P. Hercul. 1021, col. 9.1–10.11 Gaiser

3 ἔχον οὕτως **F** | ἔχων **B** 4 ἤλυθες *Pal.*[1] 5 ἄρα *Pal.* | ἅπασι **BPF** et *Pal.* : ἀπαρτὶ Reiske 6 σεσοφισμένε **BP** et *Pal.* : σεσοφισμένος **F** 7 ἦε **P** : ἠὲ **BF** et *Pal.*[1] 8 ταὐτὰ Gigante (conl. 9.40) : ταῦτα **BPF** 9 λιμοῦ **PFΦ** : λοιμοῦ **B** : αὐχμοὺς *Pap.* 12 ἀνελεῖν Richards : ἀνειπεῖν **BPF** : εἰπεῖν **Φ** | τῶν κακῶν **BPΦ** : τοῦ κακοῦ **F** 14 στεφανωθείη **PΦ** : στεφανωθῇ **BF** | αὐτὸν **B** 15 τιμῶτο – ὤναντο **B**[2] in lacuna 18 καταλευσθέντες Kuehn : κατακυλισθέντες **BPFΦ** | ἐφθάρησαν **Φ** 19 ἐπιστᾶσα om. **Φ**

Φησὶ δ' Ἀριστόξενος ὁ μουσικὸς καὶ τραγῳδίας αὐτὸν 92
ποιεῖν καὶ Θέσπιδος αὐτὰς ἐπιγράφειν. Χαμαιλέων τε τὰ
παρ' ἑαυτῷ φησι κλέψαντα αὐτὸν τὰ περὶ Ἡσιόδου καὶ
Ὁμήρου γράψαι· ἀλλὰ καὶ Ἀντίδωρος ⟨ὁ⟩ Ἐπικούρειος
ἐπιτιμᾷ αὐτῷ, τοῖς Περὶ δικαιοσύνης ἀντιλέγων. Ἔτι καὶ
Διονύσιος ὁ Μεταθέμενος (ἢ Σπίνθαρος, ὥς ἔνιοι) γράψας
τὸν Παρθενοπαῖον ἐπέγραψε Σοφοκλέους. Ὁ δὲ πιστεύ-
σας εἴς τι τῶν ἰδίων συγγραμμάτων ἐχρῆτο μαρτυρίοις ὡς
Σοφοκλέους. Αἰσθόμενος δὴ ὁ Διονύσιος ἐμήνυσεν αὐτῷ 93
τὸ γεγονός· τοῦ δ' ἀρνουμένου καὶ ἀπιστοῦντος ἐπέστει-
λεν ἰδεῖν τὴν παραστιχίδα· καὶ εἶχε Πάγκαλος· οὗτος δ'
ἦν ἐρώμενος Διονυσίου. Ὡς δ' ἔτι ἀπιστῶν ἔλεγε κατὰ
τύχην ἐνδέχεσθαι οὕτως ἔχειν, πάλιν ἀντεπέστειλεν ὁ
Διονύσιος ὅτι "Καὶ ταῦτα εὑρήσεις·

— Γέρων πίθηκος οὐχ ἁλίσκεται πάγῃ.
—Ἁλίσκεται μέν, μετὰ χρόνον δ' ἁλίσκεται."

Καὶ πρὸς τούτοις· "Ἡρακλείδης γράμματα οὐκ ἐπίσταται." Ὁ δ' ᾐσχύνθη.

1–2 Heraclid. Fr. 181 W. = Aristoxeni Fr. 114 Wehrli **2–4** γράψαι : Chamaeleonis Fr. 46 Wehrli **4–5** Heraclid. Fr. 48 W. **5** Ἔτι – **18** Heraclid. Fr. 13a W.; *SVF* I Nr. 425; *TrGF* I Nr. 113

2 χαμελέων **BF** | τὰ om. **F** **4** Ἀντίδωρος Menagius (conl. 10.8 et 28) : ἀντόδωρος **BPF** : Αὐτόδωρος Stephanus : corruptum Wehrli | ὁ add. Cobet | καὶ ἐπικούρειος **F** | ἐπικούριος **B** **7** ὁ δὲ – **9** σοφοκλέους **F**^{2} in mg super. **8** ἐχρεῖτο **F**^{2} | ὡς **BPΦ** : τῶν **F**^{2} **9** δὴ **BΦ** : δ' **P**, *Suda* : om. δ' ὁ **F** **11** παραστοιχίδα **F** | πάνκαλος **BP**^{1}, πάγκαλος **QΦ** : πᾶν κάλλος **F**^{2}**P**^{4} (mg γρ.) **H** : πὰν καλός **P**^{1} in mg : παγκάλως *Suda* **13** ἔχει **B** | ὁ om. **F** **16** μὲν om. **B** (ras. 2 litt.) | δ' **FΦ** : θ' **BP** **17** ἐπίστατε **B**^{1} (corr. **B**^{2}) **19** ὁ δ' Nauck^2 (p. 840), agn. ab Arnim, Snell : οὐδ' **BPF** : καὶ ἐπὶ τούτοις οὐκ **Φ**

Γεγόνασι δ' Ἡρακλεῖδαι τεσσαρεσκαίδεκα· πρῶτος αὐτὸς οὗτος· δεύτερος πολίτης αὐτοῦ, πυρρίχας καὶ φλυ-
94 αρίας συντεταγμένος· τρίτος Κυμαῖος, γεγραφὼς Περσικὰ ἐν πέντε βιβλίοις· τέταρτος Κυμαῖος, ῥήτωρ τέχνας γεγραφώς· πέμπτος Καλλατιανὸς ἢ Ἀλεξανδρεύς, γεγραφὼς τὴν Διαδοχὴν ἐν ἓξ βιβλίοις καὶ Λεμβευτικὸν λόγον, ὅθεν καὶ Λέμβος ἐκαλεῖτο· ἕκτος Ἀλεξανδρεύς, γεγραφὼς τὰ Περσικὰ ἰδιώματα· ἕβδομος διαλεκτικὸς Βαργυληΐτης, κατ' Ἐπικούρου γεγραφώς· ὄγδοος ἰατρὸς τῶν ἀπὸ Ἱκεσίου· ἔνατος ἰατρὸς Ταραντῖνος, ἐμπειρικός· δέκατος ποιητικός, παραινέσεις γεγραφώς· ἑνδέκατος ἀνδριαντοποιός, Φωκαεύς· δωδέκατος ἐπιγραμμάτων ποιητὴς λιγυρός· τρισκαιδέκατος Μάγνης, Μιθριδατικὰ γεγραφώς· τεσσαρεσκαιδέκατος ἀστρολογούμενα συγγεγραφώς.

3 τρίτος : *FGrHist* 689 T 1 **6** τὴν Διαδοχήν : i.e. τὴν ἐπιτομὴν τῶν Σωτίωνος Διαδοχῶν (cf. 5.79 et 8.7) **7** ἕκτος : *FGrHist* 696 F 30 **13** τρισκαιδέκατος : *FGrHist* 187 T 1

2 καὶ φλυαρίας in mg $\mathbf{F}^{2}$: καὶ φλύακας Wilamowitz **4** ὁ ῥήτωρ **F** **5** καλλιτιανὸς **BPF**, corr. Menagius **6** τὴν διαδοχὴν – **8** ἰδιώματα in rasura et in mg $\mathbf{F}^{2}$ **6** λεβευτικὸν **B** **9** βαργυληΐτης **P** : βαργυλιήτης **B** : μαργιλιτης **F** (ϋ super $ι^{1}$ $\mathbf{F}^{2}$) **11** ποιητικὸς **BP** : om. **F** : ποιητής conieci **13** λιγυρός om. **F** | τρεισκαιδέκατος **B** *subscriptio* ε' **BP**

ϛ

ΑΝΤΙΣΘΕΝΗΣ

Ἀντισθένης Ἀντισθένους Ἀθηναῖος. Ἐλέγετο δ' οὐκ 1 εἶναι ἰθαγενής· ὅθεν καὶ πρὸς τὸν ὀνειδίζοντα εἰπεῖν· "Καὶ ἡ μήτηρ τῶν θεῶν Φρυγία ἐστίν." Ἐδόκει γὰρ εἶναι Θρᾴττης μητρός· ὅθεν καὶ ἐν Τανάγρᾳ κατὰ τὴν μάχην εὐδοκιμήσας ἔδωκε λέγειν Σωκράτει ὡς οὐκ ἂν ἐκ δυοῖν Ἀθηναίων οὕτως γεγόνοι γενναῖος. Καὶ αὐτὸς δὲ τοὺς Ἀθηναίους ἐπὶ τῷ γηγενεῖς εἶναι σεμνυνομένους ἐκφαυλίζων ἔλεγε μηδὲν εἶναι κοχλιῶν καὶ ἀττελέβων εὐγενεστέρους.

Οὗτος κατ' ἀρχὰς μὲν ἤκουσε Γοργίου τοῦ ῥήτορος· ὅθεν τὸ ῥητορικὸν εἶδος ἐν τοῖς διαλόγοις ἐπιφέρει καὶ μάλιστα ἐν τῇ Ἀληθείᾳ καὶ τοῖς Προτρεπτικοῖς. Φησὶ δ' 2 Ἕρμιππος ὅτι προείλετο ἐν τῇ τῶν Ἰσθμίων πανηγύρει ψέξαι τε καὶ ἐπαινέσαι Ἀθηναίους, Θηβαίους, Λακεδαιμονίους· εἶτα μέντοι παραιτήσασθαι ἰδόντα πλείους ἐκ ⟨τούτων⟩ τῶν πόλεων ἀφιγμένους.

1 de l. 6 cf. M.-O. Goulet-Cazé, *ANRW* II 36.6 (1992) 3880–4048 paragraphos 1–2 et 13–15 excerpsit Eudocia, *Violarium* 96 Flach **2–7** γενναῖος : Antisthenis Frr. 1 et 3 Giannantoni (*SSR* VA); Arsen. *Violetum,* p. 106 s. Walz **5** ἐν Τανάγρᾳ – **7** γενναῖος : cf. 2.31 et P. Von der Muehll, *Mus. Helv.* 23 (1966) 234–236 **7** Καὶ αὐτὸς – **9** Antisth. Fr. 8 G. **11–13** Fr. 11 G. **13** Φησὶ – **17** Fr. 9 G.; Hermippi Fr. 34 Wehrli

inscriptio ϛ′ **P** : λαερτίου διογένους τῶν εἰς δέκα τὸ ϛ′ **FV DP**^{4}**H** **1** *tit.* **QCoD** **3** καὶ **F** et Arsen. : om. **BP** **5** θράτης **F** **6** δυεῖν **P** **7** οὗτος **F** | γεγόνοι **BP** : γέγονε **F** : ἐγεγόνει Arsen. **9** κοχλαιων **B** : κοχλύων **F** | ἀττεβέλων **F** : γρ. ἀττελάβων **F**^{2} in mg **13** προπετικοῖς **B** **15** θηβαίους om. **F** **17** τούτων addidi

Ὕστερον δὲ παρέβαλε Σωκράτει, καὶ τοσοῦτον ὤνατο αὐτοῦ, ὥστε παρῄνει τοῖς μαθηταῖς γενέσθαι αὐτῷ πρὸς Σωκράτην συμμαθητάς. Οἰκῶν τε ἐν Πειραιεῖ καθ' ἑκάστην ἡμέραν τοὺς τετταράκοντα σταδίους ἀνιὼν ἤκουε Σωκράτους, παρ' οὗ καὶ τὸ καρτερικὸν λαβὼν καὶ τὸ ἀπαθὲς ζηλώσας κατῆρξε πρῶτος τοῦ Κυνισμοῦ. Καὶ ὅτι ὁ πόνος ἀγαθὸν συνέστησε διὰ τοῦ μεγάλου Ἡρακλέους καὶ τοῦ Κύρου, τὸ μὲν ἀπὸ τῶν Ἑλλήνων, τὸ δὲ ἀπὸ τῶν βαρβάρων ἑλκύσας.

3 Πρῶτός τε ὡρίσατο λόγον εἰπών· "Λόγος ἐστὶν ὁ τὸ τί ἦν ἢ ἔστι δηλῶν." Ἔλεγέ τε συνεχές· "Μανείην μᾶλλον ἢ ἡσθείην"· καί· "Χρὴ τοιαύταις πλησιάζειν γυναιξὶν αἳ χάριν εἴσονται." Πρός τε τὸ Ποντικὸν μειράκιον μέλλον φοιτᾶν αὐτῷ καὶ πυθόμενον τίνων αὐτῷ δεῖ, φησί· "Βιβλαρίου καινοῦ καὶ γραφείου καινοῦ καὶ πινακιδίου καινοῦ," τὸν νοῦν παρεμφαίνων. Πρὸς δὲ τὸν ἐρόμενον ποδαπὴν γήμῃ ἔφη· ""Αν μὲν καλήν, ἕξεις κοινήν, ἂν δὲ αἰσχράν, ἕξεις ποινήν." Ἀκούσας ποτὲ ὅτι Πλάτων αὐτὸν κακῶς λέγει, "Βασιλικόν," ἔφη, "καλῶς ποιοῦντα κακῶς ἀκούειν."

1–6 Κυνισμοῦ : Fr. 12 G. **3** συμμαθητάς : *Gnom. Vat.* 4 **6** Καὶ ὅτι – **9** Frr. 85 et 97 G. **10–11** δηλῶν : Fr. 151 G.; Arsen. p. 107. Cf. Alex. *in Aristot. Top.*, p. 42.13 Wallies **11–12** Fr. 122 G.; S.E. *P.h.* 3.181; *Adv. math.* 11.73–74; Clem. *Strom.* 2.121.1 **12–13** Fr. 56 G. **13** Πρός τε – **16** παρεμφαίνων : Fr. 171 G.; Arsen., p. 171 **16** Πρὸς – **18** ποινήν : Fr. 57 G.; *Gnom. Vat.* 2. Cf. DL 4.48 **18** Ἀκούσας – **20** Fr. 28 G. Cf. Epict. 4.6.20; M. Aurel. 7.36

2 ἑαυτοῦ **BP**[1] (corr. **P**[2]) | γενέσθαι αὐτῶ om. **F**, sed addit αὐτοῦ γενέσθαι post v. 3 συμμαθητὰς **4** σταδίους in mg **F**[2] | ἤκουσε **BF** **7** ἡρακλέως **B** **11** ἦν om. **F** | ἢ[1] ss. **F**[2] | συνεχὲς **BP** : συνεχῶς **FΦ** | ἂν μᾶλλον **F** **15–16** καινοῦ ter **F** : καὶ νοῦ ter **BPΦ** et Arsen. **16** ἐρώμενον **B** **17** γήμη **PF** : γῆμαι **B**, γήμαι Cobet | ἂν ... ἂν **F** : ἐὰν ... ἐὰν **B** : ἂν ... ἐὰν **P** **18** ὁ πλάτων **F** **18–19** κακῶς αὐτὸν **F**

4 Μυούμενός ποτε τὰ Ὀρφικά, τοῦ ἱερέως εἰπόντος ὅτι οἱ ταῦτα μυούμενοι πολλῶν ἀγαθῶν ἐν ᾅδου μετίσχουσι, "Τί οὖν," ἔφη, "οὐκ ἀποθνῄσκεις;" Ὀνειδιζόμενός ποτε ὡς οὐκ εἴη ἐκ δύο ἐλευθέρων, "Οὐδὲ γὰρ ἐκ δύο," ἔφη, "παλαιστικῶν, ἀλλὰ παλαιστικός εἰμι." Ἐρωτώμενος διὰ τί ὀλίγους ἔχει μαθητάς, ἔφη· "Ὅτι ἀργυρέᾳ αὐτοὺς ἐκβάλλω ῥάβδῳ." Ἐρωτηθεὶς διὰ τί πικρῶς τοῖς μαθηταῖς ἐπιπλήττει, "Καὶ οἱ ἰατροί," φησί, "τοῖς κάμνουσιν." Ἰδών ποτε μοιχὸν φεύγοντα, "Ὢς δυστυχής·" εἶπε, "πηλίκον κίνδυνον ὀβολοῦ διαφυγεῖν ἐδύνασο." Κρεῖττον ἔλεγε, καθά φησιν Ἑκάτων ἐν ταῖς Χρείαις, εἰς κόρακας ἢ εἰς κόλακας ἐμπεσεῖν· οἱ μὲν γὰρ νεκρούς, οἱ δὲ ζῶντας ἐσθίουσιν.

5 Ἐρωτηθεὶς τί μακαριώτερον ἐν ἀνθρώποις, ἔφη· "Εὐτυχοῦντα ἀποθανεῖν." Γνωρίμου ποτὲ πρὸς αὐτὸν ἀποδυρομένου ὡς εἴη τὰ ὑπομνήματα ἀπολωλεκώς, "Ἔδει γάρ," ἔφη, "ἐν τῇ ψυχῇ αὐτὰ καὶ μὴ ἐν τοῖς χάρταις καταγρά-

1–3 ἀποθνῄσκεις : Fr. 178 G.; Arsen. *ib.* **3–5** εἰμι : Fr. 3 G. **5–7** ῥάβδῳ : Fr. 169 G.; Arsen. *ib.* **7–8** Fr. 169 G. **8** Ἰδὼν – **10** ἐδύνασο : Fr. 60 G. Cf. Athen. 13, 568 F; Cercidae Fr 2b v. 14 Diehl **10** Κρεῖττον – **13** Fr. 131 G.; Hecatonis Fr. 21 Gomoll; *Gnom. Vat.* 206 (Demosthenis); Stob. 3.14.17 **14–15** Fr. 177 G.; Arsen. *ib.* **15** Γνωρίμου – **17** Fr. 168 G.; Arsen. *ib.*

2 ἀγαθῶν ἐν ᾅδου **BPΦ** et Arsen. : ἐν ᾅδου ἀγαθῶν **F** **3** ἀποθνήσκης **B** **5** παλλιστικὸς **B** **6** ἀργυραία **B**P^1**Q** **7** ⟨οὐκ⟩ ἐκβάλλω Galesius ap. Casaubonum **8** οἱ **BΦ** : om. **PF** **9** ὡς **BPF** : ὦ P^2 in mg., *Frob.* alii | ποιλίκον **B** **10** ἐδύνασο **BPΦ** : ἴσχυες **F** **14** μακαριώτερον **BPFΦ** et Arsen. : μακαριώτατον Sternbach (ad *Gnom. Vat.* 21), Richards | post ἔφη addit τὸ Cobet **15** ἀποδυρομένου **FΦ** : ἀποδυραμένου **BP** et Arsen. **16** ἀπολωλεκὼς **BPΦ** et Arsen. : ἀπολέσας **F** | ἔδη **B** **17** post ψυχῇ rasura 2 litt. in **B** | τοῖς χάρταις **PΦ** : ταῖς χάρταις **B**, Arsen., *Frob.* : τοῖς χαρτίοις **F** | γράφειν **F**

φειν." Ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτως ἔλεγε τοὺς φθονεροὺς ὑπὸ τοῦ ἰδίου ἤθους κατεσθίεσθαι. Τοὺς βουλομένους ἀθανάτους εἶναι ἔφη δεῖν ζῆν εὐσεβῶς καὶ δικαίως. Τότ' ἔφη τὰς πόλεις ἀπόλλυσθαι, ὅταν μὴ δύνωνται τοὺς φαύλους ἀπὸ τῶν σπουδαίων διακρίνειν. Ἐπαινούμενός ποτε ὑπὸ πονηρῶν, ἔφη· "Ἀγωνιῶ μή τι κακὸν εἴργασμαι."

6 Ὁμονοούντων ἀδελφῶν συμβίωσιν παντὸς ἔφη τείχους ἰσχυροτέραν εἶναι. Τοιαῦτα ἔφη δεῖν ἐφόδια ποιεῖσθαι, ἃ καὶ ναυαγήσαντι συγκολυμβήσει. Ὀνειδιζόμενός ποτε ἐπὶ τῷ πονηροῖς συγγενέσθαι, "Καὶ οἱ ἰατροί," φησί, "μετὰ τῶν νοσούντων εἰσίν, ἀλλ' οὐ πυρέττουσιν." Ἄτοπον ἔφη τοῦ μὲν σίτου τὰς αἴρας ἐκλέγειν καὶ ἐν τῷ πολέμῳ τοὺς ἀχρείους, ἐν δὲ πολιτείᾳ τοὺς πονηροὺς μὴ παραιτεῖσθαι. Ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη· "Τὸ δύνασθαι ἑαυτῷ ὁμιλεῖν." Εἰπόντος αὐτῷ τινος παρὰ πότον, "Ἆισον," "Σὺ ⟨δέ⟩ μοι," φησίν, "αὔλησον." Διογένει χιτῶνα αἰτοῦντι πτύξαι προσέταξε

1 Ὥσπερ – **2** Fr. 129 G.; Arsen. *ib.* **2** Τοὺς – **4** δικαίως : Fr. 176 G.; Arsen. *ib.* **4–5** διακρίνειν : Fr. 71 G.; Arsen. *ib.* **6–7** εἴργασμαι : Fr. 88 G.; *Gnom. Vat.* 9. Cf. DL 6.8 **8–9** εἶναι : Fr. 108 G.; Arsen., p. 108 **9–10** Fr. 167 G.; Arsen. *ib.* **10** Ὀνειδιζόμενος – **12** *Gnom. Vat.* 37 **12** Ἄτοπον – **15** Fr. 73 G. **15** Ἐρωτηθεὶς – **16** ὁμιλεῖν : Fr. 100 G. Cf. Plut. *Praec. ger. reipubl.* 811 B **16** Εἰπόντος – **18** Fr. 101 G. **18** Διογένει – **p. 379.1** Diogenis Fr. 23 G.

3 ζῆν hic **BPΦ** et Arsen. : post v. 4 δικαίως **F** **5** δύνανται **F** **8** ἔφη παντὸς **F** **9** ἔφη om. et φησὶ post ποιεῖσθαι **F** **10** ναυαγήσαντα **F** **11** τὸ **B** | οἱ om. **F** **13** ἐν ss. **P**^{2} **14** ἀχρίους **B** | φθονεροὺς **P**, *Frob.* **15** περιεγένετο **F** **16** ἔφη in mg **P**^{2} | αὐτῶ **F** **17** αὐτῶ τινος **FΦ** : τινὸς αὐτῶ **BP** | πότον **PFΦ** : τόπον **B** | δέ add. Cobet **18** αὔλισον **F**^{1} (corr. **F**^{2})

θοἰμάτιον. Ἐρωτηθεὶς τί τῶν μαθημάτων ἀναγκαιότατον, 7 [τὸ περιαιρεῖν] ἔφη· "Τὸ ἀπομανθάνειν τὰ κακά." Παρεκελεύετό τε κακῶς ἀκούοντας καρτερεῖν μᾶλλον ἢ εἰ λίθοις τις βάλλοιτο.

Ἔσκωπτέ τε Πλάτωνα ὡς τετυφωμένον. Πομπῆς οὖν γινομένης ἵππον θεασάμενος φρυακτήν φησι πρὸς τὸν Πλάτωνα· "Δοκεῖς μοι καὶ σὺ ἵππος ἂν εἶναι λαμπρυντής·" τοῦτο δὲ εἶπεν ἐπεὶ [καὶ] συνεχὲς ὁ Πλάτων ἵππον ἐπῄνει. Καί ποτ' ἐλθὼν πρὸς αὐτὸν νοσοῦντα καὶ θεασάμενος λεκάνην ἔνθα ὁ Πλάτων ἐμημέκει, ἔφη· "Χολὴν μὲν ὁρῶ ἐνταῦθα, τῦφον δὲ οὐχ ὁρῶ."

Συνεβούλευεν Ἀθηναίοις τοὺς ὄνους ἵππους ψηφί- 8 σασθαι· ἄλογον δὲ ἡγουμένων, "Ἀλλὰ μὴν καὶ στρατηγοί," φησί, "γίνονταί ποθ' ὑμῖν μηδὲν μαθόντες, μόνον δὲ χειροτονηθέντες." Πρὸς τὸν εἰπόντα "Πολλοί σε ἐπαινοῦσι," "Τί γάρ," ἔφη, "κακὸν πεποίηκα;" Στρέψαντος αὐτοῦ τὸ διερρωγὸς τοῦ τρίβωνος εἰς τὸ προφανές, Σωκράτης

1 Ἐρωτηθεὶς – **2** τὰ κακά : Fr. 87 G.; Stob. 2.31.34; Arsen., p. 502 **2–4** Fr. 90 G. **5–11** οὐχ ὁρῶ : Fr. 27 G.; Arsen., p. 108 **12–15** Fr. 72 G. **15** Πρὸς – **16** πεποίηκα : Fr. 89 G. Cf. DL 6.5 **16– p. 380.1** τὴν φιλοδοξίαν : Fr. 15 G. Cf. DL 2.36; Ael. *V.H.* 9.35

1 ἀναγκαιότερον **F** **2** τὸ περιαιρεῖν **BP¹F**, del. **P²Q** | τὸ ἀπομανθάνειν **BP¹F** : τὸ κακὰ ἀπομαθεῖν **P²Q** | post ἀπομανθάνειν addit ss. τὰ κακὰ **F²** : τὸ ἀπομαθεῖν τὰ κακά Stob. **3** μᾶλλον om. **F** **5** ἔσκοπτε **B** | τε **F** : om. **BPΦ** et Arsen. | γοῦν **F** **6** γενομένης Arsen. **7** δοκεῖς Richards : ἐδόκεις **BPFΦ** et Arsen. **8** εἶπεν **Φ** et Arsen. : om. **BPF** | καὶ delevi | συνεχῶς **Φ** et Arsen. **10** ἐμεμέκει **F** **12** ψηφήσασθαι **B** **14** φησί om. et ἔφη post φαίνονται add. **F** | γίνονται **BPΦ** : φαίνονται **F** | ποθ' **Φ**, ποτ(ὲ) **B P¹** : παρ' **FP²Q** | ὑμῶν **P²Q** | μηθὲν μαθόντες παρ' ὑμῖν **F** **15** χειροτωνηθέντες **B** **16** ante στρέψαντος addit μὴ **P⁵** in mg γρ.

ἰδών φησιν· "Ὁρῶ σου διὰ τοῦ τρίβωνος τὴν φιλοδοξίαν." Ἐρωτηθεὶς ὑπό του, καθά φησι Φανίας ἐν τῷ Περὶ τῶν Σωκρατικῶν, τί ποιῶν καλὸς κἀγαθὸς ἔσοιτο, ἔφη· "Εἰ τὰ κακὰ ἃ ἔχεις ὅτι φευκτά ἐστι μάθοις παρὰ τῶν εἰδότων." Πρὸς τὸν ἐπαινοῦντα τρυφήν, "Ἐχθρῶν παῖδες," ἔφη, "τρυφήσειαν."

9 Πρὸς τὸ παρασχηματίζον αὐτὸ τῷ πλάστῃ μειράκιον, "Εἰπέ μοι," φησίν, "εἰ φωνὴν λάβοι ὁ χαλκός, ἐπὶ τίνι ἂν ⟨οἴει⟩ σεμνυνθῆναι;" Τοῦ δ' εἰπόντος "Ἐπὶ κάλλει," "Οὐκ αἰσχύνῃ οὖν," ἔφη, "τὰ ὅμοια γεγηθὼς ἀψύχῳ;" Ποντικοῦ νεανίσκου πολυωρήσειν αὐτὸν ἐπαγγελλομένου εἰ τὸ πλοῖον ἀφίκοιτο τῶν ταρίχων, λαβὼν αὐτὸν καὶ θύλακον κενὸν πρὸς ἀλφιτόπωλιν ἧκε καὶ σαξάμενος ἀπῄει· τῆς δὲ αἰτούσης τὸ διάφορον, "Ὁ νεανίσκος," ἔφη, "δώσει, ἐὰν τὸ πλοῖον αὐτοῦ τῶν ταρίχων ἀφίκηται."

Αὐτὸς δὲ καὶ Ἀνύτῳ τῆς φυγῆς αἴτιος γενέσθαι δοκεῖ
10 καὶ Μελήτῳ τοῦ θανάτου. Ποντικοῖς γὰρ νεανίσκοις κατὰ κλέος Σωκράτους ἀφιγμένοις περιτυχὼν ἀπήγαγεν αὐτοὺς πρὸς τὸν Ἄνυτον, εἰπὼν ἐν ἤθει σοφώτερον εἶναι τοῦ Σωκράτους· ἐφ' ᾧ διαγανακτήσαντας τοὺς περιεστῶτας

2 Ἐρωτηθεὶς – **5** τῶν εἰδότων : Fr. 171 G.; Phaniae Fr. 30 Wehrli; Arsen. *ib.* **5** Πρὸς – **6** Fr. 114 G. **7–10** ἀψύχῳ : Fr. 172 G.; Arsen. *ib.* **10–15** Fr. 172 G.; Arsen. *ib.* **16–p. 381.1** αὐτόν : Fr. 21 G.

2 ὑπό του P^{5} et Menagius : ὑπ' αὐτοῦ **BP^{1}QHF** | φανίας **BP** : φανίνας **F** **3** τῶν om. **F** | ἔφη ss. **F^{2}** **7** αὐτὸ Scaliger et Casaubon : αὐτοῦ **BPF** **9** οἴει add. Casaubon ex Ambrosio (*putas*) **11** αὐτὸν **BPFΦ** et Arsen. : αὐτοῦ **W** et Cobet **12 et 15** ταρείχων **B** **12** θήλακον **F** **13** κενὸν **B^{2}F** et Arsen. : καινὸν **P^{1}QB^{1}Φ** | ἀλφιτόπωλιν **BΦP^{5}** et Arsen. : ἀλφιτοπώλην **P^{1}QWHF** | ἀράμενος **F** **15** τῶν ταρίχων αὐτοῦ **F** | ἀφίκοιτο **F** **16** δὲ **F** : om. **BP** | γενέσθαι **BP** : εἶναι **F** **17** μελήτω **BP^{1}** : μελίτω **FP^{2}Q** **18** τοῦ σωκράτους **F** | αὐτοὺς om. **F** **19** τὸν om. **F** | εἰπὼν om. **F**

ἐκδιῶξαι αὐτόν. Εἰ δέ ποθι θεάσαιτο γύναιον κεκοσμημένον, ἀπῄει ἐπὶ τὴν οἰκίαν αὐτῆς καὶ ἐκέλευε τὸν ἄνδρα ἐξαγαγεῖν ἵππον καὶ ὅπλα, ὥστε εἰ μὲν ἔχοι ταῦτα, ἐᾶν τρυφᾶν· ἀμύνεσθαι γὰρ τούτοις· εἰ δὲ μή, περιαιρεῖν τὸν κόσμον.

Ἤρεσκεν αὐτῷ καὶ τάδε. Διδακτὴν ἀπεδείκνυε τὴν ἀρετήν. Καὶ τοὺς αὐτοὺς εὐγενεῖς οὓς καὶ ἐναρέτους· **11** αὐτάρκη δὲ τὴν ἀρετὴν πρὸς εὐδαιμονίαν, μηδενὸς προσδεομένην ὅτι μὴ Σωκρατικῆς ἰσχύος. Τήν τε ἀρετὴν τῶν ἔργων εἶναι, μήτε λόγων πλείστων δεομένην μήτε μαθημάτων. Αὐτάρκη τε εἶναι τὸν σοφόν· πάντα γὰρ αὐτοῦ εἶναι τὰ τῶν ἄλλων. Τήν τε ἀδοξίαν ἀγαθὸν καὶ ἴσον τῷ πόνῳ. Καὶ τὸν σοφὸν οὐ κατὰ τοὺς κειμένους νόμους πολιτεύσεσθαι, ἀλλὰ κατὰ τὸν τῆς ἀρετῆς. Γαμήσειν τε τεκνοποιΐας χάριν, ταῖς εὐφυεστάταις συνιόντα γυναιξί. Καὶ ἐρασθήσεσθαι δέ· μόνον γὰρ εἰδέναι τὸν σοφὸν τίνων χρὴ ἐρᾶν.

Ἀναγράφει δ' αὐτοῦ καὶ Διοκλῆς ταυτί. Τῷ σοφῷ ξένον **12** οὐδὲν οὐδ' ἄπο⟨ρον⟩. Ἀξιέραστος ὁ ἀγαθός· οἱ σπουδαῖοι φίλοι· συμμάχους ποιεῖσθαι τοὺς εὐψύχους ἅμα καὶ

1 Εἰ δέ ποθι – 5 Fr. 61 G. **6–14** τῆς ἀρετῆς et **18–p. 382.10** λογισμοῖς : Fr. 134 G.; Arsen., p. 108 s.; **φ** 7 **14–17** Fr. 58 G.; Arsen., p. 109

1 διώξαι **F** **2** αὐτῆς **P**^{2}**Q** et ss. **F**^{2} : om. **BP**^{1}**Φ** **3** ἔχειν **F** **4** ἀμύνεσθαι **BPFΦ** : ἀμυνεῖσθαι Richards, agn. Long **6** διδακτὴν **Fφ** et *Frob.* : διδακτικὴν **BP** et Arsen. **7** οὓς Richards : τοὺς **BPFΦ** et Arsen. **12** καὶ **BPFφ** et Arsen. : κατ' Croenert (p. 173) **14** πολιτεύσεσθαι : -σ-^{1} ss. **F**^{2} | τὸν **BPφ** et Arsen. : τοὺς **F** **15** τεκνοποιείας **B** | συνόντα **F** **17** χρὴ **BPF** et Arsen. : δεῖ **φ** **18** τῷ **Fφ** : τῷ γὰρ **BP** **19** οὐδ' **FP**^{4}**H** : om. **BP**^{1}**Qφ** | ἄπο⟨ρον⟩ Stephanus (*Praef.*, p. 14) : ἄπο **PF**, ἀπὸ **B** : om. **φ** : ἀπάξιον. Ἐραστὸς Roeper^1 | ἀξιεράστως **B**^{1} (corr. **B**^{2})

δικαίους· ἀναφαίρετον ὅπλον ἡ ἀρετή· κρεῖττόν ἐστι μετ' ὀλίγων ἀγαθῶν πρὸς ἅπαντας τοὺς κακοὺς ἢ μετὰ πολλῶν κακῶν πρὸς ὀλίγους ⟨ἀγαθοὺς⟩ μάχεσθαι. Προσέχειν τοῖς ἐχθροῖς· πρῶτοι γὰρ τῶν ἁμαρτημάτων αἰσθάνονται. Τὸν δίκαιον περὶ πλείονος ποιεῖσθαι τοῦ συγγενοῦς· ἀνδρὸς καὶ γυναικὸς ἡ αὐτὴ ἀρετή· τἀγαθὰ καλά, τὰ κακὰ αἰσχρά· τὰ πονηρὰ πάντα νόμιζε ξενικά.

13 Τεῖχος ἀσφαλέστατον φρόνησιν· μήτε γὰρ καταρρεῖν μήτε προδίδοσθαι. Τείχη κατασκευαστέον ἐν τοῖς αὑτῶν ἀναλώτοις λογισμοῖς. Διελέγετο δ' ἐν τῷ Κυνοσάργει γυμνασίῳ μικρὸν ἄπωθεν τῶν πυλῶν· ὅθεν τινὲς καὶ τὴν Κυνικὴν ἐντεῦθεν ὀνομασθῆναι· αὐτός τε ἐπεκαλεῖτο Ἁπλοκύων. Καὶ πρῶτος ἐδίπλωσε τὸν τρίβωνα, καθά φησι Διοκλῆς, καὶ μόνῳ αὐτῷ ἐχρῆτο· βάκτρον τε ἀνέλαβε καὶ πήραν. Πρῶτον δὲ καὶ Νεάνθης φησὶ διπλῶσαι θοἰμάτιον (Σωσικράτης δ' ἐν τρίτῃ Διαδοχῶν Διόδωρον τὸν Ἀσπένδιον) καὶ πώγωνα καθεῖναι καὶ βάκτρῳ καὶ πήρᾳ χρῆσθαι.

14 Τοῦτον μόνον ἐκ πάντων ⟨τῶν⟩ Σωκρατικῶν Θεόπομπος ἐπαινεῖ καί φησι δεινόν τε εἶναι καὶ δι' ὁμιλίας ἐμμελοῦς

10–p. 383.15 Fr. 22 G.; Eudociae *Violar.* 96 **15–18** Neanthis F 24 (*FGrHist* 84) **16–17** Sosicratis Fr. 19 (*FHG* IV, 503) **19–p. 383.1** Theopompi F 295 (*FGrHist* 115)

1 ἀναφέρετον **B** | ἡ **B** et Arsen. : om. **PFφ** **2** πάντας **F** **3** ἀγαθοὺς add. Scaliger **4** ἐχροῖς **B** **5** συγγενοῦς **PFφ** : εὐγενοῦς **B** et Arsen. **7** πάντα νόμιζε **BPφ** et Arsen. : νόμιζε πάντα **F** **8** φρόνησις **F** **9** προδίδωσθαι **F** | αὑτῶν **φ**, Arsen., Huebner : αὐτῶν **BPF** **11** μικρῶν **F** **13** Αὐτοκύων Reiske **15** πρῶτον *Frob.* : πρῶτος **BPF** | διπλῶσαι Salmasius (cf. 6.6 πτύξαι et Eudociam ἐδίπλωσε) : ἁπλῶσαι **BPF** **17** καὶ βάκτρῳ καὶ πήρᾳ **BP** et *Suda,* K 64 : καὶ πείρα καὶ βάκτρω **F** **18** χρήσασθαι *Suda* **19** μόνον ss. **P**[2] | τῶν Eudocia, Richards : om. **BPF** **20** ὁμιλείας **B**

ὑπαγαγέσθαι πάνθ' ὁντινοῦν. Δῆλον δ' ἐκ τῶν συγγραμμάτων κἀκ τοῦ Ξενοφῶντος Συμποσίου. Δοκεῖ δὲ καὶ τῆς ἀνδρωδεστάτης Στωϊκῆς κατάρξαι· ὅθεν καὶ Ἀθήναιος ὁ ἐπιγραμματοποιὸς περὶ αὐτῶν φησιν οὕτως·

Ὦ Στοϊκῶν μύθων εἰδήμονες, ὦ πανάριστα
δόγματα ταῖς ἱεραῖς ἐνθέμενοι σελίσιν,
τὰν ἀρετὰν ψυχᾶς ἀγαθὸν μόνον· ἅδε γὰρ ἀνδρῶν
μούνα καὶ βιοτὰν ῥύσατο καὶ πόλιας.
Σαρκὸς δ' ἡδυπάθημα, φίλον τέλος ἀνδράσιν ἄλλοις,
ἡ μία τῶν Μνήμης ἤνυσε θυγατέρων.

Οὗτος ἡγήσατο καὶ τῆς Διογένους ἀπαθείας καὶ τῆς 15
Κράτητος ἐγκρατείας καὶ τῆς Ζήνωνος καρτερίας, αὐτὸς ὑποθέμενος τῇ πόλει τὰ θεμέλια. Ὁ δὲ Ξενοφῶν ἥδιστον μὲν εἶναι περὶ τὰς ὁμιλίας φησὶν αὐτόν, ἐγκρατέστατον δὲ περὶ τἆλλα.

Φέρονται δ' αὐτοῦ συγγράμματα τόμοι δέκα· πρῶτος, ἐν ᾧ

Περὶ λέξεως ἢ περὶ χαρακτήρων,
Αἴας ἢ Αἴαντος λόγος,
Ὀδυσσεὺς ἢ [περὶ] Ὀδυσσέως ⟨λόγος⟩,

2 cf. Xenoph. *Sympos.* 4.61–64 **5–10** = 7.30. *Anth. Pal.* 9.496; *Plan.; Suppl. Hell.* 226 **18–p.386.26** Fr. 41 G. et *SSR* IV, 235–354; J. Humblé, *L'Ant. Class.* 3 (1934) 163–169

1 ὑπάγεσθαι **F** | πάνθ' **PF** et Eudocia : παρ' **B** **3** ὁ ss. **F**^{2} **5** Στοϊκῶν scripsi ex *Pal.* : στωϊκῶν **BPF** (hic et in 7.30), *Plan.* | πανάριστα **BP**^{2}**Q** et DL 7.30 : πανάριστοι **P**^{1}**F** et *Pal.*^{1} **6** σελίσι **B**^{2}**PF** **8** βιοτὰν **BPF** : βιότου *Pal.* | πόληας **F** : πόλιος *Pal.* **9** ἡδυπάθημα **BPF** et *Pal.*^{1} : ἀδυπάθημα Brunck **10** ἡ **BPF** et *Pal.* : ἁ Brunck | τῶν **BPF** : τῆς *Pal.* **11** ἀπαθίας **B** **13** πόλει **BPF** et Eudocia : πολιτείᾳ Reiske : σχολῇ C.D. Georgules (*Platon* 5 [1953] 172) : πραγματείᾳ Gigante | ἥδυστον **B** **14** τε **F** **20** περὶ del. et λόγος add. Casaubon

Ὀρέστου ἀπολογία,
Περὶ τῶν δικογράφων· Ἰσογράφη⟨ς⟩ καὶ Δεσίας [ἢ Ἰσοκράτης],
Πρὸς τὸν Ἰσοκράτους Ἀμάρτυρον.

Τόμος δεύτερος, ἐν ᾧ
Περὶ ζῴων φύσεως,
Περὶ παιδοποιΐας ἢ περὶ γάμου ἐρωτικός,
Περὶ τῶν σοφιστῶν φυσιογνωμονικός,
16 Περὶ δικαιοσύνης καὶ ἀνδρείας προτρεπτικὸς πρῶτος, δεύτερος, τρίτος,
Περὶ Θεόγνιδος ⟨α′ β′ γ′⟩ δ′ ε′.

Τόμος τρίτος, ἐν ᾧ
Περὶ ἀγαθοῦ,
Περὶ ἀνδρείας,
Περὶ νόμου ἢ περὶ πολιτείας,
Περὶ νόμου ἢ περὶ καλοῦ καὶ δικαίου,
Περὶ ἐλευθερίας καὶ δουλείας,
Περὶ πίστεως,
Περὶ ἐπιτρόπου ἢ περὶ τοῦ πείθεσθαι,
Περὶ νίκης οἰκονομικός.

Τόμος τέταρτος, ἐν ᾧ
Κῦρος,
Ἡρακλῆς ὁ μείζων ἢ περὶ ἰσχύος.

1 post ἀπολογία add. ἢ Kuehn **2** Ἰσογράφη⟨ς⟩ M. Pohlenz (*Hermes* 42 [1907] 157–159) : ἰσογραφὴ **BPF** | καὶ F. Decleva (*Antisth.* Fr. 1) : ἢ **PF** : ἡ **B** | δεσίας **BPF** : Λυσίας Wyttenbach **3** ἢ ἰσοκράτης secl. Pohlenz **5** ἐν ᾧ om. **F** **7** ἢ om. **F** | γάμου· ἐρωτικὸς ἢ (unus tit. cum v.8) **B** **8** σοφιστικῶν **F** | φυσιογνωμικός **F** **10** om. πρῶτος δεύτερος **F** **11** unus tit. cum vv. 9–10 Decleva | α′ β′ γ′ addidi | δ′ om. **F** **14** ἀνδρίας **P** **15** ἢ om. **F** **16** om. **F** **18** post πίστεως addit ἢ **B** (unus tit. cum v. 19) **19** περὶ[2] om. **F** | πίθεσθαι **B** **23** ἢ περὶ ἰσχύος om. **F**

Τόμος πέμπτος, ἐν ᾧ
Κῦρος ἢ περὶ βασιλείας,
Ἀσπασία.

Τόμος ἕκτος, ἐν ᾧ
Ἀλήθεια,
Περὶ τοῦ διαλέγεσθαι ἀντιλογικός,
Σάθων ⟨ἢ⟩ περὶ τοῦ ἀντιλέγειν α′ β′ γ′,
Περὶ διαλέκτου.

Τόμος ἕβδομος, ἐν ᾧ
Περὶ παιδείας ἢ περὶ ὀνομάτων α′ β′ γ′ δ′ ε′, **17**
Περὶ ὀνομάτων χρήσεως ἐριστικός,
Περὶ ἐρωτήσεως καὶ ἀποκρίσεως,
Περὶ δόξης καὶ ἐπιστήμης α′ β′ γ′ δ′,
Περὶ τοῦ ἀποθανεῖν,
Περὶ ζωῆς καὶ θανάτου,
Περὶ τῶν ἐν ᾅδου,
Περὶ φύσεως α′ β′,
Ἐρώτημα περὶ φύσεως α′, ἐρώτημα περὶ φύσεως β′,
Δόξαι [ἢ] ἐριστικός,
Περὶ τοῦ μανθάνειν προβλήματα.

Τόμος ὄγδοος, ἐν ᾧ
Περὶ μουσικῆς,
Περὶ ⟨τῶν Ὁμήρου⟩ ἐξηγητῶν,

5–6 unus tit. in **BP** : Ἀλήθεια ⟨ἢ⟩ unus tit. cum v. 6 R. Hirzel (*Dialog*, 1895, 119 n.) **7** ἢ add. Kuehn | ἀντιλέγειν **B P** : διαλέγειν **F** | α′ β′ om. **F** **10** α′ – δ′ om. **F** | post v. 10 repetunt vv. 14–15 **BPF**, secl. Menagius **11** post χρήσεως addunt ἢ **BP**, del. Cobet | ἐριστικός om. **F** **13** α′ – γ′ om. **F** **17** α′ β′ om. **F** **18–19** **BPD** et *Frob.* : Ἐρώτημα περὶ φύσεως β′ Huebner alii **18–20** om. **F** **20** ἢ del. F. Susemihl (1877) **24** τῶν Ὁμήρου addidi **24–p. 386.1** Περὶ Ὁμήρου [περὶ] ἐξηγητῶν (unus tit.) A.B. Krische (1840)

Περὶ Ὁμήρου,
Περὶ ἀδικίας καὶ ἀσεβείας,
Περὶ Κάλχαντος,
Περὶ κατασκόπου,
Περὶ ἡδονῆς.

Τόμος ἔνατος, ἐν ᾧ
Περὶ Ὀδυσσείας,
Περὶ τῆς ῥάβδου,
Ἀθηνᾶ ἢ περὶ Τηλεμάχου,
Περὶ Ἑλένης καὶ Πηνελόπης,
Περὶ Πρωτέως,
Κύκλωψ ἢ περὶ Ὀδυσσέως,
18 Περὶ οἴνου χρήσεως ἢ περὶ μέθης ἢ περὶ τοῦ Κύκλωπος,
Περὶ Κίρκης,
Περὶ Ἀμφιαράου,
Περὶ Ὀδυσσέως καὶ Πηνελόπης,
Περὶ τοῦ κυνός.

Τόμος δέκατος, ἐν ᾧ
Ἡρακλῆς καὶ Μίδας,
Ἡρακλῆς ἢ περὶ φρονήσεως καὶ ἰσχύος,
Κῦρος ἢ ἐρώμενος,
Κῦρος ἢ κατάσκοποι,
Μενέξενος ἢ περὶ τοῦ ἄρχειν,
Ἀλκιβιάδης,
Ἀρχέλαος ἢ περὶ βασιλείας.

9 om. **F** | ἡ **B** | τηλεμάχου **P** : τῆς cum spatio litt. 7–8 **B** **17** περὶ – πηνελόπης in mg **F**² | περὶ **F**,² Decleva : περὶ τοῦ **B P** **17–18** Πηνελόπης ⟨καὶ⟩ περὶ τοῦ κυνός (unus tit.) Cobet **20** καὶ Decleva : ἢ **PF** : ἢ μίδας om. **B** spatio litt. 6 relicto **21** om. **F** | καὶ Decleva : ἢ **BP** **22 et 23** κῦρος **F** : κύριος **BP** **22** Κύρνος A.W. Winkelmann (ad Plut. *Erot.* [1836], 97) **24** μὲν ἐξ ἑνὸς **B**

Καὶ ταῦτα μέν ἐστιν ἃ συνέγραψεν.

Ὧι Τίμων διὰ τὸ πλῆθος ἐπιτιμῶν "παντοφυῆ φλέδονά" φησιν αὐτόν. Ἐτελεύτησε δὲ ἀρρωστίᾳ· ὅτε καὶ Διογένης εἰσιὼν πρὸς αὐτὸν ἔφη· "Μήτι χρεία φίλου;" Καί ποτε παρ' αὐτὸν ξιφίδιον ἔχων εἰσῆλθε. Τοῦ δ' εἰπόντος· "Τίς ἂν ἀπολύσῃ με τῶν πόνων;" δείξας τὸ ξιφίδιον, ἔφη· "Τοῦτο"· | καὶ ὅς, "Τῶν πόνων," ἔφη, "εἶπον, οὐ τοῦ ζῆν." 19
Ἐδόκει γάρ πως μαλακώτερον φέρειν τὴν νόσον ὑπὸ φιλοζωΐας. Καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν οὕτως ἔχον·

Τὸν βίον ἦσθα κύων, Ἀντίσθενες. — "Ὧδε πεφυκὼς
ὥστε δακεῖν κραδίην ῥήμασιν, οὐ στόμασιν." —
Ἀλλ' ἔθανες φθισικός, τάχ' ἐρεῖ τις ἴσως· — "Τί δὲ τοῦτο;
Πάντως εἰς Ἀΐδην δεῖ τιν' ὁδηγὸν ἔχειν."

Γεγόνασι δὲ καὶ ἄλλοι Ἀντισθένεις τρεῖς· Ἡρακλείτειος εἷς, καὶ ἕτερος Ἐφέσιος, καὶ Ῥόδιός τις ἱστορικός.

Ἐπειδὴ δὲ τοὺς ἀπ' Ἀριστίππου διεληλύθαμεν καὶ Φαίδωνος, νῦν ἑλκύσωμεν τοὺς ἀπ' Ἀντισθένους Κυνικούς τε καὶ Στωϊκούς. Καὶ ἐχέτω ὧδε.

2 *PPF* Timon. B 37; *Suppl. Hell.* 811; Antisth. Fr. 41 G.; *Suda*, Φ 532 **3** Ἐτελεύτησε – **9** Fr. 37 G. = Diogenis Fr. 24 G. **9** Καὶ ἔστιν – **19** Fr. 38 G. **10–14** *Anth. Pal.* 7.115; φ 7 **15** 66 A 1 DK **16** *FGrHist* 508 T 2

2 ὧ **P^{1}Q** : ὁ **BFP^{4}H** | post τίμων add. δὲ **FP^{4}H** | post τὸ πλῆθος repetunt ὁ τίμων **BP^1** (expunxit **P^2**) | post ἐπιτιμῶν add. αὐτῷ **FP^{4}H** et **Φ** **5** εἰσῆλθε **BPΦ** : εἰσήει **F** **6** ἀπολύσῃ **BPFΦ** : ἀπολύσειε Cobet **7** ἔφη εἶπον **Φ** : εἶπον **BP** : εἶπεν **F** **9** ἔχον οὕτως **F** **10** κύον *Pal.*^{1} **11** κραδείην **F** **12** φθισικῶς **B^1** (corr. **B^2**) **14** δεῖν **F** : δῆι **P^1** (corr. **P^{2}Q**) | ἔχει *Pal.*^{1} **15** τρεῖς om. **F** | ἡρακλείτιος **F** **16** εἷς **P** : οἷς **B** : om. **F** | ἕτερος om. **F** **18** νῦν ss. **F^2**

ΔΙΟΓΕΝΗΣ

20 Διογένης Ἱκεσίου τραπεζίτου Σινωπεύς. Φησὶ δὲ Διοκλῆς, δημοσίαν αὐτοῦ τὴν τράπεζαν ἔχοντος τοῦ πατρὸς καὶ παραχαράξαντος τὸ νόμισμα, φυγεῖν. Εὐβουλίδης δὲ ἐν τῷ Περὶ Διογένους αὐτὸν Διογένη φησὶ τοῦτο πρᾶξαι καὶ συναλᾶσθαι τῷ πατρί. Οὐ μὴν ἀλλὰ καὶ αὐτὸς περὶ αὑτοῦ φησιν ἐν τῷ Παρδάλῳ ὡς παραχαράξαι τὸ νόμισμα. Ἔνιοι δὲ ἐπιμελητὴν γενόμενον ἀναπεισθῆναι ὑπὸ τῶν τεχνιτῶν καὶ ἐλθόντα εἰς Δελφοὺς ἢ εἰς τὸ Δήλιον ἐν τῇ πατρίδι Ἀπόλλωνος πυνθάνεσθαι εἰ ταῦτα πράξει ἅπερ ἀναπείθεται· τοῦ δὲ συγχωρήσαντος τὸ πολιτικὸν νόμισμα, οὐ συνείς, τὸ κέρμα ἐκιβδήλευσε καὶ φωραθείς, ὡς μέν τινες, ἐφυγαδεύθη, ὡς δέ τινες, ἑκὼν ὑπεξῆλθε φο-
21 βηθείς. Ἔνιοι δέ φασι παρὰ τοῦ πατρὸς αὐτὸν λαβόντα τὸ νόμισμα διαφθεῖραι· καὶ τὸν μὲν δεθέντα ἀποθανεῖν, τὸν δὲ φυγεῖν ἐλθεῖν τε εἰς Δελφοὺς οὐ πυνθανόμενον εἰ παραχαράξει, ἀλλὰ τί ποιήσας ἐνδοξότατος ἔσται, καὶ οὕτω λαβεῖν τὸν χρησμὸν τοῦτον.

Γενόμενος δὲ Ἀθήνησιν Ἀντισθένει παρέβαλε. Τοῦ

2–18 Diogenis Fr. 2 Giannantoni (*SSR* V B) **4** παραχαράξαντος τὸ νόμισμα : cf. 6.56 et I. Bywater et J.G. Milne, *C.R.* 44 (1940) 10–12; G. Donzelli, *Sicul. Gymn.* 11 (1958) 96–107; P. Von der Muehll, *Mus. Helv.* 23 (1966) 236–239 **19–p. 389.6** Fr. 19 G.; Arsen., p. 198 W. Cf. Ael. *V.H.* 10.16

1 *tit.* **P** : om. **BF** **2** συνωπεύς **F** **3–4** τοῦ πατρὸς αὐτοῦ τὸ νόμισμα παραχαράξαντος ἔφυγε μετ' αὐτοῦ **Φ** **5** διογένη φησὶ **BP** : φησὶ διογένην **F** | τοῦτο om. **F** **7** αὑτοῦ **F** : αὐτοῦ **BP** | ἐν πορδάλω in mg $\mathbf{F}^2$ | Παρδάλῳ scripsi (cf. 6.80 bis) : πορδάλω $\mathbf{BPF}^2$: Πορδάλει Menagius **8** ἀναπισθῆναι **B** **9** δήλιον $\mathbf{FP}^4$ (in mg) **H** : om. $\mathbf{BP}^1\mathbf{Q}$ **12** ἐκιβδήλευσε Cobet : κιβδηλεύσας **BPF** | φοραθεὶς **B** **16** οὐ πυνθανόμενον **BPF** : ⟨καὶ⟩ πυνθανόμενον οὐκ *Frob.* omnes **17** παραχαράξει **F** : παραχαράξαι $\mathbf{B}^2\mathbf{P}$ et *Frob.* : παραχαράξῃ $\mathbf{B}^1$ ut. vid. | καὶ **BPF** : om. *Frob.* omnes **19** ἀντισθένη **B**

δὲ διωθουμένου διὰ τὸ μηδένα προσίεσθαι, ἐξεβιάζετο τῇ
προσεδρίᾳ. Καί ποτε τὴν βακτηρίαν ἐπανατειναμένου
αὐτῷ τὴν κεφαλὴν ὑποσχών, "Παῖε," εἶπεν· "οὐ γὰρ εὑρή-
σεις οὕτω σκληρὸν ξύλον ᾧ με ἀπείρξεις ἕως ἄν τι φαίνῃ
λέγων." Τοὐντεῦθεν διήκουσεν αὐτοῦ καὶ ἅτε φυγὰς ὢν
ὥρμησεν ἐπὶ τὸν εὐτελῆ βίον.

Μῦν θεασάμενος διατρέχοντα, καθά φησι Θεόφρασ- 22
τος ἐν τῷ Μεγαρικῷ, καὶ μήτε κοίτην ἐπιζητοῦντα μήτε
κόπον εὐλαβούμενον ἢ ποθοῦντά τι τῶν δοκούντων
ἀπολαυστῶν, πόρον ἐξεῦρε τῆς περιστάσεως. Τρίβωνα
διπλώσας πρῶτος κατά τινας διὰ τὸ ἀνάγκην ἔχειν καὶ
ἐνεύδειν αὐτῷ, πήραν τε ἐκομίσατο, ἔνθα αὐτῷ τὰ σιτία
ἦν, καὶ παντὶ τόπῳ ἐχρῆτο εἰς πάντα, ἀριστῶν τε καὶ
καθεύδων καὶ διαλεγόμενος. Ὅτε καὶ τοὺς Ἀθηναίους
ἔφασκε, δεικνὺς τὴν τοῦ Διὸς στοὰν καὶ τὸ Πομπεῖον,
αὐτῷ κατεσκευακέναι ἐνδιαιτᾶσθαι. Βακτηρίᾳ δὲ ἐπηρ- 23
είσατο ἀσθενήσας· ἔπειτα μέντοι καὶ διὰ παντὸς ἐφόρει,
οὐ μὴν ἐν ἄστει, ἀλλὰ καθ' ὁδὸν αὐτῇ τε καὶ τῇ πήρᾳ,
καθά φησιν Ὀλυμπιόδωρος ὁ Ἀθηναίων προστατήσας
καὶ Πολύευκτος ὁ ῥήτωρ καὶ Λυσανίας ὁ Αἰσχρίωνος.
Ἐπιστείλας δέ τινι οἰκίδιον αὐτῷ προνοήσασθαι, καὶ
⟨αὐτοῦ⟩ βραδύνοντος, τὸν ἐν τῷ Μητρῴῳ πίθον ἔσχεν οἰ-
κίαν, ὡς καὶ αὐτὸς ἐν ταῖς ἐπιστολαῖς διασαφεῖ. Καὶ θέ-
ρους μὲν ἐπὶ ψάμμου ζεστῆς ἐκυλινδεῖτο, χειμῶνος δὲ ἀν-

7–10 Fr. 172 G.; Eudociae *Viol.* 332 (p. 240. 9–12 Flach). Cf. Ael. *V.H.* 13.26 **10** Τρίβωνα – **p. 390.2** Fr. 174 G. **10–23** διασαφεῖ : Eudocia, p. 240.12–22

1 προσειέσθαι **B** **6** εὐτελεῖ **F** **9** κόπον scripsi : σκότον **BPF** et Eudocia **10** post πόρον addunt τ(ε) **BPF**, del. *Frob.* **12** πεῖραν **F** **15** τὸ del. **P**^{4}**H** | πομπῖον **B** **16** post δὲ addit πρῶτον Richards | ἐπηρείσατο (**B**)**P** et Eudocia : ἐπεστηρίξετο **F** **17** ἔφερεν Eudocia **19** ἀθηνόδωρος **F** **20** δυσανίας **B** **21–22** καὶ ⟨αὐτοῦ⟩ scripsi : καὶ **BP** et Eudocia : om. **F** **22** κατέσχεν **F**^{1} (corr. **F**^{2}) **23** καὶ αὐτὸς om. **F** **24** ἐκυλινδοῦτο **B**

δριάντας κεχιονισμένους περιελάμβανε, πανταχόθεν ἑαυτὸν συνασκῶν.

24 Δεινός τε ἦν κατασοβαρεύσασθαι τῶν ἄλλων. Καὶ τὴν μὲν Εὐκλείδου σχολὴν ἔλεγε χολήν, τὴν δὲ Πλάτωνος διατριβὴν κατατριβήν, τοὺς δὲ Διονυσιακοὺς ἀγῶνας μεγάλα θαύματα μωροῖς ἔλεγε καὶ τοὺς δημαγωγοὺς ὄχλου διακόνους. Ἔλεγε δὲ καὶ ὡς ὅταν μὲν ἴδῃ κυβερνήτας ἐν τῷ βίῳ καὶ ἰατροὺς καὶ φιλοσόφους, συνετώτατον τῶν ζῴων εἶναι νομίζειν τὸν ἄνθρωπον· ὅταν δὲ πάλιν ὀνειροκρίτας καὶ μάντεις καὶ τοὺς προσέχοντας τούτοις ἢ τοὺς ἐπὶ δόξῃ καὶ πλούτῳ πεφυσημένους, οὐδὲν ματαιότερον νομίζειν ἀνθρώπου. Συνεχές τε ἔλεγεν εἰς τὸν βίον παρεσκευάσθαι δεῖν λόγον ἢ βρόχον.

25 Καί ποτε Πλάτωνα ἐν δείπνῳ πολυτελεῖ κατανοήσας ἐλάας ἁψάμενον, "Τί," φησίν, "ὁ σοφὸς εἰς Σικελίαν πλεύσας τῶν τραπεζῶν τούτων χάριν, νῦν παρακειμένων οὐκ ἀπολαύεις;" Καὶ ὅς, "Ἀλλὰ νὴ τοὺς θεούς," φησί, "Διόγενες, κἀκεῖ τὰ πολλὰ πρὸς ἐλάας καὶ τὰ τοιαῦτα ἐγινόμην." Ὁ δέ· "Τί οὖν ἔδει πλεῖν εἰς Συρακούσας; Ἢ τότε ἡ Ἀττικὴ οὐκ ἔφερεν ἐλάας;" Φαβωρῖνος δέ φησιν ἐν Παντοδαπῇ ἱστορίᾳ Ἀρίστιππον εἰπεῖν τοῦτο. Καὶ ἄλλοτε

3–7 διακόνους : Fr. 487 G.; Eudocia, p. 242.6–8 **6–7** cf. 6.41 **7** Ἔλεγε δὲ – **12** ἀνθρώπου : Fr. 375 G. **12–13** Fr. 303 G. Cf. *Gnom. Vat.* 386 **14–p. 391.15** Fr. 55 G.; Eudocia, pp. 242.8–243.3 **20–21** Favorini Fr. 39 Mensching; Aristippi Fr. 43 G.

8 καὶ[1] **BPΦ** : ἢ **F** **8–9** τῶν ζώων εἶναι **BP** : εἶναι τῶν ζώων **F** : τῶν ζώων **Φ** **9** νομίζειν **Φ**, Cobet : om. **BP F** | πάλιν om. **F** **11** καὶ πλούτῳ om. **F** **12** συνεχές τε Cobet : συνεχῶς **Φ** : συνεχέστερον **B**[2] : συνεχέστερον νομίζειν **B**[1]**PF** **15** ἐλάας **BP** : ἐλαίας **FΦ** : ἐλαῶν Eudoc. | ἁψάμενον **PF** et Eudoc. : ὀψώμενον **BΦ** **17** ἀλλὰ om. **F** | φησὶ **BPΦ** : ἔφη **F** **19** ἐγενόμην Eudoc. **20** φαβορεῖνος **B** **20–21** ἐν Παντοδαπῇ ἱστορίᾳ om. **F**

ἰσχάδας ἐσθίων ἀπήντετο αὐτῷ φησί τε· "Ἔξεστί σοι μετασχεῖν"· τοῦ δὲ λαβόντος καὶ φαγόντος, ἔφη· "Μετασχεῖν εἶπον, οὐ καταφαγεῖν."

Πατῶν αὐτοῦ ποτε στρώματα κεκληκότος φίλους παρὰ **26**
Διονυσίου, ἔφη· "Πατῶ τὴν Πλάτωνος κενοσπουδίαν"· πρὸς ὃν ὁ Πλάτων, "Ὅσον, ὦ Διόγενες, τοῦ τύφου διαφαίνεις, δοκῶν μὴ τετυφῶσθαι." Οἱ δέ φασι τὸν Διογένην εἰπεῖν· "Πατῶ τὸν Πλάτωνος τῦφον"· τὸν δὲ φάναι· "Ἑτέρῳ γε τύφῳ, Διόγενες"· Σωτίων δὲ ἐν τῷ τετάρτῳ φησὶ πρὸς αὐτὸν τοῦτο εἰπεῖν τὸν Πλάτωνα [τὸν Κύνα]. Διογένης οἶνόν ποτε ᾔτησεν αὐτόν, τότε δὲ καὶ ἰσχάδας. Ὁ δὲ κεράμιον ὅλον ἔπεμψεν αὐτῷ· καὶ ὅς, "Σύ," φησίν, "κἂν ἐρωτηθῇς δύο καὶ δύο πόσα ἐστίν, Εἴκοσιν ἀποκρινῇ; Οὕτως οὔτε πρὸς τὰ αἰτούμενα δίδως, οὔτε πρὸς τὰ ἐρωτώμενα ἀποκρίνῃ." Ἔσκωψε δὴ ὡς ἀπεραντολόγον.

Ἐρωτηθεὶς ποῦ τῆς Ἑλλάδος ἴδοι ἀγαθοὺς ἄνδρας, **27**
"Ἄνδρας μέν," εἶπεν, "οὐδαμοῦ, παῖδας δὲ ἐν Λακεδαίμονι." Σπουδαιολογουμένῳ ποτὲ ὡς οὐδεὶς προσῄει, ἐπέβαλε τερετίζειν· ἀθροισθέντων δέ, ὠνείδισεν ὡς ἐπὶ μὲν τοὺς φληνάφους ἀφικνουμένων σπουδαίως, ἐπὶ δὲ τὰ

4–5 Arsen., p. 198.11–12 **4–10** Sotionis Fr. 15 Wehrli **10–13** cf. Stob. 3.36.21 **16–17** Fr. 280 G.; Arsen., p. 198 **18** Σπουδαιολογουμένῳ – **p. 392.1** Fr. 314 G.; Arsen., p. 198 s.

2 ἔφη om. **F** **4** τὰ στρώματα **Φ** **5** καινωσπουδείαν $\mathbf{B}^1$, καινοσπουδίαν $\mathbf{P}^1$ **9** γε **ΒΡΦ** et Arsen. : δὲ Eudoc. : om. **F** **10** τὸν κύνα del. C. von Fritz (*Philol. Suppl.* 18.2, [1926] 14) | διογένης $\mathbf{FP}^4\mathbf{H}$ et Eudoc. : διόγενες $\mathbf{BP}^1$ **11** οἶνον ποτὲ $\mathbf{FP}^4\mathbf{H}$ et Eudoc. : συμποεῖς **B**, συνπόοις $\mathbf{P}^1\mathbf{Q}$: om. **Φ** et Arsen. | αὐτὸν $\mathbf{F}^1$, αὐτῷ $\mathbf{F}^2$ | τότε δὲ καὶ $\mathbf{FP}^4$ et Eudoc. : τότε δέκα $\mathbf{BP}^1$: δέκα **Φ** et Arsen. **12** ἐξέπεμψεν **B** et Arsen. | κἂν **BPFΦ** et Arsen. : ἐὰν *Frob.* et Eudoc. **13** ἐρωτηθεὶς **B** | ἀποκρίνει **B** **14** πρὸς bis del. Croenert (p. 178) **15** ἔσκοψε **B** | δὲ **F** **18** σπουδαιολογῶν **F** | ὡς $\mathbf{FP}^4\mathbf{H\Phi}$: ἐπεὶ Arsen. : om. $\mathbf{BP}^1$ **20** φλυνάφους **B**

σπουδαῖα βραδυνόντων ὀλιγώρως. Ἔλεγέ τε περὶ μὲν τοῦ παρορύττειν καὶ λακτίζειν ἀγωνίζεσθαι τοὺς ἀνθρώπους, περὶ δὲ καλοκἀγαθίας μηδένα.

Τούς τε γραμματικοὺς ἐθαύμαζε τὰ μὲν τοῦ Ὀδυσσέως κακὰ ἀναζητοῦντας, τὰ δὲ ἴδια ἀγνοοῦντας. Καὶ μὴν καὶ τοὺς μουσικοὺς τὰς μὲν ἐν τῇ λύρᾳ χορδὰς ἁρ-
28 μόττεσθαι, ἀνάρμοστα δὲ ἔχειν τῆς ψυχῆς τὰ ἤθη· τοὺς μαθηματικοὺς ἀποβλέπειν μὲν πρὸς τὸν ἥλιον καὶ τὴν σελήνην, τὰ δ' ἐν ποσὶ πράγματα παρορᾶν· τοὺς ῥήτορας τὰ δίκαια μὲν ἐσπουδακέναι λέγειν, πράττειν δὲ μηδαμῶς· ἀλλὰ μὴν καὶ τοὺς φιλαργύρους ψέγειν μὲν τὸ ἀργύριον, ὑπεραγαπᾶν δέ. Κατεγίνωσκε δὲ καὶ τῶν ἐπαινούντων μὲν τοὺς δικαίους, ὅτι χρημάτων ἐπάνω εἶεν, ζηλούντων δὲ τοὺς πολυχρηματίας. Ἐκίνει δ' αὐτὸν καὶ τὸ θύειν μὲν τοῖς θεοῖς ὑπὲρ ὑγιείας, ἐν αὐτῇ δὲ τῇ θυσίᾳ κατὰ τῆς ὑγιείας δειπνεῖν. Ἄγασθαι δὲ καὶ τῶν δούλων, οἳ λαβροφαγοῦντας ὁρῶντες τοὺς δεσπότας μηδὲν ἁρπά-
29 ζοιεν τῶν ἐσθιομένων. Ἐπῄνει τοὺς μέλλοντας γαμεῖν καὶ μὴ γαμεῖν, καὶ τοὺς μέλλοντας καταπλεῖν καὶ μὴ κατα-

1 Ἔλεγε τε – **3** μηδένα : Fr. 450 G. Cf. Stob. 3.4.111 **1–2** τοῦ παρορύττειν : cf. Epict. 3.15.4 **4–9** παρορᾶν : Fr. 374 G.; Arsen., p. 199 **5–7** cf. 6.65 **7** τοὺς μαθηματικοὺς – **9** παρορᾶν : cf. *Gnom. Vat.* 349 **9** τοὺς ῥήτορας – **12** ὑπεραγαπᾶν δέ : Fr. 504 G.; Arsen. *ib.* **12–14** Fr. 237 G. **14** Ἐκίνει – **16** δειπνεῖν : Fr. 345 G.; Stob. 3.6.35 **16** Ἄγασθαι – **18** Fr. 444 G.; Arsen. *ib.* **18** Ἐπῄνει – **p. 393.4** Fr. 297 G.

1 ὀλιγώρως om. **F**, del. Cobet | μὲν ante v. 2 καὶ **F** **7** ἤθη $\mathbf{F}^2$ (ἔθη $\mathbf{F}^1$) | καὶ τοὺς Arsen. **8** μαθητικοὺς **BP** **9** καὶ τοὺς Arsen. **10** οὐδαμῶς **P** **11** φυλαργύρους **B** **14** πολυχρηματίας **PΦ**, πολυχρηματείας **B** : πολυχρημάτους **F** | αὐτοὺς **F** **15** ὑγιείας **B** : ὑγείας **PFΦ** **16** δειπνεῖν $\mathbf{FP}^4$ **H** : δειπνούντων $\mathbf{BP}^1\mathbf{Q}\Phi$ | ἤγατο Arsen. **17** λαυροφαγοῦντας **F** | ἁρπάζειεν **F** **19** μὴ καταπλεῖν $\mathbf{FP}^4\mathbf{H}$: μὴ πλεῖν $\mathbf{BP}^1\mathbf{Q}$

πλεῖν, καὶ τοὺς μέλλοντας πολιτεύεσθαι καὶ μὴ πολιτεύ-
εσθαι, καὶ τοὺς παιδοτροφεῖν καὶ μὴ παιδοτροφεῖν, καὶ
τοὺς παρασκευαζομένους συμβιοῦν τοῖς δυνάσταις καὶ
μὴ προσιόντας. Ἔλεγε δὲ καὶ δεῖν τὰς χεῖρας ἐπὶ τοὺς
φίλους ἐκτείνειν μὴ συγκεκαμμένοις τοῖς δακτύλοις.

Φησὶ δὲ Μένιππος ἐν τῇ Διογένους πράσει ὡς ἁλοὺς
καὶ πωλούμενος ἠρωτήθη τί οἶδε ποιεῖν. Ἀπεκρίνατο·
"Ἀνδρῶν ἄρχειν"· καὶ πρὸς τὸν κήρυκα, "Κήρυσσε," ἔφη,
"εἴ τις ἐθέλει δεσπότην αὑτῷ πρίασθαι." Κωλυθεὶς καθί-
ζεσθαι, "Οὐδέν," ἔφη, "διαφέρει· καὶ γὰρ τοὺς ἰχθῦς ὅπως
ἂν κέοιντο πιπράσκεσθαι." Θαυμάζειν τε ἔφη εἰ χύτραν 30
μὲν καὶ λοπάδα ὠνούμενοι κομποῦμεν· ἄνθρωπον δὲ μόνῃ
τῇ ὄψει ἀρκεῖσθαι. Ἔλεγε τῷ Ξενιάδῃ τῷ πριαμένῳ αὐ-
τὸν δεῖν πείθεσθαι αὑτῷ, εἰ καὶ δοῦλος εἴη· καὶ γὰρ
ἰατρὸς ἢ κυβερνήτης εἰ δοῦλος εἴη, πεισθῆναι ἂν αὐτῷ.
Εὐβουλίδης δέ φησιν ἐν τῷ ἐπιγραφομένῳ Διογένους
πρᾶσις οὕτως ἄγειν ⟨αὐτὸν⟩ τοὺς παῖδας τοῦ Ξενιάδου·
μετὰ τὰ λοιπὰ μαθήματα ἱππεύειν, τοξεύειν, σφενδονᾶν,
ἀκοντίζειν· ἔπειτα ἐν τῇ παλαίστρᾳ οὐκ ἐπέτρεπε τῷ παι-

4–5 Fr. 277 G. **6** Φησὶ δὲ – **p. 394.11** εἶχον : Fr. 70 G.; Arsen., pp. 199.14–200.5 **8** Ἀνδρῶν ἄρχειν : cf. 6.74; Stob. 3.3.52 **8–9** cf. Plut. *An vitiositas ad infelic. sufficiat* 499 B **9** Κωλυθεὶς – **11** cf. Plut. *De tranq. an.* 466 E **11–13** cf. Eustath. ad *Il.* 12.149 **13–15** cf. 6.36

1 τοὺς ss. **P**^{2} **6** δὲ om. **B** **8** ἀνθρώπων ἄρχειν Stob. et DL 6.74 **9** θέλει **F** | αὐτῷ **P**^{2}**Q**, ἑαυτῷ **Φ** : αὑτῷ **BP**^{1}**F** | καθέζεσθαι **Φ** **10** ἰχθεὶς **B** **11** καίοιντο **B** | πιπράσκεσθαι in mg **F**^{2} **13** ἀρκεῖσθαι **BPF** : ἀρκούμεθα **Φ**, Cobet **14** εἴη **BP** : εἴη αὐτῷ **F** : ἐστι **Φ** **15** εἰ **BPΦ** : ἢ **F** | εἴη **BPF** : ἦν **Φ**, Cobet | πισθῆναι **B** **16** Εὐβουλίδης Menagius (ex 6.20) : εὔβουλος **BPF** et Arsen. **17** πράσεις **B** et Arsen. | αὐτὸν addidi | τοῦ **P** et Arsen. : τοὺς **BF** **18** τὰ λοιπὰ **BP** et Arsen. : ἄλλα **F** **19** παλέστρα **B**

δοτρίβῃ ἀθλητικῶς ἄγειν, ἀλλ' αὐτὸ ⟨μόνον τὸ⟩ ἐρυθήματος χάριν καὶ εὐεξίας.

Κατεῖχον δ' οἱ παῖδες πολλὰ ποιητῶν καὶ συγγραφέων
31 καὶ τῶν αὐτοῦ Διογένους, | πᾶσάν τε ἔφοδον σύντομον πρὸς τὸ εὐμνημόνευτον ἐπήσκει. Ἐν οἴκῳ τε ἐδίδασκε διακονεῖσθαι λιτῇ τροφῇ χρωμένους καὶ ὕδωρ πίνοντας, ἐν χρῷ κουρίας τε καὶ ἀκαλλωπίστους εἰργάζετο καὶ ἀχίτωνας καὶ ἀνυποδήτους καὶ σιωπηλούς, καθ' αὐτοὺς βλέποντας ἐν ταῖς ὁδοῖς. Ἐξῆγε δ' αὐτοὺς καὶ ἐπὶ κυνηγέσια. Οἱ δὲ καὶ αὐτοῦ Διογένους ἐπιμέλειαν ἐποιοῦντο καὶ πρὸς τοὺς γονέας αἰτητικῶς εἶχον. Ὁ δ' αὐτός φησι παρὰ τῷ Ξενιάδῃ καὶ γηρᾶσαι αὐτὸν καὶ θανόντα ταφῆναι πρὸς τῶν υἱῶν αὐτοῦ. Ἔνθα καὶ πυνθανομένου τοῦ Ξενιάδου πῶς αὐτὸν θάψειεν, ἔφη· "Ἐπὶ πρόσωπον"· |
32 τοῦ δ' ἐρομένου "Διὰ τί;" "Ὅτι μετ' ὀλίγον," εἶπε, "μέλλει τὰ κάτω ἀναστρέφεσθαι." Τοῦτο δὲ διὰ τὸ ἐπικρατεῖν ἤδη τοὺς Μακεδόνας καὶ ἐκ ταπεινῶν ὑψηλοὺς γίνεσθαι.

Εἰσαγαγόντος τινὸς αὐτὸν εἰς οἶκον πολυτελῆ καὶ κωλύοντος πτύσαι, ἐπειδὴ ἐχρέμψατο, εἰς τὴν ὄψιν αὐτοῦ ἔπτυσεν, εἰπὼν χείρονα τόπον μὴ εὑρηκέναι (οἱ δὲ τοῦτο Ἀριστίππου φασί). Φωνήσας ποτέ· "Ἰὼ ἄνθρωποι," συνελθόντων, καθίκετο τῇ βακτηρίᾳ, εἰπών· "Ἀνθρώπους ἐκάλεσα, οὐ καθάρματα," ὥς φησιν Ἑκάτων ἐν τῷ πρώτῳ

11 Ὁ δ' αὐτὸς – **17** γίνεσθαι : Fr. 102 G.; Eudoc. 332, pp. 245.17–246.11; Arsen., p. 200 **18–21** Fr. 236 G.; Eudoc., p. 244.24–27; Arsen. *ib.* Cf. 2.75; Galeni *Protr.* 8 **21** Φωνήσας – **p. 395.1** Fr. 278 G.; Arsen. *ib.*; Hecatonis Fr. 22 Gomoll

1 αὐτὸ **B**[1]**PF** : αὐτῶ **B**[2], αὐτῷ Arsen. : αὐτὸς *Ambros.*, Huebner | μόνον add. Cobet et τὸ addidi **4** αὐτοῦ **BP** et Arsen. : τοῦ **F** **8** καὶ καθ' ἑαυτοὺς Arsen., Cobet **11** ετιτικως **B** **13** τὸν υἱὸν **B** | πυθομένου **Φ** **14** θάψει **Φ** **15** ἐρωμένου **B** **17** καὶ Richards : ἢ **BPFΦ** | γενέσθαι Arsen. **18** πολυτελεῖ **F** **20** χείρονα **BPFΦ** : ἐπιτηδειότερον **F** | τοῦτο **BP** et Arsen. : τὰ **F** **23** ὥς **D** : om. **BPF** et Arsen. | κάτων Arsen.

τῶν Χρειῶν. Φασὶ δὲ καὶ Ἀλέξανδρον εἰπεῖν ὡς εἴπερ Ἀλέξανδρος μὴ ἐγεγόνει, ἐθελῆσαι ἂν Διογένης γενέσθαι.

Ἀναπήρους ἔλεγεν οὐ τοὺς κωφοὺς καὶ τυφλούς, ἀλλὰ **33**
τοὺς μὴ ἔχοντας πήραν. Εἰσελθών ποτε ἡμιξύρητος εἰς νέων συμπόσιον, καθά φησι Μητροκλῆς ἐν ταῖς Χρείαις, πληγὰς ἔλαβε· μετὰ δὲ ἐγγράψας εἰς λεύκωμα τὰ ὀνόματα τῶν πληξάντων περιῄει ἐξημμένος, ἕως αὐτοὺς ὕβρει περιέθηκε καταγινωσκομένους καὶ ἐπιπληττομένους. Ἔλεγεν ἑαυτὸν κύνα εἶναι τῶν ἐπαινουμένων, ἀλλὰ μηδένα τολμᾶν τῶν ἐπαινούντων συνεξιέναι ἐπὶ τὴν θήραν. Πρὸς τὸν εἰπόντα· "Πύθια νικῶ ἄνδρας," "Ἐγὼ μὲν οὖν," εἶπεν, "ἄνδρας, σὺ δὲ ἀνδράποδα."

Πρὸς τοὺς εἰπόντας· "Γέρων εἶ καὶ λοιπὸν ἄνες," "Τί **34**
δέ," ἔφη, "εἰ δόλιχον ἔτρεχον, πρὸς τῷ τέλει ἔδει με ἀνεῖναι καὶ μὴ μᾶλλον ἐπιτεῖναι;" Κληθεὶς ἐπὶ δεῖπνον οὐκ ἔφη παρέσεσθαι· μηδὲ γὰρ πρώην αὐτῷ χάριν ἐγνωκέναι. Γυμνοῖς ποσὶ χιόνα ἐπάτει καὶ τὰ ἄλλα ὅσα ἄνω προείρηται· καὶ ὠμὰ δὲ κρέα ἐπεχείρησε φαγεῖν, ἀλλ' οὐ διῴ-

1–2 Fr. 31 G.; Eudoc., p. 241.7–9; Arsen. *ib.*; *Gnom. Vat.* 91; Plut. *De Alex. fort. aut virt.* 331 F–332 A; *Ad princ. inerud.* 782 A–B **3–4** Fr. 154 G.; Arsen. *ib.* **4** Εἰσελθὼν – **8** Fr. 412 G. **8** Ἔλεγεν – **10** Fr. 144 G.; Arsen. *ib.* Cf. 6.55 **11** Πρὸς – **12** Fr. 76 G. Cf. 6.43 **13–15** Fr. 83 G.; Eudoc., pp. 244.28–245.1; Arsen., p. 204. Cf. *Gnom. Vat.* 202 **15** Κληθεὶς – **16** Fr. 467 G. **17** Γυμνοῖς – προείρηται : Fr. 176 G.; Eudoc., p. 242.2–3. Cf. 6.23 **18** καὶ ὠμὰ – διῴκησεν : Fr. 93 G.; Eudoc., p. 242.4–5. Cf. Plut. *De usu carn.* 995 C–D; *Aqua an ignis utilior* 956 B

2 ἐγεγόνει **B** et Arsen. : γεγόνει Eudocia : ἐγεγόνειν **F** : γεγόνειν **PΦ** | ἐθέλησα **Φ** **4** πείραν **F**^{1} (corr. **F**^{2}), πεῖραν Arsen. **5** νέον **F** **6** τὰ ὀνόματα εἰς λεύκωμα **BPF**, transp. **Φ** **7** περήει **F** | ἕως **Φ** : ὡς **BPF** | ὕβρη **F** **14** post δόλιχον addit. ss. μακρὸν **B**^{2} | ἔδραμον Eudocia | ἀνεῖναι **P**^{2}**Q** et Eudocia : ἀνιέναι **BP**^{1}**FΦ** et Arsen. : προσανεῖναι *Gnom.* **18** δὲ ss. **P**^{1} : om. **Φ**

κησεν. Κατέλαβέ ποτε Δημοσθένην τὸν ῥήτορα ἐν παν-
δοκείῳ ἀριστῶντα· τοῦ δ' ὑποχωροῦντος, "Τοσούτῳ,"
ἔφη, "μᾶλλον ἔσῃ ἐν τῷ πανδοκείῳ." Ξένων δέ ποτε θεά-
σασθαι θελόντων Δημοσθένην, τὸν μέσον δάκτυλον
ἐκτείνας, "Οὗτος ὑμῖν," ἔφη, "ἐστὶν ὁ Ἀθηναίων δημα-
35 γωγός." Ἐκβαλόντος δέ ⟨τινος⟩ ἄρτον καὶ αἰσχυνομένου
ἀνελέσθαι, βουλόμενος αὐτὸν νουθετῆσαι, κεράμου τρά-
χηλον δήσας ἔσυρε διὰ τοῦ Κεραμεικοῦ.

Μιμεῖσθαι ἔλεγε τοὺς χοροδιδασκάλους· καὶ γὰρ ἐκείνους ὑπὲρ τόνον ἐνδιδόναι ἕνεκα τοῦ τοὺς λοιποὺς ἅψασθαι τοῦ προσήκοντος τόνου. Τοὺς πλείστους ἔλεγε παρὰ δάκτυλον μαίνεσθαι· ἐὰν οὖν τις τὸν μέσον προτείνας πορευθῇ, δόξει τῳ μαίνεσθαι, ἐὰν δὲ τὸν λιχανόν, οὐκέτι. Τὰ πολλοῦ ἄξια τοῦ μηδενὸς ἔλεγε πιπράσκεσθαι καὶ ἔμπαλιν· ἀνδριάντα γοῦν τρισχιλίων πιπράσκεσθαι, χοίνικα δὲ ἀλφίτων δύο χαλκῶν.

36 Τῷ πριαμένῳ αὐτὸν Ξενιάδῃ φησί· "Ἄγε ὅπως τὸ προσταττόμενον ποιήσῃς." Τοῦ δ' εἰπόντος·

1 Κατέλαβε – **5** Fr. 502 G.; Eudoc., pp. 243.25–244.2; Arsen., p. 204; Cf. Plut. *Decem orat. vitae* 847 F; *De prof. in virt.* 82 C–D; Epicteti *Diss.* 3.2.11 **6** Ἐκβαλόντος – **8** Fr. 188 G. **9–11** τόνου : Fr. 266 G. **11–14** οὐκέτι : Fr. 276 G. Cf. Epict. 3.2.11 **14–16** Fr. 323 G. **17–p. 397.3** παγαί : Fr. 70 G.; Arsen., p. 204 s.

1 κατέλαβε **Φ**, Eudocia, Arsen. : κατελάβετο **BPF** **1** et **3** πανδοχείω $\mathbf{F}^1$ et $\mathbf{F}^2$ **2** ὑποχωροῦντος **BPF**, Eudocia, Arsen., Plut. 847 F : ἔσωθεν φεύγοντος **Φ**, cf. Plut. 82 CD **3** ἔφη μᾶλλον **BPΦ** et Eudocia : μᾶλλον ἔφη **F** et Arsen. | μᾶλλον in mg $\mathbf{B}^2$ | ἔσῃ **BPF** : γίνῃ **Φ** et Plut. 82 CD **5** ἀθηναῖος **Φ** **6** τινος add. Stephanus **8** κεραμικοῦ **B** **10** τοῦ ss. $\mathbf{F}^2$ **13** πορευθῇ, δόξει τῳ **Φ** : πορεύθιτο δόξει **B**, πορευθήτω δόξει $\mathbf{P}^1$**Q** : πορεύοιτο δόξει **F** : πορεύηται δόξει $\mathbf{P}^4$**HD** | δόξει⟨ν⟩ Roeper^2 (p. 44), Richards, von Fritz (p. 16) : δόξει ⟨τῳ⟩ Cobet | μένεσθαι **B** | λειχανὸν **B** **16** ἀλφητῶν **B** **17** ξενιάδι **F** **18** ποιήσῃς **PFΦ** et Arsen. : ποιήσεις **B**

῎Ανω ποταμῶν χωροῦσι παγαί,

"Εἰ δὲ ἰατρὸν ἐπρίω," εἶπε, "νοσῶν, οὐκ ἂν αὐτῷ ἐπείθου, ἀλλ' εἶπες ἂν ὡς ῎Ανω ποταμῶν χωροῦσι παγαί;" ῎Ηθελέ τις παρ' αὐτῷ φιλοσοφεῖν· ὁ δέ οἱ σαπέρδην δοὺς ἐκέλευσεν ἀκολουθεῖν. Ὡς δ' ὑπ' αἰδοῦς ῥίψας ἀπῆλθε, μετὰ χρόνον ὑπαντήσας αὐτῷ καὶ γελάσας λέγει· "Τὴν σὴν καὶ ἐμὴν φιλίαν σαπέρδης διέλυσε." Διοκλῆς δὲ οὕτως ἀναγράφει. Εἰπόντος τινὸς αὐτῷ· "Ἐπίταττε ἡμῖν, Διόγενες," ἀπαγαγὼν αὐτὸν ἡμιωβολίου τυρὸν ἐδίδου φέρειν· ἀρνησαμένου δέ, "Τὴν σήν," ἔφη, "καὶ ἐμὴν φιλίαν ἡμιωβολίου τυρίον διαλέλυκε."

37 Θεασάμενός ποτε παιδίον ταῖς χερσὶ πῖνον ἐξέρριψε τῆς πήρας τὴν κοτύλην, εἰπών· "Παιδίον με νενίκηκεν εὐτελείᾳ." Ἐξέβαλε δὲ καὶ τὸ τρυβλίον, ὁμοίως παιδίον θεασάμενος, ἐπειδὴ κατέαξε τὸ σκεῦος, τῷ κοίλῳ τοῦ ψωμίου τὴν φακῆν ὑποδεχόμενον. Συνελογίζετο δὲ καὶ οὕτως· Τῶν θεῶν ἐστι πάντα· φίλοι δὲ οἱ σοφοὶ τοῖς θεοῖς· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα ἐστὶ τῶν σοφῶν. Θεασάμενός ποτε γυναῖκα ἀσχημονέστερον τοῖς θεοῖς προσ-

1 Eurip. *Med.* 410 **3–11** Fr. 367 G.; Arsen., p. 205 **12–16** Fr. 158 G.; Arsen. *ib.* Cf. *Gnom. Vat.* 185; Plut. *De prof. in virt.* 79 E **16–18** τῶν σοφῶν : Fr. 353 G.; Arsen. *ib.* Cf. 6.72; Plut. *Non posse suav. viv. sec. Epic.* 1102 E–F **18–p. 398.4** ἀσχημονήσῃς : Fr. 344 G.

1 et 3 πηγαί **Φ** et Arsen. **2** εἶπε **Φ** : om. **BPF** : ἔφη post ἰατρὸν add. Arsen., post ἂν Stephanus | ἐπίθου **B** **3** ἂν om. **Φ** | ὡς ss. **P**^{3} **4** σαπέρδην : σαπέρδης ἐστὶ παλαιὸς τάριχος mg **B** : ἤτοι παλαιὸν τάριχον mg **P**^{4} | ἐκέλευσεν **Φ** : ἐποίησεν **BPF** et Arsen. **5** ἀπήει **F** **9** αὐτῶ **B** | ἡμιωβολίου **B**^{1}**PF** (-ω- corr. in -ο- **B**^{2}) : ἡμιοβόλου Arsen. **11** ἡμιωβολίου **P**^{4}**H** : ἡμιοβελίου **BP**^{1}**QW** : ἡμιοβολίου **F** : ἡμιοβόλου Arsen. | τυρίον **BP** et Arsen. : τυρίδιον **F** **12** πεινῶν **P**^{1} (corr. **P**^{2}**Q**) | ἐξέριψε **B** **13** νενίκεν **F** **14** τριβλίον **F** **15** τὸ κοῖλον **F** **16** post ὑποδεχόμενον addit ἤσθιε **Φ** | καὶ om. **F** **18** τῶν^1 **FΦ** et DL 6.72, Arsen. : om. **BP**

πίπτουσαν, βουλόμενος αὐτῆς περιελεῖν τὴν δεισιδαι-
μονίαν, καθά φησι Ζωΐλος ὁ Περγαῖος, προσελθὼν εἶπεν·
"Οὐκ εὐλαβῇ, ὦ γύναι, μή ποτε θεοῦ ὄπισθεν ἑστῶτος
38 (πάντα γάρ ἐστιν αὐτοῦ πλήρη) ἀσχημονήσῃς;" Τῷ Ἀσ-
κληπιῷ ἀνέθηκε πλήκτην, ὃς τοὺς ἐπὶ στόμα πίπτοντας
ἐπιτρέχων συνέτριβεν.

Εἰώθει δὲ λέγειν ⟨πάσας⟩ τὰς τραγικὰς ἀρὰς αὐτῷ συνηντηκέναι· εἶναι γοῦν

Ἄπολις, ἄοικος, πατρίδος ἐστερημένος,
πτωχός, πλανήτης, βίον ἔχων τοὐφ' ἡμέραν.

Ἔφασκε δὲ ἀντιτιθέναι τύχῃ μὲν θάρσος, νόμῳ δὲ φύσιν, πάθει δὲ λόγον. Ἐν τῷ Κρανείῳ ἡλιουμένῳ αὐτῷ Ἀλέξανδρος ἐπιστάς φησιν· "Αἴτησόν με ὃ θέλεις." Καὶ ὅς, "Ἀποσκότησόν μου," φησί. Μακρά τινος ἀναγινώσκοντος καὶ πρὸς τῷ τέλει τοῦ βιβλίου ἄγραφον παραδείξαντος, "Θαρρεῖτε," ἔφη, "ἄνδρες· γῆν ὁρῶ."

Πρὸς τὸν συλλογισάμενον ὅτι κέρατα ἔχει, ἁψάμενος
39 τοῦ μετώπου, "Ἐγὼ μέν," ἔφη, "οὐχ ὁρῶ." Ὁμοίως καὶ
πρὸς τὸν εἰπόντα ὅτι κίνησις οὐκ ἔστιν, ἀναστὰς περιε-
πάτει. Πρὸς τὸν λέγοντα περὶ τῶν μετεώρων, "Ποσταῖος,"

4–6 Fr. 341 G. **7–10** Fr. 263 G. Cf. *Gnom. Vat.* 201; Ael. *V.H.* 3.29; Iuliani *Or.* 6.4, 256 C–D; 9.14, 194 D–195 B **9–10** *Trag. Adesp.* Fr. 284 N^2 = *TrGF* Diogenis Fr. 4 Snell **11–12** λόγον : Fr. 7 G. **12–14** φησί : Fr. 33 G.; Arsen., p. 206. Cf. Cic. *Tusc.* 5.92; Val. Max. 4.3 ext. 4; Arriani *Anab.* 7.2.1 et saepius **14–16** Fr. 391 G. Cf. *Gnom. Vat.* 348 **17** Πρὸς – **19** περιεπάτει : Fr. 479 G. **20–p. 399.1** Fr. 371 G.; Arsen. *ib.*

1 περιελθεῖν **F^1** (corr. **F^2**) | δισιδαιμονίαν **B** **6** συνέτριβεν **PF** : οὖν ἔτος **B** **7** εἰώθει – **12** ἐν τῷ κρανείῳ om. **B** spatio 5 1/2 versuum relicto **7** πάσας addidi (πάντα *Gnom.*) **10** ἐφήμερον *Gnom.*, Ael. **11** post δὲ addit δεῖ Richards | ἀντιτιθέναι **P^2Q** : ἀντιθεῖναι **F^2** **14** ἀποσκότισον **F** **15** παραδείξαντος **BP** : παραλογισαμενον **F^1** (παραδείξαντα in mg γρ. **F^2**) **19** περιεπάτη **B**

ἔφη, "πάρει ἀπὸ τοῦ οὐρανοῦ;" Εὐνούχου μοχθηροῦ ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν "Μηδὲν εἰσίτω κακόν," "Ὁ οὖν κύριος," ἔφη, "τῆς οἰκίας ποῦ εἰσέλθῃ;" Τῷ μύρῳ τοὺς πόδας ἀλειψάμενος ἔφη ἀπὸ μὲν τῆς κεφαλῆς εἰς τὸν ἀέρα ἀπιέναι τὸ μύρον, ἀπὸ δὲ τῶν ποδῶν εἰς τὴν ὄσφρησιν. Ἀξιούντων Ἀθηναίων μυηθῆναι αὐτὸν καὶ λεγόντων ὡς ἐν ᾅδου προεδρίας οἱ μεμυημένοι τυγχάνουσι, "Γελοῖον," ἔφη, "εἰ Ἀγησίλαος μὲν καὶ Ἐπαμεινώνδας ἐν τῷ βορβόρῳ διάξουσιν, εὐτελεῖς δέ τινες μεμυημένοι ἐν ταῖς μακάρων νήσοις ἔσονται."

Πρὸς τοὺς ἑρπύσαντας ἐπὶ τὴν τράπεζαν μῦς "Ἰδού," **40**
φησί, "καὶ Διογένης παρασίτους τρέφει." Πλάτωνος εἰπόντος αὐτὸν κύνα, "Ναί," ἔφη· "⟨ἀλλ'⟩ ἐγώ γ' ⟨οὐκ⟩ ἐπανῆλθον ἐπὶ τοὺς πεπρακότας." Ἐκ τοῦ βαλανείου ἐξιὼν τῷ μὲν πυθομένῳ εἰ πολλοὶ ἄνθρωποι λούονται, ἠρνήσατο· τῷ δ' εἰ πολὺς ὄχλος, ὡμολόγησε. Πλάτωνος ὁρισαμένου Ἄνθρωπός ἐστι ζῷον δίπουν, ἄπτερον, καὶ εὐδοκιμοῦντος, τίλας ἀλεκτρυόνα εἰσήνεγκεν αὐτοῦ εἰς τὴν σχολὴν καί φησιν· "Οὗτός ἐστιν ὁ Πλάτωνος ἄνθρωπος." Ὅθεν

1 Εὐνούχου – **3** Fr. 347 G.; Arsen. *ib.* Cf. Clem. *Strom.* 7.26.1 **3** Τῷ – **5** Fr. 324 G. **6–10** Fr. 339 G. Cf. Plut. *Quom. adul. poet. aud. deb.* 21 E–F **11–12** Fr. 173 G.; Arsen. *ib.* **12** Πλάτωνος – **14** Fr. 59 G.; Eudocia 332, p. 242.15–16. Cf. Ael. *V.H.* 14.33 **14–16** Fr. 274 G. **16** Πλάτωνος – **p. 400.1** Fr. 63 G.; Arsen., p. 205. Cf. Plat. *Defin.* 415 a 11

1 ἔφη ss. **P**^{2} | εὐνούχου **BPFΦ** et Arsen. : ἀνθρώπου A. Nauck (*Philol.* 5 [1850] 560) ex Clem. **5** εἰς τὸν **B** **7** προεδρείας **P** **8** ἐπαμεινόνδας **F** **11** ἑρπίσαντας **B** **13** ⟨ἄλλ'⟩ ἐγώ γ' ⟨οὐκ⟩ scripsi ex Ael. *V.H.* 14.33 ("ἀλλ' ἐγώ," εἶπεν, "οὐκ ἐπανῆλθον ἐκεῖσε ὅθεν ἐπράθην, ὥσπερ οἱ κύνες") : ἐγὼ γὰρ **BPF** et Eudocia | ἐπανῆλθον **BP**^{4}**H** et Eudocia : ἦλθον **FP**^{1}**Q** **15** λούονται **BF** : λοῦνται **ΡΦ** **16** τῷ **ΡΦ** : τὸ **BF** **18** αὐτοῦ **BPFΦ** et Arsen. : αὐτὸν Hicks : αὐτοῦ post τὴν σχολὴν *Frob.*

τῷ ὅρῳ προσετέθη τὸ πλατυώνυχον. Πρὸς τὸν πυθόμενον ποίαν ὥραν δεῖ ἀριστᾶν, "Εἰ μὲν πλούσιος," εἶπεν, "ὅταν θέλῃ· εἰ δὲ πένης, ὅταν ἔχῃ."

41 Ἐν Μεγάροις ἰδὼν τὰ μὲν πρόβατα τοῖς δέρμασιν ἐσκεπασμένα, τοὺς δὲ παῖδας αὐτῶν γυμνούς, ἔφη· "Λυσιτελέστερόν ἐστι Μεγαρέως εἶναι κριὸν ἢ υἱόν." Πρὸς τὸν ἐντινάξαντα αὐτῷ δοκόν, εἶτα εἰπόντα "Φύλαξαι," "Πάλιν γάρ με," ἔφη, "παίειν μέλλεις;" Ἔλεγε τοὺς μὲν δημαγωγοὺς ὄχλου διακόνους, τοὺς δὲ στεφάνους δόξης ἐξανθήματα. Λύχνον μεθ' ἡμέραν ἅψας περιῄει· ⟨πυνθανομένων δέ τινων πρὸς τί τοῦτο,⟩ "Ἄνθρωπον," φησί, "ζητῶ." Εἱστήκει ποτὲ κατακρουνιζόμενος· τῶν δὲ περιεστώτων ἐλεούντων, παρὼν Πλάτων ἔφη· "Εἰ βούλεσθε αὐτὸν ἐλεῆσαι, ἀπόστητε," ἐνδεικνύμενος φιλοδοξίαν αὐτοῦ.

Ἐντρίψαντος αὐτῷ κόνδυλόν τινος, "Ἡράκλεις," ἔφη, "οἷόν με χρῆμα ἐλάνθανε τὸ μετὰ περικεφαλαίας περι-
42 πατεῖν." Ἀλλὰ καὶ Μειδίου κονδυλίσαντος αὐτὸν καὶ εἰπόντος· "Τρισχίλιαί σοι κεῖνται ἐπὶ τῇ τραπέζῃ," τῇ ἑξῆς πυκτικοὺς λαβὼν ἱμάντας καὶ καταλοήσας αὐτὸν ἔφη·

1 Πρὸς – **3** Fr. 183 G.; Arsen. *ib.* Cf. *Gnom. Vat.* 156 (Bionis) **4–6** υἱόν : Fr. 284 G. Cf. *Gnom. Vat.* 191; Plut. *De cupid. div.* 526 C; Ael. *V.H.* 12.56 **6-8** μέλλεις : Fr. 457 G. Cf. 6.66 **8–10** Fr. 501 G. Cf. 6.24 **10** Λύχνον – **11** ζητῶ: Fr. 272 G.; Arsen., p. 197. Cf. Phil. *De gigant.* 8.33 et al. **12–14** Fr. 57 G. **15–16** Fr. 456 G. Cf. 6.54 **17** Ἀλλὰ καὶ – **p. 401.1** Fr. 483 G.

1 post τὸ πλατυώνυχον addit apophthegma **Φ**[1] in mg **2** ποίαν ὥραν **BPFΦ** et Arsen. : ποίᾳ ὥρᾳ *Frob.* | δεῖ ὥραν **F** **4** μεγαρεῦσιν **P** | ἰδόντα μὲν **B** **7** τὴν δοκόν **PΦ** **8** πάλιν **BΦ** : πάλαι **P** : καὶ **F** **10** περιῄει λέγων (omisso v. 11 φησί) **Φ**, Cobet : περιῄει ... ἔλεγεν Arsen. : om. **BPF** **10–11** πυνθανομένων δέ τινων πρὸς τί τοῦτο supplevi ex Arsenio (cf. Philonem) **11** ζητῶ φησί **F** **13** βούλεσθαι **B** **15** ἠράκλης **B**

"Τρισχίλιαί σοι κεῖνται ἐπὶ τῇ τραπέζῃ." Λυσίου τοῦ
φαρμακοπώλου πυθομένου εἰ θεοὺς νομίζει, "Πῶς δέ," εἶ-
πεν, "οὐ νομίζω, ὅπου καὶ σὲ θεοῖς ἐχθρὸν ὑπολαμβάνω;"
(Οἱ δὲ Θεόδωρον εἰπεῖν τοῦτο). Ἰδών τινα περιρραινόμε-
νον ἐπεῖπεν· "Ὦ κακόδαιμον, οὐκ ἐπίστασαι ὅτι ὥσπερ
τῶν ἐν γραμματικῇ ἁμαρτημάτων περιρραινόμενος οὐκ
ἂν ἀπαλλαγείης, οὕτως οὐδὲ τῶν ἐν τῷ βίῳ;" Ἐνεκάλει
τοῖς ἀνθρώποις περὶ τῆς εὐχῆς, αἰτεῖσθαι λέγων αὐτοὺς
ἀγαθὰ τὰ αὐτοῖς δοκοῦντα καὶ οὐ τὰ κατὰ ἀλήθειαν.
Πρὸς δὲ τοὺς περὶ τὰ ὀνείρατα ἐπτοημένους ἔλεγεν ὡς **43**
ὑπὲρ ὧν μὲν πράττουσιν ὕπαρ, οὐκ ἐπιστρέφονται, ὑπὲρ
ὧν δὲ καθεύδοντες φαντασιοῦνται, πολυπραγμονοῦσιν.
Ὀλυμπίασι τοῦ κήρυκος ἀνειπόντος· "Νικᾷ Διώξιππος
ἄνδρας," "Οὗτος μὲν δή," ⟨ἔφη,⟩ "ἀνδράποδα, ἄνδρας δὲ
ἐγώ."

Ἠγαπᾶτο δὲ καὶ πρὸς Ἀθηναίων· μειρακίου γοῦν τὸν
πίθον αὐτοῦ συντρίψαντος, τῷ μὲν πληγὰς ἔδοσαν, ἐκεί-
νῳ δὲ ἄλλον παρέσχον. Φησὶ δὲ Διονύσιος ὁ Στωϊκὸς ὡς
μετὰ Χαιρώνειαν συλληφθεὶς ἀπήχθη πρὸς Φίλιππον· καὶ
ἐρωτηθεὶς τίς εἴη, ἀπεκρίνατο· "Κατάσκοπος τῆς σῆς ἀ-
πληστίας." Ὅθεν θαυμασθεὶς ἀφείθη. | Ἀλεξάνδρου ποτὲ **44**

1 Λυσίου – **3** Fr. 334 G. Cf. Epict. *Diss.* 3.22.91 **4** Θεόδωρον : cf. 2.102 **4** Ἰδὼν – **7** ἐν τῷ βίῳ : Fr. 326 G. **7–9** Fr. 350 G. **10** Πρὸς – **12** Fr. 327 G. **13** Ὀλυμπίασι – **15** Fr. 76 G.; Arsen., p. 206. Cf. 6.33 **16–18** παρέσχον : Fr. 169 G.; Eudocia, p. 241.23–26; Arsen. *ib.* **18–21** ἀφείθη : Fr. 27 G.; Eudocia, pp. 241.26–242.2; Arsen. *ib.* Cf. Plut. *Adulator ab amico quomodo internosc.* 70 C.; *De exilio* 606 B–C **21–p. 402.3** Fr. 37 G.; Arsen. *ib.*

1 κεῖντε **B** **2** νομίζῃ **F** **3** ὅπου **P**[1] in mg γρ., **D** et 2.102 : ἵνα **BP**[1]**F** **4** et **6** περιραινόμ- **BP**[1] **8** εὐχῆς Casaubon : τύχης **BPFΦ** | αὐτοὺς **BP** : αὐτοῖς **F** : om. **Φ** **9** τὰ² om. **B** **14** ἔφη addidi ex Arsenio **19** χαιρώνιαν **B** : χερώνειαν **F** **20** ἀπληστείας **B**

πέμψαντος ἐπιστολὴν πρὸς Ἀντίπατρον εἰς Ἀθήνας διά τινος Ἀθλία, παρὼν ἔφη·

Ἄθλιος παρ' ἀθλίου δι' ἀθλίου πρὸς ἄθλιον.

Περδίκκου ἀπειλήσαντος, εἰ μὴ ἔλθοι πρὸς αὐτόν, ἀποκτενεῖν, ἔφη· "Οὐδὲν μέγα· καὶ γὰρ κάνθαρος καὶ φαλάγγιον τοῦτ' ἂν πράξειεν·" ἐκεῖνο δὲ μᾶλλον ἀπειλεῖν ἠξίου ὡς "Εἰ καὶ χωρὶς ἐμοῦ ζήσαι, εὐδαιμόνως ζήσοιτο."

Ἐβόα πολλάκις λέγων τὸν τῶν ἀνθρώπων βίον ῥᾴδιον ὑπὸ τῶν θεῶν δεδόσθαι, ἀποκεκρύφθαι δὲ αὐτῶν ζητούντων μελίπηκτα καὶ μύρα καὶ τὰ παραπλήσια. Ὅθεν πρὸς τὸν ὑπὸ τοῦ οἰκέτου ὑποδούμενον, "Οὔπω," εἶπε, "μακάριος εἶ, ἂν μή σε καὶ ἀπομύξῃ· τοῦτο δὲ ἔσται πηρωθέντι σοι τὰς χεῖρας."

45 Θεασάμενός ποτε τοὺς ἱερομνήμονας τῶν ταμιῶν τινα φιάλην ὑφῃρημένον ἄγοντας ἔφη· "Οἱ μεγάλοι κλέπται τὸν μικρὸν ἄγουσι." Θεασάμενός ποτε μειράκιον λίθους βάλλον ἐπὶ σταυρόν, "Εὖγε," εἶπε· "τεύξῃ γὰρ τοῦ σκοποῦ." Πρὸς τὰ περιστάντα μειράκια καὶ εἰπόντα· "Βλέπωμεν μὴ δάκῃ ἡμᾶς," "Θαρρεῖτε," ἔφη, "παιδία· κύων τευ-

4–7 ζήσοιτο : Fr. 50 G. Cf. *Gnom. Vat.* 352 **8** Ἐβόα – **13** Fr. 322 G.; Arsen., p. 207 **14–16** ἄγουσι : Fr. 462 G.; Arsen. *ib.* **16–17** Fr. 413 G.; Eudoc., p. 244.10–11; Arsen. *ib.* **18** Πρὸς – **p. 403.1** οὐκ ἐσθίει : Fr. 145 G.; Arsen. *ib.* Cf. 6.61; Apostol. 13.23; Ps. Diogen. *Ep.* 2

2 ἀθλία **BPFΦ** et Arsen. : Ἀθλίου Menagius **3** Ἄθλιος (i.e. Alexander) Cobet : ἀθλίας **BPFΦ** et Arsen. **4** ἀποκτενεῖν **FP^{4}H** : ἀποκτεῖναι **B** : ἀποκτείνειν **P^{1}QΦ** **5** οὐδὲν ἔφη **F** **6** πράξῃ **F** | ἐκείνω **P^{1}** (corr. **P^{2}**) | ἀπελθεῖν **B** : ἀπηλεῖν **F** **7** ζήσοι ... ζήσοι **Φ** **9** κεκρύφθαι **F** | δὲ om. **F** | αὐτῶν **Φ** (et Casaubon) : αὐτὸν **BPF** **10** μηλίπηκτα **B^{2}** in ras. **11** εἰπεῖν **B** et Arsen. **12** καὶ ss. **F^{2}** | ἔσται **PΦ** et Arsen. : ἔστι σοι **B** : εἶπε **F** **14** ταμίων **B** et Arsen. : ταμείων **PFΦ** **15** et **16** ἀπάγοντας et ἀπάγουσι Cobet **18** βλέπωμεν **FΦ** et Arsen. : βλέπομεν **BP** **19** τευτία **F**

τλία οὐκ ἐσθίει." Πρὸς τὸν ἐπὶ τῇ λεοντῇ θρυπτόμενον "Παῦσαι," ἔφη, "τὰ τῆς ἀρετῆς στρώματα καταισχύνων." Πρὸς τὸν μακαρίζοντα Καλλισθένη καὶ λέγοντα ὡς πολυτελῶν παρὰ Ἀλεξάνδρῳ μετέχει, "Κακοδαίμων μὲν οὖν ἐστιν," εἶπεν, "ὃς καὶ ἀριστᾷ καὶ δειπνεῖ ὅταν Ἀλεξάνδρῳ δόξῃ."

Χρημάτων δεόμενος ἀπαιτεῖν ἔλεγε τοὺς φίλους, οὐκ 46
αἰτεῖν. Ἐπ' ἀγορᾶς ποτε χειρουργῶν, "Εἴθε," ἔφη, "καὶ τὴν κοιλίαν ἦν παρατρίψαντα μὴ πεινῆν." Μειράκιον θεασάμενος μετὰ σατραπῶν ἐπὶ δεῖπνον ἀπιόν, ἀποσπάσας πρὸς τοὺς οἰκείους ἀπήγαγε καὶ ἐκέλευσε τηρεῖν. Πρὸς τὸ κεκοσμημένον μειράκιον πυθόμενόν τι ἔφη οὐ πρότερον λέξειν αὐτῷ, εἰ μὴ ἀνασυράμενος δείξειε πότερον γυνή ἐστιν ἢ ἀνήρ. Πρὸς τὸ κοτταβίζον ἐν τῷ βαλανείῳ μειράκιόν φησιν· "Ὅσῳ βέλτιον, τοσούτῳ χεῖρον." Ἐν δείπνῳ προσερρίπτουν αὐτῷ τινες ὀστάρια ὡς κυνί· καὶ ὃς ἀπαλλαττόμενος προσούρησεν αὐτοῖς ὡς κύων.

Τοὺς ῥήτορας καὶ πάντας τοὺς ἐνδοξολογοῦντας τρισ- 47

1–2 Fr. 465 G. Cf. *Gnom. Vat.* 177 **3** Πρὸς – **6** Fr. 30 G. Cf. Plut. *De exilio* 604 D **7–8** Fr. 234 G. Cf. Ps.-Cratetis *Ep.* 2 **8** Ἐπ' ἀγορᾶς – **9** μὴ πεινῆν : Fr. 147 G. Cf. 6.69; Plut. *De Stoic. repugn.* 1044 B; Athen. 4, 158 F **9–11** τηρεῖν : Fr. 402 G. **11–14** Fr. 403 G. **14–15** Fr. 401 G. **15** Ἐν – **17** Fr. 146 G.; Arsen., p. 207 **18–p. 404.1** Fr. 501 G.

2 παῦσε **B**^{2} **3** μακαρίζοντα **Φ** : μακαριζόμενον **BP F** | καλλισθένη **BPΦ** : καλλισθένην **F** **7–8** οὐκ αἰτεῖν **Φ P**^{4}**H** et *Frob.* : οὐ καὶ τὴν **B**, οὐ καὶ τεῖν **P**^{1}**Q** : οἰκέτην **F** **8** χειρουργῶν **BP**^{1}**FΦ** : συνεύμενος **P**^{5} **9** μειράκιον – **14** πρὸς om. **B** spatio versuum 6 relicto **10** ἀπιὸν **PΦ** : προϊὸν **F** **11** ἤγαγε **F** | ἐκέλευσε **FΦ** : ἐκέλευε **P** **13** ἀνασυρόμενος **F** **14** τὸ κοτταβί- **B**^{2} **15** ὅσον et τοσοῦτον **F** **16** προσερίπτουν **BP**^{1} **17** αὐτοῖς **BPF** : αὐτοὺς **Φ** et Arsen.

ανθρώπους ἀπεκάλει ἀντὶ τοῦ τρισαθλίους. Τὸν ἀμαθῆ πλούσιον πρόβατον εἶπε χρυσόμαλλον. Θεασάμενος ἐπὶ ἀσώτου οἰκίᾳ ἐπιγεγραμμένον "Πράσιμος," "Ἤιδειν," εἶπεν, "ὅτι οὕτω κραιπαλῶσα ῥᾳδίως ἐξεμέσεις τὸν κύριον." Πρὸς τὸ καταιτιώμενον μειράκιον τὸ πλῆθος τῶν ἐνοχλούντων, "Παῦσαι γάρ," ἔφη, "καὶ σὺ τὰ δείγματα τοῦ πασχητιῶντος περιφέρων." Πρὸς τὸ ῥυπαρὸν βαλανεῖον, "Οἱ ἐνθάδε," ἔφη, "λουόμενοι ποῦ λούονται;" Παχέος κιθαρῳδοῦ πρὸς πάντων μεμφομένου αὐτὸς μόνος ἐπῄνει· ἐρωτηθεὶς δὲ διὰ τί, ἔφη· "Ὅτι τηλικοῦτος ὢν κιθαρῳδεῖ καὶ οὐ λῃστεύει."

48 Τὸν κιθαρῳδὸν ἀεὶ καταλειπόμενον ὑπὸ τῶν ἀκροατῶν ἠσπάσατο "Χαῖρε ἀλέκτορ"· τοῦ δὲ εἰπόντος· "Διὰ τί;" "Ὅτι," ἔφη, "ᾄδων πάντας ἐγείρεις." Μειρακίου ἐπιδεικνυμένου πληρώσας τὸ προκόλπιον θέρμων ἀντικρὺ ἔκαπτε· τοῦ δὲ πλήθους εἰς αὐτὸν ἀφορῶντος θαυμάζειν ἔφη πῶς ἐκεῖνον ἀφέντες εἰς αὐτὸν ὁρῶσι. Λέγοντος δὲ

1–2 Fr. 232 G.; Eudoc., p. 244.9–10; Arsen. *ib.* **2** Θεασάμενος – **4** Fr. 233 G. **5** Πρὸς – **7** Fr. 409 G. **7** Πρὸς – **8** Fr. 268 G. **8** Παχέος – **11** Fr. 453 G. **12–14** ἐγείρεις : Fr. 454 G. **14–17** ὁρῶσι : Fr. 393 G. **17–p. 405.3** ποιήσω : Fr. 346 G.

1–2 ἀμαθῆ πλούσιον **FΦ** et Eudoc. : πλούσιον ἀμαθῆ **BP**, πλούσιον καὶ ἀμαθῆ Arsen. **2** χρυσόμαλον **F** **3** οἰκεία **B** **4** κραιπαλῶσα **ΦB** (κρεπαλῶσα) **F**^{1}**P**^{4}**H** : κραιπαλῶν **P**^{1}**F**^{2} | ἐξεμέσεις **B**^{1} (-σης **B**^{2}) **ΦF** : ἐξεμέσοις **P** **7** περιφέρων **B** **Φ** : περιφέρον **PF** **8** ἔφη ss. **F**^{2} | λουόμενοι **BPFΦ** : λουσάμενοι Cobet **10** διὰ τί in mg **B**^{1} | ἔφη om. **F** | τοιοῦτος **F** **12** καταλειπόμενον **BP** : καταλιπόμενον **F** : καταλιμπανόμενον **Φ** **13** ἀλέκτωρ **BP** **14** ἐπιδεικνυμένου **Φ** et Kuehn : διαδεικνυμένου **BP** : διαδιδομένου **F** **15** θέρμων ἀντικρὺ **Φ** et Cobet : ἄντικρυς θέρμων **BPF** **16** ἔκαπτε(ν) **B**^{1}**P** : ἔκοπτεν **B**^{2} : ἔκαμπτε **FΦ** **17** εἰς **F** : om. **BPΦ**

αὐτῷ τινος ἰσχυρῶς δεισιδαίμονος· "Μιᾷ πληγῇ τὴν κεφαλήν σου διαρρήξω," "Ἐγὼ δέ γε," εἶπε, "πταρὼν ἐξ ἀριστερῶν τρέμειν σε ποιήσω." Ἡγησίου παρακαλοῦντος χρῆσαί τι αὐτῷ τῶν συγγραμμάτων, "Μάταιος," ἔφη, "τυγχάνεις, ὦ Ἡγησία, ὃς ἰσχάδας μὲν γραπτὰς οὐχ αἱρῇ, ἀλλὰ τὰς ἀληθινάς· ἄσκησιν δὲ παριδὼν τὴν ἀληθινὴν ἐπὶ τὴν γεγραμμένην ὁρμᾷς."

49 Πρός τε τὸν ὀνειδίσαντα αὐτῷ τὴν φυγήν, "Ἀλλὰ τούτου γε ἕνεκεν," εἶπεν, "ὦ κακόδαιμον, ἐφιλοσόφησα." Καὶ πάλιν εἰπόντος τινός· "Σινωπεῖς σου φυγὴν κατέγνωσαν," "Ἐγὼ δέ γε," εἶπεν, "ἐκείνων μονήν." Ἰδών ποτε Ὀλυμπιονίκην πρόβατα νέμοντα, "Ταχέως," εἶπεν, "ὦ βέλτιστε, μετέβης ἀπὸ τῶν Ὀλυμπίων ἐπὶ τὰ Νέμεα." Ἐρωτηθεὶς διὰ τί οἱ ἀθληταὶ ἀναίσθητοί εἰσιν, ἔφη· "Ὅτι κρέασιν ὑείοις καὶ βοείοις ἀνῳκοδόμηνται." Ἤιτει ποτὲ ἀνδριάντα· ἐρωτηθεὶς δὲ διὰ τί τοῦτο ποιεῖ, "Μελετῶ," εἶπεν, "ἀποτυγχάνειν." Αἰτῶν τινα (καὶ γὰρ τοῦτο πρῶτον ἐποίησε διὰ τὴν ἀπορίαν) ἔφη· "Εἰ μὲν καὶ ἄλλῳ δέδωκας, δὸς κἀμοί· εἰ δὲ μηδενί, ἀπ' ἐμοῦ ἄρξαι."

3–7 Fr. 118 G.; Arsen. *ib.* **8–11** cf. P. Von der Muehll, *Mus. Helv.* 23 (1966) 236–239 **8–9** Fr. 13 G.; Arsen. *ib.* Cf. Muson. 9, p. 43.15 Hense (Stob. 3.40.9) **9** Καὶ πάλιν – **11** μονήν : Fr. 11 G. Cf. Plut. *De exilio* 602 A **11** Ἰδὼν – **13** τὰ Νέμεα : Fr. 448 G.; Arsen. *ib.* Cf. *Gnom. Vat.* 567 **13–15** Fr. 446 G. **15** Ἤιτει – **17** Fr. 247 G.; Arsen. *ib.*; Plut. *De vitioso pudore* 531 F **17** Αἰτῶν – **19** Fr. 249 G.; Eudoc., p. 243.20–23; Arsen., p. 208

2 διαρ- ss. **F^{2}** : διαρήξω **B** | παρὼν **F** **4** αὐτῶ τι **F** **7** ὁρμᾶς ante ἐπὶ **F** **9** γε **BP** : om. **FΦ** et Arsen. | εἶπεν om. **F** | κακοδαίμων **B** **11** ἐγὼ δέ γε **BP** : ἐγὼ δὲ **F** et Plut. : ἔγωγε **Φ** **12** νέμωντα **B** **13** νέμεα **ΦP^{2}Q** : νέμια **BP^{1}** : νέμαια **F** **15** βοΐοις **B** **16** ποιεῖ **B^{2}FΦ** : ποιοῖ **B^{1}P** **17** προσαιτῶν Eudocia | ἐποίει **Φ** **19** μηδενί **BPΦ** : μὴ **F** | ἀπ' **Φ** et Eudoc., Arsen. : ἀπὸ **BPF**

50 Ἐρωτηθείς ποτε ὑπὸ τυράννου ποῖος εἴη ἀμείνων χαλκὸς εἰς ἀνδριάντα, ἔφη· "Ἀφ' οὗ Ἁρμόδιος καὶ Ἀριστογείτων ἐχαλκεύθησαν." Ἐρωτηθεὶς πῶς χρῆται Διονύσιος τοῖς φίλοις, ἔφη· "Ὡς θυλάκοις, τοὺς μὲν πλήρεις κρημνῶν, τοὺς δὲ κενοὺς ῥίπτων." Νεογάμου ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν·

Ὁ τοῦ Διὸς παῖς καλλίνικος Ἡρακλῆς
ἐνθάδε κατοικεῖ· μηδὲν εἰσίτω κακόν,

ἐπέγραψε· "Μετὰ τὸν πόλεμον ἡ συμμαχία." Τὴν φιλαργυρίαν εἶπε μητρόπολιν πάντων τῶν κακῶν. Ἄσωτον θεασάμενος ἐν πανδοκείῳ ἐλάας ἐσθίοντα ἔφη· "Εἰ οὕτως ἠρίστας, οὐκ ἂν οὕτως ἐδείπνεις."

51 Τοὺς ἀγαθοὺς ἄνδρας ἔλεγε θεῶν εἰκόνας εἶναι· τὸν ἔρωτα σχολαζόντων ἀσχολίαν. Ἐρωτηθεὶς τί ἄθλιον ἐν βίῳ, ἔφη· "Γέρων ἄπορος." Ἐρωτηθεὶς τί τῶν θηρίων κάκιστα δάκνει, ἔφη· "Τῶν μὲν ἀγρίων συκοφάντης, τῶν δὲ ἡμέρων κόλαξ." Ἰδών ποτε δύο κενταύρους κάκιστα ἐζωγραφημένους ἔφη· "Πότερος τούτων Χείρων ἐστί;" Τὸν

1–3 Fr. 358 G. Cf. Plut. *Quomodo adul. ab am. internoscatur* 68 A **3** Ἐρωτηθεὶς – **5** ῥίπτων : Fr. 53 G. **5–9** Fr. 347 G. Cf. 6.39; Clem. *Strom.* 7.26.1 **9–10** Fr. 228 G.; Eudoc., p. 244.23–24; Arsen. *ib.* Cf. *Gnom. Vat.* 265 (Democriti) **10** Ἄσωτον – **12** Fr. 191 G.; Eudoc., p. 243.12–13. Cf. *Gnom. Vat.* 169 **13** Fr. 354 G.; Arsen. *ib.* **13** τὸν ἔρωτα – **14** Fr. 198 G.; Arsen. *ib.* **14–15** Fr. 84 G. **15** Ἐρωτηθεὺς – **17** Fr. 423 G.; Arsen., p. 197 **17** Ἰδὼν – **18** ἐστί : Fr. 485 G. Cf. 6.59 **18–p. 407.1** Fr. 505 G.

1 ante εἴη add. ἂν **P**[4]**H** et *Frob.* | ἄριστος Richards **4** κρεμῶν **Φ** **10** εἶπε **BPΦ** : ἔφη **F** | μητρόπολιν **PF** et Eudoc., Arsen., *Gnom.* : μητρόπολιν εἶναι **BΦ** | πάντων om. **Φ** | τῶν om. **F** **11** πανδοκίω **B** **12** ἐδείπνεις **ΦP**[2] : ἐδείπνης **BP**[1] : ἐδείπνοις **F** **13** ἔλεγε **Φ** : om. **BPF** et Arsen.

πρὸς χάριν λόγον ἔφη μελιτίνην ἀγχόνην εἶναι. Τὴν γαστέρα Χάρυβδιν ἔλεγε τοῦ βίου. Ἀκούσας ποτὲ ὅτι Διδύμων ὁ μοιχὸς συνελήφθη, "Ἄξιος," ἔφη, "ἐκ τοῦ ὀνόματος κρέμασθαι." Ἐρωτηθεὶς διὰ τί τὸ χρυσίον χλωρόν ἐστιν, ἔφη· "Ὅτι πολλοὺς ἔχει τοὺς ἐπιβουλεύοντας." Ἰδὼν γυναῖκα ἐν φορείῳ, "Οὐ κατὰ τὸ θηρίον," ἔφη, "ἡ γαλεάγρα."

Ἰδὼν δραπέτην ἐπὶ φρέατι καθήμενον ἔφη· "Μειράκι- 52
ον, βλέπε μὴ ἐμπέσῃς." Ἰδὼν ⟨μειρα⟩κύλλιον ἱματιοκλέπτην ἐν τῷ βαλανείῳ, ἔφη· "Ἐπ' ἀλειμμάτιον ἢ ἐπ' ἄλλ' ἱμάτιον;" Ἰδών ποτε γυναῖκα ἀπ' ἐλαίας ἀπηγχονισμένην, "Εἴθε γάρ," ἔφη, "πάντα τὰ δένδρα τοιοῦτον καρπὸν ἤνεγκεν." ['Ἀξιόπιστον] Ἰδὼν λωποδύτην ⟨ἐν τῷ βαλανείῳ⟩, ἔφη·

1–2 Fr. 181 G. **2** Ἀκούσας – **4** Fr. 490 G. **4** Ἐρωτηθεὶς – **5** Fr. 227 G.; Arsen. *ib.*; *Gnom Vat.* 172; *Schol.* in Aristoph. *Plut.* 202 **6** Ἰδὼν – **7** Fr. 203 G.; Arsen., p. 208 **8–9** Fr. 443 G. Cf. Plat. *Theaet.* 174 c 4 **9** Ἰδὼν – **11** Fr. 484 G. **11** Ἰδὼν – **13** Fr. 202 G.; Eudoc., p. 244.12–13; Arsen. *ib.* **13** Ἰδὼν – **p. 408.2** Fr. 492 G.

1 μελιτήνην **B** **2** ἔλεγε **BPF** : εἶναι **Φ** **3** ὁ μοιχὸς **BPF** (cf. 6.68) : ὁ αὐλητὴς μοιχὸς **Φ**, Cobet | συνελή(μ)φθη **BPF** : ἑάλω **Φ**, Cobet **5** πολλοὺς ἐπιβούλους ἔχει Arsen., *Gnom.* **6** φορίω **BF** **8** ἰδὼν **BPΦ** : ἰδών ποτε **F** | ἔφη ss. **P**[2] **9** ἰδὼν : -δὼν in mg **F**[2] | ⟨μειρα⟩κύλλιον Meibom. : κύλλιον **BP**[1]**QΦ** : om. **F**, del. **P**[4]**H** **9** ἱματιοκλέπτην – **10** ἀλλομάτιον in mg super. **F**[2] **10** βαλανίω **B** | ἐπ' ἀλειμμάτιον **PF**[2] : παλιμμάτιον **B**, παλιμάτιον **Φ** **10–11** ἄλλ' ἱμάτιον Menagius : ἄλλο ἱμάτιον **BP**(**Φ**) : ἀλλομάτιον **F**[2] **11** ποτε om. **F** | γυναῖκα et ἀπηγχονισμένην **Π** et Richards : γυναῖκας et ἀπηγχονισμένας **BPFΦ** et Eudoc., Arsen. | ἀπ' **BP F** et Arsen. : ἐπ' **Φ** et Eudoc. **13** ἤνεγκεν **BP** : ἤνεγκαν **F** : ἐνέγκοι **Φ** | ἀξιόπιστον **BPFΦ** : om. **D**, del. *Frob.* | ἐν τῷ βαλανείῳ addidi (cf. vv. 10 et p. 408.1 ὧδε)

Τίπτε σὺ ὧδε, φέριστε;
Ἤ τινα συλήσων νεκύων κατατεθνηώτων;

Ἐρωτηθεὶς εἰ παιδισκάριον ἢ παιδάριον ἔχοι, ἔφη· "Οὔ·" τοῦ δὲ εἰπόντος· "Ἐὰν οὖν ἀποθάνῃς, τίς σε ἐξοίσει;", ἔφη· "Ὁ χρῄζων τῆς οἰκίας."

53 Μειράκιον εὔμορφον ἀφυλάκτως ἰδὼν κοιμώμενον, νύξας, "Ἐπέγειραι," ἔφη,

Μή τίς σοι εὕδοντι μεταφρένῳ ἐν δόρυ πήξῃ.

Πρὸς τὸν πολυτελῶς ὀψωνοῦντα

Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγοράζεις.

Πλάτωνος περὶ ἰδεῶν διαλεγομένου καὶ ὀνομάζοντος τραπεζότητα καὶ κυαθότητα, "Ἐγώ," εἶπεν, "ὦ Πλάτων, τράπεζαν μὲν καὶ κύαθον ὁρῶ, τραπεζότητα δὲ καὶ κυαθότητα οὐδαμῶς·" καὶ ὅς, "Κατὰ λόγον," ἔφη· "οἷς μὲν γὰρ κύαθος καὶ τράπεζα βλέπεται, ὀφθαλμοὺς ἔχεις· ᾧ δὲ τραπεζότης καὶ κυαθότης θεωρεῖται, νοῦν οὐκ ἔχεις."
54 [Ἐρωτηθεὶς ὑπό τινος, "Ποῖός τίς σοι Διογένης δοκεῖ;" "Σωκράτης," εἶπε, "μαινόμενος."]

2 cf. *Iliad.* 10.343 et 387 **3–5** Fr. 442 G. Cf. *Gnom. Vat.* 200 **6–8** Fr. 499. G. Cf. *Iliad.* 8.95; *Gnom. Vat.* 224 **9–10** Fr. 493 G. Cf. *Iliad.* 18.95 et DL 5.5 **11–16** Fr. 62 G.; Arsen., p. 201 **17** Ἐρωτηθεὶς (sc. Plato) – **18** μαινόμενος : Fr. 59 G.; Ael. *V.H.* 14.33; *Gnom. Vat.* 442

2 ἢ **PΦ**, η **B** : εἴ **F** | τινας ὑλήσων **B** | κατατεθνειώτων **BPFΦ**, corr. Stephanus | post κατατεθνειώτων addit εἰλήλουθας **Φ** **3** εἰ **PFΦ** : ἢ **B** **4** οὖν om. **F** **7** ἐπέγειρε **B** **8** τοι **Φ** | πήξει **F** **15** ᾧ δὲ – **16** κυαθότης in mg **B**[2] **15** βλέπεται scripsi : θεωρεῖται **BPFΦ** et Arsen. **16** τραπεζότης καὶ κυαθότης **PFΦ** : transp. **B**[2] et Arsen. | θεωρεῖται scripsi : βλέπεται **BPΦ** et Arsen. : φαίνεται **F** **17** ἐρωτηθεὶς – **18** μαινόμενος **D** : om. **BPFΦ** : secl. Menagius **17** διόγενες **D**

Ἐρωτηθεὶς ποίῳ καιρῷ δεῖ γαμεῖν, ἔφη· "Τοὺς μὲν νέους μηδέπω, τοὺς δὲ πρεσβυτέρους μηδεπώποτε." Ἐρωτηθεὶς τί θέλοι κονδύλου λαβεῖν, "Περικεφαλαίαν," ἔφη. Μειράκιον ἰδὼν καλλωπιζόμενον ἔφη· "Εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς· εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς." Ἰδών ποτε μειράκιον ἐρυθριῶν, "Θάρρει," ἔφη, "τοιοῦτόν ἐστι τῆς ἀρετῆς τὸ χρῶμα." Δυοῖν ποτε νομικοῖν ἀκούσας τοὺς δύο κατέκρινεν, εἰπὼν τὸν μὲν κεκλοφέναι, τὸν δὲ μὴ ἀπολωλεκέναι. Ἐρωτηθεὶς ποῖον οἶνον ἡδέως πίνει, ἔφη· "Τὸν ἀλλότριον." Πρὸς τὸν εἰπόντα· "Πολλοί σου καταγελῶσιν," "Ἀλλ' ἐγώ," ἔφη, "οὐ καταγελῶμαι."

Πρὸς τὸν εἰπόντα κακὸν εἶναι τὸ ζῆν, "Οὐ τὸ ζῆν," 55
εἶπεν, "ἀλλὰ τὸ κακῶς ζῆν." Πρὸς τοὺς συμβουλεύοντας τὸν ἀποδράντα αὐτοῦ δοῦλον ζητεῖν, "Γελοῖον," ἔφη, "εἰ Μάνης μὲν χωρὶς Διογένους ζῇ, Διογένης δὲ χωρὶς Μάνου οὐ δύναται." Ἀριστῶν ἐλάας, πλακοῦντος εἰσενεχθέντος, ῥίψας φησίν·

1–2 Fr. 200 G. Cf. DL 1.26; *Gnom. Vat.* 318 **2** Ἐρωτηθεὶς – **3** ἔφη : Fr. 456 G. Cf. 6.41 **4–5** ἀδικεῖς : Fr. 405 G. Cf. Stob. 3.6.38; *Gnom. Vat.* 171 **5** Ἰδὼν – **7** Fr. 399 G.; Arsen. *ib.* Cf. *Gnom. Vat.* 548 **7** Δυοῖν – **8** Fr. 461 G. Cf. *Gnom. Vat.* 190 **9** Ἐρωτηθεὶς – **10** Fr. 193 G.; Eudoc., p. 244.27–28 **10** Πρὸς – **11** Fr. 430 G. Cf. *Gnom. Vat.* 184; Plut. *De cohib. ira* 460 E; *V. Fab. Max.* 10.2 **12–13** Fr. 310 G.; Eudoc., p. 244.22–23; Arsen., p. 209. Cf. Stob. 4.53.26; *Gnom. Vat.* 183 **13** Πρὸς – **16** Fr. 441 G.; Arsen., p. 201. Cf. Stob. 4.19.47 et 4.33.3 (Teletis p. 41.13 Hense); Sen. *De tranq. an.* 8.3–7; Ael. *V.H.* 13.28 **16–p. 410.3** Fr. 494 G. Cf. Stob. 3.17.15

2 μηδέπω **ΔΠ** et Menagius (ex 1.26) : μηδέποτε **BPFΦ** | μηδεπόποτε **B** **3** τί ss. **F**[2] | θέλει **F** **4** εἰ μὲν – **6** ἔφη in mg infer. **F**[2] **5** ἀδικεῖς **PFΦ** : ἀτυχεῖς **B** **7** τοὺς δύο om. **Φ** **12** οὐ τὸ ζῆν om. **F** **14** ἔφη γελοῖον **F** | ante εἰ ss. ἔφη **F**[2] **16** δυνήσεται **Φ** et Teles

Ὦ ξένε, τυράννοις ἐκποδὼν μεθίστασο·

καὶ ἄλλοτε·

Μάστιξεν δ' ἐλάαν.

Ἐρωτηθεὶς ποδαπὸς εἴη κύων, ἔφη· "Πεινῶν Μελιταῖος, χορτασθεὶς δὲ Μολοττικός, τούτων οὓς ἐπαινοῦντες οἱ πολλοὶ οὐ τολμῶσι διὰ τὸν πόνον συνεξιέναι αὐτοῖς ἐπὶ τὴν θήραν· οὕτως οὐδὲ ἐμοὶ δύνασθε συμβιοῦν διὰ τὸν φόβον τῶν ἀλγηδόνων."

56 Ἐρωτηθεὶς εἰ σοφοὶ πλακοῦντα ἐσθίουσι, "πάντα," εἶπεν, "⟨ἀλλ' οὐχ⟩ ὡς καὶ οἱ λοιποὶ ἄνθρωποι." Ἐρωτηθεὶς διὰ τί προσαίταις μὲν ἐπιδιδόασι, φιλοσόφοις δὲ οὔ, ἔφη· "Ὅτι χωλοὶ μὲν καὶ τυφλοὶ γενέσθαι ἐλπίζουσι, φιλοσοφῆσαι δὲ οὐδέποτε." Φιλάργυρον ᾔτει· τοῦ δὲ βραδύνοντος, "Ἄνθρωπε," εἶπεν, "εἰς τροφήν σε αἰτῶ, οὐκ εἰς ταφήν." Ὀνειδιζόμενός ποτε ἐπὶ τῷ παραχαράξαι τὸ νόμισμα, ἔφη· "Ἦν ποτε χρόνος ἐκεῖνος ὅτ' ἤμην ἐγὼ τοιοῦτος ὁποῖος σὺ νῦν· ὁποῖος δ' ἐγὼ νῦν, σὺ οὐδέποτε." Καὶ πρὸς ἄλλον ἐπὶ τοῦ αὐτοῦ ὀνειδίσαντα, "Καὶ γὰρ ἐνεούρουν θᾶττον," εἶπεν, "ἀλλὰ νῦν οὔ."

1 Eurip. *Phoen.* 40 **3** cf. *Iliad.* 5.366; 8.45 **4–8** Fr. 143 G. Cf. 6.33 **9–10** Fr. 189 G. Cf. *Gnom. Vat.* 188 **10** Ἐρωτηθεὶς – **13** οὐδέποτε : Fr. 366 G.; Arsen., p. 208. Cf. *Gnom. Vat.* 413 **13–15** ταφήν : Fr. 251 G. **15–19** Fr. 4 G. **15–17** οὐδέποτε : Eudoc. 332, p. 244.19–22; Arsen., p. 201

2–3 ἄλλοτε μάστιξεν δ' *Frob.* : ἄλλοτε μάστιξε δ' **ΦP** : ἄλλοτ' ἐμάστιξε δ' **F** : ἄλλοτ' ἐμάστιξεν **B** **4** ποδαπὸς **BPF** : ποταπὸς **Φ** et *Frob.* | εἴη **ΦP** : εἶ **BF** | μελιτταῖος **P** **7** δύνασθαι **BF** **8** φόβον **BP** : πόνον **F** **9** ἐσθίωσι **F** | πάντα **BF** et *Gnom.* : πάντ' **P** : πάντες **Φ** **10** ἀλλ' οὐχ e *Gnom.* add. Sternbach et Gigon (*Deutsche Litzt.* 86 [1965] 103) **11** ἔφη om. **F** **14** εἶπεν ἄνθρωπε **F** **15** ἐπὶ τὸ **BF** **17** ἔγωγε **Φ** **18** ἐπὶ τοῦ αὐτοῦ **BP** : ἐπὶ τὸ αὐτὸ **F**, τὸ αὐτὸ **Φ** | ἐνεούρουν **B**[1]**PF** : ἐνούρουν **B**[2] in mg et **Φ** **19** εἶπεν **Φ** : om. **BPF**

Εἰς Μύνδον ἐλθὼν καὶ θεασάμενος μεγάλας ⟨μὲν⟩ τὰς 57
πύλας, μικρὰν δὲ τὴν πόλιν, ἔφη· "Ἄνδρες Μύνδιοι, κλείσατε τὰς πύλας, μὴ ἡ πόλις ὑμῶν ἐξέλθῃ." Θεασάμενός ποτε πορφυροκλέπτην πεφωραμένον ἔφη·

Ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.

Κρατέρου ἀξιοῦντος πρὸς αὐτὸν ἀπιέναι, "Ἀλλὰ βούλομαι," ἔφη, "ἐν Ἀθήναις ἅλα λείχειν ἢ παρὰ Κρατέρῳ τῆς πολυτελοῦς τραπέζης ἀπολαύειν." Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄντι προσελθών, "Ἐπίδος καὶ ἡμῖν," ἔφη, "τοῖς πτωχοῖς τῆς γαστρός· καὶ γὰρ αὐτὸς κουφισθήσῃ καὶ ἡμᾶς ὠφελήσεις." Διαλεγομένου ποτὲ τοῦ αὐτοῦ τάριχος προτείνας περιέσπασε τοὺς ἀκροατάς· ἀγανακτοῦντος δέ, "Τὴν Ἀναξιμένους," ἔφη, "διάλεξιν ὀβολοῦ τάριχος διαλέλυκεν."

Ὀνειδιζόμενός ποτε ὅτι ἐν ἀγορᾷ ἔφαγεν, "Ἐν ἀγορᾷ 58
γάρ," ἔφη, "καὶ ἐπείνησα." Ἔνιοι δὲ τούτου φασὶν εἶναι κἀκεῖνο, ὅτι Πλάτων θεασάμενος αὐτὸν λάχανα πλύνοντα, προσελθὼν ἡσυχῇ εἴποι αὐτῷ· "Εἰ Διονύσιον ἐθεράπευες, οὐκ ἂν λάχανα ἔπλυνες·" τὸν δὲ ἀποκρίνασθαι ὁμοίως ἡσυχῇ· "Καὶ σὺ εἰ λάχανα ἔπλυνες, οὐκ ἂν Διονύ-

1–3 ἐξέλθῃ : Fr. 286 G. Cf. *Gnom. Vat.* 168 **3–5** Fr. 495 G. **5** cf. *Iliad.* 5.83 **6–8** Fr. 51 G.; Arsen. *ib.* **8–14** Fr. 506 G. Eudoc., p. 243.23–25; Arsen. *ib.* Cf. 6.36; *FGrHist* 72 T 11 **15–16** Fr. 186 G.; Eudoc., p. 243.7–9 **16** Ἔνιοι – **p. 412.1** ἐθεράπευες : Fr. 56 G.; Eudoc., p. 243.3–7. Cf. 2.68

1 μὲν addidi **2** ἔφη om. **P** **5** ἔλλαβε **BP**[5] : ἔλαβε **P**[1]**FΦ** | πορφυραῖος **B** **7** ἅλα λείχειν **B**[2] in ras : ἄλλα λείχειαν **P**[1]**Q** (corr. **P**[4]**H**) **8** ἀναξιμένη **F** **9** παχιόντι **B** **10** καὶ αὐτὸς **Φ** **11** τοῦ **Φ** et Cobet : om. **BPF** | τάριχος **P**[1]**QΦ**, τάρειχος **B** : τάριχον **FP**[4]**H** **12** προσέσπασε **B** **13** τάρειχος **B** **16** φασὶ τούτου **F** **18** ἐθεράπευσας **B** **19** ἔπλυνας **F** | ἀποκρίνεσθαι **F**

σιον ἐθεράπευες." Πρὸς τὸν εἰπόντα "Οἱ πλείους σου καταγελῶσι," "Κἀκείνων τυχόν," εἶπεν, "οἱ ὄνοι· ἀλλ' οὔτε ἐκεῖνοι τῶν ὄνων ἐπιστρέφονται, οὔτε ἐγὼ ἐκείνων." Θεασάμενός μειράκιον φιλοσοφοῦν, "Εὖγε," εἶπεν, "ὅτι τοὺς τοῦ σώματος ἐραστὰς ἐπὶ τὸ τῆς ψυχῆς κάλλος μετάγεις."

59 Θαυμάζοντός τινος τὰ ἐν Σαμοθράκῃ ἀναθήματα, ἔφη· "Πολλῷ ἂν εἴη πλείω εἰ καὶ οἱ μὴ σωθέντες ἀνετίθεσαν·" οἱ δὲ τοῦτο Διαγόρου φασὶ τοῦ Μηλίου. Εὐμόρφῳ μειρακίῳ ἀπιόντι εἰς συμπόσιον ἔφη· "Χείρων ἐπανήξεις·" τοῦ δὲ ἐπανελθόντος καὶ τῇ ἑξῆς εἰπόντος· "Καὶ ἀπῆλθον καὶ χείρων οὐκ ἐγενόμην," ἔφη· "Χείρων μὲν οὔ, Εὐρυτίων δέ." Δύσκολον ᾔτει· τοῦ δ' εἰπόντος, "Ἐάν με πείσῃς·" ἔφη· "Εἴ σε ἐδυνάμην πεῖσαι, ἔπεισα ἄν σε ἀπάγξασθαι." Ἐπανήρχετο ἐκ Λακεδαίμονος εἰς Ἀθήνας· πρὸς οὖν τὸν πυθόμενον "Ποῖ καὶ πόθεν;" "Ἐκ τῆς ἀνδρωνίτιδος," εἶπεν, "εἰς τὴν γυναικωνῖτιν."

60 Ἐπανῄει ἀπ' Ὀλυμπίων· πρὸς οὖν τὸν πυθόμενον εἰ ὄχλος ἦν πολύς, "Πολὺς μέν," εἶπεν, "ὁ ὄχλος, ὀλίγοι δὲ ἄνθρωποι." Τοὺς ἀσώτους ἔφη παραπλησίους εἶναι συ-

1 Πρὸς – **3** ἐκείνων : Fr. 431 G. **4–5** Fr. 397 G.; Arsen. *ib.* Cf. *Gnom. Vat.* 176 **7–8** Fr. 342 G.; Arsen. *ib.* **9** Εὐμόρφῳ – **13** Fr. 485 G. **13** Εὐρυτίων : i.q. εὐρύπρωκτος **13** Δύσκολον – **15** Fr. 250 G. **15–17** Fr. 282 G.; Arsen., p. 202; Cf. Theonis *Progymn.* 5, p. 104.15 Spengel **18–20** Fr. 273 G. Cf. 6.40 **20–p. 413.2** Fr. 321 G. Cf. Stob. 4.31.48

1 ὅτι οἱ **Φ** **2** κακεῖνον **F** **3** τὸν ὄνον **F**[1] (corr. **F**[2]) **4** ποτε μειράκιον **F** **8** εἴη **BPF** et Arsen. : ἦν **Φ** et Cobet | ἀνετήθεσαν **B** **9** μηλίου **F** : μηδίου **BP** **12** ἔφη om. **F** **14** ἄν σε **Φ** : σε ἂν **BP** : ἂν **F** **17** ἀνδρονείτιδος **B** **19** ἦν **BPΦ** : εἴη **F** **20** οἱ ἄνθρωποι **F** | ἔφη **BPΦ** : εἶπε **F** | εἶναι om. **F**

καῖς ἐπὶ κρημνῷ πεφυκυίαις, ὧν τοῦ καρποῦ ἄνθρωπος μὲν οὐκ ἀπογεύεται, κόρακες δὲ καὶ γῦπες ἐσθίουσι. Φρύνης Ἀφροδίτην χρυσῆν ἀναθείσης ἐν Δελφοῖς τοῦτον ἐπιγράψαι ⟨φασίν·⟩ "Ἀπὸ τῆς τῶν Ἑλλήνων ἀκρασίας." Ἀλεξάνδρου ποτὲ ἐπιστάντος αὐτῷ καὶ εἰπόντος· "Ἐγώ εἰμι Ἀλέξανδρος ὁ μέγας βασιλεύς," "Κἀγώ," φησί, "Διογένης ὁ Κύων." Ἐρωτηθεὶς τί ποιῶν κύων καλεῖται, ἔφη· "Τοὺς μὲν διδόντας σαίνων, τοὺς δὲ μὴ διδόντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων."

Ἀπὸ συκῆς ὠπώριζε· τοῦ δὲ φυλάττοντος εἰπόντος· 61
"Αὐτόθεν πρώην ἄνθρωπος ἀπήγξατο," "Ἐγὼ οὖν," φησίν, "αὐτὴν καθαρῶ." Ἰδὼν Ὀλυμπιονίκην εἰς ἑταίραν πυκνότερον ἀτενίζοντα, "Ἴδε," ἔφη, "κριὸν Ἀρειμάνιον ὡς ὑπὸ τοῦ τυχόντος κορασίου τραχηλίζεται." Τὰς εὐπρεπεῖς ἑταίρας ἔλεγε θανασίμῳ μελικράτῳ παραπλησίας εἶναι. Ἀριστῶντι αὐτῷ ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχὲς ἔλεγον "Κύον·" ὁ δέ, "Ὑμεῖς," εἶπεν, "ἐστὲ κύνες, οἵ με ἀριστῶντα περιεστήκατε." Δύο μαλακῶν περικρυπτομένων αὐτὸν

2 Φρύνης – 4 Fr. 212 G. Cf. *Schol.* in Aristoph. *Plut.* 179. – De Cratete cf. Plut. *De Alex. fort.* 336 C–D; *De Pyth. orac.* 401 A; Athen. 13, 591 B; Ael. *V.H.* 9.32; Stob. 3.6.46; Clem. *Paed.* 3.21.4 et al. **5–7** ὁ Κύων : Fr. 34 G.; Eudoc., p. 241.3–5; Arsen. *ib.* **7** Ἐρωτηθεὶς – **9** Fr. 143 G.; Eudoc., p. 241.5–7; Arsen. *ib.* **10–12** Fr. 348 G. **12** Ἰδὼν – **14** Fr. 452 G. Cf. Plut. *De curios.* 521 B; Ael. *V.H.* 12.58 **14–15** Fr. 209 G. Cf. *Gnom. Vat.* 142 **16** Ἀριστῶντι – **18** Fr. 147 G.; Eudoc., p. 243.9–11; Arsen. *ib.* Cf. *Gnom. Vat.* 175 **18** Δύο – **p. 414.1** Fr. 145 G. Cf. 6.45

1–2 ἄνθρωπος μὲν **Φ** : μὲν ἄνθρωπος **BP** : ἄνθρωπος **F** **2** φρίνης **F** **3** ἀναθήσας **F** | τοῦτον **BP** : τοῦτο **F** : om. **Φ** **4** ἐπιγράψαι **BPF** : ἐπέγραψεν **Φ** | φασίν add. Cobet | ἀπὸ τῆς **ΦF** : τῆς ἀπὸ **BP** **10** ὀπώριζεν **B** **11** αὐτόθι **Φ** | οὖν φησὶν **Φ** : φησὶν οὖν **BP** : φησὶν **F** **12** ἑτέραν **B**[1]**F**[1] (corr. **B**[2]**F**[2]) **13** ἀριμάνιον **Φ** **15** ἑτέρας **B**[1] (corr. **B**[2]) **17** κύον **PFΦ** : κύων **B** | ὑμεῖς εἶπεν **BP** : εἶπεν ὑμεῖς **F** | ἔφη **Φ**

ἔφη· "Μὴ εὐλαβεῖσθε· κύων τευτλία οὐ τρώγει." Περὶ παιδὸς πεπορνευκότος ἐρωτηθεὶς πόθεν εἴη, "Τεγεάτης," ἔφη.
62 Ἀφυῆ παλαιστὴν θεασάμενος ἰατρεύοντα ἔφη· "Τί τοῦτο; Ἦ ἵνα τούς ποτέ σε νικήσαντας νῦν καταβάλῃς;" Θεασάμενος υἱὸν ἑταίρας λίθον εἰς ὄχλον βάλλοντα, "Πρόσεχε," ἔφη, "μὴ τὸν πατέρα πλήξῃς."

Δείξαντος αὐτῷ παιδαρίου μάχαιραν ἣν εἰλήφει παρὰ ἐραστοῦ, "Ἡ μὲν μάχαιρα," ἔφη, "καλή, ἡ δὲ λαβὴ αἰσχρά." Ἐπαινούντων τινῶν τὸν ἐπιδόντα αὐτῷ ἔφη· "Ἐμὲ δὲ οὐκ ἐπαινεῖτε τὸν ἄξιον λαβεῖν;" Ἀπαιτούμενος ὑπό τινος τρίβωνα ἔφη· "Εἰ μὲν ἐχαρίσω, ἔχω· εἰ δὲ ἔχρησας, χρῶμαι." Ὑποβολιμαίου τινὸς εἰπόντος αὐτῷ ὅτι χρυσὸν ἔχοι ἐν τῷ ἱματίῳ, "Ναί," ἔφη, "διὰ τοῦτο αὐτὸ ὑποβεβλημένος
63 κοιμᾷ." Ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη· "Καὶ εἰ μηδὲν ἄλλο, τὸ γοῦν πρὸς πᾶσαν τύχην παρεσκευάσθαι." Ἐρωτηθεὶς πόθεν εἴη, "Κοσμοπολίτης," ἔφη. Θυόντων τινῶν τοῖς θεοῖς ἐπὶ τῷ υἱὸν γενέσθαι, ἔφη· "Περὶ δὲ τοῦ ποδαποὺς ἐκβῇ οὐ θύετε;" Ἔρανόν

1 Περὶ – **2** ἔφη : Fr. 400 G. **2** Τεγεάτης : i.q. ὁ ἀπὸ τοῦ τέγους **3** Ἀφυῆ – **4** Fr. 447 G. Cf. *Gnom. Vat.* 226 **4–6** Fr. 211 G.; Eudoc., p. 243.18–20. Cf. *Gnom. Vat.* 178; Eustath. ad *Il.* 24.499 **7–8** Fr. 491 G. **9** Ἐπαινούντων – **10** λαβεῖν : Fr. 248 G. **10–12** χρῶμαι : Fr. 252 G. **12–14** κοιμᾷ : Fr. 226 G. **14–16** Fr. 360 G.; Eudoc., p. 245.5–7 **16–17** Fr. 355 G.; Arsen. *ib.* **17** Θυόντων – **18** Fr. 343 G. **18** Ἔρανον – **p. 415.2** Fr. 496 G.

1 ἔφη ante κύων **F** | εὐλαβεῖσθαι **B** | τευτλία **BΦ** et **P**[1] in mg : τεῦτλα **P**[1] in textu et **F** **3** ἀφυὴν **B** **4** καταβαλεῖς **Φ** | θεασάμενος **BPF** : ἰδὼν **Φ** **5** ἑτέρας **B**[1] (corr. **B**[2]) **7** εἰλήφει **PF** : εἴληφε **B** : ἔλαβε **Φ** **10** ἐπαινεῖται **B** **14** κοιμᾷ Cobet (cf. von Fritz, 18) : κοιμῶμαι **BPFΦ** **14** ἐρωτηθεὶς – **16** παρεσκευάσθαι in mg **F**[2] **14** προσγέγονεν **F**[2] **15** ἄλλω **B** **18** δὲ om. **F** | θύεται **BF**

ποτε ἀπαιτούμενος πρὸς τὸν ἐρανάρχην ἔφη·

Τοὺς ἄλλους ἐράνιζ', ἀπὸ δ' Ἕκτορος ἴσχεο χεῖρας.

Τὰς ἑταίρας ἔφη βασιλέων εἶναι βασιλίσσας· αἰτεῖν γὰρ ὅ τι ἂν δόξῃ αὐταῖς. Ψηφισαμένων Ἀθηναίων Ἀλέξανδρον Διόνυσον, "Κἀμέ," ἔφη, "Σάραπιν ποιήσατε." Πρὸς τὸν ὀνειδίζοντα ὡς εἰς τόπους ἀκαθάρτους εἰσίοι, "Καὶ γὰρ ὁ ἥλιος," ἔφη, "εἰς τοὺς ἀποπάτους, ἀλλ' οὐ μιαίνεται."

Ἐν ἱερῷ δειπνῶν, μεταξὺ ῥυπαρῶν ἄρτων παρατεθέν- 64
των, ἄρας αὐτοὺς ἔρριψεν, εἰπὼν εἰς ἱερὸν μηδένα δεῖν ῥυπαρὸν εἰσιέναι. Πρὸς τὸν εἰπόντα, "Οὐδὲν εἰδὼς φιλοσοφεῖς," ἔφη· "Εἰ καὶ προσποιοῦμαι σοφίαν, καὶ τοῦτο φιλοσοφεῖν ἐστι." Πρὸς τὸν συνιστάντα ⟨αὐτῷ⟩ τὸν παῖδα καὶ λέγοντα ὡς εὐφυέστατός ἐστι καὶ τὰ ἤθη κράτιστος, "Τί οὖν," εἶπεν, "ἐμοῦ χρῄζει;" Τοὺς λέγοντας μὲν τὰ σπουδαῖα, μὴ ποιοῦντας δὲ ἔλεγε μηδὲν διαφέρειν κιθάρας· καὶ γὰρ ταύτην μήτε ἀκούειν μήτε αἰσθάνεσθαι. Εἰς

3–4 Fr. 208 G. Cf. Stob. 4.21.15 **4–5** Fr. 36 G. Cf. J. Servais, *L'Antiq. class.* 28 (1958) 98–106 **6** Πρὸς – **8** Fr. 269 G.; Arsen. *ib.* Cf. Orig. *C. Celsum* 6.73 et al. **9–11** Fr. 349 G. **11** Πρὸς – **13** Fr. 364 G. Cf. *Gnom. Vat.* 174 **13** Πρὸς – **15** Fr. 392 G. Cf. *Gnom. Vat.* 198 **15** Τοὺς – **17** Fr. 320 G. Cf. Stob. 3.23.10 **17–p. 416.2** Fr. 267 G.

1 ἀπαιτούμενος **Φ**, Cobet : αἰτούμενος **BPF** **2** ἐράνιζ' **Φ**, Stephanus^2 (in *Praef.*) : ἐνάριζ' **BPF** **3** ἑτέρας **B**^{1} (corr. **B**^{2}) | αἰτεῖν **PFΦ**, αἰτεῖ **B** : ἃ ἂν προστάττωσι Stob. : πράττειν Cobet **6** ὀνειδίσαντα **F** | ὡς **BPΦ** : ὅτι **F** | εἰσίοι **PΦ** : εἰσίει **B** : εἰσῄει **F** **7** ὁ **FΦ** : om. **BP** **9** παρατεθέντων in mg infer. **F**^{2} **10** αὐτοὺς om. **F** | ἔριψεν **B** | μηδένα **BP** : μηδὲν **Φ** : μὴ **F** **11** πρὸς – **13** ἐστι in mg super. **F**^{2} **12** σοφίαν **PF**^{2}**Φ** : φιλοσοφίαν **B** **13** αὐτῷ addidi e Stobaeo (cf. 7.183) **14** καὶ τὰ ἤθη κράτιστος in mg **F**^{2} **15** χρήζῃ **P** **16** ἔλεγε om. **F** **17** εἰς θέατρον – **p. 416.2** ποιεῖν in mg **F**^{2}

θέατρον εἰσῄει ἐναντίος τοῖς ἐξιοῦσιν· ἐρωτηθεὶς δὲ διὰ τί, "Τοῦτ'," ἔφη, "ἐν παντὶ τῷ βίῳ ἐπιτηδεύω ποιεῖν."

65 Ἰδών ποτε νεανίσκον θηλυνόμενον, "Οὐκ αἰσχύνῃ," ἔφη, "χείρονα τῆς φύσεως περὶ σεαυτοῦ βουλευόμενος; Ἡ μὲν γάρ σε ἄνδρα ἐποίησε, σὺ δὲ σεαυτὸν βιάζῃ γυναῖκα εἶναι." Ἰδὼν ἄφρονα ψαλτήριον ἁρμοζόμενον, "Οὐκ αἰσχύνῃ," ἔφη, "τοὺς μὲν φθόγγους τῷ ξύλῳ προσαρμόττων, τὴν δὲ ψυχὴν εἰς τὸν βίον μὴ ἁρμόττων;" Πρὸς τὸν εἰπόντα· "Ἀνεπιτήδειός εἰμι πρὸς φιλοσοφίαν," "Τί οὖν," ἔφη, "ζῇς, εἰ τοῦ καλῶς ζῆν μὴ μέλει σοι;" Πρὸς τὸν καταφρονοῦντα τοῦ πατρός, "Οὐκ αἰσχύνῃ," ἔφη, "καταφρονῶν τούτου δι' ὃν μέγα φρονεῖς;" Ἰδὼν εὐπρεπῆ νεανίσκον ἀπρεπῶς λαλοῦντα, "Οὐκ αἰσχύνῃ," ἔφη, "ἐξ ἐλεφαντίνου κολεοῦ μολυβδίνην ἕλκων μάχαιραν;"

66 Ὀνειδιζόμενος ὅτι ἐν καπηλείῳ πίνει, "Καὶ γὰρ ἐν κουρείῳ," φησί, "κείρομαι." Ὀνειδιζόμενος ὅτι παρὰ Ἀντιπάτρου τριβώνιον ἔλαβεν, ἔφη·

Οὔτοι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα.

Πρὸς τὸν ἐνσείσαντα αὐτῷ δοκόν, εἶτα εἰπόντα "Φύλα-

3–6 Fr. 403 G. Cf. *Gnom. Vat.* 144 (Aristotelis) **6** Ἰδὼν – **8** Fr. 319 G. **8** Πρὸς – **10** Fr. 362 G.; Eudoc., p. 244.4–6 **10** Πρὸς – **12** Fr. 396 G. Cf. *Gnom. Vat.* 429 **12** Ἰδὼν – **14** Fr. 411 G.; Eudoc., p. 244.14–16; Arsen. *ib.* **15–16** Fr. 194 G. **16** Ὀνειδιζόμενος – **18** Fr. 52 G.; Arsen. *ib.* **18** *Iliad.* 3.65 **19** Πρὸς – **p. 417.1** Fr. 457 G. Cf. 6.41

1 εἰσίει **B** | δὲ om. **B** **2** ἐν **Φ** : om. **BPF** **7** εἶπε **Φ** | προσαρμόζων **F** **8** ἐς **F** | ἁρμόττον **F** **10** ἔφης **B** | μέλοι **B** **13** ἀλλοῦντα **B** **14** κολεοῦ F^1, κουλεοῦ F^2 | μολιβδύνην **F**, μολιβδίνην **Φ** **15** καπηλίω **B** | γὰρ **Φ** : om. **BPF** **16** κουρίω **B** | ἔφη **Φ** | κείρωμαι **B** **16** ὀνειδιζόμενος – **18** δῶρα in mg infer. F^2 **17** τριβόνιον **B** **18** οὔτοι **BP** : οὔτι F^2**Φ**

ξαι," πλήξας αὐτὸν τῇ βακτηρίᾳ, ἔφη· "Φύλαξαι." Πρὸς τὸν λιπαροῦντα τὴν ἑταίραν, "Τί θέλεις," ἔφη, "τυχεῖν, ὦ ταλαίπωρε, οὗ τὸ ἀποτυχεῖν ἄμεινόν ἐστι;" Πρὸς τὸν μυριζόμενον, "Βλέπε," εἶπε, "μὴ ἡ τῆς κεφαλῆς σου εὐωδία δυσωδίαν σου τῷ βίῳ παράσχῃ." Τοὺς μὲν οἰκέτας τοῖς δεσπόταις, τοὺς δὲ φαύλους ταῖς ἐπιθυμίαις δουλεύειν ἔλεγεν.

Ἐρωτηθεὶς διὰ τί ἀνδράποδα ἐκλήθη, "Ὅτι," φησί, 67
"τοὺς πόδας ἀνδρῶν εἶχον, τὴν δὲ ψυχὴν ὁποίαν σὺ νῦν ὁ ἐξετάζων." Ἄσωτον ᾔτει μνᾶν· πυθομένου δὲ διὰ τί τοὺς μὲν ἄλλους ὀβολὸν αἰτεῖ, αὐτὸν δὲ μνᾶν, "Ὅτι," εἶπε, "παρὰ μὲν τῶν ἄλλων πάλιν ἐλπίζω λαβεῖν, παρὰ δὲ σοῦ θεῶν ἐν γούνασι κεῖται εἰ πάλιν λήψομαι." Ὀνειδιζόμενος ὅτι αὐτὸς αἰτεῖ, Πλάτωνος μὴ αἰτοῦντος, "Κἀκεῖνος," εἶπεν, "αἰτεῖ, ἀλλ'

ἄγχι σχὼν κεφαλήν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι."

Ἰδὼν τοξότην ἀφυῆ παρὰ τὸν σκοπὸν ἐκάθισεν, εἰπών· "Ἵνα μὴ πληγῶ." Τοὺς ἐρῶντας ἔφη πρὸς ἡδονὴν ἀτυχεῖν.

Ἐρωτηθεὶς εἰ κακὸν ὁ θάνατος, "Πῶς," εἶπε, "κακόν, 68

1 Πρὸς – **3** Fr. 210 G. **3** Πρὸς – **5** Fr. 325 G. **5** Τοὺς – **7** Fr. 318 G. **8–10** Fr. 440 G.; Arsen. *ib.* **10** Ἄσωτον –**13** Fr. 253 G.; Arsen., p. 209. Cf. Stob. 3.15.9; Maxim. Conf. *Loci comm.* 61.17 **13** Ὀνειδιζόμενος – **16** Fr. 58 G.; Arsen., p. 202 **16** *Odyss.* 1.157; 4.70 **17** Ἰδὼν – **18** πληγῶ : Fr. 455 G. **18** Fr. 199 G. **19–p. 418.1** Fr. 87 G.; Eudoc., p. 244.3–4; Arsen., p. 203

2 τὴν ἑταίραν **Φ** et Richards : τῇ ἑταίρα **BPF** | ἑτέρα **B**^{1} (corr. **B**^{2}) | θέλης **B** | τυχεῖν ἔφη **F** **3** ἄμυνόν **F** **5** post οἰκέτας addit in mg εἶπε **P**^{5} **6** ταῖς **F** : om. **BPΦ** **7** ἔλεγεν **Φ** : om. **BPF** **10** ἄσωτον – **13** λήψομαι in mg infer. **F**^{2} **11** αἰτεῖ **Φ** : ζητεῖ **PF**^{2} et Stob. : om. **B** (lacuna 5 litt.) **12** πάλιν **PFΦ** : πάντων **B** **15** ἀλλ' om. **Φ** **16** αγχ' ἴσχων **B** | πειθοίατ' **BP**^{1} (corr. **P**^{2}**Q**) **19** κακὸν bis Gigante (1972) : κακὸς bis **BPFΦ**

οὗ παρόντος οὐκ αἰσθανόμεθα;" Πρὸς Ἀλέξανδρον ἐπιστάντα ⟨αὐτῷ⟩ καὶ εἰπόντα· "Οὐ φοβῇ με;", "Τί γάρ," εἶπεν, "εἶ; Ἀγαθὸν ἢ κακόν;" Τοῦ δὲ εἰπόντος "Ἀγαθόν," "Τίς οὖν," εἶπε, "τὸ ἀγαθὸν φοβεῖται;" Τὴν παιδείαν εἶπε τοῖς μὲν νέοις σωφροσύνην, τοῖς δὲ πρεσβυτέροις παραμυθίαν, τοῖς δὲ πένησι πλοῦτον, τοῖς δὲ πλουσίοις κόσμον εἶναι. Πρὸς Διδύμωνα τὸν μοιχὸν ἰατρεύοντά ποτε κόρης ὀφθαλμόν, "Ὅρα," φησί, "μὴ τὸν ὀφθαλμὸν τῆς παρθένου θεραπεύων τὴν κόρην φθείρῃς." Εἰπόντος τινὸς ὅτι ὑπὸ τῶν φίλων ἐπιβουλεύεται, "Καὶ τί δεῖ πράττειν," ἔφη, "εἰ δεήσει τοῖς φίλοις καὶ τοῖς ἐχθροῖς ὁμοίως χρῆσθαι;"

69 Ἐρωτηθεὶς τί κάλλιστον ἐν ἀνθρώποις, ἔφη· "Παρρησία." Εἰσελθὼν εἰς διδασκάλου καὶ Μούσας μὲν ἰδὼν πολλάς, μαθητὰς δὲ ὀλίγους, "Σὺν θεοῖς," ἔφη, "διδάσκαλε, πολλοὺς μαθητὰς ἔχεις." Εἰώθει δὲ πάντα ποιεῖν ἐν τῷ μέσῳ, καὶ τὰ Δήμητρος καὶ τὰ Ἀφροδίτης. Καὶ τοιούτους τινὰς ἠρώτα λόγους· Εἰ τὸ ἀριστᾶν μηδὲν εἴη ἄτοπον, οὐδ' ἐν ἀγορᾷ ἐστιν ἄτοπον· οὐκ ἔστι δὲ ἄτοπον τὸ ἀριστᾶν· οὐδ' ἄρα ἐν ἀγορᾷ ἐστιν ἄτοπον. Χειρουργῶν

1 Πρὸς – **4** φοβεῖται : Fr. 40 G.; Eudoc., p. 244.16–19; Arsen. *ib.* **4–7** Fr. 380 G.; Eudoc., p. 244.6–9; Arsen. *ib.* **7** Πρὸς – **9** φθείρῃς : Fr. 489 G.; Arsen. *ib.* **9–11** Fr. 419 G. **12** Fr. 473 G. **13** Εἰσελθὼν – **15** ἔχεις : Fr. 389 G. Cf. Athen. 8, 348 D **15** Εἰώθει – **p. 419.2** Fr. 147 G. **19–p. 419.2** Arsen. *ib.* Cf. 6.46

2 αὐτῷ addidi (cf. 6.38) **3** εἰ **B** **4** εἶπε^2 : ἔφη **F** **7** ποτε **BP** et Arsen. : om. **FΦ** **9** φθείρεις **F** **12** κάλλιστον **BPF** : καλόν ἐστιν **Φ** **12** παρρησία ἔφη **F** **15** εἰώθη **B** | δὲ ss. **F**^{2} **16** καὶ τὰ δήμητρος in mg **B**^{2} **17** εἴη **BPFΦ** : ἐστιν Cobet **18** post ἄτοπον^2 addit τὸ ἀριστᾶν **B** **18** οὐκ ἔστι – **p. 419.2** παύσασθαι in mg infer. **F**^{2} **19** ἄρα **Φ** : om. **BPF** | post ἄτοπον duo χρείας (Frr. 26 et 500 G.) addit **Φ** : om. **BPF** (cf. L. Tartaglia, *Rendiconti Accad. Napoli* 49 [1974] 262–264) | χειρουργῶν **BP**^{1}**QF** : συνεύμενός **P**^{5}

τε ἐν τῷ μέσῳ συνεχές, "Εἴθε ἦν," ἔλεγε, "καὶ τὴν κοιλίαν παρατριψάμενον τοῦ λιμοῦ παύσασθαι." Ἀναφέρεται δὲ καὶ ἄλλα εἰς αὐτόν, ἃ μακρὸν ἂν εἴη καταλέγειν πολλὰ ὄντα.

Διττὴν δὲ ἔλεγε εἶναι τὴν ἄσκησιν, τὴν μὲν ψυχικήν, **70** τὴν δὲ σωματικήν· ταύτην καθ' ἣν ἐν γυμνασίᾳ συνεχεῖ γινόμεναι φαντασίαι εὐλυσίαν πρὸς τὰ τῆς ἀρετῆς ἔργα παρέχονται. Εἶναι δὲ ἀτελῆ τὴν ἑτέραν χωρὶς τῆς ἑτέρας, οὐδὲν ἧττον εὐεξίας καὶ ἰσχύος ἐν τοῖς προσήκουσι γενομένης, ὡς περὶ τὴν ψυχὴν καὶ περὶ τὸ σῶμα. Παρετίθετο δὲ τεκμήρια τοῦ ῥᾳδίως ἀπὸ τῆς γυμνασίας ἐν τῇ ἀρετῇ καταγίνεσθαι· ὁρᾶν τε γὰρ ἔν τε ταῖς τέχναις ταῖς βαναύσοις καὶ ταῖς ἄλλαις οὐ τὴν τυχοῦσαν ὀξυχειρίαν τοὺς τεχνίτας ἀπὸ τῆς μελέτης πεποιημένους τούς τε ἀθλητὰς καὶ τοὺς αὐλητὰς ὅσον ὑπερφέρουσιν ἑκάτεροι τῇ ἰδίᾳ πονήσει τῇ συνεχεῖ, καὶ ὡς οὗτοι εἰ μετήνεγκαν τὴν ἄσκησιν καὶ ἐπὶ τὴν ψυχήν, οὐκ ἂν ἀνωφελῶς καὶ ἀτελῶς ἐμόχθουν.

Οὐδέν γε μὴν ἔλεγε τὸ παράπαν ἐν τῷ βίῳ χωρὶς ἀσκή- **71** σεως κατορθοῦσθαι, δυνατὴν δὲ ταύτην πᾶν ἐκνικῆσαι. Δέον οὖν ἀντὶ τῶν ἀχρήστων πόνων τοὺς κατὰ φύσιν ἑλομένους ζῆν εὐδαιμόνως, παρὰ τὴν ἄνοιαν κακοδαιμο-

5–p. 420.8 Fr. 291 G. Cf. M.-O. Goulet-Cazé, *L'Ascèse Cynique* (Parisiis, 1986)

1 συνεχῶς **F**^{2} **2** λοιμοῦ **B** **3–4** καταλέγειν πολλὰ ὄντα **BP** : λέγειν πάντα **F** **6** καθ' ἣν ss. **P**^{2} | συνεχεῖ Reiske, Richards (cf. v. 16) : συνεχεῖς **BPF** **7** γενόμεναι **B** **9** προσηκούσαις **F**^{1} (corr. **F**^{2}) | γινομένης **F** **10** περὶ^2 **P** : om. **BF** **11** ἀπὸ τῆς γυμνασίας in mg **F**^{2} **12** ταῖς^2 om. **P** **13–14** τοῖς τεχνίταις **F** **14** τεχνήτας **B** | πεποιημένους **B**^{2}**P** (ποιημένους **B**^{1}) : ποιουμένους **F** **16** ποιήσει **F** | συνεχῆ **F** | ἄσκησιν **PF** : δόκησιν **B** **19** παράπαν **P**^{2}**Q** **F** : παραστὰν **BP**^{1} **21** ἑλωμένους **F** **22** εὐδαιμόνως **B** **P** : εὐσχημόνως **F**

νοῦσι. Καὶ γὰρ αὐτῆς τῆς ἡδονῆς ἡ καταφρόνησις ἡδυτάτη προμελετηθεῖσα, καὶ ὥσπερ οἱ συνεθισθέντες ἡδέως ζῆν, ἀηδῶς ἐπὶ τοὐναντίον μετίασιν, οὕτως οἱ τοὐναντίον ἀσκηθέντες ἥδιον αὐτῶν τῶν ἡδονῶν καταφρονοῦσι. Τοιαῦτα διελέγετο καὶ ποιῶν ἐφαίνετο, ὄντως νόμισμα παραχαράττων, μηδὲν οὕτω τοῖς κατὰ νόμον ὡς τοῖς κατὰ φύσιν διδούς· τόν ⟨τε⟩ αὐτὸν χαρακτῆρα τοῦ βίου λέγων διεξάγειν ὅνπερ καὶ Ἡρακλῆς, μηδὲν ἐλευθερίας προκρίνων.

72 Πάντα τῶν σοφῶν εἶναι λέγων καὶ τοιούτους λόγους ἐρωτῶν οἵους ἄνω προειρήκαμεν· Πάντα τῶν θεῶν ἐστι· φίλοι δὲ τοῖς σοφοῖς οἱ θεοί· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα τῶν σοφῶν. Περί τε τοῦ νόμου ὅτι χωρὶς αὐτοῦ οὐχ οἷόν τε πολιτεύεσθαι· οὐ γάρ φησιν ἄνευ πόλεως ὄφελός τι εἶναι ἀστείου· ἀστεῖον δὲ ἡ πόλις· νόμου δὲ ἄνευ πόλεως οὐδὲν ὄφελος· ἀστεῖον ἄρα ὁ νόμος. Εὐγενείας δὲ καὶ δόξας καὶ τὰ τοιαῦτα πάντα διέπαιζε, προκοσμήματα κακίας εἶναι λέγων· μόνην τε ὀρθὴν πολιτείαν εἶναι τὴν ἐν κόσμῳ. Ἔλεγε δὲ καὶ κοινὰς εἶναι δεῖν τὰς γυναῖκας, γάμον μηδὲν νομίζων, ἀλλὰ τὸν πείσαντα τῇ πεισθείσῃ συνεῖναι· κοινοὺς δὲ διὰ τοῦτο καὶ τοὺς υἱέας.

73 Μηδέν τε ἄτοπον εἶναι ἐξ ἱεροῦ τι λαβεῖν ἢ τῶν ζῴων

5 ὄντως – 7 διδούς : Fr. 7 G. Cf. 6.20 et 56 **10–13** cf. 6.37 **10–p. 421.1** γεύσασθαι : Fr. 353 G.; Arsen., p. 203 s. **13** Περὶ – **16** ὁ νόμος : cf. Stob. $2.7.11^{1}$ (II, p. 103.17 W.) et M.-O. Goulet-Cazé, *Rhein. Mus.* 125 (1982) 214–240

1 αὐτῆς **BP** : αὕτη **F**, αὐτὴ Cobet **2** μελετηθεῖσα **F** | συναθροισθέντες **F** **3** μετήεσαν **F** **6–7** ταῖς κατὰ φύσιν **F** **15** et **16** ὤφελος **F** **15** ἀστείου in mg $\mathbf{B}^2$ **17** προσκοσμήματα $\mathbf{BP}^1$ (corr. $\mathbf{FP}^4\mathbf{H}$) **18** λέγων – **19** εἶναι in mg $\mathbf{B}^2$ **19** τῷ κόσμῳ **F** **20** μηδὲν **PFΦ** : μηδὲ **B** **20** νομίζων Cobet : ὀνομάζων **BPF** **21** πεισθείσῃ Stephanus : πεισάσῃ **BPFΦ**

τινὸς γεύσασθαι· μηδὲ ἀνόσιον εἶναι τὸ καὶ τῶν ἀνθρωπείων κρεῶν ἅψασθαι, ὡς δῆλον ἐκ τῶν ἀλλοτρίων ἐθῶν· καὶ τῷ δὴ ὀρθῷ λόγῳ πάντα ἐν πᾶσι καὶ διὰ πάντων εἶναι λέγων. Καὶ γὰρ ἐν τῷ ἄρτῳ κρέως εἶναι καὶ ἐν τῷ λαχάνῳ ἄρτου, ὡς τῶν σωμάτων τῶν λιτῶν ἐν πᾶσι διά τινων ἀδήλων πόρων τῶν ὄγκων εἰσκρινομένων καὶ συνατμιζομένων, ὡς δῆλον ἐν τῷ Θυέστῃ ποιεῖ, εἴ γε αὐτοῦ αἱ τραγῳδίαι καὶ μὴ Φιλίσκου τοῦ Αἰγινήτου ἐκείνου γνωρίμου ἢ Πασιφῶντος τοῦ Λουσιάτου, ὅν φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ μετὰ τὴν τελευτὴν αὐτοῦ συγγράψαι. Μουσικῆς τε καὶ γεωμετρικῆς καὶ ἀστρολογίας καὶ τῶν τοιούτων ἀμελεῖν, ὡς ἀχρήστων καὶ οὐκ ἀναγκαίων.

Εὐστοχώτατος δὲ ἐγένετο ἐν ταῖς ἀπαντήσεσι τῶν λό- 74
γων, ὡς δῆλον ἐξ ὧν προειρήκαμεν. Καὶ πρᾶσιν ἤνεγκε

1 μηδὲ – **7** ποιεῖ : Fr. 132 G. **6** τῶν ὄγκων : cf. Aet. 1.17.3 et G. Donzelli, *SIFC* 37 (1965) 241–258 **7** ἐν τῷ Θυέστῃ : Diogenis T 1d (*TrGF* I) **7** εἴ γε αὐτοῦ – **10** συγγράψαι : Fr. 128 G. **8** Φιλίσκου : T 2 Snell (*TrFG* I, 258). Cf. DL 6.80; Iuliani *Or.* 9 (6).7 (p. 186 C); 7.6 et 7.8 (pp. 210 CD et 211 D – 212 A) **9–10** Favorini Fr. 40 Mensching **11–12** Fr. 370 G. **13–14** Fr. 472 G.; Eudoc., p. 245.2–4 **14** Καὶ πρᾶσιν – **p. 422.15** Fr. 70 G.; Eudoc., p. 243.14–18; Arsen., p. 204. Cf. DL 6.29–31

1 τινὸς **BPΦ** : τινὰ **F** | μηδὲν **P** | ἀνθρωπίων **B** : ἀνθρωπίνων **Φ** **2** ἐθῶν om. **F** **3** τῷ δὴ scripsi : τῶδε **BPF** : τῷ δὲ Menagius : τῷ Cobet : τῶ ὀρθῶ δὲ **D** **4** λέγων – εἶναι in mg **B²** | κρέως **BPF** : κρέας **ΦD**, Stephanus **5** ἄρτου **BP** : ἄρτον **FDΦ**, Scaliger | ὡς Gigante (*SIFC* 34 [1962] 133 s.) : καὶ **BPF** | λιτῶν **PFD** : λοιπῶν **B** | ἐν πᾶσι om. **F** | ἐν del. Gigante **6** τῶν scripsi : καὶ **BPF** : del. M. Casaubon **8** φιδίσκου **B²** (φιλίσκου **B¹**) | αἰγεινήτου **B** **9** Λουσιάτου Roeper² (p. 62) : λουκιανοῦ **PF**, δουκιανοῦ **B** : Λευκιάδου coni. Croenert (*Kolotes* ..., 30) : Λυκιακοῦ coni. Gigante | φαβορεῖνος **B** **9–10** ἐν – ἱστορίᾳ om. **F** **11** τε om. **F** | γεωμετρικῆς καὶ ἀστρολογίας **BP** : ἀστρολογικῆς ἱστορίας **F** **12** καὶ οὐκ ἀναγκαίων om. **F**

γενναιότατα· πλέων γὰρ εἰς Αἴγιναν καὶ πειραταῖς ἁλοὺς ὧν ἦρχε Σκίρπαλος, εἰς Κρήτην ἀπαχθεὶς ἐπιπράσκετο· καὶ τοῦ κήρυκος ἐρωτῶντος τί οἶδε ποιεῖν, ἔφη· "Ἀνθρώπων ἄρχειν." Ὅτε καὶ δείξας τινὰ Κορίνθιον εὐπάρυφον, τὸν προειρημένον Ξενιάδην, ἔφη· "Τούτῳ με πώλει· οὗτος δεσπότου χρῄζει." Ὠνεῖται δὴ αὐτὸν ὁ Ξενιάδης καὶ ἀπαγαγὼν εἰς τὴν Κόρινθον ἐπέστησε τοῖς ἑαυτοῦ παιδίοις καὶ πᾶσαν ἐνεχείρισε τὴν οἰκίαν. Ὁ δὲ οὕτως αὐτὴν ἐν πᾶσι διετίθει, ὥστε ἐκεῖνος περιιὼν ἔλεγεν· "Ἀγαθὸς δαί-
75 μων εἰς τὴν οἰκίαν μου εἰσελήλυθε." Φησὶ δὲ Κλεομένης ἐν τῷ ἐπιγραφομένῳ Παιδαγωγικῷ τοὺς γνωρίμους λυτρώσασθαι αὐτὸν θελῆσαι, τὸν δὲ εὐήθεις αὐτοὺς εἰπεῖν· οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας τῶν λεόντων. Δούλου γὰρ τὸ φοβεῖσθαι, τὰ δὲ θηρία φοβερὰ τοῖς ἀνθρώποις εἶναι.

Θαυμαστὴ δέ τις ἦν περὶ τὸν ἄνδρα πειθώ, ὥστε πάνθ' ὁντινοῦν ῥᾳδίως αἱρεῖν τοῖς λόγοις. Λέγεται γοῦν Ὀνησίκριτόν τινα Αἰγινήτην πέμψαι εἰς τὰς Ἀθήνας δυοῖν ὄντοιν υἱοῖν τὸν ἕτερον Ἀνδροσθένη, ὃν ἀκούσαντα τοῦ Διογένους αὐτόθι προσμεῖναι· τὸν δ' ἐπ' αὐτῷ καὶ τὸν ἕτερον ἀποστεῖλαι, τὸν πρεσβύτερον Φιλίσκον τὸν προειρη-

16–p. 423.4 λόγοις : Fr. 137 G.

1 ἔγειναν **B** **2** σκίρπαλος **BPF** : σκίπαρλος **Φ** : κέρπαλος **VD** : κίρπαλος Arsen. : σκίρταλος *Suda*, Δ 1143 : Harpalus Cic. *N.D.* 3.83 | ἀπαχθεὶς **BPF** : ἀνεπαχθῶς **Φ** | ἐπιπράσκετο **BPF** : ἐπράθη **Φ** et *Suda* **3** ἐρωτῶντος om. **F** **3–4** ἄρχειν ἔφη ἀνθρώπων **F** **8** ἐνεχείρησε **B** | αὐτὴν **Φ** et Cobet : αὐτὸν **BPF** : πρὸς αὐτὸν Arsen. **9** διετίθει **BPF** : διετέθη Arsen. **9** περιιὼν **FDP**^{4} : περιὼν **BP**^{1} | ἔλεγεν ἀγαθὸς **F** : transp. **BPD** et Arsen. **18** διοῖν **B** **19** ἀνδροσθένη **B**^{2}**PΦ** : ἀνδροσθένην **B**^{1}**F** **20** ἐπ' αὐτῷ **Ψ** et Reiske : αὐτῷ **Φ** : ἐπ' αὐτὸν **BPF** **21** ἀποστεῖλαι τὸν πρεσβύτερον om. **F**

μένον· | ὁμοίως δὲ καὶ τὸν Φιλίσκον κατασχεθῆναι. Τὸ τρίτον αὐτὸν ἀφικόμενον μηδὲν ἧττον συνεῖναι τοῖς παισὶ φιλοσοφοῦντα. Τοιαύτη τις προσῆν ἴυγξ Διογένους τοῖς λόγοις. Ἤκουσε δ' αὐτοῦ καὶ Φωκίων ὁ ἐπίκλην χρηστὸς καὶ Στίλπων ὁ Μεγαρεὺς καὶ ἄλλοι πλείους ἄνδρες πολιτικοί. **76**

Λέγεται δὲ πρὸς τὰ ἐνενήκοντα ἔτη βιοὺς τελευτῆσαι. Περὶ δὲ τοῦ θανάτου αὐτοῦ διάφοροι λέγονται λόγοι· οἱ μὲν γὰρ πολύποδα φαγόντα ὠμὸν χολερικῇ ληφθῆναι καὶ ὧδε τελευτῆσαι· οἱ δὲ τὸ πνεῦμα συγκρατήσαντα, ὧν ἐστι καὶ Κερκιδᾶς ὁ Μεγαλοπολίτης [ἢ Κρής], λέγων ἐν τοῖς μελιάμβοις οὕτως·

Οὐ μὰν ὁ πάρος γα Σινωπεὺς
τῆνος ὁ βακτροφόρας,
διπλείματος, αἰθεριβόσκας·
ἀλλ' ἀνέβα ⟨*⟩ **77**

3–4 Eudoc., p. 245.4 **4** Ἤκουσε – **5** Fr. 138 G.; Eudoc., p. 245.8–10 **7–p. 425.3** κύνα : *FGrHist* 508 F 7 **7** Fr. 90 G. **8** Περὶ – **10** τελευτῆσαι : Fr. 94 G. Cf. Athen. 8, 341 E; Stob. 4.34.8 et al. **10** οἱ δὲ – **p. 424.4** Fr. 97 G. **13–p. 424.4** Cercidae Fr. 1 Powell (p. 202). Cf. E. Livrea, *Studi F. Della Corte* (Urbini, 1987), I, 427–433

1 δὲ om. **F** **2** συνῆναι **F** **3** τοσαύτη **F** | ἴυγξ om. **F** | διογένους τοῖς **BP** et Eudoc. : transp. **F** **4** ἠκολούθησε **F** | ὁ **P**^{1} in mg, ὧ **P**^{1} in textu | ἐπικληθεὶς **F**^{1} (corr. **F**^{2}) **8** αὐτοῦ **Φ** : om. **BPF** **9** πολύποδα Casaubon e testibus : βοὸς πόδα **BPFΦ** | χολερικῇ **Φ**, Cobet : χολερικῶς **BPF** **11** ἢ κρὴς secl. Cobet : ἄντικρυς A.D. Knox **13** ὁ **BPΦ** : οὐ **F** | γα Bergk : γ' ἔα **BPFΦ** **14** τῖνος **P** | βακτροφόρας **PF** : βακτροφορὰς **B**^{2} (βάκτρον φορὰς **B**^{1}) : βακτροφόρος **Φ** **15** διπλείματος ab Arnim (*Wien. St.* 34 [1912] 6) : διπλοείματος **BPFΦ** | αἰθεριβόσκας **BPΦ** : αἰθεριβόσκος **F** **16** ἄλλαν ἔβα **B** | post ἀνέβα lac. indic. ab Arnim : ἀπέβα Meineke

χῆλος ποτ' ὀδόντας ἐρείσας
καὶ τὸ πνεῦμα συνδακών·
Ζανὸς γόνος ἦς γὰρ ἀλαθέως [Διογένης]
οὐράνιός τε κύων.

Ἄλλοι φασὶ πολύπουν κυσὶ συμμερίσασθαι βουλόμενον οὕτω δηχθῆναι τοῦ ποδὸς τὸν τένοντα καὶ καταστρέψαι. Οἱ μέντοι γνώριμοι αὐτοῦ, καθά φησιν Ἀντισθένης ἐν Διαδοχαῖς, εἴκαζον τὴν τοῦ πνεύματος ἐγκράτησιν. Ἐτύγχανε μὲν γὰρ διάγων ἐν τῷ Κρανείῳ τῷ πρὸ τῆς Κορίνθου γυμνασίῳ. Κατὰ δὲ τὸ ἔθος ἧκον οἱ γνώριμοι καὶ αὐτὸν καταλαμβάνουσιν ἐγκεκαλυμμένον· οὐ δὴ εἴκασαν αὐτὸν κοιμώμενον (οὐ γὰρ ἦν τις νύσταλος καὶ ὑπνηλός)· ὅθεν ἀποπετάσαντες τὸν τρίβωνα ἔκπνουν αὐτὸν εὑρίσκουσι καὶ ὑπέλαβον τοῦτο πρᾶξαι λοιπὸν βουλόμενον ὑπεξελθεῖν τοῦ βίου.

78 Ἔνθα καὶ στάσις, ὥς φασιν, ἐγένετο τῶν γνωρίμων, τίνες αὐτὸν θάψωσιν· ἀλλὰ καὶ μέχρι χειρῶν ἦλθον. Ἀφικομένων δὲ [τῶν πατέρων καὶ] τῶν ὑπερεχόντων, ὑπὸ

5-6 Fr. 96 G. **7** Οἱ μέντοι – **p. 425.2** εἰς Ἰσθμόν : Fr. 97 G. **7** Antisthenis Rhodii Fr. 7 (*FGrHist* 508)

1 χῆλος Powell : χεῖλος **BPFΦ** | ποτ' ὀδόντας **BPF** : πάντ' ὀδόντ' **Φ** **2** secl. Cobet **3** Ζανὸς γόνος ἦς γὰρ ἀλαθέως [Διογένης] ab Arnim : ἧς (ἦς **P**) γὰρ ἀλαθέως (ἀλλαθέως **B**) διογένης ζανὸς (ζηνωὸς **F**) γόνος (γόνος **ΦP**^{2} : τόνος **BP**^{1} : τόκος **F**) **BPFΦ** **5** πουλούπουν **P**^{1} (corr. **P**^{4}**H**) | συμερίσασθαι **F** **8** ἐγκράτησιν **BPF** (om. **Φ**) : συγκράτησιν Cobet **10** ἦθος **F** **11** οὐ δὴ **BPF** : καὶ **Φ**, Cobet **12** κοιμώμενον **BPF** : κοιμᾶσθαι **Φ**, Cobet | οὐ **BF** : οὐδὲ **P**, Cobet | νύσταλος Rossi (35, p. 98 s.), νυσταλέος Cobet : νύκταλος **B**, νυκταλὸς **PF** | καὶ **BP** : ἢ **F** | καὶ ὑπνηλὸς secl. T. Dorandi (*SIFC* N.S. 2 [1984] 235) **14** εὑρίσκουσι **Φ** : καταλαμβάνουσι **BPF** (cf. v. 11) | βουλόμενον λοιπὸν **P** **16** ἐγένετο ὡς φησὶ **B** **17** θάψωσιν **BP** : θάψουσιν **FΦ** **18** τῶν πατέρων καὶ seclusi, om. **Φ**

τούτοις ταφῆναι τὸν ἄνδρα παρὰ τῇ πύλῃ τῇ φερούσῃ εἰς Ἰσθμόν. Ἐπέστησάν τε αὐτῷ κίονα καὶ ἐπ' αὐτῷ λίθου Παρίου κύνα. Ὕστερον δὲ καὶ οἱ πολῖται αὐτοῦ χαλκαῖς εἰκόσιν ἐτίμησαν αὐτὸν καὶ ἐπέγραψαν οὕτω·

Γηράσκει καὶ χαλκὸς ὑπὸ χρόνου, ἀλλὰ σὸν οὔτι
κῦδος ὁ πᾶς αἰών, Διόγενες, καθελεῖ·
μοῦνος ἐπεὶ βιοτᾶς αὐτάρκεα δόξαν ἔδειξας
θνητοῖς καὶ ζωῆς οἶμον ἐλαφροτάταν.

Ἔστι καὶ ἡμῶν ἐν τῷ προκελευσματικῷ μέτρῳ· 79

Διόγενες, ἄγε λέγε, τίς ἔλαβέ σε μόρος
ἐς Ἄϊδος; — Ἔλαβέ με κυνὸς ἄγριον ὀδάξ.

Ἔνιοι δέ φασι τελευτῶντα αὐτὸν [καὶ] ἐντείλασθαι ἄταφον ῥῖψαι, ὡς πᾶν θηρίον αὐτοῦ μετάσχοι, ἢ εἴς γε

2 Ἐπέστησάν τε – **11** Fr. 108 G.; Eudoc., p. 246.4–9 **5–8** *Anth. Pal.* 16.334; *Plan.; Suda,* Φ 362; Eudocia **10–11** *Anth. Pal.* 7.116; *Suda,* A 180 (Δ 1141; O 28) **12–p. 426.2** Fr. 101 G.; Eudoc., p. 245.15–17

1 παρὰ om. **F** **2** τε **BPF** : δὲ **Φ** | κίωνα **F** | κίονα χαλκοῦν Eudocia **4** αὐτὸν om. **F** | οὕτως **F** **5** γηράσει – **6** αἰών in mg **F**² **5** γηράσκει **Φ**, *Pal., Suda,* Eudocia : γηράσι **B**, γηράσει **PF**² et *Plan.* | χαλκὸς : χρυσὸς *Suda* | ἀλάσσον· οὔτ' ει **B** **6** ὁ πασαίων **B** | καθεδη **B** : καθέλη **F** **7** ἐπεὶ **P** et *Pal.*, Eudoc. : ἐπὶ **BFΦ** et *Suda* : γὰρ *Plan.* | βιοτᾶς **BPFΦ** et Eudoc. : βιοτῆς *Pal.* : βιοτᾶ *Suda* | αὐτάρκεα **PΦ**³ et *Pal.*, Eudoc. : αὐταρκέα **BFΦ**¹ et *Suda, Plan.* **8** θνητοῖς οἷς ζωῆς οἶμος ἐλαφροτάτη *Suda* | θνητοῖς καὶ ζωῆς **BPFΦ** et *Pal.*, Eudoc. : θνατοῖς καὶ ζωᾶς Cobet | ἐλαφροτάταν **BPFΦ** et Eudoc. : ἐλαφροτάτην *Pal.* : ἐλαφροτάτη *Suda* **9** προκελευματικῷ **P** et *Frob.* **11** ἐς Casaubon ex *Pal.* et *Suda* : εἰς **B**²**PFΦ** | ἄϊδος **P** et *Pal., Suda* : αἴδος **B**² : ἀίδαο **FΦ** **12** καὶ **BPF** : om. **Φ**, del. Cobet **13** ἢ om. **F** | γε **BP** : τε **F** : om. **Φ**

βόθρον συνῶσαι καὶ ὀλίγην κόνιν ἐπαμῆσαι (οἱ δέ, εἰς τὸν Ἰλισσὸν ἐμβαλεῖν), ἵνα τοῖς ἀδελφοῖς χρήσιμος γένηται.

Δημήτριος δ' ἐν τοῖς Ὁμωνύμοις φησὶ τῆς αὐτῆς ἡμέρας Ἀλέξανδρον μὲν ἐν Βαβυλῶνι, Διογένη δ' ἐν Κορίνθῳ τελευτῆσαι. Ἦν δὲ γέρων κατὰ τὴν τρίτην καὶ δεκάτην καὶ ἑκατοστὴν Ὀλυμπιάδα.

80 Φέρεται δ' αὐτοῦ βιβλία τάδε·

Διάλογοι·

Κεφαλίων,
Ἰχθύας,
Κολοιός,
Πάρδαλις,
Δῆμος Ἀθηναίων,
Πολιτεία,
Τέχνη ἠθική,
Περὶ πλούτου,
Ἐρωτικός,
Θεόδωρος,
Ὑψίας,
Ἀρίσταρχος,
Περὶ θανάτου.

Ἐπιστολαί.

1–2 cf. Ael. *V.H.* 8.14 **3–6** Fr. 92 G.; Eudoc., p. 246.1–3. Demetrii F 19 Mejer. Cf. Plut. *Quaest. conviv.* 717 C **5–6** i.e. 328–324 **7–p. 427.16** Fr. 117 G. **13–p. 427.1** Eudocia (p. 245.10–14) praebet Δῆμος Ἀθηναίων, Πολιτεία, Τέχνη ἠθική, Περὶ ἀρετῆς (p. 283.9), Περὶ ἀγαθοῦ (p. 283.9–10), Περὶ πλούτου, Τραγῳδίαι ἑπτά, Περὶ θανάτου, Περὶ πτωχείας (cf. p. 283.10 Πτωχός)

2 ἰλισσὸν **Φ**, Cobet (Ael.) : ἔλεισον **B** : ἐλισὸν **P¹Q** : ἐλισσὸν **FP⁴H** et *Frob.* **4** διογένη **BPΦ** : διογένην **F** et **Δ Π** **9** Κεφαλίων Menagius ex p. 427.15 : κεφαλαίων **BPF** **10** ἰχθῦες **F** **12** πάρδαλις **BP²QF** : πόρδαλις **P¹** : Πόρδαλος Cobet (cf. 6.20)

Τραγῳδίαι ἑπτά·

Ἑλένη,
Θυέστης,
Ἡρακλῆς,
Ἀχιλλεύς,
Μήδεια,
Χρύσιππος,
Οἰδίπους.

Σωσικράτης δ' ἐν τῷ πρώτῳ τῆς Διαδοχῆς καὶ Σάτυρος ἐν τῷ τετάρτῳ τῶν Βίων οὐδὲν εἶναι Διογένους φασί· τά τε τραγῳδάριά φησιν ὁ Σάτυρος Φιλίσκου εἶναι τοῦ Αἰγινήτου, γνωρίμου τοῦ Διογένους. Σωτίων δ' ἐν τῷ ἑβδόμῳ ταῦτα μόνα φησὶ Διογένους εἶναι· Περὶ ἀρετῆς, Περὶ ἀγαθοῦ, Ἐρωτικόν, Πτωχόν, Τολμαῖον, Πάρδαλον, Κάσανδρον, Κεφαλίωνα, Φιλίσκον, Ἀρίσταρχον, Σίσυφον, Γανυμήδη, Χρείας, Ἐπιστολάς.

Γεγόνασι δὲ Διογένεις πέντε· πρῶτος Ἀπολλωνιάτης, 81
φυσικός· ἀρχὴ δ' αὐτῷ τοῦ συγγράμματος ἥδε· "Λόγου παντὸς ἀρχόμενον δοκεῖ μοι χρεὼν εἶναι τὴν ἀρχὴν ἀναμφισβήτητον παρέχεσθαι." Δεύτερος Σικυώνιος, ὁ γράψας τὰ περὶ Πελοπόννησον· τρίτος αὐτὸς οὗτος· τέταρτος Στωϊκός, γένος Σελευκεύς, καλούμενος δὲ Βαβυλώνιος διὰ

1–8 Diogenis T 1 (*TrGF* I) **9** Sosicratis Fr. 21 (*FHG* IV, 503) **9–12** Satyri Fr. 17 (*FHG* III, 164). Cf. 6.73 **12–16** Sotionis Fr. 19 Wehrli **18–20** 64 B 1 DK = DL 9.57 **20** Δεύτερος : *FGrHist* 503 T 1

9 Σωσικράτης Casaubon : σωκράτης **BPF** **13** μόνα om. **F** | φησὶν εἶναι τοῦ διογένους **F** **14** πάρδαλον **BPF** : Πόρδαλον Cobet | κάσσανδρον **B** **15** κεφαλίονα **B** | σύσειφον **B** | γανυμήδη **BPQ** : γανυμίδην in mg $\mathbf{F}^2$ **17** γεγόνασι **BP** : εἰσὶ **F** **19** χρεὼν εἶναι et **19–20** ἀναμφισβήτητον παρέχεσθαι om. **F** **22** καλούμενος δὲ βαβυλώνιος **B P** : ὁ καὶ βαβυλώνιος καλούμενος **F** **22–p. 428.1** διὰ τὴν γειτονίαν om. **F**

τὴν γειτονίαν· πέμπτος Ταρσεύς, γεγραφὼς περὶ ποιητικῶν ζητημάτων, ἃ λύειν ἐπιχειρεῖ.

Τὸν δὴ φιλόσοφον Ἀθηνόδωρός φησιν ἐν ὀγδόῃ Περιπάτων ἀεὶ στιλπνὸν φαίνεσθαι διὰ τὸ ἀλείφεσθαι.

ΜΟΝΙΜΟΣ

82 Μόνιμος Συρακόσιος μαθητὴς μὲν Διογένους, οἰκέτης δέ τινος τραπεζίτου Κορινθίου, καθά φησι Σωσικράτης. Πρὸς τοῦτον συνεχὲς ἀφικνούμενος ὁ Ξενιάδης ὁ τὸν Διογένην ἐωνημένος, τὴν ἀρετὴν αὐτοῦ καὶ τῶν ἔργων καὶ τῶν λόγων διηγούμενος εἰς ἔρωτα τἀνδρὸς ἐνέβαλε τὸν Μόνιμον. Αὐτίκα γοῦν ἐκεῖνος μανίαν προσποιηθεὶς τό τε κέρμα διερρίπτει καὶ πᾶν τὸ ἐπὶ τῆς τραπέζης ἀργύριον, ἕως αὐτὸν ὁ δεσπότης παρῃτήσατο· καὶ ὃς εὐθέως Διογένους ἦν. Παρηκολούθησε δὲ καὶ Κράτητι τῷ Κυνικῷ συχνὰ καὶ τῶν ὁμοίων εἴχετο, ὥστε καὶ μᾶλλον ὁρῶν αὐτὸν ὁ δεσπότης ἐδόκει μαίνεσθαι.

Ἐγένετο δὴ ἀνὴρ ἐλλόγιμος, ὡς καὶ Μένανδρον αὐτοῦ
83 τὸν κωμικὸν μεμνῆσθαι. Ἔν τινι γοῦν τῶν δραμάτων ἐν τῷ Ἱπποκόμῳ εἶπεν οὕτως·

> Α. Μόνιμός τις ἦν ἄνθρωπος, ὦ Φίλων, σοφός,
> ἀδοξότερος μικρῷ δ'. Β. Ὁ τὴν πήραν ἔχων;

3–4 Fr. 179 G. Cf. Epict. *Diss.* 3.22.88 **6–p. 429.9** *SSR* V G Fr. 1 Giannantoni **20–p. 429.5** Menandri Fr. 215 Koerte = Fr 215 Sandbach

1 γειτωνίαν **B** **2** ἃ λύειν – **4** ἀλείφεσθαι in mg **F**^{2} **5** *tit* **P**^{4} : om. **BF** **6** συρακόσιος **B** : συρακούσιος **PF** : συρρακούσιος **Φ** **7** σωκράτης **BPF**, corr. Casaubon **8** ὁ^1 om. **F** **9–10** καὶ τῶν λόγων καὶ τῶν ἔργων **F** **11** γοῦν scripsi : γὰρ **BPFΦ** | ἐκεῖνος om. **F** **15** ὥστε scripsi : ὅτε **BPF** | ὁρῶν αὐτὸν **F** : transp. **BP** **17** δὴ **BP** : δὲ **F** | ἀνὴρ om. **F** **19** εἶπεν **P** : εἰπεῖν **BF** **20** σοφὸς post v. 21 μικρῶ **F** **21** ἀδοξώτερος **F** | δὲ **BPF** | verba Ὁ τὴν πήραν ἔχων Philoni attribuit Cobet

Α. Πήρας μὲν οὖν τρεῖς· ἀλλ' ἐκεῖνος ῥῆμά τι
ἐφθέγξατ' οὐδὲν ἐμφερές, μὰ τὸν Δία,
τῷ Γνῶθι σαυτόν, οὐδὲ τοῖς βοωμένοις
τούτοις, ὑπὲρ δὲ ταῦθ' ὁ προσαιτῶν καὶ ῥυπῶν·
τὸ γὰρ ὑποληφθὲν τῦφον εἶναι πᾶν ἔφη.

Οὗτος μὴν ἐμβριθέστατος ἐγένετο, ὥστε δόξης μὲν καταφρονεῖν, πρὸς δ' ἀλήθειαν παρορμᾶν. Γέγραφε δὲ παίγνια σπουδῇ λεληθυίᾳ μεμιγμένα καὶ Περὶ ὁρμῶν δύο καὶ Προτρεπτικόν.

ΟΝΗΣΙΚΡΙΤΟΣ

Ὀνησίκριτος· τοῦτον οἱ μὲν Αἰγινήτην, Δημήτριος δ' ὁ 84
Μάγνης Ἀστυπαλαιᾶ φησιν εἶναι. Καὶ οὗτος τῶν ἐλλογίμων Διογένους μαθητῶν. Ἔοικε δέ τι ὅμοιον πεπονθέναι πρὸς Ξενοφῶντα. Ἐκεῖνος μὲν γὰρ Κύρῳ συνεστράτευσεν, οὗτος δὲ Ἀλεξάνδρῳ· κἀκεῖνος μὲν Παιδείαν Κύρου, ὁ δὲ πῶς Ἀλέξανδρος ἤχθη γέγραφε· καὶ ὁ μὲν ἐγκώμιον Κύρου, ὁ δὲ Ἀλεξάνδρου πεποίηκε. Καὶ τῇ ἑρμηνείᾳ δὲ παραπλήσιος, πλὴν ὅτι ὡς ἀπόγραφος ἐξ ἀρχετύπου δευτερεύει.

Γέγονε καὶ Μένανδρος Διογένους μαθητής, ὁ ἐπικα-

11–p. 430.3 *SSR* V C Fr. 1 Giann. **11–12** Demetrii F 20 Mejer **15–17** Onesicriti T 1 (*FGrHist* 134) **20–p. 430.1** V E Fr. 1 G.

1 ἀλλ' ἐκεῖνος Menagius : ἀλλὰ καὶ εἰκόνος **BPF** | ῥῆμα τί **F** : ῥήματι **BP** **2** ἐφθέγξαθ' **BP**^{1} **4** ταῦτα **BPF** **5** ὑποληφθὲν **P** : ὑπολιφθὲν **B** : ὑπολειφθὲν **F** **6** μὴν scripsi : μὲν **BPF** | ἐμβρυθέστατος **B** **8** λεληθυία **PF** : δὲ ληθυία **B** **9** καὶ προτρεπτικὸν **B**^{2} in lac. **10** *tit.* **P**^{4} : om. **BF** **11** ὀνησίκριτος **B**^{2} in lac. | αἰγεινήτην **B** **12** ἀστυπαλαιᾶ **BFP**^{4} in mg : ἀστυπαλέα **P**^{1}**Q** : Ἀστυπαλαιέα Menagius | εἶναι **F** : om. **BP** **14** γὰρ ss. **P**^{2} **16** ἀλέξανδρος ἤχθη **BP** : ἀνήχθη ἀλέξανδρος **F**

λούμενος Δρυμός, θαυμαστὴς Ὁμήρου, καὶ Ἡγησίας Σινωπεὺς ὁ Κλοιὸς ἐπίκλην, καὶ Φιλίσκος ὁ Αἰγινήτης, ὡς προειρήκαμεν.

ΚΡΑΤΗΣ

85 Κράτης Ἀσκώνδου Θηβαῖος. Καὶ οὗτος τῶν ἐλλογίμων τοῦ Κυνὸς μαθητῶν. Ἱππόβοτος δέ φησιν οὐ Διογένους αὐτὸν μαθητὴν γεγονέναι, ἀλλὰ Βρύσωνος τοῦ Ἀχαιοῦ. Τούτου Παίγνια φέρεται τάδε·

Πήρη τις πόλις ἐστὶ μέσῳ ἐνὶ οἴνοπι τύφῳ,
καλὴ καὶ πίειρα, περίρρυτος, οὐδὲν ἔχουσα,
εἰς ἣν οὔτε τις εἰσπλεῖ ἀνὴρ μωρὸς παράσιτος,
οὔτε λίχνος πόρνης ἐπαγαλλόμενος πυγῇσιν·
ἀλλὰ θύμον καὶ σκόρδα φέρει καὶ σῦκα καὶ ἄρτους.
Ἐξ ὧν οὐ πολεμοῦσι πρὸς ἀλλήλους περὶ τούτων,
οὐχ ὅπλα κέκτηνται περὶ κέρματος, οὐ περὶ δόξης.

86 Ἔστι καὶ ἐφημερὶς ἡ θρυλουμένη οὕτως ἔχουσα·

1 Ἡγησίας : V F Fr. 1 G. **2** Φιλίσκος : V D Fr. 2 G. Cf. 6.75 **5–8** V H Fr. 1 G. **6–8** Hippoboti Fr. 8 Gigante **7–8** Brysonis Fr. 205 A Doering **9–15** Cratetis Fr. 70 G.; *Anth. Pal., App.* 5.13 Cougny; *PPF* 10 B 4; *Suppl. Hell.* 351. Cf. Demetr. *De elocut.* 259; Apul. *Apol.* 22; Clem. *Paed.* 2.93.4 **9–10** cf. *Odyss.* 19.172–173 **12** cf. *Iliad.* 2.462 **16–p. 431.3** Fr. 78 G.; *PPF* 10 B 13; *Suppl. Hell.* 362

1 Ἡγησίας Cobet : ἡγησαῖος **BPF** **2** συνωπεὺς **B** | ὢ **P**^{1} (corr. in mg **P**^{5}) | ὁ^2 om. **P** | αἰγεινήτης **B**^{2} **4** *tit.* **B**^{2} **P**^{4} : om. **F** **5** κρατήσας κόνδου **B** **6** φησιν et **7** αὐτὸν et γεγονέναι om. **F** **10** πείειρα **B** | περίρρυτος **PFΦ**, περίρυτος **B** (cf. *Od.* 19.173) : περίρρυτον Wachsmuth, Diels, Diehl^3 (Fr. 6) : περίρρυπος Stephanus, Huebner, Cobet, Long **11** πλεῖ **Φ** | μωρὸς ἀνὴρ **F** **12** πόρνησ' Diels **13** σκόροδα **Φ** **15** οὐχ **BPFΦ** : οὐδ' Bergk **16** θρυλουμένη **B** : θρυλλουμένη **PFΦ**

Τίθει μαγείρῳ μνᾶς δέκ', ἰατρῷ δραχμήν,
κόλακι τάλαντα πέντε, συμβούλῳ καπνόν,
πόρνῃ τάλαντον, φιλοσόφῳ τριώβολον.

Ἐκαλεῖτο δὲ καὶ Θυρεπανοίκτης διὰ τὸ εἰς πᾶσαν εἰσιέναι οἰκίαν καὶ νουθετεῖν. Ἔστιν αὐτοῦ καὶ τόδε·

Ταῦτ' ἔχω ὅσσ' ἔμαθον καὶ ἐφρόντισα καὶ μετὰ Μουσῶν
σέμν' ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια τῦφος ἔμαρψεν.

Καὶ ὅτι ἐκ φιλοσοφίας αὐτῷ περιγένοιτο

θέρμων τε χοῖνιξ καὶ τὸ μηδενὸς μέλειν.

Φέρεται δ' αὐτοῦ κἀκεῖνο·

Ἔρωτα παύει λιμός· εἰ δὲ μή, χρόνος·
ἐὰν δὲ τούτοις μὴ δύνῃ χρῆσθαι, βρόχος.

Ἤκμαζε δὲ κατὰ τὴν τρίτην καὶ δεκάτην καὶ ἑκατοστὴν 87
Ὀλυμπιάδα.

Τοῦτόν φησιν Ἀντισθένης ἐν Διαδοχαῖς θεασάμενον ἔν τινι τραγῳδίᾳ Τήλεφον σπυρίδιον ἔχοντα καὶ τἄλλα λυπρὸν ἀΐξαι ἐπὶ τὴν Κυνικὴν φιλοσοφίαν· ἐξαργυρισά-

4–5 Fr. 18 G. Cf. Plut. *Quaest. conviv.* 632 E **5** Ἔστιν – **7** Fr. 74 G. **6–7** *PPF* 10 B 8; *Anth. Pal.* 7.326; *Plan.*; *Suppl. Hell.* 355. Cf. Athen. 8, 337 A; Plut. *De laude ipsius* 546 AB **8–9** Fr. 83 G.; *PPF* 10 B 18; *Suppl. Hell.* 367. Cf. Teletem (p. 44.2–9 Hense^2) ap. Stob. 4.33.31 **11–12** Fr. 79 G.; *PPF* 10 B; *Anth. Pal.* 9.497; *Plan.*; *Suppl. Hell.* 363. Cf. *Suda,* K 2341; Iuliani *Or.* 9 (6) 16, p. 198 D **13–14** Fr. 2 G.; i.e. 328–324 **15–p. 432.10** βαλεῖν : Fr. 4 G. **15–p. 432.3** ταῦτα : *FGrHist* 508 F 8

1 δέκα **BPFΦ** **3** τριόβολον **B** **4** καὶ om. **Φ** | θυρεπανύκτης **B** **6** ταῦτ' **BPF** et *Pal.* : τόσσ' *Plan.* (cf. *A.P.* 7.325) | ὅσσ' **P** et *Pal.* : ὅσα **B** : 'σσ' **F** **7** σεμνᾶ **B** | τῦφος **BPF** : τάφος *Pal.* : τύμβος *Plan.* **8** περιγένοιντο **B** **9** τε καὶ **F** | μέλλειν **F** et Stob. **11** λοιμός **B**^{1} (corr. **B**^{2}) **13** δὲ **FP**^{4}**H** : om. **BP**^{1} **15** ἐν ταῖς διαδοχαῖς **F** | θεασάμενον **BPF** : ἰδόντα **Φ**

μενόν τε τὴν οὐσίαν (καὶ γὰρ ἦν τῶν ἐπιφανῶν) καὶ ἀθροίσαντα πρὸς τὰ [ἑκατὸν] διακόσια τάλαντα, τοῖς πολίταις ἀνεῖναι ταῦτα. Αὐτὸν δὲ καρτερῶς οὕτω φιλοσοφεῖν, ὡς καὶ Φιλήμονα τὸν κωμικὸν αὐτοῦ μεμνῆσθαι· φησὶ γοῦν·

καὶ τοῦ θέρους μὲν εἶχεν ἱμάτιον δασύ,
ἵν' ἐγκρατὴς ᾖ, τοῦ δὲ χειμῶνος ῥάκος.

Φησὶ δὲ Διοκλῆς πεῖσαι αὐτὸν Διογένη τὴν οὐσίαν μηλόβοτον ἀνεῖναι καὶ εἴ τι ἀργύριον εἴη, εἰς θάλατταν
88 βαλεῖν. Καὶ Κράτητος μέν, φησίν, ὁ οἶκος ὑπὸ Ἀλεξάνδρου ⟨*⟩, Ἱππαρχίας δὲ ὑπὸ Φιλίππου. Πολλάκις τε τῇ βακτηρίᾳ τῶν συγγενῶν τινας προσιόντας καὶ ἀποτρέποντας ἐδίωκε, καὶ ἦν γενναῖος. Φησὶ δὲ Δημήτριος ὁ Μάγνης τραπεζίτῃ τινὶ παρακαταθέσθαι τὸ ἀργύριον, συνθέμενον, εἰ μὲν οἱ παῖδες ἰδιῶται γενηθεῖεν, αὐτοῖς ἀποδοῦναι· εἰ δὲ φιλόσοφοι, τῷ δήμῳ διανεῖμαι· μηδενὸς γὰρ ἐκείνους δεήσεσθαι φιλοσοφοῦντας.

Ἐρατοσθένης δέ φησιν ἐξ Ἱππαρχίας, περὶ ἧς λέξομεν, γενομένου παιδὸς αὐτῷ ὄνομα Πασικλέους, ὅτ' ἐξ

6–7 Philemonis Fr. 134 (*PCG* VII) **10–11** Fr. 30 G. **11** Πολλάκις τε – **17** φιλοσοφοῦντας : Fr. 4 G.; Demetrii F 21 Mejer. Cf. *Gnom. Vat.* 387 **18–p. 433.5** Frr. 19 et 48 G.; Eratosthenis F 21 (*FGrHist* 241)

1 ἐπιούνων **B** | καί[2] **Φ** : om. **BPF** **2** ἑκατὸν om. **Φ**, secl. Cobet | καὶ ς' **F** **3** ἀνεῖναι **BPF** : δοῦναι **Φ** : διανεῖμαι Cobet | δὲ **PFΦ** : om. **B** **7** ἐγκρατὴς ᾖ **PFΦ** : ἐγκρατήσῃ **B** : ὡς Κράτης ᾖ Cobet | δὲ ss. **P**[5] **8** διογένη **BP** : διογένην **F** **11** post ἀλεξάνδρου lac. indic. Cobet (post v. 10 φησὶν iam *Aldobr.*) : ἦν add. Casaubon : κατεσκάφη add. Menagius : ἐφυλάχθη add. Wilamowitz, Diels | τε **BPF** : δὲ **Φ** **11–12** τῇ βακτηρίᾳ om. **Φ** **13** γενναίως **B** **14** τραπεζήτῃ **B** | παρακαταθέσθαι **FΦ** : παρακατατίθεσθαι **BP** | αὐτὸν τὸ ἀργύριον **Φ** **15** γενηθεῖεν **BΦ**, γεννηθεῖεν **P** : γένωνται **F** : γένοιντο Cobet **16** διανεῖμαι : δια- ss. **F**[2] **18** λέξωμεν **B**

ἐφήβων ἐγένετο, ἀγαγεῖν αὐτὸν ἐπ' οἴκημα παιδίσκης καὶ φάναι τοῦτον αὐτῷ πατρῷον εἶναι τὸν γάμον· τοὺς μὲν 89
τῶν μοιχευόντων τραγικούς· φυγὰς ⟨γὰρ⟩ καὶ φόνους ἔχειν ἔπαθλον· τοὺς δὲ τῶν ἑταίραις προσιόντων κωμικούς· ἐξ ἀσωτίας γὰρ καὶ μέθης μανίαν ἀπεργάζεσθαι. Τούτου γέγονε Πασικλῆς ἀδελφός, μαθητὴς Εὐκλείδου.

Χάριεν δ' αὐτοῦ Φαβωρῖνος ἐν τῷ δευτέρῳ τῶν Ἀπομνημονευμάτων φέρει. Φησὶ γάρ· παρακαλῶν περί του τὸν γυμνασίαρχον, τῶν ἰσχίων αὐτοῦ ἥπτετο· ἀγανακτοῦντος δέ, ἔφη· "Τί γάρ; Οὐχὶ καὶ ταῦτα σά ἐστι καθάπερ καὶ τὰ γόνατα;" Ἔλεγέ τε ἀδύνατον εἶναι ἀδιάπτωτον εὑρεῖν, ἀλλ' ὥσπερ ἐν ῥοιᾷ καὶ σαπρόν τινα κόκκον εἶναι. Νικόδρομον ἐξερεθίσας τὸν κιθαρῳδὸν ὑπωπιάσθη· προσθεὶς οὖν πιττάκιον τῷ μετώπῳ ἐπέγραψε· "Νικόδρομος ἐποίει." Τὰς πόρνας ἐπίτηδες ἐλοιδόρει, συγγυμνάζων 90
ἑαυτὸν πρὸς τὰς βλασφημίας.

Δημήτριον τὸν Φαληρέα πέμψαντα αὐτῷ ἄρτους καὶ οἶνον ὠνείδισεν εἰπών· "Εἴθε γὰρ αἱ κρῆναι καὶ ἄρτους ἔφερον." Δῆλον οὖν ὡς ὕδωρ ἔπινεν. Ὑπὸ τῶν Ἀθήνησιν ἀστυνόμων ἐπιτιμηθεὶς ὅτι σινδόνα ἠμφίεστο, ἔφη· "Καὶ Θεόφραστον ὑμῖν δείξω σινδόνα περιβεβλημένον·" ἀπισ-

5 Τούτου – **6** Εὐκλείδου : Fr. 3 G. **7–15** ἐποίει : Fr. 36 G.; Favorini Fr. 12 Mensching **15–16** Fr. 27 G. **17–19** ἔπινεν : Fr. 33 G.; Demetrii Fr. 58a Wehrli. Cf. Athen. 10, 422 C–D **19** Ὑπὸ – **p. 434.1** Fr. 35 G.

2 μὲν scripsi : δὲ **BPF** : τε *Frob.* **3** ⟨οὓς⟩ φυγὰς Hermann | γὰρ add. Wilamowitz, Diels | πόνους **F**[1] (corr. **F**[2]) **4** ἔπαθλα Cobet **4** δὲ Hermann : τε **BPF** **5** γὰρ om. **F** **6** εὐκλείδου **BPF** : Διοκλείδου Doering (p. 46) **7** φαβορεῖνος **B** **8–9** του τὸν **P** : τούτων **B** : τούτον **F** **11** τε ss. **F**[2] | ἀδύνατον om. **F** | εἶναι om. **Φ** **12** ῥοιᾶ καὶ **PF** : ῥύακι . . (fuit καὶ) **B** **13** ὑποπιάσθη **B** **14** μετόπω **B** **15** ἐποίησε **Φ** **17** φαλιρέα **B** | ἄρτον **F** **20** σινδῶνα **B**

τούντων δέ, ἀπήγαγεν ἐπὶ κουρεῖον καὶ ἔδειξε κειρόμενον. Ἐν Θήβαις ὑπὸ τοῦ γυμνασιάρχου μαστιγωθείς (οἱ δέ, ἐν Κορίνθῳ ὑπ' Εὐθυκράτους) καὶ ἑλκόμενος τοῦ ποδὸς ἐπέλεγεν ἀφροντιστῶν·

Ἕλκε ποδὸς τεταγὼν διὰ βηλοῦ θεσπεσίοιο.

91 Διοκλῆς δέ φησιν ἑλχθῆναι αὐτὸν ὑπὸ Μενεδήμου τοῦ Ἐρετρικοῦ. Ἐπειδὴ γὰρ εὐπρεπὴς ἦν καὶ ἐδόκει χρησιμεύειν Ἀσκληπιάδῃ τῷ Φλιασίῳ, ἀψάμενος αὐτοῦ τῶν μηρῶν ὁ Κράτης ἔφη· "Ἔνδον Ἀσκληπιάδης;" Ἐφ' ᾧ δυσχεράναντα τὸν Μενέδημον ἕλκειν αὐτόν, τὸν δὲ τοῦτο ἐπιλέγειν.

Ζήνων δ' ὁ Κιτιεὺς ἐν ταῖς Χρείαις καὶ κῴδιον αὐτόν φησί ποτε προσράψαι τῷ τρίβωνι ἀνεπιστρεπτοῦντα. Ἦν δὲ καὶ τὴν ὄψιν αἰσχρὸς καὶ γυμναζόμενος ἐγελᾶτο. Εἰώθει δὲ λέγειν ἐπαίρων τὰς χεῖρας· "Θάρρει, Κράτης,
92 ὑπὲρ ὤμων καὶ τοῦ λοιποῦ σώματος· τούτους γὰρ ὄψει τοὺς καταγελῶντας ἤδη [καὶ] συνεσπασμένους ὑπὸ νόσου καί σε μακαρίζοντας, αὐτοὺς δὲ καταμεμφομένους ἐπὶ τῇ ἀργίᾳ."

Ἔλεγε δὲ μέχρι τούτου δεῖν φιλοσοφεῖν, μέχρις ἂν δό-

2 Ἐν Θήβαις – **11** Fr. 35 G.; Menedemi Fr. 11 Giann. **5** cf. *Iliad.* 1.591 **12–19** τῇ ἀργίᾳ : Fr. 40 G.; *SVF* I Nr. 272 **20–p. 435.1** Fr. 47 G.

1 ἐπήγαγεν **B** | κούριον **B** **2** ἐν – **3** ἐπέλεγεν in mg infer. **F²** **5** βηλοῦ **BPFΦ** et Hom. : πηλοῦ R. Kassel **6** ὁ διόκλης **B** | ἐλεγχθῆναι **F** **8** ἀφαψάμενος **B** **12** δ' αὖθ' ὁ **P**, agn. *Frob.* alii | κιτιεὺς **B** : κιττιεὺς **P** : κηττιεὺς **F** **13** ἀνεπιστρεπτοῦντα Rossi (36, p. 100 s.) : ἀνεπιτρεπτοῦντα **BP** : om. **F** **15** εἰώθη **B** **16** ὤμων conieci : ὀφθαλμῶν **BPFΦ** | γὰρ : δὲ **Φ** **17** καὶ del. Cobet, om. **Φ** **18** καί σε μὲν **Φ** | αὐτοὺς **B** | ἐπὶ τῇ om. **F** **19** ἀργεία **B** **20** μέχρι **BP** : μέχρις **FΦ**

ξωσιν οἱ στρατηγοὶ εἶναι ὀνηλάται. Ἐρήμους ἔλεγε τοὺς μετὰ κολάκων ὄντας, ὥσπερ τοὺς μόσχους ἐπειδὰν μετὰ λύκων ὦσιν· οὔτε γὰρ ἐκείνοις τοὺς προσήκοντας οὔτε τούτοις συνεῖναι, ἀλλὰ ⟨μόνους⟩ τοὺς ἐπιβουλεύοντας. Συναισθανόμενος ὅτι ἀποθνῄσκει, ἐπῇδε πρὸς ἑαυτὸν λέγων·

Στείχεις δή, φίλε κυρτών,
βαίνεις εἰς Ἀΐδαο δόμους κυφὸς [ὥρην] διὰ γῆρας.

[Ἦν γὰρ κυφὸς ὑπὸ χρόνου.]

Πρὸς Ἀλέξανδρον πυθόμενον εἰ βούλεται αὐτοῦ τὴν 93
πατρίδα ἀνορθωθῆναι, ἔφη· "Καὶ τί δεῖ; Πάλιν γὰρ ἴσως Ἀλέξανδρος ἄλλος αὐτὴν κατασκάψει." Ἔχειν δὲ πατρίδα ἀδοξίαν καὶ πενίαν ἀνάλωτα τῇ τύχῃ καὶ Διογένους εἶναι πολίτης ἀνεπιβουλεύτου φθόνῳ. Μέμνηται δὲ αὐτοῦ καὶ Μένανδρος ἐν Διδύμαις οὕτως·

1 Ἐρήμους – **4** Fr. 54 G. **5–8** Fr. 75 G. **7–8** *PPF* 10 B 9; *Suppl. Hell.* 356 **10–14** φθόνῳ : Fr. 31 G. Cf. Ael. *V.H.* 3.6; *Gnom. Vat.* 385 **12** Ἔχειν – **14** φθόνῳ : Cf. A. Meineke ap. Th. Kock, *CAF* Adesp. Fr. 1212

4 εἶναι **Φ** | μόνους addidi **5** συναισθόμενος **Φ** | ἐπῇδε **PFΦ** : ἐπεὶ δὲ **B** **6** λέγων om. **Φ** **7** κυρτῶν **BP**[1] **Q** : κύρτων **FP**[4]**H** : om. **Φ** **8** βαίνεις del. Diels : βαίνεις ⟨τ'⟩ Casaubon | κυφὸς ὥρην διὰ γῆρας secl. Diels | ὥρην secl. Casaubon : ὁρᾶν Meineke **9** ἦν γὰρ κυφὸς ὑπὸ χρόνου **BPFΦ**, secl. ut glossema Long **12** ἄλλος ἀλέξανδρος **F** **12** ἔχειν – **14** φθόνῳ : si versus sunt (sic Casaubonus), ita legendi:

Ἔχειν δὲ πατρίδ' ἀδοξίαν ⟨ἐπεύχομαι⟩
πενίαν ⟨τ'⟩, ἀνάλωτα τῇ τύχῃ, καὶ Διογένους
εἶναι πολίτης, ἀνεπιβουλεύτου φθόνῳ.

ἐπεύχομαι addidi (post Th. Kock) : ἐπαξιῶ add. Meineke **12** δὲ ss. **B**[2] **13** καὶ πενίαν **B** : πενίαν **PΦ** et *Frob.* : πένητα **F** **14** φθόνου **F** | δὲ **F** : om. **BP** **15** Διδύμαις Clericus et Meineke (ex Athen. 9. 373 D) : διδύμοις **BPF**

Συμπεριπατήσεις γὰρ τρίβων' ἔχουσ' ἐμοί,
ὥσπερ Κράτητι τῷ Κυνικῷ ποθ' ἡ γυνή·
καὶ θυγατέρ' ἐξέδωκ' ἐκεῖνος, ὡς ἔφη
αὐτός, ἐπὶ πείρᾳ δοὺς τριάκονθ' ἡμέρας.

Μαθητὴς δ' αὐτοῦ·

ΜΗΤΡΟΚΛΗΣ

94 Μητροκλῆς, ἀδελφὸς Ἱππαρχίας, ὃς πρότερον ἀκούων Θεοφράστου τοῦ Περιπατητικοῦ τοσοῦτον διέφθαρτο, ὥστε ποτὲ μελετῶν καὶ μεταξύ πως ἀποπαρδὼν ὑπ' ἀθυμίας οἴκοι κατάκλειστος ἦν, ἀποκαρτερεῖν βουλόμενος. Μαθὼν δὴ ὁ Κράτης εἰσῆλθε πρὸς αὐτὸν παρακληθείς, [καὶ] θέρμους ἐπίτηδες βεβρωκώς, καὶ ἔπειθε μὲν αὐτὸν διὰ τῶν λόγων μηδὲν φαῦλον πεποιηκέναι· τέρας γὰρ ἂν γεγονέναι εἰ μὴ καὶ τὰ πνεύματα κατὰ φύσιν ἀπεκρίνετο· τέλος δὲ καὶ ἀποπαρδὼν ἀνέρρωσεν αὐτόν, ἀφ' ὁμοιότητος τῶν ἔργων παραμυθησάμενος. Τοὐντεῦθεν ἤκουεν αὐτοῦ καὶ ἐγένετο ἀνὴρ ἱκανὸς ἐν φιλοσοφίᾳ.

95 Οὗτος τὰ ἑαυτοῦ συγγράμματα κατακάων, ὥς φησιν Ἑκάτων ἐν πρώτῳ Χρειῶν, ἐπέλεγε·

1–4 Fr. 26 G.; Menandri Fr. 104 Koerte **7–p. 437.8** πνίξας : *SSR* V L Fr. 1 Giann. **18–p. 437.1** Hecatonis Fr. 23 Gomoll

1 τρίβωνα ἔχουσα **BPF** **3** θύγατερ **B** | ἐξέδωκε κεῖνος Grotius : ἐξεδοκ' ἐκοίνοις **B**[1] (ἐκείνοις **B**[2]) : ἐξέδωκε κείνοις **P** : ἐξέδωκεν ἐκείνοις **F** **3–4** αὐτὸς ἔφη **P** **5** μαθητὴς *Frob.* : μαθηταὶ **BPF** | δ' **D**, Cobet : om. **BPF** | αὐτοῦ in mg **B**[2] **6** *tit.* **P**[4] : om. **BF** (sed v. 7 μητροκλῆς litt. uncialibus **B**[2]) **7** post Μητροκλῆς addit ὁ Μαρωνείτης Cobet (cf. **Φ**) **10** κατάκεστος **B** **11** καὶ om. **Φ**, del. Cobet **12** καὶ post αὐτὸν in **BPF**, transtuli : om. καὶ **Φ** (μὲν οὖν αὐτὸν) **13** καὶ τέρας **F** | ἂν **BPΦ** : ἓν **F** **14** ἀπεκρίνατο **F** **15** ὁμοιότητα **F** **16** παραμυθησάμενος om. **Φ** **17** κατὰ φιλοσοφίαν **Φ** **19** ἑκάτων **B**[1], κάτων **B**[2]

Τάδ᾽ ἔστ᾽ ὀνείρων νερτέρων φαντάσματα

[οἷον λῆρος]· οἱ δ᾽, ὅτι τὰς Θεοφράστου ἀκροάσεις καταφλέγων ἐπέλεγεν·

Ἥφαιστε, πρόμολ᾽ ὧδε, Θέτις νύ τι σεῖο χατίζει.

Οὗτος ἔλεγε τῶν πραγμάτων τὰ μὲν ἀργυρίου ὠνητὰ εἶναι, οἷον οἰκίαν· τὰ δὲ χρόνου καὶ ἐπιμελείας, ὡς παιδείαν. Τὸν πλοῦτον βλαβερόν, εἰ μή τις ἀξίως αὐτῷ χρῷτο. Ἐτελεύτα δὲ ὑπὸ γήρως ἑαυτὸν πνίξας.

Μαθηταὶ δ᾽ αὐτοῦ Θεόμβροτος καὶ Κλεομένης, Θεομβρότου Δημήτριος ὁ Ἀλεξανδρεύς, Κλεομένους Τίμαρχος Ἀλεξανδρεὺς καὶ Ἐχεκλῆς Ἐφέσιος· οὐ μὴν ἀλλὰ καὶ Ἐχεκλῆς Θεομβρότου διήκουσεν, οὗ Μενέδημος, περὶ οὗ λέξομεν. Ἐγένετο καὶ Μένιππος Σινωπεὺς ἐν αὐτοῖς ἐπιφανής.

ΙΠΠΑΡΧΙΑ

Ἐθηράθη δὲ τοῖς λόγοις καὶ ἡ ἀδελφὴ τοῦ Μητροκλέ- **96**
ους Ἱππαρχία. Μαρωνεῖται δ᾽ ἦσαν ἀμφότεροι. Καὶ ἤρα τοῦ Κράτητος καὶ τῶν λόγων καὶ τοῦ βίου, οὐδενὸς τῶν μνηστευομένων ἐπιστρεφομένη, οὐ πλούτου, οὐκ εὐγενεί-

1 *TrGF* Adesp. Fr. 285 Kannicht-Snell **4** cf. *Iliad.* 18.392. Cf. DL 3.5 **9–13** Metroclis Fr. 6 G. **9** αὐτοῦ immo Cratetis, cf. M.-O. Goulet-Cazé, *Hermes* 114 (1986) 247–252 **16–p. 439.5** *SSR* V I Fr. 1 Giann.

1 νερτέρων **BPF** : νυκτέρων coni. Nauck **2** οἷον λῆρος secl. ut glossema Cobet | ἀκροάσεις **BP** : γραφὰς **F** **4** ἥφεστε **B** **4** πρόμολ᾽ – **5** τῶν πραγμάτων in mg infer. **F**^{2} **4** θέτις **BP**^{1} : πόλις **F**^{2}**P**^{4} **10** κλεομένους **DP**^{4}**H** : -μέν- **P**^{1} : om. **BF** **10–11** τίμαρχος ἀλεξανδρεὺς **P**^{1}**D** : om. **BF** **13** λέξωμεν **B** **15** *tit.* **P**^{4} : om. **BF** (sed v. 17 ἱππαρχία litt. uncialibus **B**^{2}) **16** μητροκλέους **B**^{2} in lac. **17** cum ἱππαρχία incipit novum caput in **B** **19** οὐ **PFΦ** : τοῦ **B**

ας, οὐ κάλλους· ἀλλὰ πάντα ἦν Κράτης αὐτῇ. Καὶ δὴ καὶ ἠπείλει τοῖς γονεῦσιν ἀναιρήσειν αὑτήν, εἰ μὴ τούτῳ δοθείη. Κράτης μὲν οὖν παρακαλούμενος ὑπὸ τῶν γονέων αὐτῆς ἀποτρέψαι τὴν παῖδα, πάντα ἐποίει· καὶ τέλος μὴ πείθων, ἀναστὰς καὶ ἀποθέμενος τὴν ἑαυτοῦ σκευὴν ἄντικρυς αὐτῆς ἔφη· "Ὁ μὲν νυμφίος οὗτος, ἡ δὲ κτῆσις αὕτη, πρὸς ταῦτα βουλεύου· οὐδὲ γὰρ ἔσται κοινωνός, εἰ μὴ καὶ τῶν αὐτῶν ἐπιτηδευμάτων γενηθείης."

97 Εἵλετο ἡ παῖς καὶ ταὐτὸν ἀναλαβοῦσα σχῆμα συμπεριῄει τἀνδρὶ καὶ ἐν τῷ φανερῷ συνεγίνετο καὶ ἐπὶ τὰ δεῖπνα ἀπῄει. Ὅτε καὶ πρὸς Λυσίμαχον εἰς τὸ συμπόσιον ἦλθον, ἔνθα Θεόδωρον τὸν ἐπίκλην Ἄθεον ἤλεγξε, σόφισμα προτείνασα τοιοῦτο· "Ὃ ποιῶν Θεόδωρος οὐκ ἂν ἀδικεῖν λέγοιτο, οὐδ' Ἱππαρχία ποιοῦσα τοῦτο ἀδικεῖν λέγοιτ' ἄν· Θεόδωρος δὲ τύπτων ἑαυτὸν οὐκ ἀδικεῖ· οὐδ' ἄρα Ἱππαρχία Θεόδωρον τύπτουσα ἀδικεῖ. Ὁ δὲ πρὸς μὲν τὸ λεχθὲν οὐδὲν ἀπήντησεν, ἀνέσυρε δ' αὐτῆς θοἰμάτιον· ἀλλ' οὔτε κατεπλάγη Ἱππαρχία οὔτε διεταράχθη ὡς γυνή.

98 Ἀλλὰ καὶ εἰπόντος αὐτῇ· "Αὕτη ἐστὶν

1 δὲ **Φ** **2** ἠπείλη **F** | αὑτὴν **BP** : ἑαυτὴν **Φ** : αὐτὴν **F** **4** ἀποτρέψαι **BP** : ἀποστρέψαι **FΦ** **5** ἑαυτοῦ ss. **B**^{2} | ἄντικρυς **BP** : ἀντικρὺ **FΦ** **6** post αὕτη addit σὺ δὲ **F** **7** βουλεύου πρὸς ταῦτα **F** | οὐδὲ **BPΦ** : οὐ **F** | ἔσται scripsi : ἔσεσθαι **BPFΦΠ** : ἔση **Δ** **8** γενηθείη **F** **9** εἵλετο **B**^{1}, ἥ- ss. **B**^{2} | συμπεριῄει **PΦ** : συμπεριείη **B** : συμπερίῃ **F** **10** τῷ ἀνδρὶ **B** **11** ἀπείη **B** **12** ἦλθον **BPFΦ** : ἐλθοῦσα σὺν Κράτηι *Suda,* H 448 : ἦλθεν *Frob.* cett. | ἤλεγξε **Φ** et *Suda* : ἐπήλεγξε **BPF** : ἀπήλεγξε vel ἐξήλεγξε Reiske **13** τοιοῦτο **B**^{1}**PΦ** et *Suda* : τοιοῦτον **B**^{2}**F** **14** -κεῖν λέγοιτο – τοῦτο ἀδι- in mg **B**^{2} **16** ἄρα **BPΦ** : om. **F** et *Suda* **18** κατεπλάγει **F** | ἱππαρχία **PΦ** : ἡ ἱππαρχία **B** : om. **F** **19** αὐτῇ **FΦB**^{2} (ss.) **P**^{1} (?) : αὐτοῦ **P**^{2}**Q** | αὕτη ἐστὶν **BF** et *Suda,* Θ 150 : αὕτη 'στιν **Φ** : αὐτῇ τίνι **P**^{1}**Q**

ἢ τὰς παρ' ἱστοῖς ἐκλιποῦσα κερκίδας;"

"Ἐγώ," φησίν, "εἰμί, Θεόδωρε· ἀλλὰ μὴ κακῶς σοι δοκῶ βεβουλεῦσθαι περὶ αὑτῆς, εἰ τὸν χρόνον ὃν ἔμελλον ἱστοῖς προσαναλώσειν τοῦτον εἰς παιδείαν κατεχρησάμην;" Καὶ ταῦτα μὲν καὶ ἄλλα μυρία τῆς φιλοσόφου.

Φέρεται δὲ τοῦ Κράτητος βιβλίον Ἐπιστολαί, ἐν αἷς ἄριστα φιλοσοφεῖ, τὴν λέξιν ἔστιν ὅτε παραπλήσιος Πλάτωνι. Γέγραφε καὶ τραγῳδίας ὑψηλότατον ἐχούσας φιλοσοφίας χαρακτῆρα, οἷόν ἐστι κἀκεῖνο·

Οὐχ εἷς πάτρα μοι πύργος, οὐ μία στέγη,
πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος
ἕτοιμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα.

Ἐτελεύτησε δὲ γηραιὸς καὶ ἐτάφη ἐν Βοιωτίᾳ.

ΜΕΝΙΠΠΟΣ

Μένιππος, καὶ οὗτος Κυνικός, τὸ ἀνέκαθεν ἦν Φοῖνιξ, 99
δοῦλος, ὥς φησιν Ἀχαϊκὸς ἐν Ἠθικοῖς. Διοκλῆς δὲ καὶ
τὸν δεσπότην αὐτοῦ Ποντικὸν εἶναι καὶ Βάτωνα καλεῖσ-

1 Eurip. *Bacch.* 1236; *Suda,* Θ 150 **6–7** Cratetis Fr. 87 G. **8–12** Fr. 80 G. **10–12** *TrGF* 90 Fr. 1 Snell; cf. Trag. adesp. 392; *Suppl. Hell.* 364 **10** πάτρα : cf. 6.63 κοσμοπολίτης **13** Fr. 2 G. **15** de 6.99–101 cf. R. Helm, *RE* XV.1 (1931) 888–893 **17** Ποντικόν : cf. 6.95 Μένιππος Σινωπεύς

1 post κερκίδας pergit *Suda* καὶ τρίβωνα φοροῦσα **2** μὴ ss. **P**^{1} | δοκῶ in mg **F**^{2} **3** αὑτῆς **P** : ἑαυτῆς **Φ** : αὐτῆς **BF** | ἔμελον **B** : ἤμελλον **F** **4** προσαναλῶσαι **F** **6** Φέρεται – **13** ἐν Βοιωτίᾳ hoc loco **BPFΦ** : in 6.93 transferenda E.S. Stamatis (*Platon* 29 [1977] 85) **7** παραπλησίως **P**^{4}**H** **8** ὑψηλώτατον **F** **10** πάτρα Grotius : πάτρας **BPFΦ** **13** καὶ ἐτάφη ἐν βιωτία **B**^{2} in lac. **14** *tit.* **P**^{4} : om. **BF** (sed v. 15 μένιππος litt. uncialibus **B**^{2}) **17** κάτωνα **F**

θαι. Ἀτηρότερον δὲ αἰτῶν ὑπὸ φιλαργυρίας ἴσχυσε Θηβαῖος γενέσθαι. Φέρει μὲν οὖν σπουδαῖον οὐδέν· τὰ δὲ βιβλία αὐτοῦ πολλοῦ καταγέλωτος γέμει κατ' ἴσον τοῖς Μελεάγρου τοῦ κατ' αὐτὸν γενομένου.

Φησὶ δ' Ἕρμιππος ἡμεροδανειστὴν αὐτὸν γεγονέναι
καὶ καλεῖσθαι· καὶ γὰρ ναυτικῷ τόκῳ δανείζειν καὶ ἐξ-
ενεχυριάζειν, ὥστε πάμπλειστα χρήματα ἀθροίζειν·
100 τέλος δὲ ἐπιβουλευθέντα πάντων στερηθῆναι καὶ ὑπ'
ἀθυμίας βρόχῳ τὸν βίον μεταλλάξαι. Καὶ ἡμεῖς ἐπαίξα-
μεν εἰς αὐτόν·

Φοίνικα τὸ γένος, ἀλλὰ Κρητικὸν κύνα,
ἡμεροδανειστήν (τοῦτο γὰρ ἐπεκλήζετο)
οἶσθα Μένιππον ἴσως.
Θήβησιν οὗτος ὡς διωρύγη ποτὲ
καὶ πάντ' ⟨ἀπ⟩έβαλεν οὐδ' ἐνόει φύσιν κυνός,
αὐτὸν ἀνεκρέμασεν.

Ἔνιοι δὲ τὰ βιβλία αὐτοῦ οὐκ αὐτοῦ εἶναι, ἀλλὰ Διονυσίου καὶ Ζωπύρου τῶν Κολοφωνίων, οἳ τοῦ παίζειν ἕνεκα συγγράφοντες ἐδίδοσαν αὐτῷ ὡς εὖ δυναμένῳ διαθέσθαι.

5–10 Hermippi Fr. 39 Wehrli. Cf. P. Millet, *Proc. Cambr. Philol. Soc.* 26 (1980) 67–69 **11–16** *Anth. Pal., App.* 5.41 Cougny

1 ἀτηρότερον **BP¹Q** : αὐστηρότερον **FP⁴H** | αἰτῶν **BP²QF** : διαιτῶν **P¹** : ζῶν Reiske, Wilamowitz **2** φέρεται Richards **2** τὰ δὲ βιβλία – **5** ἡμεροδανειστὴν **B²** in lac. **3** κατ' E. Maass (*Philol. U.* IV, 17) : καί τι **P** : καίτοι **F** : om. **B²** spatio relicto **5** δὲ καὶ **F** **6** ἐνεχυριάζειν **F** **9** ἐπέξαμεν **B** **11–16** verba metris restituit Salmasius (*De modo usurarum,* 63) **12** τοῦτο γὰρ ἐπεκλήζετο in mg super. **F²** **14** διωρύγη Salmasius : διορυχὴ **B** : διωρύχει **PF** **15** πάντ' ⟨ἀπ⟩έβαλεν Salmasius : πάντα ἔβαλεν **BPFD** | οὐδ' **F** : εἰ δ' **BPD** **16** αὐτὸν **P** : ἑαυτὸν **D** : αὐτὸν **BF** **19** ἐδίδωσαν **F**

101 Γεγόνασι δὲ Μένιπποι ἕξ· πρῶτος ὁ γράψας τὰ περὶ Λυδῶν καὶ Ξάνθον ἐπιτεμόμενος, δεύτερος αὐτὸς οὗτος, τρίτος Στρατονικεὺς σοφιστής, Κὰρ τὸ ἀνέκαθεν· τέταρτος ἀνδριαντοποιός, πέμπτος καὶ ἕκτος ζωγράφοι· μέμνηται δ' ἀμφοτέρων Ἀπολλόδωρος.

Τὰ δ' οὖν τοῦ Κυνικοῦ βιβλία ἐστὶ δεκατρία·

Νέκυια,
Διαθῆκαι,
Ἐπιστολαὶ κεκομψευμέναι ἀπὸ τοῦ τῶν θεῶν προσώπου,
Πρὸς τοὺς φυσικοὺς καὶ μαθηματικοὺς καὶ γραμματικοὺς καὶ
Γονὰς Ἐπικούρου καὶ
Τὰς θρησκευομένας ὑπ' αὐτῶν εἰκάδας

καὶ ἄλλα.

ΜΕΝΕΔΗΜΟΣ

102 Μενέδημος Κωλώτου τοῦ Λαμψακηνοῦ μαθητής. Οὗτος, καθά φησιν Ἱππόβοτος, εἰς τοσοῦτον τερατείας ἤλασεν, ὥστε Ἐρινύος ἀναλαβὼν σχῆμα περιῄει, λέγων ἐπίσκοπος ἀφῖχθαι ἐξ ᾅδου τῶν ἁμαρτανομένων, ὅπως πάλιν κατιὼν ταῦτα ἀπαγγέλλοι τοῖς ἐκεῖ δαίμοσιν. Ἦν δὲ αὐτῷ ἡ ἐσθὴς αὕτη· χιτὼν φαιὸς ποδήρης, περὶ αὐτῷ ζώνη

1–2 *FGrHist* 765 T 7 **5** *FGrHist* 244 F 81 **17–p. 442.3** *SSR* V N Fr. 1 G.; Hippoboti Fr. 9 Gigante. Cf. W. Croenert (*Kolotes u. Menedemos*, 166) et A. Concolino Mancini, *Cronache Ercolanesi* 6 (1976) 61–67

2 ξάνθων **F** **3** στρατωνικεὺς **F** | κὰρ τὸ ἀνέκαθεν om. **F** **7–8** νεκυϊάδια· θῆκαι **B** **7–10** in mg **F**[2] **11–12** καὶ γραμματικοὺς om. **B** **14–15** εἰκάδας καὶ ἄλλα **B**[2] in lac. **16** *tit.* **P**[4] : om. **BF** (sed v. 17 μενέδημος litt. uncialibus **B**[2]) **18** τοσοῦτον **BP**[4]**HΦ** : τοσοῦτο **P**[1]**F** **21** ἀπαγγέλλοι **BP** : ἀναγγείλῃ **F** | αὐτῶν **B**[1] (αὐτῷ **B**[2]) **22** ἡ om. **B** | αὐτῷ : αὐτὸν **Φ** et *Suda*, **Φ** 180

φοινικῆ, πῖλος Ἀρκαδικὸς ἐπὶ τῆς κεφαλῆς ἔχων ἐνυφασμένα τὰ δώδεκα στοιχεῖα, ἐμβάται τραγικοί, πώγων ὑπερμεγέθης, ῥάβδος ἐν τῇ χειρὶ μειλίνη.

103 Καὶ οὗτοι μὲν οἱ βίοι τῶν Κυνικῶν ἑκάστου. Προσυπογράψομεν δὲ καὶ τὰ κοινῇ ἀρέσκοντα αὐτοῖς, αἵρεσιν καὶ ταύτην εἶναι ἐγκρίνοντες τὴν φιλοσοφίαν, οὐ, καθά φασί τινες, ἔνστασιν βίου. Ἀρέσκει οὖν αὐτοῖς τὸν λογικὸν καὶ τὸν φυσικὸν τόπον περιαιρεῖν, ἐμφερῶς Ἀρίστωνι τῷ Χίῳ, μόνῳ δὲ προσέχειν τῷ ἠθικῷ. Καὶ ὅπερ τινὲς ἐπὶ Σωκράτους, τοῦτο Διοκλῆς ἐπὶ Διογένους ἀναγράφει, τοῦτον φάσκων λέγειν· "Δεῖ ζητεῖν

ὅττι τοι ἐν μεγάροισι κακόν τ' ἀγαθόν τε τέτυκται."

Παραιτοῦνται δὲ καὶ τὰ ἐγκύκλια μαθήματα. Γράμματα γοῦν μὴ μανθάνειν ἔφασκεν ὁ Ἀντισθένης ⟨τοὺς σοφοὺς⟩ καὶ σώφρονας γενομένους, ἵνα μὴ διαστρέφοιντο τοῖς ἀλ-
104 λοτρίοις. Περιαιροῦσι δὲ καὶ γεωμετρίαν καὶ μουσικὴν καὶ πάντα τὰ τοιαῦτα. Ὁ γοῦν Διογένης πρὸς τὸν ἐπιδεικνύντα αὐτῷ ὡροσκόπιον, "Χρήσιμον," ἔφη, "τὸ ἔργον πρὸς τὸ μὴ ὑστερῆσαι δείπνου." Πρὸς τὸν ἐπιδεικνύντα αὐτῷ μουσικὸν ⟨ὄργανον⟩ ἔφη·

Γνώμαις γὰρ ἀνδρῶν εὖ μὲν οἰκοῦνται πόλεις,
εὖ δ' οἶκος, οὐ ψαλμοῖσι καὶ τερετίσμασιν.

4–p. 443.18 *SSR* V A Fr. 135 G. Cf. A. Brancacci, *ANRW* II, 36.6 (1992) 4049–4075 **8–9** *SVF* I Nr. 354 **9** Καὶ – **12** *SSR* V B Fr. 368 G. **11–12** *Odyss.* 4.392. Cf. DL 2.21 **13–15** *SSR* V A Fr. 161 G. **16–22** *SSR* V B Frr. 369 et 497 G. **21–22** Eurip. Fr. 200 N[2]

1 ἐπὶ τῆς κεφαλῆς om. **P**[1]**Q**, ss. add. **P**[4]**H** **3** μηλίνη **B** **5** κοινοὶ **F** **6** ἐκκρίνοντες **B** **6** οὐ – **7** βίου in mg **F**[2] **12** ὅτι **P** **14–15** ⟨τοὺς σοφοὺς⟩ καὶ scripsi : ἢ **BPF** : τοὺς *Frob.* cett. **15** γεναμένους **B** **18** ὡροσκόπιον **BP** : ὡροσκοπεῖον **FΦ** **20** μουσικὸν ⟨ὄργανον⟩ scripsi : μουσικὴν **BPFΦ** : μουσικὸν (et ἐπιδεικνύμενον) Cobet **22** ψαλμοῖς **BPΦ**

Ἀρέσκει δ' αὐτοῖς καὶ τέλος εἶναι τὸ κατ' ἀρετὴν ζῆν, ὡς Ἀντισθένης φησὶν ἐν τῷ Ἡρακλεῖ, ὁμοίως τοῖς Στωϊκοῖς· ἐπεὶ καὶ κοινωνία τις ταῖς δύο ταύταις αἱρέσεσίν ἐστιν. Ὅθεν καὶ τὸν Κυνισμὸν εἰρήκασι σύντομον ἐπ' ἀρετὴν ὁδόν. Καὶ οὕτως ἐβίω καὶ Ζήνων ὁ Κιτιεύς.

Ἀρέσκει δ' αὐτοῖς καὶ λιτῶς βιοῦν, αὐτάρκεσι χρωμέ- 105
νοις σιτίοις καὶ τρίβωσι μόνοις, πλούτου καὶ δόξης καὶ εὐγενείας καταφρονοῦσιν. Ἔνιοι γοῦν καὶ βοτάναις καὶ παντάπασιν ὕδατι χρῶνται ψυχρῷ σκέπαις τε ταῖς τυχούσαις καὶ πίθοις, καθάπερ Διογένης, ὃς ἔφασκε θεῶν μὲν ἴδιον εἶναι ⟨τὸ⟩ μηδενὸς δεῖσθαι, τῶν δὲ θεοῖς ὁμοίων τὸ ὀλίγων χρῄζειν.

Ἀρέσκει δ' αὐτοῖς καὶ τὴν ἀρετὴν διδακτὴν εἶναι, καθά φησιν Ἀντισθένης ἐν τῷ Ἡρακλεῖ, καὶ ἀναπόβλητον ὑπάρχειν· ἀξιέραστόν τε τὸν σοφὸν καὶ ἀναμάρτητον καὶ φίλον τῷ ὁμοίῳ, τύχῃ τε μηδὲν ἐπιτρέπειν. Τὰ δὲ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα λέγουσιν ὁμοίως Ἀρίστωνι τῷ Χίῳ.

1–2 *SSR* V A Fr. 98 G. **4–5** cf. 7.121; Plut. *Amat.* 759 D **13–16** *SSR* V A Fr. 99 G.

5 κιττιεύς **F** **6** λειτῶς **B** **8** καταφρονοῦσιν **BPF** : καταφρονεῖν *Suda,* K 2712 | ἔνιοι **F** : ἔνιοί τε **BP** : ἐνίοτε **Φ** et Reiske **9** ἐχρῶντο *Suda* **11** εἶναι om. **F** | τὸ addidi e *Suda* **18** τῷ Χίῳ : finis libri 6 in **BPF** *subscriptio* ϛ' **P**

Z

ΖΗΝΩΝ

6.105 Καὶ οὗτοι μὲν οἱ Κυνικοί· μετιτέον δ' ἐπὶ τοὺς Στωϊκούς, ὧν ἦρξε Ζήνων, μαθητὴς γενόμενος Κράτητος.

7.1 Ζήνων Μνασέου ἢ Δημέου, Κιτιεὺς ἀπὸ Κύπρου, πολίσματος Ἑλληνικοῦ Φοίνικας ἐποίκους ἐσχηκότος. Τὸν τράχηλον ἐπὶ θάτερα νενευκὼς ἦν, ὥς φησι Τιμόθεος ὁ Ἀθηναῖος ἐν τῷ Περὶ βίων. Καὶ Ἀπολλώνιος δέ φησιν ὁ Τύριος ὅτι ἰσχνὸς ἦν, ὑπομήκης, μελάγχρως (ὅθεν τις αὐτὸν εἶπεν Αἰγυπτίαν κληματίδα, καθά φησι Χρύσιππος ἐν πρώτῳ Παροιμιῶν), παχύκνημός τε καὶ ἀπαγὴς καὶ ἀσθενής· διὸ καί φησι Περσαῖος ἐν Ὑπομνήμασι συμποτικοῖς τὰ πλεῖστα αὐτὸν δεῖπνα παραιτεῖσθαι. Ἔχαιρε δέ, φασί, σύκοις χλωροῖς καὶ ἡλιοκαΐαις.

2 Διήκουσε δέ, καθάπερ προείρηται, Κράτητος· εἶτα καὶ Στίλπωνος ἀκοῦσαί φασιν αὐτὸν καὶ Ξενοκράτους ἔτη δέκα, ὡς Τιμοκράτης ἐν τῷ Δίωνι· ἀλλὰ καὶ Πολέμωνος. Ἑκάτων δέ φησι καὶ Ἀπολλώνιος ὁ Τύριος ἐν πρώτῳ Περὶ

1 de l. 7 cf. J. Mansfeld, *Elenchos* 7 (1986) 297–382; D.E. Hahm, *ANRW* II 36.6 (1992) 4076–4182 **2–3** *SSR* V H Fr. 37 Giann. **4–p. 465.4** τὸν κύνα : *SVF* I Nrr. 1–8 **5–7** *FHG* IV, 523 **9** Αἰγυπτίαν κληματίδα : cf. Demetrii *De eloc.* 172 **17** Hecatonis Fr. 26 Gomoll

inscriptio εν τω ζ' **B**^{2}, ζ' **P** : διογένους λαερτίου τῶν εἰς ι' τὸ ἕβδομον **FP**^{4}**HD** **1** *tit.* **B**^{2}**PF** **3** ζήνων (bis) – κράτητος **B**^{2} in lac. **4** μνασαίου **P**^{1} | ἢ δημέου del. Cobet | δημαίου **P**^{1}**F** | κιττιεὺς **PFΦ** **6** θάτερον **F** **7** δέ om. **F** **8** ὅτι ἰσχνὸς ἦν ss. **F**^{2} | μελάγχρως **BP**^{1}**F**^{1} : μελάγχρους **ΦF**^{2}**P**^{4}**H** **9** καθά – **10** παροιμιῶν in mg **F**^{2} **10** ἀπαγὴς **P**^{1} : εὐπαγὴς **BFP**^{5} **11** καί om. **F** **12** αὐτῶν **B** **13** φασί om. **F** **14** εἴρηται **F** **15** ἀκοῦσαί φασιν αὐτὸν om. **F** **16** τιμοκράτης **BPF** : Τιμωνίδης Croenert (p. 143 n. 557) | ἀλλὰ καὶ Πολέμωνος om. **F**

Ζήνωνος, χρηστηριαζομένου αὐτοῦ τί πράττων ἄριστα
βιώσεται, ἀποκρίνασθαι τὸν θέον, εἰ συγχρωτίζοιτο τοῖς
νεκροῖς· ὅθεν ξυνέντα τὰ τῶν ἀρχαίων ἀναγινώσκειν.
Τῷ γοῦν Κράτητι παρέβαλε τοῦτον τὸν τρόπον. Πορ-
φύραν ἐμπεπορευμένος ἀπὸ τῆς Φοινίκης πρὸς τῷ Πει-
ραιεῖ ἐναυάγησεν. Ἀνελθὼν δὲ εἰς τὰς Ἀθήνας ἤδη τρι-
κοντούτης ἐκάθισε παρά τινα βιβλιοπώλην. Ἀναγινώσ- 3
κοντος δὲ ἐκείνου τὸ δεύτερον τῶν Ξενοφῶντος Ἀπομνη-
μονευμάτων, ἡσθεὶς ἐπύθετο ποῦ διατρίβοιεν οἱ τοιοῦτοι
ἄνδρες. Εὐκαίρως δὲ παριόντος Κράτητος, ὁ βιβλιοπώλης
δείξας αὐτόν φησι· "Τούτῳ παρακολούθησον." Ἐντεῦθεν
ἤκουε τοῦ Κράτητος, ἄλλως μὲν εὔτονος πρὸς φιλοσοφί-
αν, αἰδήμων δὲ ὡς πρὸς τὴν Κυνικὴν ἀναισχυντίαν.
Ὅθεν ὁ Κράτης βουλόμενος αὐτοῦ καὶ τοῦτο θεραπεῦσαι
δίδωσι χύτραν φακῆς διὰ τοῦ Κεραμεικοῦ φέρειν. Ἐπεὶ
δὲ εἶδεν αὐτὸν αἰδούμενον καὶ ⟨αὐτὴν⟩ περικαλύπτοντα,
παίσας τῇ βακτηρίᾳ κατάγνυσι τὴν χύτραν· φεύγοντος δὲ
αὐτοῦ καὶ τῆς φακῆς κατὰ τῶν σκελῶν ῥεούσης, φησὶν ὁ
Κράτης· "Τί φεύγεις, Φοινικίδιον; Οὐδὲν δεινὸν πέπον-
θας." 4

Ἕως μὲν οὖν τινος ἤκουε τοῦ Κράτητος· ὅτε καὶ τὴν Πολιτείαν αὐτοῦ γράψαντος, τινὲς ἔλεγον παίζοντες ἐπὶ τῆς τοῦ Κυνὸς οὐρᾶς αὐτὴν γεγραφέναι. Γέγραφε δὲ πρὸς

14–19 *Gnom. Vat.* 384; Arsen., p. 266 **23–p. 446.21** *SVF* I Nr. 41

1 χρηστηριαζομένου **PFΦ** et *Suda*, A 76 : χρηστηριασαμένου **B** **4** γοῦν **BP** : οὖν **F** | παρέβαλλε **BP**^{1} (corr. **P**^{2}) **5** τὸ **B** **6** τὰς om. **FΦ** **7** βιβλιοπώλην **F**^{1}, -πώλον **F**^{2} **12** ἤκουε **BP**^{2}**Φ** : ἤκουσε **F** | ἄλλος **B** | εὔτονος **BPFΦ** : ἔντονος Gigante | post εὔτονος addit ὢν Richards **13** ἀναισχυντίαν **BPΦ** : φιλοσοφίαν **F** **14** αὐτοῦ **FΦP**^{1} : αὐτὸν **BP**^{2}**Q** | τοῦτο **FΦP**^{4}**H** : τούτου **BP**^{1}**Q** **15–16** ἐπειδὴ δὲ **Φ** et Arsen. **16** οἶδεν **F** | αὐτὴν addidi (τὴν χύτραν *Gnom.*) | περικαλύπτοντα **BPFΦ** et Arsen. : παρακαλύπτοντα Stephanus : ἀποκρύπτοντος *Gnom.* **18** μετὰ **F** **21** οὖν om. **F**

τῇ Πολιτείᾳ καὶ τάδε·

Περὶ τοῦ κατὰ φύσιν βίου,
Περὶ ὁρμῆς ἢ περὶ ἀνθρώπου φύσεως,
Περὶ παθῶν,
Περὶ τοῦ καθήκοντος,
Περὶ νόμου,
Περὶ τῆς Ἑλληνικῆς παιδείας,
Περὶ ὄψεως,
Περὶ τοῦ ὅλου,
Περὶ σημείων,
Πυθαγορικά,
Καθολικά,
Περὶ λέξεων,
Προβλημάτων Ὁμηρικῶν πέντε,
Περὶ ποιητικῆς ἀκροάσεως.

Ἔστι δ' αὐτοῦ καὶ

Τέχνη καὶ
Λύσεις καὶ
Ἔλεγχοι δύο,
Ἀπομνημονεύματα Κράτητος,
Ἠθικά.

Καὶ τάδε μὲν τὰ βιβλία. Τελευταῖον δὲ ἀπέστη καὶ τῶν
προειρημένων ἤκουσεν ἕως ἐτῶν εἴκοσιν· ἵνα καί φασιν
αὐτὸν εἰπεῖν· "Νῦν εὐπλόηκα, ὅτε νεναυάγηκα." Οἱ δ' ἐπὶ
5 τοῦ Κράτητος τοῦτ' αὐτὸν εἰπεῖν· ἄλλοι δὲ διατρίβοντα

25 ἄλλοι δὲ – **p. 447.2** φιλοσοφίᾳ : *SVF* I Nr. 277; Sen. *De tranq. an.* 14.2

1 τῇ ss. **F**^{2} **11–12** unus titulus in **BPF**, distinxit *Frob.* **17** τέχνη καὶ **BP**^{1}**F** : τεχνικαὶ **P**^{2}**Q** **20–21** Ἀπομνημονεύματα Κράτητος, Ἠθικά Cobet : ἀπομνημονεύματα· κράτητος ἠθικά **BPF** : unus titulus ab Arnim **24** εὐπλόηκα νῦν **F** **25** αὐτὸ **F**

ἐν ταῖς Ἀθήναις ἀκοῦσαι τὴν ναυαγίαν καὶ εἰπεῖν· "Εὖ γε ποιεῖ ἡ τύχη προσελαύνουσα ἡμᾶς φιλοσοφίᾳ." Ἔνιοι ⟨δέ⟩, διαθέμενον Ἀθήνησι τὰ φορτία, οὕτω τραπῆναι πρὸς φιλοσοφίαν.

Ἀνακάμπτων δὴ ἐν τῇ Ποικίλῃ στοᾷ τῇ καὶ Πεισιανακτίῳ καλουμένῃ, ἀπὸ δὲ τῆς γραφῆς τῆς Πολυγνώτου ποικίλῃ, διετίθετο τοὺς λόγους, βουλόμενος καὶ τὸ χωρίον ἀπερίστατον ποιῆσαι. Ἐπὶ γὰρ τῶν τριάκοντα τῶν πολιτῶν πρὸς τοῖς χιλίοις τετρακόσιοι ἀνῄρηντο ἐν αὐτῷ. Προσῄεσαν δὴ λοιπὸν ⟨πολλοὶ⟩ ἀκούσοντες αὐτοῦ καὶ διὰ τοῦτο Στωϊκοὶ ἐκλήθησαν καὶ οἱ ἀπ' αὐτοῦ ὁμοίως, πρότερον Ζηνώνειοι καλούμενοι, καθά φησι καὶ Ἐπίκουρος ἐν ἐπιστολαῖς. Καὶ πρότερόν γε Στωϊκοὶ ἐκαλοῦντο οἱ διατρίβοντες ἐν αὐτῇ ποιηταί, καθά φησι καὶ Ἐρατοσθένης ἐν ὀγδόῃ Περὶ τῆς ἀρχαίας κωμῳδίας, οἳ καὶ τὸν λόγον ἐπὶ πλεῖον ηὔξησαν.

Ἐτίμων δὴ οὖν Ἀθηναῖοι σφόδρα τὸν Ζήνωνα, οὕτως 6
ὡς καὶ τῶν τειχῶν αὐτῷ τὰς κλεῖς παρακαταθέσθαι καὶ χρυσῷ στεφάνῳ τιμῆσαι καὶ χαλκῇ εἰκόνι. Τοῦτο δὲ καὶ τοὺς πολίτας αὐτοῦ ποιῆσαι, κόσμον ἡγουμένους τὴν τἀνδρὸς εἰκόνα. Ἀντεποιοῦντο δ' αὐτοῦ καὶ οἱ ἐν Σιδῶνι

12–13 Usener, Fr. 198 **21** εἰκόνα : cf. Plin. *N.H.* 34.92

2 ποιεῖ **BPFΦ** : ποιεῖς Cobet : ⟨ἐ⟩ποίει Richards | ἔνιοι **BP** : ἐν ᾗ **F** **3** δὲ add. Stephanus **5** καὶ om. **F** | πείση ἀνακτίω **B** **7** ποικίλη **FP**^{2}**Q** : ποικίλης **BP**^{1} **8** ἐπὶ **FP**^{2} : ἐπεὶ **BP**^{1} **9** τοῖς χιλίοις Casaubon : τοὺς χιλίους **BPF** | τετρακόσιοι **F**, Casaubon : τετρακοσίους **P** : τριακοσίους **B** **10** πολλοὶ add. Cobet | ἀκούσοντες scripsi : ἀκούοντες **BP** **11** τοῦτο ss. **F**^{2} **12** ζηνώνιοι **B** **12** καθά – **13** ἐν ἐπιστολαῖς om. **F** **14** καθά **BP** : ὡς **F** | καὶ **BP** : om. **F** **14** ἐν ὀγδόῃ – **15** κωμῳδίας om. **F** **15** η´ **BP** **17** σφόδρα om. **Φ** **18** ὡς **BPΦ** : ὥστε **F** | τειχέων **B**^{2} | τὰς κλεῖς αὐτῷ **F** **21** σινδόνι F

Κιτιεῖς. Ἀπεδέχετο δ' αὐτὸν καὶ Ἀντίγονος, καὶ εἴ ποτε Ἀθήναζε ἥκοι, ἤκουεν αὐτοῦ πολλά τε παρεκάλει ἀφίκεσθαι ὡς αὐτόν. Ὁ δὲ τοῦτο μὲν παρῃτήσατο, Περσαῖον δ' ἕνα τῶν γνωρίμων ἀπέστειλεν, ὃς ἦν Δημητρίου μὲν υἱός, Κιτιεὺς δὲ τὸ γένος, καὶ ἤκμαζε κατὰ τὴν τριακοστὴν καὶ ἑκατοστὴν Ὀλυμπιάδα, ἤδη γέροντος ὄντος Ζήνωνος. Ἡ δὲ ἐπιστολὴ ἡ τοῦ Ἀντιγόνου τοῦτον εἶχε τὸν τρόπον, καθὰ καὶ Ἀπολλώνιος ὁ Τύριος ἐν τοῖς Περὶ Ζήνωνός φησι·

7 "Βασιλεὺς Ἀντίγονος Ζήνωνι φιλοσόφῳ χαίρειν.

Ἐγὼ τύχῃ μὲν καὶ δόξῃ νομίζω προτερεῖν τοῦ σοῦ βίου, λόγου δὲ καὶ παιδείας καθυστερεῖν καὶ τῆς τελείας εὐδαιμονίας ἣν σὺ κέκτησαι. Διόπερ ἔκρινα προσφωνῆσαί σοι παραγενέσθαι πρὸς ἐμέ, πεπεισμένος σε μὴ ἀντερεῖν πρὸς τὸ ἀξιούμενον. Σὺ οὖν πειράθητι ἐκ παντὸς τρόπου συμμῖξαι μοι, διειληφὼς τοῦτο διότι οὐχ ἑνὸς ἐμοῦ παιδευτὴς ἔσῃ, πάντων δὲ Μακεδόνων συλλήβδην. Ὁ γὰρ τὸν τῆς Μακεδονίας ἄρχοντα καὶ παιδεύων καὶ ἄγων ἐπὶ τὰ κατ' ἀρετὴν φανερός ἐστι καὶ τοὺς ὑποτεταγμένους παρασκευάζων πρὸς εὐανδρίαν. Οἷος γὰρ ἂν ὁ ἡγούμενος ᾖ, τοιούτους εἰκὸς ὡς ἐπὶ τὸ πολὺ γίνεσθαι καὶ τοὺς ὑποτεταγμένους."

Καὶ ὁ Ζήνων ἀντιγράφει ὧδε·

8 "Βασιλεῖ Ἀντιγόνῳ Ζήνων χαίρειν.

Ἀποδέχομαί σου τὴν φιλομάθειαν καθόσον τῆς ἀλη-

1–6 *SVF* I Nr. 439; *FGrHist* 584 F 3a **5–6** i.e. 260–256 **10–21** Hercher, p. 107 **24–p. 449.13** Hercher, p. 792

1 κιτ(τ)ιεῖς **BPF** (qui hic et in v. 5 κιττ-) : Κιτιεῦσιν Madvig (*Adv.* I, 55) | δ(ὲ) om. **P** **2** πολλά **BPF** : πολλά⟨κις⟩ Cobet **7** ἡ τοῦ om. **F** **8** ἐν τοῖς περὶ ζήνωνος om. **F** **13** προσφωνῆσε **B** **16** ὅτι **Φ** **19** ἔσται Richards **20** παρασκευάζειν **F** **21** γίνεσθαι **FΦ** : γίγνεσθαι **BP** **23** ἀντιγράφη **B** **25** φιλομάθιαν **BF**

θινῆς καὶ εἰς ὄνησιν τεινούσης, ἀλλ' οὐχὶ τῆς δημώδους καὶ εἰς διαστροφὴν ἠθῶν ἀντέχῃ παιδείας. Ὁ ⟨γὰρ⟩ φιλοσοφίας ὠρεγμένος, ἐκκλίνων [δὲ] τὴν πολυθρύλητον ἡδονήν, ἣ τινῶν θηλύνει νέων ψυχάς, φανερός ἐστιν οὐ μόνον φύσει πρὸς εὐγένειαν κλίνων, ἀλλὰ καὶ προαιρέσει. Φύσις δὲ εὐγενὴς μετρίαν ἄσκησιν προσλαβοῦσα, ἔτι δὲ τὸν ἀφθόνως διδάξοντα, ῥᾳδίως ἔρχεται πρὸς τὴν τελείαν ἀνάληψιν τῆς ἀρετῆς. Ἐγὼ δὲ συνέχομαι σώματι ἀσθενεῖ **9**
διὰ γῆρας· ἐτῶν γάρ εἰμι ὀγδοήκοντα· διόπερ οὐ δύναμαί σοι συμμῖξαι. Ἀποστέλλω δέ σοί τινας τῶν ἐμαυτοῦ συσχολαστῶν, οἳ τοῖς μὲν κατὰ ψυχὴν οὐκ ἀπολείπονται ἐμοῦ, τοῖς δὲ κατὰ σῶμα προτεροῦσιν· οἷς συνὼν οὐδενὸς καθυστερήσεις τῶν πρὸς τὴν τελείαν εὐδαιμονίαν ἀνηκόντων."

Ἀπέστειλε δὲ Περσαῖον καὶ Φιλωνίδην τὸν Θηβαῖον, ὧν ἀμφοτέρων Ἐπίκουρος μνημονεύει ὡς συνόντων Ἀντιγόνῳ ἐν τῇ πρὸς Ἀριστόβουλον τὸν ἀδελφὸν ἐπιστολῇ. Ἔδοξε δέ μοι καὶ τὸ ψήφισμα τὸ περὶ αὐτοῦ τῶν Ἀθηναίων ὑπογράψαι. Καὶ ἔχει ὧδε· **10**

15–17 *SVF* I Nr. 439; Usener. Fr. 119 **18** Ἔδοξε – **p. 451.5** *SVF* I Nrr. 7–8; H. Droysen, *Hermes* 16 (1881) 291–301; Wilamowitz, *Antigonos*, 340–344; Chr. Habicht in *Festschrift H. Drerup* (1988) 173–178

1 τῆς **D** : om. **BPF** **2** διατροφὴν **F** | ἀντέχει **B** | γὰρ addidi **3** ὀρεγόμενος **DP**[4]**H** et *Frob.* | δ ὲ delevi | πολυθρύλλητον **BPF**, corr. Cobet **6** ἔτι δὲ Cobet : ἐπί τε **BPF** **8** ἀνάλημψιν **B**[1] | ἀσθενῆ **F** **10** ἀποστέλλω **BP** : ἀποστελῶ **F** | συνσχολαστῶν **BP**[1] **11** οἳ τῆς **F** | ἀπολίπονται **B** **13** τὸν πρὸς **B** | ἡκόντων **P** **15** ἀπέστειλε **B F**[2] : ἀπέστειλα **PF**[1] **17** ἐπιστολῇ τὸν ἀδελφὸν **F** **18** δή μοι **F** | αὐτοῦ τῶν om. **F** **19** ἔχῃ **B**

ΨΗΦΙΣΜΑ

"Ἐπ' Ἀρρενίδου ἄρχοντος, ἐπὶ τῆς Ἀκαμαντίδος πέμπτης πρυτανείας, Μαιμακτηριῶνος δεκάτῃ ὑστέρᾳ, τρίτῃ καὶ εἰκοστῇ τῆς πρυτανείας, ἐκκλησία κυρία, τῶν προέδρων ἐπεψήφισεν Ἵππων Κρατιστοτέλους Ξυπεταιὼν καὶ οἱ συμπρόεδροι·

Θράσων Θράσωνος Ἀνακαιεὺς εἶπεν· Ἐπειδὴ Ζήνων Μνασέου Κιτιεὺς ἔτη πολλὰ κατὰ φιλοσοφίαν ἐν τῇ πόλει γενόμενος ἔν τε τοῖς λοιποῖς ἀνὴρ ἀγαθὸς ὢν διετέλεσε καὶ τοὺς εἰς σύστασιν αὐτῷ τῶν νέων πορευομένους παρακαλῶν ἐπ' ἀρετὴν καὶ σωφροσύνην παρώρμα πρὸς τὰ βέλτιστα, παράδειγμα τὸν ἴδιον βίον ἐκθεὶς ἅπασιν
11 ἀκόλουθον ὄντα τοῖς λόγοις οἷς διελέγετο, | τύχῃ ἀγαθῇ δεδόχθαι τῷ δήμῳ ἐπαινέσαι μὲν Ζήνωνα Μνασέου Κιτιέα καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ κατὰ τὸν νόμον ἀρετῆς ἕνεκεν καὶ σωφροσύνης, οἰκοδομῆσαι δὲ αὐτῷ καὶ τάφον ἐπὶ τοῦ Κεραμεικοῦ δημοσίᾳ.

Τῆς δὲ ποιήσεως τοῦ στεφάνου καὶ τῆς οἰκοδομῆς τοῦ τάφου χειροτονῆσαι τὸν δῆμον ἤδη τοὺς ἐπιμελησομένους πέντε ἄνδρας ἐξ Ἀθηναίων. Ἐγγράψαι δὲ τὸ ψήφισμα τὸν γραμματέα τοῦ δήμου ἐν στήλαις δύο καὶ ἐξεῖναι αὐτῷ θεῖναι τὴν μὲν ἐν Ἀκαδημίᾳ, τὴν δὲ ἐν Λυκείῳ. Τὸ δὲ ἀνάλωμα τὸ εἰς τὰς στήλας γινόμενον μερίσαι τὸν ἐπὶ

2 ἐπαρμενίδου **F** **3 et 4** πρυτανίας **B** **3** μεμακτηριῶνος **B**, μαιμακτιριῶνος **F**[2] **5** Ἵππων Κρατιστοτέλους *Frob.*, Casaubon : ἵππων κρατιστοτέλης **FP**[4]**H** : ἵππων κρατιστοτέλεως **P**[1]**Q** : ἱππωκράτης (ἵππων κράτης **B**[2]) τὸ τελέως **B**[1] | ξυπετέων **PD** **7** ἀνακλιεὺς **BD** **8** μνασαίου **P**[1]**F** | κιτιεὺς **B** : κιττιεὺς (hic et ubique) **PF** **9** ὢν ἀγαθὸς **F** **10** αὐτῶν **F** **12** ἴδιον ss. **B**[2] **13** ἀγαθῇ **FD** : τῇ ἀγαθῇ **BP** **14** μνασαίου **P** **16** αὐτοῦ **F** **17** κεραμικοῦ **B** | δημοσίου **F** **20** ἐγγράψαι **BPF** : ἀναγράψαι Cobet, Wilamowitz **22** αὐτῶ **BPFD** : αὐτῶν Wilamowitz **23** γενόμενον **F** **23–p. 451.1** ἐπὶ τῇ διοικήσει Wilamowitz

τῆς διοικήσεως. "Ὅπως ἅπαντες ἴδωσιν ὅτι ὁ δῆμος ὁ τῶν
Ἀθηναίων τοὺς ἀγαθοὺς καὶ ζῶντας τιμᾷ καὶ τελευτή-
σαντας. Ἐπὶ δὲ τὴν οἰκοδομὴν κεχειροτόνηνται Θράσων 12
Ἀνακαιεύς, Φιλοκλῆς Πειραιεύς, Φαῖδρος Ἀναφλύστι-
ος, Μέδων Ἀχαρνεύς, Μίκυθος Συπαληττεύς, [Δίων Παι-
ανιεύς]."
Καὶ τὸ ψήφισμα μὲν ὧδε ἔχει.
Φησὶ δ' Ἀντίγονος ὁ Καρύστιος οὐκ ἀρνεῖσθαι αὐτὸν
εἶναι Κιτιέα· τῶν γὰρ εἰς τὴν ἐπισκευὴν τοῦ λουτρῶνος
συμβαλλομένων εἷς ὢν καὶ ἀναγραφόμενος ἐν τῇ στήλῃ
"Ζήνωνος τοῦ φιλοσόφου," ἠξίωσε καὶ τὸ Κιτιεὺς προστε-
θῆναι. Ποιήσας δέ ποτε κοῖλον ἐπίθημα τῇ ληκύθῳ περιέ-
φερε νόμισμα, λύσιν ἕτοιμον τῶν ἀναγκαίων ἵν' ἔχοι
Κράτης ὁ διδάσκαλος. Φασὶ δ' αὐτὸν ὑπὲρ χίλια τάλαντα 13
ἔχοντα ἐλθεῖν εἰς τὴν Ἑλλάδα καὶ ταῦτα δανείζειν ναυ-
τικῶς. Ἤσθιε δέ, φασίν, ἀρτίδια καὶ μέλι καὶ ὀλίγον εὐ-
ώδους οἰναρίου ἔπινε. Παιδαρίοις τε ἐχρῆτο σπανίως, ἅ-
παξ ἢ δίς που παιδισκαρίῳ τινί, ἵνα μὴ δοκοίη μισογύνης
εἶναι. Σύν τε Περσαίῳ τὴν αὐτὴν οἰκίαν ᾤκει· καὶ αὐτοῦ

8–p. 461.5 γλυκαίνονται : ed. Wilamowitz (*Antigonos,* 116–122) **8–p. 452.6** ὑποδῦναι : *SVF* I Nr. 3 **17** Παιδαρίοις – **19** εἶναι : cf. Athen. 13, 563 C **19** Σύν τε – **p. 452.2** *SVF* I Nr. 439. Cf. Athen. 13, 607 E

1 ὁ^{1} ss. **P^{2}QD** : om. **BF** **4** ἀνακεεὺς **B** | φιλοκλῆς πειραιεὺς om. **B** | ἀναφαύστιος **B^{2}** (-φλύ- **B^{1}**) **5** μέδων **B D** : μέλων **P** : μέλλων **F** : Μένων coni. Droysen | Συπαληττεύς Huebner : συπαλλητεὺς **BPD** : συπαλητεὺς **F** | δίων παιανιεὺς **D** : om. **BPF**, del. Droysen **7** μὲν om. **F** | ἔχει ὧδε **F** **9** κιττιαία **F** **11** τὸ **PF** : τι **B** : ὅτι Diels **12** ποτε om. **F** | περιήγειρε Madvig **13** post νόμισμα addit αἰτῶν Heine (624) | ἕτοιμον **P^{1}DΦ** : ἑτοίμην **FP^{4}** **13** ἵν' ἔχοι – **18** ἢ δίς που om. **B** spatio 5 1\2 versuum relicto **15** εἰσελθεῖν **F** **16** φασίν scripsi : φησὶν **PFD** : om. *Frob.* **17** τε **PD** : δὲ **F** **18** παιδαρίῳ **F** **18** παιδισκαρίῳ – **19** σύν τε **B^{2}** in lac.

αὐλητρίδιον εἰσαγαγόντος πρὸς αὐτόν, σπάσας πρὸς τὸν Περσαῖον αὐτὸ ἀπήγαγεν.

Ἦν τε, φασίν, εὐσυμπερίφορος, ὡς πολλάκις Ἀντίγονον τὸν βασιλέα ἐπικωμάσαι αὐτῷ καί ⟨ποτε⟩ πρὸς Ἀριστοκλέα τὸν κιθαρῳδὸν ἅμα αὐτῷ ἐλθεῖν ἐπὶ κῶμον,
14 ⟨τοῦτον δ'⟩ εἶτα μέντοι ὑποδῦναι. Ἐξέκλινε δέ, φασί, καὶ τὸ πολυδημῶδες, ὡς ἐπ' ἄκρου καθίζεσθαι τοῦ βάθρου, κερδαίνοντα τὸ γοῦν ἕτερον μέρος τῆς ἐνοχλήσεως. Οὐ μὴν οὐδὲ μετὰ πλειόνων ⟨τῶν⟩ δύο ἢ τριῶν περιεπάτει. Ἐνίοτε δὲ καὶ χαλκὸν εἰσέπραττε τοὺς περιϊσταμένους, ὥστε δεδιότας τὸ διδόναι μὴ ἐνοχλεῖν, καθά φησι Κλεάνθης ἐν τῷ Περὶ χαλκοῦ. Πλειόνων τε περιστάντων αὐτόν, δείξας ἐν τῇ Στοᾷ κατ' ἄκρου τὸ ξύλινον περιφερὲς τοῦ βωμοῦ ἔφη· "Τοῦτό ποτε ἐν μέσῳ ἔκειτο, διὰ δὲ τὸ ἐμποδίζειν ἰδίᾳ ἐτέθη· καὶ ὑμεῖς οὖν ἐκ τοῦ μέσου βαστάσαντες αὐτοὺς ἧττον ἡμῖν ἐνοχλήσετε."

Δημοχάρους δὲ τοῦ Λάχητος ἀσπαζομένου αὐτὸν καὶ φάσκοντος λέγειν καὶ γράφειν ὧν ἂν χρείαν ἔχῃ πρὸς Ἀντίγονον, ὡς ἐκείνου πάντα παρέξοντος, ἀκούσας οὐ-
15 κέτ' αὐτῷ συνδιέτριψε. Λέγεται δὲ καὶ μετὰ τὴν τελευτὴν

3 Ἦν τε – 6 ὑποδῦναι : cf. Athen. *ib.* **6–p. 454.4** πόρρωθεν : *SVF* I Nr. 4 **10** Ἐνίοτε – **12** *SVF* I Nr. 589 **17–p. 453.6** Arsen. *Viol.*, p. 266 W.

1 αὐλητρίδιον : αὐλη- **B²** | σπάσας **BPF** : σπεύσας *Frob.* : φθάσας Cobet **2** εἰσήγαγε **F** **4** ποτε addidi ex Athen. **5** ἅμα αὐτῷ **BP** : ἅμα τὸ **F** **6** τοῦτον δ' addidi | ὑποδεῖναι **F¹** (corr. **F²**) | ἐξέκλινε **PF** : ἐξεκαῆναι **B** | φασί **D**, Cobet : φησί **BPF** **9** τῶν add. Cobet **10** Ἐνίοτε Madvig, Wachsmuth, Richards : ἐνίους **BPFΦ** | τῶν περιϊσταμένων **Φ** **11** ὥστε δεδιότας **Φ** : om. **BPF** | τῶ **F** **12** τε **BPΦ** : δὲ **F** | αὐτῶν **B** **14** βομοῦ **B** | δὲ ante v. 15 ἰδία **F** **15** ἡμεῖς **B** **16** αὐτοὺς **FP⁵** : ἑαυτοὺς **Φ** : αὑτοὺς **BP¹** | ἐνοχλήσεται **B** : ἐνοχλήσητε **F** **17** ἀσπασαμένου Arsen. **20** καὶ et τὴν om. **F**

τοῦ Ζήνωνος εἰπεῖν τὸν Ἀντίγονον, οἷον εἴη θέατρον ἀπολωλεκώς. Ὅθεν καὶ διὰ Θράσωνος πρεσβευτοῦ παρὰ τῶν Ἀθηναίων ᾔτησεν αὐτῷ τὴν ἐν Κεραμεικῷ ταφήν. Ἐρωτηθεὶς δὲ διὰ τί θαυμάζει αὐτόν, "Ὅτι," ἔφη, "πολλῶν καὶ μεγάλων αὐτῷ διδομένων ὑπ' ἐμοῦ οὐδεπώποτε ἐχαυνώθη οὐδὲ ταπεινὸς ὤφθη."

Ἦν δὲ καὶ ζητητικὸς καὶ περὶ πάντων ἀκριβολογούμενος· ὅθεν καὶ ὁ Τίμων ἐν τοῖς Σίλλοις φησὶν οὕτω·

> Καὶ Φοίνισσαν ἴδον λιχνόγραυν σκιερῷ ἐνὶ τύφῳ
> πάντων ἱμείρουσαν· ὁ δ' ἔρρει γυργαθὸς αὐτῆς
> μικρὸς ἐών· νοῦν δ' εἶχεν ἐλάσσονα κινδαψοῖο.

Ἐπιμελῶς δὲ καὶ πρὸς Φίλωνα τὸν διαλεκτικὸν διε- 16
κρίνετο καὶ συνεσχόλαζεν αὐτῷ· ὅθεν καὶ θαυμασθῆναι ὑπὸ Ζήνωνος τοῦ νεωτέρου οὐχ ἧττον Διοδώρου τοῦ διδασκάλου αὐτοῦ. Ἦσαν δὲ περὶ αὐτὸν καὶ γυμνορρύπαροί τινες, ὥς φησι καὶ ὁ Τίμων·

> ὄφρα πενεστάων σύναγεν νέφος, οἳ περὶ πάντων
> πτωχότατοί τ' ἦσαν καὶ κουφότατοι βροτοὶ ἀστῶν.

3–6 **φ** 32 **7–11** *SVF* I Nr. 22 **9–11** *PPF* Timonis B 38 = *Suppl. Hell.* 812. Cf. *Suda*, Σ 609 **17–18** Timonis B 39 = *Suppl. Hell.* 813; *SVF* I Nr. 21

1 θέατρον **BPFΦ** et Arsen. : θέαμα Volkmann (1895) **3** Ἀθηναίων Cobet : ἀθήνηθεν **BPF** | κεραμικῷ **B** **5** διδομένων αὐτῷ **F** | οὐδέποτε **Φφ** et Cobet **6** οὐδὲ – ὤφθη om. **F** **8** καὶ om. **Φ** **9** ἴδον **P**^{1}**Φ**, ἰδὸν **B**^{1} : ἰδὼν **B**^{2} : εἶδον **FP**^{2}**Q** **10** πάντων δὲ **F** | γύργαθος : καρτάριν (i.q. καρτάλλιον) in mg **B**^{2} **10–11** αὐτῆς μικρὸς **BPFΦ** : αὐτοῦ μικρὸς *Suda* : αὐτῇ σμικρὸς Diels **11** ἐὼν **F** : ἰὼν **BP**^{2}**Φ** et *Suda* | δὲ **BPFΦ** | κινδαψοῖο **BP**^{1}**F**^{2}**Φ** : κινδαψίο **F**^{1} : σκινδαψοῖο *Suda* et **P**^{4} **14** τοῦ νεωτέρου **BPF** : τοῦ ἑταίρου Reiske (τὸν ἑταῖρον iam Kuehn) : ὄντος νεωτέρου conieci **15** γυμνορύπαροι **BPF** **16** καὶ ὁ om. **F** | τείμων **B** **17** πεναιστάων **B** | σύναγε **P** **18** βροτοὶ ἀστῶν **BP** : ἀστῶν ἄνθρωποι **F** : βροτοὶ ἄλλων Wakefield : βροτοὶ ἀνδρῶν Wachsmuth : ἀνθρώπων Meineke

Αὐτὸν δὲ στυγνόν τε εἶναι καὶ πικρόν, καὶ τὸ πρόσωπον
συνεσπασμένον. Ἦν εὐτελής τε σφόδρα καὶ βαρβαρικῆς
ἐχόμενος μικρολογίας, προσχήματι οἰκονομίας. Εἰ δέ τινα
ἐπισκώπτοι, περιεσταλμένως καὶ οὐχ ἅδην, ἀλλὰ πόρρω-
θεν. Λέγω δὲ οἷον ἐπὶ τοῦ καλλωπιζομένου ποτὲ ἔφη·
17 ὀχέτιον γάρ τι ὀκνηρῶς αὐτοῦ ὑπερβαίνοντος, "Δικαίως,"
εἶπεν, "ὑφορᾷ τὸν πηλόν· οὐ γὰρ ἔστιν ἐν αὐτῷ κατοπτρί-
σασθαι." Ὡς δὲ Κυνικός τις οὐ φήσας ἔλαιον ἔχειν ἐν τῇ
ληκύθῳ προσῄτησεν αὐτόν, οὐκ ἔφη δώσειν· ἀπελθόντος
μέντοι ἐκέλευσε σκέψασθαι ὁπότερος εἴη ἀναιδέστερος.

Ἐρωτικῶς δὲ διακείμενος Χρεμωνίδου, παρακαθιζόν-
των αὐτοῦ τε καὶ Κλεάνθους, ἀνέστη· θαυμάζοντος δὲ
τοῦ Κλεάνθους ἔφη· "Καὶ τῶν ἰατρῶν ἀκούω τῶν ἀγαθῶν,
κράτιστον εἶναι φάρμακον πρὸς τὰ φλεγμαίνοντα ἡσυχί-
αν." Δυοῖν δ' ὑπανακειμένοιν ἐν πότῳ καὶ τοῦ ὑπ' αὐτὸν
τὸν ὑφ' ἑαυτὸν σκιμαλίζοντος τῷ ποδί, αὐτὸς ἐκεῖνον τῷ
γόνατι· ἐπιστραφέντος δέ, "Τί οὖν," ἔφη, "οἴει τὸν ὑποκά-
18 τω σου πάσχειν ὑπὸ σοῦ;" Πρὸς δὲ τὸν φιλόπαιδα οὔτε

5 Λέγω δὲ – 7 : *SVF* I Nr. 293 **8** Ὡς δὲ – **10** *SVF* I Nr. 296 **11** Ἐρωτικῶς δὲ – **14** *SVF* I Nr. 286 **15** Δυοῖν δ' – **18** ὑπὸ σοῦ : *SVF* I Nr. 292 **18** Πρὸς δὲ – **p. 455.2** ἐκεῖνον : *SVF* I Nr. 295

1 τε om. **F** **2** ἦν et τε om. **F** **3** πρὸς σχήματι **B** **4** ἐπισκώπτοι **F**, ἐπισκόπτοι (-σκό- **B**^{2}) **B** : ἐπικόπτοι **PD** et *Frob.* | οὐχ ἅδην **PF** : οὐχ ἄλλην **B** : οὐ χάδην Wilamowitz (119) **5** καλλωπιστοῦ **Φ** **6** γάρ τοι **F** **7** εἶπεν **BP** : εἶναι **F** **8** τῇ om. **F** **9** ἤτησεν **F** | αὐτὸν post v. 8 ἔχειν **F** | ἀπελθόντος Richards : ἀπελθόντα **BPF** **10** ἐκέλευσε **BF** : ἐκέλευε **P** **12** δὲ **P**^{1} : τε **BP**^{2} **12–13** δὲ τοῦ om. **F** **14** φάρμακον εἶναι κράτιστον **F** **15** ὑπανακειμένοιν coni. Menagius : ὑπερανακειμένοιν **BPFΦ** | ὑπ' αὐτὸν **F** : ὑφ' αὐτὸν **BPΦ** **16** σκιμαλίζοντος : κινοῦντος, σείοντος in mg **B**^{2} | σκυμβαλίζοντος **F** **17** ἔφη **Φ** : om. **BPF** et *Suda*

τοὺς διδασκάλους ἔφη φρένας ἔχειν, ἀεὶ διατρίβοντας ἐν παιδαρίοις, οὔτε ἐκεῖνον.

Ἔφασκε δὲ τοὺς μὲν τῶν ἀσολοίκων λόγους ⟨καλοὺς⟩ καὶ ἀπηρτισμένους ὁμοίους εἶναι τῷ ἀργυρίῳ τῷ Ἀλεξανδρινῷ· εὐοφθάλμους μὲν καὶ περιγεγραμμένους καθὰ καὶ τὸ νόμισμα, οὐδὲν δὲ διὰ ταῦτα βελτίονας. Τοὺς δὲ τοὐναντίον ἀφωμοίου τοῖς Ἀττικοῖς τετραδράχμοις, εἰκῇ μὲν κεκομμένοις καὶ σολοίκως, καθέλκοντα μέντοι πολλάκις τὰς κεκαλλιγραφημένας λέξεις. Ἀρίστωνος δὲ τοῦ μαθητοῦ πολλὰ διαλεγομένου οὐκ εὐφυῶς, ἔνια δὲ καὶ προπετῶς καὶ θρασέως, "Ἀδύνατον," εἶπεν, "εἰ μή σε ὁ πατὴρ μεθύων ἐγέννησεν·" ὅθεν αὐτὸν καὶ λάλον ἀπεκάλει, βραχυλόγος ὤν.

19 Πρὸς δὲ τὸν ὀψοφάγον μηδὲν τοῖς συμβιωταῖς καταλιπόντα, παρατεθέντος ποτὲ μεγάλου ἰχθύος, ἄρας ⟨ὅλον⟩ οἷός τ' ἦν κατεσθίειν· ἐμβλέψαντι δέ, "Τί οὖν," ἔφη, "τοὺς συμβιωτὰς οἴει πάσχειν καθ' ἡμέραν, εἰ σὺ ⟨μίαν⟩ μὴ δύ-

3 Ἔφασκε δὲ – 9 λέξεις : *SVF* I Nr. 81. Cf. D. Knoepfler, *Mus. Helv.* 46 (1989) 193–230 **9–13** *SVF* I Nr. 302 = 340; Arsen., p. 266. Cf. Plut. *De lib. educ.* 2 A (de Diogene) **14–p. 456.1** *SVF* I Nr. 290; Athen. 8, 345 C

2 ἐκεῖνον Reiske : ἐκείνους **BPF** 3 καλοὺς add. Reiske 4 ἀλεξανδρινῶ **BF** : ἀλεξανδρηνῶ **PΦ** : Ἀλεξανδρείῳ Bergk, Koehler (*Rhein. Mus.* 39 [1884] 297) 5 μὲν om. **F** 6 βελτίονας **PΦ** : βελτίους **F** : βελτιώνων **B** 7 ἀφομοίου **BP** | τετραδράχμοις **FΦP**^{4} : τετράχμοις **BP**^{1} 8 σολοικικῶς **Φ** | καθέλκοντα scripsi : καθέλκειν **BPFΦ** 9 λέξεις secl. Wilamowitz (119) 11 ἀδύνατον **FP**^{4}**H** et Arsen. : ἀδύνατον τὲ **BP**^{1}**Q** | εἶπεν Arsen. : εἰπεῖν **BPF** 14 ὀψοφάγων **B** | μηδὲν **BPΦ** : βραχὺ **F** | καταλιπόντα **BPFΦ** : καταλείποντα **ΔΠ** 15 αἴρας **P** | ὅλον addidi ex Athen. 16 καταισθίειν **B** | ἐμβλέψαντι **BPF** : ἐμβλέψαντος **Φ** et Athen. 17 οἴει **BPΦ** : εἴη **F** | μίαν ex Athen. add. Cobet

νασαι ἐνεγκεῖν τὴν ἐμὴν ὀψοφαγίαν;" Μειρακίου δὲ περιεργότερον παρὰ τὴν ἡλικίαν ἐρωτῶντος ζήτημά τι, προσήγαγε πρὸς κάτοπτρον καὶ ἐκέλευσεν ἐμβλέψαι· ἔπειτ' ἠρώτησεν εἰ δοκεῖ αὐτῷ ἁρμόττοντα εἶναι ὄψει τοιαύτῃ τοιαῦτα ζητήματα. Πρὸς δὲ τὸν φάσκοντα ὡς τὰ πολλὰ αὐτῷ Ἀντισθένης οὐκ ἀρέσκοι, χρείαν Σοφοκλέους προενεγκάμενος ἠρώτησεν εἴ τινα καὶ καλὰ ἔχειν αὐτῷ δοκεῖ· τοῦ δ' οὐκ εἰδέναι φήσαντος, "Εἶτ' οὐκ αἰσχύνῃ," ἔφη, "εἰ μέν τι κακὸν ἦν εἰρημένον ὑπ' Ἀντισθένους, τοῦτ' ἐκλεγόμενος καὶ μνημονεύων, εἰ δέ τι καλόν, οὐδ' ἐπιβαλλόμενος κατέχειν;"

20 Εἰπόντος δέ τινος ὅτι μικρὰ αὐτῷ δοκεῖ τὰ λογάρια τῶν φιλοσόφων, "Λέγεις," εἶπε, "τἀληθῆ· δεῖ μέντοι καὶ τὰς συλλαβὰς αὐτῶν, εἰ δυνατόν, βραχείας εἶναι." Λέγοντος δέ τινος αὐτῷ περὶ Πολέμωνος ὡς ἄλλα προθέμενος ἄλλα λέγει, σκυθρωπάσας ἔφη· "Πόσου γὰρ ⟨ἂν⟩ ἠγάπας τὰ διδόμενα;" Δεῖν δὲ ἔφη τὸν ⟨σὺν⟩ νῷ διαλεγόμενον

1 Μειρακίου – **5** *SVF* I Nr. 314; Arsen. *ib.* **5** Πρὸς δὲ – **11** *SVF* I Nr. 305; Arsen., p. 266 s. **12–14** *SVF* I Nr. 328; Arsen., p. 266 **14** Λέγοντος – **17** *SVF* I Nr. 306 **17** Δεῖν δὲ – **p. 457.3** *SVF* I Nr. 327

1 ἐμὴν om. **F** **2** περὶ τὴν **F** | ζήτημά τι **BPFΦ** : ζητήματα Arsen. **3** πρὸς **BPF** et Arsen. : εἰς **Φ** **4** ἐπηρώτησεν Arsen. | δοκῇ **F** | ἁρμόττοντα **D** et Arsen. : ἁρμόττον **BPFΦ** **4–5** τοιαύτῃ τοιαῦτα Arsen. et ab Arnim : τοιαύτη **BPΦ** : τοιαῦτα **F** **6** ἀρέσκει Arsen. | πρὸς ἐνεγκάμενος **B** **9** μέν τοι **B** | ὑπ' Ἀντισθένους secl. Wilamowitz (120) **10** οὐκ **B** | ὑποβαλλόμενος **Φ** **14** εἰ (ss. **F**[2]) δυνατὸν post εἶναι **FD** : om. **Φ** **16** λέγεις **B** | οὕτως ἔφη **B** | πόσου γὰρ **BPF** : πῶς; οὐ γὰρ Reiske, πῶς οὐ γὰρ Richards | ἂν add. ab Arnim | ἠγάπας Cobet : ἠγάπα **BPF** **17** ἔφη **BPF** : ἔλεγε **Φ** | τὸν ⟨σὺν⟩ νῷ scripsi : τὸν νῶ **F** : τόνω **BP**[1] : τῶ νῶ **Φ** : τὸν **P**[2]**Q** et *Frob.*

ὥσπερ τοὺς ὑποκριτὰς τὴν μὲν φωνὴν καὶ τὴν δύναμιν μεγάλην ἔχειν, τὸ μέντοι στόμα μὴ διέλκειν· ὃ ποιεῖν τοὺς πολλὰ μὲν λαλοῦντας, ἀδύνατα δέ. Τοῖς εὖ λεγομένοις οὐκ ἔφη δεῖν καταλείπεσθαι τόπον ὥσπερ τοῖς ἀγαθοῖς τεχνίταις εἰς τὸ θεάσασθαι· τοὐναντίον δὲ ⟨δεῖν⟩ τὸν ἀκούοντα οὕτω πρὸς τοῖς λεγομένοις γίνεσθαι, ὥστε μὴ λαμβάνειν χρόνον εἰς τὴν ἐπισημείωσιν.

Νεανίσκου πολλὰ λαλοῦντος ἔφη· "Τὰ ὦτά σου εἰς 21
τὴν γλῶτταν συνερρύηκε." Πρὸς τὸν καλὸν εἰπόντα ὅτι οὐ δοκεῖ αὐτῷ ἐρασθήσεσθαι ὁ σοφός, "Οὐδέν," ἔφη, "ὑμῶν ἀθλιώτερον ἔσεσθαι τῶν καλῶν." Ἔλεγε δὲ καὶ τῶν φιλοσόφων τοὺς πλείστους τὰ μὲν πολλὰ ἀσόφους εἶναι, τὰ δὲ μικρὰ καὶ τυχηρὰ εὐμαθεῖς. Καὶ προεφέρετο τὸ τοῦ Καφισίου, ὃς ἐπιβαλλομένου τινὸς τῶν μαθητῶν μεγάλα φυσᾶν, πατάξας εἶπεν ὡς οὐκ ἐν τῷ μεγάλῳ τὸ εὖ κείμενον εἴη, ἀλλ' ἐν τῷ εὖ τὸ μέγα. Νεανίσκου δέ τινος θρασύτερον διαλεγομένου, "Οὐκ ἂν εἴποιμι," ἔφη, "μειράκιον, ἃ ἐπέρχεταί μοι."

Ῥοδίου δέ τινος καλοῦ καὶ πλουσίου, ἄλλως δὲ μηδέν, 22

3 Τοῖς – 7 *SVF* I Nr. 308 **8–9** *SVF* I Nr. 311; Arsen., p. 267 **9** Πρὸς – **11** *SVF* I Nr. 316; φ 32 **11** Ἔλεγε δὲ – **13** *SVF* I Nr. 331 **13** Καὶ – **16** *SVF* I Nr. 307; Athen. 14, 629 AB; *Suda*, M 364 **16** Νεανίσκου – **18** *SVF* I Nr. 315 **19–p. 458.5** *SVF* I Nr. 20

1 μὲν om. **Φ** 3 ἀδύνατα **BPFΦ** : ἀσύνετα Apelt **4** καταλίπεσθαι **B** 5 τεχνίταις **B**[2] in lac. | δεῖν addidi **10** δοκεῖ **BP** : δύνῃ **F** **10–11** ἀθλιώτερον ὑμῶν **F** **11** post τῶν καλῶν pergit **φ** 32 : εἰ μὴ ἡμεῖς ἐρασθησόμεθα | φιλοσόφων : φιλο- in mg **B**[1] **12** πολλὰ **BPF** : μεγάλα coni. Menagius, ab Arnim | ἀσόφους **BP** : σοφοὺς **F**, def. Menagius, ab Arnim, Gigante **13** εὐμαθεῖς M. Casaubon : ἀμαθεῖς **BPF** | τὸ Wilamowitz : τὰ **BPF** **14** ἐπιβαλλομένου **BP** et Athen. : ἐπιβαλομένου **F** et *Suda* | μεγάλα **BPFΦ** : μέγα *Suda* et Athen. **17** ἃ **P**[2]**Q** : δ' **BP**[1]**FΦ**

προσκειμένου αὐτῷ, μὴ βουλόμενος ἀνέχεσθαι, πρῶτον μὲν ἐπὶ τὰ κεκονιμένα τῶν βάθρων ἐκάθιζεν αὐτόν, ἵνα μολύνῃ τὴν χλανίδα· ἔπειτα εἰς τὸν τῶν πτωχῶν τόπον, ὥστε συνανατρίβεσθαι τοῖς ῥάκεσιν αὐτῶν· καὶ τέλος ἀπῆλθεν ὁ νεανίσκος. Πάντων ἔλεγεν ἀπρεπέστατον εἶναι τὸν τῦφον, καὶ μάλιστα ἐπὶ τῶν νέων. Μὴ τὰς φωνὰς καὶ τὰς λέξεις ἀπομνημονεύειν, ἀλλὰ περὶ τὴν διάθεσιν τῆς χρείας τὸν νοῦν ἀσχολεῖσθαι, μὴ ὥσπερ ἕψησίν τινα ἢ σκευασίαν ἀναλαμβάνοντας. Δεῖν τε ἔλεγε τοὺς νέους πάσῃ κοσμιότητι χρῆσθαι καὶ ⟨ἐν⟩ πορείᾳ καὶ σχήματι καὶ περιβολῇ· συνεχές τε προεφέρετο τοὺς ἐπὶ τοῦ Καπανέως
23 Εὐριπίδου στίχους, ὅτι | βίος μὲν ἦν αὐτῷ ⟨πολύς⟩,

ἥκιστα δ' ὄλβῳ γαῦρος ἦν· φρόνημα δὲ
οὐ⟨δέν⟩ τι μεῖζον εἶχεν ἢ πένης ἀνήρ.

Ἔλεγε δὲ μηδὲν εἶναι τῆς οἰήσεως ἀλλοτριώτερον πρὸς κατάληψιν τῶν ἐπιστημῶν, μηδενός τε ἡμᾶς οὕτως εἶναι ἐνδεεῖς ὡς χρόνου. Ἐρωτηθεὶς τί ἐστι φίλος, "Ἀλ-

5 Πάντων – **6** *SVF* I Nr. 317; Arsen., p. 267 **6** Μὴ – **9** *SVF* I Nr. 309 **9** Δεῖν – **14** *SVF* I Nr. 245; Arsen. *ib.* **12–14** Eurip. *Suppl.* 861–863 **15–16** τῶν ἐπιστημῶν : *SVF* I Nr. 71 = 321 **16** μηδενὸς – **17** χρόνου : *SVF* I Nr. 323. Cf. Stob. 4.34.68 **17–p. 459.1** *SVF* I Nr. 324; *Gnom. Vat.* 296; Arsen. *ib.* Cf. Aristot. *EN* I 4, 1166 a 31

2 κεκονιμένα *Frob.* : κεκομμένα **BPFDΦ** **3** χλανίδα **BPΦ** : χλαμύδα **F** **4** ῥάκκεσιν **B** **5** ἀπρεπέστατον Arsen. et Richards : ἀπρεπέστερον **BPF** **8** ὄψησιν **B** **10** καὶ[1] ⟨ἐν⟩ scripsi : καὶ **BPF** et Arsen. : ἐν Stephanus | καὶ[2] **P[4]HD** : τῷ **BP[1]F** **11** συνεχῶς **Φ** **12** πολύς ex Eurip. add. Casaubon **13** δὲ[1] **BPF** | δὲ[2] **BF** : δ' **PΦD** **14** οὐδέν Casaubon ex Eurip. : οὔ vel οὐ **BPF** | τοι **B** **15** οἰήσεως M. Casaubon : ποιήσεως **BPFD** **17** τί **F**, *Gnom.* et Arsen. : τίς **BPD**

λος," ⟨ἔφη,⟩ "ἐγώ." Δοῦλον ἐπὶ κλοπῇ, φασίν, ἐμαστίγου· τοῦ δ' εἰπόντος· "Εἵμαρτό μοι κλέψαι," ἔφη· "Καὶ δαρῆναι." Τὸ κάλλος εἶπε τῆς σωφροσύνης ἄνθος εἶναι· οἱ δὲ τοῦ κάλλους τὴν σωφροσύνην. Τῶν γνωρίμων τινὸς παιδάριον μεμωλωπισμένον θεασάμενος, πρὸς αὐτόν, "Ὁρῶ σου," ἔφη, "τοῦ θυμοῦ τὰ ἴχνη." Πρὸς τὸν κεχρισμένον τῷ μύρῳ, "Τίς ἐστιν," ἔφη, "ὁ γυναικὸς ὄζων;" Διονυσίου δὲ τοῦ Μεταθεμένου εἰπόντος αὐτῷ διὰ τί αὐτὸν μόνον οὐ διορθοῖ, ἔφη· "Οὐ γάρ σοι πιστεύω." Πρὸς τὸ φλυαροῦν μειράκιον, "Διὰ τοῦτο," εἶπε, "δύο ὦτα ἔχομεν, στόμα δὲ ἕν, ἵνα πλείω μὲν ἀκούωμεν, ἥττονα δὲ λέγωμεν."

Ἐν συμποσίῳ κατακείμενος σιγῇ τὴν αἰτίαν ἠρωτήθη· 24 ἔφη οὖν τῷ ἐγκαλέσαντι ἀπαγγεῖλαι πρὸς τὸν βασιλέα ὅτι παρῆν τις πρεσβύτης σιωπᾶν ἐπιστάμενος· ἦσαν δὲ οἱ ἐρωτήσαντες παρὰ Πτολεμαίου πρέσβεις ἀφικόμενοι καὶ βουλόμενοι μαθεῖν τί εἴποιεν περὶ αὐτοῦ πρὸς τὸν βασιλέα. Ἐρωτηθεὶς πῶς ἔχει πρὸς λοιδορίαν, "Καθάπερ," εἶπεν, "εἰ πρεσβευτὴς ἀναπόκριτος ἀποστέλλοιτο." Φησὶ

1 Δοῦλον – **2** *SVF* I Nr. 298; Arsen. *ib.* **3** Τὸ κάλλος – **4** *SVF* I Nr. 330 **4** Τῶν – **6** τὰ ἴχνη : *SVF* I Nr. 320 **6** Πρὸς – **7** ὄζων : *SVF* I Nr. 318. Cf. Xenoph. *Symp.* 2.3 **7-9** *SVF* I Nr. 303 = 423 **9** Πρὸς – **11** *SVF* I Nr. 310; Arsen., p. 267 s. Cf. Stob. 3.36.19; Plut. *De garrul.* 502 C; *De audiendo* 39 B **12** Ἐν συμποσίῳ – **16** τὸν βασιλέα : *SVF* I Nr. 284; Arsen., p. 268. Cf. Stob. 3.33.10; Plut. *De garrul.* 504 A **17–18** *SVF* I Nr. 283 **18** Φησὶ δ' – **p. 460.5** *SVF* I Nr. 278; Arsen., p. 267

1 ἔφη add. Cobet | ἐμαστήγου **B** : ἐμαστίγουν **F** **2** ἥμαρτο **B** | ἔφη κλέψαι et δαρῆναι ἔφη **P** | δαρεῖναι **F** **3** σωφροσύνης et **4** σωφροσύνην Cobet (cf. 7.130 εἶναι δὲ καὶ τὴν ὥραν ἄνθος ἀρετῆς) : φωνῆς et **4** φωνὴν **BPFΦD** **7** ἔφη τίς ἐστιν **F** **10** ἔχωμεν **B** **11** πλείω **BPΦ** et Arsen. : πλείονα **F** | ἀκούομεν et λέγομεν **F** **13** οὖν om. **F** **14** πρεσβύτης **Φ** : om. **BPF** : ⟨γέρων⟩ τις Reiske | εἰδὼς σιωπᾶν **Φ** **15** πτωλεμαίου **B** **18** πρεσβύτης **B**

δ' Ἀπολλώνιος ὁ Τύριος, ἕλκοντος αὐτὸν Κράτητος τοῦ ἱματίου ἀπὸ Στίλπωνος, εἰπεῖν· "Ὦ Κράτης, λαβὴ φιλοσόφων ἐστὶν ἐπιδέξιος ἡ διὰ τῶν ὤτων· πείσας οὖν ἕλκε τούτων· εἰ δέ με βιάζῃ, τὸ μὲν σῶμα παρὰ σοὶ ἔσται, ἡ δὲ ψυχὴ παρὰ Στίλπωνι."

25 Συνδιέτριψε δὲ καὶ Διοδώρῳ, καθά φησιν Ἱππόβοτος· παρ' ᾧ καὶ τὰ διαλεκτικὰ ἐξεπόνησεν. Ἤδη δὲ προκόπτων εἰσῄει καὶ πρὸς Πολέμωνα ὑπ' ἀτυφίας, ὥστε φασὶ λέγειν ἐκεῖνον· "Οὐ λανθάνεις ⟨με⟩, ὦ Ζήνων, ταῖς κηπαίαις παρεισρέων θύραις καὶ τὰ δόγματα κλέπτων Φοινικικῶς μεταμφιεννύς." Καὶ πρὸς τὸν δείξαντα δὲ αὐτῷ διαλεκτικὸν ἐν τῷ θερίζοντι λόγῳ ἑπτὰ διαλεκτικὰς ἰδέας πυθέσθαι, πόσας εἰσπράττεται μισθοῦ· ἀκούσαντα δὲ ἑκατόν, διακοσίας αὐτῷ δοῦναι· τοσοῦτον ἤσκει φιλομάθειαν. Φασὶ δὲ καὶ πρῶτον καθῆκον ὠνομακέναι καὶ λόγον περὶ αὐτοῦ πεποιηκέναι. Τούς τε Ἡσιόδου στίχους μεταγράφειν οὕτω·

Κεῖνος μὲν πανάριστος ὃς εὖ εἰπόντι πίθηται,
ἐσθλὸς δ' αὖ κἀκεῖνος ὃς αὐτὸς πάντα νοήσῃ.

26 Κρείττονα γὰρ εἶναι τὸν ἀκοῦσαι καλῶς δυνάμενον τὸ λεγόμενον καὶ χρῆσθαι αὐτῷ τοῦ δι' αὐτοῦ τὸ πᾶν συν-

6–p. 461.15 *SVF* I Nr. 5 **6–p. 461.2** Hippoboti Fr. 10 Gigante **11–15** *SVF* I Nr. 279 **15** Φασὶ δὲ – **16** *SVF* I Nr. 230. Cf. DL 7.108 **16** Τούς τε – **p. 461.2** *SVF* I Nr. 235 **18–19** Hes. *Op.* 295 et 293

3 ὁ διὰ **F** **4** ἔστω **F** **9** λανθάνης **B** | με addidi **10** παρεισραίων **B** | φοινικῶς **F** **11** μετ' ἀμφυεννὺς **F** **13** πόσας **B**^{1}**PF** : πόσου ss. **B**^{2} **14** φιλομαθίαν **B** **16** ἡσιώδου **B** **18** πίθηται **F**^{1} et *Frob.* : πείθηται **BPF**^{2}**D** **19** αὐτὸς **BP** (et Hes. Π^5, Aristot. *E.N.* A 2, 1095 b 10) : αὐτῶ **F** : αὐτῷ Hes. codd. | νοήσῃ Casaubon : νοήσει **BPF** **21** καὶ χρῆσθαι **PF** : κεχρῆσθαι **B** | αὑτοῦ Huebner : αὐτοῦ **BPF**

νοήσαντος· τῷ μὲν γὰρ εἶναι μόνον τὸ συνεῖναι, τῷ δ' εὖ πεισθέντι προσεῖναι καὶ τὴν πρᾶξιν.

Ἐρωτηθεὶς δέ, φασί, διὰ τί αὐστηρὸς ὢν ἐν τῷ πότῳ διαχεῖται ἔφη· "Καὶ οἱ θέρμοι πικροὶ ὄντες βρεχόμενοι γλυκαίνονται." Φησὶ δὲ καὶ Ἑκάτων ἐν τῷ δευτέρῳ τῶν Χρειῶν ἀνίεσθαι αὐτὸν ἐν ταῖς τοιαύταις κοινωνίαις. Ἔλεγέ τε κρεῖττον εἶναι τοῖς ποσὶν ὀλισθεῖν ἢ τῇ γλώττῃ. Τὸ εὖ γίνεσθαι μὲν παρὰ μικρόν, οὐ μὴν μικρὸν εἶναι (οἱ δὲ Σωκράτους.)

Ἦν δὲ καρτερικώτατος καὶ λιτότατος, ἀπύρῳ τροφῇ χρώμενος καὶ τρίβωνι λεπτῷ, ὥστε λέγεσθαι ἐπ' αὐτοῦ·

Τὸν δ' οὔτ' ἂρ χειμὼν κρυόεις, οὐκ ὄμβρος ἀπείρων, 27
οὐ φλὸξ ἠελίοιο δαμάζεται, οὐ νόσος αἰνή,
οὐκ ἔροτις δήμου ἐναρίθμιος, ἀλλ' ὅ γ' ἀτειρὴς
ἀμφὶ διδασκαλίῃ τέταται νύκτας τε καὶ ἦμαρ.

Οἵ γε μὴν κωμικοὶ ἐλάνθανον ἐπαινοῦντες αὐτὸν διὰ τῶν σκωμμάτων. Ἵνα καὶ Φιλήμων φησὶν οὕτως ἐν δράματι Φιλοσόφοις·

3–5 *SVF* I Nr. 285; Arsen. *ib.* Cf. Athen 2, 55 F; Galeni *De anim. mor.* 3 (IV, 777 K.) **3–6** Hecatonis Fr. 24 Gomoll **7** Ἔλεγε τε – γλώττῃ : *SVF* I Nr. 329; Arsen. *ib.* Cf. *Gnom. Vat.* 382 **8** Τὸ εὖ – **9** *SVF* I Nr. 325. Cf. DL 2.32 **16–p. 465.4** τὸν κύνα : *SVF* I Nr. 6

1 τῶ^{1} **B^{2}P** : τὸ **B^{1}F** **3** φασί scripsi : φησί **BP** : om. **FΦ** et Arsen., del. Cobet **4** πικροὶ οἱ ὄντε **B** **5** καὶ om. **F** **7** ὀλισθαίνειν **Φ** **8** μικρὸν^{1} **B^{1}PF^{1}** : μικρῶν **B^{2}** in mg et **F^{2}** **8–9** οἱ δὲ Σωκράτους secl. Cobet **10** λειπότατος **B** **12** κρουόεις **F^{1}** (corr. **F^{2}**) | οὐκ **BPΦ** : οὐτ' **F** **14** οὐκ ἔροτις **ΦF** (ἔρωτις) : οὐ κέροτις **BP** | ἐναρίθμιος **BPFΦ** : ἐναρεῖ μένος Cobet : ἀναρίθμιος Gigante **15** τέτατε **B^{1}** (corr. **B^{2}**) **16** ἐλάνθανον post v. 17 σκωμμάτων **F** **18** φιλοσόφοις om. **Φ**, secl. Cobet

Εἷς ἄρτος, ὄψον ἰσχάς, ἐπιπιεῖν ὕδωρ·
φιλοσοφίαν καινὴν γὰρ οὗτος φιλοσοφεῖ,
πεινῆν διδάσκει καὶ μαθητὰς λαμβάνει

(οἱ δὲ Ποσειδίππου).

Ἤδη δὲ καὶ εἰς παροιμίαν σχεδὸν ἐχώρησεν. Ἐλέγετο γοῦν ἐπ' αὐτοῦ·

Τοῦ φιλοσόφου Ζήνωνος ἐγκρατέστερος.

Ἀλλὰ καὶ Ποσείδιππος Μεταφερομένοις·

28 ὥστ' ἐν ἡμέραις δέκα
εἶναι δοκεῖν Ζήνωνος ἐγκρατέστερον.

Τῷ γὰρ ὄντι πάντας ὑπερεβάλλετο τῷ τε εἴδει τούτῳ καὶ τῇ σεμνότητι καὶ δὴ νὴ Δία τῇ μακροβιότητι· ὀκτὼ γὰρ πρὸς τοῖς ἐνενήκοντα βιοὺς ἔτη κατέστρεψεν, ἄνοσος καὶ ὑγιὴς διατελέσας. Περσαῖος δέ φησιν ἐν ταῖς Ἠθικαῖς σχολαῖς δύο καὶ ἐνενήκοντα ἐτῶν τελευτῆσαι αὐτόν, ἐλθεῖν δὲ Ἀθήναζε δύο καὶ εἴκοσιν ἐτῶν· ὁ δ' Ἀπολλώνιός φησιν ἀφηγήσασθαι τῆς σχολῆς αὐτὸν ἔτη δυοῖν δέοντα ἑξήκοντα. Ἐτελεύτα δὲ οὕτως· ἐκ τῆς σχολῆς ἀπιὼν προσέπταισε καὶ τὸν δάκτυλον περιέρρηξε· παίσας δὲ τὴν

1–3 Philemonis Fr. 88 (*PCG* VII). Cf. Clem. *Strom.* 2.121.3 **9–10** Posidippi Fr. 16 (*PCG* VII) **14–16** *FGrHist* 584 F 10 **18** Ἐτελεύτα δὲ – **p. 463.3** *SVF* I Nr. 288. Cf. Stob. 3.7.44; Luciani *Macrob.* 19

1–3 in Clemente ordo versuum est 2, 3, 1 : sic Meineke, Huebner alii **1** εἷς ἄρτος Casaubon ex Clem. : εἰς ἄρτον **BP FΦ** **3** πίνειν **B** | λαμβάνειν **B** **4** secl. Rossi (37, p. 104) | ποσιδίππου **BP** **8** ποσίδιππος **BPF** **10** δοκεῖν εἶναι **F** **11** ὑπερεβάλετο *Suda*, Z 79 **12** δὴ om. **F** | τῇ Cobet : καὶ **BPF** | μακροβιότητι Madvig et Heine (614) : μακαριότητι **BPF** et *Suda* **13** καὶ ss. **B**^{1} **15** ἐνενήκοντα Roeper^3 (29) : ἑβδομήκοντα **BPF** **17** αὐτὸν post φησιν **F** **18** ἐτελεύτησε **F** | δὲ scripsi : δὴ **BPF** **19** προσέπτεσε **B** | παίσας **P FΦ** et *Suda* : πλήσας **B** : πλήξας **D**

γῆν τῇ χειρί, φησὶ τὸ ἐκ τῆς Νιόβης·

Ἔρχομαι· τί μ' αὔεις; 29

Καὶ παραχρῆμα ἐτελεύτησεν, ἀποπνίξας ἑαυτόν.

Ἀθηναῖοι δ' ἔθαψαν αὐτὸν ἐν τῷ Κεραμεικῷ καὶ ψηφίσμασι τοῖς προειρημένοις ἐτίμησαν, τὴν ἀρετὴν αὐτῷ προσμαρτυροῦντες. Καὶ Ἀντίπατρος ὁ Σιδώνιος ἐποίησεν οὕτως εἰς αὐτόν·

Τῆνος ὅδε Ζήνων Κιτίῳ φίλος, ὅς ποτ' Ὄλυμπον
ἔδραμεν, οὐκ Ὄσσῃ Πήλιον ἀνθέμενος,
οὐδὲ τά γ' Ἡρακλῆος ἀέθλεε· τὰν δέ ποτ' ἄστρα
ἀτραπ⟨ιτ⟩ὸν μούνας εὗρε σαοφροσύνας.

Καὶ ἄλλο Ζηνόδοτος ὁ Στωϊκός, Διογένους μαθητής·

Ἔκτισας αὐτάρκειαν, ἀφεὶς κενεαυχέα πλοῦτον, 30
Ζήνων, σὺν πολιῷ σεμνὸς ἐπισκυνίῳ·
ἄρσενα γὰρ λόγον εὗρες, ἐνηθλήσω δὲ προνοίᾳ
αἵρεσιν ἀτρέστου ματέρ' ἐλευθερίας.
Εἰ δὲ πάτρα Φοίνισσα, τίς ὁ φθόνος; Οὐ καὶ ὁ Κάδμος
κεῖνος, ἀφ' οὗ γραπτὰν Ἑλλὰς ἔχει σελίδα;

Καὶ κοινῇ δὲ καὶ περὶ πάντων τῶν Στωϊκῶν Ἀθήναιος ὁ

1–2 Timothei Fr. 11 Page (*PMG* 787) **8–11** *Anth. Pal., App.* 3.104 Cougny **13–18** *Anth. Pal.* 7.117

2 αὔεις **F**^{1}, ἀΐεις **F**^{2} **3** ἀποπνήξας **B** **4** κεραμικῶ **B** **5** αὐτοῦ **F** **6** σιδόνιος **Φ** **7** εἰς αὐτόν **Φ**, Cobet : om. **BPF** **8** τῆνος **F** et *Anth.* : τῆμος **BPΦ** | ὧδε **F** | κιττίω **P**^{1}**FΦ**^{1}**Ψ** **9** οὐ κόρση **F** **10** ἀέθλεε Brunck et Toup : ἀέθλια **BPFΦ** et *Anth.* | τὰν Meibom., Jacobs : τὴν **BPFΦ** et *Anth.* | ἄστρα om. **F** **11** ἀτραπιτὸν Stephanus : ἀτραπὸν **BPFΦ** et *Anth.* | μούνας Meibom. : μοῦνος **BPFΦ** et *Anth.* **13** ἔκτισας **B**^{1}**PF** et *Pal.*^{2} : ἔκτισαν *Pal.*^{1} : κτήσας **B**^{2} **14** πολείῳ **B** **17** οὐ Porson (ad Eurip. *Phoen.* 1613) : ὃν **BP**^{1}**F** et *Suda,* K 21 : ἣν *Pal.*^{1}, ἦν *Pal.*^{2}, *Frob.* : ἧς **P**^{4}

ἐπιγραμματοποιός φησιν οὕτως·

Ὦ Στοϊκῶν μύθων εἰδήμονες, ὦ πανάριστα
δόγματα ταῖς ἱεραῖς ἐνθέμενοι σελίσιν,
τὰν ἀρετὰν ψυχᾶς ἀγαθὸν μόνον· ἅδε γὰρ ἀνδρῶν
μούνα καὶ βιοτὰν ῥύσατο καὶ πόλιας.
Σαρκὸς δ' ἡδυπάθημα, φίλον τέλος ἀνδράσιν ἄλλοις,
ἡ μία τῶν Μνήμης ἤνυσε θυγατέρων.

31 Εἴπομεν ὡς ἐτελεύτα ὁ Ζήνων καὶ ἡμεῖς ἐν τῇ Παμμέτρῳ τοῦτον τὸν τρόπον·

Τὸν Κιτιᾶ Ζήνωνα θανεῖν λόγος ὡς ὑπὸ γήρως
πολλὰ καμὼν ἐλύθη μένων ἄσιτος·
οἱ δ' ὅτι προσκόψας ποτ' ἔφη χερὶ γαῖαν ἀλοίσας·
"Ἔρχομαι αὐτόματος· τί δὴ καλεῖς με;"

Ἔνιοι γὰρ καὶ τοῦτον τὸν τρόπον τελευτῆσαί φασιν αὐτόν. Καὶ περὶ μὲν τῆς τελευτῆς ταῦτα.

Φησὶ δὲ Δημήτριος ὁ Μάγνης ἐν τοῖς Ὁμωνύμοις τὸν πατέρα αὐτοῦ Μνασέαν πολλάκις ἅτε ἔμπορον Ἀθήναζε παραγίνεσθαι καὶ πολλὰ τῶν Σωκρατικῶν βιβλίων ἀπο-
32 φέρειν ἔτι παιδὶ ὄντι τῷ Ζήνωνι· ὅθεν καὶ ἐν τῇ πατρίδι

2–7 *Anth. Pal.* 9.496; *Plan.*; *Suppl. Hell.* 226 = DL 6.14 **10–13** *Anth. Pal.* 7.118 **16–p. 465.3** τὰς ἀποφάσεις : Demetrii F 22 Mejer

2 Στοϊκῶν scripsi ex *Pal.* : στωϊκῶν **BPF**, *Plan.* **3** σελίσι **B**^{2}**F** **4** ψυχαῖς **F** **5** βιοτὰν **BPF** (βιο- ss. **F**^{2}) : βιότου *Pal.* | πόλησς **F** : πόλιος *Pal.* **6** δ' om. **BPF**, ex 6.14 add. *Frob.* **10** τὸν ss. **F**^{2} | κιττιᾶ **P**^{1}**F** : κιτιέα **B** et *Pal.* **11** ante μένων addunt οἱ δὲ **P**^{4}**H** et *Pal.* **12–13** om. *Pal.* **12** οἶδ' ὅτι **F** | ποτ' ἔφη **F** : ποτὲ φῆ **BP** | χερὶ **P**^{2}**Q** : χειρὶ **BP**^{1} **F** | γαῖαν ἀλοίσας **PFB** (ἀλύσας) : γαίαν ἀλοιῶν Cobet : γῆν ἀλοήσας Valckenaer (ad Eurip. *Phoen.* 856) **14** αὐτόν φασιν **F** **19** παιδίῳ **F**

συγκεκροτῆσθαι. Καὶ οὕτως ἐλθόντα εἰς Ἀθήνας Κράτητι παραβαλεῖν. Δοκεῖ δέ, φησί, καὶ τὸ τέλος αὐτὸς ὁρίσαι τῶν ⟨ἄλλων⟩ πλανωμένων περὶ τὰς ἀποφάσεις. Ὤμνυε δέ, φασί, καὶ κάππαριν, καθάπερ Σωκράτης τὸν κύνα.

Ἔνιοι μέντοι, ἐξ ὧν εἰσιν οἱ περὶ Κάσσιον τὸν Σκεπτικόν, ἐν πολλοῖς κατηγόρουν τοῦ Ζήνωνος, πρῶτον μὲν τὴν ἐγκύκλιον παιδείαν ἄχρηστον ἀποφαίνειν λέγοντες ἐν ἀρχῇ τῆς Πολιτείας, δεύτερον ἐχθροὺς καὶ πολεμίους καὶ δούλους καὶ ἀλλοτρίους ἀλλήλων λέγειν αὐτὸν εἶναι πάντας τοὺς μὴ σπουδαίους, καὶ γονεῖς τέκνων καὶ ἀδελφοὺς ἀδελφῶν, ⟨καὶ⟩ οἰκείους οἰκείων. Πάλιν ἐν τῇ Πολι- 33
τείᾳ παριστάναι πολίτας καὶ φίλους καὶ οἰκείους καὶ ἐλευθέρους τοὺς σπουδαίους μόνον, ὥστε τοῖς Στωϊκοῖς οἱ γονεῖς καὶ τὰ τέκνα ἐχθροί· οὐ γάρ εἰσι σοφοί. Κοινάς τε τὰς γυναῖκας δογματίζειν ὁμοίως ἐν τῇ Πολιτείᾳ [καὶ] κατὰ τοὺς διακοσίους ⟨στίχους καὶ⟩ μήτε ἱερὰ μήτε δικαστήρια μήτε γυμνάσια ἐν ταῖς πόλεσιν οἰκοδομεῖσθαι. Περί τε νομίσματος οὕτως γράφειν· "Νόμισμα δὲ οὔτε ἀλ-

3–4 *SVF* I Nr. 32a. Cf. Athen. 9, 370 C **5** Ἔνιοι – **p. 466.9** ῥήτορι : Fr. 286 Deichgraeber (*Die gr. Empirikerschule*, 1965²) **5–8** τῆς Πολιτείας : *SVF* I Nr. 259 **8** δεύτερον – **11** οἰκείων : *SVF* I Nr. 226 **11** Πάλιν – **13** μόνον : *SVF* I Nr. 222 **14** Κοινάς τε – **15** ἐν τῇ Πολιτείᾳ : *SVF* I Nr. 269 **15** καὶ – **17** *SVF* I Nr. 267 **18–p. 466.2** *SVF* I Nr. 268

1 συγκεκροτεῖσθαι **BF** | ἐλθόντας **B** **3** ἄλλων add. Madvig **5** κάσιον **BP** **6** κατηγόρουν Madvig : κατηγοροῦντες **BPF** | καὶ πρῶτον **F** **7** λέγοντες Madvig : λέγοντα **BPF** : λέγουσιν Reiske (servato v. 6 κατηγοροῦντες) **8** πολεμίους *Aldobr.* : πολεμικοὺς **BPF** **11** καὶ add. Huebner **12** παριστάναι scripsi : παριστάντα **BPF** **14** τὰ **D** : om. **BPF** **15** ἐν τῇ πολιτείᾳ ὁμοίως **F** | καὶ del. Reiske **16** στίχους add. Menagius et καὶ addidi **17** ἐν **F** : ἐπὶ **BP** | οἰκοδομῆσθαι **F**

λαγῆς ἕνεκεν οἴεσθαι δεῖν κατασκευάζειν οὔτε ἀποδημίας ἕνεκεν." Καὶ ἐσθῆτι δὲ τῇ αὐτῇ κελεύειν χρῆσθαι ἄνδρας καὶ γυναῖκας καὶ μηδὲν μόριον ἀποκεκρύφθαι.

34 Ὅτι δ' αὐτοῦ ἐστιν ἡ Πολιτεία καὶ Χρύσιππος ἐν τῷ Περὶ πολιτείας φησίν. Περί τε ἐρωτικῶν διείλεκται κατὰ τὴν ἀρχὴν τῆς ἐπιγραφομένης Ἐρωτικῆς τέχνης· ἀλλὰ καὶ ἐν ταῖς Διατριβαῖς τὰ παραπλήσια γράφει. Τοιουτότροπά τινά ἐστι παρὰ τῷ Κασσίῳ, ἀλλὰ καὶ Ἰσιδώρῳ τῷ Περγαμηνῷ ῥήτορι· ὃς καὶ ἐκτμηθῆναί φησιν ἐκ τῶν βιβλίων τὰ κακῶς λεγόμενα παρὰ τοῖς Στωϊκοῖς ὑπ' Ἀθηνοδώρου τοῦ Στωϊκοῦ πιστευθέντος τὴν ἐν Περγάμῳ βιβλιοθήκην· εἶτα ἀνατεθῆναι αὐτά, φωραθέντος τοῦ Ἀθηνοδώρου καὶ κινδυνεύσαντος. Καὶ τοσαῦτα μὲν περὶ τῶν ἀθετουμένων αὐτοῦ.

35 Γεγόνασι δὲ Ζήνωνες ὀκτώ· πρῶτος ὁ Ἐλεάτης, περὶ οὗ λέξομεν· δεύτερος αὐτὸς οὗτος· τρίτος Ῥόδιος, τὴν ἐντόπιον γεγραφὼς ἱστορίαν ἑνιαίαν· τέταρτος ἱστορικός, τὴν Πύρρου γεγραφὼς στρατείαν εἰς Ἰταλίαν καὶ Σικελίαν, ἀλλὰ καὶ ἐπιτομὴν τῶν πεπραγμένων Ῥωμαίοις καὶ Καρχηδονίοις· πέμπτος Χρυσίππου μαθητής, βιβλία μὲν

2 Καὶ – **3** *SVF* I Nr. 257 **15** πρῶτος : cf. 9.25–29 **16** τρίτος : cf. *FGrHist* 523 T 1 **17** τέταρτος : *FGrHist* 158 T 1 **20** πέμπτος : *SVF* III Zenon. Tarsensis Nr. 1

2 ἕνεκεν om. **Φ**, del. Cobet | κελεύειν Reiske : κελεύει **BPF** : ἐκέλευε **Φ** **3** ἄνδρας **BP** : καὶ ἄνδρας **F** : ἄνδρας τε **Φ** | μηθὲν **BF** **4** ante ἐν add. ὥσπερ **B** **6** ἐπιγραφομένης om. **F** **8** ἰσηδώρω **F** **9** ῥήτορι om. **F** **10** λεγόμενα **BP** : κείμενα **F** | παρὰ τοῖς στωϊκοῖς om. **F** **11** τὴν **BP** : γὰρ **F** **12** ἀνατεθῆναι Richards : ἀντιτεθῆναι **PF** : ἀντιθῆναι **B** **13** καί^2 – **14** αὐτοῦ om. **F** **16** τὴν – **17** ἑνιαίαν om. **F** **17** ἑνιαίαν Casaubon post *Frob.* (ἐνιαίαν) : ἐνιέα **B**^{1}**P**^{1} : ἐνηέα **B**^{2}**P**^{5} in mg : ἐν ια' Menagius **18** τὴν πύρου – **20** καρχηδονίοις in mg infer. **F**^{2} **18** εἰς ἰταλίαν om. **B** **19** καί^2 **BPF**^{2} : τε καὶ **D** **20** καρχιδωνίοις **B**

ὀλίγα γεγραφώς, μαθητὰς δὲ πλείστους καταλελοιπώς· ἕκτος ἰατρὸς Ἡροφίλειος, νοῆσαι μὲν ἱκανός, γράψαι ἄτονος· ἕβδομος γραμματικός, οὗ πρὸς τοῖς ἄλλοις καὶ ἐπιγράμματα φέρεται· ὄγδοος Σιδώνιος τὸ γένος, φιλόσοφος Ἐπικούρειος καὶ νοῆσαι καὶ ἑρμηνεῦσαι σαφής.

Μαθηταὶ δὲ Ζήνωνος πολλοὶ μέν, ἔνδοξοι δὲ Περσαῖος **36**
Δημητρίου Κιτιεύς, ὃν οἱ μὲν γνώριμον αὐτοῦ, οἱ δὲ οἰκέτην ἕνα τῶν εἰς βιβλιογραφίαν πεμπομένων αὐτῷ παρὰ Ἀντιγόνου, οὗ καὶ τροφεὺς ἦν τοῦ παιδὸς Ἁλκυονέως. Διάπειραν δή ποτε βουληθεὶς λαβεῖν αὐτοῦ ὁ Ἀντίγονος ἐποίησεν αὐτῷ πλαστῶς ἀγγελθῆναι ὡς εἴη τὰ χωρία αὐτοῦ πρὸς τῶν πολεμίων ἀφῃρημένα· καὶ σκυθρωπάσαντος, "Ὁρᾷς," ἔφη, "ὅτι οὐκ ἔστιν ὁ πλοῦτος ἀδιάφορον;"

Βιβλία δὲ αὐτοῦ φέρεται τάδε·

Περὶ βασιλείας,
Πολιτεία Λακωνική,
Περὶ γάμου,
Περὶ ἀσεβείας,
Θυέστης,
Περὶ ἐρώτων,
Προτρεπτικοί,
Διατριβῶν,
Χρειῶν δʹ,

6–p. 468.2 *SVF* I Nr. 435 **6–13** *FGrHist* 584 T 1 **7** οἰκέτην : cf. Athen. 4, 162 DE

1 μαθητὰς – καταλελοιπὼς om. **F** **2** νοῆσαι – **3** ἄτονος om. **F** **3** πρὸς τοῖς ἄλλοις om. **F** **4** σιδόνιος **F** **4** φιλόσοφος – **5** σαφὴς om. **F** **7** κιττιεὺς **FP**[4] | ὧν **P** **10** ante διάπειραν addit ex **φ** 32 Τούτου λέγοντος ὡς οὐ λυπηθήσεται ὁ σοφός Menagius | δή **BPD** : δέ **F** | αὐτοῦ λαβεῖν **F** **11** ἀγγελθῆναι Stephanus : ἀγγελῆναι **BPFφ** **12** ἀφειρημένα **B** | post ἀφῃρημένα pergit **Φ** : καὶ ἡ γυνὴ καὶ οἱ παῖδες **13** ἔφη om. **D** et *Frob.*, del. **P**[4] **14** δὲ om. **F** **22** Διατριβῶν ⟨δʹ⟩ Gigante

Ἀπομνημονεύματα,
Πρὸς τοὺς Πλάτωνος νόμους ζ΄.

37 Ἀρίστων Μιλτιάδου Χῖος, ὁ τὴν ἀδιαφορίαν εἰσηγησάμενος. Ἥριλλος Χαλκηδόνιος, ὁ τὴν ἐπιστήμην τέλος εἰπών. Διονύσιος ὁ μεταθέμενος εἰς τὴν ἡδονήν· διὰ γὰρ σφοδρὰν ὀφθαλμίαν ὤκνησεν ἔτι λέγειν τὸν πόνον ἀδιάφορον· οὗτος ἦν Ἡρακλεώτης. Σφαῖρος Βοσποριανός· Κλεάνθης Φανίου Ἄσσιος, ὁ διαδεξάμενος τὴν σχολήν· ὃν καὶ ἀφωμοίου ταῖς σκληροκήροις δέλτοις, αἳ μόλις μὲν ⟨ἐγ⟩γράφονται, διατηροῦσι δὲ τὰ γραφέντα. Διήκουσε δ' ὁ Σφαῖρος καὶ Κλεάνθους μετὰ τὴν Ζήνωνος τελευτήν· καὶ
38 λέξομεν περὶ αὐτοῦ ἐν τῷ Περὶ Κλεάνθους. Ἦσαν δὲ Ζήνωνος μαθηταὶ καὶ οἵδε, καθά φησιν Ἱππόβοτος· Φιλωνίδης Θηβαῖος, Κάλλιππος Κορίνθιος, Ποσειδώνιος Ἀλεξανδρεύς, Ἀθηνόδωρος Σολεύς, Ζήνων Σιδώνιος.

Κοινῇ δὲ περὶ πάντων τῶν Στωϊκῶν δογμάτων ἔδοξέ μοι ἐν τῷ Ζήνωνος εἰπεῖν βίῳ διὰ τὸ τοῦτον κτίστην γενέσθαι τῆς αἱρέσεως. Ἔστι μὲν οὖν αὐτοῦ καὶ τὰ προγεγραμμένα βιβλία πολλά, ἐν οἷς ἐλάλησεν ὡς οὐδεὶς τῶν

3–15 *SVF* I Nr. 38 **5** Διονύσιος – **7** cf. 7.166 **9–10** *SVF* I Nr. 301. Cf. Plut. *De audiendo* 47 E (= *SVF* I Nr. 464); *Suda*, Δ 202 **12** λέξομεν : cf. 7.177–178 **12** Ἦσαν δὲ – **15** Hippoboti Fr. 11 Gigante **15** Σιδώνιος : immo Ταρσεύς. Cf. 7.35; 41 et 84; *Suda*, Ζ 80 **16 – p. 494.9** τὸ λογικόν : ed. M. Baldassarri (1986). Cf. J. Mansfeld, *Elenchos* 7 (1986) 351–373 **18–19** τὰ προγεγραμμένα βιβλία : cf. 7.4

3 Μιλτιάδου J.B. Carpzov (*Paradoxon Stoicum* ..., Lipsiae, 1742, 218) : μιλτιάδης **BPF** : Μιλτιάδους *Frob.* **4** Χαλκηδόνιος (ex 7.165) Von der Muehll (*Mus. Helv.* 20 [1963] 6–9) : καρχηδόνιος **PFB** (χι-) **6** ἔτι om. **F** **8** φαννίνου **F** | ἄσιος **P** **9** ἀφομοίου **BP** **10** ⟨ἐγ⟩γράφονται Reiske : γράφονται **BPF** **11** τὴν om. **F** **11** καὶ λέξομεν – **12** κλεάνθους om. **F** **12** τῶ ss. **P**^{2} **13** καθά φησιν ἱππόβοτος om. **F** | φιλονείδης **F** **14** ποσιδώνιος **B**, ποσειδόνιος **F** **15** σιδώνιος **BPF** : Ταρσεύς Gigante

Στωϊκῶν. Τὰ δὲ δόγματα κοινῶς ἐστι τάδε· λελέχθω δ' ἐπὶ
κεφαλαίων, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων ποιεῖν εἰώθαμεν.

Τριμερῆ φασιν εἶναι τὸν κατὰ φιλοσοφίαν λόγον· εἶ- 39
ναι γὰρ αὐτοῦ τὸ μέν τι φυσικόν, τὸ δὲ ἠθικόν, τὸ δὲ λογι-
κόν. Οὕτω δὲ πρῶτος διεῖλε Ζήνων ὁ Κιτιεὺς ἐν τῷ Περὶ
λόγου καὶ Χρύσιππος ἐν τῷ α′ Περὶ λόγου καὶ ἐν τῇ α′ τῶν
Φυσικῶν καὶ Ἀπολλόδωρος καὶ Σύλλος ἐν τῷ πρώτῳ τῶν
Εἰς τὰ δόγματα εἰσαγωγῶν καὶ Εὔδρομος ἐν τῇ Ἠθικῇ
στοιχειώσει καὶ Διογένης ὁ Βαβυλώνιος καὶ Ποσειδώνιος.

Ταῦτα δὲ τὰ μέρη ὁ μὲν Ἀπολλόδωρος τόπους καλεῖ, ὁ
δὲ Χρύσιππος καὶ Εὔδρομος εἴδη, ἄλλοι γένη. Εἰκάζουσι 40
δὲ ζῴῳ τὴν φιλοσοφίαν, ὀστοῖς μὲν καὶ νεύροις τὸ λογι-
κὸν προσομοιοῦντες, τοῖς δὲ σαρκωδεστέροις τὸ ἠθικόν,
τῇ δὲ ψυχῇ τὸ φυσικόν. Ἢ πάλιν ᾠῷ· τὰ μὲν γὰρ ἐκτὸς εἶ-
ναι τὸ λογικόν, τὰ δὲ μετὰ ταῦτα τὸ ἠθικόν, τὰ δ' ἐσωτά-
τω τὸ φυσικόν. Ἢ ἀγρῷ παμφόρῳ· ⟨οὗ⟩ τὸν μὲν περιβε-
βλημένον φραγμὸν ⟨εἶναι⟩ τὸ λογικόν, τὸν δὲ καρπὸν τὸ
ἠθικόν, τὴν δὲ γῆν καὶ τὰ δένδρα τὸ φυσικόν. Ἢ πόλει
καλῶς τετειχισμένῃ καὶ κατὰ λόγον διοικουμένῃ.

3–11 γένη : *SVF* I Nr. 45, II Nr. 37; III Apollod. Nr. 1; Eudromi Nr. 1; Diog. Nr. 16; Posidonii F 87 Edelstein-Kidd²; F 252a Theiler **11–19** *SVF* II Nr. 38. Cf. S.E. *Adv. math.* 7.16–19

1 τὰ δὲ δόγματα **BP** : τὰ στωϊκὰ δόγματα minio ut tit. **F¹** **1** κοινῶς – **2** εἰώθαμεν in mg infer. **F²** **3** φησὶν **B** **4** τι **PF** : τοι **B** | τὸ δὲ ἠθικόν, τὸ δὲ λογικὸν in mg **B²** **5** κιττιεὺς **PF** **6** ἐν τῇ πρώτῃ **B**, ἐν τῇ α′ **PF** : ἐν τῷ α′ Long **7** καὶ Σύλλος *Aldobr.* conl. Cic. *N.D.* 1.93 : ὁ ἔφηλος **B²** (-ι- **B¹**), def. Nietzsche (*Rh. M.* 23 [1868] 632) et Von der Muehll (*M. Helv.* 20 [1963] 1–6) : ὁ ἔφιλος **B¹F** : ὁ ἔφιλλος **P** **9** ποσιδώνιος **B** **10** δὲ om. **F** **14** ἐκτὸς ss. **P³WH** : om. **BP¹QD** : ἔξω **FP⁵** : ἔξωθεν S.E. **15** τὰ² **B²P** : τὸ **B¹F** **16** οὗ add. ab Arnim (ἵνα S.E.) **17** εἶναι addidi (cf. v. 14) **17–18** τὸν ἠθικὸν **B** **18** καὶ scripsi : ἢ **BPFΦ**

Καὶ οὐθὲν μέρος τοῦ ἑτέρου προκεκρίσθαι, καθά τινες αὐτῶν φασιν, ἀλλὰ μεμίχθαι αὐτά· καὶ τὴν παράδοσιν μικτὴν ἐποίουν. Ἄλλοι δὲ πρῶτον μὲν τὸ λόγικον τάττουσι, δεύτερον δὲ τὸ φυσικόν, καὶ τρίτον τὸ ἠθικόν· ὧν ἐστι Ζήνων ἐν τῷ Περὶ λόγου καὶ Χρύσιππος καὶ Ἀρχέδημος καὶ Εὔδρομος.

41 Ὁ μὲν γὰρ Πτολεμαεὺς Διογένης ἀπὸ τῶν ἠθικῶν ἄρχεται, ὁ δ' Ἀπολλόδωρος δεύτερα τὰ ἠθικά, Παναίτιος δὲ καὶ Ποσειδώνιος ἀπὸ τῶν φυσικῶν ἄρχονται, καθά φησι Φανίας ὁ Ποσειδωνίου γνώριμος ἐν τῷ πρώτῳ τῶν Ποσειδωνείων σχολῶν. Ὁ δὲ Κλεάνθης ἓξ μέρη φησί, διαλεκτικόν, ῥητορικόν, ἠθικόν, πολιτικόν, φυσικόν, θεολογικόν. Ἄλλοι δὲ οὐ τοῦ λόγου ταῦτα μέρη φασίν, ἀλλ' αὐτῆς ⟨τῆς⟩ φιλοσοφίας, ὡς Ζήνων ὁ Ταρσεύς. Τὸ δὲ λογικὸν μέρος φασὶν ἔνιοι εἰς δύο διαιρεῖσθαι ἐπιστήμας, εἰς ῥητορικὴν καὶ εἰς διαλεκτικήν. Τινὲς δὲ καὶ εἰς τὸ ὁρικὸν εἶδος, τό ⟨τε⟩ περὶ κανόνων καὶ κριτηρίων· ἔνιοι δὲ τὸ ὁρικὸν περιαιροῦσι.

42 Τὸ μὲν οὖν περὶ κανόνων καὶ κριτηρίων παραλαμβάνουσι πρὸς τὸ τὴν ἀλήθειαν εὑρεῖν· [ἐν] αὐτῷ γὰρ τὰς

1–11 σχολῶν : Posidonii F 91 Edelstein-Kidd^2 = F 253 Theiler **1–3** *SVF* II Nr. 41 **3** Ἄλλοι – **6** *SVF* I Nr. 46; II Nr. 43 **11** Ὁ δὲ – **12** *SVF* I Nr. 482; F 1 Watanabe (1988) **13** Ἄλλοι δὲ – **14** *SVF* III Zen. Tars. Nr. 3 **14** Τὸ δὲ – **p. 471.7** *SVF* II Nr. 48

1 προκεκρίσθαι **BPF** : ἀποκεκρίσθαι Cobet **1–2** τινες αὐτῶν φασιν **BP** : φασι τινες **F** **2** ἀλλὰ μεμίχθαι **P^{2}Q** : ἀναμεμίχθαι **BP^{1}F** **4** δὲ om. **F** **5** ἐν τῶ περὶ λόγου om. **F** | ἀρχαίδημος **B** **7** πτωλεμιεὺς **B** **10** φανίας **BP** : φάννίας (φ- ss. **F^2**) **F** : Φαινίας Long | Ποσειδωνιείων Reiske **14** τῆς add. *Frob.* : om. **BPFD** **16** εἰς^1 om. **F** **17** εἶδος expunxit **P^4** | τε add. Usener **18** περιδιαιροῦσι **B** **20** ἐν delevi

τῶν φαντασιῶν διαφορὰς ἀπευθύνουσι. Καὶ τὸ ὁρικὸν δὲ ὁμοίως πρὸς ἐπίγνωσιν τῆς ἀλήθειας· διὰ γὰρ τῶν ἐννοιῶν τὰ πράγματα λαμβάνεται. Τήν τε ῥητορικὴν ἐπιστήμην εἶναι τοῦ εὖ λέγειν περὶ τὸν ἐν διεξόδῳ λόγον καὶ τὴν διαλεκτικὴν τοῦ ὀρθῶς διαλέγεσθαι περὶ τὸν ἐν ἐρωτήσει καὶ ἀποκρίσει λόγον· ὅθεν καὶ οὕτως αὐτὴν ὁρίζονται, ἐπιστήμην ἀληθῶν καὶ ψευδῶν καὶ οὐδετέρων.

Καὶ τὴν μὲν ῥητορικὴν αὐτὴν εἶναι λέγουσι τριμερῆ· τὸ μὲν γὰρ αὐτῆς εἶναι συμβουλευτικόν, τὸ δὲ δικανικόν, τὸ δὲ ἐγκωμιαστικόν. Εἶναι δ' αὐτῆς τὴν διαίρεσιν εἴς τε 43 τὴν εὕρεσιν καὶ εἰς τὴν φράσιν καὶ εἰς τὴν τάξιν καὶ εἰς τὴν ὑπόκρισιν. Τὸν δὲ ῥητορικὸν λόγον εἴς τε τὸ προοίμιον καὶ εἰς τὴν διήγησιν καὶ ⟨εἰς⟩ τὰ πρὸς τοὺς ἀντιδίκους καὶ ⟨εἰς⟩ τὸν ἐπίλογον.

Τὴν δὲ διαλεκτικὴν διαιρεῖσθαι εἴς τε τὸν περὶ τῶν σημαινομένων καὶ ⟨εἰς τὸν περὶ⟩ τῆς φωνῆς τόπον· καὶ τὸν μὲν τῶν σημαινομένων εἴς τε τὸν περὶ τῶν φαντασιῶν τόπον καὶ ⟨εἰς⟩ τὸν ἐκ τούτων ὑφισταμένων λεκτῶν αὐτοτελῶν καὶ ἀξιωμάτων καὶ κατηγορημάτων καὶ τῶν ὁμοίων ὀρθῶν καὶ ὑπτίων καὶ γενῶν καὶ εἰδῶν, ὁμοίως δὲ καὶ λόγων καὶ τρόπων καὶ συλλογισμῶν καὶ τῶν παρὰ τὴν φωνὴν

8–14 *SVF* II Nr. 295

4 εἶναι scripsi : οὖσαν **BPFD** **4** τοῦ εὖ λέγειν – **7** ἐπιστήμην in mg $\mathbf{F}^2$ **4** τὸν et λόγον $\mathbf{BP}^1$: τῶν et λόγων $\mathbf{P}^2\mathbf{QF}^2$ **5** τὸν et **6** λόγον ss. $\mathbf{B}^2$: τῶν et λόγων $\mathbf{B}^1\mathbf{PF}^2$ **8** αὐτὴν εἶναι om. **F** **9** εἶναι om. **F** | βουλευτικὸν **F** | δικανικὸν $\mathbf{BPF}^2$: κανονικὸν $\mathbf{F}^1$ **12** ἀπόκρισιν **B** **13** εἰς² addidi | τὰ περὶ πρὸς **F** **14** εἰς addidi **15** δὲ **F** : om. **BP** **15** εἴς τε – **16** τῶν σημαινομένων in mg super. $\mathbf{F}^2$ **16** εἰς τὸν περὶ addidi | τόπων $\mathbf{F}^2$ **17** τὸν **PF** : τῶν **B** | τῶν² om. **F** | τόπον *Frob.* : τύπον **BPFD** **18** ⟨εἰς⟩ τὸν scripsi : τῶν **BP F** | δ' ἐκτῶν **B** **18–19** ἀξιωμάτων καὶ αὐτοτελῶν **BPF**, transposui conl. 7.63 **20** δὲ om. **F**

44 καὶ τὰ πράγματα σοφισμάτων· ὧν εἶναι ψευδομένους λόγους καὶ ἀληθεύοντας καὶ ἀποφάσκοντας σωρείτας τε καὶ τοὺς ὁμοίους τούτοις, ἐλλιπεῖς καὶ ἀπόρους καὶ περαίνοντας καὶ ἐγκεκαλυμμένους κερατίνας τε καὶ οὔτιδας καὶ θερίζοντας.

Εἶναι δὲ τῆς διαλεκτικῆς ἴδιον τόπον καὶ τὸν προειρημένον περὶ αὐτῆς τῆς φωνῆς, ἐν ᾧ δείκνυται ἡ ἐγγράμματος φωνὴ καὶ τίνα τὰ τοῦ λόγου μέρη, καὶ περὶ σολοικισμοῦ καὶ βαρβαρισμοῦ καὶ ποιημάτων καὶ ἀμφιβολιῶν καὶ περὶ ἐμμελοῦς φωνῆς καὶ περὶ μουσικῆς καὶ περὶ ὅρων κατά τινας καὶ διαιρέσεων καὶ λέξεων.

45 Εὐχρηστοτάτην δέ φασιν εἶναι τὴν περὶ τῶν συλλογισμῶν θεωρίαν· τὸ γὰρ ἀποδεικτικὸν ἐμφαίνειν, ὅπερ συμβάλλεσθαι πολὺ πρὸς διόρθωσιν τῶν δογμάτων καὶ τάξιν καὶ μνήμην, ⟨ὥστε⟩ τὸ ἐπιστατικὸν κατάλημμα ἐμβαίνειν.

Εἶναι δὲ τὸν λόγον αὐτὸν σύστη⟨μα ἐκ λημ⟩μάτων καὶ ἐπιφορᾶς· τὸν δὲ συλλογισμὸν λόγον συλλογιστικὸν ἐκ τούτων· τὴν δὲ ἀπόδειξιν λόγον διὰ τῶν μᾶλλον καταλαμβανομένων τὸ ἧττον καταλαμβανόμενον περαίνοντα.

Τὴν δὲ φαντασίαν εἶναι τύπωσιν ἐν ψυχῇ, τοῦ ὀνόμα-
τος οἰκείως μετενηνεγμένου ἀπὸ τῶν τύπων τῶν ἐν τῷ κη-
46 ρῷ ὑπὸ τοῦ δακτυλίου γινομένων. Τῆς δὲ φαντασίας τὴν

16–19 *SVF* II Nr. 235 **20-p. 473.6** *SVF* II Nr. 53

2 καὶ ἀποφάσκοντας om. **F** | σωρείτας **BPFD** : σωρίτας Hicks **3** ὁμοίως **P** **4** ἐγκεκαλυμένους **F** **8** τὰ om. **F** **9** ἀμφιβολῶν **B** **11** καὶ λέξεων om. **B** **12** τῶν om. **F** **13** ἐμφαίνειν secl. Usener (*Kl. Schr.* I, 347) **15** ὥστε addidi : τὸ ⟨δ'⟩ Gigante | ἐπιστατικὸν **BPF** : ἐπιστημονικὸν Usener | ἐμβαίνειν scripsi : ἐμφαίνειν **BPF** **16** αὐτῶν **F** | σύστη⟨μα ἐκ λημ⟩μάτων C. Beier (*Qu. de ... disiunctivis*, 23 n.) : συστημάτων **BPFD** **19** περαίνοντα Petrus Faber : περὶ πάντων **BPF** **20** ἐν ψυχῇ **F**$\mathbf{P^2}$**Q** : ἐμψυχῇ $\mathbf{BP^1}$ **21** τῶν^2 **F** : om. **BP** **22** γενομένων **F**

μὲν καταληπτικήν, τὴν δὲ ἀκατάληπτον· καταληπτικὴν μέν, ἣν κριτήριον εἶναι τῶν πραγμάτων φασί, τὴν γινομένην ἀπὸ ὑπάρχοντος κατ' αὐτὸ τὸ ὑπάρχον ἐναπεσφραγισμένην καὶ ἐναπομεμαγμένην· ἀκατάληπτον δὲ [ἣ] τὴν μὴ ἀπὸ ὑπάρχοντος, ἢ ἀπὸ ὑπάρχοντος μέν, μὴ κατ' αὐτὸ δὲ τὸ ὑπάρχον· τὴν μὴ τρανῆ μηδὲ ἔκτυπον.

Αὐτὴν δὲ τὴν διαλεκτικὴν ἀναγκαίαν εἶναι καὶ ἀρετὴν ἐν εἴδει περιέχουσαν ἀρετάς· τὴν δὲ ἀπροπτωσίαν ἐπιστήμην τοῦ πότε δεῖ συγκατατίθεσθαι καὶ μή· τὴν δὲ 47 ἀνεικαιότητα ἰσχυρὸν λόγον πρὸς τὸ εἰκός, ὥστε μὴ ἐνδιδόναι αὐτῷ· τὴν δὲ ἀνελεγξίαν ἰσχὺν ἐν λόγῳ, ὥστε μὴ ἀπάγεσθαι ὑπὸ ⟨τοῦ⟩ αὐτοῦ εἰς τὸ ἀντικείμενον· τὴν δὲ ἀματαιότητα ἕξιν ἀναφέρουσαν τὰς φαντασίας ἐπὶ τὸν ὀρθὸν λόγον. Αὐτήν τε τὴν ἐπιστήμην φασὶν ἢ κατάληψιν ἀσφαλῆ ἢ ἕξιν ἐν φαντασιῶν προσδέξει ἀμετάπτωτον ὑπὸ λόγου. Οὐκ ἄνευ δὲ τῆς διαλεκτικῆς θεωρίας τὸν σοφὸν ἄπτωτον ἔσεσθαι ἐν λόγῳ· τό τε γὰρ ἀληθὲς καὶ τὸ ψεῦδος διαγινώσκεσθαι ἀπ' αὐτῆς καὶ τὸ πιθανὸν τό τε ἀμφιβόλως λεγόμενον διευκρινεῖσθαι· χωρίς τε αὐτῆς οὐκ εἶναι ὁδῷ ἐρωτᾶν καὶ ἀποκρίνεσθαι.

Διατείνειν δὲ τὴν ἐν ταῖς ἀποφάσεσι προπέτειαν καὶ 48 ἐπὶ τὰ γινόμενα, ὥστε εἰς ἀκοσμίαν καὶ εἰκαιότητα τρέπεσθαι τοὺς ἀγυμνάστους ἔχοντας τὰς φαντασίας. Οὐκ

7–p. 474.5 *SVF* II Nr. 130 **14–16** *SVF* I Nr. 68

1 ἀκατάλημπτον **B** **2** φασὶ **P** : om. **BF** **4** ἀκατάλημπτον **B**¹ (corr. **B**²) | ἣ del. Menagius **5** μὲν ss. **B**² **6** τὸ ss. **P**² | τὴν – ἔκτυπον expunxit **B**² **8** δὲ scripsi : τε **BPF** **10** ἀνεικότητα **F** | ἰσχυρὸν λόγον **BPF** : ἰσχυρόνοιαν coni. Usener | εἰκὸς **BPF** : εἰκαῖον Reiske **12** ὑπάγεσθαι **F** | ὑπο ⟨τοῦ⟩ scripsi (i.e. ὑπὸ τοῦ εἰκότος) : ὑπ' **BPF** **13** ἀματαιότητα : ἀ- ss. **F**² **15** προσδέξει **BP** (-έξει **B**²) : πρὸς λέξιν **F** **18** διαγιγνώσκεσθαι **B** | ἀπ' **BPF** : ὑπ' **D** et *Frob.* **19** διευκρίνεσθαι **P**¹ (corr. **P**²) **21** ἀποφάνσεσι ab Arnim

ἄλλως δὲ ὀξὺν καὶ ἀγχίνουν καὶ τὸ ὅλον δεινὸν ἐν λόγοις φανήσεσθαι τὸν σοφόν· τοῦ γὰρ αὐτοῦ εἶναι ὀρθῶς διαλέγεσθαι καὶ διαλογίζεσθαι καὶ τοῦ αὐτοῦ πρός τε τὰ προκείμενα διαλεχθῆναι καὶ πρὸς τὸ ἐρωτώμενον ἀποκρίνασθαι, ἅπερ ἐμπείρου διαλεκτικῆς ἀνδρὸς εἶναι.

Ἐν οὖν τοῖς λογικοῖς ταῦτα δὴ αὐτοῖς δοκεῖ κεφαλαιωδῶς. Καὶ ἵνα καὶ κατὰ μέρος εἴπωμεν, καὶ τὰ δὴ ἅπερ αὐτῶν εἰς τὴν εἰσαγωγικὴν τείνει τέχνην, καὶ αὐτὰ ἐπὶ λέξεως τίθησι Διοκλῆς ὁ Μάγνης ἐν τῇ Ἐπιδρομῇ τῶν φιλοσόφων, λέγων οὕτως·

49 "Ἀρέσκει τοῖς Στωϊκοῖς τὸν περὶ φαντασίας καὶ αἰσθήσεως προτάττειν λόγον, καθότι τὸ κριτήριον, ᾧ ἡ ἀλήθεια τῶν πραγμάτων γινώσκεται, κατὰ γένος φαντασία ἐστί, καὶ καθότι ὁ περὶ συγκαταθέσεως καὶ ὁ περὶ καταλήψεως καὶ νοήσεως λόγος, προάγων τῶν ἄλλων, οὐκ ἄνευ φαντασίας συνίσταται. Προηγεῖται γὰρ ἡ φαντασία, εἶθ' ἡ διάνοια ἐκλαλητικὴ ὑπάρχουσα, ὃ πάσχει ὑπὸ τῆς φαντασίας, τοῦτο ἐκφέρει λόγῳ."

50 Διαφέρει δὲ φαντασία καὶ φάντασμα· φάντασμα μὲν γάρ ἐστι δόκησις διανοίας, οἵα γίνεται κατὰ τοὺς ὕπνους, φαντασία δέ ἐστι τύπωσις ἐν ψυχῇ, τουτέστιν ἀλλοίωσις, ὡς ὁ Χρύσιππος ἐν τῷ β´ Περὶ ψυχῆς ὑφίσταται. Οὐ γὰρ

6–p. 494.9 cf. K. Huelser, *Die Fragmente zur Dialektik der Stoiker* I–IV (1987) **8–10** V. Celluprica, *Orpheus* 10 (1989) 58–79 **11–p. 494.9** τὸ λογικόν : ed. U. Egli (1981) **11–18** *SVF* II Nr. 52 **19–p. 475.10** λαμβανομένων : *Suda,* Φ 85 **19–p. 475.3** γίνεσθαι : *SVF* II Nr. 55

1 δὲ scripsi : τε **BPF** **4** προκείμενα **DP^{4}H** : προσκείμενα **BP^{1}Q** : λεγόμενα **F** | ἀποκρίνεσθαι **B** **5** post ἐμπείρου addit καὶ **F** **6** δὴ scripsi : τὲ **BP^{2}D** : τὰ **F** : del. Cobet | δοκεῖ Roeper^2 (44) : δοκεῖν **BPF** **7** καί^2 om. **F** | εἴπωμεν Cobet : εἴπομεν **F** : εἴποιμεν **BPD** | τὰ δὴ scripsi : τάδε **BPF** **8** τίνει **P^1** (corr. **P^4**) **9** διογνῆς **F** **13** γιγνώσκεται **B** **14** ὁ^2 om. **F** **22** τῶ β´ Long post J. ab Arnim (τῇ β´) : τῶ ιβ´ **BPFD**

δεκτέον τὴν τύπωσιν οἱονεὶ τύπον σφραγιστῆρος, ἐπεὶ ἀνένδεκτόν ἐστι πολλοὺς τύπους κατὰ τὸ αὐτὸ περὶ τὸ αὐτὸ γίνεσθαι. Νοεῖται δὲ φαντασία ἡ ἀπὸ ὑπάρχοντος κατὰ τὸ ὑπάρχον ἐναπομεμαγμένη καὶ ἐναποτετυπωμένη καὶ ἐναπεσφραγισμένη, οἵα οὐκ ἂν γένοιτο ἀπὸ μὴ ὑπάρχοντος.

51 Τῶν δὲ φαντασιῶν κατ' αὐτοὺς αἱ μέν εἰσιν αἰσθητικαί, αἱ δ' οὔ· αἰσθητικαὶ μὲν αἱ δι' αἰσθητηρίου ἢ αἰσθητηρίων λαμβανόμεναι, οὐκ αἰσθητικαὶ δὲ αἱ διὰ τῆς διανοίας, καθάπερ τῶν ἀσωμάτων καὶ τῶν ἄλλων τῶν λόγῳ λαμβανομένων. Τῶν δὲ αἰσθητικῶν ⟨αἱ μὲν⟩ ἀπὸ ὑπαρχόντων μετὰ εἴξεως καὶ συγκαταθέσεως γίνονται· εἰσὶ δὲ τῶν φαντασιῶν καὶ ἐμφάσεις αἱ ὡσαν⟨εὶ⟩ ἀπὸ ὑπαρχόντων γινόμεναι.

Ἔτι τῶν φαντασιῶν αἱ μέν εἰσι λογικαί, αἱ δὲ ἄλογοι· λογικαὶ μὲν αἱ τῶν λογικῶν ζῴων, ἄλογοι δὲ αἱ τῶν ἀλόγων. Αἱ μὲν οὖν λογικαὶ νοήσεις εἰσίν, αἱ δὲ ἄλογοι οὐ τετυχήκασιν ὀνόματος. Καὶ αἱ μέν εἰσι τεχνικαί, αἱ δὲ ἄτεχνοι· ἄλλως γοῦν θεωρεῖται ὑπὸ τεχνίτου εἰκὼν καὶ ἄλλως ὑπὸ ἀτέχνου.

52 Αἴσθησις δὲ λέγεται κατὰ τοὺς Στωϊκοὺς τό τε ἀφ' ἡγεμονικοῦ πνεῦμα ἐπὶ τὰς αἰσθήσεις διῆκον καὶ ἡ δι' αὐτῶν

3–5 *SVF* II Nr. 60. Cf. Cic. *Acad. pr.* 2.77 (= *SVF* I Nr. 59) : ex eo quod esset, sicut esset, impressum et signatum et effictum **6–19** *SVF* II Nr. 61 **20–p. 476.6** τούτους : *SVF* II Nrr. 71 et 84; I Nr. 62

2 περὶ τὸ αὐτὸ **FP^{4}D** et *Suda* : τῷ αὐτῷ **BP^1** **3** νοῆτε **B^1** (corr. **B^2**) | κατ' ⟨αὐτὸ⟩ τὸ Usener (cf. 7.46) **4** καὶ ἐναποτετυπωμένη om. **F** | -αποτετυπωμένη καὶ ἐν- in mg **B^2** | ἐναποσφραγισμένη **F** **6** αὐτῶν **F** **9** post καθάπερ addit καὶ ἐπὶ **F**, agn. Cobet | καὶ ἐπὶ τῶν ἄλλων **F**, Cobet | τῶν^3 **BP** : τῷ **F** **10** αἰσθητικῶν **BPF** : ⟨φαντασιῶν αἱ⟩ αἰσθητικαὶ Gigante | αἱ μὲν add. ab Arnim **12** καὶ ἐμφάσεις – **14** αἱ μέν εἰσι in mg super. **F^2** **12** αἱ ὡσαν⟨εὶ⟩ Huebner : αἱ ὡς ἂν **B P** : ἕως ἂν **F^2** **14** λογικαὶ **PF** : λογιστικαὶ **B** **17** τοῦ ὀνόματος **F** | αἱ μέν εἰσι **P** : εἰσὶν αἱ μὲν **BF** **18** οὖν **F**

κατάληψις καὶ ἡ περὶ τὰ αἰσθητήρια κατασκευή, καθ' ἥν τινες πηροὶ γίνονται. Καὶ ἡ ἐνέργεια δὲ αἴσθησις καλεῖται. Ἡ δὲ κατάληψις γίνεται κατ' αὐτοὺς αἰσθήσει μὲν λευκῶν καὶ μελάνων καὶ τραχέων καὶ λείων, λόγῳ δὲ τῶν δι' ἀποδείξεως συναγομένων, ὥσπερ τοῦ θεοὺς εἶναι καὶ προνοεῖν τούτους. Τῶν γὰρ νοουμένων τὰ μὲν κατὰ περίπτωσιν ἐνοήθη, τὰ δὲ καθ' ὁμοιότητα, τὰ δὲ κατ' ἀναλογίαν, ⟨τὰ δὲ κατὰ μετάθεσιν,⟩ τὰ δὲ κατὰ σύνθεσιν, τὰ δὲ κατ' ἐναντίωσιν.

53 Κατὰ περίπτωσιν μὲν οὖν ἐνοήθη τὰ αἰσθητά· καθ' ὁμοιότητα δὲ τὰ ἀπό τινος παρακειμένου, ὡς Σωκράτης ἀπὸ τῆς εἰκόνος· κατὰ ἀναλογίαν δὲ αὐξητικῶς μέν, ⟨ὡς⟩ ὁ Τιτυὸς καὶ Κύκλωψ· μειωτικῶς δέ, ὡς ὁ Πυγμαῖος. Καὶ τὸ κέντρον δὲ τῆς γῆς κατ' ἀναλογίαν ἐνοήθη ἀπὸ τῶν μικροτέρων σφαιρῶν. Κατὰ μετάθεσιν δέ, οἷον ὀφθαλμοὶ ἐπὶ τοῦ στήθους· κατὰ σύνθεσιν δὲ ἐνοήθη Ἱπποκένταυρος· καὶ κατ' ἐναντίωσιν θάνατος. Νοεῖται δὲ καὶ κατὰ μετάβασίν τινα, ὡς τὰ λεκτὰ καὶ ὁ τόπος. Φυσικῶς δὲ νοεῖται δίκαιόν τι καὶ ἀγαθόν· καὶ κατὰ στέρησιν, οἷον ἄχειρ. Τοιάδε τινὰ καὶ περὶ φαντασίας καὶ αἰσθήσεως καὶ νοήσεως δογματίζουσι.

54 Κριτήριον δὲ τῆς ἀληθείας φασὶ τυγχάνειν τὴν κατα-

6 Τῶν – **20** ἄχειρ : *Suda,* N 524; *SVF* II Nr. 87 **22–p. 477.10** Posidonii F 42 Edelstein-Kidd[2] = F 460 Theiler **22–p. 477.6** πρόληψιν : *SVF* II Nr. 105

1–2 καθ' ἥν τινες πηροὶ γίνονται del. Gigante **2** γίγνονται et **3** γίγνεται **BP** **3** αὐτῆς **F** **4** λόγων **B**[2] (λόγον **B**[2]) **5** τοῦ Reiske, ab Arnim : τὸ **BPF** **6** διανοουμένων *Suda* **8** τὰ δὲ κατὰ μετάθεσιν om. **BPF**, e *Suda* suppl. Stephanus **10** οὖν om. **F** | ἐννοήθη **F** **12** ὡς add. Huebner **13** τιτυῶς **F** **14** δὲ ss. **P**[2] **15** οἷον **PF** : οὖν οἱ **B** **16** ὑποκένταυρος **F** **18** -βασιν et ὡς τὰ **B**[2] | λεκτὰ om. **B** spatio relicto | τόπος **B PF** : τρόπος Gigante (1960) **20** τοιάδε **B**[2] **20–21** αἰσθήσεως νομοθετοῦσι καὶ περὶ νοήσεως **F**

ληπτικὴν φαντασίαν, τουτέστι τὴν ἀπὸ ὑπάρχοντος, καθά φησι Χρύσιππος ἐν τῇ β′ τῶν Φυσικῶν καὶ Ἀντίπατρος καὶ Ἀπολλόδωρος. Ὁ μὲν γὰρ Βόηθος κριτήρια πλείονα ἀπολείπει, νοῦν καὶ αἴσθησιν καὶ πρόληψιν καὶ ἐπιστήμην· ὁ δὲ Χρύσιππος διαφερόμενος πρὸς αὐτὸν ἐν τῷ πρώτῳ Περὶ λόγου κριτήριά φησιν εἶναι αἴσθησιν καὶ πρόληψιν· ἔστι δ' ἡ πρόληψις ἔννοια φυσικὴ τῶν καθόλου. Ἄλλοι δέ τινες τῶν ἀρχαιοτέρων Στωϊκῶν τὸν ὀρθὸν λόγον κριτήριον ἀπολείπουσιν, ὡς ὁ Ποσειδώνιος ἐν τῷ Περὶ κριτηρίου φησί.

Τῆς δὲ διαλεκτικῆς θεωρίας συμφώνως δοκεῖ τοῖς 55
πλείστοις ἀπὸ τοῦ περὶ φωνῆς ἐνάρχεσθαι τόπου. Ἔστι δὲ φωνὴ ἀὴρ πεπληγμένος, ἢ τὸ ἴδιον αἰσθητὸν ἀκοῆς, ὥς φησι Διογένης ὁ Βαβυλώνιος ἐν τῇ Περὶ φωνῆς τέχνῃ. Ζῴου μέν ἐστι φωνὴ ἀὴρ ὑπὸ ὁρμῆς πεπληγμένος, ἀνθρώπου δέ ἐστιν ἔναρθρος καὶ ἀπὸ διανοίας ἐκπεμπομένη, ὡς ὁ Διογένης φησίν, ἥτις ἀπὸ δεκατεσσάρων ἐτῶν τελειοῦται. Καὶ σῶμα δ' ἐστὶν ἡ φωνὴ κατὰ τοὺς Στωϊκούς, ὥς φησιν Ἀρχέδημός τε ἐν τῇ Περὶ φωνῆς καὶ Διογένης καὶ Ἀντί-

7 Ἄλλοι – **10** *SVF* I Nr. 631 **11–12** *SVF* II Nr. 136 **12** Ἔστι – **13** πεπληγμένος : *SVF* I Nr. 74 **12** Ἔστι – **17** τελειοῦται : *SVF* III Diog. Nr. 17 **18** Καὶ – **p. 478.3** *SVF* II Nr. 140; III Diog. Nr. 18

2 τῇ β′ ab Arnim : τῇ ιβ′ **BPF** **3** βοηθὸς **BPF** | πλείονα **BP** : πολλὰ **F** **4** ἀπολείπει νοῦν **PF** : ἀπολίπειν οὖν **B** | πρόληψιν scripsi (cf. v. 6) : ὄρεξιν **BPF** : πρόσδεξιν H. Tarrant, *Apeiron* 20 (1987) 17–37 **5** αὐτὸν ab Arnim : αὑτὸν **BPF** **5–6** ἐν τῷ περὶ λόγου α′ **F** **6** post αἴσθησιν addit γνῶσιν *Suda*, Π 2495 **8** τινες στωϊκοὶ τῶν ἀρχαίων τὸν ὀρθὸν **F** **9** ἀπολίπουσιν **B** | ποσιδώνιος **B** **14** ἐν – τέχνῃ om. **F** | ⟨Καὶ⟩ ζῴου ab Arnim **16** ἐκπεμπομένη **BP** et **F**[2] in mg : ἐκπεπληγμένη **F** in textu **16** ὡς – **17** φησίν om. **F** **17** τελιοῦνται **B**[1] **19** ἀρχαίδημος **BPF** | τε **BP** : om. **F**

56 πατρος καὶ Χρύσιππος ἐν τῇ δευτέρᾳ τῶν Φυσικῶν. Πᾶν γὰρ τὸ ποιοῦν σῶμά ἐστι· ποιεῖ δὲ ἡ φωνὴ προσιοῦσα τοῖς ἀκούουσιν ἀπὸ τῶν φωνούντων.

Λέξις δέ ἐστιν κατὰ τοὺς Στωϊκούς, ὥς φησι ὁ Διογένης, φωνὴ ἐγγράμματος, οἷον Ἡμέρα [ἐστί]. Λόγος δέ ἐστι φωνὴ σημαντικὴ ἀπὸ διανοίας ἐκπεμπομένη, ⟨οἷον Ἡμέρα ἐστί⟩. Διάλεκτος δέ ἐστι λέξις κεχαραγμένη ἐθνικῶς τε καὶ Ἑλληνικῶς, ἢ λέξις ποταπή, τουτέστι ποιὰ κατὰ διάλεκτον, οἷον κατὰ μὲν τὴν Ἀτθίδα Θάλαττα, κατὰ δὲ τὴν Ἰάδα Ἡμέρη.

Τῆς δὲ λέξεως στοιχεῖά ἐστι τὰ εἰκοσιτέσσαρα γράμ-
ματα. Τριχῶς δὲ λέγεται τὸ γράμμα, ⟨τό τε στοιχεῖον⟩ ὅ τε
57 χαρακτὴρ τοῦ στοιχείου καὶ τὸ ὄνομα, οἷον Ἄλφα. Φωνή-
εντα δέ ἐστι τῶν στοιχείων ἑπτά· α, ε, η, ι, ο, υ, ω· ἄφωνα
δὲ ἕξ· β, γ, δ, κ, π, τ. Διαφέρει δὲ φωνὴ καὶ λέξις, ὅτι φωνὴ
μὲν καὶ ὁ ἦχός ἐστι, λέξις δὲ τὸ ἔναρθρον μόνον. Λέξις δὲ
λόγου διαφέρει, ὅτι λόγος ⟨μὲν⟩ ἀεὶ σημαντικός ἐστι, λέξις
δὲ καὶ ἀσήμαντος γίνεται, ὡς ἡ Βλίτυρι [λόγος δὲ οὐδα-
μῶς]. Διαφέρει δὲ καὶ τὸ λέγειν τοῦ προφέρεσθαι· προφέ-
ρονται μὲν γὰρ αἱ φωναί, λέγεται δὲ τὰ πράγματα, ἃ δὴ

4–p. 479.1 *SVF* III Diog. Nr. 20 **18** ἡ Βλίτυρι : cf. S.E. *Adv. math.* 8.133

1 καὶ – Φυσικῶν om. **F** **2** προσιοῦσα **P^{2}QD** et *Suda* : προσοῦσα **BP^{1}F** **4** κατὰ τοὺς Στωϊκοὺς del. Cobet | ὁ **BP** : om. **F** **5** ἐστί[1] **BPFD**, del. Casaubon **6–7** οἷον Ἡμέρα ἐστί suppl. Casaubon **10** ημερη **B^1**, ss. μαρε **B^2** **12** τό τε στοιχεῖον post P. Galesium inseruit Meibom. **13** α´ **BPF** **15** κ π τ **BPF** : π κ τ ab Arnim | ἡ φωνὴ καὶ ἡ λέξις **F** **16** λέξις[1] – **17** σημαντικός ἐστι **D**, Huebner : om. **BPF** et *Frob.* **17** μὲν addidi **17–18** λέξις δὲ καὶ ἀσήμαντος γίνεται scripsi : λέξις δὲ καὶ ἀσήμαντος **D** : λέξις μὲν γὰρ ἄσημος (ἄσιμος **B**) γίνεται **BPF** et *Suda,* Λ 658 **18** λόγος δὲ οὐδαμῶς **BPFD** et *Suda,* seclusi **20** δὲ καὶ τὰ **F** | ἃ δεὶ **B**

καὶ λεκτὰ τυγχάνει.

Τοῦ δὲ λόγου ἐστὶ μέρη πέντε, ὥς φησι Διογένης τε ἐν τῷ Περὶ φωνῆς καὶ Χρύσιππος· ὄνομα, προσηγορία, ῥῆμα, σύνδεσμος, ἄρθρον· ὁ δὲ Ἀντίπατρος καὶ τὴν μεσότητα τίθησιν ἐν τοῖς Περὶ λέξεως καὶ τῶν λεγομένων.

Ἔστι δὲ προσηγορία μὲν κατὰ τὸν Διογένη μέρος λό- 58
γου σημαῖνον κοινὴν ποιότητα, οἷον Ἄνθρωπος, Ἵππος·
ὄνομα δέ ἐστι μέρος λόγου δηλοῦν ἰδίαν ποιότητα, οἷον
Διογένης, Σωκράτης· ῥῆμα δέ ἐστι μέρος λόγου σημαῖνον
ἀσύνθετον κατηγόρημα, ὡς ὁ Διογένης, ἤ, ὥς τινες, στοι-
χεῖον λόγου ἄπτωτον, σημαῖνόν τι συντακτὸν περί τινος ἢ
τινῶν, οἷον Γράφω, Λέγω· σύνδεσμος δέ ἐστι μέρος λόγου
ἄπτωτον, συνδοῦν τὰ μέρη τοῦ λόγου· ἄρθρον δέ ἐστι
στοιχεῖον λόγου πτωτικόν, διορίζον τὰ γένη τῶν ὀνομά-
των καὶ τοὺς ἀριθμούς, οἷον Ὁ, Ἡ, Τό, Οἱ, Αἱ, Τά.

Ἀρεταὶ δὲ λόγου εἰσὶ πέντε· Ἑλληνισμός, σαφήνεια, 59
συντομία, πρέπον, κατασκευή. Ἑλληνισμὸς μὲν οὖν ἐστι
φράσις ἀδιάπτωτος ἐν τῇ τεχνικῇ καὶ μὴ εἰκαίᾳ συνη-
θείᾳ· σαφήνεια δέ ἐστι λέξις γνωρίμως παριστᾶσα τὸ
νοούμενον· συντομία δέ ἐστι λέξις αὐτὰ τὰ ἀναγκαῖα
περιέχουσα πρὸς δήλωσιν τοῦ πράγματος· πρέπον δέ ἐστι

2–15 *SVF* III Diog. Nrr. 21 et 22 **4–5** *SVF* III Antip. Nr. 22 **10** ὥς τινες : scil. Apollodorus, cf. 7.64 **16–p. 480.4** *SVF* III Diog. Nr. 24

2 ἐστὶ om. **F** **2** ὡς φησὶ – **3** χρύσιππος in mg infer. **F**^{2} **2** τε om. **F**^{2} **6** διογένην **D** | λόγου μέρος **F** **8** ὄνομα – **9** ῥῆμα δέ ἐστι om. **P**^{1}**Q**, add. in lac. **P**^{3}**W** (in mg), **H** **9** σημαίνων **F** **10** σύνθετον **F** **13** συνδοῦντα **F** **14** διορίζων **B**^{1} **15** η το **B** : του τω **PF** **16** εἰσὶ om. **F** **17** ἀποσκευή *Suda* | οὖν om. **F** **19** σαφίνεια **B**, σαφήνια **F** | γνώριμος **B** | παριστῶσα **F** **20** αὐτὰ **BP** : κατὰ **F** **21** περιέχουσα **BP** : παριστῶσα (cf. v. 19) **F** | post τοῦ πράγματος addit καὶ περιέχουσα **F**

λέξις οἰκεία τῷ πράγματι· κατασκευὴ δέ ⟨ἐστι⟩ λέξις ἐκπεφευγυῖα τὸν ἰδιωτισμόν. Ὁ δὲ βαρβαρισμὸς ἐκ τῶν κακιῶν λέξις ἐστὶ παρὰ τὸ ἔθος τῶν εὐδαιμονούντων Ἑλλήνων, σολοικισμὸς δέ ἐστι λόγος ἀκαταλλήλως συντεταγμένος.

60 Ποίημα δέ ἐστιν, ὡς ὁ Ποσειδώνιός φησιν ἐν τῇ Περὶ λέξεως εἰσαγωγῇ, λέξις ἔμμετρος ἢ ἔνρυθμος μετὰ ⟨κατα⟩σκευῆς τὸ λογοειδὲς ἐκβεβηκυῖα· [τὸν] ἔνρυθμον δὲ εἶναι τό

γαῖα μεγίστη καὶ Διὸς αἰθήρ.

Ποίησις δέ ἐστι σημαντικὸν ποίημα, μίμησιν περιέχον θείων καὶ ἀνθρωπείων.

Ὅρος δέ ἐστιν, ὥς φησιν Ἀντίπατρος ἐν τῷ πρώτῳ Περὶ ὅρων, λόγος κατὰ ἀνάλυσιν ἀπαρτιζόντως ἐκφερόμενος, ἤ, ὡς ὁ Χρύσιππος ἐν τῷ Περὶ ὅρων, ⟨ἰδίου⟩ ἀπόδοσις. Ὑπογραφὴ δέ ἐστι λόγος τυπωδῶς εἰσάγων εἰς τὰ πράγματα, ἢ ὅρος ἁπλούστερον τὴν τοῦ ὅρου δύναμιν

2–4 *Suda*, B 104 **6–12** Posidonii F 44 Edelstein-Kidd^{2} = F 458 Theiler **10** Eurip. Fr. 839 N^{2} **11–12** cf. M. Gigante, *P.P.* 16 (1961) 40–53 **13–p. 481.1** *SVF* III Antip. Nr. 23 **15** ἤ – ἀπόδοσις : *SVF* II Nr. 226. Cf. *Schol. Vat.* in Dionys. Thrac., p. 107.5 Hilgard

1 ἐστι addidi **3** δέ ἐστι **F** | εὐδαιμονούντων **BPF** et *Suda* : εὐδοκιμούντων J.H. Voss (*De vitiis sermonis* I.1) **6** ὡς – **7** εἰσαγωγῇ in mg **F**^{2} **6** ποσιδώνιος **B**, ποσιδόνιος **F** **7** ἔνρυθμος **B**^{1}**P**^{1} : ἔρρυθμος **P**^{2}**Q** : εὔρυθμος **B**^{2}**F** | ⟨κατα⟩σκευῆς Kaibel (*AGG* 1898, 21) : σκευῆς **BPF** **8** τὸν **BPF**, del. Kaibel : τὸ *Frob.* | ἔρρυθμον **P**^{2} **11** ἐστι om. **F** | σωματικὸν ποίημα Usener (*Kl. Schr.* I, 349) | περιέχων **B**^{1}**F** **13** πρώτῳ om. **F** **14** ἀπαρτιζόντος **B** **15** ἢ ὡς – ἀπόδοσις om. **F** | ἰδίου Heine (621) et ab Arnim e *Schol.* in Dion. Thrac. : ἡ **B**, ἢ **P** | ἀπόδωσις **B** **16** εἰς om. **F**

προσενηνεγμένος. Γένος δέ ἐστι πλειόνων καὶ ἀναφαιρέτων ἐννοημάτων σύλληψις [ἐστὶν ἐννόημα], οἷον Ζῷον· τοῦτο γὰρ περιείληφε τὰ κατὰ μέρος ζῷα.

Ἐννόημα δέ ἐστι φάντασμα διανοίας, οὔτε τι ὂν οὔτε 61
ποιόν, ὡσανεὶ δέ τι ὂν καὶ ὡσανεὶ ποιόν, οἷον γίνεται ἀνατύπωμα ἵππου καὶ μὴ παρόντος.

Εἶδος δέ ἐστι τὸ ὑπὸ γένους περιεχόμενον, ὡς ὑπὸ τοῦ ζῴου ὁ ἄνθρωπος περιέχεται. Γενικώτατον δέ ἐστιν ὃ γένος ὂν γένος οὐκ ἔχει, οἷον τὸ ὄν· εἰδικώτατον δέ ἐστιν ὃ εἶδος ὂν εἶδος οὐκ ἔχει, ὥσπερ ὁ Σωκράτης.

Διαίρεσις δέ ἐστι γένους ἡ εἰς τὰ προσεχῆ εἴδη τομή, οἷον Τῶν ζῴων τὰ μέν ἐστι λογικά, τὰ δὲ ἄλογα. Ἀντιδιαίρεσις δέ ἐστι γένους εἰς εἶδος τομὴ κατὰ τοὐναντίον, ὡς ἂν κατὰ ἀπόφασιν, οἷον Τῶν ὄντων τὰ μέν ἐστιν ἀγαθά, τὰ δ' οὐκ ἀγαθά. Ὑποδιαίρεσις δέ ἐστι διαίρεσις ἐπὶ ἀντιδιαιρέσει, οἷον Τῶν ὄντων τὰ μέν ἐστιν ἀγαθά, τὰ δ' οὐκ ἀγαθά, καὶ Τῶν οὐκ ἀγαθῶν τὰ μέν ἐστι κακά, τὰ δὲ ἀδιάφορα.

Μερισμὸς δέ ἐστι γένους εἰς τόπους κατάταξις, ὡς ὁ 62
Κρῖνις· οἷον Τῶν ἀγαθῶν τὰ μέν ἐστι περὶ ψυχήν, τὰ δὲ περὶ σῶμα.

1 Γένος – **21** σῶμα : *SVF* III Diog. Nr. 25 **4–6** Cf. Stob. 1.12.3 = Arii Didymi Fr. 40 Diels; *SVF* I Nr. 65 **19–21** *SVF* III Crinidis Nr. 3

1 ἀναφαιρέτων **PF**, ἀναφερέτων **B** : ἀναφερόντων coni. ab Arnim **2** ἐστὶν ἐννόημα **BP^{1}F**, del. **P^{2}Q**, om. *Frob.* **5** δέ om. **F** | ποῖ ὄν **F** **7** γένους **P** : γένος **B** : τὸ γένος **F** **9** οἷον τὸ ὄν in mg infer. **F^2** : οἷον τοῦ (του **P^1**) **BP^{1}Q** : del. **P^{4}H** : οἷον ἡ οὐσία **D** | εἰδικώτατον **B** (εἰδι- **B^2**) : ἰδικώτατον **PF** **15** ὑποδιαίρεσις – **17** οὐκ ἀγαθά om. **F** **15** ὑποδιαίρεσις **P^{4}HD** et *Frob.* : ἐπιδιαίρεσις **BP^{1}Q** | ἐπὶ ἀντιδιαιρέσει Usener : ἐν παντὶ διαιρέσει **BP^1** : ἐπὶ διαιρέσει **P^{2}QD** **20** κρινεις **B**

Ἀμφιβολία δέ ἐστι λέξις δύο ἢ καὶ πλείονα πράγματα σημαίνουσα λεκτικῶς καὶ κυρίως καὶ κατὰ τὸ αὐτὸ ἔθος, ὥσθ' ἅμα [τὰ] πλείονα ἐκδέξασθαι κατὰ τὴν αὐτὴν λέξιν· οἷον Αὐλητρὶς πέπτωκε· δηλοῦται γὰρ δι' αὐτῆς τὸ μὲν τοιοῦτον, Οἰκία τρὶς πέπτωκε, τὸ δὲ τοιοῦτον, Αὐλήτρια πέπτωκε.

Διαλεκτικὴ δέ ἐστιν, ὥς φησι Ποσειδώνιος, ἐπιστήμη ἀληθῶν καὶ ψευδῶν καὶ οὐθετέρων· τυγχάνει δ' αὕτη, ὡς ὁ Χρύσιππός φησι, περὶ σημαίνοντα καὶ σημαινόμενα. Ἐν μὲν οὖν τῇ περὶ φωνῆς θεωρίᾳ τοιαῦτα λέγεται τοῖς Στωϊκοῖς.

63 Ἐν δὲ τῷ περὶ τῶν πραγμάτων καὶ τῶν σημαινομένων τόπῳ τέτακται ὁ περὶ λεκτῶν [καὶ] αὐτοτελῶν καὶ ἀξιωμάτων καὶ συλλογισμῶν λόγος, καὶ ὁ περὶ ἐλλιπῶν τε καὶ κατηγορημάτων καὶ ὀρθῶν καὶ ὑπτίων.

Φασὶ δὲ [τὸ] λεκτὸν εἶναι τὸ κατὰ φαντασίαν λογικὴν ὑφιστάμενον. Τῶν δὲ λεκτῶν τὰ μὲν λέγουσιν εἶναι αὐτοτελῆ οἱ Στωϊκοί, τὰ δὲ ἐλλιπῆ. Ἐλλιπῆ μὲν οὖν ἐστι τὰ ἀναπάρτιστον ἔχοντα τὴν ἐκφοράν, οἷον Γράφει· ἐπιζη-

1–6 *SVF* III Diog. Nr. 23. Cf. *Suda,* A 1706 **2** λεκτικῶς : cf. V. Barré et A. Lake, *REG* 107 (1994) 708–712 **7–8** Posidonii F 188 Edelstein-Kidd^2 = F 454 Theiler **8–9** *SVF* II Nr. 122 **12–p. 483.7** τινῶν : cf. *Suda,* K 1039 **12–15** cf. 7.43 **16–p. 483.2** *SVF* II Nr. 181

1 δύο ss. **B**^{2} **2** λεκτικῶς **PF** et *Suda* : ἐκτικῶς **B** | καὶ κυρίως om. **F** | ἔθνος *Aldobr.*, Menagius **3** τὰ om. *Suda,* delevi : τινὰ ab Arnim | ἐκδέξασθαι **B** et *Suda* : ἐκλέξασθαι **P** : δέξασθαι **F** | τὴν αὐτὴν *Suda* et ab Arnim : ταύτην τὴν **BPF** **4** αὐλήτρια **F** | δηλοῦται **B**^{2} et *Suda* : δηλοῦνται **B**^{1}**PF** **5** post τοιοῦτον^1 addit οἷον **F** | οἰκία in lac. **B**^{2} **7** ποσιδώνιος **B** **8** οὐδετέρων **F** | αὐτῇ **B**^{1}**P**^{1} **8** ὡς – **9** φησι om. **F** **13** καὶ^1 om. *Suda,* delevi **16** τὸ^1 om. *Suda,* del. ab Arnim | λεκτέον Suda **18** οἱ στωϊκοὶ om. **F**

τοῦμεν γάρ, Τίς; Αὐτοτελῆ δέ ἐστι τὰ ἀπηρτισμένην ἔχοντα τὴν ἐκφοράν, οἷον Γράφει Σωκράτης. Ἐν μὲν οὖν τοῖς ἐλλιπέσι λεκτοῖς τέτακται τὰ κατηγορήματα, ἐν δὲ τοῖς αὐτοτελέσι τὰ ἀξιώματα καὶ οἱ συλλογισμοὶ καὶ τὰ ἐρωτήματα καὶ τὰ πύσματα.

Ἔστι δὲ τὸ κατηγόρημα τὸ κατά τινος ἀγορευόμενον· 64 ἢ πρᾶγμα συντακτὸν περί τινος ἢ τινῶν, ὡς οἱ περὶ Ἀπολλόδωρόν φασιν, ἢ λεκτὸν ἐλλιπὲς συντακτὸν ὀρθῇ πτώσει πρὸς ἀξιώματος γένεσιν. Τῶν δὲ κατηγορημάτων τὰ μέν ἐστι συμβάματα, ⟨*⟩ [οἷον τὸ Διὰ πέτρας πλεῖν].

Καὶ τὰ μέν ἐστι τῶν κατηγορημάτων ὀρθά, ἃ δὲ ὕπτια, ἃ δὲ οὐδέτερα. Ὀρθὰ μὲν οὖν ἐστι τὰ συντασσόμενα μιᾷ τῶν πλαγίων πτώσεων πρὸς κατηγορήματος γένεσιν, οἷον Ἀκούει, Ὁρᾷ, Διαλέγεται· ὕπτια δέ ἐστι τὰ συντασσόμενα τῷ παθητικῷ μορίῳ, οἷον Ἀκούομαι, Ὁρῶμαι· οὐδέτερα δέ ἐστι τὰ μηδετέρως ἔχοντα, οἷον Φρονεῖ, Περιπατεῖ. Ἀντιπεπονθότα δέ ἐστιν ἐν τοῖς ὑπτίοις, ἃ ὕπτια ὄντα | ἐνεργήματα [δέ] ἐστιν, οἷον Κείρεται· ἐμπεριέχει γὰρ 65 αὑτὸν ὁ κειρόμενος. Πλάγιαι δὲ πτώσεις εἰσὶ γενικὴ καὶ δοτικὴ καὶ αἰτιατική.

6–20 *SVF* II Nr. 183 **10** συμβάματα : cf. *Suda*, Σ 1357; Porphyr. ap. Ammon. *in Aristot. De interpr.*, p. 44.19 Busse (= *SVF* II Nr. 184) et M. Gigante, *PP* 15 (1960) 425 s. **18–19** cf. Philonis *Leg. alleg.* 3.201

2 ἐκφοράν **BPF** : διάνοιαν *Suda* **3** δεκτοῖς **P** **5** ante καὶ τὰ πύσματα repetit **F** καὶ τὰ ἀξιώματα **7** ἢ περί τινων **F** **10** post συμβάματα lac. indic. Casaubon (exspectes: οἷον Σωκράτης περιπατεῖ, τὰ δὲ παρασυμβάματα, οἷον Σωκράτει μεταμέλει) (τὰ δὲ παρασυμβάματα iam *Aldobr.*) | οἷον τὸ Διὰ πέτρας πλεῖν seclusi ut alienum, corruptum ab Arnim **11** et **12** ἐστι om. **F** **13** κατηγορουμένου Gigante **16** φρονεῖ, περιπατεῖ ab Arnim : φρονεῖν, περιπατεῖν **BPF** **17** ἃ ὕπτια Cobet, ab Arnim : ἀνύπτια **BPF** **18** δ(έ) del. Madvig, Cobet **19** αὑτὸν **F** : αὐτὸν **BP** **19** et **20** καὶ om. **F**

Ἀξίωμα δέ ἐστιν ὅ ἐστιν ἀληθὲς ἢ ψεῦδος· ἢ πρᾶγμα αὐτοτελὲς ἀποφαντὸν ὅσον ἐφ' ἑαυτῷ, ὡς ὁ Χρύσιππός φησιν ἐν τοῖς Διαλεκτικοῖς ὅροις· "Ἀξίωμά ἐστι τὸ ἀποφαντὸν ἢ καταφαντὸν ὅσον ἐφ' ἑαυτῷ, οἷον Ἡμέρα ἐστί, Δίων περιπατεῖ." Ὠνόμασται δὲ τὸ ἀξίωμα ἀπὸ τοῦ ἀξιοῦσθαι ἢ ἀθετεῖσθαι· ὁ γὰρ λέγων Ἡμέρα ἐστίν, ἀξιοῦν δοκεῖ τὸ ἡμέραν εἶναι. Οὔσης μὲν οὖν ἡμέρας, ἀληθὲς γίνεται τὸ προκείμενον ἀξίωμα· μὴ οὔσης δέ, ψεῦδος.

66 Διαφέρει δὲ ἀξίωμα καὶ ἐρώτημα καὶ πύσμα, ⟨καὶ⟩ προστακτικὸν καὶ ὁρκικὸν καὶ ἀρατικὸν καὶ ὑποθετικὸν καὶ προσαγορευτικὸν πρᾶγμα καὶ ὅμοιον ἀξιώματι. Ἀξίωμα μὲν γάρ ἐστιν ὃ λέγοντες ἀποφαινόμεθα, ὅπερ ἢ ἀληθές ἐστιν ἢ ψεῦδος. Ἐρώτημα δέ ἐστι πρᾶγμα αὐτοτελὲς μέν, ὡς καὶ τὸ ἀξίωμα, αἰτητικὸν δὲ ἀποκρίσεως, οἷον Ἆρά γε ἡμέρα ἐστί; Τοῦτο δὲ οὔτε ἀληθές ἐστιν οὔτε ψεῦδος· ὥστε τὸ μὲν Ἡμέρα ἐστίν ἀξίωμά ἐστι, τὸ δὲ Ἆρά γε ἡμέρα ἐστίν; ἐρώτημα. Πύσμα δέ ἐστι πρᾶγμα πρὸς ὃ συμβολικῶς οὐκ ἔστιν ἀποκρίνεσθαι, ὡς ἐπὶ τοῦ ἐρωτήματος, Ναί, ἀλλὰ ⟨δεῖ⟩ εἰπεῖν· Οἰκεῖ ἐν τῷδε τῷ τόπῳ.

67 Προστακτικὸν δέ ἐστι πρᾶγμα ὃ λέγοντες προστάσσομεν, οἷον·

Σὺ μὲν βάδιζε τὰς ἐπ' Ἰνάχου ῥοάς.

Ὁρκικὸν ⟨*⟩ ⟨προσαγορευτικὸν⟩ δέ ἐστι πρᾶγμα ὃ εἰ λέγοι τις, προσαγορεύοι ἄν, οἷον·

1–19 *Suda,* A 2827 **1–8** *SVF* II Nr. 193 **9–p. 485.10** *SVF* II Nr. 186 **22** *TrGF* Adesp. 177 Kannicht-Snell

1, 13 et **16** ψευδές *Suda* **5** δι' ὧν **P** **7** οὖν ss. **F**^{2} **9** καὶ^{3} add. ab Arnim **10** ὁρικὸν **B** | ἀρατικὸν **F**^{1}, ὁρατικὸν **F**^{2} **11** προσαγορευτηκὸν **B** | καὶ πρᾶγμα **BPF**, transposui **12** μὲν γὰρ **BP** et *Suda* : δὲ **F** **18** ἀποκρίνασθαι **F** **19** δεῖ add. ab Arnim **23** post ὁρκικὸν lac. indic. Huebner | προσαγορευτικὸν add. *Frob.*

Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον.

Ὅμοιον δέ ἐστιν ἀξιώματι ὃ τὴν ἐκφορὰν ἔχον ἀξιωματικήν, παρά τινος μορίου πλεονασμὸν ἢ πάθος ἔξω πίπτει τοῦ γένους τῶν ἀξιωμάτων, οἷον·

Καλός γ' ὁ παρθενών,

⟨καί·⟩

Ὡς Πριαμίδῃσιν ἐμφερὴς ὁ βουκόλος.

Ἔστι δὲ καὶ ἐπαπορητικόν τι πρᾶγμα διενηνοχὸς ἀξι- 68
ώματος, ὃ εἰ λέγοι τις, ἀποροίη ἄν·

Ἆρ' ἐστὶ συγγενές τι λύπη καὶ βίος;

Οὔτε δὲ ἀληθῆ ἐστιν οὔτε ψευδῆ τὰ ἐρωτήματα καὶ τὰ πύσματα καὶ τὰ τούτοις παραπλήσια, τῶν ἀξιωμάτων ⟨μόνων⟩ ἢ ἀληθῶν ἢ ψευδῶν ὄντων.

Τῶν ἀξιωμάτων τὰ μέν ἐστιν ἁπλᾶ, τὰ δ' οὐχ ἁπλᾶ, ὥς φασιν οἱ περὶ Χρύσιππον καὶ Ἀρχέδημον καὶ Ἀθηνόδωρον καὶ Ἀντίπατρον καὶ Κρῖνιν. Ἁπλᾶ μὲν οὖν ἐστι τὰ συνεστῶτα ἐξ ἀξιώματος ⟨μὴ⟩ διαφορουμένου [ἢ ἐξ ἀξιωμάτων], οἷον τὸ Ἡμέρα ἐστίν· οὐχ ἁπλᾶ δέ ἐστι τὰ συνεστῶτα ἐξ ἀξιώματος διαφορουμένου ἢ ἐξ ἀξιωμάτων.

1 *Iliad.* 2.434 et al. **7** *TrGF* Adesp. 286 K.-S. Cf. S.E. *Adv. math.* 8.73 **10** Menandri *Cithar.* Fr. 1.8 Koerte = *Monost.* 54 Jaekel. Cf. Plut. *De tranq. an.* 466 A **14–p. 486.3** *SVF* II Nr. 203

1 ἀτριδη **B** | κύδιστε : μέγιστε ss. **P**[4] | ἀγαμεμνων **F**[1] (corr. **F**[2]) **2** εἰσφορὰν **BPF**, corr. Menagius **3** μωρίου **B** | πάθος **F** : πάθους **BP** **5** καλός **FP**[2]**Q** : καλλός **BP**[1] | γε **BPF** **6** καὶ add. Long **8** ἐπαποριτικὸν **B** **12** μόνων addidi **13** ἢ[1] **PF** : ἃ **B** **14** ὡς – **16** κρίνιν in mg infer. **F**[2] **15** καὶ[1] Menag. : ἢ **BPF** **16** κρίνην **B** **17** μὴ add. *Frob.* | διαπορουμένου Madvig | ἢ ἐξ ἀξιωμάτων secl. Rossi (38, p. 107) | ἐξ[2] om. **F** **18** οἷον – **19** ἀξιωμάτων in mg infer. **F**[2]

69 Ἐξ ἀξιώματος μὲν διαφορουμένου, οἷον Εἰ ἡμέρα ἐστίν, ⟨ἡμέρα ἐστίν⟩· ἐξ ἀξιωμάτων δέ, οἷον Εἰ ἡμέρα ἐστί, φῶς ἐστι.

Ἐν δὲ τοῖς ἁπλοῖς ἀξιώμασίν ἐστι τὸ ἀποφατικὸν καὶ τὸ ἀρνητικὸν καὶ τὸ στερητικὸν καὶ τὸ κατηγορικὸν καὶ τὸ καταγορευτικὸν καὶ τὸ ἀόριστον, ἐν δὲ τοῖς οὐχ ἁπλοῖς [ἀξιώμασι] τὸ συνημμένον καὶ τὸ παρασυνημμένον καὶ τὸ συμπεπλεγμένον καὶ τὸ διεζευγμένον καὶ τὸ αἰτιῶδες καὶ τὸ διασαφοῦν τὸ μᾶλλον καὶ τὸ διασαφοῦν τὸ ἧττον. Καὶ ἀποφατικὸν μέν ⟨ἐστιν⟩ ἀξίωμα οἷον Οὐχὶ ἡμέρα ἐστίν. Εἶδος δὲ τούτου τὸ ὑπεραποφατικόν. Ὑπεραποφατικὸν δέ ἐστιν ἀποφατικὸν ἀποφατικοῦ, οἷον Οὐχὶ ⟨οὐχ⟩ ἡμέρα ἐστί. Τίθησι δὲ τὸ Ἡμέρα ἐστίν.

70 Ἀρνητικὸν δέ ἐστι τὸ συνεστὸς ἐξ ἀρνητικοῦ μορίου καὶ κατηγορήματος, οἷον Οὐδεὶς περιπατεῖ· στερητικὸν δέ ἐστι τὸ συνεστὸς ἐκ στερητικοῦ μορίου καὶ κατηγορήματος κατὰ δύναμιν, οἷον Ἀφιλάνθρωπός ἐστιν οὗτος· κατηγορικὸν δέ ἐστι τὸ συνεστὸς ἐκ πτώσεως ὀρθῆς καὶ

4–p. 487.5 *SVF* II Nr. 204

1 διαφορουμένου om. **F** **2** ἡμέρα ἐστίν^1 add. H. Valesius (cf. S.E. *Adv. math.* 8.95) **4** ἀποφατικὸν **BDP^5** : ἀποφαντικὸν **P^{1}F** **5** καὶ τὸ κατηγορικὸν om. **B** | τὸ κατηγορητικὸν **F** **7** ἀξιώμασι **F**, om. **BPD**, seclusi **9** τὸ διασαφοῦν τὸ om. **F** | post τὸ ἧττον lac. indic. Cobet **10** ἀποφατικὸν μὲν **D** : om. **BPF** | ἐστιν addidi | ἀξίωμα scripsi : ἀξιώματος **BPF** | οὐχ **B** **11** τούτου **BP** : τοῦτο ὑπὲρ **F** | ὑπεραποφατικὸν bis **BP^5** : ὑπεραποφαντικὸν **P^{1}F** **12** ἀποφατικὸν **BP^5** : ἀποφαντικὸν **P^{1}F** | ἀποφατικοῦ **BFP^5** : ἀποφαντικοῦ **P^1** | οὐχὶ ⟨οὐχ⟩ J. Martínez Lacalle (*Phronesis* 21 [1976] 115–119), ⟨οὐκ⟩ οὐχὶ iam Kuehn : οὐχὶ **BPF** | ⟨οὐκ⟩ ἔστι Galesius ap. Casaubonum **14, 16, 18 et p. 487.2** συνεστὸς **B^{1}F** : συνεστὼς **B^{2}P^1** **16** στεριτικοῦ **B** | κατηγορήματος scripsi : ἀξιώματος **BPF**

κατηγορήματος, οἷον Δίων περιπατεῖ· καταγορευτικὸν δέ ἐστι τὸ συνεστὸς ἐκ πτώσεως ὀρθῆς δεικτικῆς καὶ κατηγορήματος, οἷον Οὗτος περιπατεῖ· ἀόριστον δέ ἐστι τὸ συνεστὸς ἐξ ἀορίστου μορίου [ἢ ἀορίστων μορίων] ⟨καὶ κατηγορήματος⟩, οἷον Τὶς περιπατεῖ. ['Εκεῖνος κινεῖται].

Τῶν δ' οὐχ ἁπλῶν ἀξιωμάτων συνημμένον μέν ἐστιν, 71 ὡς ὁ Χρύσιππος ἐν τοῖς Διαλεκτικοῖς ⟨ὅροις⟩ φησὶ καὶ Διογένης ἐν τῇ Διαλεκτικῇ τέχνῃ, τὸ συνεστὸς διὰ τοῦ εἰ συναπτικοῦ συνδέσμου. 'Επαγγέλλεται δὲ ὁ σύνδεσμος οὗτος ἀκολουθεῖν τὸ δεύτερον τῷ πρώτῳ, οἷον Εἰ ἡμέρα ἐστί, φῶς ἐστι. Παρασυνημμένον δέ ἐστιν, ὡς ὁ Κρῖνίς φησιν ἐν τῇ Διαλεκτικῇ τέχνῃ, ἀξίωμα ὃ ὑπὸ τοῦ ἐπεὶ συνδέσμου παρασυνῆπται, ἀρχόμενον ἀπ' ἀξιώματος καὶ λῆγον εἰς ἀξίωμα, οἷον 'Επεὶ ἡμέρα ἐστί, φῶς ἐστιν. 'Επαγγέλλεται δὲ ὁ σύνδεσμος ἀκολουθεῖν τε τὸ δεύτερον τῷ πρώτῳ καὶ τὸ πρῶτον ὑφεστάναι. Συμπεπλεγμένον δέ ἐστιν 72 ἀξίωμα ὃ ὑπό τινων συμπλεκτικῶν συνδέσμων συμπέπλεκται, οἷον Καὶ ἡμέρα ἐστὶ καὶ φῶς ἐστι. Διεζευγμένον δέ ἐστιν ὃ ὑπὸ τοῦ ἤτοι διαζευκτικοῦ συνδέσμου διέζευκται, οἷον Ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν. 'Επαγγέλλεται δὲ ὁ σύνδεσμος οὗτος τὸ ἕτερον τῶν ἀξιωμάτων ψεῦδος εἶναι. Αἰτιῶδες δέ ἐστιν ἀξίωμα τὸ συντασσόμενον διὰ τοῦ διότι ⟨συνδέσμου⟩, οἷον Διότι ἐστὶν ἡμέρα, φῶς ἐστιν·

6–p. 488.7 *SVF* II Nr. 207; III Diog. Nr. 26; Crinidis Nr. 4

1 Δίων *Frob.* : οὗτος **BPFD** **1** κατηγορευτικὸν – **3** περιπατεῖ in mg infer. **F**[2] **3** et **8** τὸ συνεστὼς **BFP**[2] (-ῶς **P**[1]) **4** ἢ ἐξ **F** | ἢ ἀορίστων μορίων seclusi | καὶ κατηγορήματος add. ab Arnim **5** ἐκεῖνος κινεῖται seclusi **7** ἐν τοῖς Διαλεκτικοῖς ⟨ὅροις⟩ Gigante (1960) ex 7.65 et 189 : ἐν ταῖς διαλεκτικαῖς **BP** **8** ἐν – τέχνῃ om. **F** | εἰ διὰ τοῦ εἰ **B** **11** ὡς – **12** τέχνῃ in mg infer. **F**[2] **11** φησιν om. **F**[2] **15** τε om. **F** **16** τῶ πρώτω **F** **19** ὃ ss. **F**[2] **20** ἤτοι **BP** : η **F** **22** ἐστιν om. **F** **23** συνδέσμου addidi | οἷον διότι ἐστὶν **B**[2] in mg, **D** : οἷον διότι **F** : om. **B**[1]**P** | ἡμέρα ἐστί *Frob.*

οἱονεὶ γὰρ αἴτιόν ἐστι τὸ πρῶτον τοῦ δευτέρου. Δια-
σαφοῦν δὲ τὸ μᾶλλον ἀξίωμά ἐστι τὸ συνταττόμενον ὑπὸ
τοῦ διασαφοῦντος [τὸ] μᾶλλον συνδέσμου καὶ τοῦ ⟨ἢ⟩
μέσου τῶν ἀξιωμάτων τασσομένου, οἷον Μᾶλλον ἡμέρα
73 ἐστὶν ἢ νύξ ἐστι. Διασαφοῦν δὲ τὸ ἧττον ἀξίωμά ἐστι τὸ
ἐναντίον τῷ προκειμένῳ, οἷον Ἧττον νύξ ἐστιν ἢ ἡμέρα
ἐστίν.

Ἔτι τῶν ἀξιωμάτων κατά τε ἀλήθειαν καὶ ψεῦδος ἀν-
τικείμενα ἀλλήλοις ἐστίν, ὧν τὸ ἕτερον τοῦ ἑτέρου ἐστὶν
ἀποφατικόν, οἷον τὸ Ἡμέρα ἐστὶ καὶ τὸ Οὐχὶ ἡμέρα ἐστί.
Συνημμένον οὖν ἀληθές ἐστιν οὗ τὸ ἀντικείμενον τοῦ
λήγοντος μάχεται τῷ ἡγουμένῳ, οἷον Εἰ ἡμέρα ἐστί, φῶς
ἐστι. Τοῦτο ἀληθές ἐστι· τὸ γὰρ Οὐχὶ φῶς ⟨ἐστι⟩, ἀντικεί-
μενον ⟨ὂν⟩ τῷ λήγοντι, μάχεται τῷ Ἡμέρα ἐστί. Συνημμέ-
νον δὲ ψεῦδός ἐστιν οὗ τὸ ἀντικείμενον τοῦ λήγοντος οὐ
μάχεται τῷ ἡγουμένῳ, οἷον Εἰ ἡμέρα ἐστί, Δίων περιπα-
τεῖ· τὸ γὰρ Οὐχὶ Δίων περιπατεῖ οὐ μάχεται τῷ Ἡμέρα
ἐστί.

74 Παρασυνημμένον δὲ ἀληθὲς μέν ἐστιν ὃ ἀρχόμενον
ἀπὸ ἀληθοῦς εἰς ἀκόλουθον λήγει, οἷον Ἐπεὶ ἡμέρα
ἐστίν, ἥλιός ἐστιν ὑπὲρ γῆς. Ψεῦδος δὲ ὃ ἢ ἀπὸ ψεύδους
ἄρχεται ἢ μὴ εἰς ἀκόλουθον λήγει, οἷον Ἐπεὶ νύξ ἐστι,

1 Διασαφοῦν δὲ τὸ μᾶλλον – **7** cf. I. Sluiter, *Mnemos.* 41 (1988) 46–66 **8–p. 489.9** περιπατεῖ : *SVF* II Nr. 215 **19–p. 489.1** λέγηται : *SVF* III Crinidis Nr. 4

3 τὸ del. Sluiter | ἢ add. ab Arnim **4** ταττομένου **F** **5** ἐστι^2 om. **F** **8** ἔτι – **9** ἐστίν^1 in mg infer. **F**^{2} **10** ἀποφατικὸν **BP**^{5} : ἀποφαντικὸν **P**^{1}**F** | οὐχὶ **BP** : οὐχ **F** | ἡμέρα οὐχί ἐστι **B** **12** οὐ μάχεται **F** **12** οἷον – **16** τῷ ἡγουμένῳ in mg super. **F**^{2} **13** ἐστι^3 add. ab Arnim **14** ὂν addidi **15** τοῦ **BP** : οὐ **F** **17** τῷ : τὸ **F** **20** ἐπεὶ **PF** : ἐὰν **BD** **21** ὑπὲρ γῆς **B**^{2} in lac. | ὃ **D** : om. **BPF** **22** εἰς ss. **B**^{2} | ἐπεὶ **PF** : εἰ **BD**

Δίων περιπατεῖ, ἂν ἡμέρας οὔσης λέγηται.

Αἰτιῶδες δὲ ἀληθὲς μέν ἐστιν ὃ ἀρχόμενον ἀπὸ ἀληθοῦς εἰς ἀκόλουθον λήγει, οὐ μὴν ἔχει τῷ λήγοντι τὸ ἀρχόμενον ἀκόλουθον, οἷον Διότι ἡμέρα ἐστί, φῶς ἐστι· τῷ μὲν γὰρ Ἡμέρα ἐστὶν ἀκολουθεῖ τὸ Φῶς ἐστι, τῷ δὲ Φῶς ἐστιν οὐχ ἕπεται τὸ Ἡμέρα ἐστίν. Αἰτιῶδες δὲ ψεῦδός ἐστιν ὃ ἤτοι ἀπὸ ψεύδους ἄρχεται ἢ μὴ εἰς ἀκόλουθον λήγει ἢ ἔχει τῷ λήγοντι τὸ ἀρχόμενον ἀνακόλουθον, οἷον Διότι νύξ ἐστι, Δίων περιπατεῖ. Πιθανὸν δέ ἐστιν ἀξίωμα **75**
τὸ ἄγον εἰς συγκατάθεσιν, οἷον Εἴ τίς τι ἔτεκεν, ἐκείνη ἐκείνου μήτηρ ἐστί. Ψεῦδος δὲ τοῦτο· οὐ γὰρ ἡ ὄρνις ᾠοῦ ἐστι μήτηρ.

Ἔτι τε ⟨τῶν ἀξιωμάτων⟩ τὰ μέν ἐστι δυνατά, τὰ δὲ ἀδύνατα· καὶ τὰ μὲν ἀναγκαῖα, τὰ δ' οὐκ ἀναγκαῖα. Δυνατὸν μὲν τὸ ἐπιδεκτικὸν τοῦ ἀληθὲς εἶναι, τῶν ἐκτὸς μὴ ἐναντιουμένων πρὸς τὸ ἀληθὲς εἶναι, οἷον Ζῇ Διοκλῆς· ἀδύνατον δὲ ὃ μή ἐστιν ἐπιδεκτικὸν τοῦ ἀληθὲς εἶναι, οἷον Ἡ γῆ ἵπταται. Ἀναγκαῖον δέ ἐστιν ὅπερ ἀληθὲς ὂν οὐκ ἔστιν ἐπιδεκτικὸν τοῦ ψεῦδος εἶναι [ἢ ἐπιδεκτικὸν μέν ἐστι, τὰ δ' ἐκτὸς αὐτῷ ἐναντιοῦται πρὸς τὸ ψεῦδος εἶναι], οἷον Ἡ ἀρετὴ ὠφελεῖ. Οὐκ ἀναγκαῖον δέ ἐστιν ὃ καὶ ἀληθές ἐστι καὶ ψεῦδος οἷόν τε εἶναι, τῶν ἐκτὸς μηδὲν

9 Πιθανὸν – **p. 490.6** *SVF* II Nr. 201 **16** Ζῇ Διοκλῆς : cf. J. Mansfeld, *Elenchos* 7 (1986) 379–382 **18-p. 490.1** Δίων : cf. *Suda,* A 1827

1 περιπατῶν **B** | λήγηται **F** **2** ὃ **PF** : ἂν **B²D** | ἀρχόμενον **PFD** : ἑπόμενον **B²** **2** ἂν ἑπόμενον – **4** οἷον **B²** in lac. **3** τὸ ἀρχόμενον **PFD** : τὸ ἑπόμενον **B²** **4** ἀκόλουθον τὸ ἀρχόμενον **F** | διότι om. **B** | τῶ **PF** : τὸ **BD** **5** τὸ **PFD** : τῶ **B** | τῶ **BPD** : τὸ **F** **8** ἀκόλουθον Rossi (39, p. 109), agn. ab Arnim **13** τε om. **F** | τῶν ἀξιωμάτων supplevi **14** καὶ **BP** : ὡς **F** **16** πρὸς Cobet, ab Arnim : εἰς **BPF** **19** ἢ ἐπιδεκτικὸν – **21** εἶναι secl. ut glossema O. Becker, *Philol.* 100 (1956) 110–111 **22** τε **BP** : τι **F** | μηδὲν **BP** : μὴ **F**

76 ἐναντιουμένων, οἷον [τὸ] Περιπατεῖ Δίων. Εὔλογον δέ ἐστιν ἀξίωμα τὸ πλείονας ἀφορμὰς ἔχον εἰς τὸ ἀληθὲς εἶναι, οἷον Βιώσομαι αὔριον.

Καὶ ἄλλαι δὲ διαφοραί εἰσιν ἀξιωμάτων καὶ μεταπτώσεις αὐτῶν ἐξ ἀληθῶν εἰς ψεύδη καὶ ἀντιστροφαί, περὶ ὧν ἐν [τῷ] πλάτει λέγουσι.

Λόγος δέ ἐστιν, ὥς οἱ περὶ τὸν Κρῖνίν φασι, τὸ συνεστηκὸς ἐκ λήμματος [ἢ λημμάτων] καὶ προσλήψεως καὶ ἐπιφορᾶς, οἷον ὁ τοιοῦτος· Εἰ ἡμέρα ἐστί, φῶς ἐστι· ἡμέρα δέ ἐστι· φῶς ἄρα ἐστί. Λῆμμα μὲν γάρ ἐστι τὸ "εἰ ἡμέρα ἐστί, φῶς ἐστι"· πρόσληψις τὸ "ἡμέρα δέ ἐστιν"· ἐπιφορὰ δὲ τὸ "φῶς ἄρα ἐστί." Τρόπος δ' ἐστὶν οἱονεὶ σχῆμα λόγου, οἷον ὁ τοιοῦτος· Εἰ τὸ πρῶτον, τὸ δεύτερον· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον.

77 Λογότροπος δέ ἐστι τὸ ἐξ ἀμφοτέρων σύνθετον, οἷον Εἰ ζῇ Πλάτων, ἀναπνεῖ Πλάτων· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον. Παρεισήχθη δὲ ὁ λογότροπος ὑπὲρ τοῦ ἐν ταῖς μακροτέραις συντάξεσι τῶν λόγων μηκέτι τὴν πρόσληψιν μακρὰν οὖσαν καὶ τὴν ἐπιφορὰν λέγειν, ἀλλὰ συντόμως ἐπενεγκεῖν· "τὸ δὲ πρῶτον· τὸ ἄρα δεύτερον."

6 ἐν [τῷ] πλάτει : cf. D. Holwerda, *Mnemos.* 15 (1962) 169–170 **7–20** *SVF* III Crinidis Nr. 5 **12** Τρόπος – **20** cf. *Suda,* T 1055 et Λ 659

1 τὸ delevi **4** εἰσὶ διαφοραὶ **P** **5** ἀληθῶν **D** et Rossi (40, p. 111) : ἀλλήλων **BPF** | ἀντιστροφαί Rossi : ἀντίστροφα **BPFD** **6** ⟨οὐκ⟩ ἐν Becker | τῷ del. Madvig | λέγουσι (sc. οἱ Στωϊκοί) scripsi : λέγομεν **BPF** : ⟨ἄλλοθι⟩ λέγομεν Madvig **7** ὡς – φασι om. **F** | κρίνειν **B** | συνεστηκὼς **B**$\mathbf{P}^1$ (corr. $\mathbf{P}^2$**Q**) **8** ἢ λημμάτων del. Beier **10** ἐστι^3 **F** : om. **BPD** **11** πρόσλημψις **B** : πρόσλημμα **D** | δὲ τὸ ἡμέρα **F** **15** λογότροπος – **17** δεύτερον in mg infer. $\mathbf{B}^2$ **17** παρεισῆλθε **F** **18** πρόσληψιν $\mathbf{B}^2\mathbf{P}^2$**QF** : πρόσλημψιν $\mathbf{B}^1\mathbf{P}^1$: σύλληψιν *Suda,* Λ 659

Τῶν δὲ λόγων οἱ μέν εἰσιν ἀπέραντοι, οἱ δὲ περαντικοί. Ἀπέραντοι μὲν ὧν τὸ ἀντικείμενον τῆς ἐπιφορᾶς οὐ μάχεται τῇ διὰ τῶν λημμάτων συμπλοκῇ, οἷον οἱ τοιοῦτοι· Εἰ ἡμέρα ἐστί, φῶς ἐστι· ἡμέρα δέ ἐστι· περιπατεῖ ἄρα Δίων.

Τῶν δὲ περαντικῶν λόγων οἱ μὲν ὁμωνύμως τῷ γένει 78
λέγονται περαντικοί, οἱ δὲ συλλογιστικοί. Συλλογιστικοὶ μὲν οὖν εἰσιν οἱ ἤτοι ἀναπόδεικτοι ὄντες ἢ ἀναγόμενοι ἐπὶ τοὺς ἀναποδείκτους κατά τι τῶν θεμάτων ἤ τινα, οἷον οἱ τοιοῦτοι· Εἰ περιπατεῖ Δίων, ⟨κινεῖται Δίων· ἀλλὰ μὴν περιπατεῖ Δίων·⟩ κινεῖται ἄρα Δίων. Περαντικοὶ δέ εἰσιν εἰδικῶς οἱ συνάγοντες μὴ συλλογιστικῶς, οἷον οἱ τοιοῦτοι· Ψεῦδός ἐστι τὸ ἡμέρα ἐστὶ καὶ νύξ ἐστι· ἡμέρα δέ ἐστιν· οὐκ ἄρα νύξ ἐστιν. Ἀσυλλόγιστοι δ' εἰσὶν οἱ παρακείμενοι μὲν πιθανῶς τοῖς συλλογιστικοῖς, οὐ συνάγοντες δέ, οἷον Εἰ ἵππος ἐστὶ Δίων, ζῷόν ἐστι Δίων· ἀλλὰ μὴν οὐχ ἵππος ἐστὶ Δίων· οὐκ ἄρα ζῷόν ἐστι Δίων.

Ἔτι τῶν λόγων οἱ μὲν ἀληθεῖς εἰσιν, οἱ δὲ ψευδεῖς. 79
Ἀληθεῖς μὲν οὖν εἰσι λόγοι οἱ δι' ἀληθῶν συνάγοντες, οἷον Εἰ ἡ ἀρετὴ ὠφελεῖ, ἡ κακία βλάπτει· ⟨ἀλλὰ μὴν ὠφελεῖ ἡ ἀρετή· ἡ κακία ἄρα βλάπτει⟩. Ψευδεῖς δέ εἰσιν οἱ τῶν λημμάτων ἔχοντές τι ψεῦδος ἢ ἀπέραντοι ὄντες, οἷον Εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἡμέρα δέ ἐστι· ζῇ ἄρα Δίων. Καὶ δυνατοὶ δέ εἰσι λόγοι καὶ ἀδύνατοι καὶ ἀναγκαῖοι καὶ οὐκ ἀναγκαῖοι.

1–25 οὐκ ἀναγκαῖοι : *SVF* II Nr. 238 **2** Ἀπέραντοι : cf. S.E. *Adv. math.* 8.429 (= *SVF* II Nr. 240)

1 εἰσιν om. **F** **2** οὐ **D** et Rossi : om. **BPF** **8** οὖν om. **F** | ἤτι **B**[1] (corr. **B**[2]) | ἐπὶ **D** : ἐπί τι **BPF** **9** θεαμάτων **F** **10** εἰ περιπατεῖ – **12** οἱ τοιοῦτοι in mg infer. **F**[2] **10** κινεῖται – **11** Δίων suppl. ab Arnim **12** ἰδικῶς **F** **16** δίων[1] **BPD** : ζῷον **F** **16-17** ἀλλὰ μὴν οὐχ ἵππος ἐστὶ Δίων J. Martínez Lacalle : ἀλλὰ μὴν ἵππος οὐκ ἔστι δίων **D** : om. **BPF** **18** εισιν om. **F** **19** οὖν εἰσι om. **F** | δι' ss. **F**[2] **20** ἀλλὰ μὴν – **21** βλάπτει suppl. ab Arnim

Εἰσὶ δὲ καὶ ἀναπόδεικτοί τινες, τῷ μὴ χρῄζειν ἀποδείξεως, ἄλλοι μὲν παρ' ἄλλοις, παρὰ δὲ τῷ Χρυσίππῳ πέντε, δι' ὧν πᾶς λόγος πλέκεται· οἵτινες λαμβάνονται ἐπὶ τῶν περαντικῶν καὶ ἐπὶ τῶν συλλογισμῶν καὶ ἐπὶ τῶν
80 τροπικῶν. Πρῶτος δ' ἐστὶν ἀναπόδεικτος ἐν ᾧ πᾶς λόγος συντάσσεται ἐκ συνημμένου καὶ τοῦ ἡγουμένου, ἀφ' οὗ ἄρχεται τὸ συνημμένον, ⟨ἐξ οὗ⟩ τὸ λῆγον ἐπιφέρει, οἷον Εἰ τὸ πρῶτον, τὸ δεύτερον· ἀλλὰ μὴν τὸ πρῶτον· τὸ ἄρα δεύτερον. Δεύτερος δ' ἐστὶν ἀναπόδεικτος ὁ διὰ συνημμένου καὶ τοῦ ἀντικειμένου τοῦ λήγοντος τὸ ἀντικείμενον τοῦ ἡγουμένου ἔχων συμπέρασμα, οἷον Εἰ ἡμέρα ἐστί, φῶς ἐστιν· ἀλλὰ μὴν οὐχὶ φῶς ἐστιν· οὐκ ἄρα ἡμέρα ἐστίν. Ἡ γὰρ πρόσληψις γίνεται ἐκ τοῦ ἀντικειμένου τῷ λήγοντι καὶ ἡ ἐπιφορὰ ἐκ τοῦ ἀντικειμένου τῷ ἡγουμένῳ. Τρίτος δ' ἐστὶν ἀναπόδεικτος ὁ δι' ἀποφατικοῦ συμπλοκῆς καὶ ἑνὸς τῶν ἐν τῇ συμπλοκῇ ἐπιφέρων τὸ ἀντικείμενον τοῦ λοιποῦ, οἷον Οὐχὶ τέθνηκε Πλάτων καὶ ζῇ Πλάτων· ἀλλὰ
81 μὴν τέθνηκε Πλάτων· οὐκ ἄρα ζῇ Πλάτων. Τέταρτος δέ ἐστιν ἀναπόδεικτος ὁ διὰ διεζευγμένου καὶ ἑνὸς τῶν ἐν τῷ διεζευγμένῳ τὸ ἀντικείμενον τοῦ λοιποῦ ἔχων συμπέρασμα, οἷον Ἤτοι τὸ πρῶτον ἢ τὸ δεύτερον· ἀλλὰ μὴν τὸ πρῶτον· οὐκ ἄρα τὸ δεύτερον. Πέμπτος δέ ἐστιν ἀναπόδεικτος ἐν ᾧ πᾶς λόγος συντάσσεται ἐκ διεζευγμένου καὶ

1–p. 493.3 *SVF* II Nr. 241. Cf. S.E. *P.h.* 2.157–158; *Adv. math.* 8.224–226 (= *SVF* II Nr. 242)

1 χρίζειν **B** **5** λόγος om. **F** **7** τὸ^{1} Cobet : τί **BPFD** | ἐξ οὗ scripsi coni. S.E. : καὶ **BPFD** **8** τὸ^{4} ss. **B**^{2} **11** ἔχων ss. **F**^{2} : ἔχον **BP** **11** ἐστὶ – **12** ἡμέρα om. **BP**^{1} : in mg add. **P**^{2}**QD** **11** φῶς – **12** ἐστίν^{2} in mg super. **F**^{2} **12** οὐχὶ φῶς ἐστιν B. Mates (*Stoic Logic*^{2}, 1961, p. 71 n. 54) : φῶς οὐκ ἔστιν **D**, cf. S.E. : νύξ ἐστιν **P**^{2}**F**^{2} **13** πρόσλημψις **B** **15** ἀποφατικοῦ **BPF** : ἀποφατικῆς Stephanus alii **17** καὶ ζῇ Πλάτων om. **B** **20** ἔχων **B** : ἔχον **PF**

⟨τοῦ⟩ ἑνὸς τῶν ἐν τῷ διεζευγμένῳ ἀντικειμένου καὶ ἐπιφέρει τὸ λοιπόν, οἷον Ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ ἐστιν· οὐχὶ δὲ νύξ ἐστιν· ἡμέρα ἄρα ἐστίν.

Ἐπ' ἀληθεῖ δὲ ἀληθὲς ἕπεται κατὰ τοὺς Στωϊκούς, ὡς τῷ "ἡμέρα ἐστὶ" τὸ "φῶς ἐστι"· καὶ ψεύδει ψεῦδος, ὡς τῷ "νύξ ἐστι" ψεύδει ⟨ὄντι⟩ τὸ "σκότος ἐστί"· καὶ ψεύδει ἀληθές, ὡς τῷ "ἵπτασθαι τὴν γῆν" τὸ "εἶναι τὴν γῆν." Ἀληθεῖ μέντοι ψεῦδος οὐκ ἀκολουθεῖ· τῷ γὰρ "εἶναι τὴν γῆν" τὸ "πέτεσθαι τὴν γῆν" οὐκ ἀκολουθεῖ.

Καὶ ἄποροι δέ τινές εἰσι λόγοι, ἐγκεκαλυμμένοι καὶ **82**
διαλεληθότες καὶ σωρεῖται καὶ κερατίδες καὶ οὔτιδες. Ἔστι δὲ ἐγκεκαλυμμένος οἷον ὁ τοιοῦτος ⟨*⟩ Οὐχὶ τὰ μὲν δύο ὀλίγα ἐστίν, οὐχὶ δὲ καὶ τὰ τρία· οὐχὶ δὲ καὶ ταῦτα μέν, οὐχὶ δὲ καὶ τὰ τέσσαρα· καὶ οὕτω μέχρι τῶν δέκα· τὰ δὲ δύο ὀλίγα ἐστί· καὶ τὰ δέκα ἄρα. ⟨*⟩ Οὔτις δέ ἐστι λόγος συνακτικὸς ἐκ ⟨συνημμένου μὲν⟩ ἀορίστου καὶ ὡρισμένου συνεστώς, πρόσληψιν δὲ καὶ ἐπιφορὰν ⟨ἀόριστον⟩ ἔχων, οἷον Εἴ τίς ἐστιν ἐνταῦθα, οὐκ ἔστιν ἐκεῖνος ἐν Ῥόδῳ· ⟨ἀλλὰ μήν ἐστί τις ἐνταῦθα· οὐκ ἄρα τίς ἐστιν ἐν Ῥόδῳ⟩.

Καὶ τοιοῦτοι μὲν ἐν τοῖς λογικοῖς οἱ Στωϊκοί, ἵνα μά- **83**

4–9 *SVF* II Nr. 243 **10–20** *SVF* II Nr. 274 **21–p. 494.8** καλεῖται : *SVF* II Nr. 130

1 τοῦ add. P. Shorey (*C.P.* 22 [1927] 100) conl. S.E. **5** τῷ^1 **PF** : τὸ **P** | τῷ^2 **BF** : τὸ **P** **6** ὄντι addidi **7** τῷ **B^2** : τὸ **B^{1}PF** **8** τῷ **PF** : τὸ **B** | τὴν γῆν **PF** : αὐτὴν **B** **12** post ὁ τοιοῦτος lac. indic. Iac. Cuiacius ap Casaubonum (exspectes ⟨*⟩ σωρείτης δέ ἐστιν ὁ τοιοῦτος) **14** τέσσερα **B** **15** post ἄρα lac. indic. Cuiacius (κερατίδων exemplum continentem) | οὔτις **BF** : οὕτω **B** **16** συνακτικὸς **P^{1}QF** : συναπτικὸς **B** : συντακτικὸς **P^{4}H** | συνημμένου μὲν supplevi post Io. ab Arnim | ὁρισμένου **B** **17** πρόσλημψιν **B^1** (corr. **B^2**) | ἀόριστον suppl. ab Arnim **18** οἷον εἰ τὸ ἐστὶν **B^2** in lac. | ἐκεῖνος om. **F** **18–19** ἐν Ῥόδῳ om. **B** spatio relicto **19** ἀλλὰ – **20** ἐν Ῥόδῳ suppl. ab Arnim post Menagium **21** ἵνα **PF** : τὰ **BD**

λιστα κρατύνωσι διαλεκτικὸν μόνον εἶναι τὸν σοφόν· πάντα γὰρ τὰ πράγματα διὰ τῆς ἐν λόγοις θεωρίας ὁρᾶσθαι, ὅσα τε τοῦ φυσικοῦ τόπου τυγχάνει καὶ αὖ πάλιν ὅσα τοῦ ἠθικοῦ. Εἰ μὲν γὰρ τὸ λογικόν τι δεῖ λέγειν, περί γε ὀνομάτων ὀρθότητος, ὅπως διέταξαν οἱ νόμοι ἐπὶ τοῖς ἔργοις, ⟨ἄνευ αὐτοῦ⟩ οὐκ ἂν ἔχοιμεν εἰπεῖν. Δυοῖν δ' οὔσαιν συνηθείαιν ταῖν ὑποπιπτούσαιν τῇ ἀρετῇ, ἡ μὲν τί ἕκαστόν ἐστι τῶν ὄντων σκοπεῖ, ἡ δὲ τί καλεῖται. Καὶ ὧδε μὲν αὐτοῖς ἔχει τὸ λογικόν.

84 Τὸ δὲ ἠθικὸν μέρος τῆς φιλοσοφίας διαιροῦσιν εἴς τε τὸν περὶ ὁρμῆς καὶ εἰς τὸν περὶ ἀγαθῶν καὶ κακῶν τόπον καὶ εἰς τὸν περὶ παθῶν καὶ περὶ ἀρετῆς καὶ περὶ τέλους περί τε τῆς πρώτης ἀξίας καὶ τῶν πράξεων καὶ περὶ τῶν καθηκόντων προτροπῶν τε καὶ ἀποτροπῶν. Οὕτω δ' ὑποδιαιροῦσιν οἱ περὶ Χρύσιππον καὶ Ἀρχέδημον καὶ Ζήνωνα τὸν Ταρσέα καὶ Ἀπολλόδωρον καὶ Διογένην καὶ Ἀντίπατρον καὶ Ποσειδώνιον· ὁ μὲν γὰρ Κιτιεὺς Ζήνων καὶ ὁ Κλεάνθης, ὡς ἂν ἀρχαιότεροι, ἀφελέστερον περὶ τῶν πραγμάτων διέλαβον. Οὗτοι δὲ διεῖλον καὶ τὸν λογικὸν καὶ τὸν φυσικόν.

85 Τὴν δὲ πρώτην ὁρμήν φασι τὸ ζῷον ἴσχειν ἐπὶ τὸ τη-

10–20 *SVF* I Nr. 178; III Nr. 1 **17** Posidonii F 89 Edelstein-Kidd^2 = F 404 Theiler **21–p. 496.4** συνείδησιν : *SVF* III Nr. 178. Cf. *Suda,* O 601

1 κρατύνωσι **PF** : κρατύνων **B** : κρατύνοντες **D** | μόνον ss. **B**^{2}**D** : ἀεὶ **PF** | εἶναι ἀεὶ **F** **2** τὰ **F** : om. **BPD** | διὰ τοῖς **F** **3** τε om. **F** | τόπου Meibom. : τύπου **BPFD** | τυγχάνει τύπου **F** **4** Εἰ coni. ab Arnim : εἰς **BPF** | γε scripsi : τε **BPF** : del. ab Arnim **6** ἄνευ αὐτοῦ supplevi | ἔχοιμεν scripsi : ἔχειν **BPFD** : ἔχοι ab Arnim **7** ταῖν **F D** : τε **BP** **8** σκοπιὴ (pro σκοπεῖ ἡ) **F** **15** ἀρχαίδημον **F** **16** καὶ ἀπολλόδωρον – **17** ποσιδόνιον in mg super. **F**^{2} **16** διογένη **B** **17** ποσιδώνιον **B** : ποσιδόνιον **F** | κιττιεὺς **P F** | ὁ^2 om. **F** **18** ἂν om. **F** | ἀφελέστερον : γρ. ἀσφαλέστερον in mg **F**^{2} **19** οὕτω **F**

ρεῖν ἑαυτό, οἰκειούσης αὐτὸ ⟨αὑτῷ⟩ τῆς φύσεως ἀπ' ἀρχῆς, καθά φησιν ὁ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ τελῶν, πρῶτον οἰκεῖον λέγων εἶναι παντὶ ζῴῳ τὴν αὑτοῦ σύστασιν καὶ τὴν ταύτης συνείδησιν. Οὔτε γὰρ ἀλλοτριῶσαι εἰκὸς ἦν ⟨αὐτὴν⟩ αὑτῷ τὸ ζῷον, οὔτε ποιήσασαν αὐτὸ μήτε ἀλλοτριῶσαι μήτε [οὐκ] οἰκειῶσαι. Ἀπολείπεται τοίνυν λέγειν συστησαμένην αὐτὸ οἰκειῶσ⟨αι⟩ πρὸς ἑαυτό· οὕτω γὰρ τά τε βλάπτοντα διωθεῖται καὶ τὰ οἰκεῖα προσίεται.

Ὃ δὲ λέγουσί τινες, πρὸς ἡδονὴν γίνεσθαι τὴν πρώτην ὁρμὴν τοῖς ζῴοις, ψεῦδος ἀποφαίνουσιν. Ἐπιγέννημα γάρ 86 φασιν, εἰ ἄρα ἔστιν, ⟨τὴν⟩ ἡδονὴν εἶναι, ὅταν αὐτὴ καθ' αὑτὴν ἡ φύσις ἐπιζητήσασα τὰ ἐναρμόζοντα τῇ συστάσει ἀπολάβῃ· ὃν τρόπον ἀφιλαρύνεται τὰ ζῷα καὶ θάλλει τὰ φυτά. Οὐδέν τε, φασί, διήλλαξεν ἡ φύσις ἐπὶ τῶν φυτῶν τῶν ἐπὶ τῶν ζῴων, ὅτε χωρὶς ὁρμῆς καὶ αἰσθήσεως κἀκεῖνα οἰκονομεῖ καὶ ἐφ' ἡμῶν τινα φυτοειδῶς γίνεται. Ἐκ περιττοῦ δὲ τῆς ὁρμῆς τοῖς ζῴοις ἐπιγενομένης, ᾗ συγχρώμενα πορεύεται πρὸς τὰ οἰκεῖα, τούτοις μὲν τὸ κατὰ φύσιν τῷ

10–p. 496.9 Περὶ τελῶν : Posidonii F 426 Theiler **10–15** τὰ φυτά : Usener, 398 **12** φασιν : sc. οἱ Στωϊκοί **17** Ἐκ – **p. 496.9** Posidonii F 185 Edelstein-Kidd²

1 ἑαυτῷ **F** | αὐτὸ ⟨αὑτῷ⟩ Coraes (*Proleg. ad Epictet.*, 61), Reiske, Zeller : αὐτὸ **BPD** : αὐτῷ **F** : om. *Suda* **2** ἐν – τελῶν in mg **F²** **3** αὑτοῦ Huebner : αὐτοῦ **BPF** **4** συνείδησιν **BPF** : σύνδεσις *Suda* : συναίσθησιν M. Pohlenz (*Die Stoa*, II, 65) **5** αὐτὴν addidi | αὑτῷ ab Arnim : αὐτὸ **BPF²** | ποιήσασαν Reiske, Zeller : ποιῆσαι ἂν **BPF** **6** οὐκ del. Zeller **7** αὐτῷ **F** | οἰκειῶσαι ab Arnim : οἰκείως **BPF** | ἑαυτῷ **F** **9** προσείεται **B** **10** γίγνεσθαι **BP** : λέγεσθαι **F** **11** ἐπιγένημα **PF** **12** τὴν addidi | αὐτὴ Cobet : αὐτὴν **BPFD** et *Suda* **14** ἀφιλαρίνεται **B** : ἀντιλαμβάνεται *Suda* **15** φασί om. **F** **16** τῶν¹ scripsi : καὶ **BPF** | ὅτε **BPFD** et *Suda* : ὅτι *Frob.* **19** μὲν ss. **P²** | τῷ **D**, Heine (628) : τὸ **BPF** et *Suda*

κατὰ τὴν ὁρμὴν διοικεῖσθαι· τοῦ δὲ λόγου τοῖς λογικοῖς κατὰ τελειοτέραν προστασίαν δεδομένου, τὸ κατὰ λόγον ζῆν ὀρθῶς γίνεσθαι ⟨τού⟩τοις ⟨τὸ⟩ κατὰ φύσιν· τεχνίτης γὰρ οὗτος ἐπιγίνεται τῆς ὁρμῆς.

87 Διόπερ πρῶτος ὁ Ζήνων ἐν τῷ Περὶ ἀνθρώπου φύσεως τέλος εἶπε τὸ ὁμολογουμένως τῇ φύσει ζῆν· ὅπερ ἐστὶ κατ' ἀρετὴν ζῆν· ἄγει γὰρ πρὸς ταύτην ἡμᾶς ἡ φύσις. Ὁμοίως δὲ καὶ Κλεάνθης ἐν τῷ Περὶ ἡδονῆς καὶ Ποσειδώνιος καὶ Ἑκάτων ἐν τοῖς Περὶ τελῶν.

Πάλιν δ' ἴσον ἐστὶ τὸ κατ' ἀρετὴν ζῆν τῷ κατ' ἐμπειρίαν τῶν φύσει συμβαινόντων ζῆν, ὥς φησι Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ τελῶν· μέρη γάρ εἰσιν αἱ ἡμέτεραι φύσεις
88 τῆς τοῦ ὅλου. Διόπερ τέλος γίνεται τὸ ἀκολούθως τῇ φύσει ζῆν· ὅπερ ἐστὶ κατά τε τὴν αὑτοῦ καὶ κατὰ τὴν τῶν ὅλων, οὐδὲν ἐνεργοῦντας ὧν ἀπαγορεύειν εἴωθεν ὁ νόμος ὁ κοινός, ὅσπερ ἐστὶν ὁ ὀρθὸς λόγος, διὰ πάντων ἐρχόμενος, ὁ αὐτὸς ὢν τῷ Διί, καθηγεμόνι τούτῳ τῆς τῶν ὄντων διοικήσεως ὄντι. Εἶναι δ' αὐτὸ τοῦτο τὴν τοῦ εὐδαίμονος ἀρετὴν καὶ εὔροιαν βίου, ὅταν πάντα πράττηται κατὰ τὴν συμφωνίαν τοῦ παρ' ἑκάστῳ δαίμονος πρὸς τὴν τοῦ ⟨τῶν⟩ ὅλων διοικητοῦ βούλησιν. Ὁ μὲν οὖν Διογένης τέλος φησὶ

5–9 *SVF* I Nr. 552; Hecatonis Fr. 1 Gomoll **10–21** βούλησιν : *SVF* III Nr. 4 **21–p. 497.1** *SVF* III Diog. Nr. 45

3 γενέσθαι **P**^{1} (corr. **P**^{2}) | τούτοις Kayser, C.F. Hermann : τοῖς **BPF** et *Suda* | τὸ add. Cobet **7** ἡμᾶς om. **F**, del. Cobet **7** ὁμοίως – **9** περὶ τελῶν in mg **F**^{2} **8** ποσιδώνιος **B**, ποσιδόνιος **F** **11** ὡς – **12** περὶ τελῶν in mg **F**^{2} **14** κατά τε τὴν Cobet : κατά γε τὴν **PF** : κατ' ἀρετὴν **BD** | αὑτοῦ Huebner : αὐτοῦ **BPF** **15** ἐνεργοῦντα Reiske **16** ὅσπερ Huebner : ὅπερ **BPF** | ἀρχόμενος **P**^{1}**Q** (corr. **P**^{4}**H**) **17** ὢν *Aldobr.*, Menag. : ἐν **BPF** | διὰ **FP**^{4}**D** : δις **BP**^{1}**Q** | τῶν πάντων **F** **19** καὶ εὔροιαν βίου in mg **F**^{2} **20–21** ⟨τῶν⟩ ὅλων Cobet : ὅλου **BPFD** **21** ὁ μὲν οὖν – **p. 497.2** ζῆν in mg infer. **F**^{2}

ῥητῶς τὸ εὐλογιστεῖν ἐν τῇ τῶν κατὰ φύσιν ἐκλογῇ. Ἀρχέδημος δὲ τὸ πάντα τὰ καθήκοντα ἐπιτελοῦντα ζῆν.

Φύσιν δὲ Χρύσιππος μὲν ἐξακούει, ᾗ ἀκολούθως δεῖ 89
ζῆν, τήν τε κοινὴν καὶ ἰδίως τὴν ἀνθρωπίνην· ὁ δὲ Κλεάνθης τὴν κοινὴν μόνην ἐκδέχεται φύσιν, ᾗ ἀκολουθεῖν δεῖ, οὐκέτι δὲ καὶ τὴν ἐπὶ μέρους.

Τήν τε ἀρετὴν διάθεσιν εἶναι ὁμολογουμένην· καὶ αὐτὴν δι' αὑτὴν εἶναι αἱρετήν, οὐ διά τινα φόβον ἢ ἐλπίδα ἤ τι τῶν ἔξωθεν· ἐν αὐτῇ τε εἶναι τὴν εὐδαιμονίαν, ἅτε οὔσῃ ψυχῇ πεποιημένῃ πρὸς τὴν ὁμολογίαν παντὸς τοῦ βίου. Διαστρέφεσθαι δὲ τὸ λογικὸν ζῷον ποτὲ μὲν διὰ τὰς τῶν ἔξωθεν πραγμάτων πιθανότητας, ποτὲ δὲ διὰ τὴν κατήχησιν τῶν συνόντων· ἐπεὶ ἡ φύσις ἀφορμὰς δίδωσιν ἀδιαστρόφους.

Ἀρετὴ δέ τοι ἡ μέν τις κοινῶς ⟨ἐν⟩ παντὶ τελείωσις, 90
ὥσπερ ἀνδριάντος ⟨*⟩. Καὶ ἡ ἀθεώρητος, ὥσπερ ὑγίεια· καὶ ἡ θεωρηματική, ὡς φρόνησις. Φησὶ γὰρ ὁ Ἑκάτων ἐν τῷ πρώτῳ Περὶ ἀρετῶν ἐπιστημονικὰς μὲν εἶναι καὶ θεωρηματικὰς τὰς ἐχούσας τὴν σύστασιν ἐκ θεωρημάτων, ὡς φρόνησιν καὶ δικαιοσύνην· ἀθεωρήτους δὲ τὰς κατὰ παρέκτασιν θεωρουμένας ταῖς ἐκ τῶν θεωρημάτων συν-

1–2 *SVF* III Arched. Nr. 19 **3–4** *SVF* III Nr. 4 **3–6** *SVF* I Nr. 555 **7** *SVF* III Nr. 197 **7–10** τοῦ βίου : *SVF* III Nrr. 39 et 197. Cf. *Suda*, A 3830 **11–14** *SVF* III Nrr. 228 et 229 **15–17** *SVF* III Nr. 197 **15–p. 498.6** ἀνδρεία : Hecatonis Fr. 6 Gomoll

1 ἀρχαίδημος **F**^{2} **3** μὲν om. **F** **8** αὑτὴν **F**^{2}**D** : αὐτὴν **BPF**^{1} | ἀρετὴν **B** **11 et 12** ποτὲ **P** : ὁτὲ **BD** et *Suda* : ὅτε **F** **12** πραγμάτων **F**, C.F. Hermann, J. Bake : πραγματειῶν **BPD** et *Suda* **14** ἀδιαστρόφως **F** **15** τοι **BD** : om. **PF** | ἐν addidi | παντὶ κοινῶς **F** **16** post ἀνδριάντος lac. indic. ab Arnim (*Praef.* I, p. XXXIX). Exspectes : ἡ δέ τις ἰδίως ἀνθρώπου ⟨*⟩ : ἡ δέ τις ἀνθρώπῳ ἰδίως τοῦ λόγου τελείωσις coni. ab Arnim | ἡ ὑγεία **F** **17** φησὶ – **18** ἀρετῶν in mg super. **F**^{2} **18** θεωρητικὰς **F** **20 et 21** τοὺς et θεωρουμένους **F**

εστηκυίαις, καθάπερ ὑγίειαν καὶ ἰσχύν. Τῇ γὰρ σωφροσύ-
νῃ τεθεωρημένῃ ὑπαρχούσῃ συμβαίνει ἀκολουθεῖν καὶ
παρεκτείνεσθαι τὴν ὑγίειαν, καθάπερ τῇ ψαλίδος οἰκοδο-
91 μίᾳ τὴν ἰσχὺν ἐπιγίνεσθαι. Καλοῦνται δ' ἀθεώρητοι, ὅτι
μὴ ἔχουσι συγκαταθέσεις, ἀλλ' ἐπιγίνονται καὶ περὶ φαύ-
λους γίνονται, ὡς ὑγίεια, ἀνδρεία. Τεκμήριον δὲ τοῦ ὑπ-
αρκτὴν εἶναι τὴν ἀρετήν φησιν ὁ Ποσειδώνιος ἐν τῷ α'
τοῦ Ἠθικοῦ λόγου τὸ γενέσθαι ἐν προκοπῇ τοὺς περὶ Σω-
κράτη, Διογένη, Ἀντισθένη. Εἶναι δὲ καὶ τὴν κακίαν
ὑπαρκτὴν διὰ τὸ ἀντικεῖσθαι τῇ ἀρετῇ. Διδακτήν τε εἶναι
αὐτήν, λέγω δὲ τὴν ἀρετήν, καὶ Χρύσιππος ἐν τῷ α' Περὶ
τέλους φησὶ καὶ Κλεάνθης καὶ Ποσειδώνιος ἐν τοῖς Προ-
τρεπτικοῖς καὶ Ἑκάτων· ὅτι δὲ διδακτή ἐστι, δῆλον ἐκ τοῦ
γίνεσθαί ⟨τινας⟩ ἀγαθοὺς ἐκ φαύλων.
92 Παναίτιος μὲν οὖν δύο φησὶν ἀρετάς, θεωρητικὴν καὶ
πρακτικήν· ἄλλοι δὲ λογικὴν καὶ φυσικὴν καὶ ἠθικήν·
τέτταρας δὲ οἱ περὶ Ποσειδώνιον καὶ πλείονας οἱ περὶ
Κλεάνθην καὶ Χρύσιππον καὶ Ἀντίπατρον. Ὁ μὲν γὰρ
Ἀπολλοφάνης μίαν λέγει, τὴν φρόνησιν.

6–10 τῇ ἀρετῇ : Posidonii F 29 Edelstein-Kidd[2] = F 403 Theiler **10–14** *SVF* I Nr. 567; III Nr. 223; Posidonii F 2 Kidd = F 435 b Theiler; Hecatonis Fr. 8 Gomoll **15–19** *SVF* I Nrr. 565 et 406; III Nr. 261; Antip. Nr. 60; Panaetii Fr. 108 van Straaten; Posidonii F 180 Kidd = F 424 Theiler

1 γὰρ **F** : γ' **B** : om. **PD** | σωφροσύνῃ *Aldobr.* : ἀφροσύνῃ **BPD**, γρ. in mg **F** et *Suda* : εὐφροσύνῃ **F** in textu **2** θεωρηματικῇ Usener **3** τῇ **P**[2]**Q** : τῆς **BP**[1]**FD** et *Suda* | οἰκονομία γρ. in mg **F**[2] **5** ἐπιγίγνονται **BP** **5–6** καὶ περὶ φαύλους γίνονται om. **B** et *Suda* **6** γί(γ)νονται secl. Cobet | ὑγεία **F** | ἀνδρία **P** | τοῦ **BF** : τὸ **P** **7** εἶναι τὴν in mg **B**[2] **7 et 12** ποσιδώνιος **B**, ποσειδόνιος **F** **8** ἐκ προκοπῆς *Suda* **11** δὴ **B** **11** καὶ – **13** ἑκάτων in mg infer. **F**[2] **13** post δῆλον addit **F** ἐν τοῖς προτρεπτικοῖς | ἐκ **BPD** : καὶ **F** **14** γίγνεσθαι **BP** | τινας addidi | καὶ ἐκ **F** **15** οὖν ss. **F**[2] **17** ποσιδώνιον **B** **18** καὶ ἀντίπατρον ss. **F**[2]

Τῶν δὲ ἀρετῶν τὰς μὲν ⟨εἶναι⟩ πρώτας, τὰς δὲ ταύταις ὑποτεταγμένας. Πρώτας μὲν τάσδε· φρόνησιν, ἀνδρείαν, δικαιοσύνην, σωφροσύνην· ἐν εἴδει δὲ τούτων μεγαλοψυχίαν, ἐγκράτειαν, καρτερίαν, ἀγχίνοιαν, εὐβουλίαν. Καὶ τὴν μὲν φρόνησιν εἶναι ἐπιστήμην κακῶν καὶ ἀγαθῶν καὶ οὐδετέρων, τὴν δὲ δικαιοσύνην ἐπιστήμην ⟨ἀπονεμητικὴν τοῦ κατ' ἀξίαν ἑκάστῳ, τὴν δὲ σωφροσύνην ἐπιστήμην⟩ ὧν αἱρετέον καὶ εὐλαβητέον καὶ οὐδετέρων· ⟨τὴν δὲ ἀνδρείαν ἐπιστήμην δεινῶν καὶ οὐ δεινῶν καὶ ουδετέρων⟩. Τὴν δὲ μεγαλοψυχίαν ἐπιστήμην ⟨ἢ⟩ ἕξιν ὑπεράνω ποιοῦ- 93
σαν τῶν συμβαινόντων κοινῇ φαύλοις τε καὶ σπουδαίοις· τὴν δὲ ἐγκράτειαν διάθεσιν ἀνυπέρβατον τῶν κατ' ὀρθὸν λόγον ⟨φανέντων⟩, ἢ ἕξιν ἀήττητον ⟨ὑφ'⟩ ἡδονῶν· τὴν δὲ καρτερίαν ἐπιστήμην ἢ ἕξιν ὧν ἐμμενετέον καὶ μὴ καὶ οὐδετέρων· τὴν δὲ ἀγχίνοιαν ἕξιν εὑρετικὴν τοῦ καθήκοντος ἐκ τοῦ παραχρῆμα· τὴν δὲ εὐβουλίαν ἐπιστήμην τοῦ σκοπεῖσθαι ποῖα καὶ πῶς πράττοντες πράξομεν συμφερόντως.

Ἀνὰ λόγον δὲ καὶ τῶν κακιῶν τὰς μὲν εἶναι πρώτας, τὰς δὲ ὑπὸ ταύτας· οἷον ἀφροσύνην μὲν καὶ δειλίαν καὶ

1–p. 500.3 *SVF* III Nr. 265. Cf. Nrr. 262, 266 et al. **19–p. 500.3** cf. *Suda*, K 150

1 εἶναι addidi **2** ἀνδρίαν **P** **6** post ἐπιστήμην lacunam (a Beiero indicatam) e testim. explevit Sten Ebbesen (per litteras, 26.8. 1977), cf. J. Mansfeld (*Mnemos.* 42 [1989] 88–89) **8** post καί^1 add. ὧν **F** | post οὐδετέρων lac. expl. Ebbesen **10** ἢ add. Cobet | ὑπεράνω ποιοῦσαν **BP**^{2} : οὖσαν ὑπεράνω **F** **11** φαύλοις et σπουδαίοις Madvig et ab Arnim ex Andronico (*SVF* III Nr. 270) : φαύλων et σπουδαίων **BPF** et *Suda*, M 371 : φαύλῳ et σπουδαίῳ Usener **13** φανέντων addidi e testim. (*SVF* III Nrr. 264 et 275) | ἀήττιτον **B** | ὑφ' addidi ex Andron. (*SVF* III Nr. 272) **16** δὲ om. **F** **17** πράξωμεν **P**^{1}**Q** (corr. **P**^{4}) **19** Ἀνὰ λόγον Cobet : ἀνάλογον hic et ubique **BPF** **20** ταύταις **B**

ἀδικίαν καὶ ἀκολασίαν ἐν ταῖς πρώταις, ἀκρασίαν δὲ καὶ βραδύνοιαν καὶ κακοβουλίαν ἐν ταῖς ὑπὸ ταύτας· εἶναι δὲ ἀγνοίας τὰς κακίας, ὧν αἱ ἀρεταὶ ἐπιστῆμαι.

94 Ἀγαθὸν δὲ κοινῶς μὲν τὸ τὶ ὄφελος, ἰδίως δὲ ἤτοι ταὐτὸν ἢ οὐχ ἕτερον ὠφελείας. Ὅθεν αὐτήν τε τὴν ἀρετὴν καὶ τὸ μετέχον αὐτῆς ἀγαθὸν τριχῶς οὕτως λέγεσθαι· οἷον τὸ ⟨μὲν⟩ ἀγαθὸν ἀφ' οὗ συμβαίνει ⟨ὠφελεῖσθαι, ὡς τὴν ἀρετήν, τὸ δὲ καθ' ὃ συμβαίνει⟩, ὡς τὴν πρᾶξιν τὴν κατ' ἀρετήν· ὑφ' οὗ δέ, ὡς τὸν σπουδαῖον τὸν μετέχοντα τῆς ἀρετῆς.

Ἄλλως δὲ οὕτως ἰδίως ὁρίζονται τὸ ἀγαθόν· "τὸ τέλειον κατὰ φύσιν λογικοῦ [ἢ] ὡς λογικοῦ." Τοιοῦτο δ' εἶναι τὴν ἀρετήν· ὡς ⟨δὲ⟩ μετέχοντα ⟨αὐτῆς,⟩ τάς τε πράξεις τὰς κατ' ἀρετὴν καὶ τοὺς σπουδαίους εἶναι· ἐπιγεννήματα δὲ τήν τε χαρὰν καὶ τὴν εὐφροσύνην καὶ τὰ παραπλή-
95 σια. Ὡσαύτως δὲ καὶ ⟨ἐπὶ⟩ τῶν κακιῶν τὸ μέν ⟨τι⟩ εἶναι ⟨πρῶτον, οἷον⟩ ἀφροσύνην, δειλίαν, ἀδικίαν, ⟨ἀκολασίαν⟩ καὶ τὰ παραπλήσια· μετέχοντα δὲ κακίας τάς τε πράξεις τὰς κατὰ κακίαν καὶ τοὺς φαύλους· ἐπιγεννήματα δὲ τήν

4–p. 501.1 *SVF* III Nr. 76. Cf. S.E. *Adv. math.* 11.22–28, 30 et 33; *P.h.* 3.169–171 (= *SVF* III Nr. 75); *Suda,* A 118; J. Mansfeld, *Mnemos.* 42 (1989) 487–491

1 ἐν ταῖς πρώταις **D**, Stephanus : om. **BPF** | ἀκρασίαν δὲ **D**, Stephanus : καὶ ἀκρασίαν **BPF** **2** ταύτας **PD** : ταύταις **B**[2] (ταῦτα **B**[1]) **F** **5** τε **BP** : τὸ **F** **7** μὲν add. ab Arnim **7–8** ὠφελεῖσθαι, ὡς τὴν ἀρετήν, τὸ δὲ καθ' ὃ συμβαίνει e S.E. suppl. Heine (627), agn. ab Arnim (lac indic. iam Lipsius) **12** ἢ del. Rossi (45, p. 136) **13** ὡς **BPF** : ἧς Reiske : ὥσ⟨τε⟩ ab Arnim | δὲ add. S. Ebbesen (per litteras, 1977) | αὐτῆς addidi **14** ἐπιγενήματα **BP**[1]**F** (corr. **P**[4]) **15** τήν τε χαρὰν – **19** ἐπιγεννήματα in mg super. **F**[2] **16** ἐπὶ addidi | τῶν κακιῶν **BP F** : τῶν κακῶν ab Arnim | τι addidi **17** πρῶτον, οἷον addidi conl. 7.93 | ἀκολασίαν addidi **18** κακίας ab Arnim : κακιῶν **BPF**[2] **19** τοὺς **BP** : τὰς **F**[2] | ἐπιγενήματα **P**[1], corr **P**[4] | δὲ om. **F**[2]

τε δυσθυμίαν καὶ τὴν δυσφροσύνην καὶ τὰ ὅμοια.

Ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι περὶ ψυχήν, τὰ δ' ἐκτός, τὰ δ' οὔτε περὶ ψυχὴν οὔτε ἐκτός. Τὰ μὲν περὶ ψυχὴν ἀρετὰς καὶ τὰς κατὰ ταύτας πράξεις· τὰ δ' ἐκτὸς τό τε σπουδαίαν ἔχειν πατρίδα καὶ σπουδαῖον φίλον καὶ τὴν τούτων εὐδαιμονίαν· τὰ δὲ οὔτε ἐκτὸς οὔτε περὶ ψυχὴν τὸ αὐτὸν
ἑαυτῷ εἶναι σπουδαῖον καὶ εὐδαίμονα. Ἀνάπαλιν δὲ καὶ 96
τῶν κακῶν τὰ μὲν περὶ ψυχὴν εἶναι, τὰς κακίας καὶ τὰς κατ' αὐτὰς πράξεις· τὰ δ' ἐκτὸς τὸ ἄφρονα πατρίδα ἔχειν καὶ ἄφρονα φίλον καὶ τὴν τούτων κακοδαιμονίαν· τὰ δὲ οὔτε ἐκτὸς οὔτε περὶ ψυχὴν τὸ αὐτὸν ἑαυτῷ εἶναι φαῦλον καὶ κακοδαίμονα.

Ἔτι τῶν ἀγαθῶν τὰ μὲν εἶναι τελικά, τὰ δὲ ποιητικά, τὰ δὲ τελικὰ καὶ ποιητικά. Τὸν μὲν οὖν φίλον καὶ τὰς ἀπ' αὐτοῦ γινομένας ὠφελείας ποιητικὰ εἶναι ἀγαθά· θάρσος δὲ καὶ φρόνημα καὶ ἐλευθερίαν καὶ τέρψιν καὶ εὐφροσύνην καὶ ἀλυπίαν καὶ πᾶσαν τὴν κατ' ἀρετὴν πρᾶξιν τελικά.

Ποιητικὰ δὲ καὶ τελικὰ εἶναι ἀγαθὰ ⟨τὰς ἀρετάς⟩· κα- 97
θὸ μὲν γὰρ ἀποτελοῦσι τὴν εὐδαιμονίαν ποιητικά ἐστιν ἀγαθά· καθὸ δὲ συμπληροῦσιν αὐτήν, ὥστε μέρη αὐτῆς

2–12 *SVF* III Nr. 97a. Cf. *Suda*, A 118 **13–p. 502.9** *SVF* III Nr. 107. Cf. *Suda*, A 118

2 τὰ δ' ἐκτὸς om. **F** **4** κατ' αὐτὰς **P**^{1} (ss. γρ. κατὰ ταύτας **P**^{4}) **4** τό τε σπουδαίαν – **7** ἑαυτὸν **B**^{2} in lac. **6** οὔτ(ε)^1 **FP**^{4}**H** : οὐκ **B**^{2}**P**^{1}**Q** **7** ἑαυτῷ **FP**^{4}**HD** : ἑαυτὸν **BP**^{1}**Q** **7** σπουδαῖον – **11** εἶναι in mg **F**^{2} **8** κακῶν Rossi (46, p. 137) : κακιῶν **BPF** | μὲν om. **F**^{2} | τὰς bis om. **F**^{2} **11** ἑαυτῷ **F**^{2}**P**^{4}**H** : ἑαυτὸν **BP**^{1}**Q** **13** εἶναι om. **F** **14** ὑπ' **F** et *Suda* **15** προσγινομένας *Suda* **19** τελικὰ εἶναι ἀγαθὰ **BP** : ἀγαθὰ καὶ τελικὰ **F** | τὰς ἀρετὰς e Stob. (*SVF* III Nr. 106) add. Lipsius (*Manuduct. ad philos. Stoic.*, II diss. 22) **20** ἀποτελοῦσι **BPF** : ποιοῦσι *Suda* **21** αὐτὸν **F**

γίνεσθαι, τελικά. Ὁμοίως δὲ καὶ τῶν κακῶν τὰ μὲν εἶναι τελικά, τὰ δὲ ποιητικά, τὰ δὲ ἀμφοτέρως ἔχοντα. Τὸν μὲν ἐχθρὸν καὶ τὰς ἀπ' αὐτοῦ γινομένας βλάβας ποιητικὰ ⟨κακὰ⟩ εἶναι· κατάπληξιν δὲ [εἶναι] καὶ ταπεινότητα καὶ δουλείαν καὶ ἀτερπίαν καὶ δυσθυμίαν καὶ περιλυπίαν καὶ πᾶσαν τὴν κατὰ κακίαν πρᾶξιν τελικά· ἀμφοτέρως δὲ ἔχοντα ⟨τὰς κακίας⟩· ἐπεὶ καθὸ μὲν ἀποτελοῦσι τὴν κακοδαιμονίαν ποιητικά ἐστι· καθὸ δὲ συμπληροῦσιν αὐτήν, ὥστε μέρη αὐτῆς γίνεσθαι, τελικά.

98 Ἔτι τῶν περὶ ψυχὴν ἀγαθῶν τὰ μέν εἰσιν ἕξεις, τὰ δὲ διαθέσεις, τὰ δ' οὔτε ἕξεις οὔτε διαθέσεις· διαθέσεις μὲν αἱ ἀρεταί, ἕξεις δὲ τὰ ἐπιτηδεύματα, οὔτε δὲ ἕξεις οὔτε διαθέσεις αἱ ἐνέργειαι. Κοινῶς δὲ τῶν ἀγαθῶν μικτὰ μέν ἐστιν εὐτεκνία καὶ εὐγηρία, ἁπλοῦν δ' ἐστὶν ἀγαθὸν ἐπιστήμη. Καὶ ἀεὶ μὲν παρόντα αἱ ἀρεταί, οὐκ ἀεὶ δέ, οἷον χαρά, περιπάτησις.

Πᾶν δ' ἀγαθὸν συμφέρον εἶναι καὶ δέον καὶ λυσιτελὲς καὶ χρήσιμον καὶ εὔχρηστον καὶ καλὸν καὶ ὠφέλιμον καὶ **99** αἱρετὸν καὶ δίκαιον. Συμφέρον μέν, ὅτι φέρει τοιαῦτα ὧν συμβαινόντων ὠφελούμεθα· δέον δέ, ὅτι συνέχει ἐν οἷς χρή· λυσιτελὲς δέ, ὅτι λύει τὰ τελούμενα εἰς αὐτό, ὥστε τὴν ἀντικατάλλαξιν τὴν ἐκ τῆς πραγματείας ὑπεραίρειν τῇ ὠφελείᾳ· χρήσιμον δέ, ὅτι χρείαν ὠφελείας παρέχεται· εὔχρηστον δέ, ὅτι τὴν χρείαν ἐπαινετὴν ἀπεργάζεται·

10–13 αἱ ἐνέργειαι : *SVF* III Nr. 105 **13–16** *SVF* III Nr. 102 **17–p. 503.4** *SVF* III Nr. 87

1 γίνεσθαι **P**^{4}**HD** et *Frob.* : γενέσθαι **BP**^{1}**QF** et *Suda* **1** ὁμοίως – **9** τελικά in mg infer. **F**^{2} **3** (ποιητι)κὰ – **4** εἶ(ναι)^1 **B**^{2} in lac. **4** κακὰ addidi | εἶναι^2 del. *Aldobr.* **7** τὰς κακίας suppl. Cobet **10** ἔτι **PF** : ἔστι **B** **11** τὰ – διαθέσεις^1 om. **B** **17** καὶ λυσιτελὲς ss. **F**^{2} **18** καὶ καλὸν om. **F** **19** τὰ τοιαῦτα **F** **20** post συμβαινόντων add. μὲν **BP**^{1} : om. **F**, expunxere **P**^{4}**H**

καλὸν δέ, ὅτι συμμέτρως ἔχει πρὸς τὴν ἑαυτοῦ χρείαν· ὠφέλιμον δέ, ὅτι τοιοῦτόν ἐστιν ὥστε ὠφελεῖν· αἱρετὸν δέ, ὅτι τοιοῦτόν ἐστιν ὥστε εὐλόγως αὐτὸ αἱρεῖσθαι· δίκαιον δέ, ὅτι νόμῳ ἐστὶ σύμφωνον καὶ κοινωνίας ποιητικόν.

Καλὸν δὲ λέγουσι τὸ τέλειον ἀγαθὸν παρὰ τὸ πάντας 100 ἀμπέχειν τοὺς ἐπιζητουμένους ἀριθμοὺς ὑπὸ τῆς φύσεως ἢ τὸ τελέως σύμμετρον. Εἴδη δὲ εἶναι τοῦ καλοῦ τέτταρα· δίκαιον, ἀνδρεῖον, κόσμιον, ἐπιστημονικόν· ἐν γὰρ τοῖσδε τὰς καλὰς πράξεις συντελεῖσθαι. Ἀνὰ λόγον δὲ καὶ τοῦ αἰσχροῦ εἴδη εἶναι τέτταρα· τό τε ἄδικον καὶ τὸ δειλὸν καὶ ἄκοσμον καὶ ἄφρον. Λέγεσθαι δὲ τὸ καλὸν μοναχῶς μὲν τὸ ἐπαινετοὺς παρεχόμενον τοὺς ἔχοντας ⟨ἢ⟩ ἀγαθὸν ἐπαίνου ἄξιον· ἑτέρως δὲ τὸ εὖ πεφυκὸς πρὸς τὸ ἴδιον ἔργον· ἄλλως δὲ τὸ ἐπικοσμοῦν, ὅταν λέγωμεν μόνον τὸν σοφὸν ἀγαθὸν ⟨καὶ⟩ καλὸν εἶναι.

Λέγουσι δὲ μόνον τὸ καλὸν ἀγαθὸν εἶναι, καθά φησιν 101 Ἑκάτων ἐν τῷ τρίτῳ Περὶ ἀγαθῶν καὶ Χρύσιππος ἐν τοῖς Περὶ τοῦ καλοῦ. Εἶναι δὲ τοῦτο ἀρετὴν καὶ τὸ μετέχον ἀρετῆς, ᾧ ἐστιν ἴσον τὸ πᾶν ἀγαθὸν καλὸν εἶναι καὶ τὸ ἰσοδυναμεῖν τῷ καλῷ τὸ ἀγαθόν, ὅπερ ἴσον ἐστὶ τούτῳ.

5–15 *SVF* III Nr. 83. Cf. *Suda,* K 246 **16–p. 504.2** ἐστί : *SVF* III Nr. 30; Hecatonis Fr. 4 Gomoll

3 αὐτὸ om. **B** **6** ἀμπέχειν scripsi : ἀπέχειν **BPFD** : περιέχειν Usener **7** εἶναι om. **F** **8** κόσμιον **D**, *Suda* et *Frob.* : κοσμικὸν **BPF** **9** ἀνάλογον **BPF** **10** εἶναι εἴδη **F** **12** ἢ add. ab Arnim **13** τοῦ εὖ **B** | πεφυκὸς ab Arnim : πεφυκέναι **BPF** **14** λέγομεν **BF** **14–15** τὸν σοφὸν μόνον **F** **15** καὶ e *Suda* add. Huebner **17** τῶ om. **F** **17** καὶ χρύσιππος – **18** τοῦ καλοῦ in mg **F**[2] **19** ᾧ **P** : ὅ **BFD** : ὅπερ (et τῶ pro τὸ[1]) *Suda* | καὶ καλὸν **F** **20** ἰσοδυναμεῖν **FP**[4]**H** : ἰσοδύναμον **BP**[1]**QD** et *Suda* | τῶ καλῶ τὸ ἀγαθὸν **F** : τὸ καλὸν τῶ ἀγαθῶ **BPD** et *Suda* | τοῦτο **F**

Εἰ γάρ ⟨τί⟩ ἐστι καλόν, ἀγαθόν ἐστιν· ἔστι δὲ ⟨ἀρετὴ⟩ καλόν· ἀγαθὸν ἄρα ἐστί. Δοκεῖ δὲ ⟨αὐτοῖς⟩ πάντα τὰ ἀγαθὰ ἴσα εἶναι καὶ πᾶν ἀγαθὸν ἐπ' ἄκρον εἶναι αἱρετὸν καὶ μήτε ἄνεσιν μήτε ἐπίτασιν ἐπιδέχεσθαι.

Τῶν δὲ ὄντων φασὶ τὰ μὲν ἀγαθὰ εἶναι, τὰ δὲ κακά, τὰ
102 δὲ οὐδέτερα. Ἀγαθὰ μὲν οὖν τάς τε ἀρετάς, φρόνησιν, δικαιοσύνην, ἀνδρείαν, σωφροσύνην καὶ τὰ λοιπά· κακὰ δὲ τὰ ἐναντία, ἀφροσύνην, ἀδικίαν καὶ τὰ λοιπά. Οὐδέτερα δὲ ὅσα μήτε ὠφελεῖ μήτε βλάπτει, οἷον ζωή, ὑγίεια, ἡδονή, κάλλος, ἰσχύς, πλοῦτος, δόξα, εὐγένεια· καὶ τὰ τούτοις ἐναντία, θάνατος, νόσος, πόνος, αἶσχος, ἀσθένεια, πενία, ἀδοξία, δυσγένεια καὶ τὰ παραπλήσια, καθά φησιν Ἑκάτων ἐν ἑβδόμῳ Περὶ τέλους καὶ Ἀπολλόδωρος ἐν τῇ Ἠθικῇ καὶ Χρύσιππος. Μὴ γὰρ εἶναι ταῦτα ἀγαθά,
103 ἀλλ' ἀδιάφορα, κατ' εἶδος προηγμένα. Ὡς γὰρ ἴδιον θερμοῦ τὸ θερμαίνειν, οὐ τὸ ψύχειν, οὕτω καὶ ἀγαθοῦ τὸ ὠφελεῖν, οὐ τὸ βλάπτειν· οὐ μᾶλλον δὲ ὠφελεῖ ἢ βλάπτει ὁ πλοῦτος καὶ ἡ ὑγίεια· οὐκ ἄρα ἀγαθὸν οὔτε πλοῦτος οὔτε ὑγίεια. Ἔτι τέ φασιν, ᾧ ἔστιν εὖ καὶ κακῶς χρῆσθαι, τοῦτο οὐκ ἔστιν ἀγαθόν· πλούτῳ δὲ καὶ ὑγιείᾳ ἔστιν εὖ καὶ

2 Δοκεῖ – **4** ἐπιδέχεσθαι : *SVF* III Nr. 92 **5** Τῶν δὲ ὄντων – **19** ὑγίεια : *SVF* III Nr. 117. Cf. *Suda*, O 406 **5–p. 505.1** Hecatonis Fr. 2 Gomoll **8** Οὐδέτερα – **14** Χρύσιππος : *SVF* III Apollod. Nr. 14 **19** Ἔτι – **p. 505.2** εἶναι : Posidonii F 171 Kidd² = F 425a Theiler

1 εἰ scripsi : ἐπεὶ **BPFD** | τί addidi | καλόν scripsi : ἀγαθὸν **BPF** | ἀγαθόν scripsi : καλόν **BPF** | ἀρετὴ addidi **2** δὲ ss. **F²** | αὐτοῖς addidi **4** ἐπίστασιν **B** | δέχεσθαι ab Arnim **9** et **18** ὑγεία **PFD** et *Suda* | **10** δόξα **BPFD** et *Suda* : εὐδοξία *Frob.* alii **12** δυσγένεια in mg **F²** **12** καθά – **15** προηγμένα in mg super. **F²** **15** ἀλλὰ διάφορα **B FD** **17** ἢ ss. **P²** | βλάπτει ὁ in mg **F²** **19** ὑγεία **PD** | κακῶς corr. ex καλῶς **F²** | τούτω **P⁴D** **19** τοῦτο – **p. 505.1** χρῆσθαι in mg **F²** **20** ὑγεία **P¹FD** et *Suda*

κακῶς χρῆσθαι· οὐκ ἄρα ἀγαθὸν πλοῦτος καὶ ὑγίεια. Πο-
σειδώνιος μέντοι καὶ ταῦτά φησι τῶν ἀγαθῶν εἶναι. Ἀλλ'
οὐδὲ τὴν ἡδονὴν ἀγαθόν φασιν Ἑκάτων τε ἐν τῷ θ' Περὶ
ἀγαθῶν καὶ Χρύσιππος ἐν τοῖς Περὶ ἡδονῆς· εἶναι γὰρ καὶ
αἰσχρὰς ἡδονάς, μηδὲν δὲ αἰσχρὸν εἶναι ἀγαθόν. Ὠφε- 104
λεῖν δέ ἐστι κινεῖν ἢ ἴσχειν κατα ἀρετήν, βλάπτειν δὲ
κινεῖν ἢ ἴσχειν κατὰ κακίαν.

Διχῶς δὲ λέγεσθαι ἀδιάφορα· ἅπαξ μὲν τὰ μήτε πρὸς
εὐδαιμονίαν μήτε πρὸς κακοδαιμονίαν συνεργοῦντα, ὡς
ἔχει πλοῦτος, δόξα, ὑγίεια, ἰσχὺς καὶ τὰ ὅμοια· ἐνδέχεται
γὰρ καὶ χωρὶς τούτων εὐδαιμονεῖν, τῆς ποιᾶς αὐτῶν χρή-
σεως εὐδαιμονικῆς οὔσης ἢ κακοδαιμονικῆς. Ἄλλως δὲ
λέγεται ἀδιάφορα τὰ μήτε ὁρμῆς μήτε ἀφορμῆς κινητικά,
ὡς ἔχει τὸ ἀρτίας ἔχειν ἐπὶ τῆς κεφαλῆς τρίχας ἢ περιττάς,
ἢ ἐκτεῖναι τὸν δάκτυλον ἢ συστεῖλαι, τῶν προτέρων ἀδι-
αφόρων οὐκέθ' οὕτως λεγομένων· ὁρμῆς γάρ ἐστιν ἐκεῖνα
καὶ ἀφορμῆς κινητικά· διὸ τὰ μὲν αὐτῶν ἐκλέγεται, ⟨τὰ δὲ 105
ἀπεκλέγεται⟩, τῶν [δ'] ἑτέρων ἐπίσης ἐχόντων πρὸς αἵρε-
σιν καὶ φυγήν.

2 Ἀλλ' – **5** ἀγαθόν : *SVF* III Nr. 156; Hecatonis Fr. 5 Gomoll **5–7** *SVF* III Nr. 117 **8–19** *SVF* III Nr. 119. Cf. *Suda,* A 478

1 ὑγεία **P^{1}D** et *Suda* | ποσιδώνιος **B** **2** μέντοι **BPD** : δέ **F** | φησι καὶ ταῦτα **F** **3** τε **BP^{1}Q** : δὲ **FP^4** **3** ἐν – **4** ἀγαθῶν om. **F** **3** θ' **P^{2}Q** : θι **BP^1** : ιθ **DP^4**, *Frob.* alii **4** ἡδονῶν **F** **6** ἴσχειν **P^{4}H** et *Frob.* : ἔχειν **BP^{1}QD** : ἄγειν **F** **8** ἅπαξ δὲ τὰ **B** **8–9** πρὸς εὐδαιμονίαν : *Schol.* in mg **B^2** ἀλλ' ὁ ἀριστοτέλης φησὶν ἄνευ τῶν ἐκτὸς ἀγαθῶν μὴ εἶναι εὐδαιμονίαν **9** συνεργοῦντα post εὐδαιμονίαν **F** **10** καὶ om. **P^1** (add. **P^4**) | καὶ τὰ ὅμοια om. **F** **11** αὐτῷ **B** **12** ἄλλως τε **P^1** (corr. **P^4**) **16** διαλεγομένων **F** **17** αὐτῶν om. **F**, del. Cobet **17–18** τὰ δὲ ἀπεκλέγεται suppl. ab Arnim : τὰ δ' ἀποβάλλεται suppl. Reiske **18** τῶν οὐδετέρων **F** | δ' del. Menagius | τῶν πρὸς **B**

Τῶν ἀδιαφόρων τὰ μὲν λέγουσι προηγμένα, τὰ δὲ ἀποπροηγμένα· προηγμένα μὲν τὰ ἔχοντα ἀξίαν, ἀποπροηγμένα δὲ τὰ ἀπαξίαν ἔχοντα. Ἀξίαν δὲ τὴν μέν τινα λέγουσι σύμβλησιν πρὸς τὸν ὁμολογούμενον βίον, ἥτις ἐστὶ περὶ πᾶν ἀγαθόν· τὴν δὲ εἶναι μέσην τινὰ δύναμιν ἢ χρείαν συμβαλλομένην πρὸς τὸν κατὰ φύσιν βίον, ὅμοιον εἰπεῖν ἥντινα προσφέρεται πρὸς τὸν κατὰ φύσιν βίον πλοῦτος ἢ ὑγίεια· τὴν δ' εἶναι ἀξίαν ἀμοιβὴν δοκιμαστοῦ, ἣν ἂν ὁ ἔμπειρος τῶν πραγμάτων τάξῃ, ὅμοιον εἰπεῖν ἀμείβεσθαι πυροὺς πρὸς τὰς ἐν ἡμιολίῳ ⟨μέρει⟩ κριθάς.

106 Προηγμένα μὲν οὖν εἶναι ἃ καὶ ἀξίαν ἔχει, οἷον ἐπὶ μὲν τῶν ψυχικῶν εὐφυΐαν, τέχνην, προκοπὴν καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν σωματικῶν ζωήν, ὑγίειαν, ῥώμην, εὐεξίαν, ἀρτιότητα, κάλλος καὶ τὰ παραπλήσια· ἐπὶ δὲ τῶν ἐκτὸς πλοῦτον, δόξαν, εὐγένειαν καὶ τὰ ὅμοια. Ἀποπροηγμένα δὲ ἐπὶ μὲν τῶν ψυχικῶν ἀφυΐαν, ἀτεχνίαν καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν σωματικῶν θάνατον, νόσον, ἀσθένειαν, καχεξίαν, πήρωσιν, αἶσχος καὶ τὰ ὅμοια· ἐπὶ δὲ τῶν ἐκτὸς πενίαν, ἀδοξίαν, δυσγένειαν καὶ τὰ παραπλήσια· οὔτε δὲ προήχθη οὔτε ἀποπροήχθη τὰ οὐδετέρως ἔχοντα.

1–10 *SVF* III Nr. 126. Cf. Stob. 2.7.7[f]; *Suda*, A 478 **11–20** *SVF* III Nr. 127. Cf. *Suda*, A 478

3 ἀπαξίαν J.A. Goerenz (ad Cic. *Acad.* I, p. 80) : ἀναξίαν **BPFD** et *Suda* **4** σύμβλησιν : *Schol.* in mg **B**[2] συνεργίαν, ἐκ τοῦ συμβάλλω **6** συμβαλλομένην **D**, *Frob.* : συλλαμβανομένην **BPF** et *Suda* **7** προσφέρεται **FDP**[4] : εἰσφέρεται **BP**[1] et *Suda* **10** ἐν ἡμιολίῳ ⟨μέρει⟩ scripsi post J. Kuehn (σὺν ἡμιολίῳ) et J. ab Arnim (ἡμιολίους) : σὺν ἡμιόνῳ **PFD** et *Suda* : συνημιονων **B** **11** ἔχει **FDP**[4] : ἔχειν **BP**[1] et *Suda* **13** εὐεξίαν – **14** κάλλος in mg **F**[2] **14** καὶ τὰ παραπλήσια **F** : om. **BPD** et *Suda* **16** δὲ ἀπὸ μὲν **B** **17** καχεξίαν – **18** αἶσχος in mg **F**[2] **19** δὲ om. **F** **20** οὐδετέρως **FD** et **P**[4] γρ. : μηδετέρως **P**[1] et *Suda* : μηδὲ γήρως **B**

Ἔτι τῶν προηγμένων τὰ μὲν δι’ αὑτὰ προῆκται, τὰ δὲ **107**
δι’ ἕτερα, τὰ δὲ καὶ δι’ αὑτὰ καὶ δι’ ἕτερα. Δι’ αὑτὰ μὲν
εὐφυΐα, προκοπὴ καὶ τὰ ὅμοια· δι’ ἕτερα δὲ πλοῦτος, εὐ-
γένεια καὶ τὰ ὅμοια· δι’ αὑτὰ δὲ καὶ δι’ ἕτερα ἰσχύς,
εὐαισθησία, ἀρτιότης. Δι’ αὑτὰ μέν, ὅτι κατὰ φύσιν ἐστί·
δι’ ἕτερα δέ, ὅτι περιποιεῖ χρείας οὐκ ὀλίγας. Ὁμοίως δὲ
ἔχει καὶ τὸ ἀποπροηγμένον κατὰ τὸν ἐναντίον λόγον.

Ἔτι δὲ καθῆκόν φασιν εἶναι ὃ πραχθὲν εὔλογόν [τε]
ἴσχει ἀπολογισμόν, οἷον τὸ ἀκόλουθον ἐν ζωῇ, ὅπερ καὶ
ἐπὶ τὰ φυτὰ καὶ ζῷα διατείνει· ὁρᾶσθαι γὰρ κἀπὶ τούτων
καθήκοντα. Κατωνομάσθαι δὲ οὕτως ὑπὸ πρώτου Ζήνω- **108**
νος τὸ καθῆκον, ἀπὸ τοῦ κατά τινας ἥκειν τῆς προσονο-
μασίας εἰλημμένης. Ἐνέργημα δὲ αὐτὸ εἶναι ταῖς κατὰ
φύσιν κατασκευαῖς οἰκεῖον.

Τῶν γὰρ καθ’ ὁρμὴν ἐνεργουμένων τὰ μὲν καθήκοντα
εἶναι, τὰ δὲ παρὰ τὸ καθῆκον, ⟨τὰ δὲ οὔτε καθήκοντα οὔτε
παρὰ τὸ καθῆκον⟩. Καθήκοντα μὲν οὖν εἶναι ὅσα λόγος
αἱρεῖ ποιεῖν, ὡς ἔχει γονεῖς τιμᾶν, ἀδελφούς, πατρίδα,
συμπεριφέρεσθαι φίλοις· παρὰ τὸ καθῆκον δέ, ὅσα μὴ αἱ-
ρεῖ λόγος, ὡς ἔχει τὰ τοιαῦτα, γονέων ἀμελεῖν, ἀδελφῶν
ἀφροντιστεῖν, φίλοις μὴ συνδιατίθεσθαι, πατρίδα ὑπερ-
ορᾶν καὶ τὰ παραπλήσια· οὔτε δὲ καθήκοντα οὔτε παρὰ **109**

1–7 *SVF* III Nr. 135. Cf. *Suda,* A 478 **8–14** *SVF* I Nr. 230; III Nr. 493. Cf. *Suda,* K 77 **15–p. 508.3** *SVF* III Nr. 495

1 δ’ αὐτὰ **B** | προήχθη **F** **2** καὶ[1] om. **F** | καὶ δι’[4] **F** **7** ἔχειν **B** | ἀποπροηγμένον **P[2]QD** : προηγμένον **BP[1]F** : προηγούμενον *Suda* **8** πραχθὲν Menagius (e S.E. *Adv. math.* 7.158 et Stob. 2.7.8) : προαχθὲν **BPFD** | τε del. ab Arnim : τιν’ Huebner **16** τὰ[1] **P[2]QFD** : τὸ **BP[1]** **16** τὰ δὲ οὔτε – **17** τὸ καθῆκον suppl. Menagius **17** καθήκοντα **PFD** : τὰ **B** **17–18** λόγῳ πρέπει ποιεῖν *Suda* **18** αἱρεῖ **PFD** : ἐρεῖ (hic et v. 19, p. 508.1) **B** **20** γοναίων **B** | ἀδελφῶν **BP** et *Suda* : συγγενῶν **FD** **21** πατρίδος *Suda*

τὸ καθῆκον, ὅσα οὔτε αἱρεῖ λόγος πράττειν οὔτε ἀπαγορεύει, οἷον κάρφος ἀνελέσθαι, γραφεῖον κρατεῖν ⟨ἢ⟩ στλεγγίδα καὶ τὰ ὅμοια τούτοις.

Καὶ τὰ μὲν εἶναι καθήκοντα ἄνευ περιστάσεως, τὰ δὲ περιστατικά. Καὶ ἄνευ περιστάσεως τάδε· ὑγιείας ἐπιμελεῖσθαι καὶ αἰσθητηρίων καὶ τὰ ὅμοια· κατὰ περίστασιν δὲ τὸ πηροῦν ἑαυτὸν καὶ τὴν κτῆσιν διαρριπτεῖν. Ἀνὰ λόγον δὲ καὶ τῶν παρὰ τὸ καθῆκον. Ἔτι τῶν καθηκόντων τὰ μὲν ἀεὶ καθήκει, τὰ δὲ οὐκ ἀεί. Καὶ ἀεὶ μὲν καθήκει τὸ κατ' ἀρετὴν ζῆν, οὐκ ἀεὶ δὲ τὸ ἐρωτᾶν καὶ ἀποκρίνεσθαι καὶ περιπατεῖν καὶ τὰ ὅμοια. Ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν
110 παρὰ τὸ καθῆκον. Ἔστι δὲ καὶ ἐν τοῖς μέσοις τι καθῆκον, ὡς τὸ πείθεσθαι τοὺς παῖδας τοῖς παιδαγωγοῖς.

Φασὶ δὲ τὴν ψυχὴν εἶναι ὀκταμερῆ· μέρη γὰρ αὐτῆς τά τε πέντε αἰσθητήρια καὶ τὸ φωνητικὸν μόριον καὶ τὸ διανοητικόν, ὅπερ ἐστὶν αὐτὴ ἡ διάνοια, καὶ τὸ γεννητικόν. Ἐκ δὲ τῶν ψευδῶν ἐπιγίνεσθαι τὴν διαστροφὴν ἐπὶ τὴν διάνοιαν, ἀφ' ἧς πολλὰ πάθη βλαστάνειν καὶ ἀκαταστασίας αἴτια. Ἔστι δὲ αὐτὸ τὸ πάθος κατὰ Ζήνωνα ἡ ἄλογος καὶ παρὰ φύσιν ψυχῆς κίνησις ἢ ὁρμὴ πλεονάζουσα.

4–13 *SVF* III Nr. 496. Cf. *Suda,* K 77 **14–16** *SVF* II Nr. 828. Cf. *Suda,* Π 27; DL 7.157 **17** Ἐκ δὲ – **p. 509.3** ἡδονήν : *SVF* III Nr. 412; I Nrr. 205 et 211

1 λόγος **P^{2}QD** : λόγω **BP^{1}F** | ἀπαγορεύει **P^{2}QD** : ἀπαγορεύειν **BP^{1}F** **2** ἢ add. Cobet **3** στελγγίδα **B** **4** καθήκοντα : ἐθήκοντα **P^{1}Q** (corr. **P^{4}H**) | ἄνευ περιστάσεως om. **F** **4** τὰ δὲ – **5** καὶ in mg **F^{2}** **5** ἁγνείας *Suda* **7** κτίσιν **F** | διαρίπτειν **B** | ἀνάλογον **F** **9–10** τὸ κατ' ἀρετὴν ζῆν, οὐκ ἀεὶ δὲ **D**, Stephanus : om. **BPF** et *Suda* **10** ἀποκρίνεσθαι **BPFD** : πυνθάνεσθαι *Suda* **13** πίθεσθαι **B** **16** post γεννητικὸν lac. indicavit Reiske (e.g.: Τῶν δὲ φαντασιῶν αἱ μὲν ἀληθεῖς, αἱ δὲ ψευδεῖς ...) **17** ἐπιγίγνεσθαι **PF** **18** ⟨ἀνίας⟩ καὶ Reiske : ⟨ἃ⟩ καὶ Wachsmuth **19** ἡ **BP** : ἢ **F**

Τῶν δὲ παθῶν τὰ ἀνωτάτω, καθά φησιν Ἑκάτων ἐν τῷ
δευτέρῳ Περὶ παθῶν καὶ Ζήνων ἐν τῷ Περὶ παθῶν, εἶναι
γένη τέτταρα, λύπην, φόβον, ἐπιθυμίαν, ἡδονήν. Δοκεῖ δ' **111**
αὐτοῖς τὰ πάθη κρίσεις εἶναι, καθά φησι Χρύσιππος ἐν τῷ
Περὶ παθῶν· ἥ τε γὰρ φιλαργυρία ὑπόληψίς ἐστι τοῦ τὸ
ἀργύριον καλὸν εἶναι, καὶ ἡ μέθη δὲ καὶ ἡ ἀκολασία
ὁμοίως καὶ τὰ ἄλλα.

Καὶ τὴν μὲν λύπην εἶναι συστολὴν ἄλογον· εἴδη δὲ
αὐτῆς ἔλεον, φθόνον, ζῆλον, ζηλοτυπίαν, ἄχθος, ἐνό-
χλησιν, ἀνίαν, ὀδύνην, σύγχυσιν. Ἔλεον μὲν οὖν εἶναι
λύπην ὡς ἐπὶ ἀναξίως κακοπαθοῦντι, φθόνον δὲ λύπην
ἐπ' ἀλλοτρίοις ἀγαθοῖς, ζῆλον δὲ λύπην ἐπὶ τῷ ἄλλῳ
παρεῖναι ὧν αὐτὸς ἐπιθυμεῖ, ζηλοτυπίαν δὲ λύπην ἐπὶ τῷ
καὶ ἄλλῳ παρεῖναι ἃ καὶ αὐτὸς ἔχει, | ἄχθος δὲ λύπην **112**
βαρύνουσαν, ἐνόχλησιν λύπην στενοχωροῦσαν καὶ δυσ-
χωρίαν παρασκευάζουσαν, ἀνίαν λύπην ἐκ διαλογισμῶν
μένουσαν ἢ ἐπιτεινομένην, ὀδύνην λύπην ἐπίπονον, σύγ-
χυσιν λύπην ἄλογον, ἀποκναίουσαν καὶ κωλύουσαν τὰ
παρόντα συνορᾶν.

Ὁ δὲ φόβος ἐστὶ προσδοκία κακοῦ. Εἰς δὲ τὸν φόβον
ἀνάγεται καὶ ταῦτα· δεῖμα, ὄκνος, αἰσχύνη, ἔκπληξις, θό-
ρυβος, ἀγωνία. Δεῖμα μὲν οὖν ἐστι φόβος δέος ἐμποιῶν,

1–3 Hecatonis Fr. 9 Gomoll **3** Δοκεῖ – **7** *SVF* III Nr. 456 **8–19** *SVF* III Nr. 412 **20–p. 510.4** *SVF* III Nr. 407. Cf. *Suda*, Φ 559

1 καθά – **2** παθῶν in mg super. F^2 **4** καθά – **5** παθῶν in mg F^2 **10** ἀνίαν P^4HD : ἄνοιαν BP^1QF et *Suda* | ἔλαιον **B** | οὖν om. **F** **13** δι' ὧν **B** **14** καὶ[1] om. **F** | ἃ **D** : ὧν **BPF** | καὶ[2] ss. F^2 **15** δυσχέρειαν coni. Reiske **16** ἀνίαν P^4HD : ἄνοιαν BP^1QF **18** ἀποκναίουσαν P^4H : ἀποκαίουσαν F^1 : ἀποκλείουσαν P^1QF^2D et *Suda* : ἀποκλύουσαν **B** | καὶ κωλύουσαν **PF** et *Suda* : om. **BD** **22** οὖν ss. F^2

αἰσχύνη δὲ φόβος ἀδοξίας, ὄκνος δὲ φόβος μελλούσης
ἐνεργείας, ἔκπληξις δὲ φόβος ἐκ φαντασίας ἀσυνήθους
113 πράγματος, | θόρυβος δὲ φόβος μετὰ κατεπείξεως φωνῆς,
ἀγωνία δὲ ⟨φόβος ἀδήλου πράγματος⟩.
Ἡ δὲ ἐπιθυμία ἐστὶν ἄλογος ὄρεξις, ὑφ' ἣν τάττεται
καὶ ταῦτα· σπάνις, μῖσος, φιλονεικία, ὀργή, ἔρως, μῆνις,
θυμός. Ἔστι δὲ ἡ μὲν σπάνις ἐπιθυμία τις ἐν ἀποτεύξει
καὶ οἷον κεχωρισμένη ἐκ τοῦ πράγματος, τεταμένη δὲ δια-
κενῆς ἐπ' αὐτὸ καὶ σπωμένη· μῖσος δέ ἐστιν ἐπιθυμία τις
τοῦ κακῶς εἶναί τινι μετὰ προσκοπῆς τινος καὶ παρατά-
σεως· φιλονεικία δὲ ἐπιθυμία τις περιαιρέσεως· ὀργὴ δὲ
ἐπιθυμία ⟨τις⟩ τιμωρίας τοῦ δοκοῦντος ἠδικηκέναι οὐ
προσηκόντως· ἔρως δέ ἐστιν ἐπιθυμία τίς ⟨τινος⟩ ὥσπερ
σπουδαίου· ἔστι γὰρ ἐπιβολὴ φιλοποιΐας διὰ κάλλος ἐμ-
114 φαινόμενον. Μῆνις δέ ἐστιν ὀργή τις πεπαλαιωμένη καὶ
ἐπίκοτος, ἐπιτηρητικὴ δὲ ⟨τιμωρίας⟩, ὅπερ ἐμφαίνεται διὰ
τῶνδε·

5–p. 511.3 *SVF* III Nr. 396. Cf. *Suda*, E 2341

3 φόβος **D** et *Suda* : om. **BPF** | κατεπείξεως **PB** (κατεπήξεως) et *Suda* : ἐκπλήξεως **F** : καταπλήξεως **D** **4** ἀγωνία δὲ **D** et Stephanus : om. **BPF** | φόβος ἀδήλου πράγματος Stephanus e *Suda* : om. **BPF** et **D** (spatio relicto) **9** περισπωμένη *Suda* **10** τοῦ κακῶσαί τινα *Suda* | μετὰ – προτάσεως in mg super. **F**^{2} | προσκοπῆς **BP**^{1}**Q** et *Suda*, Madvig, Reiske : προκοπῆς **F**^{2}**P**^{4}**HD** | παρατάσεως **P**^{4}**H** : προστάσεως **BP**^{1}**Q D** et *Suda* : προτάσεως **F**^{2} **11** φιλονικία **B** | περιαιρέσεως Madvig (716), ab Arnim : περὶ αἱρέσεως **BPFD** **12** τις addidi **13–14** ⟨τινος⟩ ὥσπερ σπουδαίου scripsi post Jo. Madvig (ὥσπερ σπουδαίου) : οὐχὶ **P**^{1} (οὐχ ἡ **B**, οὐχ ἢ **P**^{2}**FD**) περὶ σπουδαίους **BPFD** : οὐ περὶ σπουδαίου πράγματος *Suda* **14** ἔστι **F** et *Suda* : ἐστίν· ἔστι **BPD** | φιλοποιΐας Stephanus (ex DL 7.130 et Andronico = *SVF* III Nr. 398) : φιλοπονίας **BPFD** et *Suda* **15** τις om. **F** **16** ἐπίκοτος **FP**^{4}**H** et *Suda* : ἐπίσκοτος **BP**^{1}**QD** : corruptum ab Arnim | ἐπιτηριτικὴ **B** | τιμωρίας addidi (conl. Stob. 2.7.10^c = *SVF* III Nr. 395)

εἴ περ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,
ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ·

ὁ δὲ θυμός ἐστιν ὀργὴ ἀρχομένη.

Ἡδονὴ δέ ἐστιν ἄλογος ἔπαρσις ἐφ' αἱρετῷ δοκοῦντι ὑπάρχειν, ὑφ' ἣν τάττεται κήλησις, ἐπιχαιρεκακία, τέρψις, διάχυσις. Κήλησις μὲν οὖν ἐστιν ἡδονὴ δι' ὤτων κατακηλοῦσα· ἐπιχαιρεκακία δὲ ἡδονὴ ἐπ' ἀλλοτρίοις κακοῖς· τέρψις δέ, οἷον τρέψις, προτροπή τις ψυχῆς ἐπὶ τὸ ἀνειμένον· διάχυσις δὲ ἀνάλυσις ἀρετῆς.

Ὡς δὲ λέγεταί τινα ἐπὶ τοῦ σώματος ἀρρωστήματα, **115** οἷον ποδάγρα καὶ ἀρθρίτιδες, οὕτω κἀπὶ τῆς ψυχῆς φιλοδοξία καὶ φιληδονία καὶ τὰ παραπλήσια. Τὸ γὰρ ἀρρώστημά ἐστι νόσημα μετὰ ἀσθενείας, τὸ δὲ νόσημα οἴησις σφόδρα δοκοῦντος αἱρετοῦ. Καὶ ὡς ἐπὶ τοῦ σώματος εὐεμπτωσίαι τινὲς λέγονται, οἷον κατάρρους καὶ διάρροια, οὕτω κἀπὶ τῆς ψυχῆς εἰσιν εὐκαταφορίαι, οἷον φθονερία, ἀνελεημοσύνη, ἔριδες καὶ τὰ παραπλήσια.

Εἶναι δὲ καὶ εὐπαθείας φασὶ τρεῖς, χαράν, εὐλάβειαν, βούλησιν. Καὶ τὴν μὲν χαρὰν ἐναντίαν φασὶν εἶναι [τῇ **116** λύπῃ] τῇ ἡδονῇ, οὖσαν εὔλογον ἔπαρσιν· τὴν δὲ εὐλά-

1–2 *Iliad.* 1.81–82 **4–9** *SVF* III Nr. 400. Cf. *Suda,* Η 97 **10–17** *SVF* III Nr. 422. Cf. *Suda,* Α 3997 **18–p. 512.8** *SVF* III Nr. 431. Cf. *Suda,* Ε 3633

1 τε διὰ χόλον **F** | καταπέμψῃ $\mathbf{B^1F}$ **2** ἀλλά γε $\mathbf{P^2D}$ **5** ὑφ' *Suda,* Stephanus : ἐφ' **BPFD** **7** κατακηλοῦσα *Suda,* Stephanus : κατακλῶσα **BPFD** **8** τρέψις $\mathbf{BP^4HD}$ et *Suda* : τέρψις $\mathbf{P^1F}$ **11** ποδάγρα $\mathbf{P^5}$ et *Frob.* : ποδάγραι $\mathbf{BP^1FD}$ **12** παραπλήσια **BPD** : ὅμοια **F** **14** τοῦ $\mathbf{BP^4HD}$: om. $\mathbf{P^1QF}$ et *Suda* **16** οὕτως καὶ ἐπὶ **B** | φθονερία $\mathbf{BP^1QD}$ et *Suda* : φθόνοι $\mathbf{FP^4H}$ **17** ἀνελεημοσύνη $\mathbf{B^2D}$: ἐλαιμοσύνη $\mathbf{P^2Q}$, ἐλεημοσύνη *Suda* : om. **F**, expunxere $\mathbf{P^4H}$ | ἔριδες $\mathbf{FP^4HD}$: om. $\mathbf{BP^1Q}$ et *Suda* **19** φασὶν om. **F** **19–20** τῇ λύπῃ secl. *Frob.* : τῇ λύπῃ καὶ *Suda* **20** τὴν ἡδονὴν $\mathbf{B^2}$ | εὐλάβειαν **PFD** et *Suda* : δειλίαν **B**

βειαν τῷ φόβῳ, οὖσαν εὔλογον ἔκκλισιν. Φοβηθήσεσθαι μὲν γὰρ τὸν σοφὸν οὐδαμῶς, εὐλαβηθήσεσθαι δέ. Τῇ δὲ ἐπιθυμίᾳ ἐναντίαν φασὶν εἶναι τὴν βούλησιν, οὖσαν εὔλογον ὄρεξιν. Καθάπερ οὖν ὑπὸ τὰ πρῶτα πάθη πίπτει τινά, τὸν αὐτὸν τρόπον καὶ ὑπὸ τὰς πρώτας εὐπαθείας· καὶ ὑπὸ μὲν τὴν βούλησιν εὔνοιαν, εὐμένειαν, ἀσπασμόν, ἀγάπησιν· ὑπὸ δὲ τὴν εὐλάβειαν αἰδῶ, ἁγνείαν· ὑπὸ δὲ τὴν χαρὰν τέρψιν, εὐφροσύνην, εὐθυμίαν.

117 Φασὶ δὲ καὶ ἀπαθῆ εἶναι τὸν σοφόν, διὰ τὸ ἀνέμπτωτον εἶναι. Εἶναι δὲ καὶ ἄλλον ἀπαθῆ, τὸν φαῦλον, ἐν ἴσῳ λεγόμενον τῷ σκληρῷ καὶ ἀτέγκτῳ. Ἄτυφόν τε εἶναι τὸν σοφόν· ἴσως γὰρ ἔχειν πρός τε τὸ ἔνδοξον καὶ τὸ ἄδοξον. Εἶναι δὲ καὶ ἄλλον ἄτυφον, κατὰ τὸν εἰκαῖον τεταγμένον, ὅς ἐστι φαῦλος. Καὶ αὐστηροὺς δέ φασιν εἶναι πάντας τοὺς σπουδαίους, τῷ μήτε αὐτοὺς πρὸς ἡδονὴν ὁμιλεῖν, μήτε παρ' ἄλλων τὰ πρὸς ἡδονὴν προσδέχεσθαι. Καὶ ἄλλον δὲ εἶναι αὐστηρόν, παραπλησίως λεγόμενον τῷ αὐστηρῷ οἴνῳ, ᾧ πρὸς μὲν φαρμακοποιΐαν χρῶνται, πρὸς δὲ πρόποσιν οὐ πάνυ.

9–11 ἀτέγκτῳ : *SVF* III Nr. 448. Cf. *Suda*, A 2873 **11–14** φαῦλος : *SVF* III Nr. 646 **14** Καὶ – **19** *SVF* III Nr. 637. Cf. *Suda*, A 4462

2 εὐλαβηθήσεσθαι **F** et *Suda* : εὐλαβήσεσθαι **BPD** **3** φασὶν om. **F** **4** πίπτειν **B** **12** ἴσως **BP**^{1}**QDΦ**7 et *Suda* : ἴσον **FP**^{4}**H** | τε om. **BD** **12** ἔνδοξον – **13** ἄλλον in mg **F**^{2} **12** τὸ^2 om. **B** **13** ἄλλον ἄτυφον **PF** : ἄλλας **B**, ἄλλους **D** | κατὰ τοῦ εἰκαίου Reiske | τεταμένος **F** **14** ὅς ἐστι – **15** σπουδαίους in mg **F**^{2} **15–16** τῶ μήτε αὐτοὺς πρὸς ἡδονὴν μήτε παρ' ἄλλου **B**^{2} in lac. **15** πρὸς **B**^{2}**PFDΦ** : κατὰ *Suda* **16** ὁμιλεῖν om. **B**^{2} spatio relicto **16** τὰ πρὸς – **p. 513.3** τῆς τὰ om. **B** 4 1/2 versuum relicto **16** πρὸς **PFD** : καθ' **Φ** et *Suda* | προσδέχεσθαι **DP**^{4}**H** : παρέχεσθαι **P**^{1}**FΦ** : παραδέχεσθαι *Suda* **18** πρὸς μὲν **PFDΦ** : κατὰ *Suda* | φαρμακοποιΐαν *Frob.* : φαρμακοποσίαν **PFΦ** : φαρμακοποσίας *Suda* **19** πόσιν **Φ**

Ἀκιβδήλους τοὺς σπουδαίους φυλακτικούς τε εἶναι 118
τοῦ ἐπὶ τὸ βέλτιον τὰ περὶ αὐτοὺς παριστάνειν, διὰ παρασκευῆς τῆς τὰ φαῦλα μὲν ἀποκρυπτούσης, τὰ δὲ ὑπάρχοντα ἀγαθὰ φαίνεσθαι ποιούσης. Ἀπλάστους ⟨τε⟩· περιῃρηκέναι γὰρ ἐν τῇ φωνῇ τὸ πλάσμα καὶ τῷ εἴδει. Ἀπράγμονάς τε εἶναι· ἐκκλίνειν γὰρ τὸ πράττειν τι παρὰ τὸ καθῆκον. Καὶ οἰνωθήσεσθαι μέν, οὐ μεθυσθήσεσθαι δέ. Ἔτι δὲ οὐδὲ μανήσεσθαι· προσπεσεῖσθαι μέντοι ποτὲ αὐτῷ φαντασίας ἀλλοκότους διὰ μελαγχολίαν ἢ λήρησιν, οὐ κατὰ τὸν τῶν αἱρετῶν λόγον, ἀλλὰ παρὰ φύσιν. Οὐδὲ μὴν λυπηθήσεσθαι τὸν σοφόν, διὰ τὸ τὴν λύπην ἄλογον εἶναι συστολὴν τῆς ψυχῆς, ὡς Ἀπολλόδωρός φησιν ἐν τῇ Ἠθικῇ.

Θείους τε εἶναι· ἔχειν γὰρ ἐν ἑαυτοῖς οἱονεὶ θεόν· τὸν 119
δὲ φαῦλον ἄθεον. Διττὸν δὲ εἶναι τὸν ἄθεον, τόν τε ἐναντίως τῷ θείῳ λεγόμενον καὶ τὸν ἐξουθενητικὸν τοῦ θείου· ὅπερ οὐκ εἶναι περὶ πάντα φαῦλον. Θεοσεβεῖς τε τοὺς σπουδαίους· ἐμπείρους γὰρ εἶναι τῶν περὶ θεοὺς νο-

1–5 τῷ εἴδει : *SVF* III Nr. 647. Cf. *Suda*, A 874 **5–6** *SVF* III Nr. 649. Cf. *Suda*, A 3683 **7** Καὶ – **10** παρὰ φύσιν : *SVF* III Nr. 644 **10–12** *SVF* III Apollod. Nr. 16 **14–17** *SVF* III Nr. 606. Cf. *Suda*, Θ 305 **17** Θεοσεβεῖς τε – **p. 514.7** *SVF* III Nr. 608. Cf. *Suda*, E 3735

1 καὶ ἀκιβδήλους *Suda* | σπουδακτικούς **F** **2** τοῦ *Frob.* : τοὺς **PFD** | τὰ περὶ αὐτοὺς scripsi e *Suda* : τι περὶ αὐτῶν **P**^{1}**QF** : αὐτῶν **DP**^{4} : αὐτοὺς Huebner | post παρασκευῆς addit δυναμένους *Suda* **4** ἀπλάστους M. Casaubon : ἀπλάστως **BPFD** et *Suda* | τε add. Cobet **7** οἰνοθήσεσθαι **B D** | post μὲν addit αὐτὸν **Φ** 7 **9** ἀλοκότους **PF** **11** λυπηθήσεσθαι **FP**^{4}**HΦ** : λυπήσεσθαι **BP**^{1}**QD** **12** τῆς **F** : om. **BPDΦ** **14** ἐν ss. **F**^{2} | τὸν θεὸν **F** **15** εἶναι **FDP**^{4}**H** et *Suda* : om. **BP**^{1}**QΦ** | ἐναντίον **Φ** et *Suda* **16** θείῳ **P**^{4}**H** : θεῷ **BP**^{1}**FDΦ** et *Suda* **17** τε **D** et *Suda* : om. **BPFΦ** **18** περὶ **BPFD** et *Suda* : πρὸς **Φ** | θεοὺς **Φ** : θεῶν **BPFD** : θεοῦ *Suda*

μίμων· εἶναί τε τὴν εὐσέβειαν ἐπιστήμην θεῶν θεραπείας.
Ἀλλὰ μὴν καὶ θύσειν αὐτοὺς θεοῖς ἁγνούς τε ὑπάρχειν·
ἐκνεύειν γὰρ τὰ περὶ θεοὺς ἁμαρτήματα. Καὶ τοὺς θεοὺς
ἄγασθαι αὐτούς· ὁσίους τε γὰρ εἶναι καὶ δικαίους πρὸς τὸ
θεῖον. Μόνους τε ἱερέας τοὺς σοφούς· ἐπεσκέφθαι γὰρ
περὶ θυσιῶν, ἱδρύσεων, καθαρμῶν καὶ τῶν ἄλλων τῶν
πρὸς θεοὺς οἰκείων.

120 Δοκεῖ δ' αὐτοῖς καὶ γονέας σεβήσεσθαι καὶ ἀδελφοὺς
ἐν δευτέρᾳ μοίρᾳ μετὰ τοὺς θεούς. Φασὶ δὲ καὶ τὴν πρὸς
τὰ τέκνα φιλοστοργίαν φυσικὴν εἶναι αὐτοῖς καὶ ἐν
φαύλοις μὴ εἶναι. Ἀρέσκει τε αὐτοῖς ἴσα ἡγεῖσθαι τὰ
ἁμαρτήματα, καθά φησι Χρύσιππος ἐν τῷ τετάρτῳ τῶν
Ἠθικῶν ζητημάτων καὶ Περσαῖος καὶ Ζήνων. Εἰ γὰρ ἀ-
ληθὲς ἀληθοῦς μᾶλλον οὐκ ἔστιν, οὐδὲ ψεῦδος ψεύδους,
οὕτως οὐδὲ ἀπάτη ἀπάτης, οὐδὲ ἁμάρτημα ἁμαρτήματος.
Καὶ γὰρ ὁ ἑκατὸν σταδίους ἀπέχων Κανώβου καὶ ὁ ἕνα
ἐπίσης οὐκ εἰσὶν ἐν Κανώβῳ· οὕτω καὶ ὁ πλέον καὶ ὁ ἔλατ-
121 τον ἁμαρτάνων ἐπίσης οὐκ εἰσὶν ἐν τῷ κατορθοῦν. Ἡρα-
κλείδης μέντοι ὁ Ταρσεύς, Ἀντιπάτρου τοῦ Ταρσέως
γνώριμος, καὶ Ἀθηνόδωρος ἄνισά φασι τὰ ἁμαρτήματα.

Πολιτεύσεσθαί φασι τὸν σοφὸν ἂν μή τι κωλύῃ, ὥς φη-

8–11 *SVF* III Nr. 731 **11** Ἀρέσκει τε – **18** *SVF* III Nr. 527; I Nr. 224 = 450. Cf. *Suda,* A 1654 **18–20** *SVF* III, p. 258 **21–p. 515.2** *SVF* III Nr. 697. Cf. *Suda,* Π 1917

3 περὶ θεοὺς **BFP^{4}H** : περὶ θεοῦ *Suda* : περὶ τοὺς θεοὺς **P^{1}QD** **5** μόνους τε **D** : καὶ μόνους *Suda* : μόνους **BPF** **6** καὶ *Suda,* τε καὶ **D** : om. **BPF** **7** θεοὺς **BPFD** : τὸ θεῖ-ον *Suda* **10** αὐτοῖς om. **Φ** **12** καθά – **13** ζήνων in mg infer. **F^2** **13** περσέος **F^2** **14** ψευδὲς ψευδοῦς *Suda* **16** ἕ-να **BFDP^{4}H** et *Suda* : ἐννέα **P^{1}QΦ** **17** ὁ bis **FP^{2}QD** : om. **BP^{1}Φ** et *Suda* | πλέον **Φ** et *Suda* : πλεῖον **BPFD** **18** ἁμαρτάνων **BPFD** : ἁμάρτημα **Φ** et *Suda* **21** πολιτεύσεσθαι **F** : πολιτεύεσθαι δεῖ *Suda* : πολιτεύεσθαι **BPDΦ** **21** ὥς φησι – **p. 515.1** βίων in mg **F^2**

σι Χρύσιππος ἐν πρώτῳ Περὶ βίων· καὶ γὰρ κακίαν ἐφέξειν καὶ ἐπ' ἀρετὴν παρορμήσειν. Καὶ γαμήσειν, ὡς ὁ Ζήνων φησὶν ἐν Πολιτείᾳ, καὶ παιδοποιήσεσθαι. Ἔτι τε μὴ δοξάσειν τὸν σοφόν, τουτέστι ψεύδει μὴ συγκαταθήσεσθαι μηδενί. Κυνιεῖν τε αὐτόν· εἶναι γὰρ τὸν Κυνισμὸν σύντομον ἐπ' ἀρετὴν ὁδόν, ὡς Ἀπολλόδωρος ἐν τῇ Ἠθικῇ. Γεύσεσθαί τε καὶ ἀνθρωπίνων σαρκῶν κατὰ περίστασιν.

Μόνον τε ἐλεύθερον, τοὺς δὲ φαύλους δούλους· εἶναι γὰρ τὴν ἐλευθερίαν ἐξουσίαν αὐτοπραγίας, τὴν δὲ δουλείαν στέρησιν αὐτοπραγίας. Εἶναι δὲ καὶ ἄλλην **122** δουλείαν τὴν ἐν ὑποτάξει, καὶ τρίτην τὴν ἐν κτήσει τε καὶ ὑποτάξει, ᾗ ἀντιτίθεται ἡ δεσποτεία, φαύλη οὖσα καὶ αὕτη. Οὐ μόνον δὲ ἐλευθέρους εἶναι τοὺς σοφούς, ἀλλὰ καὶ βασιλέας, τῆς βασιλείας οὔσης ἀρχῆς ἀνυπευθύνου, ἥτις περὶ μόνους ἂν τοὺς σοφοὺς ⟨συ⟩σταίη, καθά φησι Χρύσιππος ἐν τῷ Περὶ τοῦ κυρίως κεχρῆσθαι Ζήνωνα τοῖς ὀνόμασιν· ἐγνωκέναι γάρ φησι δεῖν τὸν ἄρχοντα περὶ ἀγα-

2 Καὶ – **3** *SVF* I Nr. 270 **3** Ἔτι τε – **5** *SVF* III Nr. 549 **5** Κυνιεῖν τε – **6** *SVF* III Apollod. Nr. 17 **7** *SVF* I Nr. 254 = III Nr. 747 **9–13** αὕτη : *SVF* III Nr. 355. Cf. *Suda,* E 807 et Δ 1424 **14** Οὐ μόνον δὲ – **p. 516.1** ταῦτα : *SVF* III Nr. 617

1 ἀκακίαν **F** **2** καὶ^{1} **D** et *Suda* : om. **BPFΦ** **3** ἐν ss. **F**^{2} | πολιτεία **FD** : τῇ πολιτεία **BP** **4** ψεύδει **BP**^{1}**QΦ** et *Suda* : ψευδεῖ **DP**^{4} : ψευδῆ **F** | συγκαταθήσεσθαι **PFDΦ** : συγκατατίθεσθαι **B** et *Suda* **6** σύντομον **Φ** et Stephanus ex 6.104 : εὔτονον **BP**^{1} et **D** in mg : ἀσύντονον **FD** : εὐσύντονον γρ. in mg **P**^{4} **10** ἐλευθερίαν in mg **B**^{2} **12** τάξει **F** **12** καὶ^{1} – **13** ὑποτάξει om. **B** **13** καὶ ἡ δεσποτεία **F** | αὕτη **FP**^{4}**D** : αὐτή **BP**^{1} et *Suda* **14** οὐ om. **F** | σοφοὺς **BPF D** : σπουδαίους *Suda* : om. **Φ** **16** ⟨συ⟩σταίη Menagius e *Suda,* Δ 1424 : σταίη **BPFD** **16** καθά – **17** ὀνόμασιν in mg super. **F**^{2} **17** ζήνωνα τοῖς **BP** : ζήνων αὐτοῖς **F**^{2} **18** φησι χρύσιππος **F**^{2} | δεῖν post τὸν ἄρχοντα **F**^{2}

θῶν καὶ κακῶν, μηδένα δὲ τῶν φαύλων ἐπίστασθαι ταῦτα. Ὁμοίως δὲ καὶ ἀρχικοὺς δικαστικούς τε καὶ ῥητορικοὺς μόνους εἶναι, τῶν δὲ φαύλων οὐδένα. Ἔτι καὶ ἀνα-
123 μαρτήτους, τῷ ἀπεριπτώτους εἶναι ἁμαρτήματι. Ἀβλαβεῖς τε εἶναι· οὔτε γὰρ ἄλλους βλάπτειν οὔτε ἑαυτούς. Ἐλεήμονάς τε μὴ εἶναι, συγγνώμην τε ἔχειν μηδενί· μὴ γὰρ παριέναι τὰς ἐπιβαλλούσας ἐκ τοῦ νόμου κολάσεις (ἐπεὶ τό γε εἴκειν καὶ ὁ ἔλεος αὐτή τε ἡ ἐπιείκεια ἀσθένειά ἐστι ψυχῆς [πρὸς κολάσεις] προσποιουμένης χρηστότητα), μηδὲ οἴεσθαι σκληροτέρας αὐτὰς εἶναι.

Ἔτι τε τὸν σοφὸν οὐδὲν θαυμάζειν τῶν δοκούντων παραδόξων, οἷον Χαρώνεια καὶ ἀμπώτεις καὶ πηγὰς θερμῶν ὑδάτων καὶ πυρὸς ἀναφυσήματα. Ἀλλὰ μὴν οὐδ' ἐν ἐρημίᾳ φασι βιώσεται ὁ σπουδαῖος· κοινωνικὸς γὰρ φύσει καὶ πρακτικός. Τὴν μέντοι ἄσκησιν ἀποδέξεται ὑπὲρ τῆς τοῦ σώματος ὑπομονῆς.

2 Ὁμοίως δὲ – **3** οὐδένα : *SVF* III Nr. 612 **3–4** *SVF* III Nr. 556 **4–5** *SVF* III Nr. 588 **6** Ἐλεήμονάς τε – **10** εἶναι : *SVF* III Nr. 641. Cf. *Suda*, Σ 1280 **11–13** *SVF* III Nr. 642. Cf. *Suda*, A 1656 **13** Ἀλλὰ μὴν – **15** πρακτικός : *SVF* III Nr. 628 **15–16** *SVF* III Nr. 715

5 οὔτε^{1} **Φ**, ab Arnim : οὐ **BPFD** | ἑαυτοὺς **BPΦ** : αὑτοὺς **F**^{1} (αὐτοὺς **F**^{2}) **7** παρεῖναι **B** | τὰς ἐκ τοῦ νόμου ἐπιβαλλούσας **FD** **8** ἐπὶ **BD** | εἴκειν **PΦ** et *Suda* : ἥκειν **F** : εἶναι **BD** | ἀσθένεια scripsi : οὐδεμία **BP**^{1}**DΦ** et *Suda*, οὐδὲ μιᾷ **F** : οὐδένεια Cobet : e.g. ἀδυναμία ab Arnim **9** ψυχῇι **P**^{4} | πρὸς κολάσεις om. **F**, seclusi | προσποιουμένης **ΦD** : προσποιουμένη **BPF** et *Suda* **10** post εἶναι addit τῶν σοφῶν **F** **11** τε **BΦD** : γε **PF** | δεῖ θαυμάζειν *Suda* | θαυμάσειν **Φ** **12** χαρώνια **B** | ἀμπώτεις **P**^{1}**QΦ** et *Suda* : ἀμπώτιδας **BD** : ἄμπωτιν **F** **14** φασὶ βιώσεται **FD** : transp. **BP** **15** ἀποδείξεται **F**

Εὔξεταί τε, φασίν, ὁ σοφός, αἰτούμενος τὰ ἀγαθὰ παρὰ τῶν θεῶν, καθά φησι Ποσειδώνιος ἐν τῷ πρώτῳ Περὶ καθήκοντος καὶ Ἑκάτων ἐν τρίτῳ Περὶ παραδόξων. Λέγουσι δὲ καὶ τὴν φιλίαν ἐν μόνοις τοῖς σπουδαίοις εἶναι, διὰ τὴν ὁμοιότητα· φασὶ δ' αὐτὴν κοινωνίαν τινὰ εἶναι τῶν κατὰ τὸν βίον, χρωμένων ἡμῶν τοῖς φίλοις ὡς ἑαυτοῖς. Δι' αὑτόν τε αἱρετὸν τὸν φίλον ἀποφαίνονται καὶ τὴν πολυφιλίαν ἀγαθόν. Ἔν δὲ τοῖς φαύλοις μὴ εἶναι φιλίαν μηδένα τε τῶν φαύλων φίλον ἔχειν. Πάντας τε τοὺς ἄφρονας μαίνεσθαι· οὐ γὰρ εἶναι φρονίμους, ἀλλὰ κατὰ τὴν ἴσην τῇ ἀφροσύνῃ μανίαν πάντα πράττειν. 124

Πάντα τε εὖ ποιεῖν τὸν σοφόν, ὡς καὶ πάντα φαμὲν τὰ αὐλήματα εὖ αὐλεῖν τὸν Ἰσμηνίαν. Καὶ τῶν σοφῶν δὲ πάντα εἶναι· δεδωκέναι γὰρ αὐτοῖς παντελῆ ἐξουσίαν τὸν νόμον. Τῶν δὲ φαύλων εἶναί τινα λέγεται, ὃν τρόπον καὶ †τὸν ἄδικον† ἄλλως μὲν τῆς πόλεως, ἄλλως δὲ τῶν χρωμένων φαμὲν ⟨εἶναι⟩. 125

1–3 Posidonii F 40 Kidd = F 429 Theiler; Hecatonis Fr. 20 Gomoll **3** Λέγουσι δὲ – **9** ἔχειν : *SVF* III Nr. 631 **9** Πάντας τε – **11** *SVF* III Nr. 664 **12–13** *SVF* III Nr. 561 **13** Καὶ – **17** *SVF* III Nr. 590

1 εὔξαιτε **B**^{1} (corr. **B**^{2}) **2** καθά – **3** παραδόξων in mg **F**^{2} **2** ποσιδώνιος **B**, ποσειδόνιος **F** **3** καθήκοντος Beier (ex 7.129) : καθηκόντων **BPFD** | γ´ **F**^{2} : γι´ **BP** : ιγ´ **D** **5** αὐτὴν **BP**^{1}**QΦ** : αὐτοῖς **FP**^{4} **7** αὑτὸν **D** : αὐτὸν **BPFΦ** **8** δὲ scripsi : τε **BPFD** **9** μηδένα Galesius : μηδενὶ **BPF D** | τε **BP**^{2}**D** : τὰ **F** | φίλον ἔχειν Galesius : φιλονεικεῖν **B**^{2}**PFD** **10** φρονίμους εἶναι **FD** **11** πάντα om. **FD** **12** πάντα^1 *Frob.* : πάντας **BPFDΦ** **14** δεδοκέναι **B** **15** τὸν δὲ φαῦλον **BD** **16** τὸν ἄδικον **BP**^{1}**FDΦ** : τῶν ἀδίκων **P**^{2} **Q** : corruptum esse vidit Rossi (43, p. 141) : τὸν ⟨Κερ⟩αμικὸν coni. ab Arnim : τὸν Ἀττ⟨άλου⟩ οἶκον conieci (τὸν οἶκον iam Rossi) **17** εἶναι addidi

Τὰς δ' ἀρετὰς λέγουσιν ἀντακολουθεῖν ἀλλήλαις καὶ τὸν μίαν ἔχοντα πάσας ἔχειν· εἶναι γὰρ αὐτῶν τὰ θεωρήματα κοινά, καθάπερ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ ἀρετῶν φησιν, Ἀπολλόδωρος δὲ ἐν τῇ Φυσικῇ κατὰ τὴν
126 ἀρχαίαν, Ἑκάτων δὲ ἐν τῷ τρίτῳ Περὶ ἀρετῶν. Τὸν γὰρ ἐνάρετον θεωρητικόν τε εἶναι καὶ πρακτικὸν τῶν ποιητέων. Τὰ δὲ ποιητέα καὶ αἱρετέα ἐστὶ καὶ ὑπομενετέα καὶ ἀπονεμητέα καὶ ἐμμενετέα, ὥστε εἰ τὰ μὲν αἱρετ⟨ικ⟩ῶς ποιεῖ, τὰ δὲ ὑπομενετικῶς, τὰ δὲ ἀπονεμητικῶς, τὰ δὲ ἐμμενετικῶς, φρόνιμός τε ἔσται καὶ ἀνδρεῖος καὶ δίκαιος καὶ σώφρων. Κεφαλαιοῦσθαί τε ἑκάστην τῶν ἀρετῶν περί τι ἴδιον κεφάλαιον, οἷον τὴν ἀνδρείαν περὶ τὰ ὑπομενετέα, τὴν φρόνησιν περὶ τὰ ποιητέα καὶ μὴ καὶ οὐδέτερα· ὁμοίως τε καὶ τὰς ἄλλας περὶ τὰ οἰκεῖα τρέπεσθαι. Ἕπονται δὲ τῇ μὲν φρονήσει εὐβουλία καὶ σύνεσις, τῇ δὲ σωφροσύνῃ εὐταξία καὶ κοσμιότης, τῇ δὲ δικαιοσύνῃ ἰσότης

1–p. 519.1 *SVF* III Nr. 295; Apollod. Nr. 15; Hecatonis Fr. 7 Gomoll. Cf. *Suda*, A 3830

3 καθάπερ – **5** ἀρετῶν in mg super. **F**[2] **5** ἀρχαίαν (sc. αἵρεσιν Gigante) **BPFD** : ἀρχήν Hirzel, ab Arnim | τὸ γὰρ **B** **6** τε ss. **P**[2] | πρακτικὸν **BP**[1]**QFΦ** et *Suda* : ποιητικὸν **P**[4]**HD** | τῶν in mg **P**[4]**D** : om. **BP**[1]**FΦ** et *Suda* | ποιητέων **BP**[1]**QΦ** et *Suda*, ποιητέον **F** : πρακτέων **P**[4]**HD** **7** ποιητέα **BP**[1]**QFΦ** et *Suda* : πρακτέα **P**[4]**HD** | ὑπομενετέα **BP**[1]**QDΦ** et *Suda* : ὑπομενητέα **FP**[4]**H** **8** καὶ ἐμμενητέα ante καὶ ἀπονεμητέα **F** | ἐμμενητέα **FP**[4]**H** | αἱρετικῶς *Frob.* : αἱρετῶς **PFΦ** et *Suda* : αἰτιῶς **B** **9** τὰ δὲ ὑπομενετικῶς – **14** τρέπεσθαι om. **B** spatio 6 1/2 versuum relicto **9** ὑπομενετικῶς **P**[1]**QΦ** : ὑπομενητικῶς **FP**[4]**HD** et *Suda* **9–10** τὰ δὲ ἐμμενητικῶς ss. et in mg **F**[2] **10** ἐμμενετικῶς **Φ** et *Suda* : ἐμμενητικῶς **P**[1]**FD** | ἔσται scripsi : ἐστὶ **PFDΦ** et *Suda* **12** ἀνδρίαν **P**[1]**Φ** | ὑπομενετέα **P**[1]**QFΦ** et *Suda* : ὑπομενητέα **DP**[4]**H** **13** καὶ μὴν καὶ **F** **14** τε περὶ **F** **15** post εὐβουλία addit καὶ φρόνησις **F** **16** καὶ **DP**[4] et *Suda* : om. **BP**[1]**FΦ**

καὶ εὐγνωμοσύνη, τῇ δὲ ἀνδρείᾳ ἀπαραλλαξία καὶ εὐτο-
νία.
Ἀρέσκει δὲ αὐτοῖς μηδὲν μεταξὺ εἶναι ἀρετῆς καὶ κα- 127
κίας, τῶν Περιπατητικῶν μεταξὺ ἀρετῆς καὶ κακίας εἶναι
λεγόντων τὴν προκοπήν· ὡς γὰρ δεῖν φασιν ἢ ὀρθὸν εἶναι
ξύλον ἢ στρεβλόν, οὕτως ἢ δίκαιον ἢ ἄδικον, οὔτε δὲ
δικαιότερον οὔτε ἀδικώτερον, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.
Καὶ μὴν τὴν ἀρετὴν Χρύσιππος μὲν ἀποβλητήν, Κλεάνθης
δὲ ἀναπόβλητον· ὁ μὲν ἀποβλητὴν διὰ μέθην καὶ μελαγ-
χολίαν, ὁ δὲ ἀναπόβλητον διὰ βεβαίους καταλήψεις. Καὶ
αὐτὴν δι' ⟨αὑτὴν⟩ αἱρετὴν εἶναι· αἰσχυνόμεθα γοῦν ἐφ'
οἷς κακῶς πράττομεν, ὡς ἂν μόνον τὸ καλὸν εἰδότες ἀγα-
θόν.
Αὐτάρκη τε εἶναι αὐτὴν πρὸς εὐδαιμονίαν, καθά φησι
Ζήνων καὶ Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ ἀρετῶν καὶ Ἑκά-
των ἐν τῷ δευτέρῳ Περὶ ἀγαθῶν. "Εἰ γάρ," φησίν, "αὐτάρ- 128
κης ἐστὶν ἡ μεγαλοψυχία πρὸς τὸ πάντων ὑπεράνω ποιεῖν,
ἔστι δὲ μέρος τῆς ἀρετῆς, αὐτάρκης ἔσται καὶ ἡ ἀρετὴ
πρὸς εὐδαιμονίαν καταφρονοῦσα [καὶ] τῶν δοκούντων
ὀχληρῶν." Ὁ μέντοι Παναίτιος καὶ Ποσειδώνιος οὐκ αὐτ-

3–7 *SVF* III Nr. 536. Cf. *Suda,* A 3830 **8** Καὶ μὴν – **10** καταλήψεις : *SVF* I Nr. 568 = III Nr. 237. Cf. *Suda,* A 3831 **10–12** *SVF* III Nr. 40 **14–20** ὀχληρῶν : *SVF* I Nr. 187; III Nr. 49; Hecatonis Fr. 3 Gomoll **20–p. 520.2** Panaetii Fr. 110 van Straaten; Posidonii F 173 Kidd = F 425c Theiler

1 δὲ **PD** et *Suda* : τε **BF** : om. **Φ** | ἀνδρία **PΦD** **3** μεταξὺ **Φ** et *Suda* : μεταξύ τι **BPF**[2] in mg : μεταξὺ μέσον τι **D** : μέσον **P**[4] in mg γρ. et *Frob.* **5** ἢ ὀρθὸν et **6** ἢ στρεβλὸν **P**[4]**HD** et *Frob.* : ἢ στρεβλὸν et ἢ ὀρθὸν **BP**[1]**FΦ** et *Suda* **5** ἢ ὀρθὸν ξύλον **F** **6** δὲ om. **BP**[1] **11** δι' ⟨αὑτὴν⟩ Madvig : δὲ **BPFDΦ** **14** καθά φησι – **18** ἡ ἀρετὴ in mg **F**[2] **15** πρώτῳ om. **B** **18** τῆς om. **DP**[4] | ἔσται scripsi : ἐστὶ **BPFDΦ** **19** πρὸς εὐδαιμονίαν om. **F** | καὶ delevi **20** ποσιδώνιος **B**

άρκη λέγουσι τὴν ἀρετήν, ἀλλὰ χρείαν εἶναί φασι καὶ ὑγιείας καὶ χορηγίας καὶ ἰσχύος.

Ἀρέσκει δ' αὐτοῖς καὶ διὰ παντὸς χρῆσθαι τῇ ἀρετῇ, ὡς οἱ περὶ Κλεάνθην φασίν· ἀναπόβλητος γάρ ἐστι καὶ πάντοτε τῇ ψυχῇ χρῆται οὔσῃ τελείᾳ ὁ σπουδαῖος. Φύσει τε τὸ δίκαιον εἶναι καὶ μὴ θέσει, ὡς καὶ τὸν νόμον καὶ τὸν ὀρθὸν λόγον, καθά φησι Χρύσιππος ἐν τῷ Περὶ τοῦ καλοῦ.
129 Δοκεῖ δὲ αὐτοῖς μή τι ⟨διὰ⟩ τὴν διαφωνίαν ἀφίστασθαι φιλοσοφίας, ἐπεὶ τῷ λόγῳ τούτῳ προλείψειν ὅλον τὸν βίον, ὡς καὶ Ποσειδώνιός φησιν ἐν τοῖς Προτρεπτικοῖς. Εὐχρηστεῖν δὲ καὶ τὰ ἐγκύκλια μαθήματά φησιν ὁ Χρύσιππος.

Ἔτι ἀρέσκει αὐτοῖς μηδὲν εἶναι ἡμῖν δίκαιον πρὸς τὰ ἄλλα ζῷα, διὰ τὴν ἀνομοιότητα, καθά φησι Χρύσιππος ἐν τῷ πρώτῳ Περὶ δικαιοσύνης καὶ Ποσειδώνιος ἐν πρώτῳ Περὶ καθήκοντος. Καὶ ἐρασθήσεσθαι δὲ τὸν σοφὸν τῶν νέων τῶν ἐμφαινόντων διὰ τοῦ εἴδους τὴν πρὸς ἀρετὴν εὐφυΐαν, ὥς φησι Ζήνων ἐν τῇ Πολιτείᾳ καὶ Χρύσιππος ἐν
130 τῷ πρώτῳ Περὶ βίων καὶ Ἀπολλόδωρος ἐν τῇ Ἠθικῇ. Εἶναι δὲ τὸν ἔρωτα ἐπιβολὴν φιλοποιΐας διὰ κάλλος ἐμφαι-

3–5 *SVF* I Nr. 569 **5** Φύσει τε – **7** *SVF* III Nr. 308 **8** Δοκεῖ – **10** Posidonii F 1 Kidd = F 435c Theiler **11** *SVF* III Nr. 738 **13–16** *SVF* III Nr. 367; Posidonii F 39 Kidd = F 430 Theiler **16** Καὶ – **p. 521.3** αὐτῆς : *SVF* I Nr. 248; III Nr. 716. Cf. III Nr. 650; *Suda*, Ε 3070

1 τὴν ἀρετὴν λέγουσιν **F** | ὑγείας **DP**^{4} et *Suda* **2** χορηγείας **F** | καὶ ἰσχύος post v. 1 φασι **BP**^{1} et *Suda* **5** τῇ ⟨ἀρετῇ⟩ ψυχῇ Gigante | ὁ σπουδαῖος οὔσῃ τελείᾳ **BP** **7** τοῦ om. **F** **8** μή τι scripsi : μήτε **BPFD** : μὴ ⟨δεῖν⟩ Kidd | διὰ add. Bake (p. 38) **9** ἐπὶ **B** **10** et **15** ποσιδώνιος **B**, ποσειδόνιος **F**^{2} **14** καθά – **16** καθήκοντος in mg **F**^{2} **16** τῶν σοφῶν **F**^{1} (corr. **F**^{2}) **19** καὶ – τῇ Ἠθικῇ om. **F** **20** φιλοποιΐας **Φ**, *Suda* et Casaubon : φιλευποιΐας **BPFD**

νόμενον· καὶ μὴ εἶναι συνουσίας, ἀλλὰ φιλίας. Τὸν γοῦν Θρασωνίδην καίπερ ἐν ἐξουσίᾳ ἔχοντα τὴν ἐρωμένην, διὰ τὸ μισεῖσθαι ἀπέχεσθαι αὐτῆς. Εἶναι οὖν τὸν ἔρωτα φιλίας, ὡς καὶ Χρύσιππος ἐν τῷ Περὶ ἔρωτός φησι· καὶ μὴ εἶναι ἐπίμεμπτον αὐτόν. Εἶναι δὲ καὶ τὴν ὥραν ἄνθος ἀρετῆς.

Βίων δὲ τριῶν ὄντων, θεωρητικοῦ, πρακτικοῦ, λογικοῦ, τὸν τρίτον φασὶν αἱρετέον· γεγονέναι γὰρ ὑπὸ τῆς φύσεως ἐπίτηδες τὸ λογικὸν ζῷον πρὸς θεωρίαν καὶ πρᾶξιν. Εὐλόγως τέ φασιν ἐξάξειν ἑαυτὸν τοῦ βίου τὸν σοφὸν καὶ ὑπὲρ πατρίδος καὶ ὑπὲρ φίλων, κἂν ἐν σκληροτέρᾳ γένηται ἀλγηδόνι ἢ πηρώσεσιν ἢ νόσοις ἀνιάτοις.

Ἀρέσκει δ' αὐτοῖς καὶ κοινὰς εἶναι τὰς γυναῖκας δεῖν 131
παρὰ τοῖς σοφοῖς, ὥστε τὸν ἐντυχόντα τῇ ἐντυχούσῃ χρῆσθαι, καθά φησι Ζήνων ἐν τῇ Πολιτείᾳ καὶ Χρύσιππος ἐν τῷ Περὶ πολιτείας, ἀλλά γε ⟨καὶ⟩ Διογένης ὁ Κυνικὸς καὶ Πλάτων. Πάντας τε παῖδας ἐπίσης στέρξομεν πατέρων τρόπον καὶ ἡ ἐπὶ μοιχείᾳ ζηλοτυπία περιαιρεθήσεται. Πολιτείαν δ' ἀρίστην τὴν μικτὴν ἔκ τε δημοκρατίας καὶ βασιλείας καὶ ἀριστοκρατίας.

3–5 *SVF* III Nr. 718 **7–9** *SVF* III Nr. 687 **10** Εὐλόγως τε – **12** *SVF* III Nr. 757 **13–18** *SVF* I Nr. 269; III Nr. 728. Cf. DL 7.33 **16** Διογένης : cf. 6.72 **17** Πλάτων : cf. *Rei publ.* 5, 457 b 7 ss. **19** Πολιτείαν – **20** *SVF* III Nr. 700

4 καὶ[1] om. **F** **5** ἐπίμεμπτον **P⁴H** et *Frob.* : θεόπεμπτον **BP¹QFDΦ** : θεόπομπον *Suda* **7** καὶ πρακτικοῦ **P⁴H** | καὶ λογικοῦ **FP⁴H** **11** ἐν om. **F** **12** πυρώσεσιν **F** **13–14** δεῖν παρὰ om. **Φ** **14** ὥστε **FP⁴HD** : ὡς **BP¹QΦ** **15** καθά **BP D** : ὡς **F** **15** ἐν τῇ – **16** πολιτείας om. **F** **16** ἀλλά γε ⟨καὶ⟩ scripsi : ἀλλά τε **BPF** : ἀλλὰ καὶ **D** : ἀλλ' ἔτι Cobet **16** ἀλλά – **17** Πλάτων secl. Cobet **17** τὲ παῖδας **B** : τε γὰρ **P²Q** (τε γας **P¹** ut vid.) : τὰς στέγας **Φ** : om. **F** | στέρξωμεν **P¹Q** (corr. **P⁴**) **19** δημοκρατείας **F** **20** καὶ ἀριστοκρατίας om. **Φ** | ἀριστοκρατείας **BF**

Καὶ ἐν μὲν τοῖς ἠθικοῖς δόγμασι τοιαῦτα λέγουσι καὶ τούτων πλείω μετὰ τῶν οἰκείων ἀποδείξεων· ταῦτα δὲ ὡς ἐν κεφαλαίοις ἡμῖν λελέχθω καὶ στοιχειωδῶς.

132 Τὸν δὲ φυσικὸν λόγον διαιροῦσιν εἴς τε τὸν περὶ σωμάτων τόπον καὶ περὶ ἀρχῶν καὶ στοιχείων καὶ θεῶν καὶ περάτων καὶ τόπου καὶ κενοῦ. Καὶ οὕτω μὲν εἰδικῶς, γενικῶς δὲ εἰς τρεῖς τόπους, τόν τε περὶ κόσμου καὶ τὸν περὶ τῶν στοιχείων καὶ τρίτον τὸν αἰτιολογικόν.

Τὸν δὲ περὶ τοῦ κόσμου διαιρεῖσθαί φασιν εἰς δύο μέρη. Μιᾷ γὰρ σκέψει ἐπικοινωνεῖν αὐτοῦ καὶ τοὺς ἀπὸ τῶν μαθημάτων, καθ' ἣν ζητοῦσι περί τε τῶν ἀπλανῶν καὶ τῶν πλανωμένων, οἷον εἰ ὁ ἥλιός ἐστι τηλικοῦτος ἡλίκος φαίνεται, καὶ ὁμοίως εἰ ἡ σελήνη, καὶ περὶ δινήσεως καὶ τῶν
133 ὁμοίων τούτοις ζητημάτων. Ἑτέραν δὲ αὐτοῦ σκέψιν εἶναι ἥτις μόνοις τοῖς φυσικοῖς ἐπιβάλλει, καθ' ἣν ζητεῖται ἥ τε οὐσία αὐτοῦ [καὶ εἰ ὁ ἥλιος καὶ οἱ ἀστέρες ἐξ ὕλης καὶ εἴδους] καὶ εἰ γενητὸς ἢ ἢ ἀγένητος καὶ εἰ ἔμψυχος ἢ ἄψυχος καὶ εἰ φθαρτὸς ἢ ἄφθαρτος καὶ εἰ προνοίᾳ διοικεῖται καὶ περὶ τῶν λοιπῶν. Τόν τε αἰτιολογικὸν εἶναι καὶ αὐτὸν διμερῆ· μιᾷ δ' αὐτοῦ ἐπισκέψει ἐπικοινωνεῖν τὴν

9–p. 523.6 Posidonii F 254 Theiler **14** αὐτοῦ : i.e. τοῦ κόσμου

2 μετὰ τῶν ἀποδείξεων τῶν οἰκείων **P** **3** ἐν ss. **P**^{2} **6** τεράτων **FP**^{4} | ἰδικῶς **B** **7** τόπους **FD** : τρόπους **BP** | τὸν^2 **PD** : τῶν **B** : om. **F** **8** τῶν om. **F** **11** μαθημάτων **B**^{1} (cf. p. 523.4) : μαθηματικῶν **B**^{2}**PFD** **16** καὶ εἰ ὁ ἥλιος – **17** εἴδους secl. Huebner **16** καὶ εἰ ὁ : καὶ ἡ ἡλίου (sc. οὐσία) Usener (*Kl. Schr.* I, 350), qui **16** ἥλιος – **17** εἴδους secl. **16** καὶ οἱ ἀστέρες – **17** εἴδους **D** : om. **BPF** **17** γεννητὸς et ἀγέννητος **FDP**^{5} | ἢ ἢ^1 **P** : ἢ εἰ **B** : ἢ **FD** **19** ante τόν τε αἰτιολογικὸν lac. indic. Theiler, qui Τόν τε περὶ τῶν στοιχείων ... supplet **20** ἐπισκέψει **DP**^{4}**H** : σκέψει **BP**^{1}**F** | ἐπικοινωνεῖν : ἐπι- ss. **P**^{2} | τὴν in mg **B**^{2}

τῶν ἰατρῶν ζήτησιν, καθ' ἣν ζητοῦσι περί τε τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς καὶ τῶν ἐν ψυχῇ γινομένων καὶ περὶ σπερμάτων καὶ τῶν τούτοις ὁμοίων. Τοῦ δ' ἑτέρου καὶ τοὺς ἀπὸ τῶν μαθημάτων ἀντιποιεῖσθαι, οἷον πῶς ὁρῶμεν, τίς ἡ αἰτία τῆς κατοπτρικῆς φαντασίας, ὅπως νέφη συνίστανται, βρονταὶ καὶ ἴριδες καὶ ἅλως καὶ κομῆται καὶ τὰ παραπλήσια.

Δοκεῖ δ' αὐτοῖς ἀρχὰς εἶναι τῶν ὅλων δύο, τὸ ποιοῦν 134
καὶ τὸ πάσχον. Τὸ μὲν οὖν πάσχον εἶναι τὴν ἄποιον οὐσίαν, τὴν ὕλην, τὸ δὲ ποιοῦν τὸν ἐν αὐτῇ λόγον, τὸν θεόν· τοῦτον γὰρ ἀΐδιον ὄντα διὰ πάσης αὐτῆς ⟨διήκοντα⟩ δημιουργεῖν ἕκαστα. Τίθησι δὲ τὸ δόγμα τοῦτο Ζήνων μὲν ὁ Κιτιεὺς ἐν τῷ Περὶ οὐσίας, Κλεάνθης δὲ ἐν τῷ Περὶ τῶν ἀτόμων, Χρύσιππος δ' ἐν τῇ πρώτῃ τῶν Φυσικῶν πρὸς τῷ τέλει, Ἀρχέδημος δ' ἐν τῷ Περὶ στοιχείων καὶ Ποσειδώνιος ἐν τῷ δευτέρῳ τοῦ Φυσικοῦ λόγου. Διαφέρειν δέ φασιν ἀρχὰς καὶ στοιχεῖα· τὰς μὲν γὰρ εἶναι ἀγενήτους ⟨καὶ⟩ ἀφθάρτους, τὰ δὲ στοιχεῖα κατὰ τὴν ἐκπύρωσιν φθείρεσθαι. Ἀλλὰ καὶ σώματα ⟨μὲν⟩ εἶναι τὰς ἀρχὰς ἄμορφα, τὰ δὲ μεμορφῶσθαι.

8–16 λόγου : *SVF* I Nrr. 85 et 493; II Nr. 300; III Archedemi Nr. 12; Posidonii F 5 Kidd = F 257 Theiler. Cf. *Suda,* A 4092 **16** Διαφέρειν – **20** *SVF* II Nr. 299

1 τῶν **BD** : om. **PF** **4** μαθηματικῶν **D** | ἡ **FDP**^{4} : om. **BP**^{1} **6** ἅλως **P**^{2}**QF** : ἄλλως **BP**^{1}**D** **11** ὄντα ἀΐδιον **FD** | ὄντα : ἰόντα Usener : διιόντα vel διήκοντα coni. Kidd | διήκοντα supplevi **12** δὲ om. **F** | μὲν om. **F** **13** κιττιεὺς **PD** **13** κλεάνθης – **14** τῶν ἀτόμων in mg infer. **F**^{2} **15** καὶ Ποσειδώνιος – **16** λόγου om. **F** **15** ποσιδώνιος **B** **17** ἀγεννήτους **FDP**^{4}**H** | καί^2 e *Suda* add. Stephanus **19** σώματα **BPF** : ἀσώματα **ΦD**, *Ambros.* et *Aldobr.* : ἀσωμάτους Lipsius (*Physiolog. Stoic.* II, 5) e *Suda* | μὲν addidi | ἄμορφα scripsi : καὶ ἀμόρφους **BPFDΦ** et *Suda*

135 Σῶμα δ' ἐστίν, ὥς φησιν Ἀπολλόδωρος ἐν τῇ Φυσικῇ, τὸ τριχῇ διαστατόν, εἰς μῆκος, εἰς πλάτος, εἰς βάθος· τοῦτο δὲ καὶ στερεὸν σῶμα καλεῖται. Ἐπιφάνεια δ' ἐστὶ σώματος πέρας ἢ τὸ μῆκος καὶ πλάτος μόνον ἔχον, βάθος δὲ οὔ· ταύτην δὲ Ποσειδώνιος ἐν πέμπτῳ Περὶ μετεώρων καὶ κατ' ἐπίνοιαν καὶ καθ' ὑπόστασιν ἀπολείπει. Γραμμὴ δ' ἐστὶν ἐπιφανείας πέρας ἢ μῆκος ἀπλατὲς ἢ τὸ μῆκος μόνον ἔχον. Στιγμὴ δέ ἐστι γραμμῆς πέρας, ἥτις ἐστὶ σημεῖον ἐλάχιστον.

Ἕν τε εἶναι θεὸν καὶ νοῦν καὶ εἱμαρμένην καὶ Δία·
136 πολλαῖς τε ἑτέραις ὀνομασίαις προσονομάζεσθαι. Κατ' ἀρχὰς μὲν οὖν καθ' αὑτὸν ὄντα τρέπειν τὴν πᾶσαν οὐσίαν δι' ἀέρος εἰς ὕδωρ· καὶ ὥσπερ ἐν τῇ γονῇ τὸ σπέρμα περιέχεται, οὕτω καὶ τοῦτον, σπερματικὸν λόγον ὄντα τοῦ κόσμου, τοιόνδε ὑπολείπεσθαι ἐν τῷ ὑγρῷ, εὐεργὸν αὑτῷ ποιοῦντα τὴν ὕλην πρὸς τὴν τῶν ἑξῆς γένεσιν· εἶτα ἀπογεννᾶν πρῶτον τὰ τέτταρα στοιχεῖα, πῦρ, ὕδωρ, ἀέρα, γῆν. Λέγει δὲ περὶ αὐτῶν Ζήνων τε ἐν τῷ Περὶ τοῦ ὅλου καὶ Χρύσιππος ἐν τῇ πρώτῃ τῶν Φυσικῶν καὶ Ἀρχέδημος ἐν τῷ Περὶ στοιχείων.

Ἔστι δὲ στοιχεῖον ἐξ οὗ πρώτου γίνεται τὰ γινόμενα

1–9 *SVF* III Apollodori Nr. 6 3 Ἐπιφάνεια – 6 ἀπολείπει : Posidonii F 16 Kidd = F 311 Theiler **10–20** *SVF* I Nr. 102; II Nr. 580; III Archedemi Nr. 12 **21–p. 525.9** *Suda,* A 1238

1 ὥς **F** : om. **BPD** | ἐν τῇ Φυσικῇ om. **F** **4** ἔχον μόνον **F** **5** ποσιδώνιος **B** **11** πολλάς τε ἑτέρας ὀνομασίας **B** | τε ss. $\mathbf{P}^2$ **12** πρέπειν **B** **13** post τὸ σπέρμα addiderim ⟨τῷ ὑγρῷ⟩ **14** καὶ **FDΦ** : δὲ καὶ **BP** **15** τοιόνδε $\mathbf{DP}^4\mathbf{H}$: τοιοῦτον **B** (-ν $\mathbf{B}^2$) : τοιοῦδε $\mathbf{P}^1\mathbf{F}$: om. **Φ** | ὑπολείπεσθαι $\mathbf{P}^1\mathbf{QF\Phi}$: ὑπολίπεσθαι **B** : ὑπολιπέσθαι $\mathbf{P}^4\mathbf{HD}$, ab Arnim | εὐεργὸν **BPFD** : ἐνεργὸν **Φ** | αὑτῷ ab Arnim : αὐτῶ **BP D** : αὐτὸ **F** **18** λέγει – **20** στοιχείων in mg super. $\mathbf{F}^2$ **18** τε om. **B** **19** ἀρχαίδημος **F** **21** post δὲ addit φασι **F** | γενόμενα **B**

καὶ εἰς ὃ ἔσχατον ἀναλύεται. Τὰ δὴ τέτταρα στοιχεῖα 137
εἶναι ὁμοῦ τὴν ἄποιον οὐσίαν, τὴν ὕλην· εἶναι δὲ τὸ μὲν πῦρ τὸ θερμόν, τὸ δὲ ὕδωρ τὸ ὑγρόν, τόν τε ἀέρα τὸ ψυχρὸν καὶ τὴν γῆν τὸ ξηρόν. Οὐ μὴν ἀλλὰ καὶ ἔτι ἐν τῷ ἀέρι εἶναι τὸ αὐτὸ μέρος. Ἀνωτάτω μὲν οὖν εἶναι τὸ πῦρ, ὃ δὴ αἰθέρα καλεῖσθαι, ἐν ᾧ πρώτην τὴν τῶν ἀπλανῶν σφαῖραν γεννᾶσθαι, εἶτα τὴν τῶν πλανωμένων· μεθ' ἣν τὸν ἀέρα, εἶτα τὸ ὕδωρ, ὑποστάθμην δὲ πάντων τὴν γῆν, μέσην ἁπάντων οὖσαν.

Λέγουσι δὲ κόσμον τριχῶς· αὐτόν τε τὸν θεὸν τὸν ἐκ τῆς ἁπάσης οὐσίας ἰδίως ποιόν, ὃς δὴ ἄφθαρτός ἐστι καὶ ἀγένητος, δημιουργὸς ὢν τῆς διακοσμήσεως, κατὰ χρόνων ποιὰς περιόδους ἀναλίσκων εἰς ἑαυτὸν τὴν ἅπασαν οὐσίαν καὶ πάλιν ἐξ ἑαυτοῦ γεννῶν· καὶ αὐτὴν δὲ τὴν δια- 138
κόσμησιν τῶν ἀστέρων κόσμον εἶναι λέγουσι· καὶ τρίτον τὸ συνεστηκὸς ἐξ ἀμφοῖν. Καὶ ἔστι κόσμος ὁ ἰδίως ποιὸς τῆς τῶν ὅλων οὐσίας ἤ, ὥς φησι Ποσειδώνιος ἐν τῇ Μετεωρολογικῇ στοιχειώσει, σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις φύσεων, ἢ σύστημα ἐκ θεῶν καὶ ἀνθρώπων καὶ τῶν ἕνεκα τούτων γεγονότων. Οὐρανὸς δ' ἐστὶν ἡ ἐσχάτη περιφέρεια ἐν ᾗ πᾶν ἵδρυται τὸ θεῖον.

7–9 *SVF* I Nr. 105 **10–16** ἐξ ἀμφοῖν : *SVF* II Nr. 526. Cf. *Suda,* K 2148 **16** Καὶ ἔστι – **20** γεγονότων : Posidonii F 14 Kidd = F 334 Theiler

2 τὴν ἄποιον **PFDΦ** : τινὰ ποιὸν **B** **4** ἔτι om. **F** **5** ὃ **D** et *Suda* : ὃν **BPF** | δεῖ **P** **11** πάσης **F** | ἰδίως ποιὸν **BP¹F** : ποιὸν **DP⁴** : ἰδιοποιόν *Suda,* Casaubon **12** ἀγένητος **Φ** : ἀγέννητος **BPFD** et *Suda* | διακοσμίσεως **F** | χρόνου *Suda* **13** περιόδου **B** **15** τῶν ἀστέρων (ἄστρων **B**) secl. ab Arnim **15** κόσμον – **16** κόσμος **B²** in lac. **15** λέγουσι om. **B²** spatio relicto **16** ὁ ἰδίως – **18** γῆς om. **B** spatio 2 1/2 versuum relicto **16** ἰδίως ποιὸς **PFD** : ἰδιοποιὸς *Suda* **19** φύσεων **FDP⁴H** et *Suda* : φύσεως **BP¹Q** | θεῶν **BPFD** : στοιχείων *Suda*

Τὸν δὴ κόσμον διοικεῖσθαι κατὰ νοῦν καὶ πρόνοιαν,
καθά φησι Χρύσιππός τε ἐν τῷ πέμπτῳ Περὶ προνοίας καὶ
Ποσειδώνιος ἐν τῷ τρίτῳ Περὶ θεῶν, εἰς ἅπαν αὐτοῦ μέρος
διήκοντος τοῦ νοῦ, καθάπερ ἐφ' ἡμῶν τῆς ψυχῆς· ἀλλ'
139 ἤδη δι' ὧν μὲν μᾶλλον, δι' ὧν δὲ ἧττον. Δι' ὧν μὲν γὰρ ὡς
ἕξις κεχώρηκεν, ὡς διὰ τῶν ὀστῶν καὶ τῶν νεύρων· δι' ὧν
δὲ ὡς νοῦς, ὡς διὰ τοῦ ἡγεμονικοῦ. Οὕτω δὴ καὶ τὸν ὅλον
κόσμον, ζῷον ὄντα καὶ ἔμψυχον καὶ λογικόν, ἔχειν ἡγεμο-
νικὸν μὲν τὸν αἰθέρα, καθά φησιν Ἀντίπατρος ὁ Τύριος
ἐν τῷ ὀγδόῳ Περὶ κόσμου. Χρύσιππος δ' ἐν τῷ πρώτῳ Περὶ
προνοίας καὶ Ποσειδώνιος ἐν τῷ Περὶ θεῶν τὸν οὐρανόν
φασι τὸ ἡγεμονικὸν τοῦ κόσμου, Κλεάνθης δὲ τὸν ἥλιον.
Ὁ μέντοι Χρύσιππος διαφορώτερον πάλιν τὸ καθαρώτα-
τον τοῦ αἰθέρος ἐν ταὐτῷ, ὃ καὶ πρῶτον θεὸν λέγει· ⟨ὃν⟩
αἰσθητικῶς ὥσπερ κεχωρηκέναι διὰ τῶν ἐν ἀέρι καὶ διὰ
140 τῶν ζῴων ἁπάντων καὶ ⟨φυσικῶς διὰ τῶν⟩ φυτῶν, | διὰ δὲ
τῆς γῆς αὐτῆς καθ' ἕξιν.

1–17 *SVF* II Nr. 634. Cf. *Suda*, K 2148 **1–7** τοῦ ἡγεμονικοῦ : Posidonii F 21 Kidd **1–17** Posidonii F 345 Theiler

1 διοικεῖσθαι **BΦ** : οἰκεῖσθαι **PFD** et *Suda* **2** καθά – **3** θεῶν in mg **F**^{2} **2** τε **PF**^{2} : om. **BD** | ἐν τῶ πέμπτω **F**^{2} : ἐν τοῖς ε′ **BP** : ἐν τοῖς **D**, ab Arnim **3** ποσιδώνιος (hic et in v. 11) **B** : ποσειδόνιος (hic et in v. 11) **F**^{2} | ἐν τῷ τρίτῳ Cobet : ἐν γ′ **D** : ἐν τῶ ιγ′ **F**^{2} : ἐν τοῖς ιγ′ **BP** : ἐν τοῖς F.H. Sandbach **4** διοίκοντος **B** **6** ἐχώρησε **F** | ὡς ss. **F**^{2} | τῶν^2 om. **F** **7–8** τὸν κόσμον ὅλον **F** **9** καθά **BPD** : ὡς **F** | φησὶν **BPD** : φασιν **F** **9** ἀντίπατρος – **11** θεῶν in mg **F**^{2} **12** φασι ss. **F**^{2} **13** μέντοι **BPD** : δὲ **F** | καθαρώτατον **B P**^{1} : καθαρώτερον **ΦDP**^{4} in mg **14** ὃ **BPFΦD** : ὃν ab Arnim (*SVF* I, p. XXXIV s.) | λέγει scripsi : λέγουσιν **BPFΦD** | ὃν addidi : lac. indic. ab Arnim (qui τὸν δὲ αὐτὸν supplet) **15** χωρεῖν *Suda* **16** φυσικῶς διὰ τῶν suppl. ab Arnim, agn. Theiler (conl. S.E. *Adv. math.* 9.81)

Ἕνα τὸν κόσμον εἶναι καὶ τοῦτον πεπερασμένον, σχῆμα ἔχοντα σφαιροειδές· πρὸς γὰρ τὴν κίνησιν ἁρμοδιώτατον τὸ τοιοῦτον, καθά φησι Ποσειδώνιος ἐν ε´ τοῦ Φυσικοῦ λόγου καὶ οἱ περὶ Ἀντίπατρον ἐν τοῖς Περὶ κόσμου. Ἔξωθεν δὲ αὐτοῦ περικεχυμένον εἶναι τὸ κενὸν ἄπειρον, ὅπερ ἀσώματον εἶναι· κενὸν δὲ τὸ οἷόν τε κατέχεσθαι ὑπὸ σωμάτων οὐ κατεχόμενον. Ἐν δὲ τῷ κόσμῳ μηδὲν εἶναι κενόν, ἀλλ᾽ ἡνῶσθαι αὐτόν· τοῦτο γὰρ ἀναγκάζειν τὴν τῶν οὐρανίων πρὸς τὰ ἐπίγεια σύμπνοιαν καὶ συντονίαν. Φησὶ δὲ περὶ τοῦ κενοῦ Χρύσιππος μὲν ἐν τῷ Περὶ κενοῦ καὶ ἐν τῇ πρώτῃ τῶν Φυσικῶν τεχνῶν καὶ Ἀπολλοφάνης ἐν τῇ Φυσικῇ καὶ Ἀπολλόδωρος καὶ Ποσειδώνιος ἐν β´ τοῦ Φυσικοῦ λόγου.

Εἶναι δὲ καὶ ⟨τὸν τόπον καὶ⟩ τὰ λεκτὰ ἀσώματα ὁ- **141**
μοίως. Ἔτι δὲ καὶ τὸν χρόνον ἀσώματον, διάστημα ὄντα τῆς τοῦ κόσμου κινήσεως. Τούτου δὲ τὸν μὲν παρῳχηκότα καὶ τὸν μέλλοντα ἀπείρους, τὸν δὲ ἐνεστῶτα πεπερασμένον.

Ἀρέσκει δὲ αὐτοῖς καὶ φθαρτὸν εἶναι τὸν κόσμον, ἅτε γενητόν, τῷ λόγῳ τῶν δι᾽ αἰσθήσεως νοουμένων. Οὗ γὰρ

1–4 *SVF* III Antip. Nr. 43; Posidonii F 8 Kidd = F 260 Theiler **5** Ἔξωθεν – **13** *SVF* I Nrr. 95 et 404; II Nr. 543; III Apollod. Nr. 5; Posidonii F 6 Kidd = F 259 Theiler **14–17** *SVF* II Nr. 520. Cf. *Suda,* X 533 **19–p. 528.5** *SVF* II Nr. 589

2 ἁρμοδιώτατον $\mathbf{P^2QFD\Phi}$ et *Suda* : ἁρμονιώτατον $\mathbf{BP^1}$ **3** τοιοῦτον $\mathbf{B^2FD\Phi}$: τοιοῦτο $\mathbf{B^1P}$: τοῦτο *Suda* | hic et in v. 12 ποσιδώνιος **B** **3** ἐν – **4** κόσμου om. **F** **3** ε´ **B** : ει´ $\mathbf{P^1Q}$: ιε´ **D** **6** κενὸν ab Arnim : ἀσώματον **BPFDΦ** et *Suda* **10** φασὶ **B** **10** μὲν ἐν – **13** λόγου om. **F** **14** τὸν τόπον καὶ addidi coll. S.E. *Adv. math.* 10.218 | τὰ λεκτὰ ab Arnim : ταῦτα **BPFD** | ὁμοίως Cobet : ὅμοια **BPFD** **16** παροχηκότα **B** **20** γενητὸν **Φ** : γεννητὸν **BPFD** | τῷ λόγῳ τῶν δι᾽ αἰσθήσεως νοουμένων om. **Φ** et *Suda,* secl. Heine (616) | τῶν $\mathbf{B^2}$ (τῶ $\mathbf{B^1}$) | νοουμένων $\mathbf{F^2}$ in mg : γενομένων **F** in textu | οὔτε $\mathbf{P^1}$ (corr. $\mathbf{P^2Q}$) | γὰρ **Φ** et *Suda* : τε **BPD** : om. **F**

τὰ μέρη φθαρτά ἐστι, καὶ τὸ ὅλον· τὰ δὲ μέρη τοῦ κόσμου φθαρτά (εἰς ἄλληλα γὰρ μεταβάλλει)· φθαρτὸς ἄρα ὁ κόσμος. Καὶ ⟨ἔτι·⟩ εἴ τι ἐπιδεκτικόν ἐστι τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς, φθαρτόν ἐστι· καὶ ὁ κόσμος δέ (ἐξαυχμοῦται γὰρ καὶ ἐξυδατοῦται)· ⟨φθαρτὸς ἄρα ὁ κόσμος.⟩

142 Γίνεσθαι δὲ τὸν κόσμον ὅταν ἐκ πυρὸς ἡ οὐσία τραπῇ δι' ἀέρος εἰς ὑγρότητα, εἶτα τὸ παχυμερὲς αὐτοῦ συστὰν ἀποτελεσθῇ γῆ, τὸ δὲ λεπτομερὲς ἐξαραιωθῇ, καὶ τοῦτ' ἐπὶ πλέον λεπτυνθὲν πῦρ ἀπογεννήσῃ. Εἶτα κατὰ μίξιν ἐκ τούτων φυτά τε καὶ ζῷα καὶ τὰ ἄλλα γένη. Περὶ δὴ οὖν τῆς γενέσεως καὶ φθορᾶς τοῦ κόσμου φησὶ Ζήνων μὲν ἐν τῷ Περὶ ὅλου, Χρύσιππος δ' ἐν τῇ πρώτῃ τῶν Φυσικῶν καὶ Ποσειδώνιος ἐν πρώτῳ Περὶ κόσμου καὶ Κλεάνθης καὶ Ἀντίπατρος ἐν τῷ ι´ Περὶ κόσμου. Παναίτιος δ' ἄφθαρτον ἀπεφήνατο τὸν κόσμον.

Ὅτι δὲ καὶ ζῷον ὁ κόσμος καὶ λογικὸν καὶ ἔμψυχον καὶ νοερόν, καὶ Χρύσιππος ἐν α´ φησὶ Περὶ προνοίας καὶ Ἀ-
143 πολλόδωρος [φησιν] ἐν τῇ Φυσικῇ καὶ Ποσειδώνιος. Ζῷον

6–15 *SVF* I Nr. 102; II Nr. 581; III Antip. Nr. 45; Posidonii F 13 Kidd; Panaetii Fr. 66 van Straaten **6–p. 529.4** Posidonii F 304 Theiler **16–p. 529.5** τὸν κόσμον : *SVF* II Nr. 633; III Apollod. Nr. 10; Boeth. Nr. 6; Posidonii F 99a Kidd

3 ἔτι addidi | ἐπιδεικτικόν **F** | ἐπὶ τοῦ **B** **5** γὰρ **FP**^{4} **H** : γοῦν **BP**^{1}**QDΦ** et *Suda* | φθαρτὸς ἄρα ὁ κόσμος suppl. ab Arnim **6** ἐκ πυρὸς om. **Φ** **7** ὑγρότητα **BD** : ὑγρὸν **PFΦ** **8** ἐξαραιωθῇ **BP**^{1}**QFD** : ἐξαερωθῇ **ΦP**^{4}**H** **10** καὶ^{1} **FΦDP**^{4} **H** : om. **BP**^{1}**Q** **11** τε καὶ **BP**^{1} | μὲν om. **F** **12** καὶ χρύσιππος **F** | δ' ἐν – τῶν Φυσικῶν om. **F** | τῇ πρώτῃ **BP** : τῶ α$^{-ω}$´ **DP**^{5} in mg **13** (hic et in v. 18 et p. 529.7) ποσιδώνιος **B** | πρώτω **BP** : α$^{-ω}$´ **D** : τῶ **F** **13** καὶ κλεάνθης – **14** κόσμου om. **F** **14** ι´ **BPD** : del. ab Arnim **17** α´ **BPD** : τῶ **F** | φησὶ om. **F** | ἀνοίας **P**^{1}**Q** (corr. **P**^{4}**H**) **17** καὶ – **18** Ποσειδώνιος om. **F** **18** φησιν del. Cobet

μὲν ⟨οὖν⟩ οὕτως ὄντα, οὐσίαν ⟨ἔχειν⟩ ἔμψυχον αἰσθητικήν. Τὸ γὰρ ζῷον τοῦ μὴ ζῴου κρεῖττον· οὐδὲν δὲ τοῦ κόσμου κρεῖττον· ζῷον ἄρα ὁ κόσμος. Ἔμψυχον δέ, ὡς δῆλον ἐκ τῆς ἡμετέρας ψυχῆς, ἐκεῖθεν οὔσης ἀποσπάσματος. Βόηθος δέ φησιν οὐκ εἶναι ζῷον τὸν κόσμον. Ὅτι τε εἷς ἐστι, Ζήνων τέ φησιν ἐν τῷ Περὶ τοῦ ὅλου καὶ Χρύσιππος καὶ Ἀπολλόδωρος ἐν τῇ Φυσικῇ καὶ Ποσειδώνιος ἐν α′ τοῦ Φυσικοῦ λόγου. Τὸ δὲ πᾶν λέγεται, ὥς φησιν Ἀπολλόδωρος, ὅ τε κόσμος καὶ καθ' ἕτερον τρόπον τὸ ἐκ τοῦ κόσμου καὶ τοῦ ἔξωθεν κενοῦ σύστημα· ὁ μὲν οὖν κόσμος πεπερασμένος ἐστί, τὸ δὲ κενὸν ἄπειρον.

Τῶν δὲ ἄστρων τὰ μὲν ἀπλανῆ συμπεριφέρεσθαι τῷ **144** ὅλῳ οὐρανῷ, τὰ δὲ πλανώμενα κατ' ἰδίας κινήσεις κινεῖσθαι. Τὸν δὲ ἥλιον λοξὴν τὴν πορείαν ποιεῖσθαι διὰ τοῦ ζῳδιακοῦ κύκλου· ὁμοίως καὶ τὴν σελήνην ἑλικοειδῆ. Εἶναι δὲ τὸν μὲν ἥλιον εἰλικρινὲς πῦρ, καθά φησι Ποσειδώνιος ἐν τῷ ἑβδόμῳ Περὶ μετεώρων· καὶ μείζονα τῆς γῆς, ὡς ὁ αὐτὸς ἐν τῷ ἕκτῳ τοῦ Φυσικοῦ λόγου· ἀλλὰ καὶ σφαιροειδῆ, ὡς οἱ περὶ αὐτὸν τοῦτόν φασιν, ἀναλόγως

5 Ὅτι τε – **8** λόγου : *SVF* I Nr. 97; II Nr. 531; III Apollod. Nr. 11; Posidonii F 4 Kidd = F 256 Theiler **8–11** *SVF* III Apollod. Nr. 9. Cf. *Suda*, Π 149 **12–p. 530.19** ἐχούσης : *SVF* II Nr. 650 **16–p. 530.1** τῷ κόσμῳ : Posidonii F 17, 9 et 117 Kidd = F 312, 261a et 265 Theiler

1 οὖν add. Diels | οὕτως : ὡς Reiske | ἔχειν addidi **2** οὐδὲν – **3** κρεῖττον in mg **F**[2] **6** ζήνων – **8** λόγου in mg infer. **F**[2] **7** ποσειδόνιος **F**[2] **10** post καὶ addit **F** καθέτερον σύστημα | σύστημα **FP**[4]**H** : συστήματος **BP**[1]**QD** **13** ὅλῳ om. **Φ** et *Suda* | πλανόμενα **B** | κινήσεις κινεῖσθαι **BPΦ** et *Suda* : transp. **FD** **14** λοξὴν **B**[2]**DP**[4]**H** et *Suda* : δόξη **B**[1]**P**[1] **QFΦ** **15** καὶ **D** : τε **BPF** et *Suda* : om. **Φ** **17** (hic et in p. 530.10) ποσιδώνιος **B** | ἐν – μετεώρων om. **F** | τῶ **D** : om. **BP** | ἑβδόμω **BD** : ιζ′ **P** **18** ὡς – ἀλλὰ om. **F** | ἕκτῳ Huebner : ἒξ καὶ δεκάτω **B** : ςι′ **P** : ις′ **QD**

τῷ κόσμῳ. Πῦρ μὲν οὖν εἶναι, ὅτι τὰ πυρὸς πάντα ποιεῖ· μείζω δὲ τῆς γῆς τῷ πᾶσαν ὑπ' αὐτοῦ φωτίζεσθαι, ἀλλὰ καὶ τὸν οὐρανόν. Καὶ τὸ τὴν γῆν δὲ κωνοειδῆ σκιὰν ἀποτελεῖν τὸ μείζονα εἶναι σημαίνει· πάντοθεν δὲ βλέπεσθαι διὰ τὸ μέγεθος.

145 Γεωδεστέραν δὲ τὴν σελήνην, ἅτε καὶ προσγειοτέραν οὖσαν. Τρέφεσθαι δὲ τὰ ἔμπυρα ταῦτα καὶ τὰ ἄλλα ἄστρα, τὸν μὲν ἥλιον ἐκ τῆς μεγάλης θαλάττης, νοερὸν ὄντα ἄναμμα· τὴν δὲ σελήνην ἐκ ποτίμων ὑδάτων, ἀερομιγῆ τυγχάνουσαν καὶ πρόσγειον οὖσαν, ὡς Ποσειδώνιος ἐν τῷ ἕκτῳ τοῦ Φυσικοῦ λόγου· τὰ δ' ἄλλα ἀπὸ τῆς γῆς. Δοκεῖ δὲ αὐτοῖς σφαιροειδῆ εἶναι καὶ τὰ ἄστρα καὶ τὴν γῆν, ἀκίνητον οὖσαν. Τὴν δὲ σελήνην οὐκ ἴδιον ἔχειν φῶς, ἀλλὰ παρ' ἡλίου λαμβάνειν ἐπιλαμπομένην.

Ἐκλείπειν δὲ τὸν μὲν ἥλιον ἐπιπροσθούσης αὐτῷ σελήνης κατὰ τὸ πρὸς ἡμᾶς μέρος, ὡς Ζήνων ἀναγράφει
146 ἐν τῷ Περὶ τοῦ ὅλου. Φαίνεται γὰρ ὑπερχομένη ⟨ἐν⟩ ταῖς συνόδοις καὶ ἀποκρύπτουσα αὐτὸν καὶ πάλιν παραλλάττουσα· γνωρίζεται δὲ τοῦτο διὰ λεκάνης ὕδωρ ἐχούσης. Τὴν δὲ σελήνην ἐμπίπτουσαν εἰς τὸ τῆς γῆς σκίασμα· ὅθεν καὶ ταῖς πανσελήνοις ἐκλείπειν μόναις, καίπερ κατὰ

9 τὴν δὲ σελήνην – **11** λόγου : Posidonii F 10 Kidd = F 262 Theiler **15–p. 531.7** *SVF* I Nr. 119; II Nr. 678; Posidonii F 126 Kidd = F 266 Theiler

1 οὖν om. **F** **3** τὸ : τῷ *Suda* | ἀποτελεῖν **BP^{4}HFD** : ἀποβάλλειν **P^{1}QΦ** : ἐπιβάλλειν *Suda* **8** τῆς **DP^4** ss. : om. **BP^{1}FΦ** et *Suda* **10** ὡς – **11** λόγου om. **F** | ὡς **DP^{4}H** : om. **BP^{1}Q** **11** τῆς **DP^4** : om. **BP^{1}FΦ** et *Suda* **14** παρ' **BPF D** : ἀπὸ **Φ** et *Suda* **15** ἐκλίπειν **B** | ἐπιπροσθούσης : ἐπίπροσθεν οὔσης **B** **16** ὡς – **17** ὅλου om. **F** **17** τοῦ **BP^{1}Q** : om. **D**, erasere **P^{4}H** | ἐν^2 add. Cobet **18** ἀποκρύπτουσα **PF** et *Suda* : ὑποκρύπτουσα **BD** **20** σκίασμα **BPFD** : ἀποσκίασμα **Φ** et *Suda* **21** πανσελήνης **B** | ἐκλίπειν **B** | μόναις **P^{4}H**, μόνας **D** : μῆνα **BP^{1}QΦ** : μόνον **F** : om. *Suda*

διάμετρον ἱσταμένην κατὰ μῆνα τῷ ἡλίῳ, ὅτι κατὰ λοξοῦ ὡς πρὸς τὸν ἥλιον κινουμένη παραλλάττει τῷ πλάτει, ἢ βορειοτέρα ἢ νοτιωτέρα γινομένη. Ὅταν μέντοι τὸ πλάτος αὐτῆς κατὰ τὸν ἡλιακὸν καὶ τὸν διὰ μέσων γένηται, εἶτα διαμετρήσῃ τὸν ἥλιον, τότε ἐκλείπει· γίνεται δὲ τὸ πλάτος αὐτῆς κατὰ τὸν διὰ μέσων ἐν Χηλαῖς καὶ Σκορπίῳ καὶ Κριῷ καὶ Ταύρῳ, ὡς οἱ περὶ τὸν Ποσειδώνιον.

147 Θεὸν δ' εἶναι ζῷον ἀθάνατον, λογικόν, τέλειον καὶ νοερὸν ἐν εὐδαιμονίᾳ, κακοῦ παντὸς ἀνεπίδεκτον, προνοητικὸν κόσμου τε καὶ τῶν ἐν κόσμῳ· μὴ εἶναι μέντοι ἀνθρωπόμορφον. Εἶναι δὲ ⟨αὐ⟩τὸν μὴν δημιουργὸν τῶν ὅλων καὶ ὥσπερ πατέρα πάντων, κοινῶς τε καὶ τὸ μέρος αὐτοῦ τὸ διῆκον διὰ πάντων, ὃ πολλαῖς προσηγορίαις προσονομάζεται κατὰ τὰς δυνάμεις. Δία μὲν γάρ φασι δι' ὃν τὰ πάντα, καὶ Ζῆνα καλοῦσι παρ' ὅσον τοῦ ζῆν αἴτιός ἐστιν ἢ διὰ τοῦ ζῆν κεχώρηκεν, Ἀθηνᾶν δὲ κατὰ τὴν εἰς αἰθέρα διάτασιν τοῦ ἡγεμονικοῦ αὐτοῦ, Ἥραν δὲ κατὰ τὴν εἰς ἀέρα, καὶ Ἥφαιστον κατὰ τὴν εἰς τὸ τεχνικὸν πῦρ, καὶ Πο-

8–p. 532.3 *SVF* II Nr. 1021. Cf. *Suda*, Θ 178

1 ὅτι – **3** γινο- om. **B** spatio 2 versuum relicto **1** λοξοῦ **PFD** et *Suda* : λοξὸν Reiske (cf. Aet. 3.13.2) **3** (γινο)μένη : μὲν ἢ **B** : γιγνομένη **P** **4** διὰ ss. **P**^{2} | μέσον **F**^{1} (corr. **F**^{2}) **4** γένηται – **6** μέσων in mg super. **F**^{2} **5** διαμετρῆσαι **F**^{2} | γίνεται **BP**^{1}**QFD** et *Suda* : κεῖται **P**^{4}, κινεῖται **H** **6** τὸν **PD** : τῶν **BF**^{2} | μέσον **F**^{2} **7** ποσιδώνιον **B** **8** τέλειον om. **F** | καὶ scripsi : ἢ **BPFD** : ἢ νοερόν, τέλειον Pohlenz (*Die Stoa* II, 365 n.) **9** παντὸς **BP**^{1}**QF**^{2}**D** et *Suda* : τινὸς **F**^{1}(?)**P**^{4}**H** **11** ⟨αὐ⟩τὸν scripsi : τὸν **BPFD** et *Suda* | μὴν scripsi : μὲν **BPFD** et *Suda* **12** ὥσπερ καὶ **FP**^{4} | τε *Frob.* : δὲ **BPFD** et *Suda* **15** καὶ ζῆνα **BP**^{1}**QD** : ζῆνα δὲ **FP**^{4} **16** εἰς **FD** **P**^{4} : ἐς **P**^{1}**Q** : om. **B** | αἰθέρα **BPD** : ἀέρα ἤτοι αἰθέρα **F** **17** τοῦ ἡγεμονικοῦ αὐτοῦ om. **F** **18** ἥφεστον **B** | εἰς **DP**^{4} : ἐς **BP**^{1}**QF** | ποσιδῶνα **B**

σειδῶνα κατὰ τὴν εἰς τὸ ὑγρόν, καὶ Δήμητραν κατὰ τὴν εἰς γῆν· ὁμοίως δὲ καὶ τὰς ἄλλας προσηγορίας ἐχόμενοί τινος οἰκειότητος ἀπέδοσαν.

148 Οὐσίαν δὲ θεοῦ Ζήνων μέν φησι τὸν ὅλον κόσμον καὶ τὸν οὐρανόν· ὁμοίως δὲ καὶ Χρύσιππος ἐν τῷ α΄ Περὶ θεῶν καὶ Ποσειδώνιος ἐν α΄ Περὶ θεῶν. Καὶ Ἀντίπατρος ἐν ἑβδόμῳ Περὶ κόσμου ἀεροειδῆ φησιν αὐτοῦ τὴν οὐσίαν· Βόηθος δὲ ἐν τῇ Περὶ φύσεως οὐσίαν θεοῦ τὴν τῶν ἀπλανῶν σφαῖραν.

Φύσιν δὲ ποτὲ μὲν ἀποφαίνονται τὴν συνέχουσαν τὸν κόσμον, ποτὲ δὲ τὴν φύουσαν τὰ ἐπὶ γῆς. Ἔστι δὲ φύσις ἕξις ἐξ αὑτῆς κινουμένη κατὰ σπερματικοὺς λόγους, ἀποτελοῦσά τε καὶ συνέχουσα τὰ ἐξ αὑτῆς ἐν ὡρισμένοις
149 χρόνοις καὶ τοιαῦτα δρῶσα ἀφ' οἵων ἀπεκρίθη. Ταύτην δὲ καὶ τοῦ συμφέροντος στοχάζεσθαι καὶ ἡδονῆς, ὡς δῆλον ἐκ τῆς τοῦ ἀνθρώπου δημιουργίας.

Καθ' εἱμαρμένην δέ φασι τὰ πάντα γίνεσθαι Χρύσιππος ἐν τοῖς Περὶ εἱμαρμένης καὶ Ποσειδώνιος ἐν β΄ Περὶ εἱμαρμένης καὶ Ζήνων, Βόηθος δ' ἐν α΄ Περὶ εἱμαρμένης.

4–9 *SVF* I Nr. 163; II Nr. 1022; III Antip. Nr. 44; Boeth. Nr. 3; Posidonii F 20 Kidd = F 344 Theiler **10–16** *SVF* II Nr. 1132. Cf. *Suda,* Φ 864 **17–p. 533.2** *SVF* I Nr. 175; II Nr. 915; III Boeth. Nr. 5; Posidonii F 25 Kidd = F 381 Theiler

3 ἀπέδωσαν **B** **4** φησὶ ζήνων **F** | μέν **D** : δέ **BP** : om. **F** **5** αι΄ **BP** : ια΄ **FD** **6** καὶ^1 – **7** τὴν οὐσίαν in mg super. **F**^{2} **6** ποσιδώνος **B** : ποσειδόνιος **F**^{2} | α΄ **BPD** : πρώτω **F**^{2} **7** ἀεροειδῆ : ἀέρος δὴ **B** **8** ἐν τῇ Περὶ φύσεως om. **F** **12** αὑτῆς **Φ** et *Suda* : αὐτῆς **BPFD** | κινουμένη corr. ex γινομένη **F** **13** αὑτῆς Huebner : αὐτῆς **BPFDΦ** et *Suda* **15** καὶ^2 **D** : om. **BPF** **17** φασι **P**^{4}**H** et *Frob.* : φησι **BP**^{1}**QFD** **18** καὶ – **19** Ζήνων om. **F** **18** ποσιδώνιος **B** **19** post δὲ addit φησὶν **F** | ἐν – εἱμαρμένης om. **F** | α΄ **BD** : πρώτω **P**^{1}**Q** : ια΄ ss. γρ. **P**^{4}

Ἔστι δὲ εἱμαρμένη αἰτία τῶν ὄντων εἰρομένη, ἢ λόγος καθ' ὃν ὁ κόσμος διεξάγεται.

Καὶ μὴν καὶ μαντικὴν ὑφεστάναι φασὶ πᾶσαν, εἰ καὶ πρόνοιαν εἶναι· καὶ αὐτὴν καὶ τέχνην ἀποφαίνουσι διά τινας ἐκβάσεις, ὥς φησι Ζήνων τε καὶ Χρύσιππος ἐν τῷ β' Περὶ μαντικῆς καὶ Ἀθηνόδωρος καὶ Ποσειδώνιος ἐν τῷ β' τοῦ Φυσικοῦ λόγου καὶ ἐν τῷ ε' Περὶ μαντικῆς. Ὁ μὲν γὰρ Παναίτιος ἀνυπόστατον αὐτήν φησιν.

Οὐσίαν δέ φασι τῶν ὄντων ἁπάντων τὴν πρώτην ὕλην, **150** ὡς καὶ Χρύσιππος ἐν τῇ πρώτῃ τῶν Φυσικῶν καὶ Ζήνων. Ὕλη δέ ἐστιν ἐξ ἧς ὁτιδηποτοῦν γίνεται. Καλεῖται δὲ διχῶς, οὐσία τε καὶ ὕλη, ἥ τε τῶν πάντων καὶ ἡ τῶν ἐπὶ μέρους. Ἡ μὲν οὖν τῶν ὅλων οὔτε πλείων οὔτε ἐλάττων γίνεται, ἡ δὲ τῶν ἐπὶ μέρους καὶ πλείων καὶ ἐλάττων. Σῶμα δέ ἐστι κατ' αὐτοὺς ἡ οὐσία καὶ πεπερασμένη, καθά φησιν Ἀντίπατρος ἐν β' Περὶ οὐσίας καὶ Ἀπολλόδωρος ἐν τῇ Φυσικῇ. Καὶ παθητὴ δέ ἐστιν, ὡς ὁ αὐτός φησιν· εἰ γὰρ ἦν ἄτρεπτος, οὐκ ἂν τὰ γινόμενα ἐξ αὐτῆς ἐγίνετο.

3–8 *SVF* I Nr. 174; II Nr. 1191; Posidonii F 7 et 27 Kidd = F 371a Theiler **7–8** Panaetii Fr. 73 van Straaten **9–14** *SVF* I Nr. 174; II Nr. 316 **15–18** *SVF* III Antip. Nr. 32; Apollod. Nr. 4

1 ὄντων **D** : νόμων **BPFΦ** : ὅλων *Suda*, Reiske **3** μαγικὴν **F** | φασὶ πᾶσαν **BP** : transp. **FD** | εἰ **B** : ἢ **PF** : om. **D** **4** καὶ^2 **BP^{1}Q** : om. **FD**, erasit **P^4** **5** ὥς φησι – **7** μαντικῆς in mg infer. **F^2** **5** τῷ β' **PF** : τοῖς δύο **BD** **6** ποσιδώνιος **B**, ποσειδόνιος **F^2** | β' Cobet : ιβ' **BPFD** **7** τῶν φισικῶν λόγων **F^2** | τῷ ε' **DP^4**, ε' **F** : τοῖς ε' **BP^1** **10** ὡς – Ζήνων om. **F** **11** ὁτιδηποτοῦν **D** : ὁδηποτοῦν **BPF** **14** καὶ πλείων καὶ ἐλάττων ex **D**(καὶ πλείω καὶ ἐλάττω) suppl. Stephanus : om. **BPF** : λείπει in mg **P^4** **16** καὶ – **17** τῇ Φυσικῇ om. **F**

Ἔνθεν κἀκεῖνός ⟨φησιν⟩ ὅτι ἡ ⟨τοῦ σώματος⟩ τομὴ εἰς
ἄπειρόν ἐστιν. Ἣν ἄπειρον ⟨οὐκ εἰς ἄπειρόν⟩ φησιν ὁ
151 Χρύσιππος· | οὐ γάρ ἐστί τι ἄπειρον εἰς ὃ γίνεται ἡ τομή·
ἀλλ' ἀκατάληκτός ἐστι.

Καὶ τὰς κράσεις δὲ διόλου γίνεσθαι, καθά φησιν ὁ Χρύσιππος ἐν τῇ γʹ τῶν Φυσικῶν, καὶ μὴ κατὰ περιγραφὴν καὶ παράθεσιν· καὶ γὰρ εἰς πέλαγος ὀλίγος οἶνος βληθεὶς ἐπὶ ποσὸν ἀντιπαρεκταθήσεται, εἶτα συμφθαρήσεται.

Φασὶ δὲ εἶναι καί τινας δαίμονας ἀνθρώπων συμπάθειαν ἔχοντας, ἐπόπτας τῶν ἀνθρωπείων πραγμάτων· καὶ ἥρωας τὰς ὑπολελειμμένας τῶν σπουδαίων ψυχάς.

Τῶν δὲ ἐν ἀέρι γινομένων χειμῶνα μὲν εἶναί φασι τὸν
ὑπὲρ γῆς ἀέρα κατεψυγμένον διὰ τὴν τοῦ ἡλίου πρόσω
ἄφοδον, ἔαρ δὲ τὴν εὐκρασίαν τοῦ ἀέρος κατὰ τὴν ⟨τοῦ
152 ἡλίου⟩ πρὸς ἡμᾶς πορείαν· θέρος δὲ τὸν ὑπὲρ γῆς ἀέρα
καταθαλπόμενον τῇ τοῦ ἡλίου πρὸς ἄρκτον πορείᾳ, μετόπωρον δὲ τῇ παλινδρομίᾳ τοῦ ἡλίου ἀφ' ἡμῶν γίνεσθαι. ⟨Τοὺς δὲ ἀνέμους ἀέρος εἶναι ῥύσεις, παραλλαττούσας δὲ τὰς ἐπωνυμίας⟩ παρὰ τοὺς τόπους ἀφ' ὧν ῥέουσι. Τῆς

1 Ἔνθεν – **4** *SVF* II Nr. 482 **5–8** *SVF* II Nr. 479. Cf. E. Lewis, *BICS* 35 (1988) 84–90 **9–11** *SVF* II Nr. 1102; Posidonii F 400f Theiler **12–17** γίνεσθαι : *SVF* II Nr. 693 **18–p. 535.2** *SVF* II Nr. 698

1 κἀκεῖνός ⟨φησιν⟩ ὅτι G. Hermann : κακεῖνο ὅτι **D** : κἀκεῖνος **BP** : κἀκείνως **F** : κἀκ⟨ολουθ⟩εῖν ὡς ab Arnim | τοῦ σώματος addidi ex Aëtii *Plac.* 1.16.4 **2** οὐκ εἰς ἄπειρον suppl. ab Arnim | ὁ om. **F** **4** ἀκατάληκτος **BPFD** : ἀκατάληπτος R.B. Todd (*Apeiron* 7 [1973] 21–29) **8** ἀντιπαρεκτανθήσεται **F** **9** καί τινας **D**P^4 : τινὰς καὶ **B**P^1**F** **10** ἀνθρωπείων **PDΦ**, ἀνθρωπίων **F** : ἀνθρωπίνων **B** **12** γενομένων **F** **14–15** τοῦ ἡλίου supplevi **17** τὴν παλινδρομίαν **Φ** **18** Τοὺς δὲ ἀνέμους – **19** τὰς ἐπωνυμίας ex Aëtii *Plac.* 3.7.2 post Is. Casaubon suppl. ab Arnim : lac. indic. (λείπει) P^4 in mg **19** τρόπους **F**

δὲ γενέσεως αὐτῶν αἴτιον γίνεσθαι τὸν ἥλιον ἐξατμίζοντα τὰ νέφη.

Ἶριν δὲ εἶναι αὐγὰς ἀφ' ὑγρῶν νεφῶν ἀνακεκλασμένας ἤ, ὡς Ποσειδώνιός φησιν ἐν τῇ Μετεωρολογικῇ, ἔμφασιν ἡλίου τμήματος ἢ σελήνης ἐν νέφει δεδροσισμένῳ, κοίλῳ καὶ συνεχεῖ πρὸς φαντασίαν, ὡς ἐν κατόπτρῳ φανταζομένην κατὰ κύκλου περιφέρειαν. Κομήτας δὲ καὶ πωγωνίας καὶ λαμπαδίας πυρὰ εἶναι ὑφεστῶτα παχέος ἀέρος εἰς τὸν αἰθερώδη τόπον ἀνενεχθέντος. Σέλας δὲ πυρὸς **153**
ἀθρόου ἔξαψιν ἐν ἀέρι φερομένου ταχέως καὶ φαντασίαν μήκους ἐμφαίνοντος.

Ὑετὸν δὲ ἐκ νέφους μεταβολὴν εἰς ὕδωρ, ἐπειδὰν ἡ ἐκ γῆς ἢ ἐκ θαλάττης ἀνενεχθεῖσα ὑγρασία ὑφ' ἡλίου [καὶ] μὴ τυγχάνῃ κατεργασίας· καταψυχθὲν δὲ τοῦτο πάχνην καλεῖσθαι. Χάλαζαν δὲ νέφος πεπηγός, ὑπὸ πνεύματος διαθρυφθέν. Χιόνα δὲ ὑγρὸν ἐκ νέφους πεπηγότος, ὡς Ποσειδώνιος ἐν τῷ η´ τοῦ Φυσικοῦ λόγου.

3–11 *SVF* II Nr. 692 **3–7** περιφέρειαν : Posidonii F 15 Kidd **3–15** καλεῖσθαι : Posidonii F 335 Theiler **12–16** διαθρυφθέν : *SVF* II Nr. 702 **15** Χάλαζαν – **17** λόγου : Posidonii F 11 Kidd = F 263 Theiler

1 γίνεσθαι **BP^{1}D** : γενέσθαι **P^{2}QF** et *Suda* : εἶναι **Φ** **3** ἀφ' **BP^{1}QDΦ** et *Suda* : ἐξ **FP^4** (ss. γρ.) **4** (hic et in v. 16) ποσιδώνιος **B** **6** συνεχῆ **F** | ἐν **DP^{4}HΦ** et *Suda* : ἂν **BP^{1}QF** | φανταζομένην **BP^{1}FΦ** et *Suda* : φανταζομένη **P^{2}QD** : αὐγαζομένην in mg γρ. **P^4** **8** καὶ λαμπαδίας om. **B** | ἐφεστῶτα **P^{1}Q** (corr. **P^4**) | παχέος Reiske e *Suda* : πάχους **BPFDΦ** **9** ἀναχθέντος **Φ** **10** ἀθρόου – **11** μήκους in mg infer. **F^2** **10** φερόμενον **B^1** (corr. **B^2**) : ἐμπεριφερομένου **Φ** : περιφερομένου *Suda* **12** ἡ Reiske, Usener (348) : ἢ **BPΦ** : ᾗ **F** **13** ὑφ' **BP^{1}QF** et *Suda* : ἀφ' **ΦDP^4** | καὶ om. **ΦD**, del. *Frob.* **14** τυγχάνῃ **ΦDP^4** : τυγχάνοι **P^2** : τυγχάνον **BP^{1}F** | καταψυχθὲν **ΦDP^4** (καταψυχθῇ *Suda*) : καταψυχὲν **B** : καταψύχειν **P^{1}Q** : κατέψυχε **F** | πάχνην in mg **F^2** **16** post διαθρυφθὲν addit *Suda* καὶ κατενεχθέν (addendum Heine, 616)

Ἀστραπὴν δὲ ἔξαψιν νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων ὑπὸ πνεύματος, ὡς Ζήνων ἐν τῷ Περὶ τοῦ ὅλου· βροντὴν δὲ τὸν τούτων ψόφον ἐκ παρατρίψεως ἢ ῥήξεως·
154 κεραυνὸν δὲ ἔξαψιν σφοδρὰν μετὰ πολλῆς βίας [καὶ] πίπτουσαν ἐπὶ γῆς, νεφῶν παρατριβομένων ἢ ῥηγνυμένων· οἱ δὲ συστροφὴν πυρώδους ἀέρος βιαίως καταφερομένην. Τυφῶνα δὲ κεραυνὸν βίαιον, πολὺν καὶ πνευματώδη, ἢ πνεῦμα καπνῶδες ἐρρωγότος νέφους· πρηστῆρα ⟨δὲ⟩ νέφος περισχισθὲν πυρὶ μετὰ πνεύματος.

⟨Σεισμοὺς δὲ γίνεσθαι πνεύματος⟩ εἰς τὰ κοιλώματα τῆς γῆς ⟨ῥυέντος⟩ ἢ καθειρχθέντος [πνεύματος] ἐν τῇ γῇ, καθά φησι Ποσειδώνιος ἐν τῇ η΄· εἶναι δ' αὐτῶν τοὺς μὲν ἰζηματίας, τοὺς δὲ χασματίας, τοὺς δὲ κλιματίας, τοὺς δὲ βρασματίας.
155 Ἀρέσκει δ' αὐτοῖς καὶ τὴν διακόσμησιν ὧδε ἔχειν·

1–9 *SVF* I Nr. 117; II Nr. 704 **8** πρηστῆρα – **14** Posidonii F 12 Kidd = F 264 Theiler **10–14** cf. *Suda,* Σ 291; Sen. *Q.N.* 6.21.2 et P. Steinmetz, *Rhein. Mus.* 105 (1962) 261–263 **15–p. 537.3** *SVF* II Nr. 558. Cf. *Suda,* Δ 595

2 ὡς – τοῦ ὅλου om. **F** **4** δὲ **FDP**^{4} ss. : om. **BP**^{1}**Φ** | post βίας add. καὶ **BP**^{1}**F** : om. **ΦD** et *Suda,* del. *Frob.* **5** post ῥηγνυμένων addit ὑπὸ πνεύματος **F** **7** δὲ **DP**^{4} : om. **BP**^{1}**F Φ** | πολὺν βίαιον **D** **8** ἐρρωγότος **FP**^{4} : ἐρρωγὸς **P**^{1}**QD** et *Suda,* ἔρρωτος **B** : om. **Φ** | νέφους **FP**^{4} : ἀπὸ νέφους **BP**^{1}**QDΦ** et *Suda* | δὲ add. Hicks **9** περισχισθὲν **B**^{2} (περισχιθὲν **B**^{1}) **P**^{1} et **P**^{4} in mg γρ., **Φ** : περιχυθὲν **FP**^{4} : περισχυθὲν **D** : περισχεθὲν *Suda* **10** Σεισμοὺς δὲ γίνεσθαι πνεύματος suppl. Menagius (conl. *Suda,* Σ 291) **11** post τῆς γῆς signum lacunae in **P** : ῥυέντος suppl. Hicks : εἰσδύοντος suppl. Menagius, Von der Muehll | καθηρχθέντος **B** | πνεύματος del. Cobet et Hicks **12** καθά – ἐν τῇ η΄ om. **F** | ποσιδώνιος **B** **13** ἰζηματίας Theiler (conl. Ps.-Aristot. *De mundo* 396 a 4) : σεισματίας **B** (σισματίας), **PFDΦ** | κλιματίας Schneider (*Eclog. phys.* 112) : καϊματίας **B** : καυματίας **FΦDP**^{4} : κυματίας **P**^{1}**Q**

μέσην τὴν γῆν κέντρου λόγον ἐπέχουσαν, μεθ' ἣν τὸ ὕδωρ σφαιροειδές, ἔχον τὸ αὐτὸ κέντρον τῇ γῇ, ὥστε τὴν γῆν ἐν ὕδατι εἶναι· μετὰ τὸ ὕδωρ δὲ ἀέρα ἐσφαιρωμένον. Κύκλους δὲ εἶναι ἐν τῷ οὐρανῷ πέντε, ὧν πρῶτον ἀρκτικὸν ἀεὶ φαινόμενον, δεύτερον τροπικὸν θερινόν, τρίτον ἰσημερινόν, τέταρτον χειμερινὸν τροπικόν, πέμπτον ἀνταρκτικὸν ἀφανῆ. Λέγονται δὲ παράλληλοι καθότι οὐ συννεύουσιν εἰς ἀλλήλους· γράφονται μέντοι περὶ τὸ αὐτὸ κέντρον. Ὁ δὲ ζωδιακὸς λοξός ἐστιν, ὡς ἐπιὼν τοὺς παραλλήλους. Ζῶναί τε ἐπὶ τῆς γῆς εἰσι πέντε· πρώτη βόρειος **156** ὑπὲρ τὸν ἀρκτικὸν κύκλον, ἀοίκητος διὰ ψῦχος· δευτέρα εὔκρατος· τρίτη ἀοίκητος ὑπὸ καύματος, ἡ διακεκαυμένη καλουμένη· τετάρτη ἡ ἀντεύκρατος· πέμπτη νότιος, ἀοίκητος διὰ ψῦχος.

Δοκεῖ δὲ αὐτοῖς τὴν μὲν φύσιν εἶναι πῦρ τεχνικόν, ὁδῷ βαδίζον εἰς γένεσιν, ὅπερ ἐστὶ πνεῦμα πυροειδὲς καὶ τεχνοειδές· τὴν δὲ ψυχὴν αἰσθητικὴν ⟨φύσιν⟩. Ταύτην δ' εἶναι τὸ συμφυὲς ἡμῖν πνεῦμα· διὸ καὶ σῶμα εἶναι καὶ μετὰ τὸν θάνατον ἐπιμένειν· φθαρτὴν δ' ὑπάρχειν, τὴν δὲ τῶν ὅλων ἄφθαρτον, ἧς μέρη εἶναι τὰς ἐν τοῖς ζῴοις. Ζήνων **157**

3 Κύκλους – **9** *SVF* II Nr. 651. Cf. *Suda,* K 2654 **10** Ζῶναί τε – **14** *SVF* II Nr. 649. Cf. *Suda,* Z 137 **15–20** *SVF* I Nr. 171; II Nr. 774 **20–p. 538.3** *SVF* I Nr. 135; III Antip. Nr. 49; Posidonii F 139 Kidd = F 390 Theiler

1 ἐπέχουσαν **PFD** : ἀπεχουσαν **B** : ἔχουσαν **Φ** et *Suda* **5** θερινόν ... **6** χειμερινὸν : transp. Heine (621) **6** post δ' add. δὲ **BP** | χιμερινὸν **B** **7** παράλληλοι **BDP**^{4} et *Suda* : πάντα ἄλληλοι **P**^{1}**QF** : ἀκατάλληλοι **Φ** **8** τὸ αὐτὸ κέντρον : τὸν αὐτὸν πόλον **P**^{4} **9** ἐπιὼν **FP**^{4} : ἐπιὸς **BP**^{1}**Q** : πρὸς **D** : αἴτιος *Suda* **10** πρῶτος **B** **11** δεύτερος **F** **12** καύματος ab Arnim e *Suda* : καυμάτων **BPFDΦ** **17** φύσιν add. ab Arnim : ἕξιν add. Gigante **19** ὑπάρχειν **BP**^{1}**Φ** : εἶναι **FDP**^{4} ss. γρ. **20** μέλη **B** **20** Ζήνων – **p. 538.1** ποσειδώνιος in mg **F**^{2}

δὲ ὁ Κιτιεὺς καὶ Ἀντίπατρος ἐν τοῖς Περὶ ψυχῆς καὶ Ποσειδώνιος πνεῦμα ἔνθερμον εἶναι τὴν ψυχήν· τούτῳ γὰρ ἡμᾶς εἶναι ἐμπνόους καὶ ὑπὸ τούτου κινεῖσθαι. Κλεάνθης μὲν οὖν πάσας ἐπιδιαμένειν [τὰς] μέχρι ⟨τῆς⟩ ἐκπυρώσεως, Χρύσιππος δὲ τὰς τῶν σοφῶν μόνων.

Μέρη δὲ ψυχῆς λέγουσιν ὀκτώ, τὰς πέντε αἰσθήσεις καὶ τοὺς ἐν ἡμῖν σπερματικοὺς λόγους καὶ τὸ φωνητικὸν καὶ τὸ λογιστικόν. Ὁρᾶν δὲ τοῦ μεταξὺ τῆς ὁράσεως καὶ τοῦ ὑποκειμένου φωτὸς ἐντεινομένου κωνοειδῶς, καθά φησι Χρύσιππος ἐν δευτέρῳ τῶν Φυσικῶν καὶ Ἀπολλόδωρος. Γίνεσθαι μέντοι τὸ κωνοειδὲς τοῦ ἀέρος πρὸς τῇ ὄψει, τὴν δὲ βάσιν πρὸς τῷ ὁρωμένῳ· ὡς διὰ βακτηρίας οὖν τοῦ ταθέντος ἀέρος τὸ βλεπόμενον ἀναγγέλλεσθαι.

158 Ἀκούειν δὲ τοῦ μεταξὺ τοῦ φωνοῦντος καὶ τοῦ ἀκούοντος ἀέρος πληττομένου σφαιροειδῶς, εἶτα κυματουμένου καὶ ταῖς ἀκοαῖς προσπίπτοντος, ὡς κυματοῦται τὸ ἐν τῇ δεξαμενῇ ὕδωρ κατὰ κύκλους ὑπὸ τοῦ ἐμβληθέντος λίθου. Τὸν δὲ ὕπνον γίνεσθαι ἐκλυομένου τοῦ αἰσθητικοῦ τόνου περὶ τὸ ἡγεμονικόν. Αἰτίας δὲ τῶν παθῶν ἀπολείπουσι τὰς περὶ τὸ πνεῦμα τροπάς.

Σπέρμα δὲ λέγουσιν εἶναι τὸ οἷόν τε γεννᾶν τοιαῦτα ἀφ' οἵου καὶ αὐτὸ ἀπεκρίθη· ἀνθρώπου δὲ σπέρμα, ὃ μεθίησιν ὁ ἄνθρωπος μεθ' ὑγροῦ, συγκιρνᾶσθαι τοῖς τῆς ψυ-

3–5 *SVF* I Nr. 522; II Nr. 811 **6–8** *SVF* II Nr. 828. Cf. DL 7.110 **8** Ὁρᾶν – **13** *SVF* II Nr. 867; III Apollod. Nr. 12 **14–18** *SVF* II Nr. 872 **18** Τὸν δὲ ὕπνον – **20** *SVF* II Nr. 766 **21–p. 539.5** *SVF* I Nr. 128; II Nr. 741

1 κιττιεὺς **P** | ποσιδώνιος **B** **2** θερμὸν **F** | τούτω **B**[2] (του **B**[1]) **3** ἔμπνους **F** **4** ante μέχρις addunt τὰς **BPFD**, del. Meibom. | τῆς add. Meibom. **8** τοῦ **B**[2]**ΦDP**[4] : τοὺς **B**[1]**P**[1]**QF** **9** καθά – **10** Ἀπολλόδωρος om. **F** **11** μέντοι **FD** (μέν τι) **P**[4] : μὲν **BP**[1]**Q** : μὲν γὰρ **Φ** **14** post τοῦ[2] addit ss. τε **P**[4] **16** ἐμπίπτοντος **Φ** **19** ἀπολίπουσι **B** **22** οἵου : οὗ **F** **23** συγκρίνασθαι **B**

χῆς μέρεσι κατὰ μιγμὸν τοῦ τῶν προγόνων λόγου. Εἶναι δ' αὐτὸ Χρύσιππός φησιν ἐν τῇ δευτέρᾳ τῶν Φυσικῶν πνεῦμα κατὰ τὴν οὐσίαν, ὡς δῆλον ἐκ τῶν εἰς τὴν γῆν καταβαλλομένων σπερμάτων, ἃ παλαιωθέντα οὐκέτι φύεται, [ὡς δῆλον] διαπεπνευκυίας αὐτῶν τῆς δυνάμεως. Καὶ ἀφ' ὅλων δὲ τῶν σωμάτων φασὶ αὐτὸ καταφέρεσθαι οἱ περὶ τὸν Σφαῖρον· πάντων γοῦν γεννητικὸν εἶναι τῶν τοῦ σώματος μερῶν. Τὸ δὲ τῆς θηλείας ἄγονον ἀποφαίνονται· ἄτονόν τε γὰρ εἶναι καὶ ὀλίγον καὶ ὑδατῶδες, ὡς ὁ Σφαῖρός φησιν. Ἡγεμονικὸν δ' εἶναι τὸ κυριώτατον τῆς ψυχῆς, ἐν ᾧ αἱ φαντασίαι καὶ αἱ ὁρμαὶ γίνονται καὶ ὅθεν ὁ λόγος ἀναπέμπεται· ὅπερ εἶναι ἐν καρδίᾳ. 159

Ταῦτα μὲν καὶ τὰ φυσικά, τὸ ὅσον ἡμῖν ἀποχρώντως ἔχειν δοκεῖ στοχαζομένοις τῆς συμμετρίας τοῦ συγγράμματος. Ἃ δέ τινες ἐξ αὐτῶν διηνέχθησαν, ἔστι τάδε. 160

⟨ΑΡΙΣΤΩΝ⟩

Ἀρίστων ὁ Χῖος ὁ Φάλανθος, ἐπικαλούμενος Σειρήν. Τέλος ἔφησεν εἶναι τὸ ἀδιαφόρως ἔχοντα ζῆν πρὸς τὰ μεταξὺ ἀρετῆς καὶ κακίας, μηδ' ἡντινοῦν ἐν αὐτοῖς παραλλαγὴν ἀπολείποντα, ἀλλ' ἐπίσης ἐπὶ πάντων ἔχοντα· εἶναι γὰρ ὅμοιον τὸν σοφὸν τῷ ἀγαθῷ ὑποκριτῇ, ὃς ἄν τε

5 Καὶ – 10 φησιν : *SVF* I Nrr. 626 et 129 **10–12** *SVF* II Nr. 837 **17–p. 540.9** ἔχειν : *SVF* I Nrr. 333 et 351. Cf. *Suda*, T 282

1 προγόνου **BP¹Q** (corr. **P⁴**) **2** Χρύσιππος – φυσικῶν om. **F** **3** τὴν² om. **F** **5** ὡς δῆλον om. **Φ** 61, del. Diels | αὐτῶν **BP¹QΦ** : αὐτοῖς **FDP⁴** | post δυνάμεως pergit **Φ** 61 διὰ τοῦτο τοὺς γέροντας μὴ τεκνοποιεῖν **6** φασὶ αὐτὸ **BP** : transp. **FD** **9** γὰρ om. **F**, erasit **P⁴** **13** ἀποχρώντως Cobet : ἀποχρηστικῶς **BPFD** **16** *tit.* **Q**, *Frob.* : om. **BPFD** **17** χεῖος **B** | σίρην **B** **18** τὰ *Frob.* : τι **BPFD** **21** τὸν σοφὸν post ὑποκριτῇ **FDP⁴**

Θερσίτου ἄν τε Ἀγαμέμνονος πρόσωπον ἀναλάβῃ, ἑκάτερον ὑποκρίνεται προσηκόντως. Τόν τε φυσικὸν τόπον καὶ τὸν λογικὸν ἀνῄρει, λέγων τὸν μὲν εἶναι ὑπὲρ ἡμᾶς, τὸν δ' οὐδὲν πρὸς ἡμᾶς, μόνον δὲ τὸν ἠθικὸν εἶναι πρὸς ἡμᾶς.

161 Ἐοικέναι δὲ τοὺς διαλεκτικοὺς λόγους τοῖς ἀραχνίοις, ἃ καίτοι δοκοῦντα τεχνικόν τι ἐμφαίνειν, ἄχρηστά ἐστιν. Ἀρετάς τε οὔτε πολλὰς εἰσῆγεν, ὡς ὁ Ζήνων, οὔτε μίαν πολλοῖς ὀνόμασι καλουμένην, ὡς οἱ Μεγαρικοί, ἀλλὰ κατὰ τὸ πρός τί πως ἔχειν. Οὕτω δὲ φιλοσοφῶν καὶ ἐν Κυνοσάργει διαλεγόμενος ἴσχυσεν αἱρετιστὴς ἀκοῦσαι. Μιλτιάδης οὖν καὶ Δίφιλος Ἀριστώνειοι προσηγορεύοντο. Ἦν δέ τις πειστικὸς καὶ ὄχλῳ πεποιημένος· ὅθεν ὁ Τίμων φησὶ περὶ αὐτοῦ·

καί τι Ἀρίστωνος γέννης ἄπο αἰμύλον ἕλκων.

162 Παραβαλὼν δὲ Πολέμωνι, φησὶ Διοκλῆς ὁ Μάγνης, μετέθετο, Ζήνωνος ἀρρωστίᾳ μακρᾷ περιπεσόντος. Μάλιστα δὲ προσεῖχε Στωϊκῶν δογμάτων τῷ τὸν σοφὸν μὴ δοξαστὸν εἶναι. Πρὸς ὃ Περσαῖος ἐναντιούμενος διδύμων ἀδελφῶν τὸν ἕτερον ἐποίησεν αὐτῷ παρακαταθήκην δοῦ-

2–4 cf. 6.103 **5–7** Arsen. *Violetum*, p. 117 Walz **7** *SVF* I Nr. 200 **8** οἱ Μεγαρικοί : cf. T 25 Doering **9** Οὕτω – **16** *SVF* I Nr. 333 **14** Timonis B 40 Diels = *Suppl. Hell.* 814 **16** Μάλιστα δὲ – **p. 541.2** *SVF* I Nr. 347 = 461

1 ἑκατέρων **B** **4** οὐδὲ **F** **5** post ἐοικέναι addit ἔλεγε **Φ** **7–8** οὔτε μίαν in mg super. F^2 **9** κατὰ Heine (624) : καὶ **BPFD** | ἴσχειν **F**P^4 **11** γοῦν Long | δείφιλος **B**, δίιφιλος P^1**Q** | ἀριστώνιοι **B** **12** πιστικὸς **B** | καὶ ὄχλω πεποιημένος in mg F^2 **14** τι Diels : τις **BPFD** | γενεὴν ἄπο αἰμύλου (servato τις) Menagius et Meineke | ἀποεμυλον **B** **15** παραλαβὼν F^1 (corr. F^2 in mg) **16** μετετέθητο **F** **17** Στωϊκῶν δογμάτων Reiske : στωϊκῷ δόγματι **BPFDΦ** **17–18** μὴ δοξαστὸν $\Phi^2\Psi$ (cf. 7.201) : δοξαστὸν **BPFD** : ⟨ἀ⟩δόξαστον Scaliger et *Aldobr.* **18** post εἶναι addit λέγοντι **Φ**

ναι, ἔπειτα τὸν ἕτερον ἀπολαβεῖν· καὶ οὕτως ἀπορούμενον διήλεγξεν. Ἀπετείνετο δὲ πρὸς Ἀρκεσίλαον· ἵνα θεασάμενος ταῦρον τερατώδη μήτραν ἔχοντα, "Οἴμοι," ἔφη, "δέδοται Ἀρκεσιλάῳ ἐπιχείρημα κατὰ τῆς ἐναργείας." Πρὸς δὲ τὸν φάμενον Ἀκαδημαϊκὸν μηδὲν καταλαμ- **163** βάνειν, "Ἆρ' οὐδὲ τὸν πλησίον σου καθήμενον ὁρᾷς;" εἶπεν· ἀρνησαμένου δέ,

Τίς ⟨δέ⟩ σ' ἐτύφλωσεν – ἔφη –, τίς ἀφείλετο
λαμπάδος αὐγάς;

Βιβλία δὲ αὐτοῦ φέρεται τάδε·

Προτρεπτικῶν β',
Περὶ τῶν Ζήνωνος δογμάτων,
Διάλογοι,
Σχολῶν ς',
Περὶ σοφίας διατριβῶν ζ',
Ἐρωτικαὶ διατριβαί,
Ὑπομνήματα ὑπὲρ κενοδοξίας,
Ὑπομνημάτων κε',
Ἀπομνημονευμάτων γ',
Χρειῶν ια',
Πρὸς τοὺς ῥήτορας,
Πρὸς τὰς Ἀλεξίνου ἀντιγραφάς,
Πρὸς τοὺς διαλεκτικοὺς γ',
Πρὸς Κλεάνθην,
Ἐπιστολῶν δ'.

2 Ἀπετείνετο δὲ – **9** *SVF* I Nr. 346 **8–9** *Suppl. Hell.* 205 **10–p. 542.4** τελευτῆσαι : *SVF* I Nr. 333 **22** T 87 Doering

2 ἵνα **BPQF** : ὅτι **D** : ὅτε *Frob.* **3** ἔχοντα in mg **F**[1] **5** ἀκαδημικὸν **BP**[1]**Q** **7** εἶπεν om. **F**, expunxit **P**[4] **8** δέ add. Meibom. | σ' **PD** : σε **BΦ** : om. **F** | ἐτύφλωσεν **PFDΦ**, ἐτύφλωσε **B** : ἐκτύφλωσε (sine δέ) Huebner, ab Arnim **12** et **13** unus titulus in **BD** **18** ὑπομνημάτων **BP** : ὑπομνήματα τῶν **D**, ὑπομνήματα **F** **24** κλεάνθη **B**

Παναίτιος δὲ καὶ Σωσικράτης μόνας αὐτοῦ τὰς ἐπιστολάς φασι, τὰ δ' ἄλλα τοῦ Περιπατητικοῦ Ἀρίστωνος.

164 Τοῦτον λόγος φαλακρὸν ὄντα ἐγκαυθῆναι ὑπὸ ἡλίου καὶ ὧδε τελευτῆσαι. Προσεπαίξαμεν δὲ αὐτῷ τόνδε τὸν τρόπον τῷ ἰάμβῳ τῷ χωλῷ·

> Τί δὴ γέρων ὢν καὶ φάλανθος, ὦ 'ρίστων,
> Τὸ βρέγμ' ἔδωκας ἡλίῳ κατοπτῆσαι;
> Τοιγὰρ τὸ θερμὸν πλεῖον ἢ δέον ζητῶν
> τὸν ψυχρὸν ὄντως εὗρες οὐ θέλων Ἅιδην.

Γέγονε δὲ καὶ ἄλλος Ἀρίστων Ἰουλιήτης Περιπατητικός, ὁ δὲ τρίτος μουσικὸς Ἀθηναῖος, τέταρτος ποιητὴς τραγῳδίας, πέμπτος Ἀλαιεὺς τέχνας γεγραφὼς ῥητορικάς, ἕκτος Ἀλεξανδρεὺς Περιπατητικός.

ΗΡΙΛΛΟΣ

165 Ἥριλλος δ' ὁ Χαλκηδόνιος τέλος εἶπε τὴν ἐπιστήμην, ὅπερ ἐστὶ ζῆν ἀεὶ πάντα ἀναφέροντα πρὸς τὸ μετ' ἐπιστή-

1–2 Panaetii Fr. 124 van Straaten; Sosicratis Fr. 23 (*FHG* IV, 503); Aristonis Cei Fr. 9 Wehrli **6–9** *Anth. Pal., App.* 5.38 Cougny; **Φ** 56 **10** Aristonis Cei Fr. 1 Wehrli **11** τέταρτος : *TrGF* I T 3 Snell **15–p. 543.9** εἶναι : *SVF* I Nr. 411

1 παναίτιος – **2** ἀρίστωνος in mg **F**^{2} **3** ὁ λόγος **F** | ἐγκαυθῆναι **FP**^{2}**DΦ** : ἐκκαυθῆναι **BP**^{1} **4** προσεπαίξαμεν **FDP**^{4} : προσεπέσαμεν **BP**^{1} | δὲ **FDP**^{4} : δὴ **BP**^{1}**Q** | τόνδε **FDP**^{4} : τοῦτον **BP**^{1}**Q** **6** φάλανθος **FP**^{4}**H** : φίλανθος **BP**^{2}**QD**^{2}**Φ** : φιλάνθως **P**^{1}**D**^{1} | ὠρίστων **BP**^{1}**Q** : ἀρίστων **FDP**^{4}**Φ** **7** βρέγμα δῶκας **BPFD(Φ)**, corr. Cobet | κατοπτύσαι **F** **8** ἢ πλέον **F** | δέον **BPDΦ** : om. **F** : δέοι Cobet **9** ὄντως om. **F** | ἄιδην **Φ** : ἀΐδην **BP**^{1} : ἄδην **FDP**^{4} **10** ἰουληΐτης **F** **11** τρίτος Madvig : τις **BPFD** **14** *tit.* ἥριλλος **Q** in mg : ἡρίαλος **P**^{4} in mg : γρίλλος **Φ** : om. **BP**^{1}**FD** **15** ἡρίλλος **B** : ἥριλλος **PD** : ἡρίαλος **F** | χαλκηδόνιος **BPFDΦ** : Καρχηδόνιος *Frob.* (cf. 7.37)

μης ζῆν καὶ μὴ τῇ ἀγνοίᾳ διαβεβλημένον. Εἶναι δὲ τὴν ἐπιστήμην ἕξιν ἐν φαντασιῶν προσδέξει ἀνυπόπτωτον ὑπὸ λόγου. Ποτὲ δὲ ἔλεγε μηδὲν εἶναι τέλος, ἀλλὰ κατὰ τὰς περιστάσεις καὶ τὰ πράγματα ἀλλάττεσθαι αὐτό, ὡς καὶ τὸν αὐτὸν χαλκὸν ἢ Ἀλεξάνδρου γινόμενον ἀνδριάντα ἢ Σωκράτους. Διαφέρειν δὲ τέλος καὶ ὑποτελίδα· τῆς μὲν γὰρ καὶ τοὺς μὴ σοφοὺς στοχάζεσθαι, τοῦ δὲ μόνον τὸν σοφόν. Τὰ δὲ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα εἶναι. Ἔστι δὲ αὐτοῦ τὰ βιβλία ὀλιγόστιχα μέν, δυνάμεως δὲ μεστὰ καὶ περιέχοντα ἀντιρρήσεις πρὸς Ζήνωνα.

Λέγεται δὲ ὅτι παιδὸς ὄντος αὐτοῦ ἠράσθησαν ἱκανοί, **166**
οὓς ἀποτρέψαι βουλόμενος ὁ Ζήνων ἠνάγκασε ξυρᾶσθαι Ἥριλλον, οἱ δὲ ἀπετράποντο.

Τὰ δὲ βιβλία ἐστὶ τάδε·

Περὶ ἀσκήσεως,
Περὶ παθῶν,
Περὶ ὑπολήψεως,
Νομοθέτης,
Μαιευτικός,
Ἀντιφέρων,
Διδάσκαλος,
Διασκευάζων,
Εὐθύνων,
Ἑρμῆς,
Μήδεια,
Διάλογοι,
Θέσεων ἠθικῶν.

9 Ἔστι δὲ – **27** *SVF* I Nr. 409

1 ἁγνεία **F** **2** προσδέξει ἀνυπόπτωτον **P[1]Q** (cf. 7.47) : πρὸς δεξιὰν ὑπόπτωτον **B F** : προσδέξιον ὑπόπτωτον **D** : προσδέξει ἀνυποκρίτῳ *Suda*, E 2627 **3** λόγου **B[1]** : λόγων **B[2]PFD** | μηδὲν : -δὲν ss. **B[2]** **6** ἢ **FDP[4]** : καὶ **BP[1]Q** **27** numerum librorum excidisse Huebner

ΔΙΟΝΥΣΙΟΣ

Διονύσιος δὲ ὁ Μεταθέμενος τέλος εἶπε τὴν ἡδονὴν διὰ περίστασιν ὀφθαλμίας· ἀλγήσας γὰρ ἐπιπόνως ὤκνησεν εἰπεῖν τὸν πόνον ἀδιάφορον.

Ἦν δὲ παῖς μὲν Θεοφάντου, πόλεως δ' Ἡρακλείας. Ἤκουσε δέ, καθά φησι Διοκλῆς, πρῶτον μὲν Ἡρακλείδου τοῦ πολίτου, ἔπειτα Ἀλεξίνου καὶ Μενεδήμου, τελευταῖον δὲ Ζήνωνος.

167 Καὶ κατ' ἀρχὰς μὲν φιλογράμματος ὢν παντοδαποῖς ἐπεχείρει ποιήμασιν, ἔπειτα δὲ καὶ Ἄρατον ἀπεδέχετο, ζηλῶν αὐτόν. Ἀποστὰς δὲ τοῦ Ζήνωνος πρὸς τοὺς Κυρηναϊκοὺς ἀπετράπη καὶ ἔς τε τὰ χαμαιτυπεῖα εἰσῄει καὶ τἆλλα ἀπαρακαλύπτως ἡδυπάθει. Βιοὺς δὲ πρὸς τὰ ὀγδοήκοντα ἀσιτίᾳ κατέστρεψε.

Βιβλία δὲ αὐτοῦ φέρεται τάδε·

Περὶ ἀπαθείας β′,
Περὶ ἀσκήσεως β′,
Περὶ ἡδονῆς δ′,
Περὶ πλούτου καὶ χάριτος καὶ τιμωρίας,
Περὶ ἀνθρώπων χρήσεως,
Περὶ εὐτυχίας,
Περὶ ἀρχαίων βασιλέων,
Περὶ τῶν ἐπαινουμένων,
Περὶ βαρβαρικῶν ἐθῶν.

Καὶ οὗτοι μὲν οἱ διενεχθέντες. Διεδέξατο δὲ τὸν Ζήνωνα Κλεάνθης, περὶ οὗ λεκτέον.

2–24 *SVF* I Nr. 422 **2–4** cf. 7.37 **6–7** Heraclidis Fr. 12 Wehrli **7** Ἀλεξίνου : T 81 Doering

1 *tit.* **Φ** et Huebner : om. **BPFD** **10** ἐπεχείρησε **F** **11** δὲ om. **F** **12** τε erasit **B**^{2} | εἰσῄει **BP**^{1}**Φ** : ὑπεισῄει **FP**^{4}**D** **18** δ′ **PFD** : α′ **B** **19** Περὶ πλούτου et ⟨Περὶ⟩ χάριτος καὶ τιμωρίας duo tituli ab Arnim

ΚΛΕΑΝΘΗΣ

Κλεάνθης Φανίου Ἄσσιος. Οὗτος πρῶτον ἦν πύκτης, 168
ὥς φησιν Ἀντισθένης ἐν Διαδοχαῖς. Ἀφικόμενος δὲ εἰς
Ἀθήνας τέτταρας ἔχων δραχμάς, καθά φασί τινες, καὶ
Ζήνωνι παραβαλὼν ἐφιλοσόφησε γενναιότατα καὶ ἐπὶ
τῶν αὐτῶν ἔμεινε δογμάτων. Διεβοήθη δὲ ἐπὶ φιλοπονίᾳ,
ὅς γε πένης ὢν ἄγαν ὥρμησε μισθοφορεῖν· καὶ νύκτωρ μὲν
ἐν τοῖς κήποις ἤντλει, μεθ' ἡμέραν δὲ ἐν τοῖς λόγοις
ἐγυμνάζετο· ὅθεν καὶ Φρεάντλης ἐκλήθη. Φασὶ δὲ αὐτὸν
καὶ εἰς δικαστήριον ἀχθῆναι, λόγους δώσοντα πόθεν ἐς
τοσοῦτον εὐέκτης ὢν διαζῇ· ἔπειτα ἀποφυγεῖν, τόν τε
κηπουρὸν μάρτυρα παρασχόντα, παρ' ὃν ἤντλει, καὶ τὴν
ἀλφιτόπωλιν, παρ' ᾗ τὰ ἄλφιτα ἔπεττεν. Ἀποδεξαμένους 169
δὲ αὐτὸν τοὺς Ἀρεοπαγίτας ψηφίσασθαι δέκα μνᾶς δοθῆναι, Ζήνωνα δὲ κωλῦσαι λαβεῖν. Φασὶ δὲ καὶ Ἀντίγονον αὐτῷ τρισχιλίας δοῦναι.

Ἡγούμενόν τε τῶν ἐφήβων ἐπί τινα θέαν ὑπ' ἀνέμου παραγυμνωθῆναι καὶ ὀφθῆναι ἀχίτωνα· ἐφ' ᾧ κρότῳ τιμηθῆναι ὑπὸ Ἀθηναίων, καθά φησι Δημήτριος ὁ Μάγνης ἐν τοῖς Ὁμωνύμοις. Ἐθαυμάσθη οὖν δὴ καὶ διὰ τόδε. Φασὶ δὲ καὶ Ἀντίγονον αὐτοῦ πυθέσθαι ὄντα ἀκροατήν, διὰ τί ἀντλεῖ· τὸν δὲ εἰπεῖν· "Ἀντλῶ γὰρ μόνον; Τί δ'; Οὐχὶ σκάπτω; Τί δ'; Οὐκ ἄρδω καὶ πάντα ποιῶ φιλοσοφίας

2-p. 546.14 φορτίον : *SVF* I Nr. 463 **2–p. 551.10** T 1 et 44 Watanabe (1988) **2–3** Antisthenis Rhodii F 9 (*FGrHist* 508) **17–20** Demetrii F 23 Mejer **21–p.546.2** ἀποφορᾶς : *SVF* I Nr. 597

1 *tit.* **QDΦ**^{2} 59, **φ** 42 : om. **BPF** **2** ἄσιος **F** **3** ἐν διαδοχαῖς om. **F** **5** ἐφιλοσόφισε **B** **5–6** ἐπὶ τῶν αὐτοῦ Gigante **8** λόγοις **BFDP**^{4}**H** : πόνοις **P**^{1}**Q** **9** φρεάντης **P**^{1}**Q** (corr. **P**^{4}) **12** παρὸν **P**^{1} (παρ' ὧι **Q**) **18** κρόκω **F** : κροκωτῶ **P**^{4}**HD** **20** οὖν δὴ **BP** : δὴ οὖν **F** : γοῦν **D** **23** οὐ κάρδω **B**

ἕνεκα;" Καὶ γὰρ ὁ Ζήνων αὐτὸν συνεγύμναζεν εἰς τοῦτο
170 καὶ ἐκέλευεν ὀβολὸν φέρειν ἀποφορᾶς. Καί ποτε ἀθροισθὲν τὸ κέρμα ἐκόμισεν εἰς μέσον τῶν γνωρίμων καί φησι· "Κλεάνθης μὲν καὶ ἄλλον Κλεάνθην δύναιτ' ἂν τρέφειν, εἰ βούλοιτο· οἱ δὲ ἔχοντες ὅθεν τραφήσονται παρ' ἑτέρων ἐπιζητοῦσι τὰ ἐπιτήδεια, καίπερ ἀνειμένως φιλοσοφοῦντες." Ὅθεν δὴ καὶ δεύτερος Ἡρακλῆς ὁ Κλεάνθης ἐκαλεῖτο. Ἦν δὲ πονικὸς μέν, ἀφύσικος δὲ καὶ βραδὺς ὑπερβαλλόντως· διὸ καὶ Τίμων περὶ αὐτοῦ φησιν οὕτως·

Τίς δ' οὗτος κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν;
Μωλυτὴς ἐπέων, λίθος Ἄσσιος, ὅλμος ἄτολμος.

Καὶ σκωπτόμενος δ' ὑπὸ τῶν συμμαθητῶν ἠνείχετο καὶ ὄνος ἀκούων προσεδέχετο, λέγων αὐτὸς μόνος δύνασθαι
171 βαστάζειν τὸ Ζήνωνος φορτίον. Καί ποτε ὀνειδιζόμενος ὡς δειλός, "Διὰ τοῦτο," εἶπεν, "ὀλίγα ἁμαρτάνω." Προκρίνων δὲ τὸν ἑαυτοῦ βίον τοῦ τῶν πλουσίων ἔλεγεν, ἐν ᾧ σφαιρίζουσιν ἐκεῖνοι ⟨αὐτὸς⟩ γῆν σκληρὰν καὶ ἄκαρπον ἐργάζεσθαι σκάπτων. Πολλάκις δὲ καὶ ἑαυτῷ ἐπέπλητ-

4–8 Arsen. *Violetum*, p. 327 **10–11** Timonis B 41 Diels = *Suppl. Hell.* 815; *Anth. Pal. Plan.* 11.296; **Φ** 59 **10** cf. *Iliad.* 3.196 **11** cf. Apoll. Soph., s.v. μῶλυ (p. 114 Bekker) **12–14** *SVF* I Nr. 599 **14** Καί ποτε – **15** *SVF* I Nr. 600. Cf. Arsen., p. 326 **15** Προκρίνων – **18** *SVF* I Nr. 598 **18** Πολλάκις – **p. 547.3** *SVF* I Nr. 602. Cf. Arsen., p. 327

2 ἀποφοράν Hemsterhuys (*Anecd.*, I, 50), Reiske, Richards **5** τραφήσονται **DP^{4}H** : τρέφονται **BP^{1}QF** et **φ** 42, Arsen. **8** ἐκαλεῖτο om. **F** | ἀφύσικος **BPFD** : ἀφυὴς **Φ** 59 **10** ὣς **BD**, ὡς **F** : ὃς **P** | ἐπιπολεῖται **BF** **11** λίθος Meineke (i.e. sarcophagus, cf. Plin. *N.H.* 2.211), agn. Cobet : φίλος **BPFDΦ** | ἄσιος **FΦ** | ὅλμος **BP** : ὄλβιος **Φ** **12** ἠνείχετο **PFDΦ** : ἠνέσχετο **B^2**, ab Arnim **15** τοῦτο ss. **F^2** **17** αὐτὸς add. Cobet | γῆν Cobet : τὴν **BPFD** | τὴν σκληρὰν **FDP^4** in mg : om. **BP^{1}Q** | τὴν ἄκαρπον **BP^{1}Q** **18** δὲ om. **F**

τεν· ὧν ἀκούσας Ἀρίστων, "Τίνι," ἔφη, "ἐπιπλήττεις;" Καὶ ὃς γελάσας, "Πρεσβύτῃ," φησί, "πολιὰς μὲν ἔχοντι, νοῦν δὲ μή." Εἰπόντος δέ τινος Ἀρκεσίλαον μὴ ποιεῖν τὰ δέοντα, "Παῦσαι," ἔφη, "καὶ μὴ ψέγε· εἰ γὰρ καὶ λόγῳ τὸ καθῆκον ἀναιρεῖ, τοῖς γοῦν ἔργοις αὐτὸ τιθεῖ." Καὶ ὁ Ἀρκεσίλαος, "Οὐ κολακεύομαι," φησί. Πρὸς ὃν ὁ Κλεάνθης, "Ναί," ἔφη, "σὲ κολακεύω φάμενος ἄλλα μὲν λέγειν, ἕτερα δὲ ποιεῖν."

Ἐρομένου τινὸς τί ὑποτίθεσθαι δεῖ τῷ υἱῷ, "Τὸ ἐκ τῆς **172**
Ἠλέκτρας," ἔφη·

σῖγα, σῖγα, λεπτὸν ἴχνος.

Λάκωνός τινος εἰπόντος ὅτι ὁ πόνος ἀγαθόν, διαχυθείς φησιν·

Αἵματός εἰς ἀγαθοῖο, φίλον τέκος.

Φησὶ δ' ὁ Ἑκάτων ἐν ταῖς Χρείαις, εὐμόρφου μειρακίου εἰπόντος "Εἰ ὁ εἰς τὴν γαστέρα τύπτων γαστρίζει, καὶ ὁ εἰς τοὺς μηροὺς τύπτων μηρίζει," ἔφη· "Σὺ μὲν τοὺς διαμηρισμοὺς ἔχε, μειράκιον· αἱ δ' ἀνάλογοι φωναὶ τὰ ἀνάλογα οὐ πάντως σημαίνουσι πράγματα." Μειρακίῳ ποτὲ διαλεγόμενος ἐπύθετο εἰ αἰσθάνεται· τοῦ δ' ἐπινεύσαν-

3 Εἰπόντος – **8** *SVF* I Nr. 605 **9–11** *SVF* I Nr. 610 **11** Eurip. *Orest.* 140 **12–14** *SVF* I Nr. 611. Cf. Arsen., *ib.* **14** *Odyss.* 4.611 **15–19** *SVF* I Nr. 613; Hecatonis Fr. 25 Gomoll **19** Μειρακίῳ – **p. 548.1** *SVF* I Nr. 609. Cf. Arsen., *ib.*

1 ὧν om. **Φ** **7** ναί **BFφ** : καὶ **BD** | ἔφη σὲ *Frob.* : ἔφησε **BPFD** : φησὶ **φ** | κολακεύω **BP^1QDφ** : κολακεύομεν **F** : κολακεύομαι **P^4H** et *Frob.* **9** ἐρωμένου **B** | ὑποτίθεσθαι δεῖ **D**, ὑποτίθεσθαι δὴ **P^4H** : ὑποτίθεσθαι **F** : ὑποτίθεσαι **BP^1Q** : ὑποθήσεται **φ** | τὸ **PFφ** : τῷ **BD** **11** λεπτὸν **FP^2Q** : λευκὸν **BD** et **φ** **14** ἧς **F** **15** ἐν ταῖς χρείαις om. **F** **20** et **p. 548.1** bis ἐσθ- **B**

τος, "Διὰ τί οὖν," εἶπεν, "ἐγὼ οὐκ αἰσθάνομαι ὅτι αἰσθάνῃ;"
173 Σωσιθέου τοῦ ποιητοῦ ἐν θεάτρῳ εἰπόντος πρὸς αὐτὸν
παρόντα

οὓς ἡ Κλεάνθους μωρία βοηλατεῖ,

ἔμεινεν ἐπὶ ταὐτοῦ σχήματος· ἐφ' ᾧ ἀγασθέντες οἱ ἀκροαταὶ τὸν μὲν ἐκρότησαν, τὸν δὲ Σωσίθεον ἐξέβαλον. Μεταγινώσκοντα δ' αὐτὸν ἐπὶ τῇ λοιδορίᾳ προσήκατο, εἰπὼν ἄτοπον εἶναι τὸν μὲν Διόνυσον καὶ τὸν Ἡρακλέα φλυαρουμένους ὑπὸ τῶν ποιητῶν μὴ ὀργίζεσθαι, αὐτὸν δ' ἐπὶ τῇ τυχούσῃ βλασφημίᾳ δυσχεραίνειν. Ἔλεγε δὲ καὶ τοὺς ἐκ τοῦ Περιπάτου ὅμοιόν τι πάσχειν ταῖς λύραις, αἳ καλῶς φθεγξάμεναι αὑτῶν οὐκ ἀκούουσι.

Λέγεται δέ, φάσκοντος αὐτοῦ κατὰ Ζήνωνα καταληπτὸν εἶναι τὸ ἦθος ἐξ εἴδους, νεανίσκους τινὰς εὐτραπέλους ἀγαγεῖν πρὸς αὐτὸν κίναιδον ἐσκληραγωγημένον ἐν ἀγρῷ καὶ ἀξιοῦν ἀποφαίνεσθαι περὶ τοῦ ἤθους· τὸν δὲ διαπορούμενον κελεῦσαι ἀπιέναι τὸν ἄνθρωπον. Ὡς δ' ἀπιὼν ἐκεῖνος ἔπταρεν, "Ἔχω," εἶπεν, "αὐτόν," ὁ Κλεάν-
174 θης, "μαλακός ἐστι." Πρὸς δὲ τὸν μονήρη καὶ ἑαυτῷ λα-
λοῦντα "Οὐ φαύλῳ," ἔφη, "ἀνθρώπῳ λαλεῖς." Ὀνειδίσαντος αὐτῷ τινος εἰς τὸ γῆρας, "Κἀγώ," ἔφη, "ἀπιέναι βούλομαι· ὅταν δὲ πανταχόθεν ἐμαυτὸν ὑγιαίνοντα περινοῶ καὶ γράφοντα καὶ ἀναγινώσκοντα, πάλιν μένω." Τοῦτόν

3–11 *SVF* I Nr. 603. Cf. **φ** 42 **5** Sosithei Fr. 4 N^2 **11** Ἔλεγε δὲ – **13** *SVF* Nr. 606. Cf. DL 6.64 **14–20** ἐστι : Arsen., *ib.* **14–15** ἐξ εἴδους : *SVF* I Nr. 204 **20–21** λαλεῖς : *SVF* I Nr. 616 **21–24** *SVF* I Nr. 601 **24** Τοῦτον – **p. 549.5** *SVF* I Nr. 463

5 ὡς ἡ **B** | κλεάνθου **B** **7** τὸν[1] **DP**^{4} : τὸ **BP**^{1}(?) : τῷ **FQΦ** | ἐπεκρότησαν **Φ** **11** τῇ ss. **P**^{2} **13** αὑτῶν *Frob.* : αὐτῶν **BPD** : αὐτὸν **F** **16** προσήγαγον πρὸς αὐτὸν **Φ** **21** ὠνειδίσαντος **B** **23** ἐμαυτὸν **BPD** : ἑαυτὸν **F** **24** ἀναγιγνώσκοντα **BP**^{1}

φασιν εἰς ὄστρακα καὶ βοῶν ὠμοπλάτας γράφειν ἅπερ ἤκουε παρὰ τοῦ Ζήνωνος, ἀπορίᾳ κερμάτων ὥστε ὠνήσασθαι χαρτία. Τοιοῦτος δὴ ὢν ἐξίσχυσε, πολλῶν καὶ ἄλλων ὄντων ἀξιολόγων Ζήνωνος μαθητῶν, αὐτὸς διαδέξασθαι τὴν σχολήν.

Βιβλία δὲ κάλλιστα καταλέλοιπεν, ἅ ἐστι τάδε·

Περὶ χρόνου,
Περὶ τῆς Ζήνωνος φυσιολογίας δύο,
Τῶν Ἡρακλείτου ἐξηγήσεις τέσσαρα,
Περὶ αἰσθήσεως,
Περὶ τέχνης,
Πρὸς Δημόκριτον,
Πρὸς Ἀρίσταρχον,
Πρὸς Ἥριλλον,
Περὶ ὁρμῆς δύο,
Ἀρχαιολογία,
Περὶ θεῶν, **175**
Περὶ γιγάντων,
Περὶ ὑμεναίου,
Περὶ τοῦ ποιητοῦ,
Περὶ τοῦ καθήκοντος τρία,
Περὶ εὐβουλίας,
Περὶ χάριτος,
Προτρεπτικός,
Περὶ ἀρετῶν,
Περὶ εὐφυΐας,
Περὶ Γοργίππου,
Περὶ φθονερίας,
Περὶ ἔρωτος,
Περὶ ἐλευθερίας,

6–p. 550.27 *SVF* I Nr. 481

1 ὁμοπλάτας **B** **2** παρὰ τοῦ $\mathbf{BP^1Q}$: παρὰ **Φ** : ἀπ' αὐτοῦ $\mathbf{FDP^4}$ **3** δὴ $\mathbf{BP^1QD}$: δὲ $\mathbf{FP^4}$ **14** ἡρίαλον **B** **29–30** om. **B**

Ἐρωτικὴ τέχνη,
Περὶ τιμῆς,
Περὶ δόξης,
Πολιτικός,
Περὶ βουλῆς,
Περὶ νόμων,
Περὶ τοῦ δικάζειν,
Περὶ ἀγωγῆς,
Περὶ τοῦ λόγου τρία,
Περὶ τέλους,
Περὶ καλῶν,
Περὶ πράξεων,
Περὶ ἐπιστήμης,
Περὶ βασιλείας,
Περὶ φιλίας,
Περὶ συμποσίου,
Περὶ τοῦ ὅτι ἡ αὐτὴ ἀρετὴ ἀνδρὸς καὶ γυναικός,
Περὶ τοῦ τὸν σοφὸν σοφιστεύειν,
Περὶ χρειῶν,
Διατριβῶν δύο,
Περὶ ἡδονῆς,
Περὶ ἰδίων,
Περὶ τῶν ἀπόρων,
Περὶ διαλεκτικῆς,
Περὶ τρόπων,
Περὶ κατηγορημάτων.

Ταῦτα αὐτῷ τὰ βιβλία.

176 Καὶ τελευτᾷ τοῦτον τὸν τρόπον· διῴδησεν αὐτῷ τὸ οὖλον· ἀπαγορευσάντων δὲ τῶν ἰατρῶν, δύο ἡμέρας ἀπέσ-

28–p. 551.5 *SVF* I Nr. 474. Cf. Stob. 3.7.54

17 post ἀρετὴ add. καὶ **FP[4]** **28** τοῦτον **BP[1]D** : τόνδε **F P[4]**

χετο τροφῆς. Καί πως ἔσχε καλῶς, ὥστε τοὺς ἰατροὺς αὐτῷ πάντα τὰ συνήθη συγχωρεῖν· τὸν δὲ μὴ ἀνασχέσθαι, ἀλλ' εἰπόντα ἤδη αὐτῷ προοδοποιεῖσθαι καὶ τὰς λοιπὰς ἀποσχόμενον τελευτῆσαι ταὐτὰ Ζήνωνι, καθά φασί τινες, [π΄] ἔτη βιώσαντα καὶ ἀκούσαντα ἔτη ἐννεακαίδεκα.

Ἐπαίξαμεν δὴ καὶ ἡμεῖς πρὸς αὐτὸν οὕτως·

Αἰνῶ Κλεάνθην, ἀλλὰ μᾶλλον Ἀΐδην·
ἰδὼν γὰρ αὐτὸν πρέσβυν οὐκ ἠνέσχετο
⟨τὸ⟩ μὴ οὐ τὸ λοιπὸν ἄνεσιν ἐν φθιτοῖς ἔχειν
τοσοῦτον ἀντλήσαντα τοῦ βίου χρόνον.

ΣΦΑΙΡΟΣ

Τούτου, καθάπερ προειρήκαμεν, ἤκουσε μετὰ Ζήνωνα **177**
καὶ Σφαῖρος ὁ Βοσποριανός, ὃς προκοπὴν ἱκανὴν περιποιησάμενος λόγων εἰς Ἀλεξάνδρειαν ἀπῄει πρὸς Πτολεμαῖον τὸν Φιλοπάτορα. Λόγου δέ ποτε γενομένου περὶ τοῦ δοξάσειν τὸν σοφὸν καὶ τοῦ Σφαίρου εἰπόντος ὡς οὐ δοξάσει, βουλόμενος ὁ βασιλεὺς ἐλέγξαι αὐτόν, κηρίνας ῥόας ἐκέλευσε παρατεθῆναι· τοῦ δὲ Σφαίρου ἀπατηθέν-

7–10 *Anth. Pal., App.* 5.36 Cougny; **Φ** 59 **12** cf. 7.37 **12–15** *SVF* I Nr. 620 **15** Λόγου – **p. 552.9** *SVF* I Nr. 625. Cf. Athen. 8, 354 E–F; *Suda,* E 3569

2 πάντα **Φ^{2}ΨP^4** : πάντας **BP^{1}FDΦ^1** **3** προοδοποιεῖσθαι **B** : προοδοιπορεῖσθαι **P^{1}QFD** : προωδοιπορῆσθαι **Φ**, Cobet : προωδοποιῆσθαι ab Arnim **4** ἀποσχόμενον Huebner : ἀνασχόμενον **BPFDΦ** | ταυτὰ **P^{1}Q** : ταῦτα **BFP^4** | ζήνωνος **P^4** **5** post 4 τινες add. π΄ (= ὀγδοήκοντα) **FDP^4** et *Frob.* : om. **BP^1**, del. ab Arnim, T. Dorandi (*Philol.* 134 [1990] 161–162), conl. P. Herc. 1018, coll. 28–29 | post ἀκούσαντα addit Ζήνωνος *Frob.*, agn. omnes, del. Von der Muehll **9** τὸ^1 add. Porson (*Advers.*, 36) | οὐ τὸ **BFD** : οὕτω **P^{1}QΦ** **10** ἀντλείσαντα **B** **11** *tit.* **P^2** in mg, **DF^2** in mg, **Φ** : om. **B** **14** λόγων **FP^{4}H** : ἐν λόγῳ **BP^{1}QD** | ἀπῄει **FDP^4** in mg γρ. : ἀπῆρε **BP^1** **16** δοξάζειν Reiske **17** ἔλεγξε **B**

τος ἀνεβόησεν ὁ βασιλεὺς ψευδεῖ συγκατατεθεῖσθαι αὐτὸν φαντασίᾳ. Πρὸς ὃν ὁ Σφαῖρος εὐστόχως ἀπεκρίνατο, εἰπὼν οὕτως συγκατατεθεῖσθαι οὐχ ὅτι ῥόαι εἰσίν, ἀλλ' ὅτι εὔλογόν ἐστι ῥόας αὐτὰς εἶναι· διαφέρειν δὲ τὴν καταληπτικὴν φαντασίαν τοῦ εὐλόγου. Πρὸς δὲ Μνησίστρατον κατηγοροῦντα αὐτοῦ ὅτι Πτολεμαῖον οὔ φησι βασιλέα εἶναι, "Οὐκ εἶναι," ἔφη, "⟨βασιλέα, εἰ μὴ καὶ σοφόν⟩· τοιοῦτον δ' ὄντα τὸν Πτολεμαῖον καὶ βασιλέα εἶναι."

178 Βιβλία δὲ γέγραφε τάδε·

Περὶ κόσμου δύο,
Περὶ στοιχείων,
⟨Περὶ⟩ σπέρματος,
Περὶ τύχης,
Περὶ ἐλαχίστων,
Πρὸς τὰς ἀτόμους καὶ τὰ εἴδωλα,
Περὶ αἰσθητηρίων,
Περὶ Ἡρακλείτου πέντε,
Διατριβῶν,
Περὶ τῆς ἠθικῆς διατάξεως,
Περὶ καθήκοντος,
Περὶ ὁρμῆς,
Περὶ παθῶν δύο,
Περὶ βασιλείας,
Περὶ Λακωνικῆς πολιτείας,
Περὶ Λυκούργου καὶ Σωκράτους τρία,

1 et 3 συγκαταθέσθαι **Φ** **6** post οὔ φησι addunt εἶναι **BP** **7** οὐκ εἶναι ἔφη **D** : om. **BPF** | βασιλέα, εἰ μὴ καὶ σοφόν supplevi post Jo. Reiske et H. Diels : οὐκ εἶναι, ἔφη, ⟨μὴ σοφόν⟩ iam Galesius et Casaubon **13** Περὶ add. Meibom. et Huebner **17–18** om. **F** **18** ἡρακλήτου **B** **20–21** περὶ διατάξεως καθήκοντος **F** **24–25** om. **F**

Περὶ νόμου,
Περὶ μαντικῆς,
Διαλόγους ἐρωτικούς,
Περὶ τῶν Ἐρετριακῶν φιλοσόφων,
Περὶ ὁμοίων,
Περὶ ὅρων,
Περὶ ἕξεως,
Περὶ τῶν ἀντιλεγομένων τρία,
Περὶ λόγου,
Περὶ πλούτου,
Περὶ δόξης,
Περὶ θανάτου,
Τέχνης διαλεκτικῆς δύο,
Περὶ κατηγορημάτων,
Περὶ ἀμφιβολιῶν,
Ἐπιστολάς.

ΧΡΥΣΙΠΠΟΣ

Χρύσιππος Ἀπολλωνίου Σολεὺς ἢ Ταρσεύς, ὡς Ἀλέξ- 179
ανδρος ἐν Διαδοχαῖς, μαθητὴς Κλεάνθους. Οὗτος πρότερον μὲν δόλιχον ἤσκει, ἔπειτα ἀκούσας Ζήνωνος (ἢ Κλεάνθους, ὡς Διοκλῆς καὶ οἱ πλείους), ἔτι τε ζῶντος ἀπέστη αὐτοῦ καὶ οὐχ ὁ τυχὼν ἐγένετο κατὰ φιλοσοφίαν· ἀνὴρ εὐφυὴς καὶ ὀξύτατος ἐν παντὶ μέρει οὕτως, ὥστε καὶ ἐν τοῖς πλείστοις διηνέχθη πρὸς Ζήνωνα, ἀλλὰ καὶ πρὸς Κλεάνθην, ᾧ καὶ πολλάκις ἔλεγε μόνης τῆς τῶν δογμάτων διδασκαλίας χρῄζειν, τὰς δὲ ἀποδείξεις αὐτὸς εὑρήσειν.

18-p. 555.8 ἔλεγεν : *SVF* II Nr. 1 **18–19** Alexandri Polyhistoris F 91 (*FGrHist* 273)

17 *tit.* **FDΦ** 61 : om. **P** et **B** spatio relicto **18** Ἀπολλωνίδου *Suda,* X 568 **24** πλείστοις **BP**[1]**QF** : παιστοῖς **DP**[4]**H** | πρὸς[2] om. **F**

Μετενόει μέντοι ὁπότε πρὸς αὐτὸν ἀποτείνοιτο, ὥστε συνεχὲς προφέρεσθαι ταῦτα·

> Ἐγὼ δὲ τἆλλα μακάριος πέφυκ' ἀνὴρ
> πλὴν εἰς Κλεάνθην· τοῦτο δ' οὐκ εὐδαιμονῶ.

180 Οὕτω δ' ἐπίδοξος ἐν τοῖς διαλεκτικοῖς ἐγένετο, ὥστε δοκεῖν τοὺς πλείους ὅτι εἰ παρὰ θεοῖς ἦν διαλεκτική, οὐκ ἂν ἄλλη ἦν ἢ ⟨ἡ⟩ Χρυσίππειος. Πλεονάσας δὲ τοῖς πράγμασι τὴν λέξιν οὐ κατώρθωσε. Πονικώτατός τε παρ' ὁντινοῦν γέγονεν, ὡς δῆλον ἐκ τῶν συγγραμμάτων αὐτοῦ· ἃ τὸν ἀριθμὸν ὑπὲρ πέντε καὶ ἑπτακόσιά ἐστιν. Ἐπλήθυνε δὲ αὐτὰ πολλάκις ὑπὲρ τοῦ αὐτοῦ δόγματος ἐπιχειρῶν καὶ πᾶν τὸ ὑποπεσὸν γράφων καὶ διορθούμενος πλεονάκις πλείστῃ τε τῶν μαρτυριῶν παραθέσει χρώμενος· ὥστε καὶ ἐπειδή ποτε ἔν τινι τῶν συγγραμμάτων παρ' ὀλίγον τὴν Εὐριπίδου Μήδειαν ὅλην παρετίθετο καί τις μετὰ χεῖρας εἶχε τὸ βιβλίον, πρὸς τὸν πυθόμενον τί ἄρα ἔχοι, ἔφη· "Χρυσίππου Μήδειαν."

181 Καὶ Ἀπολλόδωρος δ' ὁ Ἀθηναῖος ἐν τῇ Συναγωγῇ τῶν δογμάτων, βουλόμενος παριστάνειν ὅτι τὰ Ἐπικούρου οἰκείᾳ δυνάμει γεγραμμένα καὶ ἀπαράθετα ὄντα μυρίῳ πλείω ἐστὶ τῶν Χρυσίππου βιβλίων, φησὶν οὕτως αὐτῇ ⟨τῇ⟩ λέξει· "Εἰ γάρ τις ἀφέλοι τῶν Χρυσίππου βιβλίων ὅσα ἀλλότρια παρατέθειται, κενὸς αὐτῷ ὁ χάρτης καταλελείψεται." Καὶ ταῦτα μὲν Ἀπολλόδωρος. Ἡ δὲ παρε-

3–4 Eurip. *Orest.* 540–541. Cf. **Φ** 61 **18–23** Usener, *Epicurea*, p. 87

2 φέρεσθαι **F** **6** ἡ διαλεκτικὴ **F**P^4 **7** ἡ add. Stephanus **10** ἃ **D**, ss. P^2**Q**, ss. F^2 : om. **B** | ante ὑπὲρ addit γὰρ **F** **12** ὑποπεσὼν **F** **13** πλείστει **B** **14** πρὸς ὀλίγον **Φ** **16** ante πρὸς add. καὶ P^2**Q** **22** τῇ add. Stephanus | ἀφέλοι **P** **D** : ἀφελεῖ **B** : ἀφέλῃ **F** **23** παρατέθηται **B** | καταλείψεται **F** **24** προσεδρεύουσα Richards

δρεύουσα πρεσβῦτις αὐτῷ, ὥς φησι Διοκλῆς, ἔλεγεν ὡς πεντακοσίους γράφοι στίχους ἡμερησίους. Ἑκάτων δέ φησιν ἥκειν αὐτὸν ἐπὶ φιλοσοφίαν τῆς οὐσίας αὐτοῦ τῆς πατρῴας εἰς τὸ βασιλικὸν ἀναληφθείσης.

Ἦν δὲ καὶ τὸ σωμάτιον εὐτελής, ὡς δῆλον ἐκ τοῦ ἀνδριάντος τοῦ ἐν Κεραμεικῷ, ὃς σχεδόν τι ὑποκέκρυπται τῷ πλησίον ἱππεῖ· ὅθεν αὐτὸν ὁ Καρνεάδης Κρύψιππον ἔλεγεν. Οὗτος ὀνειδισθεὶς ὑπό τινος ὅτι οὐχὶ παρὰ Ἀρίστωνι μετὰ πολλῶν σχολάζοι, "Εἰ τοῖς πολλοῖς," εἶπε, "προσεῖχον, οὐκ ἂν ἐφιλοσόφησα." Πρὸς δὲ τὸν κατεξανιστάμενον Κλεάνθους διαλεκτικὸν καὶ προτείνοντα αὐτῷ σοφίσματα "Πέπαυσο," εἶπε, "παρέλκων τὸν πρεσβύτερον ἀπὸ τῶν πραγματικωτέρων, ἡμῖν δὲ τὰ τοιαῦτα πρότεινε τοῖς νέοις." Πάλιν δὲ ἐπεί τις ζητῶν καταμόνας αὐτῷ διελέγετο εὐσταθῶς, ἔπει⟨τα⟩ δὲ θεωρῶν προσιόντα ὄχλον ἤρχετο φιλονεικεῖν, ἔφη· 182

Οἴμοι, κασίγνητ', ὄμμα σὸν ταράσσεται·
ταχὺς δὲ μετέθου λύσσαν ἀρτίως φρονῶν.

Ἐν μέντοι ταῖς οἰνώσεσιν ἡσύχαζε παραφερόμενος τοῖς σκέλεσιν, ὥστε εἰπεῖν τὴν δούλην· "Χρυσίππου μόνα 183

2–4 Hecatonis Fr. 27 Gomoll **8** Οὗτος – **10** *SVF* II Nr. 10 **10** Πρὸς δὲ – **14** *SVF* II Nr. 9. Cf. Arsen., p. 480 s. **14** Πάλιν δὲ – **18** *SVF* II Nr. 8. Cf. Arsen., p. 481 **17–18** Eurip. *Orest.* 253–254 **19–p. 556.7** Arsen., *ib.* **19–p. 556.1** *SVF* II Nr. 7

1 διοκλείδης **F** **2** γράφει **F** | στοίχους **B** **3** ἥκειν scripsi : ἥξειν **BP**[1]**QF** et **φ** 78 : ἐλθεῖν **D** et **P**[4] in mg γρ. **6** κεραμικῶ **B** **12** παρέλκων **FP**[4]**H** : περιέλκων **BP**[1]**QDΦ** 61 et Arsen. **13–14** ἡμῖν δὲ τὰ τοιαῦτα πρότεινε τοῖς νέοις **BPΦ** et Arsen. : ἡμῖν δὲ τοῖς νέοις ταῦτα προτίθει **FDP**[4] **14** δὲ : δ' **B** | ἐπί τι ζητῶν **P**[2]**Q** : ἐπιζῆτων **Φ** **15** ἔπειτα Cobet : ἐπεὶ **BPFDΦ** et Arsen. **17** κασίγνητε **BF** et Arsen. **18** ἄρτι σωφρονῶν Eurip. **19** ἡνώσεσιν **F**

τὰ σκέλη μεθύει." Οὕτω δ' ἦν φρονηματίας, ὥστε ἐρομένου τινός· "Τίνι συστήσω τὸν υἱόν;" εἰπεῖν· "Ἐμοί· καὶ γὰρ εἰ ὑπελάμβανον εἶναί τινα ἐμοῦ βελτίονα, παρ' αὐτῷ ἂν ἐγὼ ἐφιλοσόφουν." Ὅθεν φασὶν ἐπ' αὐτοῦ λεχθῆναι·

Οἶος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσι·

καί·

Εἰ μὴ γὰρ ἦν Χρύσιππος, οὐκ ἂν ἦν Στοά.

Τέλος δὲ Ἀρκεσιλάῳ καὶ Λακύδῃ, καθά φησι Σωτίων
ἐν τῷ ὀγδόῳ, παραγενομένοις ἐν Ἀκαδημίᾳ συνεφιλοσό-
184 φησε· δι' ἣν αἰτίαν καὶ κατὰ τῆς συνηθείας καὶ ὑπὲρ
αὐτῆς ἐπεχείρησε, καὶ περὶ μεγεθῶν καὶ πληθῶν τῇ τῶν
Ἀκαδημαϊκῶν συστάσει χρησάμενος.

Τοῦτον ἐν τῷ Ὠιδείῳ σχολάζοντά φησιν Ἕρμιππος ἐπὶ θυσίαν ὑπὸ τῶν μαθητῶν κληθῆναι· ἔνθα προσενεγκάμενον γλυκὺν ἄκρατον καὶ ἰλιγγιάσαντα πεμπταῖον ἀπελθεῖν ἐξ ἀνθρώπων, τρία καὶ ἑβδομήκοντα βιώσαντα ἔτη, κατὰ τὴν τρίτην καὶ τετταρακοστὴν ⟨καὶ ἑκατοστὴν⟩ Ὀλυμπιάδα, καθά φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς.

1 Οὕτω – **7** *SVF* II Nr. 6 **5** *Odyss.* 10.495 **7** cf. 4.62 **8–p. 557.18** *SVF* II Nr. 1 **8–12** Sotionis Fr. 22 Wehrli **13–18** Hermippi Fr. 59 Wehrli **17–18** i.e. 208–204 **18** Apollodori F 46 (*FGrHist* 244)

2 στήσω **F** **2–3** καὶ γὰρ εἰ **BPFDΦ** et Arsen. : εἰ γὰρ *Frob.*, ab Arnim **4** ἐπ' αὐτῶ **F** **8** ἀρκεσίλα **B** | λακιδει **B**, λακύδει **F** **9** παραγενομένοις **BPFD** : παραγενόμενος Kuehn, agn. ab Arnim, Wehrli **12** ἀκαδημικῶν **BP**^{1}**Q** | συστάσει **P** : ἐνστάσει **BD** : στάσει **F** **13** ὠδίω **B** **14** προσενεγκάμενον **P**^{4}**H** : προσενεχθέντα **BP**^{1}**QFDΦ** **15** πεμπτέον **B** **16** ἐξ ἀνθρώπων ss. **F**^{2} | τρία καὶ ἑβδομήκοντα post v. 18 ὀλυμπιάδα **FD** **17** τεττερακοστὴν **B** | καὶ ἑκατοστὴν e *Suda* (X 568) add. *Ambros.* et Menagius **18** καθά – ἐν χρονικοῖς in mg **F**^{2}

Καὶ ἔστιν ἡμῶν εἰς αὐτόν·

Ἰλιγγίασε Βάκχον ἐκπιὼν χανδὸν
　Χρύσιππος, οὐδ' ἐφείσατο
οὐ τῆς Στοᾶς, οὐχ ἧς πάτρας, οὐ τῆς ψυχῆς,
　ἀλλ' ἦλθε δῶμ' ἐς Ἀΐδεω.

Ἔνιοι δέ φασι γέλωτι συσχεθέντα αὐτὸν τελευτῆσαι· 185
ὄνου γὰρ τὰ σῦκα αὐτῷ φαγόντος, εἰπόντα τῇ γραΐδι· "Δίδου νῦν ἄκρατον ἐπιρροφῆσαι τῷ ὄνῳ," ὑπερκαγχάσαντα τελευτῆσαι.

Δοκεῖ δὲ ὑπερόπτης τις γεγονέναι. Τοσαῦτα γοῦν συγγράψας οὐδενὶ τῶν βασιλέων προσπεφώνηκεν. Ἠρκεῖτό τε γραϊδίῳ μόνῳ, καθὰ καὶ Δημήτριος ἐν Ὁμωνύμοις φησί. Πτολεμαίου τε πρὸς Κλεάνθην ἐπιστείλαντος ἢ αὐτὸν ἐλθεῖν ἢ πέμψαι τινά, Σφαῖρος μὲν ἀπῆλθε, Χρύσιππος δὲ ὑπερεῖδε. Μεταπεμψάμενος δὲ τοὺς τῆς ἀδελφῆς υἱεῖς, Ἀριστοκρέοντα καὶ Φιλοκράτη, συνεκρότησε. Καὶ πρῶτος ἐθάρρησε ὕπαιθρον σχολὴν ἔχειν ἐν Λυκείῳ, καθάπερ καὶ ὁ προειρημένος Δημήτριος ἱστορεῖ.

2–5 *Anth. Pal.* 7.706; **Φ** 61 **10–18** Demetrii F 24 Mejer **13–15** *SVF* I Nr. 621; Sphaeri T 2a (*FGrHist* 585). Cf. Athen. 8, 354 E

1 post ἡμῶν addit παίγνιον **Φ** **2–5** quattuor versus distinxit Salmasius (Cf. G. Morelli, *G.I.F.* 23 [1971] 125) **2** ἰλιγγίασαι **F**^{1} (corr. **F**^{2}) **4** οὐχ ἧς στοᾶς **Φ** | οὐχ ἧς **BP**^{1}**D** et *Pal.* : οὐδ' ἧς **FP**^{4}**Φ** | πάτρας **Φ** et *Pal.* : πάτρης **BPFD** **5** ἀΐδεω **BF**^{1}**DP**^{4} et *Pal.* : ἀΐδαο **P**^{1}**QF**^{2}**Φ** **6** γέλωτα **F**^{1} (corr. **F**^{2}) **7** αὐτοῦ **F**^{1} (corr. **F**^{2}) | γραΐ **F** | δίδου **BP**^{1}**QFΦ** : δοῦναι **DP**^{4}**H** **8** νῦν in mg **F**^{2} **13** ἐπιστείλαντος **P**^{4}**H** : ἀποστείλαντος **BP**^{1}**FD** **15** ὑπερεῖδε **BP**^{1}**D** : περιεῖδε **F P**^{4} | μεταπεμψαμένου Wilamowitz (*Antigonos*, 104) **16** φιλοκράτη **BPD** : φιλοκράτην **F** **17** σχολὴν ἔχειν ὕπαιθρον **FD** | λυκίῳ **B** **17–18** καθάπερ καὶ **F** : καθάπερ **DP**^{4}**H** : καθὰ καὶ **BP** **18** προειρημένος **FD** : προγεγραμμένος **BP**

186 Γέγονε δὲ καὶ ἄλλος Χρύσιππος, Κνίδιος ἰατρός, παρ' οὗ φησιν Ἐρασίστρατος τὰ μάλιστα ὠφελῆσθαι. Καὶ ἕτερος, υἱὸς τούτου, ἰατρὸς Πτολεμαίου, ὃς διαβληθεὶς περιήχθη καὶ μαστιγούμενος ἐκολάσθη. Ἄλλος μαθητὴς Ἐρασιστράτου, καί τις Γεωργικὰ γεγραφώς.

Ὁ δὴ φιλόσοφος καὶ τοιούτους τινὰς ἠρώτα λόγους· "Ὁ λέγων τοῖς ἀμυήτοις τὰ μυστήρια ἀσεβεῖ· ὁ δέ γ' ἱεροφάντης τοῖς ἀμυήτοις λέγει ⟨αὐτά⟩· ἀσεβεῖ ἄρα ὁ ἱεροφάντης." Ἄλλο· "Ὃ ἔστιν ἐν τῇ πόλει, τοῦτο καὶ ἐν τῇ οἰκίᾳ· οὐκ ἔστι δὲ φρέαρ ἐν τῇ πόλει, οὐδ' ἄρ' ἐν τῇ οἰκίᾳ." Ἄλλο· "Ἔστι τις κεφαλή· ἐκείνην δὲ οὐκ ἔχεις· ἔστι δέ γέ τις κεφαλὴ ⟨ἣν οὐκ ἔχεις⟩· οὐκ ἄρα ἔχεις
187 κεφαλήν." Ἄλλο· "Εἴ τίς ἐστιν ἐν Μεγάροις, οὐκ ἔστιν ἐν Ἀθήναις· ἄνθρωπος δέ ἐστιν ἐν Μεγάροις· οὐκ ἄρα ἐστὶν ἄνθρωπος ἐν Ἀθήναις." Καὶ πάλιν· "Εἴ τι λαλεῖς, τοῦτό σου διὰ τοῦ στόματος διέρχεται· ἅμαξαν δὲ λαλεῖς· ἅμαξα ἄρα σου διὰ τοῦ στόματος διέρχεται." Καὶ πάλιν· "Εἴ τι οὐκ ἀπέβαλες, τοῦτο ἔχεις· κέρατα δὲ οὐκ ἀπέβαλες· κέρατ' ἄρα ἔχεις." Οἱ δὲ Εὐβουλίδου τοῦτό φασιν.

Εἰσὶ δὲ οἳ κατατρέχουσι τοῦ Χρυσίππου ὡς πολλὰ αἰσχρῶς καὶ ἀρρήτως ἀναγεγραφότος. Ἐν μὲν γὰρ τῷ Περὶ

6–19 *SVF* II Nr. 279. Cf. *Suda,* X 569; Arsen., p. 481 s. **19** T 65 Doering **20–p. 559.9** *SVF* II Nr. 1071

1 δὲ **FD** : om. **BP** **2** φασὶν **F** | τὰ μάλιστα **DP**^{4}**H** : τὰ κάλλιστα **F** : πολλὰ **BP**^{1}**Q** | ὠφελῆσθαι **DQ** : ὠφελεῖσθαι **BP**^{1}**F** **3** υἱωνὸς Wilamowitz (326) **4** καὶ **FDP**^{4} in mg : om. **BP**^{1} | καὶ ἐκολάσθη **P**^{1}**Q** | ἐκολάσθει **F**^{2} **7** δέ γε **BP**^{1}**Φ** et *Suda* : δὲ **D** : om. **FP**^{4} et Arsen., *Frob.* **8** ante λέγει add. εἰ **F**^{2} | αὐτά addidi conl. 2.101 : τὰ μυστήρια add. ab Arnim **9** ὃ ἔστιν ... τοῦτο καὶ **BPF** et *Suda* : ὃ οὐκ ἔστιν ... οὐδ' **D** **10** οὐκ ἔστι – **11** τῇ οἰκίᾳ in mg **F**^{2} **12** ἣν οὐκ ἔχεις e *Suda* add. Menagius **13** ἄλλο **D** : om. **BPF** et *Suda* | ἥτις ἐστὶν **F** **16** σου post στόματος **DP**^{4} | ἔρχεται **B** et Arsen. **17** σου post στόματος **D** **19** οἱ δὲ – φασιν om. **F**

τῶν ἀρχαίων φυσιολόγων συγγράμματι αἰσχρῶς τὰ περὶ
τὴν Ἥραν καὶ τὸν Δία ἀναπλάττει, λέγων κατὰ τοὺς ἑξα-
κοσίους στίχους ἃ μηδεὶς ἠτυχηκὼς μολύνειν τὸ στόμα
εἴποι ἄν. Αἰσχροτάτην γάρ, φασί, ταύτην ἀναπλάττει 188
ἱστορίαν, εἰ καὶ ἐπαινεῖ ὡς φυσικήν, χαμαιτύπαις μᾶλλον
πρέπουσαν ἢ θεοῖς, ἔτι τε καὶ παρὰ τοῖς περὶ πινάκων
γράψασι ⟨οὐ⟩ κατακεχωρισμένην· μήτε γὰρ παρὰ Πολέ-
μωνι μήτε παρὰ Ξενοκράτει, ἀλλὰ μηδὲ παρ' Ἀντιγόνῳ
εἶναι, ὑπ' αὐτοῦ δὲ πεπλάσθαι.
Ἐν δὲ τῷ Περὶ πολιτείας καὶ μητράσι λέγει συνέρ-
χεσθαι καὶ θυγατράσι καὶ υἱοῖς· τὰ δ' αὐτά φησι καὶ ἐν τῷ
Περὶ τῶν μὴ δι' ἑαυτὰ αἱρετῶν εὐθὺς ἐν ἀρχῇ. Ἐν δὲ τῷ
τρίτῳ Περὶ δικαίου κατὰ τοὺς χιλίους στίχους καὶ τοὺς
ἀποθανόντας κατεσθίειν κελεύει. Ἐν δὲ τῷ δευτέρῳ Περὶ
βίου καὶ πορισμοῦ προνοεῖν λέγων ὅπως ποριστέον τῷ
σοφῷ ⟨ἐπιλέγει·⟩ | "Καίτοι τίνος χάριν ποριστέον αὐτῷ; Εἰ 189
μὲν γὰρ τοῦ ζῆν ἕνεκεν, ἀδιάφορον τὸ ζῆν· εἰ δὲ ἡδονῆς,
καὶ αὕτη ἀδιάφορον· εἰ δὲ τῆς ἀρετῆς, αὐτάρκης αὕτη
πρὸς εὐδαιμονίαν. Καταγέλαστοι δὲ καὶ οἱ τρόποι τοῦ
πορισμοῦ, οἷον οἱ ἀπὸ βασιλέως· εἴκειν γὰρ αὐτῷ δεήσει.

10–12 *SVF* III Nr. 744 **12** Ἐν δὲ – **14** κελεύει : *SVF* III Nr. 747. Cf. DL 7.121 **14–p. 560.2** ἡ σοφία : *SVF* III Nr. 685; **φ** 78

5 χαμαιτυπείοις **D** **6** καὶ Casaubon : τὰ **BPF** : om. **D** **7** γράψασι ss. **F**² | οὐ add. Casaubon | μήτε **P⁴H** : οὔτε **BP¹FD** | παρὰ om. **FD** **8** παρὰ Ξενοκράτει R. Koepke (*De Antigono Carystio,* 1862, 25), agn. Wilamowitz (8) : παρ' ὑψικράτει **BPF** (ὑψο-) **D** **14** κελεύει scripsi : κελεύων **BP FD** **15** βίων ab Arnim | προνοεῖ ab Arnim | ⟨μηδὲν⟩ ποριστέον Gigante (1960) **16** ἐπιλέγει addidi **18** καὶ ss. **F**² | αὐτὴ **Bφ** | ἀδιάφορον **φ** 78 et Gigante : ἀδιάφορος **BP FD** | αὐτῇ **B** **19** καὶ om. **F** **20** οἱ om. **F** | εἴξειν Richards

Καὶ οἱ ἀπὸ φιλίας· λήμματος γὰρ ὤνιος ἡ φιλία ἔσται. Καὶ οἱ ἀπὸ σοφίας· μισθαρνήσει γὰρ ἡ σοφία." Καὶ ταῦτα μὲν ⟨αὐτῷ⟩ ἐγκαλεῖται.

Ἐπειδὴ δὲ ἐνδοξότατα τὰ βιβλία ἐστὶν αὐτῷ, ἔδοξέ μοι καὶ τὴν πρὸς εἶδος ἀναγραφὴν αὐτῶν ἐνταῦθα καταχωρίσαι. Καὶ ἔστι τάδε·

Λογικοῦ τόπου ⟨*⟩

Θέσεις λογικαί,
Τῶν τοῦ φιλοσόφου σκεμμάτων,
Ὅρων διαλεκτικῶν πρὸς Μητρόδωρον α΄ β΄ γ΄ δ΄ ε΄ ς΄,
Περὶ τῶν κατὰ τὴν διαλεκτικὴν ὀνομάτων πρὸς Ζήνωνα α΄,
190 Τέχνη διαλεκτικὴ πρὸς Ἀρισταγόραν α΄,
Συνημμένων πιθανῶν πρὸς Διοσκουρίδην α΄ β΄ γ΄ δ΄.

Λογικοῦ τόπου τοῦ περὶ τὰ πράγματα

Σύνταξις πρώτη

Περὶ ἀξιωμάτων α΄,
Περὶ τῶν οὐχ ἁπλῶν ἀξιωμάτων α΄,
Περὶ τοῦ συμπεπλεγμένου πρὸς Ἀθηνάδην α΄ β΄,
Περὶ ἀποφατικῶν πρὸς Ἀρισταγόραν α΄ β΄ γ΄,

4–p. 572.10 *SVF* II Nrr. 13–18. Ed. M. Baldassarri (Novicomi, 1985)

3 αὐτῷ addidi **4** ἐπειδὴ **BP**[1]**D** : ἐπεὶ **FP**[4] | τὰ om. **B** **5** μο **B** **7** post τόπου addit τοῦ περὶ τὴν διόρθωσιν τῶν λογικῶν ἐννοιῶν ab Arnim (conl. p. 569.2–3) **8** λογικαὶ ab Arnim : λογικὰ καὶ **BPFD** **10–11** α΄ – ε΄ om. **FD** **12** τὴν om. **FD** **15–16** α΄ β΄ γ΄ om. **FD** **17** τὰ om. **B** **20** α΄ om. **F** **23** ἀποφαντικῶν **P**[1]**Q** (corr. **P**[4]) | α΄ β΄ om. **FD**

Περὶ τῶν καταγορευτικῶν πρὸς Ἀθηνόδωρον α′,

Περὶ τῶν κατὰ στέρησιν λεγομένων πρὸς Θέαρον α′,

Περὶ τῶν ἀορίστων ἀξιωμάτων πρὸς Δίωνα α′ β′ γ′,

Περὶ τῆς διαφορᾶς τῶν ἀορίστων α′ β′ γ′ δ′,

Περὶ τῶν κατὰ χρόνους λεγομένων α′ β′,

Περὶ συντελικῶν ἀξιωμάτων α′ β′.

Σύνταξις δευτέρα

Περὶ ἀληθοῦς διεζευγμένου πρὸς Γοργιππίδην α′,

Περὶ ἀληθοῦς συνημμένου πρὸς Γοργιππίδην α′ β′ γ′ δ′,

Αἵρεσις πρὸς Γοργιππίδην α′, **191**

Πρὸς τὸ περὶ ἀκολούθων α′,

Περὶ τοῦ διὰ τριῶν πάλιν πρὸς Γοργιππίδην α′,

Περὶ δυνατῶν πρὸς Κλεῖτον α′ β′ γ′ δ′,

Πρὸς τὸ περὶ σημασιῶν Φίλωνος α′,

Περὶ τοῦ τίνα ἐστὶ τὰ ψευδῆ α′.

Σύνταξις τρίτη

Περὶ προσταγμάτων α′ β′,

Περὶ ἐρωτήσεως α′ β′,

Περὶ πεύσεως α′ β′ γ′ δ′,

Ἐπιτομὴ περὶ ἐρωτήσεως καὶ πεύσεως α′,

1 καταγορευτηκῶν **B** **3** πρὸς θέαρον om. **F** **4** α′ **BP D** : β′ **F** **5–8** om. **FD**[1] (in mg add. **D**[2]) **5** ἀορίστων Cobet : ἀρίστων **BPD**[2] | δίον **B**, δῖον **D**[2] **9** α′ om. **F** **13–15** om. **F** **15** διαίρεσις **D** **17** πάλιν **D** : om. **BPF** **18** περὶ δυνατῶν om. **F** | α′ β′ γ′ om. **FD** **19** πρὸς τὸ om. **F** **21** om. **F** **22** α′ om. **FD** **23** ἐρωτήσεως Menagius : ἐρωτήσεων **BPFD** | α′ om. **FD** **24** α′ β′ γ′ om. **FD** **25** ἐπιτομὴ om. **F**

Ἐπιτομὴ περὶ ἀποκρίσεως α΄,
⟨Περὶ⟩ ζητήσεως α΄ β΄,
Περὶ ἀποκρίσεως α΄ β΄ γ΄ δ΄.

Σύνταξις τετάρτη

Περὶ τῶν κατηγορημάτων πρὸς Μητρόδωρον α΄ β΄ γ΄ δ΄ ε΄ ϛ΄ ζ΄ η΄ θ΄ ι΄,
Περὶ ὀρθῶν καὶ ὑπτίων πρὸς Φίλαρχον α΄,
Περὶ τῶν συμβαμάτων πρὸς Ἀπολλωνίδην α΄,
Πρὸς Πάσυλον περὶ κατηγορημάτων α΄ β΄ γ΄ δ΄.

Σύνταξις πέμπτη

192 Περὶ τῶν πέντε πτώσεων α΄,
Περὶ τῶν κατὰ τὸ ὑποκείμενον ὡρισμένων ἐκφορῶν α΄,
Περὶ παρεμφάσεως πρὸς Στησαγόραν α΄ β΄,
Περὶ τῶν προσηγορικῶν α΄ β΄.

Λογικοῦ τόπου περὶ τὰς λέξεις καὶ τὸν κατ' αὐτὰς λόγον

Σύνταξις πρώτη

Περὶ τῶν ἑνικῶν καὶ πληθυντικῶν ἐκφορῶν α΄ β΄ γ΄ δ΄ ε΄ ϛ΄,
Περὶ λέξεων πρὸς Σωσιγένην καὶ Ἀλέξανδρον α΄ β΄ γ΄ δ΄ ε΄,

1 περὶ om. **F** | ἀποκρίσεως Huebner : ἀποκρίσεων **BPFD** **2** Περὶ add. Huebner | α΄ β΄ **BP** : β΄ **D** : δ΄ **F** **3** om. **F** | α΄ β΄ γ΄ δ΄ **P** : δ΄ **BD** **5–6** α΄ – ι΄ **BP** : ι΄ **FD** **7** φίλαρχον **PD** : φύλαρχον **BF** **8** συμβαμάτων ab Arnim : συναμμάτων **BP** : συγγραμμάτων **F** : σωμάτων **D** **9** πρὸς πάσυλον om. **F** | α΄ β΄ γ΄ om. **FD** **12** post περὶ τῶν addit πρὸς τὸ **F** **14** στησαγόραν **B**^{1}**PF** : στεναγόραν **B**^{2}**D** | α΄ om. **FD** **15** α΄ om. **FD** **18** ἑνικῶν **D** : ἐθνικῶν **BPF** | καὶ πληθυντικῶν om. **F** **18–19** α΄ – ε΄ om. **FD** **20** σωσιγέννην **F**^{2} **21** α΄ – δ΄ om. **FD**

Περὶ τῆς κατὰ τὰς λέξεις ἀνωμαλίας πρὸς Δίωνα α΄ β΄ γ΄ δ΄,
Περὶ τῶν πρὸς τὰς φωνὰς σωρειτῶν λόγων α΄ β΄ γ΄,
Περὶ σολοικισμῶν α΄,
Περὶ σολοικιζόντων λόγων πρὸς Διονύσιον α΄,
Λόγοι παρὰ τὰς συνηθείας α΄,
Λέξεις πρὸς Διονύσιον α΄.

Σύνταξις δευτέρα

Περὶ τῶν στοιχείων τοῦ λόγου καὶ τῶν λεγομένων α΄ β΄ γ΄ δ΄ ε΄,
Περὶ τῆς συντάξεως τῶν λεγομένων α΄ β΄ γ΄ δ΄,
Περὶ τῆς συντάξεως καὶ στοιχείων τῶν λεγο- 193
μένων πρὸς Φίλιππον α΄ β΄ γ΄,
Περὶ τῶν στοιχείων τοῦ λόγου πρὸς Νικίαν α΄,
Περὶ τοῦ πρὸς ἕτερα λεγομένου α΄.

Σύνταξις τρίτη

Πρὸς τοὺς μὴ διαιρουμένους α΄ β΄,
Περὶ ἀμφιβολιῶν πρὸς Ἀπελλᾶν α΄ β΄ γ΄ δ΄,
Περὶ τῶν τροπικῶν ἀμφιβολιῶν α΄,
Περὶ συνημμένης τροπικῆς ἀμφιβολίας α΄ β΄,
Πρὸς τὸ περὶ ἀμφιβολιῶν Πανθοίδου α΄ β΄,
Περὶ τῆς εἰς τὰς ἀμφιβολίας εἰσαγωγῆς α΄ β΄ γ΄ δ΄ ε΄,

1 ἀνομαλίας F^1 **2** δίωνα **PF** : δίον **B**, δίων **D** | α΄ β΄ γ΄ om. **FD** **3** σωρετῶν **F** | α΄ β΄ om. **FD** **5** περὶ σολοικισμῶν om. **F** **7** om. **F** **8** λέξεις **PFD** : λέξις **B** **11** α΄ – δ΄ om. **FD** **12** α΄ – δ΄ **BP** : δ΄ **F** : om. **D** **13** τῆς, καὶ et τῶν λεγομένων om. **F** **14** α΄ β΄ om. **FD** **15** περὶ – τοῦ λόγου om. **F** **18** α΄ om. **FD** **19** ἀπελλᾶν **D** et Stephanus : ἀπολλᾶν **B**, ἀπόλλαν **PF** | α΄ β΄ γ΄ om. **FD** **20** τῶν om. **F** | α΄ om. **F** **21** α΄ om. **FD** **22** περὶ ss. B^2 | α΄ om. **FD** **23–24** α΄ – δ΄ om. **FD**

Ἐπιτομὴ τῶν πρὸς Ἐπικράτην ἀμφιβολιῶν α΄,
Συνημμένα πρὸς τὴν εἰσαγωγὴν τὴν εἰς τὰς ἀμφιβολίας α΄ β΄.

Λογικοῦ τόπου πρὸς τοὺς λόγους καὶ τοὺς τρόπους

Σύνταξις πρώτη

Τέχνη λόγων καὶ τρόπων πρὸς Διοσκουρίδην α΄ β΄ γ΄ δ΄ ε΄,
Περὶ τῶν λόγων α΄ β΄ γ΄,
194 Περὶ τρόπων συστάσεως πρὸς Στησαγόραν α΄ β΄,
Σύγκρισις ⟨τῶν⟩ τροπικῶν ἀξιωμάτων α΄,
Περὶ ἀντιστρεφόντων λόγων καὶ συνημμένων α΄,
Πρὸς Ἀγάθωνα ἢ περὶ τῶν ἑξῆς προβλημάτων α΄,
Περὶ τοῦ τίνα συλλογιστικά τινος μετ' ἄλλου τε καὶ μετ' ἄλλων α΄,
Περὶ τῶν ἐπιφορῶν πρὸς Ἀρισταγόραν α΄,
Περὶ τοῦ τάττεσθαι τὸν αὐτὸν λόγον ἐν πλείοσι τρόποις α΄,
Πρὸς τὰ ἀντειρημένα τῷ τὸν αὐτὸν λόγον ἐν συλλογιστικῷ καὶ ἀσυλλογίστῳ τετάχθαι τρόπῳ α΄ β΄,

1 ἐπικράτην **FD** : ἐπικράτη **BP** **2** τὴν Huebner : τῶν **BPFD** **3** α΄ om. **FD** **4** om. **F** **5** σύνταξις **PD** : συντάξεις **B** : om. **F** **6** διοσκορίδην **BD** **6–7** α΄ – δ΄ om. **FD** **8** τῶν om. **F** | λογιῶν **B** | α΄ β΄ om. **FD** **9** συστάσεων **D** | α΄ om. **FD** **11** τῶν add. *Frob.* **12–17** om. **F** **16** τίνα ab Arnim : τὰ **BPD** | μετάλλου **BPD** | τε om. **D** **17** μετάλλων **BP** : μεγάλων **D** **18** ἀρισταγόραν **BPD** : στησαγόραν **F** **19** ἐμπλείοσι **F** **21–23** om. **F** **21** τῶ ss. **P**^{4}**H** : τῶν **BD** : om. **P**^{1}**Q** | τῶν αὐτῶν λόγων **P** **23** post τρόπω addit λεγόντων **D** | α΄ om. **D**

Πρὸς τὰ ἀντειρημένα ταῖς τῶν συλλογισμῶν ἀναλύσεσι α′ β′ γ′,
Πρὸς τὸ περὶ τρόπων Φίλωνος πρὸς Τιμόστρατον α′,
Λογικὰ συνημμένα πρὸς Τιμοκράτην καὶ Φιλομαθῆ· εἰς τὰ περὶ λόγων καὶ τρόπων α′.

Σύνταξις δευτέρα 195

Περὶ τῶν περαινόντων λόγων πρὸς Ζήνωνα α′,
Περὶ τῶν πρώτων καὶ ἀναποδείκτων συλλογισμῶν πρὸς Ζήνωνα α′,
Περὶ τῆς ἀναλύσεως τῶν συλλογισμῶν α′,
Περὶ τῶν παρελκόντων λόγων πρὸς Πάσυλον α′ β′,
Περὶ τῶν εἰς τοὺς συλλογισμοὺς θεωρημάτων α′,
Περὶ συλλογισμῶν εἰσαγωγικῶν πρὸς Ζήνωνα α′,
Τῶν πρὸς εἰσαγωγὴν τρόπων πρὸς Ζήνωνα α′ β′ γ′,
Περὶ τῶν κατὰ ψευδῆ σχήματα συλλογισμῶν α′ β′ γ′ δ′ ε′,
Λόγοι συλλογιστικοὶ κατὰ ἀνάλυσιν ἐν τοῖς ἀναποδείκτοις α′,
Τροπικὰ ζητήματα πρὸς Ζήνωνα καὶ Φιλομαθῆ α′ (τοῦτο δοκεῖ ψευδεπίγραφον).

1 ἀντιρημένα **F** | τῶν om. **F** | συλλογισμῶν **FDP**^{4} : λογισμῶν **BP**^{1} **2** α′ β′ om. **FD** **3** τρόπων om. **F** **5** τιμοκράτην **FD** : τιμοκράτη **BP** **10** πρὸς ζήνωνα om. **F** **11** hunc titulum post v. 8 πρὸς ζήνωνα α′ habent **FD** **12–13** α′ β′ **BP** : β′ **D** : α′ **F** **14** συλλογισμοὺς Huebner ex interpr. : σολοικισμοὺς **BPFD** **16–17** πρὸς ζήνωνα α′ om. **F** **18** εἰσαγωγὴν *Frob.* : εἰσαγωγικὴν **BPF**^{2}**D** : εἰσαγωγικῶν **F**^{1} **18–19** α′ β′ γ′ **BP** : γ′ **DF**^{2} : α′ **F**^{1} **20–21** α′ – δ′ om. **FD** **24** πρὸς ζήνωνα τροπικὰ ζητήματα **F** | καὶ φιλομαθῆ om. **F** **25** τοῦτο – ψευδεπίγραφον om. **F**

Σύνταξις τρίτη

Περὶ τῶν μεταπιπτόντων λόγων πρὸς Ἀθηνάδην α΄ (ψευδεπίγραφον),

Λόγοι μεταπίπτοντες πρὸς τὴν μεσότητα α΄ β΄ γ΄
196 | (ψευδεπίγραφα),

Πρὸς τοὺς Ἀμεινίου διαζευκτικοὺς α΄.

Σύνταξις τετάρτη

Περὶ ὑποθέσεων πρὸς Μελέαγρον α΄ β΄ γ΄.

Λόγοι ὑποθετικοὶ εἰς τοὺς νόμους πρὸς Μελέαγρον πάλιν α΄,

Λόγοι ὑποθετικοὶ πρὸς εἰσαγωγὴν α΄ β΄,

Λόγοι ὑποθετικοὶ θεωρημάτων α΄ β΄,

Λύσις τῶν Ἡδύλου ὑποθετικῶν α΄ β΄,

Λύσις τῶν Ἀλεξάνδρου ὑποθετικῶν α΄ β΄ γ΄, (ψευδεπίγραφα),

Περὶ ἐκθέσεων πρὸς Λαοδάμαντα α΄.

Σύνταξις πέμπτη

Περὶ τῆς εἰς τὸν ψευδόμενον εἰσαγωγῆς πρὸς Ἀριστοκρέοντα α΄,

Λόγοι ψευδόμενοι πρὸς εἰσαγωγὴν α΄,

Περὶ τοῦ ψευδομένου πρὸς Ἀριστοκρέοντα α΄ β΄ γ΄ δ΄ ε΄ ς΄.

3 ψευδεπίγραφον om. **F** **4** α΄ β΄ om. **FD** **6** ἀμείνους **D** **8** περὶ **BPD** : πρὸς **F** | πρὸς om. **F** | α΄ β΄ om. **FD** **10** πάλιν **D** : om. **BPF** **11** λόγοι ὑποθετικοὶ om. **F** | α΄ om. **FD** **12** α΄ om. **FD** **13** ἡδύλλου **FD** | ὑποθετικοὶ **F** | α΄ om. **FD** **14** α΄ β΄ om. **FD** **15** ψευδεπίγραφα om. **F** **16** λαοδάμαντα **B** : ἀλοδάμαντα **P** : λαλοδάμαντα **D** : ἀδάμαντα **F** **18** τῆς **BPD** : τῶν **F** | πρὸς **FD** : πρὸς τὸν **BP** **19** α΄ om. **F** **21–22** α΄ – ε΄ om. **FD**

Σύνταξις ἕκτη

Πρὸς τοὺς νομίζοντας καὶ ψευδῆ καὶ ἀληθῆ εἶναι α΄,

Πρὸς τοὺς διὰ τῆς τομῆς διαλύοντας τὸν ψευδόμενον λόγον πρὸς Ἀριστοκρέοντα α΄ β΄, 197

Ἀποδείξεις πρὸς τὸ μὴ δεῖν τέμνειν τὰ ἀόριστα α΄,

Πρὸς τὰ ἀντειρημένα τοῖς κατὰ τῆς τομῆς τῶν ἀορίστων πρὸς Πάσυλον α΄ β΄ γ΄,

Λύσις κατὰ τοὺς ἀρχαίους πρὸς Διοσκουρίδην α΄,

Περὶ τῆς τοῦ ψευδομένου λύσεως πρὸς Ἀριστοκρέοντα α΄ β΄ γ΄,

Λύσις τῶν Ἡδύλου ὑποθετικῶν πρὸς Ἀριστοκρέοντα καὶ Ἀπελλᾶν α΄.

Σύνταξις ἑβδόμη

Πρὸς τοὺς φάσκοντας τὰ λήμματα ἔχειν ψευδῆ τὸν ψευδόμενον λόγον α΄,

Περὶ ἀποφάσκοντος πρὸς τὸν Ἀριστοκρέοντα α΄ β΄,

Λόγοι ἀποφάσκοντες πρὸς γυμνασίαν α΄,

Περὶ τοῦ παρὰ μικρὸν λόγου πρὸς Στησαγόραν α΄ β΄,

Περὶ τῶν εἰς τὰς ὑπολήψεις λόγων καὶ ἡσυχαζόντων πρὸς Ὀνήτορα α΄ β΄,

3 εἶναι : scil. τὸν ψευδόμενον λόγον (ab Arnim) 5 α΄ om. **FD** 6 ἀποδείξεις **B** : ἀπόδειξις **PFD** 8 ἀντιρημένα **F** | τοῖς **PD** : τῆς **BF** | κατὰ τῆς τομῆς **BPD** : κατατομῆς **F** 9 α΄ β΄ om. **FD** 10 διοσκορίδην **B** 13 α΄ β΄ om. **FD** 14–16 om. **F** 14 ἡδύλλου **D** 15 Ἀπελλᾶν Baldassarri (cf. p. 563.19) : ἀπολλᾶν **BPFD** 19–20 om. **F** 20 α΄ om. **D** 22 παρὰ **BPD** : κατὰ **F** 23 α΄ om. **FD** 25 α΄ om. **FD**

198 Περὶ τοῦ ἐγκεκαλυμμένου πρὸς Ἀριστόβουλον α′ β′,
Περὶ τοῦ διαλεληθότος πρὸς Ἀθηνάδην α′.

Σύνταξις ὀγδόη

Περὶ τοῦ οὔτιδος πρὸς Μενεκράτην α′ β′ γ′ δ′ ε′ ς′ ζ′ η′,
Περὶ τῶν ἐξ ἀορίστου καὶ ὡρισμένου λόγων πρὸς Πάσυλον α′ β′,
Περὶ οὔτιδος λόγου πρὸς Ἐπικράτην α′.

Σύνταξις ἐνάτη

Περὶ τῶν σοφισμάτων πρὸς Ἡρακλείδην καὶ Πόλλιν α′ β′,
Περὶ τῶν ἀπόρων διαλεκτικῶν λόγων πρὸς Διοσκουρίδην α′ β′ γ′ δ′ ε′,
Πρὸς τὸ Ἀρκεσιλάου μεθόδιον πρὸς Σφαῖρον α′.

Σύνταξις δεκάτη

Κατὰ τῆς συνηθείας πρὸς Μητρόδωρον α′ β′ γ′ δ′ ε′ ς′,
Ὑπὲρ τῆς συνηθείας πρὸς Γοργιππίδην α′ β′ γ′ δ′ ε′ ς′ ζ′.

Λογικοῦ τόπου τὰ τῶν προειρημένων τεττάρων διαφορῶν ἐκτὸς ὄντα καὶ περιέχοντα ⟨τὰς⟩ σποράδην καὶ οὐ σωματικὰς ζητήσεις λογικὰς περὶ τῶν καταλεγομένων·

1 ἐκκεκαυμένου **FP**^{4} γρ. **2** α′ om. **FD** **4** om. **F** **5** περὶ τοῦ οὔτιδος om. **F** **5–6** α′ – ζ′ om. **FD** **6** post η′ addit θ′ **D** **8** α′ om. **FD** **9** λόγου – **11** πρὸς om. **F** **12** πόλλιν **BPD** : πούδην **F** | α′ om. **FD** **13** λόγων om. ab Arnim **14** διοσκορίδην **B** | α′ – δ′ om. **FD** **18–19** α′ – ε′ om. **FD** **20** ὑπὲρ Cobet : περὶ **BPFD** | τῆς om. **F** | γοργίππην **F** **20–21** α′ – ς′ om. **FD** **23** ὄντα ἐκτὸς **F** | τὰς add. Cobet et ab Arnim

ζητημάτων α′ – λθ′. Ὁμοῦ τὰ πάντα τοῦ λογικοῦ τια′.

Ἠθικοῦ λόγου τοῦ περὶ τὴν διάρθρωσιν τῶν ἠθικῶν ἐννοιῶν **199**

Σύνταξις πρώτη

Ὑπογραφὴ τοῦ ⟨ἠθικοῦ⟩ λόγου [τοῦ] πρὸς Θεόπορον α′,
Θέσεις ἠθικαὶ α′,
Πιθανὰ λήμματα εἰς τὰ δόγματα πρὸς Φιλομαθῆ α′ β′ γ′,
Ὅρων τῶν τοῦ ἀστείου πρὸς Μητρόδωρον α′β′,
Ὅρων τῶν τοῦ φαύλου πρὸς Μητρόδωρον α′ β′,
Ὅρων τῶν ἀνὰ μέσον πρὸς Μητρόδωρον α′ β′,
Ὅρων τῶν κατὰ γένος πρὸς Μητρόδωρον α′ β′ γ′ δ′ ε′ ς′ ζ′,
Ὅρων τῶν κατὰ τὰς ἄλλας τέχνας πρὸς Μητρόδωρον α′ β′.

Σύνταξις δευτέρα

Περὶ ⟨τῶν⟩ ὁμοίων πρὸς Ἀριστοκλέα α′ β′ γ′,
Περὶ τῶν ὅρων πρὸς Μητρόδωρον α′ β′ γ′ δ′ ε′ ς′ ζ′.

Σύνταξις τρίτη

Περὶ τῶν οὐκ ὀρθῶς τοῖς ὅροις ἀντιλεγομένων πρὸς Λαοδάμαντα α′ β′ γ′ δ′ ε′ ς′ ζ′,

1 α′ – λθ′ **BP** : λθ′ **FD** | λογικοῦ **BPD** : ἠθικοῦ **F** **2–3** om. **F** | διάρθρωσιν **BD** : διόρθωσιν **P** **5** ἠθικοῦ add. Cobet | τοῦ[2] del. Cobet | Θεόμορον Croenert (*Kolotes,* 81) **9** α′ β′ om. **FD** **10** α′ om. **FD** **11** α′ om. **FD** **12** om. **F** | ἀνὰ μέσον **P** : ἀναμέσων **BD** | α′ om. **D** **13** ὅρων τῶν **BPD** : περὶ τῶν ὅρων **F** | πρὸς μητρόδωρον κατὰ γένος **BPD**, transp. Cobet | κατὰ γένος om. **F** **13–14** α′ – ζ′ **BPD** : ζ′ **F** **15–23** om. **F** **18** τῶν *Frob.* : om. **BPD** | α′ β′ om. **D** **19–20** α′ – ς′ om. **D** **23** α′ – ς′ om. **D**

200 Πιθανὰ εἰς τοὺς ὅρους πρὸς Διοσκουρίδην α′ β′,
Περὶ εἰδῶν καὶ γενῶν πρὸς Γοργιππίδην α′ β′,
Περὶ τῶν διαιρέσεων α′,
Περὶ τῶν ἐναντίων πρὸς Διονύσιον α′ β′,
Πιθανὰ πρὸς τὰς διαιρέσεις καὶ τὰ γένη καὶ τὰ εἴδη καὶ ⟨τὰ⟩ περὶ τῶν ἐναντίων α′.

Σύνταξις τετάρτη

Περὶ τῶν ἐτυμολογικῶν πρὸς Διοκλέα α′ β′ γ′ δ′ ε′ ς′ ζ′,
Ἐτυμολογικῶν πρὸς Διοκλέα α′ β′ γ′ δ′.

Σύνταξις πέμπτη

Περὶ παροιμιῶν πρὸς Ζηνόδοτον α′ β′,
Περὶ ποιημάτων πρὸς Φιλομαθῆ α′,
Περὶ τοῦ πῶς δεῖ τῶν ποιημάτων ἀκούειν α′ β′,
Πρὸς τοὺς κριτικοὺς πρὸς Διόδωρον α′.

201 Ἠθικοῦ τόπου περὶ τὸν κοινὸν λόγον καὶ τὰς ἐκ τούτου συνισταμένας τέχνας καὶ ἀρετάς

Σύνταξις πρώτη

Πρὸς τὰς ἀναζωγραφήσεις πρὸς Τιμώνακτα α′,
Περὶ τοῦ πῶς ἕκαστα λέγομεν καὶ διανοούμεθα α′,

1 διοσκορίδην **B** | α′ om. **FD** **3** α′ om. **FD** **4** τῶν om. **F** **5** τῶν **BD** : om. **PF** | α′ om. **FD** **6–7** om. **F** **7** τὰ add. ab Arnim **9** ἐτυμολογικῶν $\mathbf{P}^5$ et *Frob.* : ἐτυμολογιῶν **D** : ἐτοιμολογικῶν **F** : ἐτοιμολογιῶν $\mathbf{BP}^1$ **9–10** α′ – ς′ om. **FD** **11** ἐτυμολογικῶν $\mathbf{DP}^4\mathbf{H}$: ἐτοιμολογικῶν **B** $\mathbf{P}^1$: om. **F** | α′ – γ′ om. **FD** **12** om. **F** **13** α′ om. **FD** **15** α′ om. **FD** **16** πρὸς τοὺς κριτικοὺς om. **F** **17** περὶ om. **F** | τὸν κοινὸν λόγον **BP** : τῶν κοινῶν λόγων **FD** | τὰς **BPD** : τῶν **F** | τούτων **F** **18** ἀρετὰς καὶ τέχνας **F** **19–20** om. **F** **21** λέγωμεν **B** **22** α′ om. **F**

Περὶ τῶν ἐννοιῶν πρὸς Λαοδάμαντα α′ β′,
Περὶ ὑπολήψεως πρὸς Πυθώνακτα α′ β′ γ′,
Ἀποδείξεις πρὸς τὸ μὴ δοξάσειν τὸν σοφὸν α′,
Περὶ καταλήψεως καὶ ἐπιστήμης καὶ ἀγνοίας α′ β′ γ′ δ′,
Περὶ λόγου α′ β′,
Περὶ τῆς χρήσεως τοῦ λόγου πρὸς Λεπτίναν ⟨α′⟩.

Σύνταξις δευτέρα

Περὶ τοῦ ἐγκρίνειν τοὺς ἀρχαίους τὴν διαλεκτικὴν σὺν ταῖς ἀποδείξεσι πρὸς Ζήνωνα α′ β′,
Περὶ τῆς διαλεκτικῆς πρὸς Ἀριστοκρέοντα α′ 202
β′ γ′ δ′,
Περὶ τῶν ἀντιλεγομένων τοῖς διαλεκτικοῖς α′ β′ γ′,
Περὶ τῆς ῥητορικῆς πρὸς Διοσκουρίδην α′ β′ γ′ δ′.

Σύνταξις τρίτη

Περὶ ἕξεως πρὸς Κλέωνα α′ β′ γ′,
Περὶ τέχνης καὶ ἀτεχνίας πρὸς Ἀριστοκρέοντα α′ β′ γ′ δ′,
Περὶ τῆς διαφορᾶς τῶν ἀρετῶν πρὸς Διόδωρον α′ β′ γ′ δ′,
Περὶ τοῦ ποιὰς εἶναι τὰς ἀρετὰς α′,

1 α′ om. **FD** **2–3** om. **F** **2** α′ β′ γ′ **P** : α′ β′ **B** : β′ **D** **3** ἀποδείξεις **DP**^{5} : ἀπόδειξις **BP**^{1} **4–5** α′ β′ γ′ δ′ **BP** : δ′ **D** : om. **F** **6** λόγου **BPD** : λογικοῦ **F** | α′ β′ **BP** : β′ **D** : om. **F** **7** τῆς om. **F** | λεπτύναν **F** | α′ addidi **9–15** om. **F** **9** ἐγκρίνειν **P**^{4}**H** et *Frob.* : εὖ κρίνειν **BD** : εἰ κρίνειν **P**^{1}**Q** **10** α′ om. **D** **12–13** α′ β′ γ′ om. **D** **14** α′ β′ om. **D** **16** τῆς om. **F** | α′ – γ′ om. **FD** **18** om. **F** **19** α′ β′ om. **FD** **20–21** om. **F** **21** α′ – γ′ om. **D** **22** τῆς om. **F** **23** α′ – γ′ om. **FD**

Περὶ ἀρετῶν πρὸς Πόλλιν α΄ β΄.

Ἠθικοῦ τόπου περὶ ἀγαθῶν καὶ κακῶν

Σύνταξις πρώτη

Περὶ τοῦ καλοῦ καὶ τῆς ἡδονῆς πρὸς Αριστοκρέοντα α΄ β΄ γ΄ δ΄ ε΄ ς΄ ζ΄ η΄ θ΄ ι΄,

Ἀποδείξεις πρὸς τὸ μὴ εἶναι τὴν ἡδονὴν τέλος α΄ β΄ γ΄ δ΄,

Ἀποδείξεις πρὸς τὸ μὴ εἶναι τὴν ἡδονὴν ἀγαθὸν α΄ β΄ γ΄ δ΄,

Περὶ τῶν λεγομένων ὑπὲρ τῆς *

1 α΄ om. **FD** **2–5** om. **F** **2** ἀγαθοῦ **D** **5** α΄ – θ΄ om. **D** **6** ἀποδείξεις Huebner : ἀπόδειξις **BPFD** **7** α΄ – γ΄ om. **FD** **8** ἀποδείξεις Huebner : ἀπόδειξις **BPD** : om. **F** **9** α΄ – γ΄ om. **FD** **10** om. **F** | ὑπὲρ τῆς **BP** : om. **D** | post τῆς lacunam indicant **B** (spatio versuum 7 relicto) **P** (spatio fol. 174^v–176^v relicto) **D**. Vitae viginti philosophorum Stoicorum desiderantur: cf. p. 2.23–28

H

ΠΥΘΑΓΟΡΑΣ

Ἐπειδὴ δὲ τὴν Ἰωνικὴν φιλοσοφίαν τὴν ἀπὸ Θαλοῦ 1
καὶ τοὺς ἐν ταύτῃ διαγενομένους ἄνδρας ἀξιολόγους
διεληλύθαμεν, φέρε καὶ περὶ τῆς Ἰταλικῆς διαλάβωμεν,
ἧς ἦρξε Πυθαγόρας Μνησάρχου δακτυλιογλύφου, ὥς φη-
σιν Ἕρμιππος, Σάμιος ἤ, ὡς Ἀριστόξενος, [ὁ] Τυρρηνός,
ἀπὸ μιᾶς τῶν νήσων ἃς ἔσχον Ἀθηναῖοι Τυρρηνοὺς
ἐκβαλόντες. Ἔνιοι δὲ υἱὸν μὲν εἶναι Μαρμάκου τοῦ
Ἱππάσου τοῦ Εὐθύφρονος τοῦ Κλεωνύμου φυγάδος ἐκ
Φλιοῦντος, οἰκεῖν δὲ ἐν Σάμῳ τὸν Μάρμακον, ὅθεν Σάμι-
ον τὸν Πυθαγόραν λέγεσθαι. Συστῆναι δὲ εἰς Λέσβον ἐλ- 2
θόντα Φερεκύδῃ ὑπὸ Ζωΐλου τοῦ θείου. Καὶ τρία ποτήρια
κατασκευασάμενος ἀργυρᾶ δῶρον ἀπήνεγκεν ἑκάστῳ
τῶν ἱερέων εἰς Αἴγυπτον. Ἔσχε δὲ καὶ ἀδελφούς, πρεσβύ-
τερον μὲν Εὔνομον, μέσον δὲ Τυρρηνόν· καὶ δοῦλον
Ζάμολξιν, ᾧ Γέται θύουσι, Κρόνον νομίζοντες, ὥς φησιν
Ἡρόδοτος.

2 de l. 8 cf. B. Centrone, *ANRW* II, 36.6 (1992) 4183–4217 **2–p. 605.1** ed. A. Delatte (Bruxellis, 1922). Cf. Gu. Burkert, *Weisheit und Wissenschaft* (Norembergae, 1962). **5–6** Hermip-pi Fr. 19 Wehrli **6–8** Aristoxeni Fr. 11a Wehrli **16–17** cf. Herod. 4.95

inscriptio η´ **P^1** : λαερτίου διογένους τῶν εἰς ι´ τὸ ὄγδοον **FP^4D** **1** *tit.* **PFD** : om. **B** (sed 5 ΠΥΘΑΓΟΡΑΣ litt. uncial.ibus) **3** ἴδια γενομένους **B** | ἀξιολόγους ἄνδρας **F** **5** post πυθαγόρας add. μὲν **F** **6** σάμιος – τυρρηνός om. **F** | ὁ **BP D** : om. Stephanus **7** ἔσχον **P^1F**, ἔσχων **B** : κατέσχον **FP^4** **8** ἐκβαλλόντες **B** | Μαμέρκου Casaubon **10** φαιοῦντος **BP^1F^2** (corr. **F^1P^4**) **12** φερεκύδην **F** **13** ἀπήνεγκεν ⟨ἐν⟩ Reiske **14** καὶ **BP^1** : om. **FDP^4** **16–17** ὥς φησιν ἡρόδοτος om. **F** : post v. 16 θύουσι transp. Stephanus Monachus ap. Menagium

Οὗτος ἤκουσε μέν, καθὰ προείρηται, Φερεκύδου τοῦ
Συρίου· μετὰ δὲ τὴν ἐκείνου τελευτὴν ἧκεν εἰς Σάμον καὶ
ἤκουσεν Ἑρμοδάμαντος τοῦ ἀπογόνου Κρεωφύλου, ἤδη
πρεσβυτέρου. Νέος δ' ὢν καὶ φιλομαθὴς ἀπεδήμησε τῆς
πατρίδος καὶ πάσας ἐμυήθη τάς τε Ἑλληνικὰς καὶ βαρ-
3 βάρους τελετάς. Ἐγένετο οὖν ἐν Αἰγύπτῳ, ὁπηνίκα καὶ
Πολυκράτης αὐτὸν Ἀμάσιδι συνέστησε δι' ἐπιστολῆς·
καὶ ἐξέμαθε τὴν φωνὴν αὐτῶν, καθά φησιν Ἀντιφῶν ἐν
τῷ Περὶ τῶν ἐν ἀρετῇ πρωτευσάντων. Καὶ παρὰ Χαλδαί-
οις ἐγένετο καὶ Μάγοις. Εἶτα ἐν Κρήτῃ σὺν Ἐπιμενίδῃ
κατῆλθεν εἰς τὸ Ἰδαῖον ἄντρον· ἀλλὰ καὶ ἐν Αἰγύπτῳ εἰς
τὰ ἄδυτα· καὶ τὰ περὶ θεῶν ἐν ἀπορρήτοις ἔμαθεν. Εἶτα
ἐπανῆλθεν εἰς Σάμον, καὶ εὑρὼν τὴν πατρίδα τυραννου-
μένην ὑπὸ Πολυκράτους, ἀπῆρεν εἰς Κρότωνα τῆς Ἰταλί-
ας· κἀκεῖ νόμους θεὶς τοῖς Ἰταλιώταις ἐδοξάσθη σὺν τοῖς
μαθηταῖς, οἳ πρὸς τοὺς τριακοσίους ὄντες ᾠκονόμουν
ἄριστα τὰ πολιτικά, ὥστε σχεδὸν ἀριστοκρατίαν εἶναι
τὴν πολιτείαν.

4 Τοῦτόν φησιν Ἡρακλείδης ὁ Ποντικὸς περὶ αὑτοῦ τάδε λέγειν, ὡς εἴη ποτὲ γεγονὼς Αἰθαλίδης καὶ Ἑρμοῦ υἱὸς νομισθείη· τὸν δὲ Ἑρμῆν εἰπεῖν αὐτῷ ἑλέσθαι ὅ τι ἂν βούληται πλὴν ἀθανασίας. Αἰτήσασθαι οὖν ζῶντα καὶ τελευτῶντα μνήμην ἔχειν τῶν συμβαινόντων· ἐν μὲν οὖν τῇ ζωῇ πάντων διαμνημονεῦσαι, ἐπεὶ δὲ ἀποθάνοι τηρῆσαι τὴν αὐτὴν μνήμην. Χρόνῳ δ' ὕστερον εἰς Εὔφορβον

1–2 cf. 1.118–119 **19–p. 575.17** Heraclidis Fr. 89 Wehrli. Cf. Porphyr. *V.P.* 45; Hippol. *Ref.* 1.2.11; Tertull.. *De anima* 28.3 et al.; Delatte, 106; Burkert, 114 s.

1 μὲν – προείρηται om. **F** | καθὰ προείρηται **PD** : καθάπερ εἴρηται **B** | φερεκύδους **F** **2** δὲ ss. **B**^{2} | σάλμον **B** **3** κρεοφύλου **B** **5** βαρβαρικὰς *Frob.*, Cobet **8** καθά – **9** πρωτευσάντων om. **F** **11** εἰδαῖον **B** : ἰουδαῖον **F**^{1} **16** πρὸς **BP**^{1}**F** : περὶ **DP**^{4} et *Frob.* **19** περὶ – **20** λέγειν om. **F** **19** αὑτοῦ Cobet : αὐτοῦ **BPD** **23** τελευτήσαντα Cobet

ἐλθεῖν καὶ ὑπὸ Μενέλεω τρωθῆναι. Ὁ δὲ Εὔφορβος ἔλεγεν ὡς Αἰθαλίδης ποτὲ γεγόνοι καὶ ὅτι παρ' Ἑρμοῦ τὸ δῶρον λάβοι καὶ τὴν τῆς ψυχῆς περιπόλησιν, ὡς περιεπολήθη καὶ εἰς ὅσα φυτὰ καὶ ζῷα παρεγένετο καὶ ὅσα ἡ ψυχὴ ἐν τῷ Ἅιδῃ ἔπαθε καὶ αἱ λοιπαὶ τίνα ὑπομένουσιν.

5 Ἐπειδὴ δὲ Εὔφορβος ἀποθάνοι, μεταβῆναι τὴν ψυχὴν αὐτοῦ εἰς Ἑρμότιμον, ὃς καὶ αὐτὸς πίστιν θέλων δοῦναι ἐπανῆλθεν εἰς Βραγχίδας καὶ εἰσελθὼν εἰς τὸ τοῦ Ἀπόλλωνος ἱερὸν ἐπέδειξεν ἣν Μενέλαος ἀνέθηκεν ἀσπίδα (ἔφη γὰρ αὐτόν, ὅτ' ἀπέπλει ἐκ Τροίας, ἀναθεῖναι τῷ Ἀπόλλωνι τὴν ἀσπίδα), διασεσηπυῖαν ἤδη, μόνον δὲ διαμένειν τὸ ἐλεφάντινον πρόσωπον. Ἐπειδὴ δὲ Ἑρμότιμος ἀπέθανε, γενέσθαι Πύρρον τὸν Δήλιον ἁλιέα· καὶ πάντα πάλιν μνημονεύειν, πῶς πρόσθεν Αἰθαλίδης, εἶτ' Εὔφορβος, εἶτα Ἑρμότιμος, εἶτα Πύρρος γένοιτο. Ἐπειδὴ δὲ Πύρρος ἀπέθανε, γενέσθαι Πυθαγόραν καὶ πάντων τῶν εἰρημένων μεμνῆσθαι.

6 Ἔνιοι μὲν οὖν Πυθαγόραν μηδὲ ἓν καταλιπεῖν σύγγραμμά φασιν διαπεσόντες. Ἡράκλειτος γοῦν ὁ φυσικὸς μονονουχὶ κέκραγε καί φησι· "Πυθαγόρης Μνησάρχου ἱστορίην ἤσκησεν ἀνθρώπων μάλιστα πάντων καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς ἐποιήσατο ἑαυτοῦ σοφίην, πολυμαθείην, κακοτεχνίην." Οὕτω δ' εἶπεν ἐπειδή-

18–p. 576.17 14 A 19 DK **18** cf. 1.16 **20–23** Heracliti B 129 DK (= Fr. 17 Marcovich)

4 περιεγένετο **FP**^{4} **5** ἐν ᾅδου Cobet **7** δοῦναι θέλων **FD** **8** ἀνῆλθεν Reiske **9** ἔθηκεν **F** **10** ἔφη – **11** τὴν ἀσπίδα secl. Cobet **10** ἀπέπλει **BP**^{1}**D** : ἀπέπλευσεν **FP**^{4} | ἀναθῆναι **B** **11** διαμένον Cobet **14** προσθῆναι θαλίδης **B** **15** εἶτα ἑρμότιμος in mg **F**^{2} **18** οὖν **PD** : om. **BF** | καταλίπειν **B** **19** διαπεσόντες Reiske : διαπέζοντες **B**, διαπαίζοντες **PFD** : παίζοντες Diels **20** πυθαγόρης **P** : πυθαγόροις **B** : πυθαγόρας **FD** **21** ἱστορεῖν ἴσχυσεν **F** **22** ἐποίησεν **F** | ἑωυτοῦ **P**^{4}, Cobet **23** πολυμαθείην **PF** : πολυμαθίην **BD**

περ ἐναρχόμενος ὁ Πυθαγόρας τοῦ Φυσικοῦ συγγράμματος λέγει ὧδε· "Οὐ μὰ τὸν ἀέρα τὸν ἀναπνέω, οὐ μὰ τὸ ὕδωρ τὸ πίνω, οὔ κοτ' οἴσω ψόγον περὶ τοῦ λόγου τοῦδε." Γέγραπται δὲ τῷ Πυθαγόρᾳ συγγράμματα τρία, Παιδευτικόν, Πολιτικόν, Φυσικόν.
7 Τὸ δὲ φερόμενον ὡς Πυθαγόρου Λύσιδός ἐστι τοῦ Ταραντίνου Πυθαγορικοῦ, φυγόντος εἰς Θήβας καὶ Ἐπαμεινώνδα καθηγησαμένου.

Φησὶ δ' Ἡρακλείδης ὁ τοῦ Σαραπίωνος ἐν τῇ Σωτίωνος ἐπιτομῇ γεγραφέναι αὐτὸν καὶ Περὶ τοῦ ὅλου ἐν ἔπεσι, δεύτερον τὸν Ἱερὸν λόγον, οὗ ἡ ἀρχή·

Ὦ νέοι, ἀλλὰ σέβεσθε μεθ' ἡσυχίας τάδε πάντα·

τρίτον Περὶ ψυχῆς, τέταρτον Περὶ εὐσεβείας, πέμπτον Ἡλοθαλῆ, τὸν Ἐπιχάρμου τοῦ Κῴου πατέρα, ἕκτον Κρότωνα, καὶ ἄλλους. Τὸν δὲ Μυστικὸν λόγον Ἱππάσου φησὶν εἶναι, γεγραμμένον ἐπὶ διαβολῇ Πυθαγόρου, πολλοὺς δὲ καὶ ὑπὸ Ἄστωνος τοῦ Κροτωνιάτου γραφέντας
8 ἀνατεθῆναι Πυθαγόρᾳ. Φησὶ δὲ καὶ Ἀριστόξενος τὰ πλεῖστα τῶν ἠθικῶν δογμάτων λαβεῖν τὸν Πυθαγόραν παρὰ Θεμιστοκλείας τῆς ἐν Δελφοῖς. Ἴων δὲ ὁ Χῖος ἐν τοῖς Τριαγμοῖς φησιν αὐτὸν ἔνια ποιήσαντα ἀνενεγκεῖν εἰς Ὀρφέα. Αὐτοῦ λέγουσι καὶ τὰς Κοπίδας, οὗ ἡ ἀρχή·

8 Φησὶ δ' – **17** Heraclidis Fr. 8 (*FHG* III, 169 s.); Sotionis Fr. 24 Wehrli **17** Φησὶ δὲ – **19** Aristoxeni Fr. 15 Wehrli; 14 A 3 DK **19** παρὰ Θεμιστοκλείας : cf. 8.21; Porphyr. *V.P.* 41 **19–21** Ionis F 25a (*FGrHist* 392); 36 B 2 DK

1 ὁ om. **F** **3** κοτ' οἴσω Diels : κατοίσω **BPFD** : ἀνοίσω coni. Delatte **7** ἐπαμίμωνα **B** **10** ἡ om. **B** **11** σέβεσθε **P**[4] et *Frob.* : σέβεσθαι **BP**[1]**FD** | ἡσυχίης **P**[4], Cobet **15** φησὶν **BP**[1]**F** : φασὶν **DP**[4], *Frob.*, Cobet **15–16** πολλοὺς δὲ : sc. λόγους **19** θεμιστωκλείας **B** | ἐν Δελφοῖς *Aldobr.* (Adnot.) ex 8.21 : ἐν δελφῆς **D** : ἀδελφῆς **BPF** **21** καὶ τὰς Κοπίδας H. Diels (cf. *Schol.* in Eurip. *Hec.* 134) : κατασκοπιάδας **B** : καὶ τὰς κοπιάδας **PF** : καὶ τοὺς κατὰ σκοπιάδας **D** | ἡ om. **B**

"Μὴ †ἀναααίδευ† μηδενί."

Σωσικράτης δὲ ἐν Διαδοχαῖς φησιν αὐτὸν ἐρωτηθέντα ὑπὸ Λέοντος τοῦ Φλιασίων τυράννου τίς εἴη, "Φιλόσοφος" εἰπεῖν. Καὶ τὸν βίον ἐοικέναι πανηγύρει· ὡς οὖν εἰς ταύτην οἱ μὲν ἀγωνιούμενοι, οἱ δὲ κατ' ἐμπορίαν, οἱ δέ γε βέλτιστοι ἔρχονται θεαταί, οὕτως ἐν τῷ βίῳ οἱ μὲν ἀνδραποδώδεις, ἔφη, φαίνονται, δόξης καὶ πλεονεξίας θηραταί, οἱ δὲ φιλόσοφοι τῆς ἀληθείας. Καὶ τάδε μὲν ὧδε.

Ἐν δὲ τοῖς τρισὶ συγγράμμασι τοῖς προειρημένοις 9
φέρεται Πυθαγόρου τάδε καθολικῶς. Οὐκ ἐᾷ εὔχεσθαι ὑπὲρ αὐτῶν διὰ τὸ μὴ εἰδέναι ⟨ἡμᾶς⟩ τὸ συμφέρον. Τὴν μέθην ἓν ἀνθ' ἑνὸς βλάβην καλεῖ καὶ πλησμονὴν πᾶσαν ἀποδοκιμάζει, λέγων μὴ παραβαίνειν μήτε τῶν ποτῶν μήτε τῶν σιτίων μηδένα τὴν συμμετρίαν. Καὶ περὶ ἀφροδισίων δέ φησιν οὕτως· "Ἀφροδίσια χειμῶνος ποιέεσθαι, μὴ θέρεος· φθινοπώρου δὲ καὶ ἦρος κουφότερα, βαρέα δὲ πᾶσαν ὥρην καὶ ἐς ὑγείην οὐκ ἀγαθά." Ἀλλὰ καί ποτε

2–4 Sosicratis Fr. 17 (*FHG* IV, 503). Cf. DL 1.12; Gu. Burkert, *Hermes* 88 (1960) 159–177 **9–p. 578.2** cf. H. Diels, *Archiv f. Gesch. der Philos.* 3 (1890) 451–472 **14** Καὶ – **p. 578.2** cf. Diod. 10.9.3–4

1 ἀναααίδευ **BPFD** : ἀναδίδευ Diels : ἀναίδευ *Frob.* : ἀνείδευ Kuehn 2 σωσικράτης **D** : σωκράτης **BPF** 3 φιλόσοφος **Φ** 62, **P**[4] et *Frob.* : φιλόσοφον **BP**[1]**FD** 7 φαίνονται Reiske : φύονται **BPFDΦ** 9 γράμμασι **F** 10 ἐᾷ εὔχεσθαι **BP**[1]**D** : ἐλέγχεσθε **FP**[4] γρ. in mg 11 ὑπὲρ αὐτῶν **BPD** : ὑπὸ ἑαυτῶν **F** | εἰδέναι **PFD** : εἶναι **B** | ἡμᾶς addidi | σύμφορον **B** 12 ἓν ἀνθ' ἑνὸς **BPD** : ἐν ἄνθει νοὸς **F** 13 ποτῶν Casaubon (ex Iambl. *V.P.* 244) : πόνων **BPFD** (et Iambl. *V.P.* 163), Delatte 14 οἴτιων **B** | post σιτίων pergit **D** μήτε τῶν ὕπνων (cf. Iambl. 163 et 244) 16 θέρος **B** | βαρεία **P**[1]**F**[2] 17 ὑγείην **FP**[4] : ὑγίην **P**[1]**Q** : ὑγείαν **B**[2] (ὑγίαν **B**[1]) **D** | post ὑγείην addit εἶναι **FP**[4] γρ. | οὐκ ἀγαθὰ ss. **F**[2]

ἐρωτηθέντα πότε δεῖ πλησιάζειν εἰπεῖν· "Ὅταν βούλῃ γενέσθαι αὑτοῦ ἀσθενέστερος."

10 Διαιρεῖται δὲ καὶ τὸν τοῦ ἀνθρώπου βίον οὕτω· "Παῖς εἴκοσι ἔτεα, νεηνίσκος εἴκοσι, νεηνίης εἴκοσι, γέρων εἴκοσι. Αἱ δὲ ἡλικίαι πρὸς τὰς ὥρας ὧδε σύμμετροι· παῖς ἔαρ, νεηνίσκος θέρος, νεηνίης φθινόπωρον, γέρων χειμών." Ἔστι δ' αὐτῷ ὁ μὲν νεηνίσκος μειράκιον, ὁ δὲ νεηνίης ἀνήρ.

Εἶπέ τε πρῶτος, ὥς φησι Τίμαιος, κοινὰ τὰ φίλων εἶναι καὶ φιλίαν ἰσότητα. Καὶ αὐτοῦ οἱ μαθηταὶ κατετίθεντο τὰς οὐσίας εἰς ἓν ποιούμενοι. Πενταετίαν τε ἡσύχαζον, μόνον τῶν λόγων κατακούοντες καὶ οὐδέπω Πυθαγόραν ὁρῶντες εἰς ὃ δοκιμασθεῖεν· τοὐντεῦθεν δὲ ἐγίνοντο τῆς οἰκίας αὐτοῦ καὶ τῆς ὄψεως μετεῖχον. Ἀπείχοντο δὲ καὶ σοροῦ κυπαρισσίνης διὰ τὸ τὸ τοῦ Διὸς σκῆπτρον ἐντεῦθεν πεποιῆσθαι, ὥς φησιν Ἕρμιππος ἐν δευτέρῳ Περὶ Πυθαγόρου.

11 Καὶ γὰρ καὶ σεμνοπρεπέστατος λέγεται γενέσθαι καὶ αὐτοῦ οἱ μαθηταὶ δόξαν εἶχον περὶ αὐτοῦ ὡς εἴη Ἀπόλλων ἐξ Ὑπερβορέων ἀφιγμένος. Λόγος δέ ποτε αὐτοῦ

3–8 cf. Diod. 10.9.5 **9–10** Timaei F 13b (*FGrHist* 566). Cf. DL 10.11; 4.53; 8.33 **14–17** Hermippi Fr. 23 Wehrli. Cf. Iambl. *V.P.* 155 **18–p. 579.3** cf. Aristot. Fr. 191 Rose[3]; Ael. *V.H.* 2.26 et 4.17

1 post πλησιάζειν addit γυναικὶ **Φ** | εἶπεν et post **2** ἀσθενέστερος **F** | ὅταν βούλῃ **BP[1]D** (βούλει) : ὅτε βούλει **FΦ P[4]** **2** αὐτοῦ **P[1]D** : ἑαυτοῦ **FP[4]** : σεαυτοῦ **Φ** : αὔτοῦ **B** **3** διαιρεῖν τε **B[1]** (corr. **B[2]**) : διῄρει **Φ** **4** γέρων εἴκοσι om. **F** **6** νεηνίσκος **F** : νεανίσκος **BPD** **10** κατετίθεντο post v. 11 ἓν **BP** **11** ποιούμενοι secl. Cobet **12** μόνον *Frob.* : μόνων **BPFD** **15** τὸ[2] **Φ** : om. **BP[1]FD** | τὸ pro τοῦ **P[4]** **16** πεποιεῖσθαι **B** : περιποιεῖσθαι **F** **19** αὐτοῦ[1] del. Cobet **20** ὑπερβορέων **B[1]P[4]D** : ὑπερβοραίων **B[2]P[1]Q** : ὑπερβορείων **F** | λόγος **BP** : λέγεται **FD** | αὐτοῦ ποτὲ **FD**

παραγυμνωθέντος τὸν μηρὸν ὀφθῆναι χρυσοῦν· καὶ ὅτι Νέσσος ὁ ποταμὸς διαβαίνοντα αὐτὸν προσαγορεύσαι πολὺς ἦν ὁ φάσκων.

Τίμαιός τέ φησιν ἐν δεκάτῳ Ἱστοριῶν λέγειν αὐτὸν τὰς συνοικούσας ἀνδράσι ⟨γυναῖκας⟩ θεῶν ἔχειν ὀνόματα, Κόρας, Νύμφας, εἶτα Μητέρας καλουμένας. Τοῦτον καὶ γεωμετρίαν ἐπὶ πέρας ἀγαγεῖν, πρῶτον Μοίριδος εὑρόντος τὰς ἀρχὰς τῶν στοιχείων αὐτῆς, ὥς φησιν Ἀντικλείδης ἐν δευτέρῳ Περὶ Ἀλεξάνδρου. Μάλιστα δὲ **12**
σχολάσαι τὸν Πυθαγόραν περὶ τὸ ἀριθμητικὸν εἶδος αὐτῆς· τόν τε κανόνα τὸν ἐκ μιᾶς χορδῆς εὑρεῖν. Οὐκ ἠμέλησε δὲ οὐδὲ ἰατρικῆς. Φησὶ δ' Ἀπολλόδωρος ὁ λογιστικὸς ἑκατόμβην θῦσαι αὐτόν, εὑρόντα ὅτι τοῦ τριγώνου ὀρθογωνίου ἡ ὑποτείνουσα πλευρὰ ἴσον δύναται ταῖς περιεχούσαις. Καὶ ἔστιν ἐπίγραμμα οὕτως ἔχον·

Ἤνυκε Πυθαγόρης τὸ περικλεές· εὕρατο γράμμα
κεῖν', ἐφ' ὅτῳ κλεινὴν ἤγαγε βουθυσίην.

Λέγεται δὲ καὶ πρῶτος κρέασιν ἀσκῆσαι ἀθλητάς, καὶ

4–6 καλουμένας : Timaei F 17 (*FGrHist* 566). Cf. Iambl. *V.P.* 56; Hesych., s.v. γυνή **6–9** *FGrHist* 140 F 1 **12–15** cf. 1.24–25; Plut. *Non posse suav. vivi* 1094 B; Athen. 10, 418 F **16–17** *Anth. Pal.* 7.119; *Plan.* Cf. Plut. *Non posse suav. vivi* 1094 B; Athen. 10, 418 F **18–p. 580.5** Favorini Frr. 17 et 26 Mensching

2 νέσσος **BPD** : νέσος **FΦ** **4** τε **BPD** : δέ **F** **5** γυναῖκας addidi ex Iambl. 56 **6** post Μητέρας addit καὶ Μαίας Jacoby (ex Iambl. 56) **7** ἀγαγεῖν **FDP^4** : τοῦτον ἄγειν **BP^1** : ⟨προ⟩αγαγεῖν coni. Delatte | μοίριδος πρῶτον **FP^4** : Μοίριδος πρώτου Cobet **8** αὐτῆς – **9** Ἀλεξάνδρου om. **F** **12** οὐδὲ om. **F** **13** ὁ λογιστικὸς om. **F** **15** ἔχον **FDP^4** : ἔργον (cum sequentibus) **BP^{1}Q** **16** ἤνυκε **BPF** et *Pal.* c : ἠνίκε *Pal.*^{1} : ἤνικα **D**, *Pal.* c^2 *Plan.*, Plut., Athen. | εὕρετο *Pal.*, Plut., Athen. **17** κεῖν' ἐφ' ὅτω **BPDF** (ἐκεῖν') : κεῖνο (κλεινὸς Ath.) ἐφ' ᾧ Plut., Athen. | λαμπρὴν ἤγετο Plut.

πρῶτόν γε Εὐρυμένην, καθά φησι Φαβωρῖνος ἐν τρίτῳ
τῶν Ἀπομνημονευμάτων, τῶν πρότερον ἰσχάσι ξηραῖς
καὶ τυροῖς ὑγροῖς, ἀλλὰ καὶ πυροῖς σωμασκούντων
αὐτούς, καθάπερ ὁ αὐτὸς Φαβωρῖνος ἐν ὀγδόῳ Παντο-
13 δαπῆς ἱστορίας φησίν. Οἱ δὲ Πυθαγόραν ἀλείπτην τινὰ
τοῦτον σιτίσαι τὸν τρόπον, μὴ τοῦτον. Τοῦτον γὰρ καὶ τὸ
φονεύειν ἀπαγορεύειν, μὴ ὅτι γε ἅπτεσθαι τῶν ζῴων,
κοινὸν δίκαιον ἡμῖν ἐχόντων ⟨τὴν⟩ ψυχήν. Καὶ τόδε μὲν ἦν
τὸ πρόσχημα· τὸ δ' ἀληθὲς τῶν ἐμψύχων ἀπηγόρευεν ἅπ-
τεσθαι συνασκῶν καὶ συνεθίζων εἰς εὐκολίαν βίου τοὺς
ἀνθρώπους, ὥστε εὐπορίστους αὐτοῖς εἶναι τὰς τροφὰς
ἄπυρα προσφερομένοις καὶ λιτὸν ὕδωρ πίνουσιν· ἐντεῦ-
θεν γὰρ καὶ σώματος ὑγίειαν καὶ ψυχῆς ὀξύτητα περιγί-
νεσθαι. Ἀμέλει καὶ βωμὸν προσκυνῆσαι μόνον ἐν Δήλῳ
τὸν Ἀπόλλωνος τοῦ Γενέτορος, ὅς ἐστιν ὄπισθεν τοῦ
Κερατίνου, διὰ τὸ πυροὺς καὶ κριθὰς καὶ πόπανα μόνα
τίθεσθαι ἐπ' αὐτοῦ ἄνευ πυρός, ἱερεῖον δὲ μηδέν, ὥς
φησιν Ἀριστοτέλης ἐν Δηλίων πολιτείᾳ.
14 Πρῶτόν τέ φασι τοῦτον ἀποφῆναι τὴν ψυχὴν κύκλον

5–6 cf. 8.46 **14–18** Aristotelis Fr. 489 Rose^3. Cf. 8.22

1 εὐρυμένη **B**, εὐρημένην **F**^{1} (corr. **F**^{2}) | φαβορεῖνος hic et in v. 4 **B** | ἐν τρίτῳ om. **F** **2** τῶν **PD** : τὸν **BF** **3** σωμασκούντων **BP**^{1}**QD** : σωμασκεῖν **FP**^{4} **4** καθάπερ – **5** φησίν om. **F** **5** ἀλίπτην **B** **6** σιτίσαι **PD** : σιτῆσαι **F** : συστῆσαι **B** | τὸ **FP**^{4} : τοῦ **BP**^{1}**QD** **7** γε ἅπτεσθαι : γεύεσθαι Cobet **8** ἡμῖν in mg **F**^{2} | ⟨τὴν⟩ ψυχήν Richards : ψυχῆς **BPFD** | ἦν om. **F** **9** ἀπηγόρευεν **FDΦP**^{4} : ἀπαγορεύειν **BP**^{1}**Q** **10** ἐθίζων **Φ** **11** ἀνθρώπους **BDFΦP**^{4} ss. γρ. : βροτοὺς **P**^{1}**Q** **12** λιτὸν **BPFD** : om. **Φ** : λιτὰ ⟨καὶ⟩ Cobet (*Coll.*, 451) **12–13** ἐντεῦθεν γὰρ om. **F** **13** ὑγίαν **B**^{1} (corr. **B**^{2}) **15** τὸν **Φ** : τοῦ **BPFD** **16** τὸ **PFΦ** : τοῦ **B** | τὰ πόπανα **FP**^{4} **17** τοῦ πυρὸς **F**

ἀνάγκης ἀμείβουσαν ἄλλοτ' ἄλλοις ἐνδεῖσθαι ζῴοις· καὶ πρῶτον εἰς τοὺς Ἕλληνας μέτρα καὶ σταθμὰ εἰσηγήσασθαι, καθά φησιν Ἀριστόξενος ὁ μουσικός· πρῶτόν τε Ἕσπερον καὶ Φωσφόρον τὸν αὐτὸν εἰπεῖν (ὡς ⟨δὲ Φαβωρῖνός⟩ φησι Παρμενίδην).

Οὕτω δὲ ἐθαυμάσθη, ὥστε λέγειν τοὺς γνωρίμους ⟨τὰ λεγόμενα⟩ αὐτοῦ παντελῶς θεοῦ φωνάς. Ἀλλὰ καὶ αὐτὸς ἐν τῇ γραφῇ φησι "δι' ἑκκαίδεκα καὶ διηκοσίων ἐτέων ἐξ ἀίδεω παραγεγενῆσθαι ἐς ἀνθρώπους." Τοιγὰρ καὶ προσεκαρτέρουν αὐτῷ καὶ τῶν λόγων ἕνεκα προσῆεσαν καὶ Λευκανοὶ καὶ Πευκέτιοι καὶ Μεσσάπιοί τε καὶ Ῥωμαῖοι.

Μέχρι τε Φιλολάου οὐκ ἦν τι γνῶναι Πυθαγόρειον **15**
δόγμα· οὗτος δὲ μόνος ἐξήνεγκε τὰ διαβόητα τρία βιβλία, ἃ Πλάτων ἐπέστειλεν ἑκατὸν μνῶν ὠνηθῆναι. Τῶν τε ἐξα-

1 καὶ πρῶτον – **3** 14 A 12 DK; Aristoxeni Fr. 24 Wehrli **4–5** cf. 9.23; 28 A 40a DK **13** τὰ διαβόητα τρία βιβλία : cf. 8.6 **14** ἃ Πλάτων : cf. 3.9

3 ὁ μουσικὸς om. **F** **4–5** ὡς ⟨δὲ Φαβωρῖνός⟩ φησι Παρμενίδην S. Karsten (ap. H. Diels, *Dox.* 492) et A. Barigazzi (*Favorino, Opere,* 204) ex 9.23 : ὥς φησι παρμενίδης **BPFD** : ὥς φησι ⟨καὶ⟩ Παρμενίδης Diels : οἱ δέ φασι Παρμενίδην Casaubon, Cobet **6** λέγειν Kuehn : ἔλεγον **BPFD** | γνωρίσμους **B** **6–7** τὰ λεγόμενα addidi conl. Ael. *V.H.* 4.17 (ὡς χρησμῷ θείῳ, οὕτως οἱ τότε προσεῖχον τοῖς λεγομένοις ὑπ' αὐτοῦ) et Iambl. *V.P.* 82 (ὅσα παρ' ἐκείνου ἐρρέθη, ταῦτα πειρῶνται διαφυλάττειν ὡς θεῖα δόγματα) : τὰ add. Kuehn **7** παντελῶς scripsi : παντοίας **BPD**, def. M. Gigante (*P.P.* 7 [1952] 207–210) : παντοίους **F** : τὰς παραγγελίας coni. Delatte : μάντιας (et θεῶ φωνᾶς) Cobet **8** ἑκκαίδεκα E. Rohde (*Kl. Schr.* II, 106 n. 1) ex *Theol. arithm.*, p. 40 (σις′) : ἑπτὰ **BPFD** | διακοσίων **F** **9** παραγενῆσθαι **B** **11** καὶ^{2} **BP^{1}F** : om. **DP^{4}** et *Frob.* | μεσάπιοι **P**, μεσάππιοι **F** **12** τε **BP^{1}** : δὲ **FDP^{4}** | τι om. **BD** | πυθαγόριον **BF** **13** ἐξήγαγε **F** **14** ὠνηθῆναι Cobet : ἐωνηθῆναι **BPFD**

κοσίων οὐκ ἐλάττους ἐπὶ τὴν νυκτερινὴν ἀκρόασιν ἀπήντων αὐτοῦ· καὶ εἴ τινες ἀξιωθεῖεν αὐτὸν θεάσασθαι, ἔγραφον πρὸς τοὺς οἰκείους ὡς μεγάλου τινὸς τετυχηκότες. Μεταποντῖνοί γε μὴν τὴν μὲν οἰκίαν αὐτοῦ Δήμητρος ἱερὸν ἐκάλουν, τὸν στενωπὸν ⟨δὲ⟩ μουσεῖον, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπαῖς ἱστορίαις. Ἔλεγόν τε καὶ οἱ ἄλλοι Πυθαγόρειοι μὴ εἶναι πρὸς πάντας πάντα ῥητά, ὥς φησιν Ἀριστόξενος ἐν δεκάτῳ Παιδευτικῶν νόμων.
16 Ἔνθα καὶ Ξενόφιλον τὸν Πυθαγορικόν, ἐρωτηθέντα πῶς ἂν μάλιστα τὸν υἱὸν παιδεύσειεν, εἰπεῖν· Εἰ πόλεως εὐνομουμένης γενηθείη. Ἄλλους τε πολλοὺς κατὰ τὴν Ἰταλίαν ἀπεργάσασθαι καλούς τε καὶ ἀγαθοὺς ἄνδρας, ἀτὰρ καὶ Ζάλευκον καὶ Χαρώνδαν τοὺς νομοθέτας· ἱκανός τε γὰρ ἦν φιλίας ἐργάτης τά τε ἄλλα καὶ εἴ τινα πύθοιτο τῶν συμβόλων αὐτοῦ κεκοινωνηκότα, εὐθύς τε προσηταιρίζετο καὶ φίλον κατεσκεύαζεν.

17 Ἦν δ' αὐτῷ τὰ σύμβολα τάδε· Πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, ζυγὸν μὴ ὑπερβαίνειν, ἐπὶ χοίνικος μὴ καθίζειν,

4–6 Favorini Fr. 41 Mensching **6** Ἔλεγον – **8** Aristoxeni Fr. 43 Wehrli **17–p. 584.4** cf. *Suda*, Π 3124; Iambl. *Protr.* 21; *V.P.* 82–86 (= 58 C 4 DK); Porphyr. *V.P.* 42 et al. C. Hoelk, *De acusmatis sive symbolis Pythagoricis* (diss. Kil., 1894); F. Boehm, *De symbolis Pythagoreis* (diss. Berolin., 1905); A. Delatte, *Études sur la litt. pythag.* (Parisiis, 1915) 269 ss.; Burkert, 150 ss.

2 εἴ **PFDΦ** : οἱ **B** **5** δὲ **P**^{2} in mg et *Frob.* : om. **BP**^{1}**F D** **5** ὥς φησι – **6** ἱστορίαις om. **F** **6** φαβορεῖνος **B** **7** πυθαγόριοι **B** **11** γεννηθείη **F** | πολλοὺς om. **F** **12** ἰταλίαν **BPD** : ἱστορίαν **F** | ἄνδρας om. **F** **13** ζέλευκον **B** **14** post ἄλλα add. ἃ **BP**^{1} (del. **P**^{2}**Q**) **15** συμβούλων **BP**^{1} | κεκοινωνικῶτα **B** | τὸ **F** **17** τὰ πυθαγορικὰ παραγγέλματα **F**^{2} in mg | σκαλεύειν **FDP**^{4}**Q**^{2} : σκαλαίειν **B** : σκαλαύειν **P**^{1}**Q**^{1} **18** χοινικα **D**

καρδίαν μὴ ἐσθίειν, φορτίον μὴ συγκαθαιρεῖν ἀλλὰ συνεπιτιθέναι, τὰ στρώματα ἀεὶ συνδεδεμένα ἔχειν, ἐν δακτυλίῳ θεοῦ εἰκόνα μὴ περιφέρειν, χύτρας ἴχνος συγχεῖν ἐν τῇ τέφρᾳ, δᾳδίῳ εἰς θᾶκον μὴ ὀμόργνυσθαι, πρὸς ἥλιον τετραμμένον μὴ ὀμίχειν, ἐντὸς λεωφόρου μὴ βαδίζειν, μὴ ῥᾳδίως δεξιὰν ἐμβάλλειν, ὁμωροφίους χελιδόνας μὴ ἔχειν, γαμψώνυχα μὴ τρέφειν, ἀπονυχίσμασι καὶ κουραῖς μὴ ἐπουρεῖν μηδὲ ἐφίστασθαι, ὀξεῖαν μάχαιραν ἀποστρέφειν, ἀποδημοῦντα ἐπὶ τοῖς ὅροις ἀνεπιστρεπτεῖν.

18 Ἤθελε δ' αὐτῷ τὸ μὲν πῦρ μαχαίρᾳ μὴ σκαλεύειν δυναστῶν ὀργὴν καὶ οἰδοῦντα θυμὸν μὴ κινεῖν. Τὸ δὲ ζυγὸν μὴ ὑπερβαίνειν, τουτέστι τὸ ἴσον καὶ δίκαιον μὴ ὑπερβαίνειν. Ἐπί τε χοίνικος μὴ καθίζειν, ἐν ἴσῳ τοῦ παρόντος φροντίδα ποιεῖσθαι καὶ τοῦ μέλλοντος· ἡ γὰρ χοῖνιξ ἡμερήσιος τροφή. Διὰ δὲ τοῦ καρδίαν μὴ ἐσθίειν ἐδήλου μὴ τὴν ψυχὴν ἀνίαις καὶ λύπαις κατατήκειν. Διὰ δὲ τοῦ εἰς ἀποδημίαν βαδίζοντα μὴ ἐπιστρέφεσθαι παρή-

1 φορτίον – **2** συνεπιτιθέναι : cf. Iambl. *V.P.* 84; Porphyr. *V.P.* 42 et al.; Marcovich, *Philol.* 108 (1964) 43–44 **5** cf. Hes. *Op.* 727

1 καρδίην **D** | μὴ **D** et *Suda* GM, Menag., Cobet | ἀλλὰ scripsi e testibus : καὶ μὴ **BPFD** : μηδὲ *Suda* : δὲ (post v. 2 συνεπιτιθέναι) Menag., Cobet e testibus **2** στρώμματα **P**[1] **3** θεοῦ εἰκόνα **BP** : transp. **FD** **4** δᾳδίῳ Menag. ex Iambl. *Protr.* 21 : λαδίω **P**[1]**Q** et *Suda* : ἐλαδίω **BFDP**[4] | εἰς om. Iambl., del. Cobet **5** ὀμιχεῖν **F**[2] (ὀμηχεῖν **F**[1]) **DP**[4] et *Suda* : ὁμιλεῖν **BP**[1]**Q** | ἐντὸς Menag. : ἐκτὸς **BPFD** et *Suda* | λεοφόρου **B** **6** ὁμοροφίους **B** **8** ὀξίαν **B** **9** ἀνεπιστραφεῖν **F** **13–14** μὴ ὑπερβαίνειν om. **FΦ** 62 **14** τε om. **F** | τοῦ **BPFΦ** et *Frob.* : τῶ **D** et *Suda* **15** παρόντος **Φ** : ἐνεστῶτος *Frob.* : om. **BPFD** et *Suda* **16** ἡμερησία **Φ** | δὲ **DP**[4] et *Suda* : om. **BP**[1]**F** **17** ἀνοίαις **B** | κατατείνειν **Φ** **18** ἀποδιμίαν **B**

νει τοῖς ἀπαλλαττομένοις τοῦ βίου μὴ ἐπιθυμητικῶς ἔχειν τοῦ ζῆν μηδ' ὑπὸ τῶν ἐνταῦθα ἡδονῶν ἐπάγεσθαι. Καὶ τὰ ἄλλα πρὸς ταῦτα λοιπὸν ἔστιν ἐκλαμβάνειν, ἵνα μὴ παρέλκωμεν.

19 Παντὸς δὲ μᾶλλον ἀπηγόρευε μήτε ἐρυθῖνον ἐσθίειν μήτε μελάνουρον, καρδίας τε ἀπέχεσθαι καὶ κυάμων· Ἀριστοτέλης δέ φησι καὶ μήτρας καὶ τρίγλης. Ἐνίοτε δὲ αὐτὸν ἀρκεῖσθαι μέλιτι μόνῳ φασί τινες ἢ κηρίῳ ἢ ἄρτῳ, οἴνου δὲ μεθ' ἡμέραν μὴ γεύεσθαι· ὄψῳ τε τὰ πολλὰ λαχάνοις ἐφθοῖς τε καὶ ὠμοῖς, τοῖς δὲ θαλαττίοις σπανίως ⟨χρῆσθαι⟩. Στολὴ δὲ αὐτῷ λευκή, καθαρά, καὶ στρώματα λευκὰ ἐξ ἐρίων· τὰ γὰρ λινᾶ οὔπω εἰς ἐκείνους ἀφῖκτο τοὺς τόπους. Οὐδεπώποτέ ⟨τε⟩ ἐγνώσθη οὔτε διαχωρῶν
20 οὔτε ἀφροδισιάζων οὔτε μεθυσθείς. Ἀπείχετό ⟨τε⟩ καταγέλωτος καὶ πάσης ἀρεσκείας, οἷον σκωμμάτων καὶ διηγημάτων φορτικῶν. Ὀργιζόμενος τε οὔτε οἰκέτην ἐκόλαζεν οὔτε ἐλεύθερον οὐδένα. Ἐκάλει δὲ τὸ νουθετεῖν πεδαρτᾶν. Μαντικῇ τε ἐχρῆτο τῇ διὰ τῶν κληδόνων τε καὶ οἰωνῶν, ἥκιστα δὲ διὰ τῶν ἐμπύρων, ἔξω τῆς διὰ λιβά-

7 Aristot. Fr. 194 Rose^3

1 τοῖς **P**^{4} et *Frob.* : τὸ **BP**^{1}**FD** et *Suda* **2** τῶν ἐνθάδε *Suda* | ὑπάγεσθαι **P**^{4} et *Suda* **4** παρέλκομεν **B**^{1} (corr. **B**^{2}) **7–8** δὲ αὐτὸν **D** et *Suda* : αὐτόν τε **BP**^{1} : αὐτὸν δὲ **FP**^{4} **8** μόνον **B**^{1} (corr. **B**^{2}) | κηρίω **D** : κηρῷ **BPF**^{1} et *Suda* : τυρῷ **F**^{2} ss. **9** ὄψῳ Kuehn e *Suda* GM : ὄψου **BPFD** et *Suda* AV **10** τε **BP** : om. **FD** et *Suda* **11** χρῆσθαι add. Diels (ἐχρῆτο Reiske) **12** ἐκείνους **F**^{2} | ἀφείκτο **B** : ἀφίκετο *Suda* **13** οὐδέπω **B**^{1} et ποτὲ in mg **B**^{2} | τε addidi : δὲ *Suda* **14** τε addidi : δὲ *Suda* **15** οἷον – **16** φορτικῶν in mg super. **F**^{2} **16** τε om. **F** **17** οὐδένα **BP** et *Suda* : om. **FD** : ἐνουθέτει Cobet (*Coll.*, 451) **18** πεδαρτᾶν Hemsterhuis, Schaefer, Cobet ex Iambl. *V.P.* 101, 197 et 231 : πελαργᾶν **BPFD** et *Suda*, Π 929 **19** ἔξω τε **F**

νου. Θυσίαις τε ἐχρῆτο ἀψύχοις· οἱ δέ φασιν ὅτι ἀλέκ-
τορσι μόνον καὶ ἐρίφοις καὶ γαλαθηνοῖς τοῖς λεγομένοις
ἀπαλίαις, ἥκιστα δὲ ἄρνασιν. Ὅ γε μὴν Ἀριστόξενος
πάντα μὲν τὰ ἄλλα συγχωρεῖν αὐτὸν ἐσθίειν ἔμψυχα,
μόνον δ' ἀπέχεσθαι βοὸς ἀροτῆρος καὶ κριοῦ. Ὁ δ' αὐτός 21
φησιν, ὡς προείρηται, καὶ τὰ δόγματα λαβεῖν αὐτὸν παρὰ
τῆς ἐν Δελφοῖς Θεμιστοκλείας.

Φησὶ δ' Ἱερώνυμος κατελθόντα αὐτὸν εἰς ᾅδου τὴν
μὲν Ἡσιόδου ψυχὴν ἰδεῖν πρὸς κίονι χαλκῷ δεδεμένην
καὶ τρίζουσαν, τὴν δὲ Ὁμήρου κρεμαμένην ἀπὸ δένδρου
καὶ ὄφεις περὶ αὐτήν, ἀνθ' ὧν εἶπον περὶ θεῶν, κολαζο-
μένους δὲ καὶ τοὺς μὴ θέλοντας συνεῖναι ταῖς ἑαυτῶν
γυναιξί· καὶ δὴ καὶ διὰ τοῦτο τιμηθῆναι ὑπὸ τῶν ἐν Κρό-
τωνι. Φησὶ δ' Ἀρίστιππος ὁ Κυρηναῖος ἐν τῷ Περὶ φυσι-
ολογιῶν Πυθαγόραν αὐτὸν ὀνομασθῆναι ὅτι τὴν ἀλή-
θειαν ἠγόρευεν οὐχ ἧττον τοῦ Πυθίου.

Λέγεται παρεγγυᾶν αὐτὸν τοῖς μαθηταῖς ἑκάστοτε τά- 22
δε λέγειν εἰς τὸν οἶκον εἰσιοῦσι·

Πῇ παρέβην; Τί δ' ἔρεξα; Τί μοι δέον οὐκ ἐτελέσθη;

Σφάγιά τε θεοῖς προσφέρειν κωλύειν, μόνον δὲ τὸν ἀναί-

3–7 Aristoxeni Frr. 29a et 15 Wehrli **6** ὡς προείρηται : 8.8 **8–13** Hieronymi Rhodii Fr. 42 Wehrli **14-16** *SSR* IV A 150 Giannantoni. Cf. Iambl. *V.P.* 5–7 **20–p. 586.1** cf. 8.13

1 θυσίας **F** | τε om. **F** **3** ἀπαλίοις Casaubon **5** μόνον **BPF** : μόνου **Φ** et *Suda* : μόνων **D** | post δ' add. αὐτὸν **FD** | ἀροτῆρος βοὸς **F** **6** αὐτὸν λαβεῖν **F** **6–7** παρὰ τῆς ἀδελφῆς Θεοκλείας *Suda* (cf. p. 576.19) **7** τοῖς ἐν **B** **9** ἡσιώδου **F** | κίονα **F** **10** κρεμμαμένην **P**^{1} : κεκραμένην **B** **11** εἶπον **BP**^{1}**Φ** et *Suda* : εἶπε **FDP**^{4} **12** ἑαυτῶν **F** et *Suda* : αὐτῶν **BPD** **13** καὶ^{2} om. **F** **14** φυσιολόγων Huebner ex *Ambrosio* **15** ὠνομασθῆναι **F**, ὀνωμασθῆναι **B** **17** ἑκάστοτε τοῖς μαθηταῖς **F** **19** ἔρρεξα **F** | τί μοι δέον **B PD** : τί δέ μοι **F** **20** σφάγια **PD** et *Suda* : σφάγεια **B**, σφαγεῖα **F**

μακτον βωμὸν προσκυνεῖν. Μηδὲ ὀμνύναι θεούς· ἀσκεῖν γὰρ αὐτὸν δεῖν ἀξιόπιστον παρέχειν. Τούς τε πρεσβυτέρους τιμᾶν δεῖν, τὸ προηγούμενον τῷ χρόνῳ τιμιώτερον ἡγουμένους· ὡς ⟨γὰρ⟩ ἐν κόσμῳ μὲν ἀνατολὴν δύσεως, ἐν

23 βίῳ δὲ ἀρχὴν τελευτῆς, ἐν ζωῇ δὴ γένεσιν φθορᾶς. Καὶ θεοὺς μὲν δαιμόνων προτιμᾶν, ⟨δαίμονας δὲ ἡρώων,⟩ ἥρωας δὲ ἀνθρώπων, ἀνθρώπων δὲ μάλιστα γονέας. Ἀλλήλοις τε ὁμιλεῖν, ὡς τοὺς μὲν φίλους ἐχθροὺς μὴ ποιῆσαι, τοὺς δὲ ἐχθροὺς φίλους ἐργάσασθαι. Ἴδιόν τε μηδὲν ἡγεῖσθαι. Νόμῳ βοηθεῖν, ἀνομίᾳ πολεμεῖν. Φυτὸν ἥμερον μήτε φθίνειν μήτε σίνεσθαι, ἀλλὰ μηδὲ ζῷον ὃ μὴ βλάπτει ἀνθρώπους. Αἰδῶ καὶ εὐλάβειαν ⟨ἐν⟩εῖναι μήτε γέλωτι κατέχεσθαι μήτε σκυθρωπάζειν. Φεύγειν σαρκῶν πλεονασμόν· ὁδοιπορίης ἄνεσιν καὶ ἐπίτασιν ποιεῖσθαι· μνήμην ἀσκεῖν· ἐν ὀργῇ μήτε τι λέγειν μήτε πράσσειν· |

24 μαντικὴν πᾶσαν τιμᾶν. Ὠιδαῖς χρῆσθαι πρὸς λύραν ὕμνῳ τε θεῶν καὶ ἀνδρῶν ἀγαθῶν εὔλογον χάριν ἔχειν. Τῶν δὲ κυάμων ἀπηγόρευε γεύεσθαι διὰ τὸ πνευματώδεις ὄντας μάλιστα μετέχειν τοῦ ψυχικοῦ· καὶ ἄλλως κοσμιω-

8–9 cf. 1.91; *Gnom. Vat.* 370 **18** Τῶν δὲ κυάμων : cf. 8.34

1 μηδὲ : μὴ **F** **2** γὰρ om. **F** | αὐτὸν **P**^{4} : ἑαυτὸν *Suda* : αὐτὸν **BP**^{1}**FD** | τε om. **F** et *Suda* **3** δεῖν om. **F** **4** γὰρ addidi **5** δὴ **D** : δὲ **BPF** : om. *Suda* **6** δαίμονας δὲ ἡρώων ex Iambl. *V.P.* 37 suppl. Cobet **9** τοὺς ἐχθροὺς δὲ **F** **11** φθίνειν **P**^{4}**H** et *Suda* : φθείρειν **BP**^{1}**QD** : σίνειν **F** | σίνεσθαι **BPD** et *Suda* : φθίνειν **F** | μηδὲ **D** : μήτε **BPF** et *Suda* **12** ⟨ἐν⟩εῖναι scripsi : εἶναι **BPFD** et *Suda* : ⟨μετ⟩εῖναι Reiske : εἰδέναι Mer. Casaubon **14** ὁδοιπορίης **PFD** : ὁδοιπορίοις **B** : ὁδοιπορίας *Suda* **15** τι om. **F** **16** post μαντικὴν add. οὐ Casaubon (conl. 8.20) **18** ἀπηγόρευεν **BPFD** : om. *Suda* | γεύεσθαι scripsi : ἀπέχεσθαι **BP**^{1} et *Suda,* def. Delatte : ἔχεσθαι **FDP**^{4} : χρῆσθαι γρ. in mg **D** **19** μᾶλλον μετέχειν **F** **19** καὶ ἄλλως – **p. 587.1** μὴ παραληφθέντας secl. Huebner **19** κοσμιοτερῶς **F**

τέρας ἀπεργάζεσθαι τὰς γαστέρας μὴ παραληφθέντας.
Καὶ διὰ τοῦτο καὶ τὰς καθ' ὕπνους φαντασίας λείας καὶ
ἀταράχους ἀποτελεῖν.

Φησὶ δὲ ὁ Ἀλέξανδρος ἐν Ταῖς τῶν φιλοσόφων δια-
δοχαῖς καὶ ταῦτα εὑρηκέναι ἐν Πυθαγορικοῖς ὑπομνήμα-
σιν. Ἀρχὴν μὲν τῶν ἁπάντων μονάδα· ἐκ δὲ τῆς μονάδος 25
ἀόριστον δυάδα ὡς ἂν ὕλην τῇ μονάδι αἰτίῳ ὄντι ὑπο-
στῆναι· ἐκ δὲ τῆς μονάδος καὶ τῆς ἀορίστου δυάδος τοὺς
ἀριθμούς· ἐκ δὲ τῶν ἀριθμῶν τὰ σημεῖα· ἐκ δὲ τούτων τὰς
γραμμάς, ἐξ ὧν τὰ ἐπίπεδα σχήματα· ἐκ δὲ τῶν ἐπιπέδων
τὰ στερεὰ σχήματα· ἐκ δὲ τούτων τὰ αἰσθητὰ σώματα, ὧν
καὶ τὰ στοιχεῖα εἶναι τέτταρα, πῦρ, ὕδωρ, γῆν, ἀέρα· ἃ
μεταβάλλειν καὶ τρέπεσθαι δι' ὅλων. Καὶ γίνεσθαι ἐξ
αὐτῶν κόσμον ἔμψυχον, νοερόν, σφαιροειδῆ, μέσην περι-
έχοντα τὴν γῆν, καὶ αὐτὴν σφαιροειδῆ καὶ περιοικου-
μένην. Εἶναι δὲ καὶ ἀντίποδας καὶ τὰ ἡμῖν κάτω ἐκείνοις
ἄνω.

Ἰσόμοιρά τε εἶναι ἐν τῷ κόσμῳ φῶς καὶ σκότος, καὶ 26
θερμὸν καὶ ψυχρόν, καὶ ξηρὸν καὶ ὑγρόν· ὧν κατ' ἐπικρά-
τειαν θερμοῦ μὲν θέρος γίνεσθαι, ψυχροῦ δὲ χειμῶνα·

4–p. 592.2 ἐπιτελοῦντες : Alexandri Polyhistoris F 93 (*FGrHist* 273); 58 B 1a DK. Cf. M. Wellmann, *Hermes* 54 (1919) 225–248; Delatte, *V.P.*, 198 ss.; W. Wiersma, *Mnemos.* 10 (1942) 97–112; A.-J. Festugière, *R.E.G.* 58 (1945) 1–65; Burkert, 51 ss.; 65 s.

1 ἀπεργάζεσθαι **BP**^{1} et *Suda* : ἐργάζεσθαι **FDP**^{4} | μὴ παραληφθέντας τὰς γαστέρας **BP** et *Suda* **4** δὲ καὶ ὁ **P** | ἐν ταῖς – διαδοχαῖς om. **F** **6** τῶν om. **F** **7** αἰτία οὔσῃ **D**, αἰτίῳ οὔσῃ Reiske **10** ἐκ δὲ – **11** σχήματα om. **F** **12** τέτταρα om. **B** **12–13** ἃ μεταβάλλειν **BPD** et *Suda* : μεταβάλλειν δὲ **F** **13** γίγνεσθαι **BP**^{1} **15** σφαιροειδῆ – **15** καί^2 in mg infer. **F**^{2} **15** οἰκουμένην *Suda* **19** καὶ ὑγρὸν καὶ ξηρόν **P** **20** γίγνεσθαι **B** | χειμόνα **B** | post χειμῶνα addit ξηροῦ δ' ἔαρ καὶ ὑγροῦ φθινόπορον ex cod. Cantabrig. (manus^2) Cobet, agn. Diels, vix recte (cf. Delatte, p. 92)

ἐὰν δὲ ἰσομοιρῇ, τὰ κάλλιστα εἶναι τοῦ ἔτους, οὗ τὸ μὲν θάλλον ἔαρ ὑγιεινόν, τὸ δὲ φθίνον φθινόπωρον νοσερόν. Ἀλλὰ καὶ τῆς ἡμέρας θάλλειν μὲν τὴν ἕω, φθίνειν δὲ τὴν ἑσπέραν· ὅθεν καὶ νοσερώτερον εἶναι. Τόν τε περὶ τὴν γῆν αἰθέρα ἄσειστον καὶ νοσερὸν καὶ τὰ ἐν αὐτῷ πάντα θνητά· τὸν δὲ ἀνωτάτω ἀεικίνητόν τε εἶναι καὶ καθαρὸν καὶ ὑγιᾶ, καὶ πάντα τὰ ἐν αὐτῷ ἀθάνατα καὶ διὰ τοῦτο
27 θεῖα. Ἥλιόν τε καὶ σελήνην καὶ τοὺς ἄλλους ἀστέρας εἶναι θεούς· ἐπικρατεῖ⟨ν⟩ γὰρ τὸ θερμὸν ἐν αὐτοῖς, ὅπερ ἐστὶ ζωῆς αἴτιον. Τήν τε σελήνην λάμπεσθαι ὑφ' ἡλίου. Καὶ ἀνθρώπων εἶναι πρὸς θεοὺς συγγένειαν κατὰ τὸ μετέχειν ἄνθρωπον θερμοῦ· διὸ καὶ προνοεῖσθαι τὸν θεὸν ἡμῶν. Εἱμαρμένην τε τῶν ὅλων καὶ κατὰ μέρος αἰτίαν εἶναι τῆς διοικήσεως.

Διήκειν τε ἀπὸ τοῦ ἡλίου ἀκτῖνα διὰ τοῦ αἰθέρος τοῦ τε ψυχροῦ καὶ παχέος (καλοῦσι δὲ τὸν μὲν ἀέρα ψυχρὸν αἰθέρα, τὴν δὲ θάλασσαν καὶ τὸ ὑγρὸν παχὺν αἰθέρα). Ταύτην δὲ τὴν ἀκτῖνα καὶ εἰς τὰ βένθη δύεσθαι καὶ διὰ
28 τοῦτο ζωοποιεῖν πάντα. Καὶ ζῆν μὲν πάντα ὅσα μετέχει τοῦ θερμοῦ· διὸ καὶ τὰ φυτὰ ζῷα εἶναι· ψυχὴν μέντοι μὴ ἔχειν πάντα. Εἶναι δὲ τὴν ψυχὴν ἀπόσπασμα αἰθέρος καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ. Τῷ ⟨τε⟩ συμμετέχειν ψυχροῦ αἰθέρος διαφέρειν ψυχὴν ζωῆς· ἀθάνατόν τε εἶναι αὐτήν,

5 αἰθέρα : cf. *R.E.G.* 80 (1967) 202–209

1 ἰσομοιροῖ **F** **4** νοσερώτερον **BP^{1}QF** et *Suda* : νοσερωτέραν **DP^4** et *Suda* GM^2 **5** αἰθέρα **BP^{1}QF** : ἀέρα **DP^4** et *Suda* **7** ὑγειᾶ **F**, ὑγεία **P^1** **9** ἐπικρατεῖν Roeper^2 (44), Cobet : ἐπικρατεῖ **BPFD** et *Suda* **11** ἀνθρώπων **BPDΦ** et *Suda* : ἀνθρώπους **F** : ἀνθρώποις Cobet : ἀνθρώπῳ Bywater, agn. Diels | θεοῦ **F** **13** δὲ **F** **15** διοίκειν **B** **16** παχέως **B** **17** παχὺν : ψυχρὸν **FP^4** γρ. **18** βένθη **P^{1}QF** et *Suda* : βάθη **BΦDP^4** **20** διὸ om. **F** **22** τῷ **PD** : τὸ **BF** | τε add. Diels **23** post διαφέρειν add. τε **D**, Cobet

ἐπειδήπερ καὶ τὸ ἀφ' οὗπερ ἀπέσπασται ἀθάνατόν ἐστι.

Τὰ δὲ ζῷα γεννᾶσθαι ἐξ ἀλλήλων ἀπὸ σπερμάτων, τὴν δὲ ἐκ γῆς γένεσιν ἀδύνατον ὑφίστασθαι. Τὸ δὲ σπέρμα εἶναι σταγόνα ἐγκεφάλου περιέχουσαν ἐν ἑαυτῇ ἀτμὸν θερμόν· ταύτην δὲ προσφερομένην τῇ μήτρᾳ ἀπὸ μὲν τοῦ ἐγκεφάλου ἰχῶρα καὶ ὑγρὸν καὶ αἷμα προΐεσθαι, ἐξ ὧν σάρκας τε καὶ νεῦρα καὶ ὀστᾶ καὶ τρίχας καὶ τὸ ὅλον συνίστασθαι σῶμα· ἀπὸ δὲ τοῦ ἀτμοῦ ψυχὴν καὶ αἴσθησιν. Μορφοῦσθαι δὲ τὸ μὲν πρῶτον παγὲν ἐν ἡμέραις **29** τεσσαράκοντα, κατὰ δὲ τοὺς τῆς ἁρμονίας λόγους ἐν ἑπτὰ ἢ ἐννέα ἢ δέκα τὸ πλεῖστον μησὶ τελειωθὲν ἀποκυΐσκεσθαι τὸ βρέφος· ἔχειν δὲ ἐν αὐτῷ πάντας τοὺς λόγους τῆς ζωῆς, ὧν εἰρομένων συνέχεσθαι κατὰ τοὺς τῆς ἁρμονίας λόγους, ἑκάστων ἐν τεταγμένοις καιροῖς ἐπιγινομένων.

Τήν τε αἴσθησιν κοινῶς καὶ κατ' εἶδος τὴν ὅρασιν ἀτμόν τινα εἶναι ἄγαν θερμόν. Καὶ διὰ τοῦτον λέγει ⟨ἡμᾶς⟩ δι' ἀέρος ὁρᾶν καὶ δι' ὕδατος· ἀντερείδεσθαι γὰρ τὸ θερμὸν ἀπὸ τοῦ ψυχροῦ. Ἐπεί τοι εἰ ψυχρὸς ἦν ὁ ἐν τοῖς ὄμμασιν ἀτμός, ⟨οὐ⟩ διειστήκει ἂν πρὸς τὸν ὅμοιον ἀέρα. Νῦν δὲ ἔστιν ἐν οἷς ἡλίου πύλας καλεῖ τοὺς ὀφθαλμούς. Τὰ δ' αὐτὰ καὶ περὶ τῆς ἀκοῆς καὶ τῶν λοιπῶν αἰσθήσεων δογματίζει.

1 οὗπερ **BP^{1}QF** : οὗ **DP^{4}**, Cobet | post ἀθάνατον add. τε **BP** **3** ὑφίστασθαι **B^{2}P^{4}FD** : ὑφίσταται **B^{1}P^{1}Q** **4** σταγόνας **BP^{1}** | περιέχουσα **B** **4–5** θερμὸν ἀτμὸν **F** **5** ταύτης δὲ προσφερομένης Wellmann **6** προείεσθαι **B** **8** ὑφίστασθαι **P^{4}** γρ. **10** τεσσεράκοντα **B** **11** τελειωθὲν **P^{1}QF** : τελεωθὲν **B^{2}DP^{4}** | ἀποκυείσκεσθαι **B** **12** αὐτῶ **F** : αὐτῶ **BPD** **15** ὅρασιν **BP^{1}QD** : κρᾶσιν **FP^{4}** **16** εἶναι ἄγαν θερμὸν **F** : ἄγαν εἶναι θερμὸν **BP** : ἄγαν θερμὸν εἶναι **D** | καὶ om. **F** | τοῦτον **BP^{1}** : τοῦτο **FDP^{4}** | λέγει Reiske : λέγεται **BPFD** | ἡμᾶς addidi **17** δι'^{2} erasit **P^{4}** | ἀντερίδεσθαι **B** **18** ἀπὸ *Frob.* : ὑπὸ **D** : ἐπὶ **BPF** | ἐπί τοι **F** **19** οὐ addidi | post διειστήκει addit οὐδὲν Diels **22** δογματίζει Reiske : δογματίζειν **BPFD**

30 Τὴν δὲ ἀνθρώπου ψυχὴν διῃρῆσθαι τριχῇ, εἴς τε νοῦν
καὶ φρένας καὶ θυμόν. Νοῦν μὲν οὖν καὶ θυμὸν εἶναι καὶ
ἐν τοῖς ἄλλοις ζῴοις, φρένας δὲ μόνον ἐν ἀνθρώπῳ. Εἶναι
δὲ τὴν ἀρχὴν τῆς ψυχῆς ἀπὸ καρδίας μέχρις ἐγκεφάλου·
καὶ τὸ μὲν ἐν τῇ καρδίᾳ μέρος αὐτῆς ὑπάρχειν θυμόν,
φρένας δὲ καὶ νοῦν τὰ ἐν τῷ ἐγκεφάλῳ· σταγόνας δὲ εἶναι
ἀπὸ τούτων τὰς αἰσθήσεις. Καὶ τὸ μὲν φρόνιμον ἀθάνα-
τον, τὰ δὲ λοιπὰ θνητά. Τρέφεσθαί τε τὴν ψυχὴν ἀπὸ τοῦ
αἵματος· τοὺς δὲ λόγους ψυχῆς ἀνέμους εἶναι. Ἀόρατον
δ' εἶναι αὐτὴν καὶ τοὺς λόγους, ἐπεὶ καὶ ὁ αἰθὴρ ἀόρατος.
31 Δεσμά τε εἶναι τῆς ψυχῆς τὰς φλέβας καὶ τὰς ἀρ-
τηρίας καὶ τὰ νεῦρα· ὅταν δὲ ἰσχύῃ καὶ καθ' αὑτὴν
γενομένη ἠρεμῇ, δεσμὰ γίνεσθαι αὐτῆς τοὺς λόγους καὶ
τὰ ἔργα. Ἐκριφθεῖσάν τε αὐτὴν ἐπὶ γῆς πλάζεσθαι ἐν τῷ
ἀέρι ὁμοίαν τῷ σώματι. Τὸν δὲ Ἑρμῆν ταμίαν εἶναι τῶν
ψυχῶν καὶ διὰ τοῦτο Πομπέα λέγεσθαι καὶ Πυλαῖον καὶ
Χθόνιον, ἐπειδήπερ οὗτος ⟨ἄγει⟩ καὶ εἰσπέμπει ἀπὸ τῶν
σωμάτων τὰς ψυχὰς ἀπό τε γῆς καὶ ἐκ θαλάττης· καὶ ἄ-
γεσθαι τὰς μὲν καθαρὰς ἐπὶ τὸν ὕψιστον ⟨τόπον⟩, τὰς δ'
ἀκαθάρτους μήτε ἐκείναις πελάζειν μήτε ἀλλήλαις, δεῖσ-
32 θαι δ' ἐν ἀρρήκτοις δεσμοῖς ὑπὸ Ἐρινύων. Εἶναί τε πάν-

1 διῃρῆσθαι **BP** : διαιρεῖσθαι **D**, διαιρῆσθαι **F** **2** φρέ-νας **BP**^{1} et *Suda*, N 524 : φρένα **FDP**^{4} | οὖν om. **F** | εἶναι καὶ θυμὸν **F** **6** τὰ om. **P**^{1} (add. **P**^{4}) | εἶναι **D** : εἰδέναι **BPF** **8** ἀπὸ **BDΦ** : ὑπὸ **PF** **10** ἀόρατος : ὁρατός **P**^{1}**Q** (corr. **P**^{4}) **11** τὰς τῆς ψυχῆς **F** **12** κατ' αὐτὴν **F** **13** γι-νομένη **B** | ἠρεμεῖ **BF** **14** ἐκριφθεῖσαν **P**^{1} : κρυφθεῖσαν **B** : ἐξελθοῦσαν **FDP**^{4} γρ. | τε **BP** : δὲ **FD** **15** ταμείαν **F** **16** πομπέα **P**, πομπαῖα **B** : πομπαῖον **F**, πομπέον **D** | πυλαῖον : ἐμπολαῖον Lobeck (ad Soph. *Aiac.* 831), agn. Huebner **17** ἄγει addidi | καὶ del. **P**^{4}, om. *Frob.* **18** τῆς γῆς **F** **19** τὰς μὲν Cobet : μὲν τὰς **BPD** : τὰς **F** | τόπον add. Cobet : κύκλον add. Rohde (vel τὸ ὕψιστον) **20** μήτε^{1} **BPD** : μηδὲ **F** | ἐκείνας **F** **21** ἐρινύων **B**^{1}**P**^{1}**QF** : -νν- **B**^{2}**P**^{4}**D**

τα τὸν ἀέρα ψυχῶν ἔμπλεων· καὶ ταύτας δαίμονάς τε καὶ ἥρωας νομίζεσθαι καὶ ὑπὸ τούτων πέμπεσθαι ἀνθρώποις τούς τε ὀνείρους καὶ τὰ σημεῖα νόσους τε, καὶ οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ προβάτοις καὶ τοῖς ἄλλοις κτήνεσιν· εἴς τε τούτους γίνεσθαι τούς τε καθαρμοὺς καὶ ἀποτροπιασμοὺς μαντικήν τε πᾶσαν καὶ κληδόνας καὶ τὰ ὅμοια.

Μέγιστον δέ φησιν τῶν ἐν ἀνθρώποις εἶναι τὴν ψυχὴν πεῖσαι ἐπὶ τὸ ἀγαθὸν [ἢ ἐπὶ τὸ κακόν]. Εὐδαιμονεῖν τε ἀνθρώπους ὅταν ἀγαθὴ ψυχὴ προσγένηται, μηδέποτε δὲ ἠρεμεῖν μηδὲ τὸν αὐτὸν ῥόον κρατεῖν. Ὅρκιόν τε εἶναι τὸ 33
δίκαιον καὶ διὰ τοῦτο Δία ὅρκιον λέγεσθαι. Τήν τε ἀρετὴν ἁρμονίαν εἶναι καὶ τὴν ὑγίειαν καὶ τὸ ἀγαθὸν ἅπαν καὶ τὸν θεόν· διὸ καὶ καθ' ἁρμονίαν συνεστάναι τὰ ὅλα. Φιλίαν τε εἶναι ἐναρμόνιον ἰσότητα. Τιμὰς θεοῖς δεῖν νομίζειν καὶ ἥρωσι μὴ τὰς ἴσας, ἀλλὰ θεοῖς μὲν ἀεὶ μετ' εὐφημίας λευχειμονοῦντας καὶ ἁγνεύοντας, ἥρωσι δὲ ἀπὸ μέσου ἡμέρας. Τὴν δὲ ἁγνείαν εἶναι διὰ καθαρμῶν καὶ λουτρῶν καὶ περιρραντηρίων καὶ διὰ τοῦ αὐτὸν καθαρεύειν ἀπό τε κήδους καὶ λεχοῦς καὶ μιάσματος παντὸς καὶ ἀπέχεσθαι βρωτῶν θνησειδίων τε κρεῶν καὶ τριγλῶν καὶ μελανούρων καὶ ᾠῶν καὶ τῶν ᾠοτόκων ζῴων καὶ κυά-

1 ταύτας **ΦD** : τούτους **BP**^{1}**F** | τοὺς δαίμονας **BP**^{1}**Q** **2** νομίζεσθαι **BPFDΦ** : ὀνομάζεσθαι Cobet **3** νόσους τε **PF** : καὶ νόσους **Φ** et *Suda* : νόσου τε **BD** | post νόσου τε add. καὶ ὑγείας **D**, Cobet, Diels **5** γίγνεσθαι **B** **7** τὸν ἐν **B** | εἶναι ante τῶν ἐν **F** **8** ἢ ἐπὶ τὸ κακόν secl. Reiske **10** ante ῥόον lac. indic. Cobet **14** δεῖ **F** **15** ἥρωας **F** | μὲν om. **F** **16** λευχημονοῦντας καὶ ἁγνεύοντας in mg infer. **F**^{2} | λευχημονοῦντας codd., corr. Huebner **18** καὶ^1 om. **D**, del. **P**^{4} | περιραντηρίων **BP**^{1}**F** | τοῦ **BP**^{1}**F** : τοῦτο **D** : τὸ **P**^{4} **19** λέχους codd., corr. Cobet | παντὸς om. **F** **20** βροτῶν **B** | θνησιδίων **B**, θνησιδείων **F** **21** ante ζῴων add. ἢ **BP**^{1} : καὶ **D** : om. **FP**^{4} | ζῴων del. Diels

μων καὶ τῶν ἄλλων ὧν παρακελεύονται καὶ οἱ τὰς τελετὰς ἐν τοῖς ἱεροῖς ἐπιτελοῦντες.

34 Φησὶ δ' Ἀριστοτέλης ἐν τῷ Περὶ τῶν Πυθαγορείων παραγγέλλειν αὐτὸν ἀπέχεσθαι τῶν κυάμων ἤτοι ὅτι αἰδοίοις εἰσὶν ὅμοιοι, ἢ ὅτι Ἅιδου πύλαις· ἀγόνατον γὰρ μόνον· ἢ ὅτι φθείρει· ἢ ὅτι τῇ τοῦ ὅλου φύσει ὅμοιον· ἢ ὅτι ⟨οὐκ⟩ ὀλιγαρχικόν· κληροῦνται γοῦν αὐτοῖς. Τὰ δὲ πεσόντα μὴ ἀναιρεῖσθαι, ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν, ἢ ὅτι ἐπὶ τελευτῇ τινος. Καὶ Ἀριστοφάνης δὲ τῶν ἡρώων φησὶν εἶναι τὰ πίπτοντα, λέγων ἐν τοῖς Ἥρωσι·

Μηδὲ γεύεσθ' ἅττ' ἂν ἐντὸς τῆς τραπέζης καταπέσῃ.

Ἀλεκτρυόνος μὴ ἅπτεσθαι λευκοῦ, ὅτι ἱερὸς τοῦ Ἡλίου καὶ ἱκέτης [τὸ δ' ἦν τῶν ἀγαθῶν]· τῷ τε Μηνὶ ἱερός· σημαίνει γὰρ τὰς ὥρας. Καὶ τὸ μὲν λευκὸν τῆς τἀγαθοῦ φύσεως, τὸ δὲ μέλαν τοῦ κακοῦ. Τῶν ἰχθύων μὴ ἅπτεσθαι

3–p. 593.18 Aristot. Fr. 195 Rose^3 **4** ἀπέχεσθαι τῶν κυάμων : cf. A. Delatte, *Faba Pythagorae cognata* (Serta Leodiensia, 1930) 35–57; Burkert, 164 ss. **5** cf. Porphyr. *De antro* 19 **7** ⟨οὐκ⟩ ὀλιγαρχικόν : cf. Iambl. *V.P.* 260; Hippol. *Refut.* 6.27.5; Luc. *V. auct.* 6; Plut. *De lib. ed.* 12 F **11** Aristophanis Fr. 320 (*PCG* III.2)

2 ἀποτελοῦντες **F** **3** ἐν τῷ om. **F** | Πυθαγορείων Diels : κυάμων **BPFD** **4** παραγγέλλειν – κυάμων om. **F** | αὐτῶν **B** | τῶν κυάμων om. *Frob.*, Roeper^1 **5** ante ἀγόνατον lac. indic. Diels **6** τῇ : τὸ **F** **7** οὐκ add. Richards | τὰ πίπτοντα τῆς τραπέζης *Suda*, Π 3124, hinc τὰ δὲ πεσόντα ⟨ἀπὸ τραπέζης⟩ Huebner, Cobet **8** ἐθίζεσθαι **FDP^4** et *Suda* : αἰθίζεσθαι **B** : ἀηθίζεσθαι **P^{1}Q** **9** καὶ om. **F** et *Suda*, del. **P^4** **9–10** φησὶ τῶν ἡρώων **F** **11** μηδὲ **BPD** : μὴ **F** | γεύεσθαι **B** | καταπέσῃ τῆς τραπέζης ἐντὸς **FD** | ἐκτὸς **D** **12** ἡλίου *Suda* (cf. Iambl. *V.P.* 147; *Protr.* 21) : μηνὸς **BPFΦ** (cf. v. 13) : διὸς **D**, Casaubon **13** οἰκέτης **FΦ** | τὸ δ' ἦν τῶν ἀγαθῶν secl. Menagius **14** καὶ τὸ μὲν λευκὸν – **15** τοῦ κακοῦ post p. 593.2 δούλοις in codd., huc transtulit Diels

ὅσοι ἱεροί· μὴ γὰρ δεῖν τὰ αὐτὰ τετάχθαι θεοῖς καὶ ἀν-
θρώποις, ὥσπερ οὐδὲ ἐλευθέροις καὶ δούλοις. Ἄρτον μὴ **35**
καταγνύειν, ὅτι ἐπὶ ἕνα οἱ πάλαι τῶν φίλων ἐφοίτων,
καθάπερ ἔτι καὶ νῦν οἱ βάρβαροι· μὴ δὴ διαιρεῖν ὃς
συνάγει αὐτούς· οἱ δέ, πρὸς τὴν ἐν ᾅδου κρίσιν· οἱ δ', εἰς
πόλεμον δειλίαν ποιεῖν· οἱ δέ, ἐπεὶ ἀπὸ τούτου ἄρχεται τὸ
ὅλον.

Καὶ τῶν σχημάτων τὸ κάλλιστον σφαῖραν εἶναι τῶν στερεῶν, τῶν δὲ ἐπιπέδων κύκλον. Γῆρας καὶ πᾶν τὸ μειούμενον ὅμοιον· καὶ αὔξην καὶ νεότητα ταὐτόν. Ὑγίειαν τὴν τοῦ εἴδους διαμονήν, νόσον τὴν τούτου φθοράν. Περὶ τῶν ἁλῶν, ὅτι δεῖ παρατίθεσθαι πρὸς ὑπόμνησιν τοῦ δικαίου· οἱ γὰρ ἅλες πᾶν σῴζουσιν ὅ τι καὶ παραλάβωσι, καὶ γεγόνασιν ἐκ τῶν καθαρωτάτων ὑδάτων τῆς θαλάσσης.

Καὶ ταῦτα μέν φησιν ὁ Ἀλέξανδρος ἐν τοῖς Πυθαγορι- **36**
κοῖς ὑπομνήμασιν εὑρηκέναι, καὶ τὰ ἐκείνων ἐχόμενα ὁ
Ἀριστοτέλης.

Τὴν δὲ σεμνοπρέπειαν τοῦ Πυθαγόρου καὶ Τίμων ἐν τοῖς Σίλλοις δάκνων αὐτὸν ὅμως οὐ παρέλιπεν, εἰπὼν οὕτως·

3 ἐπὶ ἕνα : sc. ἄρτον (cf. Iambl. *V.P.* 86)

3 οἱ πάλαι **BPΦD** : οἱ παλαιοὶ *Suda* : om. **F** | ἐφοίτουν **F** 4 ἔτι om. **F** | μὴ δὴ $\mathbf{B}^2$ (δεῖ $\mathbf{B}^1$) $\mathbf{P}^1$: μὴ γοῦν **Φ** : μηδὲ $\mathbf{FDP}^2$: καὶ μὴ *Suda* 6 τούτου **PF** : τόπου **BD** 8-9 τὸ στερεὸν $\mathbf{F}^1$ (corr. $\mathbf{F}^2$) 9 μειούμενον $\mathbf{FDP}^4$: μιμούμενον $\mathbf{BP}^1\mathbf{Q}$ 10 αὔξιν $\mathbf{B}^1$ (corr. $\mathbf{B}^2$) 11 εἴδους **BPD** : γένους **F** 12 τῶν ἄλλων **F** 13 καὶ **BPF** et *Suda* : ἂν **D**, Cobet 14 ὑδάτων *Suda* : ὕδατος **BPFD** : ἡλίου Cobet, agn. Diels | τῆς scripsi : καὶ **BPFD** et *Suda* 16 καὶ – 18 ἀριστοτέλης in mg super. $\mathbf{F}^2$

Πυθαγόρην τε γόητας ἀποκλίνοντ᾽ ἐπὶ δόξας
θήρῃ ἐπ᾽ ἀνθρώπων, σεμνηγορίης ὀαριστήν.

Περὶ δὲ τοῦ ἄλλοτε ἄλλον αὐτὸν γεγενῆσθαι Ξενοφάνης ἐν ἐλεγείᾳ προσμαρτυρεῖ, ἧς ἀρχή·

Νῦν αὖτ᾽ ἄλλον ἔπειμι λόγον, δείξω δὲ κέλευθον.

Ὃ δὲ περὶ αὐτοῦ φησιν οὕτως ἔχει·

Καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
φασί γ᾽ ἐποικτῖραι καὶ τόδε φάσθαι ἔπος·
"Παῦσαι μηδὲ ῥάπιζ᾽, ἐπειὴ φίλου ἀνέρος ἐστὶ
ψυχή, τὴν ἔγνων φθεγξαμένης ἀΐων."

37 Καὶ ταῦτα μὲν ὁ Ξενοφάνης. Ἔσκωψε δὲ αὐτὸν Κρατῖνος μὲν ἐν Πυθαγοριζούσῃ· ἀλλὰ καὶ ἐν Ταραντίνοις φησὶν οὕτως·

1–2 Timonis B 57 Diels = *Suppl. Hell.* 831. Cf. Plut. *Num.* 8.6 **5** 21 B 7 DK **7–10** 21 B 7 DK; *Anth. Pal.* 7.120; *Plan.;* **Φ** 62; *Suda,* Ξ 46; Σ 1264 **11–p. 595.5** Cratini iunioris Fr. 7 (*PCG* IV); 58 E 3 DK; Suda, Ξ 46

1 τε : δὲ Plut. | γοητείας **FP**[4] : γόητος Casaubon | ἀποκλίνοντ᾽ Diels ex Plut. : ἀπόκλινον **BP**[1]**Q** : ἄπο κλεινὸν **FP**[4] : ἀποκλίναν τὲ **D** : ἀποκλίναντ᾽ Stephanus | ἐπὶ δόξας **P**[1]**Q** et Plut., ἐπιδόξας **B** : ἐπίδοξον **FP**[4] : ἐπὶ δόξης **D** : ἐπὶ δόξαν Scaliger **2** θήρην **D** | ὁ ἀριστήν **FD** **3** ξενοφάνης **PFDΦ** et *Suda* : ξενοκράτης **B** **4** προσμαρτυριης· ἀρχὴ **B** | ἀρχὴν **P**[1]**Q** (corr. **P**[4]) **6** οἱ δὲ **B** **7** μιν **PDΦ** et *Suda* : μην **BF** | παριόντος **B** **8** φασί γ᾽ **P**[1]**QDΦ** et *Suda,* Ξ 46 : φασὶ γοῦν **F** : φασὶν **B**, *Pal.* et *Suda,* Σ 1264 **8** ἐποικτεῖραι – **9** φίλου om. **B** (spatio 2 versuum relicto) **8** ἐπικτεῖραι **F**[1] (corr. **F**[2]) : ἐπικτεῖναι **D** **9** ἐπειὴ **DΦ** et *Suda* : ἐπεὶ ἡ **P**[1]**F** : ἐπειδὴ **P**[4] in mg : ἐπεὶ ἦ Bergk **10** ἡ ψυχὴ **F** | ψυχὴν *Pal.*[1] | ἔγνως **F** | φθεγγαμένης **F**[1] (corr. **F**[2]) : φθεγξαμένην *Suda* GVM | αἰὼν **B** **11** post αὐτὸν addit καὶ *Suda,* Ξ 46 **12** πυθαγοριζούσῃ **BP**[1] et *Suda* : πυθαγορικοῖς **DP**[4] : τοῖς πυθαγορικοῖς **F**

Ἔθος ἐστὶν αὐτοῖς, ἄν τιν᾽ ἰδιώτην ποθὲν
λάβωσιν εἰσελθόντα, διαπειρωμένοις
τῆς τῶν λόγων ῥώμης ταράττειν καὶ κυκᾶν
τοῖς ἀντιθέτοις, τοῖς πέρασι, τοῖς παρισώμασι,
τοῖς ἀποπλάνοις, τοῖς μεγέθεσιν νουβυστικῶς.

Μνησίμαχος δ᾽ Ἀλκμαίωνι·

Ὡς Πυθαγοριστὶ θύομεν τῷ Λοξίᾳ,
ἔμψυχον οὐδὲν ἐσθίοντες παντελῶς.

Ἀριστοφῶν Πυθαγοριστῇ· 38

Ἔφη [τε] καταβὰς εἰς τὴν δίαιταν τῶν κάτω
ἰδεῖν ἑκάστους, διαφέρειν δὲ πάμπολυ
τοὺς Πυθαγοριστὰς τῶν νεκρῶν· μόνοισι γὰρ
τούτοισι τὸν Πλούτωνα συσσιτεῖν ἔφη
δι᾽ εὐσέβειαν. – Εὐχερῆ θεὸν λέγεις,
εἰ τοῖς ῥύπου μεστοῖσιν ἥδεται ξυνών.

7–8 Mnesimachi Fr. 1 (*PCG* VII); 58 E 3 DK **10–15 et p. 596.2–5** Aristophontis Fr. 12 (*PCG* IV); 58 E 3 DK; Suda, Π 3124

1 ἄν τινα : ἐὰν *Suda* **1–2** λάβωσι ποθὲν **F** **2** διαπειρωμένοις Scaliger : διαπειρώμενον **B** (-ό-), **PFD** et *Suda* : διαπειρωμένους Kock **4** παρισώμασι **BD**$\mathbf{F^2}$ (in mg), $\mathbf{P^4}$ et *Suda* : παρισόμενα $\mathbf{P^1}$**Q** (-σώ-) : ἀντισώμασι $\mathbf{F^1}$ **5** μεγέθεσιν **BFD** : μεγέθεσι **P** et *Suda* | νουβυστικῶς *Suda* : νουβιστικῶς **B** : νουβυστικὸς **P** : οὐ βυστικῶς **FD** **6–7** δαλκμαίωνι ὡς **F** : λακμαίωνι ὡς **B** : ἀλκμαιώνιος $\mathbf{P^1}$**Q** : ἀλκμαίωνι ὡς $\mathbf{P^4}$: ἀλεκμαίωνι ὡς **D** **7** πυθαγοριστὶ $\mathbf{P^1}$**F** : πυθαγοριστῇ **B**$\mathbf{P^2}$**QD** : Πυθαγορισταὶ Menagius **10** τε **BPF** : om. **D**, del. Cobet **12** μόνοις et **13** τούτοις $\mathbf{P^1}$ (corr. $\mathbf{P^2}$**Q**) **14** δυσχερῆ Cobet **14–15** λέγεις εἰ τοῖς $\mathbf{P^2}$**Q** et *Suda* M : λέγει σίτοις **B** : λέγεις ἐν τοῖς **F** : λέγειν τοῖς $\mathbf{P^1}$: λέγεις ὃς σίτοις **D** : λέγειν σίτοις *Suda* AV **15** μεστοῖσιν **F**$\mathbf{P^4}$: μεστοῖς **B**$\mathbf{P^1}$**QD** et *Suda*

Ἔτι ἐν τῷ αὐτῷ·

Ἐσθίουσί τε
λάχανά τε καὶ πίνουσιν ἐπὶ τούτοις ὕδωρ·
φθεῖρας δὲ καὶ τρίβωνα τήν τ' ἀλουσίαν
οὐδεὶς ἂν ὑπομείνειε τῶν νεωτέρων.

39 Ἐτελεύτα δ' ὁ Πυθαγόρας τοῦτον τὸν τρόπον. Συνεδρεύοντος μετὰ τῶν συνήθων ἐν τῇ Μίλωνος οἰκίᾳ τοῦ ⟨ἀθλη⟩τοῦ, ὑπό τινος τῶν μὴ παραδοχῆς ἀξιωθέντων διὰ φθόνον ὑποπρησθῆναι τὴν οἰκίαν συνέβη (τινὲς δ' αὐτοὺς τοὺς Κροτωνιάτας τοῦτο πρᾶξαι, τυραννίδος ἐπίθεσιν εὐλαβουμένους). Τὸν δὴ Πυθαγόραν καταλειφθῆναι διεξιόντα· καὶ πρός τινι χωρίῳ γενόμενος πλήρει κυάμων, ἵνα ⟨μὴ⟩ διέρχοιτο, αὐτόθι ἔστη, εἰπὼν ἁλῶναι ⟨ἂν⟩ μᾶλλον ἢ πατῆσαι, ἀναιρεθῆναι δὲ κρεῖττον ἢ λαλῆσαι· καὶ ὧδε πρὸς τῶν διωκόντων ἀποσφαγῆναι. Οὕτω δὴ καὶ τοὺς πλείστους τῶν ἑταίρων αὐτοῦ διαφθαρῆναι, ὄντας πρὸς τοὺς τετταράκοντα· διαφυγεῖν δ' ὀλιγίστους,

2 ἐσθίουσί τε **FDP**^{4} in mg : om. **BP**^{1} et *Suda* **3** τε om. **FDP**^{4} **4** δὲ : τε **P**^{1}**Q** (corr. **P**^{4}) | κατὰ τρίβωνα Kaibel | ἀλλουσίαν **F** **5** νεωτέρων **BFD** et *Suda* : ἑτέρων **P** : ἐνερτέρων Naber : ἑτέρων ⟨νεκρῶν⟩ Diels **7–8** τοῦ ⟨ἀθλη⟩τοῦ Cobet (*Collect.*, 453) conl. Porphyr. *V.P.* 55 : τούτου **BPFD** et *Suda* **9** ὑποπρισθῆναι **BF** **10** κρωτωνίτας **B** **11** δὲ **F**^{2} (δὴ **F**^{1}) | καταλειφθῆναι cod. Cantabr. et Schwartz : καταληφθῆναι **BPFD** et *Suda* **12** γενόμενος *Frob.* : γενόμενον **BPFD** et *Suda* | πλήρη **F**^{1} (corr. **F**^{2}) **13** μὴ add. Delatte (cf. p. 601.6) | διέρχοιτο Delatte : διήρχετο *Suda* : om. **BPFD** **14** ἂν add. Cobet | ἀναιρεθῆναι δὲ κρεῖττον ἢ λαλῆσαι secl. Cobet, at cf. Iambl. *V.P.* 193 (Delatte) | δὴ **F** **15** ἀποσφαγῆναι **BPD** et *Suda* : ἀναιρεθῆναι **F** | δὴ **BFD** : δὲ **P** et *Suda* **16** πλείους **FP**^{4} | ἑτέρων **B** **17** τοὺς **BP** et *Suda* : om. **FD** | ὀλιγίστους **BPD** : ὀλίγους **F**

ὧν ἦν καὶ Ἄρχιππος ὁ Ταραντῖνος καὶ Λύσις ὁ προειρημένος.

40 Φησὶ δὲ Δικαίαρχος τὸν Πυθαγόραν ἀποθανεῖν καταφυγόντα εἰς τὸ ἐν Μεταποντίῳ ἱερὸν τῶν Μουσῶν, τετταράκοντα ἡμέρας ἀσιτήσαντα. Ἡρακλείδης δέ φησιν ἐν τῇ τῶν Σατύρου Βίων ἐπιτομῇ μετὰ τὸ θάψαι Φερεκύδην ἐν Δήλῳ ἐπανελθεῖν εἰς Ἰταλίαν καὶ πανδαισίαν εὑρόντα Κύλωνος τοῦ Κροτωνιάτου εἰς Μεταπόντιον ὑπεξελθεῖν κἀκεῖ τὸν βίον καταστρέψαι ἀσιτίᾳ, μὴ βουλόμενον περαιτέρω ζῆν. Ἕρμιππος δέ φησι, πολεμούντων Ἀκραγαντίνων καὶ Συρακουσίων, ἐξελθεῖν μετὰ τῶν συνήθων τὸν Πυθαγόραν καὶ προστῆναι τῶν Ἀκραγαντίνων· τροπῆς δὲ γενομένης περικάμπτοντα αὐτὸν τὴν τῶν κυάμων χώραν ὑπὸ τῶν Συρακουσίων ἀναιρεθῆναι· τούς τε λοιπούς, ὄντας πρὸς τοὺς πέντε καὶ τριάκοντα, ἐν Τάραντι κατακαυθῆναι, θέλοντας ἀντιπολιτεύεσθαι τοῖς προεστῶσι.

41 Καὶ ἄλλο τι περὶ Πυθαγόρου φησὶν ὁ Ἕρμιππος. Λέγει γὰρ ὡς γενόμενος ἐν Ἰταλίᾳ κατὰ γῆς οἰκίσκον ποιήσαι καὶ τῇ μητρὶ ἐντείλαιτο τὰ γινόμενα εἰς δέλτον γράφειν

1 Λύσις : cf. 8.7 **3–5** Dicaearchi Fr. 35b Wehrli **5–10** Heraclidis Lembi Fr. 6; Satyri Fr. 10 (*FHG* III, 169) **6** θάψαι Φερεκύδην : cf. 1.118 **10–p. 598.10** Hermippi Fr. 20 Wehrli **18–p. 598.10** cf. Tertull. *De anima* 28.2; *Schol.* in Soph. *El.* 62; Burkert, 136 s.

1 Ἄρχιππος Menagius ex Iambl. *V.P.* 249, Porphyr. *V.P.* 55 : ἀρχύτας **BPFD** **4** ἀποφυγόντα **F** **5** ἡρακλῆς **P**^{4} γρ. in mg **6** ἀτύρου **B** | ἐπὶ τοῦ μὴ **B** **7** post καὶ lac. indic. Cobet **8** κύλωνος **BPF** : μίλωνος **D**, Stephanus, Menagius | μεταπόντον **B** **9** ὑπεξελθεῖν **BP**^{1}**Q** : ἐξελθεῖν **FDP**^{4} **10** περετέρω **B** **11** τῶν ἀκραγαντίνων **F** **12** τὸν πυθαγόραν ante v. 11 μετὰ **F** **14** τοὺς : τοῖς **B** **18** ὁ **BP** : om. **FD** **18–19** λέγει γὰρ om. **F**, γὰρ om. **D** **19** ποιήσαι **P**^{4}, Stephanus : ποιῆσαι **BP**^{1}**FD** : ἐποίησε **Φ** **20** ἐντείλαιτο **B**^{1}**F**^{1}, ἐντεῖλαι τὸ **B**^{2}**P**^{1}**Q** : ἐνετείλατο **Φ** : ἐντείλασθαι **D**

σημειουμένην καὶ τὸν χρόνον, ἔπειτα καθιέναι αὐτῷ ἔστ' ἂν ἀνέλθῃ. Τοῦτο ποιῆσαι τὴν μητέρα. Τὸν δὲ Πυθαγόραν μετὰ χρόνον ἀνελθεῖν ἰσχνὸν καὶ κατεσκελετευμένον· εἰσελθόντα τε εἰς τὴν ἐκκλησίαν φάσκειν ὡς ἀφῖκται ἐξ ᾅδου· καὶ δὴ καὶ ἀνεγίνωσκεν αὐτοῖς τὰ συμβεβηκότα. Οἱ δὲ σαινόμενοι τοῖς λεγομένοις ἐδάκρυόν τε καὶ ᾤμωζον καὶ ἐπίστευον εἶναι τὸν Πυθαγόραν θεῖόν τινα, ὥστε καὶ τὰς γυναῖκας αὐτῷ παραδοῦναι, ὡς καὶ μαθησομένας τι τῶν αὐτοῦ· ἃς καὶ Πυθαγορικὰς κληθῆναι. Καὶ ταῦτα μὲν ὁ Ἕρμιππος.

42 Ἦν δὲ τῷ Πυθαγόρᾳ καὶ γυνή, Θεανὼ ὄνομα, Βροντίνου τοῦ Κροτωνιάτου θυγάτηρ· οἱ δέ, γυναῖκα μὲν εἶναι Βροντίνου, μαθήτριαν δὲ Πυθαγόρου. Ἦν αὐτῷ καὶ θυγάτηρ Δαμώ, ὥς φησι Λύσις ἐν ἐπιστολῇ τῇ πρὸς Ἵππασον, περὶ Πυθαγόρου λέγων οὕτως· "Λέγοντι δὲ πολλοί τυ καὶ δαμοσίᾳ φιλοσοφέν, ὅπερ ἀπαξίωσε Πυθαγόρας, ὅς γέ τοι Δαμοῖ τᾷ ἑαυτοῦ θυγατρὶ παρακαταθέμενος τὰ ὑπομνήματα ἐκέλευσε μηδενὶ τῶν ἐκτὸς τᾶς οἰκίας παραδιδόμεν.

15 Λέγοντι – **p. 599.3** Hercher, p. 603. Cf. Iambl. *V.P.* 75

1 αὐτῶ **B²FΦ** : αὐτὸν **B¹D** : αὐτὸ **P** **3** ἰσχνὸν **BPFD** : στυγνὸς **Φ** | κατεσκελευμένον **P¹Q** (corr. **P⁴**) : κατεσκελητευμένον **D** **4** τε **BPF** : δὲ **DΦ** | τὴν om. **F** **5** αὐτοῖς **PFDΦ** : αὐτὸς **B** **9** καὶ – **10** ὁ ἕρμιππος in mg infer. **F²** **12** μὲν om. **F** **12–13** βροντίνου εἶναι **F** **14** ἐν – ἵππαρχον in mg **F²** | ἵππασον **BPD** : ἵππαρχον **F²**, *Frob.*, Iambl. *V.P.* 75 **15** λέγοντι : φαντὶ Iambl. | δὴ **D**, *Frob.* | τυ Casaubon : τοι **BPFD** : σε Iambl. **16** φιλοσοφέν Iambl., Casaubon : φιλοσοφεῖν **BPFD** | τόπερ Iambl. | ἀπαξίωσε Iambl., *Epist.*, Casaubon : ἀπαξιὼν **B**, ἀπαξιῶν **PF** : ἀπαξίω **D** : ἀπαξίων Delatte **17** post τὰ addit ἑαυτοῦ **F** | ὑπομνάματα *Epist.*, Kuehn **18** ἐκέλευσε **BPFD** : ἐπέσκαψε *Epist.*, Kuehn **18-p. 599.1** παραδιδόμεν· ἁ **FD** : παραδιδομένα **BP¹Q**

Ἀ δὲ δυναμένα πολλῶν χρημάτων ἀποδίδοσθαι τὼς λόγως οὐκ ἐβουλήθη· πενίαν καὶ τὰς τῶ πατρὸς ἐπισκήψιας ἐνόμιζε χρυσῶ τιμιωτέρας ἦμεν, καὶ ταῦτα γυνά."

Ἦν καὶ Τηλαύγης υἱὸς αὐτοῖς, ὃς καὶ διεδέξατο τὸν 43 πατέρα καὶ κατά τινας Ἐμπεδοκλέους καθηγήσατο. Ἱππόβοτός γέ τοί φησι λέγειν Ἐμπεδοκλέα·

Τήλαυγες, κλυτὲ κοῦρε Θεανοῦς Πυθαγόρεώ τε.

Σύγγραμμα δὲ φέρεται τοῦ Τηλαύγους οὐδέν, τῆς δὲ μητρὸς αὐτοῦ Θεανοῦς τινα. Ἀλλὰ καί φασιν αὐτὴν ἐρωτηθεῖσαν ποσταία γυνὴ ἀπ' ἀνδρὸς καθαρεύει, φάναι· "Ἀπὸ μὲν τοῦ ἰδίου παραχρῆμα, ἀπὸ δὲ τοῦ ἀλλοτρίου οὐδέποτε." Τῇ δὲ πρὸς τὸν ἴδιον ἄνδρα μελλούσῃ πορεύεσθαι παρῄνει ἅμα τοῖς ἐνδύμασι καὶ τὴν αἰσχύνην ἀποτίθεσθαι, ἀνισταμένην τε πάλιν ἅμ' αὐτοῖσιν ἀνα-

4–7 Hippoboti Fr. 14 Gigante **7** 31 B 155 DK **9** Ἀλλὰ – **12** cf. Clem. *Strom.* 4.121.3; Stob. 4.23.53; Arsen. *Viol.*, p. 292 Walz **12** Τῇ δὲ – **14** cf. Herod. 1.8.3; A.E. Rubitschek, *Rhein. Mus.* 100 (1957) 139–141

1 χραμάτων Cobet | ἀποδίδοσθαι **BPDF** (-δωσθαι) : ἀποδόσθαι *Epist.* | τὼς **FDP**^{4} et *Epist.* : τ' ὡς **B** : θῶς **P**^{1} **Q** | λόγως **FDP**^{4} et *Epist.* : λόγος **BP**^{1}**Q** **2** ἐβουλήθη **FD** et *Epist.* : ἐβουλάθη **BP** | post πενίαν addunt δὲ *Epist.*, **P**^{4} ss., Stephanus : γὰρ add. **D**, *Frob.* | τῶ πατρὸς **P**^{4}, *Epist.* : τῶ πρὸς πατρὸς **F** : τῶ πατρὶ ὃς **P**^{1}**Q** : τῶν πατρίων **BD** | ἐπισκήψιας **D**, *Frob.* : ἐπισκήψειας **FP**^{4} : ἐπισκεψίας **BP**^{1}(**Q**) : ἐπισκάψιας *Epist.* **3** ἐνόμιζε **BPF** : ἐνόμισδε **D** : ἐνόμισε *Epist.* | ἦμεν **BP** : εἰ μὲν **F** : ἔμεν *Epist.* : om. **D** | καὶ ταῦτα γυνὰ om. *Epist.* **3–4** γυνὰ ἦν· καὶ interpungunt **FD** **4** αὐτοῖς **BPF** : αὐτοῦ **D**, Cobet **6** γέ τοι **BP** : δὲ **F** : τε **D** **7** Τήλαυγες Bentley (*Opusc. philol.*, 188) : τηλαυγῆ **BP**^{1} : τηλαυγεῖ **FD** | πυθαγόρεω **FP**^{4} : πυθαγοράω **P**^{1}**Q** : πυθαγορίω **B** : πυθαγόρα **D** **8** φέρεται om. **F** **9** τινὰ ἄλλα· **F** **12** δὲ **P**^{2}**QFD** : om. **BP**^{1} **14** αὐτοῖς **P**^{1}**Q**

λαμβάνειν. Ἐρωτηθεῖσα "Ποῖα;", ἔφη· "Ταῦτα δι' ἃ γυνὴ κέκλημαι."

44 Ὁ δ' οὖν Πυθαγόρας, ὡς μὲν Ἡρακλείδης φησὶν ὁ τοῦ Σαραπίωνος, ὀγδοηκοντούτης ἐτελεύτα, κατὰ τὴν ἰδίαν ὑπογραφὴν τῶν ἡλικιῶν· ὡς δὲ οἱ πλείους, ἔτη βιοὺς ἐνενήκοντα. Καὶ ἡμῶν ἐστιν εἰς αὐτὸν πεπαιγμένα οὕτως ἔχοντα·

Οὐ μόνος ἐμψύχων ἄπεχες χέρας, ἀλλὰ καὶ ἡμεῖς.
Τίς γὰρ ὃς ἐμψύχων ἥψατο, Πυθαγόρα;
Ἀλλ' ὅταν ἑψηθῇ τι καὶ ὀπτηθῇ καὶ ἁλισθῇ,
δὴ τότε καὶ ψυχὴν οὐκ ἔχον ἐσθίομεν.

Ἄλλο·

Ἦν ἄρα Πυθαγόρης τοῖος σοφός, ὥστε μὲν αὐτὸς
μὴ ψαύειν κρειῶν καὶ λέγεν ὡς ἄδικον,
σιτίζειν δ' ἄλλους. Ἄγαμαι σοφόν· αὐτὸς ἔφα μὲν
οὐκ ἀδικεῖν, ἄλλους δ' αὐτὸς ἔτευχ' ἀδικεῖν.

45 Καὶ ἄλλο·

Τὰς φρένας ἢν ἐθέλῃς τὰς Πυθαγόραο νοῆσαι,
ἀσπίδος Εὐφόρβου βλέψον ἐς ὀμφάλιον.

3–6 Heraclidis Lembi Fr. 6 (*FHG* III, 169); Sotionis Fr. 23 Wehrli **8–11** *Anth. Pal.* 7.121; *Plan.*; **Φ** 62 **13–16** *Anth. Pal., App.* 5.34 Cougny **18–p. 601.2** *Anth. Pal., App.* 5.35

3 φησὶν om. **F** **6** post πεπαιγμένα add. μὲν **BP^{1}Q** **6–7** οὕτως ἔχοντα om. **F** **8** ἐμψύχων **P^{4}**, *Plan., Frob.* : ἐμψύχοις **D** : ἀψύχοις **BP^{1}QF** : ἀψύχων **Φ** et *Pal.* | ἄπεχες **P^{4}**, *Pal.* : ἀπέσχες **Φ** : ἐπέχες **BP^{1}QD** : ἐπέσχες **F** **9** πυθαγόρη *Pal.* **10** τι : τε **F** | ἀϊσθῇ **F^{1}** (corr. **F^{2}**) **11** οὐκ : μὴ *Pal.* | ἐσθίωμεν **F** **12** ἀλλ' **F** **13** ἄρα om. **F** **14** κριῶν **B** | λέγειν **B** **15** ἀγαμη **B** **16** ἔτευχ' ἀδικεῖν Cobet : ἔτυχ' ἀδικεῖν **BPF** : ἄρ' ἦν ἀδικῶν **D**, Stephanus **18** ἐθέλῃς **D**, *Frob.* : ἐθέλοις **BPF** | πυθαγόραο **DP^{4}**, *Frob.* : πυθαγόροιο **BP^{1}QF** **19** ἐφόρβου **B** | ὀμφάλιον Menagius : ὀμφαλόον **FP^{4}** : ὀμφαλὸν **BP^{1}Q** : ὀμφαλόνα **D**

Φησὶ γὰρ οὗτος· Ἐγὼν ἦν πρόβροτος· ὃς δ' ὅτε οὐκ ἦν,
φάσκων ὥς τις ἔην, οὔτις ἔην ὅτ' ἔην.

Καὶ ἄλλο, ὡς ἐτελεύτα·

Αἴ, αἴ, Πυθαγόρης τί τόσον κυάμους ἐσεβάσθη
καὶ θάνε φοιτηταῖς ἄμμιγα τοῖς ἰδίοις;
Χωρίον ἦν κυάμων· ἵνα μὴ τούτους δὲ πατήσῃ,
ἐξ Ἀκραγαντίνων κάτθαν' ἐνὶ τριόδῳ.

Ἤκμαζε δὲ [καὶ] κατὰ τὴν ἑξηκοστὴν Ὀλυμπιάδα·
καὶ αὐτοῦ τὸ σύστημα διέμεινε μέχρι γενεῶν ἐννέα ἢ καὶ
δέκα· Τελευταῖοι γὰρ ἐγένοντο τῶν Πυθαγορείων, οὓς καὶ 46
Ἀριστόξενος οἶδε, Ξενόφιλός τε ὁ Χαλκιδεὺς ἀπὸ Θρᾴ-
κης καὶ Φάντων ὁ Φλιάσιος καὶ Ἐχεκράτης καὶ Διοκλῆς
καὶ Πολύμναστος, Φλιάσιοι καὶ αὐτοί. Ἦσαν δὲ ἀκροα-
ταὶ Φιλολάου καὶ Εὐρύτου τῶν Ταραντίνων.

Γεγόνασι δὲ Πυθαγόραι τέτταρες περὶ τοὺς αὐτοὺς χρόνους, οὐ πολὺ ἀπ' ἀλλήλων ἀπέχοντες· εἷς μὲν Κροτωνιάτης, τυραννικὸς ἄνθρωπος· ἕτερος Φλιάσιος, σωμασκητής (ἀλείπτης, ὥς φασί τινες)· τρίτος Ζακύνθιος·

4–7 *Anth. Pal.* 7.122; *Plan.* **8–14** 14 A 10 DK; Aristoxeni Fr. 19 Wehrli

1 φησὶ – **2** φάσκειν in mg **F**^{2} **1** αἰγῶν **B** | ἦν^{1} **D**, Stephanus : ἤμην **BPF**^{2} **2** φάσκων Cobet : φάσκειν **BPF**^{2} : φάσκεν (ὅτ' ἦν, δήπου οὐκ ἂν ἔην ὅτ' ἔην) **D**, Stephanus | ὡς **B** : ὅς **PF** | οὔτις Cobet : οκτις **B**, ὄκτις **P**^{1}**Q** | οὔτις ἔην^{2} om. **F** | ὅτ' ἔην **FD** : ὅτε ἦν **BP** **4** ἐσεβάσθης *Pal.*^{1} **5** θάνε **PFD** : θᾶναι **B**^{1} : θάνες *Pal.*^{1} | φοιτοῖς *Pal.*^{1} **8** καὶ del. Cobet | τὴν ⟨δευτέραν καὶ⟩ ἑξακοστὴν Jacoby **9** διέμεινε **BFD** : διέμενε **P**, Diels | ἢ om. **F** **10** πυθαγορίων **BF**^{1} **11** οἶδε (vel ᾔδει) Richards : εἶδε **BPFD** | χαλκηδεὺς **B** | ἀπὸ Θρᾴκης om. **F** **13** καὶ^{1} om. **F** **18** ἀλείπτης, ὥς φασί τινες secl. Kuehn et Rossi (57, p. 165) | ἀλίπτης **B**

⟨τέταρτος αὐτὸς⟩ οὗτος, οὗ φασιν εἶναι τὠπόρρητον τῆς
φιλοσοφίας, αὐτῶν διδάσκαλος· ἐφ' οὗ καὶ τὸ Αὐτὸς ἔφα
47 παροιμιακὸν εἰς τὸν βίον ἦλθεν. Οἱ δὲ καὶ ἄλλον
Πυθαγόραν, ἀνδριαντοποιὸν Ῥηγῖνον, γεγονέναι φασί,
πρῶτον δοκοῦντα ῥυθμοῦ καὶ συμμετρίας ἐστοχάσθαι·
καὶ ἄλλον, ἀνδριαντοποιὸν Σάμιον· καὶ ἕτερον, ῥήτορα
μοχθηρόν· καὶ ἰατρὸν ἄλλον, τὰ περὶ σκίλλης γεγραφότα
καί τινα περὶ Ὁμήρου συντεταγμένον· καὶ ἕτερον, Δωρικὰ
πεπραγματευμένον, ὡς Διονύσιος ἱστορεῖ.

⟨Καὶ ἕτερον, ἀθλητήν·⟩ Ἐρατοσθένης δέ φησι, καθὸ καὶ
Φαβωρῖνος ἐν ὀγδόῳ Παντοδαπῆς ἱστορίας παρατίθεται,
τοῦτον εἶναι τὸν πρῶτον ἐντέχνως πυκτεύσαντα ἐπὶ τῆς
ὀγδόης καὶ τετταρακοστῆς Ὀλυμπιάδος, κομήτην καὶ
ἁλουργίδα φοροῦντα· ἐκκριθῆναί τε ἐκ τῶν παίδων καὶ
χλευασθέντα αὐτίκα προσβῆναι τοὺς ἄνδρας καὶ
48 νικῆσαι. Δηλοῦν δὲ τοῦτο καὶ τοὐπίγραμμα, ὅπερ ἐποίησε
Θεαίτητος·

10–16 Eratosthenis F 11 (*FGrHist* 241); Favorini Fr. 27 Mensching **13** i.e. 588–584

1 τέταρτος αὐτὸς add. Rossi (p. 162) | οὗτος, οὗ φασιν Huebner : οὗ φασὶν οὗτος **BPF** (οὕτως) | τὠπόρρητον Delatte : τοὐπόρρητον **BPF** : τῶν ἀπορρήτων **D** : τἀπόρρητα *Frob.* **2** αὐτῶν διδάσκαλος **BPF** : del. Kuehn et Rossi (p. 163 s.) : ὁ οὖν φιλόσοφος τῶν ἀπορρήτων τῆς φιλοσοφίας διδάσκαλος ἦν **D** **4** Πυθαγόραν post φασί in **BPFD**, huc traieci **5** δοκούντων **B** **7** σκίλλης M.A. Muretus (*Var. lect.* 9.20) conl. Plin. *N.H.* 19.30 : κίλλης **B** : κήλης **PFD** **10** Καὶ ἕτερον, ἀθλητήν supplevi conl. p. 603.13 **10** καθὸ – **11** ἱστορίας om. **F** **11** φαβορεῖνος **B** | ἐν ὀγδόῳ **BPD** : ἐν τῇ ὀγδόῃ Menagius **12** πρώτως **F** **14** ἐκκριθέντα Cobet **16** Δηλοῦν Cobet ex **D** (δηλοῖ) : ἁπλοῦν **BPF** | τούτω **P**

Πυθαγόρην τινά, Πυθαγόρην, ὦ ξεῖνε, κομήτην,
ᾀδόμενον πύκτην εἰ κατέχεις Σάμιον,
Πυθαγόρης ἐγώ εἰμι· τὰ δ' ἔργα μου εἴ τιν' ἔροιο
Ἠλείων, φήσεις αὐτὸν ἄπιστα λέγειν.

Τοῦτον ὁ Φαβωρῖνός φησι ⟨πρῶτον⟩ ὅροις χρήσασθαι διὰ τῆς μαθηματικῆς ὕλης, ἐπὶ πλέον δὲ Σωκράτην καὶ τοὺς ἐκείνῳ πλησιάσαντας, καὶ μετ' αὐτοὺς Ἀριστοτέλην καὶ τοὺς Στωϊκούς. Ἀλλὰ μὴν καὶ τὸν οὐρανὸν πρῶτον ὀνομάσαι κόσμον· καὶ τὴν γῆν στρογγύλην· ὡς δὲ Θεόφραστος, Παρμενίδην· ὡς δὲ Ζήνων, Ἡσίοδον. Τούτῳ **49** φασὶν ἀντιπαρατάσσεσθαι Κύλωνα, καθάπερ Ἀντίλοχον Σωκράτει.

Ἐπὶ δὲ τοῦ ἀθλητοῦ Πυθαγόρου καὶ τοῦτο ἐλέγετο τὸ ἐπίγραμμα·

Οὗτος πυκτεύσων ἐς Ὀλύμπια παισὶν ἄνηβος
ἤλυθε Πυθαγόρης ὁ Κράτεω Σάμιος.

1–4 *Anth. Pal., App.* 3.35 **5–8** Favorini Fr. 27 Mensching **8–10** Theophrasti *Phys. opin.* Fr. 17 Diels = F 227 E Fortenbaugh **10** Παρμενίδην : cf. 9.21; 28 A 44 DK | Ζήνων : cf. *SVF* I Nr. 276; Hes. *Theog.* 127 **10–12** cf. 2.46 **15–16** *Anth. Pal., App.* 3.16

1 πυθαγόρην^2 om. **FD** **2** αἰδόμενον **BP** : ἀηδόμενον **F** : lacuna in **D** **4** ἠλεῖον **F** **5** φαβορεῖνος **B** | πρῶτον addidi (cf. v. 8) **6** σωκράτη **B** **7** μετ' αὐτοὺς Delatte : μεταυτὰ **B**, μετ' αὐτὰ **P**^{1}**Q** : μετὰ ταῦτα **FDP**^{4} | ἀριστοτέλη **B** **8** πρῶτον om. **BD** **10** τοῦτο **F** **11** φασὶν **D**, *Frob.* : φησὶν **BPF** | Κύλωνα Menagius ex 2.46 : κύδωνα **BPFD** | Ἀντίλοχον Menagius ex 2.46 : ἀντίδοκον **BP**^{1}**QFD** : ἀντίδικον **P**^{4}, *Frob.* **13** ἐπεὶ **B** **13–14** τὸ ἐπίγραμμα om. **F** **15** οὗτος **P**^{4}, *Frob.* : οὕτω **BP**^{1}**QF** : om. **D** | εἰς **F** **16** ἦλθε **BD** | ὁ κράτεω σάμιος **P**^{4}, *Frob.* : ὁ κρ (cum lacuna 10 litt.) **B**^{1}, ὁ κροτώνιος **B**^{2} : ὁ κροτέω **P**^{1}**QF** : ὁ κροτόνιος εἰδογάμου **D** : Ἐρατοκλέους (ex Iambl. *V.P.* 25) Delatte

Ὁ δὲ φιλόσοφος καὶ ὧδε ἐπέστειλε·

Πυθαγόρης Ἀναξιμένει

Καὶ σύ, ὦ λῷστε, εἰ μηδὲν ἀμείνων ἧς Πυθαγόρεω γενεήν τε καὶ κλέος, μεταναστὰς ἂν οἴχεο ἐκ Μιλήτου· νῦν δὲ κατερύκει σε ἡ πατρόθεν εὔκλεια· καὶ ἐμέ τε ἂν κατείρυκεν Ἀναξιμένει ἐοικότα. Εἰ δὲ ὑμεῖς οἱ ὀνήιστοι τὰς πόλιας ἐκλείψετε, ἀπὸ μὲν αὐτέων ὁ κόσμος αἱρε-
50 θήσεται, ἐπικινδυνότερα δὲ αὐτῇσι τὰ ἐκ Μήδων. Οὔτε δὲ αἰεὶ καλὸν αἰθερολογίη μελεδωνόν τε εἶναι τῇ πατρίδι κάλλιον. Καὶ ἐγὼ δὲ οὐ πάντα περὶ τοὺς ἐμεωυτοῦ μύθους, ἀλλὰ καὶ ἐν πολέμοις οὓς διαφέρουσιν ἐς ἀλλήλους Ἰταλιῶται.

Ἐπειδὴ δὲ περὶ Πυθαγόρου διεληλύθαμεν, ῥητέον περὶ τῶν ἐλλογίμων Πυθαγορικῶν· μεθ' οὓς περὶ τῶν σποράδην κατά τινας φερομένων· ἔπειθ' οὕτως ἐξάψομεν τὴν διαδοχὴν τῶν ἀξίων λόγου ἕως Ἐπικούρου, καθὰ καὶ προειρήκαμεν. Περὶ μὲν οὖν Θεανοῦς καὶ Τηλαύγους διειλέγμεθα· λεκτέον δὲ νῦν περὶ Ἐμπεδοκλέους πρῶτον·

2–12 Hercher, p. 601. Cf. DL 2.5 **14** περὶ τῶν σποράδην : cf. 8.91; 9.20

1 ὧδε **PF** : om. **B**^{1} : τῇδε **B**^{2}**D** **5** ἡ ss. **B**^{2} | τε : δὲ Cobet **6** κατείρυκεν **P**, κατήρυκεν **B** : κατέρυκεν **FD** | ἀναξημένει **B** | οἱ ὀνήιστοι Casaubon : οἱ ὀνηστοὶ **F** : οἷον ἦστοι **B**, οἷον ἠστοὶ **P**^{1}**Q** : οἷοι ἀστοὶ **D** : οἰονιστὶ **P**^{4} **7** πόλιας **BP** : πόλεις **FD** | ἐκλείψετε **PD** : ἐκλίψεται **B** : ἐκλείψητε **F** | αἱρεθήσεται **F** : εὑρεθήσεται **BPD** **8** ἐπικινδυνότερα δὲ **P**^{4} (om. δὲ), *Frob.* : ἐπικινδυνότερον δ' **D** : ἐπὶ δὲ κινδυνότερα **B**^{1}**P**^{1}**QF** (κινδυνώτερα) | αὐτῇσι **FDP**^{4}, *Frob.* : αὐτῆς εἶ **B**, αὐτῆς ἢ **P**^{1}**Q** | δὲ ss. **F**^{2} **9** καλὸν in mg **F**^{2} | αἰθερολογίη **PF** : αἰθερολογεῖν **BD** | μελαίδωνον **B**, μεληδωνόν **D** **10** ἐμεωυτοῦ **PD** : ἐμέω ὡυτοῦ **B** : ἐμὲ αὐτοῦ **F** **11** ἐς om. **F** : εἰς **D** **18** δὲ νῦν om. **F** | πρῶτον **FDP**^{4} : πρώτου **BP**^{1}**Q**

κατὰ γάρ τινας Πυθαγόρου διήκουσεν.

ΕΜΠΕΔΟΚΛΗΣ

Ἐμπεδοκλῆς, ὥς φησιν Ἱππόβοτος, Μέτωνος ἦν υἱὸς 51
τοῦ Ἐμπεδοκλέους, Ἀκραγαντῖνος. Τὸ δ' αὐτὸ καὶ Τίμαι-
ος ἐν τῇ πεντεκαιδεκάτῃ τῶν Ἱστοριῶν ⟨ἱστορεῖ λέγων⟩
ἐπίσημον ἄνδρα γεγονέναι τὸν Ἐμπεδοκλέα τὸν πάππον
τοῦ ποιητοῦ. Ἀλλὰ καὶ Ἕρμιππος τὰ αὐτὰ τούτῳ φησίν.
Ὁμοίως καὶ Ἡρακλείδης ἐν τῷ Περὶ νόσων ⟨φησὶν⟩ ὅτι
λαμπρᾶς ἦν οἰκίας, ἱπποτροφηκότος τοῦ πάππου. Λέγει δὲ
καὶ Ἐρατοσθένης ἐν τοῖς Ὀλυμπιονίκαις τὴν πρώτην καὶ
ἑβδομηκοστὴν Ὀλυμπιάδα νενικηκέναι τὸν τοῦ Μέτωνος
πατέρα, μάρτυρι χρώμενος Ἀριστοτέλει. Ἀπολλόδωρος 52
δ' ὁ γραμματικὸς ἐν τοῖς Χρονικοῖς φησιν ὡς

ἦν μὲν Μέτωνος υἱός, εἰς δὲ Θουρίους
αὐτὸν νεωστὶ παντελῶς ἐκτισμένους
⟨ὁ⟩ Γλαῦκος ἐλθεῖν φησιν.

Εἶθ' ὑποβάς·

3–p. 622.3 31 A 1 DK **3** caput de Empedocle excerpsit Eudocia, *Violarium* 402 **3–7** φησίν : Hippoboti Fr. 15 Gigante; Timaei F 26b (*FGrHist* 566); Hermippi Fr. 25 Wehrli **8–9** Heraclidis Fr. 76 Wehrli **9** Λέγει – **12** Eratosthenis F 7 (*FGr Hist* 241) **10–11** i.e. 496 **12** Aristotelis Fr. 71 Rose^3 **12–606.11** Apollodori F 32a (*FGrHist* 244) **16** Glauci Fr. 6 (*FHG* II, 24)

1 διήκουεν **P^1Q** (corr. **P^4**) **2** *tit.* **P^4FD** : om. **B** spatio relicto **4** δ' om. **F** **5** ἱστορεῖ λέγων supplevi (cf. p. 607.10) : λέγει προσιστορῶν add. Diels **7** τούτῳ om. **F** **8** καὶ **FDP^2 Q** : om. **BP^1** | ἐν τῷ περὶ νόσων om. **F** | νόσων **BP** (cf. 611.5) : νήσων **D** | φησὶν addidi **14** μέτωνος μὲν **BPFD**, transp. H.F. Clinton | μὲν υἱὸς ss. **F^2** | θερίους **F^1** (corr. **F^2**) **16** ὁ add. Cobet | γλαῦκος **BP^1Q** : γάλικος **F^1** (γάλαικος **F^2**) : γάλυκος **DP^4** **17** post ὑποβὰς pergit **D** τὰ δ' αὐτὰ καὶ γλαῦκος φησὶν

> Οἱ δ' ἱστοροῦντες ὡς πεφευγὼς οἴκοθεν εἰς τὰς Συρακούσας μετ' ἐκείνων ἐπολέμει πρὸς τὰς Ἀθήνας ἀγνοεῖν τελέως ⟨ἐ⟩μοὶ δοκοῦσιν· ἢ γὰρ οὐκέτ' ἦν ἢ παντελῶς ὑπεργεγηρακώς, ὅπερ οὔ⟨χὶ⟩ φαίνεται.

Ἀριστοτέλης γὰρ αὐτόν (ἔτι τε Ἡρακλείδης) ἑξήκοντα ἐτῶν φησι τετελευτηκέναι. Ὁ δὲ ⟨τὴν⟩ μίαν καὶ ἑβδομηκοστὴν Ὀλυμπιάδα νενικηκὼς

> κέλητι τούτου πάππος ἦν ὁμώνυμος,

ὥσθ' ἅμα καὶ ⟨τούτου⟩ τὸν χρόνον ὑπὸ τοῦ Ἀπολλοδώρου σημαίνεσθαι.

53 Σάτυρος δὲ ἐν τοῖς Βίοις φησὶν ὅτι Ἐμπεδοκλῆς υἱὸς μὲν ἦν Ἐξαινέτου, κατέλιπε δὲ καὶ αὐτὸς υἱὸν Ἐξαίνετον· ἐπί τε τῆς αὐτῆς Ὀλυμπιάδος τὸν μὲν ἵππῳ κέλητι νενικηκέναι, τὸν δὲ υἱὸν αὐτοῦ πάλῃ ἤ, ὡς Ἡρακλείδης ἐν τῇ Ἐπιτομῇ, δρόμῳ. Ἐγὼ δὲ εὗρον ἐν τοῖς Ὑπομνήμασι Φαβωρίνου ὅτι καὶ βοῦν ἔθυσε τοῖς θεωροῖς ὁ Ἐμπε-

6–7 Aristotelis Fr. 71 Rose^3; Heraclidis Fr. 86 Wehrli. Cf. 8.74 **7–8** i.e. 445 **12–15** πάλῃ : Satyri Fr. 11 (*FHG* III, 162); Sotionis Fr. 25 Wehrli **15–16** Heraclidis Lembi Fr. 6 (*FHG* III, 169) **16–p. 607.1** Favorini Fr. 21 Mensching

1 οἴκοθεν πεφευγὼς **BPFD** : transp. Clinton **3** πρὸς τὰς Ἀθήνας ἀγνοεῖν τελέως ⟨ἐ⟩μοὶ Fr. Bahnsch (*Quaest. de D.L. fontibus,* 1868, 7) : πρὸς τοὺς ἀθηναίους τελέως ἀγνοεῖν μοι **BPF D** : πρὸς Ἀθηνάους, ἐμοί ⟨γε⟩ τελέως ἀγνοεῖν Diels **5** οὔ⟨χὶ⟩ Clinton : οὐ **BPFD** **6** Ἡρακλείδης Fr. W. Sturz (cf. p. 611.15) : ἡράκλειτον **B**^{1}**PF**^{1} (cf. 634.8) : ἡράκλειτος **B**^{2}**D** : ἔτι τε ἡράκλειτον secl. Marcovich (1967) **7** τὴν add. Cobet | μίαν **BP**^{1}**F** : πρώτην **DP**^{4} | ἑξηκοστὴν **F**^{1} (corr. **F**^{2}) **9 et 14** κέλητι **BP**^{1} : κέλλητι **FDP**^{4} | πάππος S. Karsten : πάντως **BPFD** **10** τούτου add. Jacoby **13** ἐξενέτου **B**^{1}**P**^{1}**F**^{1} | ἐξένετον **BP**^{1} **17** φαβορείνου **B**

δοκλῆς [ἐκ μέλιτος καὶ ἀλφίτων], καὶ ἀδελφὸν ἔσχε Καλλικρατίδην. Τηλαύγης δ' ὁ Πυθαγόρου παῖς ἐν τῇ πρὸς Φιλόλαον ἐπιστολῇ φησι τὸν Ἐμπεδοκλέα Ἀρχινόμου εἶναι υἱόν. Ὅτι δ' ἦν Ἀκραγαντῖνος ἐκ Σικελίας, αὐτὸς 54 ἐναρχόμενος τῶν Καθαρμῶν φησιν·

Ὦ φίλοι, οἳ μέγα ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος
ναίετ' ἀν' ἄκρα πόλεος.

Καὶ τὰ μὲν περὶ τοῦ γένους αὐτοῦ τάδε.

Ἀκοῦσαι δ' αὐτὸν Πυθαγόρου Τίμαιος διὰ τῆς ἐνάτης ἱστορεῖ, λέγων ὅτι καταγνωσθεὶς ἐπὶ λογοκλοπίᾳ τότε (καθὰ καὶ Πλάτων) τῶν λόγων ἐκωλύθη μετέχειν. Μεμνῆσθαι δὲ καὶ αὐτὸν Πυθαγόρου λέγοντα·

Ἦν δέ τις ἐν κείνοισιν ἀνὴρ περιώσια εἰδώς,
ὃς δὴ μήκιστον πραπίδων ἐκτήσατο πλοῦτον.

Οἱ δὲ τοῦτο εἰς Παρμενίδην αὐτὸν λέγειν ἀναφέροντα.

Φησὶ δὲ Νεάνθης ὅτι μέχρι Φιλολάου καὶ Ἐμπεδοκλέ- 55 ους ἐκοινώνουν οἱ Πυθαγορικοὶ τῶν λόγων· ἐπεὶ δ' αὐτὸς διὰ τῆς ποιήσεως ἐδημοσίωσεν αὐτούς, νόμον ἔθεντο μηδενὶ μεταδώσειν ἐποποιῷ. (Τὸ δ' αὐτὸ καὶ Πλάτωνα παθεῖν φησι· καὶ γὰρ τοῦτον κωλυθῆναι). Τίνος μέντοι γε

2–4 cf. 8.55 et 74 **6–7** 31 B 112.1–2 DK = Fr. 1 Zuntz (*Persephone,* 1971) = Fr. 102 Wright (1981) **9–11** Timaei F 14 (*FGrHist* 566) **13–14** 31 B 129.1–2 DK = Fr. 28 Zuntz = Fr. 99 Wright **16–20** Neanthis F 26 (*FGrHist* 84)

1 ἐκ μέλιτος καὶ ἀλφίτων seclusi **4** ante ἐκ repetunt ἦν **B**^{1}**P**^{1}**Q** (del. **B**^{2}**P**^{4}) **6** οἳ : ἢ **F** **7** ναίετ' ἀν' ἄκρα **P**^{4}, *Frob.* : ναίετ' ἄνακρα **B**, ναίεταν ἄκρα **P**^{1}**Q** : ναιετάετης **F** : ναίετ' ἄκρης **D** | πόλεος Merzdorf : πόλεως **BP**^{1}**D** : πόληος **FP**^{4} **15** Οἱ δὲ – ἀναφέροντα om. **F** **18** αὐτούς Reiske : αὐτὰ **BPD** et Eudocia : αὐτὰς **F** **20** φησὶ παθεῖν **FD**

αὐτῶν ἤκουσεν ὁ Ἐμπεδοκλῆς, οὐκ εἶπε· τὴν γὰρ περιφερομένην πρὸς ⟨Φιλόλαον⟩ Τηλαύγους ἐπιστολὴν ὅτι τε μετέσχεν Ἱππάσου καὶ Βροτίνου, μὴ εἶναι ἀξιόπιστον.

Ὁ δὲ Θεόφραστος Παρμενίδου φησὶ ζηλωτὴν αὐτὸν γενέσθαι καὶ μιμητὴν ἐν τοῖς ποιήμασι· καὶ γὰρ ἐκεῖνον
56 ἐν ἔπεσι τὸν Περὶ φύσεως ἐξενεγκεῖν λόγον. Ἕρμιππος δὲ οὐ Παρμενίδου, Ξενοφάνους δὲ γεγονέναι ζηλωτήν, ᾧ καὶ συνδιατρῖψαι καὶ μιμήσασθαι τὴν ἐποποιΐαν· ὕστερον δὲ τοῖς Πυθαγορικοῖς ἐντυχεῖν. Ἀλκιδάμας δ' ἐν τῷ Φυσικῷ φησι κατὰ τοὺς αὐτοὺς χρόνους Ζήνωνα καὶ Ἐμπεδοκλέα ἀκοῦσαι Παρμενίδου, εἶθ' ὕστερον ἀποχωρῆσαι, καὶ τὸν μὲν Ζήνωνα κατ' ἰδίαν φιλοσοφῆσαι, τὸν δὲ Ἀναξαγόρου διακοῦσαι καὶ Πυθαγόρου· καὶ τοῦ μὲν τὴν σεμνότητα ζηλῶσαι τοῦ τε βίου καὶ τοῦ σχήματος, τοῦ δὲ τὴν φυσιολογίαν.

57 Ἀριστοτέλης δὲ ἐν τῷ Σοφιστῇ φησι πρῶτον Ἐμπεδοκλέα ῥητορικὴν εὑρεῖν, Ζήνωνα δὲ διαλεκτικήν. Ἐν δὲ τῷ Περὶ ποιητῶν φησιν ὅτι καὶ Ὁμηρικὸς ὁ Ἐμπεδοκλῆς καὶ δεινὸς περὶ τὴν φράσιν γέγονεν, μεταφορητικός τε ὢν καὶ τοῖς ἄλλοις τοῖς περὶ ποιητικὴν ἐπιτεύγμασι χρώμενος· καὶ διότι γράψαντος αὐτοῦ καὶ ἄλλα ποιήματα τήν τε

4–6 Theophrasti *Phys. opin.* Fr. 3 Diels; 28 A 9 DK **6–9** Hermippi Fr. 26 Wehrli; 21 A 5 DK **9–14** 14 a 5 DK **16–17** Aristot. Fr. 65 Rose^3; 29 A 10 DK **17** Ἐν δὲ – **p. 609.4** εἶναι : Aristot. fr. 70 Rose^3

1 ὁ om. **F** | προσφερομένην **BD** **2** πρὸς **BPFD** : ὡς Reiske, agn. Diels | Φιλόλαον ex p. 607.3 add. Roeper^1 | τελαυγῆ **D** | τε **BPD** : μὲν **F** **3** βροτίνου **B**P^1**Q** : βροντίνου **FD**P^4 **6** λόγον ἐξενεγκεῖν **F** **7** οὐ P^2**Q**F^2**D** : ὁ **B** P^1 | οὐ παρμενίδης in mg infer. F^2 | δὲ om. **F** **7** ᾧ – **8** ἐποποιΐαν in mg super. F^2 **9** τῷ om. **F** **12** φιλοσοφεῖσαι **B** **16** ἐν τῷ σοφιστῇ om. **F** **19** μεταφοριτικὸς **B**P^1 : μεταφορικὸς **FD**P^4 et Eudocia **21** δὴ ὅτι **B**

τοῦ Ξέρξου διάβασιν καὶ προοίμιον εἰς Ἀπόλλωνα, ταῦθ'
ὕστερον κατέκαυσεν ἀδελφή τις αὐτοῦ (ἢ θυγάτηρ, ὥς
φησιν Ἱερώνυμος,) τὸ μὲν προοίμιον ἄκουσα, τὰ δὲ
Περσικὰ βουληθεῖσα διὰ τὸ ἀτελείωτα εἶναι. Καθόλου δέ **58**
φησι καὶ τραγῳδίας αὐτὸν γράψαι καὶ πολιτικούς·
Ἡρακλείδης δὲ ὁ τοῦ Σαραπίωνος ἑτέρου φησὶν εἶναι τὰς
τραγῳδίας. Ἱερώνυμος δὲ τρισὶ καὶ τετταράκοντά φησιν
ἐντετυχηκέναι, Νεάνθης δὲ νέον ὄντα γεγραφέναι τὰς
τραγῳδίας καὶ αὐτὸς ἑπτὰ ἐντετυχηκέναι.

Φησὶ δὲ Σάτυρος ἐν τοῖς Βίοις ὅτι καὶ ἰατρὸς ἦν καὶ
ῥήτωρ ἄριστος. Γοργίαν γοῦν τὸν Λεοντῖνον αὐτοῦ γε-
νέσθαι μαθητήν, ἄνδρα ὑπερέχοντα ἐν ῥητορικῇ καὶ Τέχ-
νην ἀπολελοιπότα· ὅν φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς
ἐννέα πρὸς τοῖς ἑκατὸν ἔτη βιῶναι. Τοῦτόν φησιν ὁ Σάτυ- **59**
ρος λέγειν ὡς αὐτὸς παρείη τῷ Ἐμπεδοκλεῖ γοητεύοντι.
Ἀλλὰ καὶ αὐτὸν διὰ τῶν ποιημάτων ἐπαγγέλλεσθαι τοῦτό
τε καὶ ἄλλα πλείω, δι' ὧν φησι·

2–3 Hieronymi Fr. 30 Wehrli **4–5** *TrGF* I, p. 189 Snell **6–7** Heraclidis Lembi Fr. 6 (*FHG* III, 169) **7–8** Hieronymi Fr. 30 Wehrli **8–9** Neanthis F 27 (*FGrHist* 84) **10–15** Satyri Fr. 12 (*FHG* III, 162 s.) **11** Γοργίαν – **15** 82 A 3 DK **13** ὅν φησιν – **14** βιῶναι : *FGrHist* 244 F 35

1 τοῦ **FDP**^{4} : om. **BP**^{1}**Q** **4** ἀτελίωτα **B** **6** ἑτέρου – **7** τραγωδίας in mg infer. **F**^{2} **7** ante τρισὶ repetit v. 6 φησὶ **F** **8** νεάνθης – **9** ἐντετυχηκέναι in mg infer. **F**^{2} **9** αὐτὸς Cobet : αὐτὸν **BPFD** : αὐτῶν Diels | ἑπτὰ Diels : ἔπειτα **BPFD** **10** ὁ σάτυρος **F** | ἐν τοῖς βίοις om. **F** **11** γοῦν **P F** : δὲ **B** : τὲ **D** **14** ἑκατὸν **PDF**^{2} γρ. in mg : ἑκατῶν **B** : τεσσαράκοντα **F**^{1} | ἔτη om. **F** **15** παρείη **P** : παρήει **F** : παρῆναι **B**, παρεῖναι **D** | ἐμπεδοκλῆ **BF** | post ἐμπεδοκλῆ add. τὸν **B** **15** γοητεύοντι – **16** ἐπαγγέλλεσθαι om. **B** spatio unius versus relicto **17** τε om. **F**

Φάρμακα δ' ὅσσα γεγᾶσι κακῶν καὶ γήραος ἄλκαρ
πεύσῃ, ἐπεὶ μούνῳ σοὶ ἐγὼ κρανέω τάδε πάντα.
Παύσεις δ' ἀκαμάτων ἀνέμων μένος, οἵ τ' ἐπὶ γαῖαν
ὀρνύμενοι πνοιαῖσι καταφθινύθουσιν ἄρουραν·
καὶ πάλιν, ἢν ἐθέλῃσθα, παλίντιτα πνεύματ' ἐπάξεις·
θήσεις δ' ἐξ ὄμβροιο κελαινοῦ καίριον αὐχμὸν
ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου
ῥεύματα δενδρεόθρεπτα τά τ' αἰθέρι ναιήσονται,
ἄξεις δ' ἐξ Ἀΐδαο καταφθιμένου μένος ἀνδρός.

60 Φησὶ δὲ καὶ Τίμαιος ἐν τῇ ὀκτωκαιδεκάτῃ κατὰ πολλοὺς τρόπους τεθαυμάσθαι τὸν ἄνδρα. Καὶ γὰρ ἐτησίων

1–9 31 B 111 DK = Fr. 101 Wright. Cf. *Suda,* A 3242; Tzetzae *Chiliad.* 2.906–914 (= 909–917 Leone); Eudociae *Violarium* 402; Clem. *Strom.* 6.30.2 **10–p. 611.4** Timaei F 30 (*FGrHist* 566). Cf. **Φ** 63; *Suda,* A 3242; E 1002

1 ὅσα **FDQ** **1** καὶ – **3** μένος om. **B** spatio 2 versuum relicto **2** ἐπὶ **P**^{1}**F** | κραδέω **F** | τάδε om. **F** **3** παύσεις δ' ἀκαμά **P**^{1}**Q** : παύσῃ δ' ἐκκαμάτων **FP**^{4}**D** | ἀνέμων μένος **P** : ἀνειμένος **F**, ἀναειμένος **D** | ὅτ' ἐπὶ **F** **4** πνοιαῖσι **BPFD** : πνοιῇσι Merzdorf : θηντοῖσι Clem. | καταφθινύθουσι **B** | ἄρουραν **BPFD** et *Suda,* Eudocia : ἀρούρας Clem., Tz. **5** ἢν ἐθέλῃσθα **FDP**^{4} : ἢν κ' ἐθέλῃσθα **P**^{1}**Q**, *Suda,* Tz., Eudocia : ἢν καὶ θέλησθα **B** : εὖτ' ἐθέλῃσθα Clem. | παλίντιτα **BPFD** (παλίντητα) et Clem., Eudocia : παλίντονα *Suda* | πνεύματα **B** | ἐπάξεις : θήσεις Clem. **6** θήσεις **F** et Eudocia : στήσεις **P**, *Suda,* Tz. : τῆς εἰς **B** : τοῖσιν αὖτις **D** | δεξόμβροις **F** | καιλαινοῦ **B**, κελενοῦ **F** | post κελαινοῦ addit ῥόον *Suda* | κέριον **B** **7** θήσεις **PB**^{2} (θήσει **B**^{1}) **D** et *Suda,* Eudocia : στήσεις **Q**, Tz. | αὐθμοῖο **F** | θερείου **P**^{4}, Tz. : θερίοις **BP**^{1}**Q** : θερείοις **F**^{1} : θερεινοῖο **D** **8** τά τ' αἰθέρι ναιήσονται **P**^{1}**Q** : ταταιθεριναίης ὄντα γ' **B** : τά τε θέρει ναήσονται **F** : τά τ' ἐν θέρει ἀήσονται **P**^{4} et Eudocia : ἅ τ' αἰθέρι ναίων ὄντως **D** : τά τ' ἐν θέρει ἔσονται *Suda* : τά τ' αἰθέρια θήσονται Tz. : τά τ' αἰθέρι ἀΐσσονται Wilamowitz (coll. B 29.1 DK) **9** ἀΐδεο **F** **10** ὀκτωκαιδεκάτῃ **BF** : ιη' **PD** : ιβ' J. Beloch (*Jb. f. Cl. Phil.* 123 [1881] 697), cf. 8.66 **11** αἰτησίων **B**^{1}

ποτὲ σφοδρῶς πνευσάντων, ὡς τοὺς καρποὺς λυμῆναι, κελεύσας ὄνους ἐκδαρῆναι καὶ ἀσκοὺς ποιῆσαι περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα· λήξαντος δὲ Κωλυσανέμαν κληθῆναι. Ἡρακλείδης τε ἐν τῷ Περὶ νόσων φησὶ καὶ Παυσανίᾳ ὑφηγήσασθαι αὐτὸν τὰ περὶ τὴν ἄπνουν. Ἦν δ' ὁ Παυσανίας, ὥς φησιν Ἀρίστιππος καὶ Σάτυρος, ἐρώμενος αὐτοῦ, ᾧ δὴ καὶ τὰ Περὶ φύσεως προσπεφώνηκεν οὕτως·

Παυσανίη, σὺ δὲ κλῦθι, δαΐφρονος Ἀγχίτου υἱέ. **61**

Ἀλλὰ καὶ ἐπίγραμμα εἰς αὐτὸν ἐποίησε·

Παυσανίην ἰητρὸν ἐπώνυμον Ἀγχίτου υἱὸν
φῶτ' Ἀσκληπιάδην πατρὶς ἔθρεψε Γέλα,
ὃς πολλοὺς μογεροῖσι μαραινομένους καμάτοισι
φῶτας ἀπέστρεψεν Φερσεφόνης ἀδύτων.

Τὴν γοῦν ἄπνουν ὁ Ἡρακλείδης φησὶ τοιοῦτόν τι εἶναι, ὡς τριάκοντα ἡμέρας συντηρεῖν ἄπνουν καὶ ἄσφυκτον τὸ

4–p. 612.12 Heraclidis Fr. 77 Wehrli **6–9** *SSR* IV A 158 Giannantoni **9** 31 B 1 DK = Fr. 4 Wright **11–14** 31 B 156 DK = *Anth. Pal.* 7.508; *Plan.*

1 ὡς **BPD** et *Suda,* A 3242 : ὡς ἂν **F** : ὡς καὶ **Φ** 63 | λυμήνασθαι Cobet **2** ποιεῖσθαι Cobet **7** καὶ σάτυρος om. **F** **8** πεφώνηκεν **F** **9** παυσανίη **BP**^{1} : παυσανία **FDP**^{4} | ἀγχίτου **BPFD** : Ἀγχίτεω Diels **11** παυσανίαν *Pal.* | ἀγχίτου **BPFD** et Iambl. *V.P.* 113 : ἀγχίτεω *Pal.*, Diels **12** φῶτ' : τόνδ' *Pal.* | ἔθρεψε : ἔθαψε *Pal.* | γέλα : πέλας *Pal.* : κόνις *Plan.* **13** πολλοὺς **BPD** : πολλοῖσι **F** : πλείστους *Pal.* | μογεροῖσι **BPD** : κρυεραῖσι *Pal.* : om. **F** | μαραινομένους : μαγερομένους **F** | καμάτοισι : ὑπὸ νούσοις *Pal.* **14** ἀπέστρεψε **BFD** | φερσεφόνης **P**^{4}, *Pal.* : φερσεφόνας **BP**^{1}**FD** | ἀδύτων : θαλάμων *Pal.* **15** Ἡρακλείδης Mercurialis (*Var. lect.* 4.44) et Casaubon : ἡράκλητος **BFD**, ἡράκλειτος **P** **16** ἄσφυκτον Mercurialis : ἄσηπτον **B** **PFD** : ἄσιτον *Suda,* A 3242 et **φ** 31

σῶμα· ὅθεν εἶπεν αὐτὸν καὶ ἰητρὸν καὶ μάντιν, λαμβάνων ἅμα καὶ ἀπὸ τούτων τῶν στίχων·

62 Ὦ φίλοι, οἳ μέγα ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος
ναίετ' ἀν' ἄκρα πόλεος, ἀγαθῶν μελεδήμονες ἔργων,
χαίρετ'· ἐγὼ δ' ὑμῖν θεὸς ἄμβροτος, οὐκέτι θνητὸς
πωλεῦμαι μετὰ πᾶσι τετιμένος, ὥσπερ ἔοικε,
ταινίαις τε περίστεπτος στέφεσίν τε θαλείοις·
τοῖσιν ἅμ' εὖτ' ἂν ἵκωμαι ἐς ἄστεα τηλεθάοντα,
ἀνδράσιν ἠδὲ γυναιξί, σεβίζομαι· οἱ δ' ἅμ' ἕπονται
μυρίοι, ἐξερέοντες ὅπῃ πρὸς κέρδος ἀταρπός·
οἱ μὲν μαντοσυνέων κεχρημένοι, οἱ δ' ἐπὶ νούσων
παντοίων ἐπύθοντο κλύειν εὐηκέα βάξιν.

3–12 31 B 112 DK = Fr. 1 Zuntz = Fr. 102 Wright. Cf. 8.54 et 66; *Anth. Pal.* 9.569; *Plan.*; Clem. *Strom.* 6.30.2; S.E. *Adv. math.* 1.302 et al.

1 post ὅθεν add. καὶ **FP**^{4} | ἰητρὸν **BP**^{1} (cf. 31 B 146.1) : ἰατρὸν **FDP**^{4} | μάντην **B** **3** οἳ **BP** : ἢ **F**, ἦ **D** **4** ναίετ' ἀν' ἄκρα **BP** : ναιετά ἐτ' ἀνάκρα **F** : ναίετ' ἄκρης **D** | πόλεος Merzdorf : πόληος **BP**^{1}**QF** et *Pal.* : πόλιος **D** : πόλευς ut vid. **P**^{4} : πόλεως *Plan.* | post hunc versum addidit ex Diod. 13.83.2 ξείνων αἰδοῖοι λιμένες, κακότητος ἄπειροι, Sturz : om. DL et *Pal.* **5** χαίρετε **B** **6** τετιμένος **P** : τετιμημένος **BF** : τιμώμενος **D** | ἔοικε(ν) **D** et *Pal.* : ἔοικα **BPF** **7** τενίαις **B** | περίστεπτος **BPD** : περίστρεπτος **F** et *Pal.* | στέφεσιν **D** et *Pal.* : στέφεσι **BPF** | θαλείοις **P**^{1} et *Pal.* : θαλίοις **BP**^{2}**Q** : θαλίης **F** : θαλίαις **D** **8** τοῖσιν ἅμ' εὖτ' ἂν ἵκωμαι **P**^{4}**H** : τοῖσιν ἅμα νίκωμαι **BP**^{1}**QF** : τοῖσιν ἅμ' ἥκωμαι **D** : ⟨πᾶσι δὲ⟩ τοῖς ἂν ἵκωμαι Wilamowitz : πᾶσι δ' ἅμ' εὖτ' ἂν ἵκωμαι Wright | ἄστρα **F** | τηλεθάοντα **BP**^{1} (**D**) : τηλεθόωντα **FP**^{4} **10** ἀταρπῶς **F** **11** μαντοσυναίων **F** | δ' ἐπὶ Sturz ex Clem. : δέ τι **BPF** : δέ τε **D**, Bergk **12** βάξιν **B**^{1}, βάξειν **B**^{2}

Μέγαν δὲ τὸν Ἀκράγαντα εἰπεῖν φησιν [ποταμὸν ἀλ- 63
λὰ], ἐπεὶ μυριάδες αὐτὸν κατῴκουν ὀγδοήκοντα· ὅθεν τὸν
Ἐμπεδοκλέα εἰπεῖν, τρυφώντων αὐτῶν· "Ἀκραγαντῖνοι
τρυφῶσι μὲν ὡς αὔριον ἀποθανούμενοι, οἰκίας δὲ κατα-
σκευάζονται ὡς πάντα τὸν χρόνον βιωσόμενοι."

Αὐτοὺς δὲ τούτους τοὺς Καθαρμοὺς [ἐν] Ὀλυμπίασι
ῥαψῳδῆσαι λέγεται Κλεομένη τὸν ῥαψῳδόν, ὡς καὶ Φα-
βωρῖνος ἐν Ἀπομνημονεύμασι. Φησὶ δ' αὐτὸν καὶ Ἀρισ-
τοτέλης ἐλεύθερον γεγονέναι καὶ πάσης ἀρχῆς ἀλλότριον,
εἴ γε τὴν βασιλείαν αὐτῷ διδομένην παρῃτήσατο, καθά-
περ Ξάνθος ἐν τοῖς περὶ αὐτοῦ λέγει, τὴν λιτότητα δηλο-
νότι πλέον ἀγαπήσας. Τὰ δ' αὐτὰ καὶ Τίμαιος εἴρηκε, τὴν 64
αἰτίαν ἅμα παρατιθέμενος τοῦ δημοτικὸν εἶναι τὸν
ἄνδρα. Φησὶ γὰρ ὅτι κληθεὶς ὑπό τινος τῶν ἀρχόντων, ὡς
προβαίνοντος τοῦ δείπνου τὸ ποτὸν οὐκ εἰσεφέρετο, τῶν
[δ'] ἄλλων ἡσυχαζόντων, μισοπονήρως διατεθεὶς ἐκέλευ-
σεν εἰσφέρειν· ὁ δὲ κεκληκὼς ἀναμένειν ἔφη τὸν τῆς

3–5 cf. Ael. *V.H.* 12.29 et 14.48a (de Platone) **6–8** Favorini Fr. 18 Mensching **8–10** Aristotelis Fr. 66 Rose^3 **10–12** Xanthi F 33 (*FGrHist* 765) **12** Τὰ δ' αὐτὰ – **p. 614.8** Timaei F 134 (*FGrHist* 566)

1 φησιν om. **F** | ποταμὸν ἀλλὰ **P^{4}HF** (ἀλλ') : ποταμίλλα **BP^{1}Q** : ποτ' ἅμιλλαν **D** : om. *Frob.*, del. ut glossema Sam. Battier (1705) [i.e. ποταμὸν ἄλλως vel ἄλλοι] **2** ἐπὶ **F** | αὐτὸν **P^{2}QFD** : αὐτὴν **BP^1** **3** τρυφόντων **F** **6** δὲ om. **F** **6–7** [ἐν] Ὀλυμπίασι ῥαψῳδῆσαι Diels ex Athenaeo 14, 620 D : ἐν ὀλυμπίαδι ῥαψωδῆσαι **BP^{1}Q** : ἐν ὀλυμπίᾳ δια-ρ(ρ)αψωδῆσαι **FDP^{4}H** **7** κλεομένη **BP** : κλεομένην **FD** | φαβορεῖνος **B** **8** ἐν **B^{2}FDP^4** : om. **B^{1}P^{1}Q** | φησὶ post Ἀριστοτέλης **F** | δ' αὐτὸν om. **F** **12** τὴν αἰτίαν – **14** τὸν ἄνδρα in mg super. **F^2** **14** ὡς Diels (cf. v. 15) : καὶ **BPFD Φ** **15** τοῦ δείπνου τὸ πότον **F** : τοῦ πότου (ὡς **D**) τὸ δεῖπνον **BPDΦ** **16** δ' del. Cobet | ἐκεῖνος διατεθεὶς **Φ** | διατιθεὶς **B**

βουλῆς ὑπηρέτην. Ὡς δὲ παρεγένετο, ἐγενήθη συμποσίαρχος, τοῦ κεκληκότος δηλονότι καταστήσαντος· ὃς ὑπεγράφετο τυραννίδος ἀρχήν· ἐκέλευσε γὰρ ἢ πίνειν ἢ καταχεῖσθαι τῆς κεφαλῆς. Τότε μὲν οὖν ὁ Ἐμπεδοκλῆς ἡσύχασε· τῇ δ' ὑστεραίᾳ εἰσαγαγὼν εἰς δικαστήριον ἀπέκτεινε καταδικάσας ἀμφοτέρους, τόν τε κλήτορα καὶ τὸν συμποσίαρχον. Ἀρχὴ μὲν οὖν αὐτῷ τῆς πολιτείας ἥδε.

65 Πάλιν δὲ Ἄκρωνος τοῦ ἰατροῦ τόπον αἰτοῦντος παρὰ τῆς βουλῆς εἰς κατασκευὴν πατρῴου μνήματος διὰ τὴν ἐν τοῖς ἰατροῖς ἀκρότητα παρελθὼν ὁ Ἐμπεδοκλῆς ἐκώλυσε, τά τε ἄλλα περὶ ἰσότητος διαλεχθεὶς καί τι καὶ τοιοῦτον ἐρωτήσας· "Τί δὲ ἐπιγράψομεν ἐλεγεῖον ἢ τοῦτο·

Ἄκρον ἰατρὸν Ἄκρων' Ἀκραγαντῖνον πατρὸς Ἄκρου
κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης;"

Τινὲς δὲ τὸν δεύτερον στίχον οὕτω προφέρονται·

ἀκροτάτης κορυφῆς τύμβος ἄκρος κατέχει.

Τοῦτό τινες Σιμωνίδου φασὶν εἶναι.

66 Ὕστερον δ' ὁ Ἐμπεδοκλῆς καὶ τὸ τῶν χιλίων ἄθροισμα κατέλυσε συνεστὼς ἐπὶ ἔτη τρία, ὥστε οὐ μόνον ἦν τῶν πλουσίων, ἀλλὰ καὶ τῶν τὰ δημοτικὰ φρονούντων. Ὅ γέ τοι Τίμαιος ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ (πολλάκις γὰρ

14–15 31 B 157 DK. Cf. *Suda,* A 1026; φ 31 **19– p. 615.8** Timaei F 2 (*FGrHist* 566)

2 ὃς : καὶ Jacoby **3** ἢ^1 erasit **P**^{4} **4** ὁ **BPF** : om. **Φ D** **5** ἀγαγὼν **Φ** **6** καταδικάσας om. **Φ** | ἄμφω **Φ** **7** αὐτῷ *Aldobr.* : αὐτοῦ Huebner : αὕτη **BFDP**^{4} γρ. : αὐτῇ **P**^{1} **8** ἤδη om. **F** **13** τι **BP** : τοι **D** : ὅ τι **F** **14** ἄκρων^1 **F** | ἰητρὸν **P**^{4}, *Frob.* **15** κρυμνὸς **B** **18** τοῦτον **D P**^{4} | σιμονίδου **B** **19** χιλιάδων **F** **20** διέλυσε **B** | συνεστὼς **PD** : συνεστὸς **BF** **22** πρώτῃ καὶ δευτέρᾳ **B** : α´ καὶ β´ **PFD** : ια´ καὶ ιβ´ Beloch, agn. Diels

αὐτοῦ μνημονεύει) φησὶν ἐναντίαν ἐσχηκέναι γνώμην αὐτὸν ⟨ἐν⟩ τῇ πολιτείᾳ φαίνεσθαι. ⟨Ἔστι γὰρ⟩ ὅπου γε ἀλαζόνα καὶ φίλαυτον ἐν τῇ ποιήσει ἴδοι τις ἄν· φησὶ γοῦν·

Χαίρετ'· ἐγὼ δ' ὑμῖν θεὸς ἄμβροτος, οὐκέτι θνητὸς
πωλεῦμαι

καὶ τὰ ἑξῆς. Καθ' ὃν δὲ χρόνον ἐπεδήμει Ὀλυμπίασιν, ἐπιστροφῆς ἠξιοῦτο πλείονος, ὥστε μηδενὸς ἑτέρου μνείαν γίνεσθαι ἐν ταῖς ὁμιλίαις τοσαύτην ὅσην Ἐμπεδοκλέους.

Ὕστερον μέντοι τοῦ Ἀκράγαντος οἰκ⟨τ⟩ιζομένου, ἀντ- **67**
έστησαν αὐτοῦ τῇ καθόδῳ οἱ τῶν ἐχθρῶν ἀπόγονοι· διόπερ εἰς Πελοπόννησον ἀποχωρήσας ἐτελεύτησεν. Οὐ παρῆκε δ' οὐδὲ τοῦτον ὁ Τίμων, ἀλλ' ὧδε αὐτοῦ καθάπτεται λέγων·

καὶ Ἐμπεδοκλῆς ἀγοραίων
ληκητὴς ἐπέων· ὅσα δ' ἔσθενε, τόσσα διεῖλεν
ἀρχῶν ὃς διέθηκ' ἀρχὰς ἐπιδευέας ἄλλων.

4–5 31 B 112 DK. Cf. 8.62 **15–17** Timonis B 42 Diels = *Suppl. Hell.* 816

1 ἐσχηκέναι γνώμην **BP** : transp. **FD** **2** ἐν add. Diels **2** τῇ πολιτείᾳ φαίνεσθαι om. **F** | τῇ **D**, *Frob.* : τῇ τε **BP** | post τῇ πολιτείᾳ suppl. καὶ ἐν τῇ ποιήσει· ὅπου μὲν γὰρ μέτριον καὶ ἐπιεικῆ Diels | Ἔστι add. Richards et γὰρ addidi | γε Kuehn : δὲ **BPFD** **3** ἐν τῇ ποιήσει del. Diels | ἴδοι τις ἄν **D**, Stephanus : om. **BPF** **8** ὅσον **F** **10** οἰκ⟨τ⟩ιζομένου Apelt : οἰκιζομένου **BPFD** : ⟨ἀπ⟩οικιζομένου Bignone (1941) : αἰκιζομένου Cataudella (1960) : στασιάσαντος Gigante (1972) **11** καθόλω **B**^{1} (corr. **B**^{2}) **13** δ' **FDP**^{4} : τ' **BP**^{1} | ἀλλ' ὧδε **D**, Stephanus : ἄλλων δ' **BP**^{1}**F** : ἄλλως δ' **P**^{4} **16** ληκητὴς **BP**^{1}**F** : λιγητὴς **D** : κηλητὴς **P**^{4}, *Frob.* | ὅσσα **BP**^{1} | τόσσα διεῖλεν Apelt : τοσσάδε εἶλεν **B**^{2} (εἶλεν **B**^{1}) **PFD** : τοσσάδ' ἔειλεν Diels **17** ἀρχῶν Sturz : ἄρχων **BPFD**

Περὶ δὲ τοῦ θανάτου αὐτοῦ διάφορός ἐστι λόγος. Ἡρακλείδης μὲν γὰρ τὰ περὶ τῆς ἄπνου διηγησάμενος, ὡς ἐδοξάσθη Ἐμπεδοκλῆς ἀποστείλας τὴν νεκρὰν ἄνθρωπον ζῶσαν, φησὶν ὅτι θυσίαν συνετέλει πρὸς τῷ Πεισιάνακτος ἀγρῷ. Συνεκέκληντο δὲ τῶν φίλων τινές, ἐν οἷς καὶ
68 Παυσανίας. Εἶτα μετὰ τὴν εὐωχίαν οἱ μὲν ἄλλοι χωρισθέντες ἀνεπαύοντο, οἱ μὲν ὑπὸ τοῖς δένδροις ὡς ἀγροῦ παρακειμένου, οἱ δ' ὅπῃ βούλοιντο· αὐτὸς δ' ἔμεινεν ἐπὶ τοῦ τόπου ἐφ' οὗπερ κατεκέκλιτο. Ὡς δ' ἡμέρας γενηθείσης ἐξανέστησαν, οὐχ εὑρέθη μόνος. Ζητουμένου δὲ καὶ τῶν οἰκετῶν ἀνακρινομένων καὶ φασκόντων μὴ εἰδέναι, εἷς τις ἔφη μέσων νυκτῶν φωνῆς ὑπερμεγέθους ἀκοῦσαι προσκαλουμένης Ἐμπεδοκλέα, εἶτα ἐξαναστὰς ἑωρακέναι φῶς οὐράνιον καὶ λαμπάδων φέγγος, ἄλλο δὲ μηδέν· τῶν δὲ ἐπὶ τῷ γενομένῳ ἐκπλαγέντων, καταβὰς ὁ Παυσανίας ἔπεμψέ τινας ζητήσοντας. Ὕστερον δὲ ἐκώλυε πολυπραγμονεῖν, φάσκων εὐχῆς ἄξια συμβεβηκέναι καὶ θύειν αὐτῷ δεῖν καθαπερεὶ γεγονότι θεῷ.

69 Ἕρμιππος δέ φησι Πάνθειάν τινα Ἀκραγαντίνην ἀπηλπισμένην ὑπὸ τῶν ἰατρῶν θεραπεῦσαι αὐτὸν καὶ διὰ τοῦτο τὴν θυσίαν ἐπιτελεῖν· τοὺς δὲ κληθέντας εἶναι πρὸς τοὺς ὀγδοήκοντα. Ἱππόβοτος δέ φησιν ἐξαναστάντα αὐτὸν ὡδευκέναι ὡς ἐπὶ τὴν Αἴτνην, εἶτα παραγενόμενον ἐπὶ

1–18 Heraclidis Fr. 83 Wehrli **19–22** Hermippi Fr. 27 Wehrli; Heraclidis Fr. 85 Wehrli **22–p. 617.5** Hippoboti Fr. 16 Gigante; Eudociae *Violarium* 402

1 τοῦ om. **F** | αὐτοῦ hic **D**, *Frob.* : post ἐστιν **BPF** **2** ἡρακλήδης **B** **7** δένδρεσιν **φ** 31 **8** παρακειμένοις **F** **9** κατεκέκλιτο **D** : κατεκέκλητο **B**, κατεκέκλειτο **P**^{1}**Q** : κατακέκλιτο **FP**^{4} **10** εὑρέθη **BFDP**^{4}**φ** : ηὑρέθη **P**^{1} **12** μέσον νυκτὸς **F** | ὑπερμεγέθους post v. 13 ἐπακοῦσαι **F** **13** ἀκοῦσαι **BPφ** : ἐπακοῦσαι **FD** **16** ἐκώλυε Reiske : ἐκωλύθη **BPFD** : ἐκώλυσε Cobet, Richards **18** δεῖν **BP**^{1}**φ** : δεῖ **FDP**^{4} | γεγονότι om. **F** **19** πανθίαν **B** **23** ὀδευκέναι **F** | ἔτνην **B** | παραγενάμενον **B**

τοὺς κρατῆρας τοῦ πυρὸς ἐναλέσθαι καὶ ἀφανισθῆναι, βουλόμενον τὴν περὶ αὐτοῦ φήμην βεβαιῶσαι ὅτι γεγόνοι θεός, ὕστερον δὲ γνωσθῆναι, ἀναρριπισθείσης αὐτοῦ μιᾶς τῶν κρηπίδων· χαλκᾶς γὰρ εἴθιστο ὑποδεῖσθαι. Πρὸς τοῦτο ὁ Παυσανίας ἀντέλεγε.

Διόδωρος δὲ ὁ Ἐφέσιος περὶ Ἀναξαγόρου γράφων φη- **70**
σὶν ὅτι τοῦτον ἐζηλώκει, τραγικὸν ἀσκῶν τῦφον καὶ σεμνὴν ἀναλαβὼν ἐσθῆτα. Τοῖς δὲ Σελινουντίοις ἐμπεσόντος λοιμοῦ διὰ τὰς ἀπὸ τοῦ παρακειμένου ποταμοῦ δυσωδίας, ὥστε καὶ αὐτοὺς φθείρεσθαι καὶ τὰς γυναῖκας δυστοκεῖν, ⟨λύσιν⟩ ἐπινοῆσαι τὸν Ἐμπεδοκλέα καὶ δύο τινὰς ποταμοὺς τῶν σύνεγγυς ἐπαγαγεῖν ἰδίαις δαπάναις· καὶ καταμίξαντα γλυκῆναι τὰ ῥεύματα. Οὕτω δὴ λήξαντος τοῦ λοιμοῦ καὶ τῶν Σελινουντίων εὐωχουμένων ποτὲ παρὰ τῷ ποταμῷ, ἐπιφανῆναι τὸν Ἐμπεδοκλέα· τοὺς δ' ἐξαναστάντας προσκυνεῖν καὶ προσεύχεσθαι καθαπερεὶ θεῷ. Ταύτην οὖν θέλοντα βεβαιῶσαι τὴν διάληψιν εἰς τὸ πῦρ ἐναλέσθαι.

Τούτοις δ' ἐναντιοῦται Τίμαιος, ῥητῶς λέγων ὡς ἐξε- **71**
χώρησεν εἰς Πελοπόννησον καὶ τὸ σύνολον οὐκ ἐπανῆλθεν· ὅθεν αὐτοῦ καὶ τὴν τελευτὴν ἄδηλον εἶναι. Πρὸς δὲ

6–8 12 A 8 DK **8** Τοῖς – **18** Eudocia 402 **19–p. 618.12** Timaei F 6 (*FGrHist* 566) **21–p. 618.12** Heraclidis Frr. 84 et 115 Wehrli

2 αὐτοῦ Eudocia (p. 297.21 Flach) : αὑτοῦ **BPFD** | γεγόνοι **BD**$\mathbf{P^4}$: γεγόνοιν $\mathbf{P^1}$: γεγόνει **F** : ἐγεγόνει Eudocia **3** ἀναριπισθήσης **B** : ἀναρριφθείσης Kochalsky | αὐτῷ **F** **6** θεόδωρος **F** | Ἀναξαγόρου Gigante (*P.P.* 17 [1962] 379) ex 8.56 : ἀναξιμάνδρου **BPFD** | φησὶν om. **F** **8** δὲ **D**$\mathbf{P^4}$, *Frob.* : om. **B**$\mathbf{P^1}$**F** et Eudocia | σελινιοτίοις **F** **10** δυστοκεῖν om. **F** **11** λύσιν addidi **13** γλυκῆναι **BF** : γλυγύναι $\mathbf{P^1}$: γλυκάναι **ΦD**$\mathbf{P^4}$ et Eudocia | δὲ **F** **17** θέλων **F** | βεβαιῶσαι **B**$\mathbf{P^1}$ (cf. v. 2) : διαβεβαιῶσαι **FDΦ**$\mathbf{P^4}$ | ὑπόληψιν **Φ** **19** ἐναντιῶσαι **F**

τὸν Ἡρακλείδην καὶ ἐξ ὀνόματος ποιεῖται τὴν ἀντίρρησιν ἐν τῇ τετάρτῃ· Συρακούσιόν τε γὰρ εἶναι τὸν Πεισιάνακτα καὶ ἀγρὸν οὐκ ἔχειν ἐν Ἀκράγαντι· Παυσανίαν τε μνημεῖον ⟨ἂν⟩ πεποιηκέναι τοῦ φίλου, τοιούτου διαδοθέντος λόγου, ἢ ἀγαλμάτιόν τι ἢ σηκὸν οἷα θεοῦ· καὶ γὰρ πλούσιον εἶναι. "Πῶς οὖν," φησίν, "εἰς τοὺς κρατῆρας ἥλατο ὧν σύνεγγυς ὄντων οὐδὲ μνείαν ποτὲ ἐπεποίητο;
72 Τετελεύτηκεν οὖν ἐν Πελοποννήσῳ. Οὐδὲν δὲ παράδοξον τάφον αὐτοῦ μὴ φαίνεσθαι· μηδὲ γὰρ ἄλλων πολλῶν." Τοιαῦτά τινα εἰπὼν ὁ Τίμαιος ἐπιφέρει· "Ἀλλὰ διὰ παντός ἐστιν Ἡρακλείδης τοιοῦτος παραδοξολόγος, ⟨ὡς⟩ καὶ ἐκ τῆς σελήνης πεπτωκέναι ἄνθρωπον λέγειν."

Ἱππόβοτος δέ φησιν ὅτι ἀνδριὰς ἐγκεκαλυμμένος Ἐμπεδοκλέους ἔκειτο πρότερον μὲν ἐν Ἀκράγαντι, ὕστερον δὲ πρὸ τοῦ Ῥωμαίων βουλευτηρίου ἀκάλυφος, δηλονότι μεταθέντων αὐτὸν ἐκεῖ Ῥωμαίων· γραπταὶ μὲν γὰρ εἰκόνες ⟨αὐτοῦ⟩ καὶ νῦν περιφέρονται. Νεάνθης δ' ὁ Κυζικηνὸς ὁ καὶ περὶ τῶν Πυθαγορικῶν εἰπών φησι Μέτωνος τελευτήσαντος τυραννίδος ἀρχὴν ὑποφύεσθαι· εἶτα τὸν Ἐμπεδοκλέα πεῖσαι τοὺς Ἀκραγαντίνους παύσασθαι μὲν τῶν στάσεων, ἰσότητα δὲ πολιτικὴν ἀσκεῖν.

73 Ἔτι τε πολλὰς τῶν πολιτίδων ἀπροίκους ὑπαρχούσας

13–21 Hippoboti Fr. 17 Gigante **17–21** Neanthis F 28 (*FGrHist* 84) **19** τὸν Ἐμπεδοκλέα – **619.11** Eudocia 402 (p. 297.3 Flach). Cf. φ 31

1 ἠρακλήδην **B** **2** τετάρτῃ : ιδʹ Diels, agn. Wehrli : ιβʹ Jacoby | συρακούσιον **FDP**[4] : συρακόσιον **BP**[1] | γὰρ om. **F** | πισιάνακτα **B** **4** ἂν add. C. Mueller, Cobet **5** θεὸς **F** **6** φησὶν om. **F** | τὰς **F** **11** ὡς addidi **12** καὶ : κἂν Roeper[2] (51) : ὡς Diels | καὶ ⟨οὐκ ἂν ἁμάρτοις⟩ ἐκ Reiske | λέγειν scripsi : λέγων **BPFD** **15** ἀκάμφος **F** in textu (corr. **F**[2] γρ. in mg) **16** αὐτῶν **F** **17** εἰκόνες Sturz : εἰσί τινὲς **BPFD** | αὐτοῦ add. Cobet **18** ὁ καὶ – εἰπὼν om. **F**

αὐτὸν προικίσαι διὰ τὸν παρόντα πλοῦτον· διὸ δὴ πορφύραν τε ἀναλαβεῖν αὐτὸν καὶ στρόφιον ἐπιθέσθαι χρυσοῦν, ὡς Φαβωρῖνος ἐν Ἀπομνημονεύμασιν· ἔτι τε ἐμβάδας χαλκᾶς καὶ στέμμα Δελφικόν. Κόμη τε ἦν αὐτῷ βαθεῖα· καὶ παῖδες ἀκόλουθοι· καὶ αὐτὸς ἀεὶ σκυθρωπὸς ἐφ' ἑνὸς σχήματος ἦν. Τοιοῦτος δὴ προῄει, τῶν πολιτῶν ἐντυχόντων καὶ τοῦτο ἀξιωσάντων οἱονεὶ βασιλείας τινὸς παράσημον. Ὕστερον δὲ διά τινα πανήγυριν πορευόμενον ἐπ' ἁμάξης ὡς εἰς Μεσσήνην πεσεῖν καὶ τὸν μηρὸν κλάσαι· νοσήσαντα δ' ἐκ τούτου τελευτῆσαι ἐτῶν ἑπτὰ καὶ ἑβδομήκοντα. Εἶναι δ' αὐτοῦ καὶ τάφον ἐν Μεγάροις.

Περὶ δὲ τῶν ἐτῶν Ἀριστοτέλης διαφέρεται· φησὶ γὰρ 74
ἐκεῖνος ἑξήκοντα ἐτῶν αὐτὸν τελευτῆσαι· οἱ δὲ ἐννέα καὶ ἑκατόν. Ἤκμαζε δὲ κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα. Δημήτριος δ' ὁ Τροιζήνιος ἐν τῷ Κατὰ σοφιστῶν βιβλίῳ φησὶν αὐτὸν καθ' Ὅμηρον

ἁψάμενον βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο κρανείης
αὐχέν' ἀποκρεμάσαι, ψυχὴν δ' Ἀϊδόσδε κατελθεῖν.

1 διὸ δὴ – **8** Favorini Fr. 19 Mensching **12–14** Aristot. Fr. 71 Rose^{3} **13–14** cf. 8.58 **14–15** i.e. 444–440 **15–18** *PPF*, p. 224 Diels; *FHG* IV, 383 = *Suppl. Hell.* 374. Cf. *Odyss.* 11.277–278

1 δὴ **BPD** et Eudocia : καὶ **φ** : om. **F** **3** ὡς – ἀπομνημονεύμασιν om. **F** | φαβορεῖνος **B** | ἐν ἀπομνημονεύμασιν **BPD** : ἐν πρώτῳ τῶν ἀπομνημονευμάτων Eudocia, *Frob.* **4** ἐμβάδας Eudoc., *Frob.* (cf. 8.69 κρηπίδων) : ἐμβάτας **BPFD φ** | κόμοι **F** **6** ἦν σχήματος **F** | δὲ **F** | προῄει **PD** et **φ**, Eudoc. : προείη **BF** **7** τούτω **F^{2}** **9** ἐπ' ἁμάξης **B^{1}P** : ἐφ' ἁμάξης **B^{2}FDφ** et Eudocia | μεσήνην **FD** **10–11** ἑπτὰ καὶ ἑβδομήκοντα : θ' καὶ ρ' Eudocia (ex 8.74) **11** καί^{2} om. **F** **12** διαφέρεται om. **F** **12–13** γὰρ ἐκεῖνος et **13** αὐτὸν om. **F** **15** Δημήτριος Stephanus : δημόκριτος **BPFD** | τρυζήνιος **B** : προιζήνιος **F** **15** ἐν τῷ – **16** βιβλίω om. **F** **16** αὐτὸν om. **F** **17** βρόχων **F^{1}** (corr. **F^{2}**) | κρανείης **P^{2}Q D** : κρανίης **BP^{1}F** **18** δ' **DP^{4}** : om. **BP^{1}QF**

Ἐν δὲ τῷ προειρημένῳ Τηλαύγους ἐπιστολίῳ λέγεται αὐτὸν εἰς θάλατταν ὑπὸ γήρως ὀλισθόντα τελευτῆσαι. Καὶ ταῦτα μὲν περὶ τοῦ θανάτου καὶ τοσαῦτα.

Φέρεται δὲ καὶ ἡμῶν εἰς αὐτὸν ἐν τῇ Παμμέτρῳ σκωπτικὸν μέν, τοῦτον δ' ἔχον τὸν τρόπον·

75 Καὶ σύ ποτ', Ἐμπεδόκλεις, διερῇ φλογὶ σῶμα καθήρας
πῦρ ἀπὸ κρητήρων ἔκπιες ⟨ἀ⟩θάνατον·
οὐκ ἐρέω δ' ὅτι σαυτὸν ἑκὼν βάλες ἐς ῥόον Αἴτνης,
ἀλλὰ λαθεῖν ἐθέλων ἔμπεσες οὐκ ἐθέλων.

Καὶ ἄλλο·

Ναὶ μὴν Ἐμπεδοκλῆα θανεῖν λόγος ὥς ποτ' ἀμάξης
ἔκπεσε καὶ μηρὸν κλάσσατο δεξιτερόν·
εἰ δὲ πυρὸς κρατῆρας ἐσήλατο καὶ πίε τὸ ζῆν,
πῶς ἂν ἔτ' ἐν Μεγάροις δείκνυτο τοῦδε τάφος;

76 Ἐδόκει δ' αὐτῷ τάδε· στοιχεῖα μὲν εἶναι τέτταρα, πῦρ, ὕδωρ, γῆν, ἀέρα· Φιλίαν τε ᾗ συγκρίνεται καὶ Νεῖκος ᾧ διακρίνεται. Φησὶ δ' οὕτω·

1 cf. 8.53 et 55 **6–9** *Anth. Pal.* 7.123; *Plan.* **11–14** *Anth. Pal.* 7.124; *Plan.*

2 ὀλισθόντα **BP^{1}Q** : ὀλισθήσαντα **FDP^4** (ὀλισθήσοντα) | τελευτήσειν **P^4** **3** καὶ ταῦτα – τοσαῦτα om. **F** **4** καὶ om. **F** | σκοπτικὸν **BD** **5** δ' om. **P^1** (add. **P^4**) **6** διερεῖ **B** | καθήρας **BP^{1}D** et *Pal.* : κάθηρας **FP^4** **7** κρητήρων **DP^4** et *Pal.*$^{corr.}$, *Plan.* : κρατήρων **BP^{1}QF** : κρήνων *Pal.*^{1} | ἔκπιες **BPF** et *Plan.* : ἐξέπιες **D**, Cobet : ἔπιες *Pal.*^{1} | ⟨ἀ⟩θάνατον Meineke : θάνατον **BP^{1}QFD**, def. Cobet : ἀθανάτων *Pal.*, *Plan.*, **P^4** **9** μαθεῖν Mer. Casaubon **11** ἐμπεδοκλῆα **FD** et *Pal.* : ἐμπεδοκλέα **BP** | ποτ' ἀμάξης **B^{1}P^{1}Q** et *Pal.* : ποθ' ἁμάξης **B^{2}FDP^4** **12** κλάσατο **FD** **13** κρατῆρας **BPFD** : κρητῆρας *Pal.* | πίε τὸ *Frob.* ex *Pal.* : πίετο **BPFD** **15** δ' om. **F** **16** νίκος **B**

Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος ἠδ' Ἀϊδωνεὺς
Νῆστίς θ', ἣ δακρύοις τέγγει κρούνωμα βρότειον·

Δία μὲν τὸ πῦρ λέγων, Ἥρην δὲ τὴν γῆν, Ἀϊδωνέα δὲ τὸν ἀέρα, Νῆστιν δὲ τὸ ὕδωρ. "Καὶ ταῦτα," φησίν, "ἀλλάττοντα διαμπερὲς οὐδαμὰ λήγει," ὡς ἂν ἀϊδίου τῆς τοιαύτης διακοσμήσεως οὔσης· ἐπιφέρει γοῦν·

ἄλλοτε μὲν Φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα,
ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορεύμενα Νείκεος ἔχθει.

Καὶ τὸν μὲν ἥλιόν φησι πυρὸς ἄθροισμα μέγα καὶ τῆς **77**
σελήνης μείζω· τὴν δὲ σελήνην δισκοειδῆ, αὐτὸν δὲ τὸν οὐρανὸν κρυσταλλοειδῆ. Καὶ τὴν ψυχὴν παντοῖα εἴδη ζῴων καὶ φυτῶν ἐνδύεσθαι· φησὶ γοῦν·

Ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε
θάμνος τ' οἰωνός τε καὶ ἔξαλος ἔμπυρος ἰχθύς.

1–2 31 B 6.2–3 DK = Fr. 7 Wright. Cf. Aet. 1.3.20; S.E. *Adv. math.* 9.362; 10.315; Stob. 1.10.11; Hippol. *Ref.* 7.29.4; 10.7.3; Heracl. *Alleg.* 24; Athenag. *Leg.* 22; *Suda,* N 346 et al.; *PPF,* p. 108 **5–6** 31 B 17.6 DK = Fr. 8.6 Wright **8–9** 31 B 17.7–8 DK = Fr. 8.7–8 Wright **14–15** 31 B 117 DK = Fr. 34 Zuntz = Fr. 108 Wright. Cf. Athen. 8, 365 E; Clem. *Strom.* 6.24.3; Hippol. *Ref.* 1.3.2; *Anth. Pal.* 9.569.1–2 et al.

1 ἄρης **Φ** **2** τέγγει κρούνωμα Sturz e testibus : τεπι (τ' ἐπὶ **D**) κρούνωμα **BP^{1}QD** : τὲ πικροῖ ὄμμα **F**, ἐπιπικροῖ ὄμμα **P^{4}**, ἐκπικροῖ ὄμμα *Frob.* **5** ἀλλάττοντα Cobet e Simpl. (*In Phys.* p. 157.25 Diels) : ἀλλαττόμενα **BPFD** | δια τὸ ἀμπερὲς **F** | οὐδαμὰ Cobet (e Simpl.) : οὐδαμοῦ **BPFD** **8** συνεχόμεν' **B** **9** νίκεος **B** | ἔχθι **B**, ἔχθη **F** **11** δυσκοειδῆ **F^{1}**, (corr. **F^{2}**) **13** φησὶ γὰρ **F** **15** ἔξαλος **B** : ἐξ ἁλὸς **PFDΦ** | ἔμπυρος **BPΦ** et *Pal.* : ἔμπειρος **D** : ἄμπυρος **F** : ἔμπορος Hippol., Athen., def. Wilamowitz : ἔλλοπος Clem., Diels

Τὰ μὲν οὖν Περὶ φύσεως αὐτῷ καὶ οἱ Καθαρμοὶ εἰς ἔπη τείνουσι πεντακισχίλια, ὁ δὲ Ἰατρικὸς λόγος εἰς ἔπη ἑξακόσια. Περὶ δὲ τῶν τραγῳδιῶν προειρήκαμεν.

ΕΠΙΧΑΡΜΟΣ

78 Ἐπίχαρμος Ἡλοθαλοῦς Κῷος. Καὶ οὗτος ἤκουσε Πυθαγόρου. Τριμηνιαῖος δ᾽ ὑπάρχων ἀπηνέχθη τῆς Σικελίας εἰς Μέγαρα, ἐντεῦθεν δὲ εἰς Συρακούσας, ὥς φησι καὶ αὐτὸς ἐν τοῖς συγγράμμασι. Καὶ αὐτῷ ἐπὶ τοῦ ἀνδριάντος ἐπιγέγραπται τόδε·

Εἴ τι παραλλάσσει φαέθων μέγας ἅλιος ἄστρων
 καὶ πόντος ποταμῶν μείζον᾽ ἔχει δύναμιν,
φαμὶ τοσοῦτον ἐγὼ σοφίᾳ προέχειν Ἐπίχαρμον,
 ὃν πατρὶς ἐστεφάνωσ᾽ ἅδε Συρακοσίων.

Οὗτος ὑπομνήματα καταλέλοιπεν, ἐν οἷς φυσιολογεῖ, γνωμολογεῖ, ἰατρολογεῖ· καὶ παραστιχίδια γε ἐν τοῖς πλείστοις τῶν ὑπομνημάτων πεποίηκεν, οἷς διασαφεῖ ὅτι αὐτοῦ ἐστι τὰ συγγράμματα. Βιοὺς δὲ ἔτη ἐνενήκοντα κατέστρεψεν.

2–3 Lobonis Fr. 19 Croenert **3** cf. 8.58 **5–18** 23 A 3 DK **10–13** *Anth. Pal.* 7.125; *Plan.*

2 ὁ δὲ – **3** ἑξακόσια in mg **F**^{2} **4** *tit* **FDP**^{4} : om. **B**, sed v. 5 ἐπίχαρμος litt. uncialibus **5** ἡλοθάλλους **P**^{1}**Q** (corr. **P**^{4} γρ. in mg) **6** τριμηναῖος **F** **8** αὐτῶ **P** : αὐτὸ **BF** : αὑτοῦ **D** **11** ἔχῃ **B** **13** ἐστεφάνωσεν **B**^{1}**P**^{1}**Q**, corr. **B**^{2}**P**^{3}**W** | συρακοσίων **BP**^{4} : συρ(ρ)ακουσίων **P**^{1}**QFD** **15** παραστιχίδια **P**^{4}, *Frob.* : παραστιχίδα **BP**^{1}**FD** | γε om. **F**, del. **P**^{4} **17** ἑαυτοῦ Diels | τὰ συντάγματα **D** in mg

ΑΡΧΥΤΑΣ

Ἀρχύτας Μνησαγόρου Ταραντῖνος, ὡς δὲ Ἀριστό- 79
ξενος, Ἑστιαίου, Πυθαγορικὸς καὶ αὐτός. Οὗτός ἐστιν ὁ
Πλάτωνα ῥυσάμενος δι' ἐπιστολῆς παρὰ Διονυσίου
μέλλοντα ἀναιρεῖσθαι. Ἐθαυμάζετο δὲ καὶ παρὰ τοῖς
πολλοῖς ἐπὶ πάσῃ ἀρετῇ· καὶ δὴ ἑπτάκις τῶν πολιτῶν
ἐστρατήγησε, τῶν ἄλλων μὴ πλέον ἐνιαυτοῦ στρατηγούν-
των διὰ τὸ κωλύειν τὸν νόμον. Πρὸς τοῦτον καὶ Πλάτων
γέγραφεν ἐπιστολὰς δύο, ἐπειδήπερ αὐτῷ πρότερος γε-
γράφει τοῦτον τὸν τρόπον·

"Ἀρχύτας Πλάτωνι ὑγιαίνειν.

Καλῶς ποιεῖς ὅτι ἀνπέφευγας ἐκ τᾶς ἀρρωστίας· 80
ταῦτα γὰρ αὐτός τυ ἐπέσταλκας καὶ τοὶ περὶ Λαμίσκον
ἀπάγγελον. Περὶ δὲ τῶν ὑπομνημάτων ἐπεμελήθημες· καὶ
ἀνήλθομες ὡς Λευκανὼς καὶ ἐνετύχομες τοῖς Ὀκκέλω
ἐκγόνοις. Τὰ μὲν ὦν Περὶ νόμω καὶ Βασιληίας καὶ Ὁσιό-
τατος καὶ τᾶς τῶ παντὸς γενέσιος αὐτοί τε ἔχομες καὶ τὶν
ἀπεστάλκαμες· τὰ δὲ λοιπὰ οὔτοι νῦν γα δύναται εὑρεθή-

2–p. 625.12 47 A 1 DK **2-3** Aristoxeni Fr. 47 Wehrli **2–10** Eudociae *Violarium* 185 **8–9** cf. Plat. *Ep.* 9 et 12 **11–p. 624.14** ed. H. Thesleff, *Eranos* 60 (1962) 8–36. Cf. 48.4 DK **11–p. 624.1** Hercher, p. 132

1 *tit.* **FDP**^{4} : om. **B**, sed v. 2 ἀρχύτας litt. uncialibus **9** γεγράφει **P**^{1} : γέγραφε **BD** : ἔγραψε **FP**^{4} γρ. **12** ἀνπέφευγας **BP**^{1}**Q** : ἀποπέφευγας **FDP**^{4} | τᾶς **BP** : ταῖς **F**^{1} (τῆς **F**^{2}) | ἀρρωστείας **B** : ἀρρωστίαις **F**^{1} (corr. **F**^{2}) **13** τυ Cobet : σὺ **F** : τοι **BP** : om. **D** | καὶ τοὶ **D** : καίτοι **BPF** | Λαμίσκον Menagius ex 3.22 : λαμήσκον **D** : δαμίσκον **BP**, δαμισκὸν **F** **14** ἀπάγγελλον **P** **15** ὀκκέλω **BP** : ὀκέλλω **F** : ἐκέλλο **D** **16** νόμω **BP** : νόμων **FD** | βασιληίας **P**^{4}, βασιλήας **F**^{2}**D** : βασιλείας **BP**^{1}**Q** **17** τῶ παντὸς **B**^{2}**P**^{1}**QD** : τῶν πάντων **B**^{1}**FP**^{4} **17–18** καὶ τινὰ ἀπεστέλκαμες in mg super. **B**^{2} **17** τὶν Reiske : τινα **B**^{2}**PF** : τί **D** **18** οὔτοι **P** **D** : οὗτοι **B**, οὗτοι **F** | γα **BP**^{1} : γε **FP**^{4} : om. **D** | εὑρεθήμειν **BP**^{1}**F** : εὑρεθήμεναι **D**

μειν· αἱ δέ κα εὑρεθῇ, ἥξει τοι."

Ὧδε μὲν ὁ Ἀρχύτας· ὁ δὲ Πλάτων ἀντεπιστέλλει τοῦτον τὸν τρόπον·

"Πλάτων Ἀρχύτᾳ εὖ πράττειν.

81 Τὰ μὲν παρὰ σοῦ ἐλθόντα ὑπομνήματα θαυμαστῶς ⟨ὡς⟩ ἄσμενοί τε ἐλάβομεν καὶ τοῦ γράψαντος αὐτὰ ἠγάσθημεν ὡς ἔνι μάλιστα. Καὶ ἔδοξεν ἡμῖν ἀνὴρ ἄξιος ἐκείνων τῶν παλαιῶν προγόνων· λέγονται γὰρ δὴ οἱ ἄνδρες οὗτοι Μυραῖοι εἶναι. Οὗτοι δ' ἦσαν τῶν ἐπὶ Λαομέδοντος ἐξαναστάντων Τρώων, ἄνδρες ἀγαθοί, ὡς ὁ παραδεδομένος μῦθος δηλοῖ. Τὰ δὲ παρ' ἐμοὶ ὑπομνήματα, περὶ ὧν ἐπέστειλας, ἱκανῶς μὲν οὔπω ἔχει· ὡς δέ ποτε τυγχάνει ἔχοντα ἀπέσταλκά σοι. Περὶ δὲ τῆς φυλακῆς ἀμφότεροι συμφωνοῦμεν, ὥστε οὐδὲν δεῖ παρακελεύεσθαι. Ἔρρωσο."

Καὶ ὧδε μὲν πρὸς ἀλλήλους αὐτοῖς ἔχουσιν αἱ ἐπιστολαί.

82 Γεγόνασι δ' Ἀρχύται τέτταρες· πρῶτος αὐτὸς οὗτος, δεύτερος Μυτιληναῖος, μουσικός, τρίτος Περὶ γεωργίας συγγεγραφώς, τέταρτος ἐπιγραμματοποιός. Ἔνιοι καὶ πέμπτον, ἀρχιτέκτονά φασιν, οὗ φέρεται βιβλίον Περὶ μηχανῆς, ἀρχὴν ἔχον ταύτην· "Τάδε παρὰ Τεύκρου Καρ-

4–14 Plat. *Ep.* 12, 359 c 5–e 2

1 αἱ δέκα **BP¹D** : αἱ δ' αἶνα **F** | εὑρεθῇ ss. **P²** **4** post Ἀρχύτᾳ addit Ταραντίνῳ *Ep.* **6** ὡς ex *Ep.* add. Cobet | ἐλάβωμεν **B** **7** post ἡμῖν addit εἶναι *Ep.* | ἀνὴρ Cobet ex *Ep.* (ὁ ἀνὴρ) : ἀνὴρ **BPFD** **8** τῶν πάλαι *Ep.* | δὴ om. **F** **9** μυραῖοι **BP¹** : μοιραῖοι **FDP⁴** : μύριοι *Ep.* **10** τρώων **FD P²** : τρωΐων **BP¹** **11** ἐμοὶ **P** et *Ep.* : ἐμοῦ **BFD** **12** ἐπέσταλκας **P⁴** | ἱκανὰς **F** | τυγχάνοι **P¹** **14** ἔρρωσο om. *Ep.* | ἔρροσο **B** **16** αὐτοῖς om. **F** **19** μιτυληναῖος **BPF D**, corr. *Ambros.*, Cobet | μουσικὸς om. **F** **20** ἐπιγραμματικὸς **F** **22** παρὰ **P⁵**, *Frob.* : περὶ **BP¹FD** | χαρκιδονίου **B**, *Ambros.*

χηδονίου διήκουσα." Περὶ δὲ τοῦ μουσικοῦ φέρεται καὶ τόδε, ὡς ὀνειδιζόμενος ἐπὶ τῷ μὴ ἐξακούεσθαι εἴποι· "Τὸ γὰρ ὄργανον ὑπὲρ ἐμοῦ διαγωνιζόμενον λαλεῖ."

Τὸν δὲ Πυθαγορικὸν Ἀριστόξενός φησι μηδέποτε στρατηγοῦντα ἡττηθῆναι· φθονούμενον δ' ἅπαξ ἐκχωρῆσαι τῆς στρατηγίας, καὶ τοὺς αὐτίκα ληφθῆναι.

83 Οὗτος πρῶτος τὰ μηχανικὰ ταῖς μαθηματικαῖς προσχρησάμενος ἀρχαῖς μεθώδευσε καὶ πρῶτος κίνησιν ὀργανικὴν διαγράμματι γεωμετρικῷ προσήγαγε, διὰ τῆς τομῆς τοῦ ἡμικυλίνδρου δύο μέσας ἀνὰ λόγον λαβεῖν ζητῶν εἰς τὸν τοῦ κύβου διπλασιασμόν. Κἀν γεωμετρίᾳ πρῶτος κύβον εὗρεν, ὥς φησι Πλάτων ἐν Πολιτείᾳ.

ΑΛΚΜΑΙΩΝ

Ἀλκμαίων Κροτωνιάτης. Καὶ οὗτος Πυθαγόρου διήκουσε. Καὶ τὰ πλεῖστά γε ἰατρικὰ λέγει, ὅμως δὲ καὶ φυσιολογεῖ ἐνίοτε λέγων· "Δύο τὰ πολλά ἐστι τῶν ἀνθρωπίνων." Δοκεῖ δὲ πρῶτος φυσικὸν λόγον συγγεγραφέναι, καθά φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ. Καὶ τὴν σελήνην ⟨καὶ⟩ καθόλου ⟨τὰ ὑπὲρ⟩ ταύτην ἔχειν ἀΐδιον φύσιν.

4–6 Aristoxeni Fr. 48 Wehrli **12** cf. Plat. *Reip.* 7, 528 b (?); *Sisyph.* 388 c; 47 A 14 DK **14–p. 626.7** 24 A 1 DK **15** ἰατρικά : cf. J. Mansfeld, *Festschrift de Vogel* (1975) 26–38 **16** cf. Aristot. *Metaph.* A 5, 986 a 31 (= 24 A 3 DK) **17–18** Favorini Fr. 42 Mensching

1–2 καὶ τόδε om. **F** **2** τῷ **PD** : τὸ **BF** **6** λειφθῆναι **B**^{2}**P**^{1}**Q** **7** μαθηματικαῖς Kuehn : μηχανικαῖς **BPFD** **10** ἀνάλογον codd., corr. Meibom. **11** Κἀν Roeper^{2} (51), Cobet : καὶ **BPFD** | κύβην **F** **13** *tit.* **FDP**^{4} : om. **B**, sed v. 14 ἀλκμαίων litt. uncialibus **15** post γε add. τὰ **BP**^{1}**F** : om. **DP**^{4} | ἰατρικῶς **D** **18** φαβορεῖνος **B** | ἐν – ἱστορίᾳ om. **F** **19** καὶ addidi : τε post καθόλου add. Diels | τὰ ὑπὲρ add. Diels : καὶ τὸν ὑπὲρ σελήνην καθόλου ταύτην **D**

Ἦν δὲ Πειρίθου υἱός, ὡς αὐτὸς ἐναρχόμενος τοῦ συγγράμματός φησιν· "Ἀλκμαίων Κροτωνιήτης τάδε ἔλεξε Πειρίθου υἱὸς Βροτίνῳ καὶ Λέοντι καὶ Βαθύλλῳ· Περὶ τῶν ἀφανέων, περὶ τῶν θνητῶν σαφήνειαν μὲν θεοὶ ἔχοντι, ὡς δὲ ἀνθρώποις τεκμαίρεσθαι" καὶ τὰ ἑξῆς. Ἔφη δὲ καὶ τὴν ψυχὴν ἀθάνατον, καὶ κινεῖσθαι αὐτὴν συνεχὲς ὡς τὸν ἥλιον.

ΙΠΠΑΣΟΣ

84 Ἵππασος Μεταποντῖνος, καὶ αὐτὸς Πυθαγορικός. Ἔφη δὲ χρόνον ὡρισμένον εἶναι τῆς τοῦ κόσμου μεταβολῆς καὶ πεπερασμένον εἶναι τὸ πᾶν καὶ ἀεικίνητον.

Φησὶ δ' αὐτὸν Δημήτριος ἐν Ὁμωνύμοις μηδὲν καταλιπεῖν σύγγραμμα. Γεγόνασι δὲ Ἵππασοι δύο, οὗτός τε καὶ ἕτερος, γεγραφὼς ἐν πέντε βιβλίοις Λακώνων πολιτείαν· ἦν δὲ καὶ αὐτὸς Λάκων.

ΦΙΛΟΛΑΟΣ

Φιλόλαος Κροτωνιάτης, Πυθαγορικός. Παρὰ τούτου Πλάτων ὠνήσασθαι τὰ βιβλία τὰ Πυθαγορικὰ Δίωνι γράφει. Ἐτελεύτα δὲ νομισθεὶς ἐπιτίθεσθαι τυραννίδι. Καὶ ἡμῶν ἐστιν εἰς αὐτόν·

2–5 24 B 1 DK **9–15** 18 A 1 DK **12–15** Demetrii F 25 Mejer **17–p. 627.19** 44 A 1 DK **17–18** cf. p. 627.8–12 et DL 3.9 **19** ἐτελεύτα : immo Dio (Diels)

1 ὡς αὐτὸς – **2** φησιν in mg super. **F**[2] **3** βροτίνω **BP** : βροντίνω **FD** | φαθύλλω **F** **6** αὐτὴν om. **F** | συνεχὲς **B P** : συνεχῶς **F**, συνεχὸς **D** **8** *tit.* **FDP**[4] : om. **B**, sed v. 9 ἵππασος litt. uncialibus **9** ἔφη δὲ – **17** πυθαγορικός in mg infer. **F**[2] **16** *tit.* **DP**[4] : om. **F** et **B** (sed v. 17 φιλόλαος litt. uncialibus) **19** τυραννίδα **BD**

Τὴν ὑπόνοιαν πᾶσι μάλιστα λέγω θεραπεύειν·
εἰ γὰρ καὶ μὴ δρᾷς, ἀλλὰ δοκεῖς, ἀτυχεῖς.
Οὕτω καὶ Φιλόλαον ἀνεῖλε Κρότων ποτὲ πάτρη,
ὥς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν.

Δοκεῖ δ' αὐτῷ πάντα ἀνάγκῃ καὶ ἁρμονίᾳ γίνεσθαι. **85** Καὶ τὴν γῆν κινεῖσθαι κατὰ κύκλον πρῶτον εἰπεῖν· οἱ δὲ Ἱκέταν ⟨τὸν⟩ Συρακόσιόν φασιν.

Γέγραφε δὲ βιβλίον ἕν, ὅ φησιν Ἕρμιππος λέγειν τινὰ τῶν συγγραφέων Πλάτωνα τὸν φιλόσοφον παραγενόμενον εἰς Σικελίαν πρὸς Διονύσιον ὠνήσασθαι παρὰ τῶν συγγενῶν τοῦ Φιλολάου ἀργυρίου Ἀλεξανδρινῶν μνῶν τετταράκοντα καὶ ἐντεῦθεν μεταγεγραφέναι τὸν Τίμαιον. Ἕτεροι δὲ λέγουσι τὸν Πλάτωνα λαβεῖν αὐτά, παρὰ Διονυσίου παραιτησάμενον ἐκ τῆς φυλακῆς νεανίσκον ἀπηγμένον τῶν τοῦ Φιλολάου μαθητῶν.

Τοῦτόν φησι Δημήτριος ἐν Ὁμωνύμοις πρῶτον ἐκδοῦναι τῶν Πυθαγορικῶν ⟨τὰ⟩ Περὶ φύσεως, ὧν ἡ ἀρχὴ ἥδε· "Ἁ φύσις δ' ἐν τῷ κόσμῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων καὶ ὅλος ⟨ὁ⟩ κόσμος καὶ τὰ ἐν αὐτῷ πάντα."

1–4 *Anth. Pal.* 7.126; *Plan.*; *Suda*, Υ 553; Φ 384 **6–7** cf. 50.1 DK **8–12** Hermippi Fr. 40 Wehrli. Cf. Burkert, *Weisheit u. Wissenschaft*, 208 ss. **16–19** Demetrii F 26 Mejer **18–19** 44 B 1 DK

2 ἀτυχεῖς **B**^{2}**PF**^{1}**D** : ἀτυχεῖν **B**^{1}**F**^{2} et *Pal.*, *Suda* **3** φιλόλαλον *Pal.* **5** ⟨ἐ⟩δόκει Richards **7** τὸν add. Cobet | συρακόσιον **BP**^{1} : συρ(ρ)ακούσιον **FDP**^{4} **8** ἕν, ὃ **FDP**^{4} γρ. : ἐν ᾧ **BP**^{1}**Q** **11** ἀλεξανδρινῶν **BP**^{1} : ἀλεξανδρηνῶν **FDP**^{4} **12** γεγραφέναι **F** **13** δὲ om. **F** | λέγουσι **BPD** : φασὶ **F** **17** τὰ add. Reiske : βιβλία καὶ ἐπιγράψαι suppl. Diels | περὶ **FDP**^{4} : om. **BP**^{1} | ὧν **BPF** : οὗ **D** | ἡ ἀρχὴ **FDP**^{4} : ἀρχὴ **BP**^{1} **18** ἁ **D**, Diels : ᾱ **BP**^{1}**Q** : om. **FP**^{4} | τε **PF** : om. **BD** **19** ὁ add. Cobet

ΕΥΔΟΞΟΣ

86 Εὔδοξος Αἰσχίνου Κνίδιος, ἀστρολόγος, γεωμέτρης, ἰατρός, νομοθέτης. Οὗτος τὰ μὲν γεωμετρικὰ Ἀρχύτα διήκουσε, τὰ δὲ ἰατρικὰ Φιλιστίωνος τοῦ Σικελιώτου, καθὰ Καλλίμαχος ἐν τοῖς Πίναξί φησι. Σωτίων δ' ἐν ταῖς Διαδοχαῖς λέγει καὶ Πλάτωνος αὐτὸν ἀκοῦσαι. Γενόμενον γὰρ ἐτῶν τριῶν που καὶ εἴκοσι καὶ στενῶς διακείμενον, κατὰ κλέος τῶν Σωκρατικῶν εἰς Ἀθήνας ἀπᾶραι σὺν Θεομέδοντι τῷ ἰατρῷ, τρεφόμενον ὑπ' αὐτοῦ (οἱ δέ, καὶ παιδικὰ ὄντα) καὶ καταχθέντα δὴ εἰς τὸν Πειραιᾶ ὁσημέραι ἀνιέναι Ἀθήναζε καὶ ἀκούσαντα τῶν σοφιστῶν αὐτόθι ὑποστρέφειν.

87 Δύο δὴ μῆνας διατρίψαντα οἴκαδε ἐπανελθεῖν καὶ πρὸς τῶν φίλων ἐρανισθέντα εἰς Αἴγυπτον ἀπᾶραι μετὰ Χρυσίππου τοῦ ἰατροῦ, συστατικὰς φέροντα παρ' Ἀγησιλάου πρὸς Νεκτάναβιν· τὸν δὲ τοῖς ἱερεῦσιν αὐτὸν συστῆσαι. Καὶ τέτταρας μῆνας πρὸς ἐνιαυτῷ διατρίψαντα αὐτόθι ξυρόμενόν τε ἤβην καὶ ὀφρῦς τὴν Ὀκταετηρίδα κατά τινας συγγράψαι. Ἐντεῦθέν τε γενέσθαι ἐν Κυζίκῳ καὶ τῇ Προποντίδι σοφιστεύοντα· ἀλλὰ καὶ παρὰ Μαυσωλὸν ἀφικέσθαι.

2–p. 631.8 T 7 Lasserre (1966) **4** Φιλιστίωνος : Fr. 3 Wellmann (*Fragm. d. gr. Aerzte* 1) **5** Callimachi Fr. 429 Pfeiffer **5–9** αὐτοῦ : Sotionis Fr. 16 Werhli **18** ἤβην : cf. Fr. Lasserre, *L'Ant. Class.* 33 (1964) 484 s. | τὴν Ὀκταετηρίδα : F 130 Lasserre

1 *tit.* **D**$\mathbf{P^4}$: om. **F** et **B** (sed. v. 2 εὔδοξος litt. uncialibus) **4** φιλιστίου **F** **5** καθὰ *Frob.* : καὶ **BPFD** **10** καὶ **B**$\mathbf{P^1}$ **D** : om. **F**$\mathbf{P^4}$ | δὴ **BP** : δὲ **FD** | ὡσημέραι **F** **14** τὸν φίλον **B** **15** παρ' ἀγησιλάου **P** : παρὰ γησιλάου **BFD** **16** νεκτάναβιν **FD**$\mathbf{P^4}$: νέκταβιν **B**$\mathbf{P^1}$**Q** | συστῆσαι **BP** : συστῆναι **FD** **17** διατρίψαντα $\mathbf{P^2}$**QD** : διατρίψαντας **B**$\mathbf{P^1}$**F** **18** ἤβην **BPFD** : ὑπήνην Scaliger (mento iam *Ambros.*) | ὀφρῦς **D**, Stephanus : ὀφρὺν **BPF** **20** παρὰ **B**$\mathbf{P^1}$**D** : περὶ ss. $\mathbf{F^2}$: εἰς $\mathbf{P^4}$ | μαυσωλὸν **F**$\mathbf{P^4}$: μαύσωδον **B**$\mathbf{P^1}$**D**

Ἔπειθ᾽ οὕτως ἐπανελθεῖν Ἀθήναζε, πάνυ πολλοὺς περὶ ἑαυτὸν ἔχοντα μαθητάς, ὥς φασί τινες, ὑπὲρ τοῦ Πλάτωνα λυπῆσαι, ὅτι τὴν ἀρχὴν αὐτὸν παρεπέμψατο. Τινὲς δέ φασι καὶ συμπόσιον ἔχοντι τῷ Πλάτωνι αὐτὸν 88 τὴν ἡμικύκλιον κατάκλισιν, πολλῶν ὄντων, εἰσηγήσασθαι. Φησὶ δ᾽ αὐτὸν Νικόμαχος ὁ Ἀριστοτέλους τὴν ἡδονὴν λέγειν τὸ ἀγαθόν. Ἀπεδέχθη δὴ ἐν τῇ πατρίδι μεγαλοτίμως, ὡς τό γε περὶ αὐτοῦ ψήφισμα γενόμενον δηλοῖ. Ἀλλὰ καὶ παρὰ τοῖς Ἕλλησιν ἐπιφανέστατος ἐγένετο, γράψας τοῖς ἰδίοις πολίταις νόμους, ὥς φησιν Ἕρμιππος ἐν τετάρτῃ Περὶ τῶν ἑπτὰ σοφῶν, καὶ ἀστρολογούμενα καὶ γεωμετρούμενα καὶ ἕτερ᾽ ἄττα ἀξιόλογα.

Ἔσχε δὲ καὶ θυγατέρας τρεῖς, Ἀκτίδα, Δελφίδα, Φιλτίδα. Φησὶ δ᾽ αὐτὸν Ἐρατοσθένης ἐν τοῖς Πρὸς Βάτωνα 89 καὶ Κυνῶν διαλόγους συνθεῖναι· οἱ δέ, γεγραφέναι μὲν Αἰγυπτίους τῇ αὐτῶν φωνῇ, τοῦτον δὲ μεθερμηνεύσαντα ἐκδοῦναι τοῖς Ἕλλησι. Τούτου διήκουσε Χρύσιππος Κρίνεω Κνίδιος τά τε περὶ θεῶν καὶ κόσμου καὶ τῶν μετεωρολογουμένων, τὰ δὲ ἰατρικὰ παρὰ Φιλιστίωνος τοῦ Σικελιώτου. Κατέλιπε δὲ καὶ ὑπομνήματα κάλλιστα. Τούτου γέγονε παῖς Ἀρισταγόρας, οὗ Χρύσιππος Ἀεθλίου μαθητής, οὗ τὰ θεραπεύματα φέρεται ὁρατικά, τῶν φυσικῶν θεωρημάτων ὑπὸ τὴν διάνοιαν αὐτοῦ πεσόντων.

6–7 Aristot. *EN* A 5, 1101 b 27; A 12, 1172 b 9 **9** Ἀλλὰ – **12** Hermippi Fr. 16 Wehrli **14–15** Eratosthenis F 22 (*FGrHist* 241) **15** Κυνῶν διαλόγους : F 374 Lasserre. Cf. J. Gwyn Griffiths, *C.Q.* N.S. 15 (1965) 75–78

1 ἐπανελθὼν **F** **4** καὶ om. **F** **5** κατάκλεισιν **F** **8** γε **BP** : om. **FD** **11** ἐν τετάρτῃ om. **B** | τετάρτη **F**, δ′ **P**, δ$^{\omega}$ **D** | περὶ – σοφῶν in mg super. **F**[2] **12** καὶ – ἀξιόλογα in mg **F**[2] **13** δὲ ss. **F**[2] | δελφίδα : δεκτίδα **F** **16** τούτοις **F** **17** Κρίνεω Bergk (*Kl. Schr.* 2, 298), Croenert (*Kolotes,* 189) : ἐρίνεω **BPD** : ἐρίδεων **F** : ὁ Ἐρίνεω Cobet

90 Γεγόνασι δὲ Εὔδοξοι τρεῖς· αὐτὸς οὗτος, ἕτερος Ῥόδιος, ἱστορίας γεγραφώς, τρίτος Σικελιώτης, παῖς Ἀγαθοκλέους, ποιητὴς κωμῳδίας, νίκας ἑλὼν ἀστικὰς μὲν τρεῖς, Ληναϊκὰς δὲ πέντε, καθά φησιν Ἀπολλόδωρος ἐν Χρονικοῖς. Εὑρίσκομεν δὲ καὶ ἄλλον, ἰατρὸν Κνίδιον, περὶ οὗ φησιν Εὔδοξος ἐν Γῆς περιόδῳ ὡς εἴη παραγγέλλων ἀεὶ συνεχὲς κινεῖν τὰ ἄρθρα πάσῃ γυμνασίᾳ, ἀλλὰ καὶ τὰς αἰσθήσεις ὁμοίως.

Ὁ δ' αὐτός φησι τὸν Κνίδιον Εὔδοξον ἀκμάσαι κατὰ τὴν τρίτην καὶ ἑκατοστὴν Ὀλυμπιάδα, εὑρεῖν τε τὰ περὶ τὰς καμπύλας γραμμάς. Ἐτελεύτησε δὲ τρίτον ἄγων καὶ πεντηκοστὸν ἔτος. Ὅτε δὲ συνεγένετο ἐν Αἰγύπτῳ Χονούφι τῷ Ἡλιουπολίτῃ, ὁ Ἆπις αὐτοῦ θοἰμάτιον περιελιχμήσατο. Ἔνδοξον οὖν αὐτὸν ἀλλ' ὀλιγοχρόνιον ἔφασαν οἱ ἱερεῖς ἔσεσθαι, καθά φησι Φαβωρῖνος ἐν Ἀπομνημονεύμασιν.

91 Ἔστι δὲ καὶ ἡμῶν εἰς αὐτὸν οὕτως ἔχον·

Ἐν Μέμφει λόγος ἐστὶν προμαθεῖν τὴν ἰδίην
Εὔδοξόν ποτε μοίρην παρὰ τοῦ καλλικέρω

1 ἕτερος : Eudoxi T 1 (*FGrHist* 79) **2** τρίτος : Eudoxi T 1 (*PCG* V) **4** Apollodori F 48 (*FGrHist* 244) **5–8** F 339 Lasserre **9–12** Apollodori F 76 **10** i.e. 368–364 **12** Ὅτε δὲ – **15** Favorini Fr. 20 Mensching **12–15** **Φ** 65 **18–p. 631.6** *Anth. Pal.* 7.744; *Plan.* cum textu differente

3 ἑλὼν **P**[4], *Frob.* ἔχων **BP**[1]**QFD** **4** καθά – χρονικοῖς om. **F** **6** γῆς om. **F** **7** συνεχῶς **P**[4], *Frob.* **11** γραμμὰς **PFD** : δραχμὰς **B** et **D** in mg **11** τρίτον – **12** ἔτος **BPD** : ἐτῶν νγʹ **F** **12** ὅτε δὲ – **13** περιελιχμήσατο om. **B** spatio trium versuum relicto **12–13** Χονούφι τῷ Lasserre : ἰχόνου φιτῶ **PF** : ἰχόνου φΰτῶ **D** : Χονούφι⟨δι⟩ τῷ Menagius **13** ἐλιχμήσατο **Φ** (ex p. 631.3) **14** ἔνδοξον οὖν αὐτὸν καὶ **B**[2] in lac. | ἀλλ' **PFDΦ** : καὶ **B**[2] | ἔφασκον **B** **15** ἔσεσθαι om. **F** | φαβορεῖνος **B** | ἐν ἀπομνημονεύμασιν om. **F** **18** μέμφειδι **D** | ἐστὶν Cobet : ἐστὶ **BPFD** et *Pal.* | ἰδίαν **D** **19** μοίρην Lasserre ex *Pal.* : μοῖραν **BPF**[2] (ss.) et **D**

ταύρου. Κοὐδὲν ἔλεξεν· βοῒ γὰρ πόθεν λόγος;
Φύσις οὐ δῶκέ ⟨γε⟩ μόσχῳ λάλον Ἄπιδι στόμα.
Παρὰ δ' αὐτὸν λέχριος στὰς ἐλιχμήσατο στολήν,
προφανῶς τοῦτο διδάσκων· "Ἀποδύσῃ βιοτὴν
ὅσον οὔπω." Διὸ καί οἱ ταχέως ἦλθε μόρος,
δεκάκις πέντ' ἔτι τρεῖς ἐσιδόντι Πλειάδας.

Τοῦτον ἀντὶ Εὐδόξου Ἔνδοξον ἐκάλουν διὰ τὴν λαμπρότητα τῆς φήμης.

1 ἔλεξεν **BP¹F** : ἔλεξε **DP²Q** 2 οὐ δῶκέ ⟨γε⟩ scripsi : οὐκ ἔδωκε **BPFD** : οὐ πόρε *Pal.* 3 ἐλιμήσατο **F** 4 βιωτὴν **F¹** (corr. **F²**) 6 πέντ' ἔτι τρεῖς Korsch : πέντε ἐπὶ καὶ τρεῖς **BP¹QD** : πέντε ἐπὶ τρεῖς **FP⁴** : πέντε καὶ τρεῖς *Pal.* : πέντ' ἠδὲ τρεῖς *Plan.* : πέντε τε καὶ τρεῖς Boissonade : πέντ' ἐπὶ τρισσαῖς Porson | ἐσιδόντι **D** et *Plan.* : εἰσιδόντι **BPF** : εἰσιδόντα *Pal.* | πλειάδας **PF** : παῖδας **BD** et *Pal.* : ἠελίους *Plan.* 7 ἔνδοξον ss. **B²** 8 post τῆς φήμης *subscriptio* λαερτίου διογένους φιλοσόφων βίων καὶ δογμάτων συναγωγῆς τῶν εἰς ιη' η' πυθαγορικοί **B** : η' **P¹Q** : λαερτίου διογένους τῶν εἰς δέκα τὸ ὄγδοον **D**

Θ

8.91 Ἐπειδὴ ⟨δὲ⟩ περὶ τῶν ἐλλογίμων Πυθαγορικῶν διεληλύθαμεν, νῦν ἤδη περὶ τῶν σποράδην, ὥς φασι, διαλεχθῶμεν. Λεκτέον δὲ πρῶτον περὶ Ἡρακλείτου.

ΗΡΑΚΛΕΙΤΟΣ

9.1 Ἡράκλειτος Βλόσωνος ἤ, ὥς τινες, Ἡράκωντος, Ἐφέσιος. Οὗτος ἤκμαζε μὲν κατὰ τὴν ἐνάτην καὶ ἑξηκοστὴν Ὀλυμπιάδα. Μεγαλόφρων δὲ γέγονε παρ' ὁντιναοῦν καὶ ὑπερόπτης, ὡς καὶ ἐκ τοῦ συγγράμματος αὐτοῦ δῆλον, ἐν ᾧ φησι· "Πολυμαθίη νόον οὐ διδάσκει· Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην, αὖτίς τε Ξενοφάνεά τε καὶ Ἑκαταῖον." Εἶναι γὰρ "Ἓν τὸ σοφόν· ἐπίστασθαι γνώμην, ὁτέη ⟨ἐ⟩κυβέρνησε πάντα διὰ πάντων." Τόν τε Ὅμηρον

1 de l. 9 cf. F. Decleva Caizzi, *ANRW* 36.6 (1992) 4218–4240 **5–643.3** 22 A 1 DK. Cf. C. Deichgraeber, *Philol.* 93 (1938) 12–30; S.N. Mouraviev, *Phronesis* 32 (1987) 1–33 **6–7** i.e. 504–500. Cf. Apollodori F 340a (*FGrHist* 244) **9–10** Heracliti B 40 DK = Fr. 16 Marc. **11** Εἶναι γὰρ – **12** Heracliti B 41 DK = Fr. 85 M. **12** Τόν τε – **p. 633.2** Heracliti B 42 DK = Fr. 30 M.

inscriptio Θ bis **P**^{1} : λαερτίου διογένους τῶν εἰς ι′ τὸ θ′ **F DP**^{4} **1** δὲ **W**^{2} in mg, *Frob.* **4** *tit.* ἡράκλειτος **Q**, add. ὁ σκοτεινός **DP**^{4} : om. **FB** (sed v. 5 ἡράκλειτος litt. uncialibus **B**) **5** βλόσωνος **BP**^{1} et *Suda* (Η 472) : βλύσωνος **FDP**^{4} et Aet. 1.5.5 | ὅς τινες **B** | Ἡράκωντος Keil (*Anal. epigr.*, 231) : ἡρακίωντος **BP**^{1}**Q** : ἡρακίοντος **FDP**^{4} **6** ἐννάτην **B**^{1} **9** πολυμαθίη **BP**^{4} et *Schol.* in Plat. *Theaet.* 179 e : πολυμαθία **P**^{1} : πολυμαθείη **P**^{2}**QD** : πολυμαθῆ **F** et Athen. 13, 610 B; Clem. *Strom.* 1.93.1 | post νόον addunt ἔχειν Athen. et Clem. **10** αὖθις **F** | τε^1 **BP** : δὲ **FD** | τε^2 om. **F** **12** ὁτέη ⟨ἐ⟩κυβέρνησε Diels : ὅτε ἡ κυβερνησαι **B**^{1} (ῆ et -νῆσαι **B**^{2}) : ὁτέη κυβερνῆσαι **P**^{1}**Q** : ὅτ' ἐνκυβερνῆσαι **FP**^{4} : ἥ τέ οἱ κῦβερνήσει **D** : [ὅτε] ᾗ κυβερνᾶται Bywater : ὁτέῃ κυβερνᾷ Snell : ὁτέῃ κυβερνᾶται Deichgraeber : ὅτεο κυβερνῆσαι W. Broecker (*Gnom.* 30 [1958] 438) : ὅπῃ κυβερνᾶται Gigon | τε **DP**^{4} : γε **BP**^{1}**QF**

Θ

8.91 Ἐπειδὴ ⟨δὲ⟩ περὶ τῶν ἐλλογίμων Πυθαγορικῶν διεληλύθαμεν, νῦν ἤδη περὶ τῶν σποράδην, ὥς φασι, διαλεχθῶμεν. Λεκτέον δὲ πρῶτον περὶ Ἡρακλείτου.

ΗΡΑΚΛΕΙΤΟΣ

9.1 Ἡράκλειτος Βλόσωνος ἤ, ὥς τινες, Ἡράκωντος, Ἐφέσιος. Οὗτος ἤκμαζε μὲν κατὰ τὴν ἐνάτην καὶ ἑξηκοστὴν Ὀλυμπιάδα. Μεγαλόφρων δὲ γέγονε παρ' ὀντιναοῦν καὶ ὑπερόπτης, ὡς καὶ ἐκ τοῦ συγγράμματος αὐτοῦ δῆλον, ἐν ᾧ φησι· "Πολυμαθίη νόον οὐ διδάσκει· Ἡσίοδον γὰρ ἂν ἐδίδαξε καὶ Πυθαγόρην, αὖτίς τε Ξενοφάνεά τε καὶ Ἑκαταῖον." Εἶναι γὰρ "Ἓν τὸ σοφόν· ἐπίστασθαι γνώμην, ὁτέη ⟨ἐ⟩κυβέρνησε πάντα διὰ πάντων." Τόν τε Ὅμηρον

1 de l. 9 cf. F. Decleva Caizzi, *ANRW* 36.6 (1992) 4218–4240 **5–643.3** 22 A 1 DK. Cf. C. Deichgraeber, *Philol.* 93 (1938) 12–30; S.N. Mouraviev, *Phronesis* 32 (1987) 1–33 **6–7** i.e. 504–500. Cf. Apollodori F 340a (*FGrHist* 244) **9–10** Heracliti B 40 DK = Fr. 16 Marc. **11** Εἶναι γὰρ – **12** Heracliti B 41 DK = Fr. 85 M. **12** Τόν τε – **p. 633.2** Heracliti B 42 DK = Fr. 30 M.

inscriptio Θ bis **P**^{1} : λαερτίου διογένους τῶν εἰς ι´ τὸ θ´ **FDP**^{4} **1** δὲ **W**^{2} in mg, *Frob.* **4** *tit.* ἡράκλειτος **Q**, add. ὁ σκοτεινός **DP**^{4} : om. **FB** (sed v. 5 ἡράκλειτος litt. uncialibus **B**) **5** βλόσωνος **BP**^{1} et *Suda* (H 472) : βλύσωνος **FDP**^{4} et Aet. 1.5.5 | ὅς τινες **B** | Ἡράκωντος Keil (*Anal. epigr.*, 231) : ἡρακίωντος **BP**^{1}**Q** : ἡρακίοντος **FDP**^{4} **6** ἐννάτην **B**^{1} **9** πολυμαθίη **BP**^{4} et *Schol.* in Plat. *Theaet.* 179 e : πολυμαθία **P**^{1} : πολυμαθείη **P**^{2}**QD** : πολυμαθῆ **F** et Athen. 13, 610 B; Clem. *Strom.* 1.93.1 | post νόον addunt ἔχειν Athen. et Clem. **10** αὖθις **F** | τε^1 **BP** : δὲ **FD** | τε^2 om. **F** **12** ὁτέη ⟨ἐ⟩κυβέρνησε Diels : ὅτε ἡ κυβερνησαι **B**^{1} (ῆ et -νῆσαι **B**^{2}) : ὁτέη κυβερνῆσαι **P**^{1}**Q** : ὅτ' ἐνκυβερνῆσαι **FP**^{4} : ἥ τέ οἱ κϋβερνήσει **D** : [ὅτε] ᾗ κυβερνᾶται Bywater : ὁτέῃ κυβερνᾷ Snell : ὁτέῃ κυβερνᾶται Deichgraeber : ὅτεο κυβερνῆσαι W. Broecker (*Gnom.* 30 [1958] 438) : ὅπῃ κυβερνᾶται Gigon | τε **DP**^{4} : γε **BP**^{1}**QF**

ἔφασκεν ἄξιον ἐκ τῶν ἀγώνων ἐκβάλλεσθαι καὶ ῥαπίζεσ-
θαι, καὶ Ἀρχίλοχον ὁμοίως.
Ἔλεγε δὲ καὶ "Ὕβριν χρὴ σβεννύναι μᾶλλον ἢ πυρ- 2
καϊήν", καί· "Μάχεσθαι χρὴ τὸν δῆμον ὑπὲρ τοῦ νόμου
[ὑπὲρ τοῦ γινομένου] ὅκωσπερ τείχεος." Καθάπτεται δὲ
καὶ τῶν Ἐφεσίων ἐπὶ τῷ τὸν ἑταῖρον ἐκβαλεῖν Ἑρμόδω-
ρον, ἐν οἷς φησιν· ""Ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀποθανεῖν
πᾶσι καὶ τοῖς ἀνήβοις τὴν πόλιν καταλιπεῖν, οἵτινες Ἑρ-
μόδωρον ἑωυτῶν ὀνήϊστον ἐξέβαλον λέγοντες· Ἡμέων
μηδὲ εἷς ὀνήϊστος ἔστω· εἰ δέ τις τοιοῦτος, ἄλλῃ τε καὶ
μετ' ἄλλων." Ἀξιούμενος δὲ καὶ νόμους θεῖναι πρὸς αὐ-
τῶν ὑπερεῖδε διὰ τὸ ἤδη κεκρατῆσθαι τῇ πονηρᾷ πολιτείᾳ
τὴν πόλιν. Ἀναχωρήσας δὲ εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος 3
μετὰ τῶν παίδων ἠστραγάλιζε· περιστάντων δ' αὐτὸν
τῶν Ἐφεσίων, "Τί, ὦ κάκιστοι, θαυμάζετε;" εἶπεν· "ἢ οὐ
κρεῖττον τοῦτο ποιεῖν ἢ μεθ' ὑμῶν πολιτεύεσθαι;"

3–4 Heracliti B 43 DK = Fr. 102 M. **4** Μάχεσθαι – **5** Heracliti B 44 DK = Fr. 103 M. **7** Ἄξιον – **11** Heracliti B 121 DK = Fr. 105 M. Cf. Strab. 14.1.25 (642 C.) **13–p. 634.8** **Φ** 66 **13–14** cf. Heracliti B 52 DK = Fr. 93 M.

3 σβεννύναι **BP^{1}QD** : σβεννύην **F**, σβεννύεν **P^4** | πυρκαιὴν **PF** : πυρκαιὰν **BD** **5** ὑπὲρ τοῦ γινομένου **BP^{1}FD** : del. **P^{2}Q** et *Frob.* | ὅκωσπερ Meineke (*Delect.*, 173) : ὅκως ὑπὲρ **BPFD** **6** καὶ ἐπὶ τῶν **F** | τῷ om. **F** | ἕτερον **B** **7** ἀποθανεῖν : ἀπάγξασθαι Long e Strabone et aliis testibus **8** post Ἑρμόδωρον addit e Strabone ἄνδρα Long **9** ἑωυτῶν ὀνήιστον **P^4** : ἑωυτωνον ἤϊστον **BP^{1}Q** : ἑωυτὸν ὀνηιστὸν **F** : ἑωϋτῶν ἤϊστον **D** | λέγοντες : φάντες Strabo **10** μηδὲ εἷς ὀνηϊστὸς **FP^4** et Strabo : μηδὲ ἶσον ἤϊστος **B D** : μηδεὶς ἀνήιστος **P^{1}Q** | εἰ δέ τις τοιοῦτος **BPFD** et Cic. *Tusc.* 5.105 (sin quis extiterit) : εἰ δὲ μή Strabo | ἄλλῃ **D** et Strabo : ἄλλοι **BPF** **11** αὐτὸν **F** **12** κεκρατεῖσθαι **B** **14** ἠστραγάδιζε(ν) **BD** | αὐτῶν **F** **15** εἶπεν **BP^{1}QΦ** : ἔφη **FDP^4** γρ. **16** ἡμῶν **BD**

Καὶ τέλος μισανθρωπήσας καὶ ἐκπατήσας ἐν τοῖς ὄρεσι διῃτᾶτο, πόας σιτούμενος καὶ βοτάνας. Καὶ μέντοι καὶ διὰ τοῦτο περιτραπεὶς εἰς ὕδερον κατῆλθεν εἰς ἄστυ καὶ τῶν ἰατρῶν αἰνιγματωδῶς ἐπυνθάνετο εἰ δύναιντο ἐξ ἐπομβρίας αὐχμὸν ποιῆσαι· τῶν δὲ μὴ συνιέντων, αὑτὸν εἰς βούστασιν κατορύξας τῇ τῶν βολίτων ἀλέᾳ ἤλπισεν ἐξατμισθήσεσθαι. Οὐδὲν δὲ ἀνύων οὐδ᾽ οὕτως, ἐτελεύτα βιοὺς ἔτη ἑξήκοντα. Καὶ ἔστιν εἰς αὐτὸν ἡμῶν οὕτως ἔχον·

4 Πολλάκις Ἡράκλειτον ἐθαύμασα, πῶς ποτε τὸ ζῆν
ὧδε διαντλήσας δύσμορος εἶτ᾽ ἔθανεν·
σῶμα γὰρ ἀρδεύσασα κακὴ νόσος ὕδατι φέγγος
ἔσβεσεν ἐν βλεφάροις καὶ σκότον ἠγάγετο.

Ἕρμιππος δέ φησι λέγειν αὐτὸν τοῖς ἰατροῖς εἴ τις δύναται ⟨τὰ⟩ ἔντερα ταπεινώσας ⟨τὸ⟩ ὑγρὸν ἐξερᾶσαι· ἀπειπόντων δέ, θεῖναι αὐτὸν εἰς τὸν ἥλιον καὶ κελεύειν τοὺς παῖδας βολίτοις καταπλάττειν· οὕτω δὴ κατατεινόμενον δευτεραῖον τελευτῆσαι καὶ θαφθῆναι ἐν τῇ ἀγορᾷ. Νεάν-

6 βούστασιν : cf. R. Muth, *Anzeiger f.d. Altertumswiss.* 7 (1954) 250–253; 8 (1955) 251–252 **10–13** *Anth. Pal.* 7.127; *Plan.*; **φ** 34 **14–18** Hermippi Fr. 29 Wehrli; **φ** 34 **18–p. 635.3** Neanthis F 25 (*FGrHist* 84)

3 καὶ om. **F** **4** δύνανται **B**^{1} (corr. **B**^{2}) **5** αὑτὸν **BP** : ἑαυτὸν **Φ** : αὐτὸν **F** : αὐτὸς **D** **6** βουστάσιον **Φ** | κατωρύξας **BF** | βολίτων **PD** : βουλίτων **F** : βολβίτων **B** **Φ** | ἤλπιζεν **Φ** **7** ἐξατμησθήσεσθαι **B** : ἐξατμίζεσθαι **F** **P**^{4} **11** ὧδε om. **F** | ἔθανεν **B**^{1}**P** : ἔθανε **B**^{2}**FD** et *Pal.*^{1} **12** ἀρδεύουσα *Pal.* | νόσω **F** **13** ἐκ βλεφάρων *Pal.* | σκότος **Dφ** **14** δύναται **B**^{2}**PF** : δύναιτο **Dφ** **15** τὰ add. Cobet | ταπεινώσας **BPFDφ** (ταπεινῶσαι) : πιέσας Cobet : κεινώσας Diels | τὸ add. Cobet | ἐξερᾶσαι **BPF** : ἐξᾶραι **D** : ἐξερῦσαι **φ** **16** ἑαυτὸν **φ** : αὐτὸν **BPFD** **17** βολίτοις **PF**^{1}**D** : βολβίτοις **BF**^{2}**φ** **18** θαφθῆναι **BP**^{1}**Q** : ταφῆναι **FDP**^{4}

θης δ' ὁ Κυζικηνός φησι μὴ δυνηθέντα αὐτὸν ἀποσπάσαι τὰ βόλιτα μεῖναι καὶ διὰ τὴν μεταβολὴν ἀγνοηθέντα κυνόβρωτον γενέσθαι.

Γέγονε δὲ θαυμάσιος ἐκ παίδων, ὅτε καὶ νέος ὢν ἔφασκε **5** μηδὲν εἰδέναι, τέλειος μέντοι γενόμενος πάντα ἐγνωκέναι. Ἤκουσέ τε οὐδενός, ἀλλ' αὐτὸν ἔφη διζήσασθαι καὶ μαθεῖν πάντα παρ' ἑαυτοῦ. Σωτίων δέ φησιν εἰρηκέναι τινὰς Ξενοφάνους αὐτὸν ἀκηκοέναι· λέγειν τε Ἀρίστωνα ἐν τῷ Περὶ Ἡρακλείτου καὶ τὸν ὕδερον αὐτὸν θεραπευθῆναι, ἀποθανεῖν δὲ ἄλλῃ νόσῳ. Τοῦτο δὲ καὶ Ἱππόβοτός φησι.

Τὸ δὲ φερόμενον αὐτοῦ βιβλίον ἐστὶ μὲν ἀπὸ τοῦ συνέχοντος Περὶ φύσεως, διῄρηται δὲ εἰς τρεῖς λόγους, εἴς τε τὸν περὶ τοῦ παντὸς καὶ πολιτικὸν καὶ θεολογικόν. Ἀνέθηκε **6** δὲ αὐτὸ εἰς τὸ τῆς Ἀρτέμιδος ἱερόν, ὡς μέν τινες, ἐπιτηδεύσας ἀσαφέστερον γράψαι, ὅπως οἱ δυνάμενοι ⟨μόνοι⟩ προσίοιεν αὐτῷ καὶ μὴ ἐκ τοῦ δημώδους εὐκαταφρόνητον ᾖ. Τοῦτον δὲ καὶ ὁ Τίμων ὑπογράφει λέγων·

Τοῖς δ' ἔνι κοκκυστής, ὀχλολοίδορος Ἡράκλειτος,
αἰνικτὴς ἀνόρουσε.

4–5 *Gnom. Vat.* 310 **6** Heracliti B 101 DK = Fr. 15 M. : ἐδιζησάμην ἐμεωυτόν **7–11** Sotionis Fr. 30 Wehrli; Aristonis Fr. 28 Wehrli; Hippoboti Fr. 20 Gigante **19–20** Timonis B 43 Diels = *Suppl. Hell.* 817

2 βόλιτα **PFD** : βόλβιτα **Bφ** **4** ὅτε καὶ νέος ὢν in mg infer. **F**^{2} | post ἔφασκε add. δὲ **F** **5** εἰδέναι **D**, *Ambros.* : εἶναι **BPF** **6** αὐτὸν Stephanus : αὐτὸν **BPFD** : αὐτὸς *Suda* | διζήσασθαι Casaubon : διζήσεσθαι **B**^{1}**PF** : διαζήσεσθαι **B**^{2}**D** : δίζησθαι **φ** **7** ἑωϋτοῦ **D** | δ' ἔφησεν **F** **8** τινὰς **BPD** : αὐτὸν **F** **10** ἱππόβωτος **F** **14** τὸν πολιτικὸν **F** **15** αὐτὸν εἰς τὸν **F** **17** μόνοι add. Richards **19** δ' ἔνι κοκκυστὴς **P** : δὲ νικοκκυστὴς **F** : δὲ νικοκνύστης **B**, δὲ νικοκνίστοις **D** : δὲ κηκαστὴς Roeper^{1} : δ' ἐπικοκκαστὴς Nauck | ὀχλοδοίδωρος **B**^{1}, corr. **B**^{2} **20** ὀνόρουσε **B**^{2}

Θεόφραστος δέ φησιν ὑπὸ μελαγχολίας τὰ μὲν ἡμιτελῆ, τὰ δὲ ἄλλοτε ἄλλως ἔχοντα γράψαι. Σημεῖον δ' αὐτοῦ τῆς μεγαλοφροσύνης Ἀντισθένης φησὶν ἐν Διαδοχαῖς ⟨τὸ⟩ ἐκχωρῆσαι [γὰρ] τἀδελφῷ τῆς βασιλείας. Τοσαύτην δὲ δόξαν ἔσχε τὸ σύγγραμμα, ὡς καὶ αἱρετιστὰς ἀπ' αὐτοῦ γενέσθαι τοὺς κληθέντας Ἡρακλειτείους.

7 Ἐδόκει δὲ αὐτῷ καθολικῶς μὲν τάδε· ἐκ πυρὸς τὰ πάντα συνεστάναι καὶ εἰς τοῦτο ἀναλύεσθαι· πάντα δὲ γίνεσθαι καθ' εἱμαρμένην καὶ διὰ τῆς ἐναντιοτροπῆς ἡρμόσθαι τὰ ὄντα· καὶ πάντα ψυχῶν εἶναι καὶ δαιμόνων πλήρη. Εἴρηκε δὲ καὶ περὶ τῶν ἐν κόσμῳ συνισταμένων πάντων παθῶν, ὅτι τε ὁ ἥλιός ἐστι τὸ μέγεθος οἷος φαίνεται. Λέγει δὲ καί· "Ψυχῆς πείρατα ἰὼν οὐκ ἂν ἐξεύροιο, πᾶσαν ἐπιπορευόμενος ὁδόν· οὕτω βαθὺν λόγον ἔχει." Τήν τε οἴησιν ἱερὰν νόσον ἔλεγε καὶ τὴν ὅρασιν ψεύδεσθαι. Λαμπρῶς τε ἐνίοτε ἐν τῷ συγγράμματι καὶ σαφῶς ἐκβάλλει, ὥστε καὶ τὸν νωθέστατον ῥᾳδίως γνῶναι καὶ δίαρμα ψυχῆς λαβεῖν· ἡ δὲ βραχύτης καὶ τὸ βάρος τῆς ἑρμηνείας ἀσύγκριτον.

1–2 Theophrasti F 233 Fortenbaugh **2–4** Antisthenis F 10 (*FGrHist* 508) **12** cf. Heracliti B 3 DK = Fr. 57 M. **13–14** Heracliti B 45 DK = Fr. 67 M. **15** Heracliti B 46 DK = Fr. 114 M. Cf. *Gnom. Vat.* 294

3 δέ φησιν **F** | διαδοχαῖς **BP^{1}Q** : ταῖς διατριβαῖς **FD P^4** | τὸ addidi **4** διαχωρῆσαι **F** | γὰρ delevi **5** ἐρετιστὰς **B^2** **6** ἡρακλειτίους **B^{1}F** **8** δὲ **BD** : τὲ **P^{1}QF** : del. **P^4** **9** ἐναντιοτροπῆς **BPFD** : ἐναντιοτροπίας Kranz : ἐναντιοδρομίας Diels ex Aetio (1.7.22) **11** ἐν τῶ κόσμω **P^4** **12** πάντων **BP^{1}QD** : om. **F**, del. **P^4** | παθῶν del. Cobet | τὸ **FD P^4** : om. **BP^{1}Q** | ὅσος Cobet **13** λέγει Lipsius (*Physiol. Stoic.* 3.9), G. Hermann : λέγεται **BPFD** | πείρατα Hermann et ἰὼν Diels : πειραταιον **B^1** : πειρατέον **B^{2}P^{1}QD** : πειρᾶται ὂν **FP^4** | ἐξεύροιο **B^{1}P^{1}QD** : ἐξεύροις **B^{2}P^4**, Wilamowitz : εὕροι ὁ **F** **14** βαθὺν **F** : βαθὺς **BP^{1}Q** : βαθῆ **D** : βαθὺ **P^4** **17** ἐκβάλλει, ὥστε **D**, Stephanus : ἐκβόλως τε **BPF** **18** δὲ scripsi : τε **BPFDφ**

Καὶ τὰ ἐπὶ μέρους δὲ αὐτῷ ὧδε ἔχει τῶν δογμάτων· πῦρ 8
εἶναι στοιχεῖον καὶ πυρὸς ἀμοιβὴν τὰ πάντα, ἀραιώσει
καὶ πυκνώσει [τὰ] γινόμενα· σαφῶς δὲ οὐδὲν ἐκτίθεται.
Γίνεσθαί τε πάντα κατ' ἐναντιότητα καὶ ῥεῖν τὰ ὅλα πο-
ταμοῦ δίκην. Πεπεράνθαι τε τὸ πᾶν καὶ ἕνα εἶναι κόσμον.
Γεννᾶσθαί τε αὐτὸν ἐκ πυρὸς καὶ πάλιν ἐκπυροῦσθαι
κατά τινας περιόδους ἐναλλὰξ τὸν σύμπαντα αἰῶνα·
τοῦτο δὲ γίνεσθαι καθ' εἱμαρμένην. Τῶν δὲ ἐναντίων τὸ
μὲν ἐπὶ τὴν γένεσιν ἄγον καλεῖσθαι πόλεμον καὶ ἔριν, τὸ
δ' ἐπὶ τὴν ἐκπύρωσιν ὁμολογίαν καὶ εἰρήνην.

Καὶ τὴν μεταβολὴν ὁδὸν ἄνω κάτω, τόν τε κόσμον
γίνεσθαι κατ' αὐτήν. Πυκνούμενον γὰρ τὸ πῦρ ἐξυγραί- 9
νεσθαι συνιστάμενόν τε γίνεσθαι ὕδωρ, πηγνύμενον δὲ τὸ
ὕδωρ εἰς γῆν τρέπεσθαι· καὶ ταύτην ὁδὸν ἐπὶ τὸ κάτω
εἶναι. Πάλιν τε αὖ τὴν γῆν χεῖσθαι, ἐξ ἧς τὸ ὕδωρ γίνεσ-
θαι, ἐκ δὲ τούτου τὰ λοιπά, σχεδὸν πάντα ἐπὶ τὴν ἀναθυ-
μίασιν ἀνάγων τὴν ἀπὸ τῆς θαλάττης· αὕτη δέ ἐστιν ἡ ἐπὶ
τὸ ἄνω ὁδός. Γίνεσθαι δὲ ἀναθυμιάσεις ἀπό τε γῆς καὶ
θαλάττης, ἃς μὲν λαμπρὰς καὶ καθαράς, ἃς δὲ σκοτεινάς.
Αὔξεσθαι δὲ τὸ μὲν πῦρ ὑπὸ τῶν λαμπρῶν, τὸ δὲ ὑγρὸν
ὑπὸ τῶν ἑτέρων.

Τὸ δὲ περιέχον ὁποῖόν ἐστιν οὐ δηλοῖ· εἶναι μέντοι ἐν αὐτῷ σκάφας ἐπεστραμμένας κατὰ ⟨τὸ⟩ κοῖλον πρὸς ἡμᾶς,

1–p. 638.23 φ 34. Cf. J. Kirschensteiner, *Hermes* 83 (1955) 385–411; J. Janda, *Listy filol.* 92 (1969) 97–115 **2** πυρὸς ἀμοιβὴν : cf. Heracliti B 90 DK = Fr. 54 M. **4–5** ποταμοῦ δίκην : cf. Heracliti B 12 et 91 DK = Fr. 40 M. **11** ὁδὸν ἄνω κάτω : cf. Heracliti B 60 DK = Fr. 33 M. **16** τὴν ἀναθυμίασιν : cf. Heracliti Fr. 61 M. **23** σκάφας : cf. Aet. 2.22.2; 2.24.3; 2.27.2; 2.28.6; 2.29.3

2 ἀρεώσει **B** **3** τὰ γινόμενα **BP**[1]**φ**, om. τὰ **FDP**[4] **5** πεπεράνθαι **φ** : πεπεράσθαι **BPFD** **7** ἐναλὰξ **FD** **12** κατ' αὐτήν **BP**[1]**Qφ** : κατὰ ταύτην **FDP**[4] **15** post εἶναι addit λέγει **F** | τε : τὸ **F** | αὖ τὴν Reiske, Zeller : αὐτὴν τὴν **BPFDφ** | ἐξῆς **B** **17** ἀπὸ : ἐπὶ **F** **23** τὸ add. Reiske

ἐν αἷς ἀθροιζομένας τὰς λαμπρὰς ἀναθυμιάσεις ἀπο-
10 τελεῖν φλόγας, ἃς εἶναι τὰ ἄστρα. Λαμπροτάτην δὲ εἶναι
τὴν τοῦ ἡλίου φλόγα καὶ θερμοτάτην. Τὰ μὲν γὰρ ἄλλα
ἄστρα πλεῖον ἀπέχειν ἀπὸ γῆς καὶ διὰ τοῦτο ἧττον λάμ-
πειν καὶ θάλπειν, τὴν δὲ σελήνην προσγειοτέραν οὖσαν
μὴ διὰ τοῦ καθαροῦ φέρεσθαι τόπου. Τὸν μέντοι ἥλιον ἐν
διαυγεῖ καὶ ἀμιγεῖ κ⟨ιν⟩εῖσθαι καὶ σύμμετρον ἀφ' ἡμῶν
ἔχειν διάστημα· τοιγάρτοι μᾶλλον θερμαίνειν τε καὶ φω-
τίζειν. Ἐκλείπειν τε ἥλιον καὶ σελήνην ἄνω στρεφομένων
τῶν σκαφῶν· τούς τε κατὰ μῆνα τῆς σελήνης σχηματισ-
μοὺς γίνεσθαι στρεφομένης αὐτῆς κατὰ μικρὸν τῆς σκά-
φης.
Ἡμέραν τε καὶ νύκτα γίνεσθαι καὶ μῆνας καὶ ὥρας
ἐτείους καὶ ἐνιαυτοὺς ὑετούς τε καὶ πνεύματα καὶ τὰ
11 τούτοις ὅμοια κατὰ τὰς διαφόρους ἀναθυμιάσεις. Τὴν
μὲν γὰρ λαμπρὰν ἀναθυμίασιν φλογωθεῖσαν ἐν τῷ κύκλῳ
τοῦ ἡλίου ἡμέραν ποιεῖν, τὴν δὲ ἐναντίαν ἐπικρατήσασαν
νύκτα ἀποτελεῖν· καὶ ἐκ μὲν τοῦ λαμπροῦ τὸ θερμὸν αὐ-
ξόμενον θέρος ποιεῖν, ἐκ δὲ τοῦ σκοτεινοῦ τὸ ὑγρὸν πλεο-
νάζον χειμῶνα ἀπεργάζεσθαι. Ἀκολούθως δὲ τούτοις καὶ
περὶ τῶν ἄλλων αἰτιολογεῖ. Περὶ δὲ τῆς γῆς οὐδὲν ἀπο-
φαίνεται ποία τίς ἐστιν, ἀλλ' οὐδὲ περὶ τῶν σκαφῶν. Καὶ
ταῦτα μὲν ἦν αὐτῷ τὰ δοκοῦντα.

4 ἄστρα om. **F** **6** φέρεσθαι : φαίνεσθαι **D**^{2} in mg **7** κ⟨ιν⟩εῖσθαι Reiske, Bywater : κεῖσθαι **BPFDφ** **8** τοιγάρτι **F** **9** τε om. **F** **11** στρεφομένοις **F**^{1} (corr. **F**^{2}) | αὐτῆς scripsi : ἐν αὐτῇ **BPF**^{2}**Dφ** : ἐν αὐτοῖς **F**^{1} **13** καὶ^3 **FD** : om. **BPφ** **14** ἐτείους **F**^{1}**φ** : αἰτίους **BPF**^{2} : ἔτους **D** **16** ἐν om. **F** | κύκλω : κοίλῳ Reiske **17** ἐπικρατείσασαν **B**, ἐπικρατήσα-σα **F** **18** ἀποτελεῖ **F** | αὐξόμενον **BP**^{1}**Q** : αὐξανόμενον **FDφP**^{4} **19** τὸ : τοῦ **B** | πλεονάζον **PF**, πλεονάζων **B** : ὑπὲρ πλεονάζον **D** : πλεονάσαν **φ** **20** ἀπεργάσασθαι **F** | τούτων **B** **21** αἰτιολογεῖν **F**^{1} (corr. **F**^{2}) **21** οὐδὲν – **22** τῶν σκαφῶν in mg super. **F**^{2} **22** ποία τίς ἐστιν om. **F**^{2} | ἀλλ' οὐδὲ : καὶ **F**^{2} **23** μὲν om. **F**, del. **P**^{2}**Q**

Τὰ δὲ περὶ Σωκράτους καὶ ὅσα ἐντυχὼν τῷ συγγράμ-
ματι εἴποι, κομίσαντος Εὐριπίδου, καθά φησιν Ἀρίστων,
ἐν τῷ περὶ Σωκράτους εἰρήκαμεν. Σέλευκος μέντοι ὁ γραμ- 12
ματικός φησι Κρότωνά τινα ἱστορεῖν ἐν τῷ Κατακολυμ-
βητῇ Κράτητά τινα πρῶτον εἰς τὴν Ἑλλάδα κομίσαι τὸ
βιβλίον· καὶ ⟨ἐκεῖνον⟩ εἰπεῖν Δηλίου τινὸς δεῖσθαι κολυμ-
βητοῦ, ὃς οὐκ ἀποπνιγήσεται ἐν αὐτῷ. Ἐπιγράφουσι δὲ
αὐτῷ οἱ μὲν Μούσας, οἱ δὲ Περὶ φύσεως, Διόδοτος δὲ

Ἀκριβὲς οἰάκισμα πρὸς στάθμην βίου,

ἄλλοι Γνώμον' ἠθῶν, τρόπου κόσμον ἕνα τῶν ξυμπάντων.
Φασὶ δὲ αὐτὸν ἐρωτηθέντα διὰ τί σιωπᾷ, φάναι· "Ἵν'
ὑμεῖς λαλῆτε." Ἐπόθησε δὲ αὐτοῦ καὶ Δαρεῖος μετασχεῖν
καὶ ἔγραψεν ὧδε πρὸς αὐτόν·
"Βασιλεὺς Δαρεῖος πατρὸς Ὑστάσπεω Ἡράκλειτον 13
Ἐφέσιον σοφὸν ἄνδρα προσαγορεύει χαίρειν.

Καταβέβλησαι λόγον Περὶ φύσεως δυσνόητόν τε καὶ δυσεξήγητον. Ἔν τισι μὲν οὖν ἑρμηνευόμενος κατὰ λέξιν σὴν δοκεῖ δύναμίν τινα περιέχειν θεωρίας κόσμου τε τοῦ σύμπαντος καὶ τῶν ἐν τούτῳ γινομένων, ἅπερ ἐστὶν ἐν θει-

1–3 Aristonis Fr. 29 Wehrli. Cf. 2.22 et 9.6 **5** Κράτητα : cf. A.N. Zoumpos, *Z.A.* 13 (1963–64) 73–74 **6–10** *Suda,* Δ 400 **9** Adespot. trag. Fr. 287 N^2 **10** cf. Heracliti B 30 DK = Fr. 51 M.; Ael. *V.H.* 6.12; Marcovich, *Z.A.* 15 (1965–66) 281–282 **14–p. 641.1** Hercher, p. 280

4 ἱστορεῖ **F** **5** κράτητα **FDP^4** : κράτη **BP^1** **6** post βιβλίον addit ὃν **P** | ἐκεῖνον (i.e. Socratem) addidi **8** αὐτῶ **B F** : αὐτὸ **PD** et *Suda* **10** γνώμον' L. Kuster, Reiske : γνώμην **BPFD** et *Suda* | κόσμον τρόπον *Suda* | ἕνα Kuster : ἑνὸς **BPFD** et *Suda* **12** λαλεῖται **B**, λαλεῖτε **F** **14** ὑστάσπεως **F**, ὑστάσπεος **P^4** γρ. in mg | ἡράκλητον **B^1** (corr. **B^2**) **16** λόγω **F** **17** ἑρμηνευόμενον **F** **18** σὴν δοκεῖ **PF** : συνδοκεῖ **BD** | περιέχειν **BPD** : ἔχειν περὶ **F** **19** γενομένων **P^{1}Q** (corr. **P^4**)

στάτῃ κείμενα κινήσει· τῶν δὲ πλείστων ἐποχὴν ἔχοντα, ὥστε καὶ τοὺς ἐπὶ πλεῖστον μετεσχηκότας συγγραμμάτων διαπορεῖσθαι τῆς ὀρθῆς δοκούσης γεγράφθαι παρὰ σοὶ ἐξηγήσεως. Βασιλεὺς οὖν Δαρεῖος Ὑστάσπου βούλεται τῆς σῆς ἀκροάσεως μετασχεῖν καὶ παιδείας Ἑλληνικῆς.

14 Ἔρχου δὴ συντόμως πρὸς ἐμὴν ὄψιν καὶ βασίλειον οἶκον. Ἕλληνες γὰρ ἐπὶ τὸ πλεῖστον ἀνεπισήμαντοι σοφοῖς ἀνδράσιν ὄντες παρορῶσι τὰ καλῶς ὑπ' αὐτῶν ἐνδεικνύμενα πρὸς σπουδαίαν ἀκοὴν καὶ μάθησιν. Παρ' ἐμοὶ δὲ ὑπάρχει σοι πᾶσα μὲν προεδρία, καθ' ἡμέραν δὲ καλὴ καὶ σπουδαία προσαγόρευσις καὶ βίος εὐδόκιμος σαῖς παραινέσεσιν."

Ἡράκλειτος ⟨δ'⟩ ἀπεκρίνατο οὕτως·

"Ἡράκλειτος Ἐφέσιος βασιλέϊ Δαρείῳ πατρὸς Ὑστάσπεω χαίρειν.

Ὁκόσοι τυγχάνουσιν ὄντες ἐπιχθόνιοι τῆς μὲν ἀληθηίης καὶ δικαιοπραγμοσύνης ἀπέχονται, ἀπληστίῃ δὲ καὶ δοξοκοπίῃ προσέχουσι κακῆς εἵνεκεν ἀνοίης. Ἐγὼ δὲ ἀμνηστίην ἔχων πάσης πονηρίης καὶ κόρον φεύγων παντὶ οἰκειούμενον φθόνῳ καὶ διὰ τὸ περιΐστασθαι ὑπερηφανίην οὐκ ἂν ἀφικοίμην εἰς Περσῶν χώρην, ὀλίγοις ἀρκεό-

2 post συγγραμμάτων addit Ἑλληνικῶν Cobet 4 ἐξηγήσεως Cobet : διηγήσεως **BPFD** | ὑστάσπους **P**^{4}, *Frob.* 5 τῆς **FDP**^{4} : om. **BP**^{1}**Q** 7 ἕλληνες **BP**^{1}**F**^{2} : ἕλλανες **F**^{1}**DP**^{4} 9 σπουδαίων **F** 10 σοι om. **F** 11 σαῖς **PF** : αἷς **BD** 13 ἡράκλειτος ἀπεκρίνατο οὕτως **D**, Cobet : om. **BPF** | δ' addidi 14 δαρίω **B** | ὑστάσπεως **F** 16 ὁκόσι **F** | ἀληθηίης Cobet : ἀληθείης **BPF** : ἀληθείας **D** 18 εἵνεκεν scripsi : ἕνεκα **BPFD** 19 ἀμνηστίην **PFD** : ἀναμνηστίην **BD** : νηστηίην Reiske, ἀεὶ νηστηίην Diels | φεύγων **B**^{1}**PF** : ἐκφεύγων **D** : ἐκεφεύγειν **B**^{2} in mg super. | παντὶ **D** : παντὸς **BPF** : πάντως Cobet 20 οἰκιούμενον **B** | φθόνω **D** : φθόνου **BPF** | ὑπερηφανίην Cobet : ὑπερηφανίας **BPFD** 21 ἀφικόμην **F** | χώρην **PF** : χώραν **BD** | ἀρκεσόμενος **F**

μενος κατ' ἐμὴν γνώμην."

Τοιοῦτος μὲν ἀνὴρ καὶ πρὸς βασιλέα. Δημήτριος δέ 15 φησιν ἐν τοῖς Ὁμωνύμοις καὶ Ἀθηναίων αὐτὸν ὑπερφρονῆσαι, δόξαν ἔχοντα παμπλείστην, καταφρονούμενόν τε ὑπὸ τῶν Ἐφεσίων ἑλέσθαι μᾶλλον τὰ οἰκεῖα. Μέμνηται ⟨δ'⟩ αὐτοῦ καὶ ὁ Φαληρεὺς Δημήτριος ἐν τῇ Σωκράτους ἀπολογίᾳ. Πλεῖστοί τέ εἰσιν ὅσοι ἐξήγηνται αὐτοῦ τὸ σύγγραμμα· καὶ γὰρ Ἀντισθένης καὶ Ἡρακλείδης ὁ Ποντικός, Κλεάνθης τε [ὁ Ποντικὸς] καὶ Σφαῖρος ὁ Στωϊκός, πρὸς δὲ Παυσανίας ὁ κληθεὶς Ἡρακλειτιστής, Νικομήδης τε καὶ Διονύσιος· τῶν δὲ γραμματικῶν Διόδοτος, ὃς οὔ φησι περὶ φύσεως εἶναι τὸ σύγγραμμα, ἀλλὰ περὶ πολιτείας, τὰ δὲ περὶ φύσεως ἐν παραδείγματος εἴδει κεῖσθαι.

Ἱερώνυμος δέ φησι καὶ Σκυθῖνον τὸν τῶν ἰάμβων 16 ποιητὴν ἐπιβαλέσθαι τὸν ἐκείνου λόγον διὰ μέτρου ἐκβάλλειν. Πολλά τε εἰς αὐτὸν ἐπιγράμματα φέρεται, ἀτὰρ δὴ καὶ τόδε·

Ἡράκλειτος ἐγώ· τί μ' ἄνω κάτω ἕλκετ', ἄμουσοι;
Οὐχ ὑμῖν ἐπόνουν, τοῖς δέ μ' ἐπισταμένοις.

2–5 Demetrii Magnetis F 27 Mejer **5–7** Demetrii Fr. 92 Wehrli **8** Ἀντισθένης : cf. 6.19 | Heraclidis Fr. 39 Wehrli **11** Διόδοτος : cf. 9.12 **14–15** Hieronymi Fr. 46 Wehrli **14** Scythini A 2 Diels (*PPG*) **18-p. 642.2** *Anth. Pal.* 7.128; *Plan.*; **φ** 34

2 ἀνὴρ **P⁴** : ὁ ἀνὴρ **BD** : ἀνὴρ **BP¹F** **6** δ' addidi | φαλιρεὺς **B** | δημήτριος **FDP⁴** : δημόκριτος **BP¹Q** **7** ἐξήγειντο **B¹**, -ται **B²** **8** ἡρακλίδης **B** **9** ὁ ποντικὸς del. Bake (*Posid.*, 27), Huebner **10** ἡρακλειτιστὴς **PF** : ἡρακλείτης τῆς **B** : ἡρακλείδης **D** | νικομίδης **B**, νικομηδεὶς **D** **13** εἴδει **BPD** : ἤδη **F** **15** ἐπιβαλέσθαι **D** : ἐπιβαλλέσθαι **BP**, ἐπιβάλλεσθαι **F**, *Frob.* | διὰ μέτρου **BP** : ἐκ διαμέτρου **F** : κατὰ μέτρον **D** | ἐκβάλλειν **BP¹QD** : ἐκβαλεῖν **FP⁴** **18** τί μ' ἄνω Meineke : τιμαίω **B¹P¹Q** : τί με ὦ *Pal.* et **φ** : τί με ὧν **FP⁴** : τί με **B²** in mg et **D** **19** δέ μ' **BDP⁴φ** et *Pal.* : δ' ἔμ' **P¹QF**

Εἷς ἐμοὶ ἄνθρωπος τρισμύριοι, οἱ δ' ἀνάριθμοι
οὐδείς. Ταῦτ' αὐδῶ καὶ παρὰ Φερσεφόνῃ.

Καὶ ἄλλο τοιόνδε·

Μὴ ταχὺς Ἡρακλείτου ἐπ' ὀμφαλὸν εἴλεε βύβλον
τοὐφεσίου· μάλα τοι δύσβατος ἀτραπιτός.
Ὄρφνη καὶ σκότος ἐστὶν ἀλάμπετον· ἢν δέ σε μύστης
εἰσαγάγῃ, φανεροῦ λαμπρότερ' ἠελίου.

17 Γεγόνασι δ' Ἡράκλειτοι πέντε· πρῶτος αὐτὸς οὗτος· δεύτερος ποιητὴς λυρικός, οὗ ἐστι Τῶν δώδεκα θεῶν ἐγκώμιον· τρίτος ἐλεγείας ποιητής, Ἁλικαρνασσεύς, εἰς ὃν Καλλίμαχος πεποίηκεν οὕτως·

Εἶπέ τις, Ἡράκλειτε, τεὸν μόρον, ἐς δέ με δάκρυ
ἤγαγεν· ἐμνήσθην δ' ὁσσάκις ἀμφότεροι
ἥλιον ἐν λέσχῃ κατεδύσαμεν. Ἀλλὰ σὺ μέν που,
ξεῖν' Ἁλικαρνασσεῦ, τετράπαλαι σποδιή,
αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες, ᾗσιν ὁ πάντων
ἁρπάκτης Ἀΐδης οὐκ ἐπὶ χεῖρα βαλεῖ.

1 cf. Heracliti B 49 DK = Fr. 98 M. **4–7** *Anth. Pal.* 9.540; *Plan.*; **φ** 34 **12–17** Callimachi *Epigr.* 2 Pfeiffer; *Anth. Pal.* 7.80; *Plan.* Cf. *Suda*, Λ 309

1 εἷς – **3** καὶ ἄλλο in mg **F**[2] **1** οἱ om. **F**[2] **2** οὐδὶς ταῦτα **B** | αὐλῶ **B**[1] (corr. **B**[2]) | παρὰ : περὶ **F**[2]**D** | φερσεφόνη **PF**[2] et *Pal.*[corr.] : περσεφόνη **BφD** (περσεφόνης) et *Pal.*[1], *Suda* **4** εἴλεε Jacobs : εἴλεε **BPFDφ** et *Pal.* | βύβλον **BPF** : βίβλον **φQ** et *Frob.*, *Pal.* **5** τοῦ ἐφεσίου **BPFDφ** | ἀτραπητὸς **PF** et *Pal.*[1] **7** λαμπρότεροι **F** **10** ἁλικαρνασεὺς **FD** **12** δέ με **FDP**[4] in mg et *Pal.* : δ' ἐμὲ **BP**[1]**Q** **13** ἐμνήσθη **P**[1] (corr. **P**[4]) **14** ἥλιον ἐν λέσχῃ **D**, *Pal.* et *Suda* : ἠέλιον ἐν λέσχῃ **BPF** et *Plan.* : ἠέλιον [ἐν] λέσχῃ Bentley | κατελύσαμεν **FP**[4] **15** ἁλικαρνασσεῦ **BP** : ἁλικαρνασεῦ **FD** : ἁλικαρνησεῦ recte *Suda* **16** αἱ δὲ **PF** et *Pal.*, *Suda* : δὴ δὲ **BD** | τε αἳ **F** **17** βάλλει **F**

Τέταρτος Λέσβιος, ἱστορίαν γεγραφὼς Μακεδονικήν· πέμπτος σπουδογέλοιος, ἀπὸ κιθαρῳδίας μεταβεβηκὼς εἰς τὸ εἶδος.

ΞΕΝΟΦΑΝΗΣ

Ξενοφάνης Δεξίου ἤ, ὡς Ἀπολλόδωρος, Ὀρθομένους, 18
Κολοφώνιος· ἐπαινεῖται πρὸς τοῦ Τίμωνος· φησὶ γοῦν·

Ξεινοφάνη θ' ὑπάτυφον, Ὁμηραπάτης ἐπικόπτην.

Οὗτος ἐκπεσὼν τῆς πατρίδος ἐν Ζάγκλῃ τῆς Σικελίας διέτριβε καὶ ἐν Κατάνῃ. Διήκουσε δὲ κατ' ἐνίους μὲν οὐδενός, κατ' ἐνίους δὲ Βότωνος Ἀθηναίου ἤ, ὥς τινες, Ἀρχελάου. Καί, ὡς Σωτίων φησί, κατ' Ἀναξίμανδρον ἦν. Γέγραφε δὲ ἐν ἔπεσι καὶ ἐλεγείας καὶ ἰάμβους καθ' Ἡσιόδου καὶ Ὁμήρου, ἐπικόπτων αὐτῶν τὰ περὶ θεῶν εἰρημένα. Ἀλλὰ καὶ αὐτὸς ἐρραψῴδει τὰ ἑαυτοῦ. Ἀντιδοξάσαι τε λέγεται Θαλῇ καὶ Πυθαγόρᾳ, καθάψασθαι δὲ καὶ Ἐπιμενίδου. Μακροβιώτατός τε γέγονεν, ὥς που καὶ αὐτός φησιν·

1 Τέταρτος : *FGrHist* 167 T 1 **5–p. 645.7** 21 A 1 DK **5–6** *FGrHist* 244 F 68a **7** Timonis B 60.1 Diels = *Suppl. Hell.* 834.1. Cf. S.E. *Pyrrh. hypot.* 1.224 (= 21 A 35 DK) **11** Sotionis Fr. 28 Wehrli

2 σπονδογελοῖος **F** **3** ἴδος **B** **4** *tit.* **BFDP**^{4} **5** δεξιοῦ **BPFD**, corr. Huebner | ὀρθουμένιος **B** **7** ξεινοφάνη θ' **BPD** : ξεινοφάνην **D** : ξενοφάνης S.E. | ὑπάτυφον **BP**^{1} **Q** : ὑπότυφον **FDP**^{4} : ὑπάτυφος S.E. | ὁμηραπάτης Casaubon e S.E., def. E. Vogt (*Rhein. Mus.* 107 [1964] 295–298) : ὁμηραπάτην **FDP**^{4} : ὁμηροπάτην **BP**^{1}**Q** | ἐπισκώπτης S.E. **8** ζάγκλη : ζάβλη **P**^{4} γρ. in mg **9** ante καὶ addunt δὲ **BP**^{1} **Q** : om. **FD** **11** κατὰ ναξίμανδρον **F** | ἀναξίμανδρον : Ἀναξιμένην Jacoby, Croenert (173) **12** καὶ ἐν ἔπεσιν **FP**^{4} | ἡσιώδου **B** **14** ἐρραψώδη **F**^{1} (corr. **F**^{2}) | ἀντιδοξάσε **B**

19 Ἤδη δ' ἑπτά τ' ἔασι καὶ ἑξήκοντ' ἐνιαυτοὶ
βληστρίζοντες ἐμὴν φροντίδ' ἀν' Ἑλλάδα γῆν·
ἐκ γενετῆς δὲ τότ' ἦσαν ἐείκοσι πέντε τε πρὸς τοῖς,
εἴπερ ἐγὼ περὶ τῶνδ' οἶδα λέγειν ἐτύμως.

Φησὶ δὲ τέτταρα εἶναι τῶν ὄντων στοιχεῖα, κόσμους δ' ἀπείρους, οὐ παραλλακτοὺς δέ. Τὰ νέφη συνίστασθαι τῆς ἀφ' ἡλίου ἀτμίδος ἀναφερομένης καὶ αἰρούσης αὐτὰ εἰς τὸ περιέχον. Οὐσίαν θεοῦ σφαιροειδῆ, μηδὲν ὅμοιον ἔχουσαν ἀνθρώπῳ· ὅλον δὲ ὁρᾶν καὶ ὅλον ἀκούειν, μὴ μέντοι ἀναπνεῖν· σύμπαντά τε εἶναι νοῦν καὶ φρόνησιν καὶ ἀΐδιον. Πρῶτός τε ἀπεφήνατο ὅτι πᾶν τὸ γινόμενον φθαρτόν ἐστι καὶ ἡ ψυχὴ πνεῦμα.

Ἔφη δὲ καὶ τὰ πολλὰ ἥσσω νοῦ εἶναι. Καὶ τοῖς τυράν-
20 νοις ἐντυγχάνειν ἢ ὡς ἥκιστα ἢ ὡς ἥδιστα. Ἐμπεδοκλέους δὲ εἰπόντος αὐτῷ ὅτι ἀνεύρετός ἐστιν ὁ σοφός, "Εἰκότως," ἔφη· "σοφὸν γὰρ εἶναι δεῖ τὸν ἐπιγνωσόμενον τὸν σοφόν." Φησὶ δὲ Σωτίων πρῶτον αὐτὸν εἰπεῖν ἀκατάληπτα εἶναι τὰ πάντα, πλανώμενος.

Ἐποίησε δὲ καὶ Κολοφῶνος κτίσιν καὶ τὸν εἰς Ἐλέαν τῆς Ἰταλίας ἀποικισμὸν ἔπη δισχίλια. Καὶ ἤκμαζε κατὰ τὴν ἑξηκοστὴν Ὀλυμπιάδα. Φησὶ δὲ Δημήτριος ὁ Φαλη-

1–4 Xenophanis B 8 DK **5–12** φ 51 **8** Οὐσίαν – **11** ἀΐδιον : cf. Xenophanis B 23–25 DK **13–18** φ 51 **13–14** *Suda,* Η 20 **14** Ἐμπεδοκλέους – **17** σοφόν : cf. *Gnom. Paris.* Nr. 158 (= 31 A 20 DK) **17–18** Sotionis Fr. 29 Wehrli **19–20** Lobonis Fr. 17 Croenert **20–21** i.e. 540–536. Cf. *FGrHist* 244 F 68b **21–p. 645.3** Demetrii Fr. 83 Wehrli

1 ἑξήκοντα **BPFD** **3** ἐείκοσι **PFD** : αἱ εἴκοσι **B** **4** περὶ τῶνδ' : περιττῶν δ' **F** | ἑτοίμως **B**^{1} (corr. **B**^{2}) **5** δ' om. **F** **6** οὐ παραλλάκτους **BP**^{1}**QD** : ἀπαραλλάκτους **FP**^{4} **7** ἀναιρούσης **F** | αὐτὰ del. Heidel **13** ἥσσω νοῦ **PF** : ἥσσων· οὗ **B** **14** ἐντυγχάννειν **B** | ἥδυστα **F**^{1} (corr. **F**^{2}) **17** ἀκατάλημπτα **B** **18** πλανώμενον **FP**^{4} **19** ἐλαίαν **F**^{1} (corr. **F**^{2})

ρεὺς ἐν τῷ Περὶ γήρως καὶ Παναίτιος ὁ Στωϊκὸς ἐν τῷ Περὶ εὐθυμίας ταῖς ἰδίαις χερσὶ θάψαι τοὺς υἱεῖς αὐτόν, καθάπερ καὶ Ἀναξαγόραν. Δοκεῖ δὲ πεπρᾶσθαι ⟨καὶ λελύσθαι⟩ ὑπὸ τῶν Πυθαγορικῶν Παρμενίσκου καὶ Ὀρεστάδου, καθά φησι Φαβωρῖνος ἐν Ἀπομνημονευμάτων πρώτῳ. Γέγονε δὲ καὶ ἄλλος Ξενοφάνης, Λέσβιος, ποιητὴς ἰάμβων.

Καὶ οὗτοι μὲν οἱ σποράδην.

ΠΑΡΜΕΝΙΔΗΣ

21 Ξενοφάνους δὲ διήκουσε Παρμενίδης Πύρητος Ἐλεάτης (τοῦτον Θεόφραστος ἐν τῇ Ἐπιτομῇ Ἀναξιμάνδρου φησὶν ἀκοῦσαι). Ὅμως δ' οὖν ἀκούσας καὶ Ξενοφάνους οὐκ ἠκολούθησεν αὐτῷ. Ἐκοινώνησε δὲ καὶ Ἀμεινίᾳ Διοχαίτα τῷ Πυθαγορικῷ, ὡς ἔφη Σωτίων, ἀνδρὶ πένητι μέν, καλῷ δὲ καὶ ἀγαθῷ. Ὧι καὶ μᾶλλον ἠκολούθησε καὶ ἀποθανόντος ἡρῷον ἱδρύσατο γένους τε ὑπάρχων λαμπροῦ καὶ πλούτου, καὶ ὑπὸ Ἀμεινίου, ἀλλ' οὐχ ὑπὸ Ξενοφάνους εἰς ἡσυχίαν προετράπη.

1–2 Panaetii Fr. 45 van Straaten **3** Ἀναξαγόραν : cf. 2.13 **3** Δοκεῖ δὲ – **5** Favorini Fr. 8 Mensching; 20 A 2 DK **7** cf. 8.50 et 91 **9–p. 648.1** 28 A 1 DK. Cf. G. Rocca-Serra in P. Aubenque, ed., *Études sur Parménide,* II (Parisiis, 1987), 254–273 **10–11** Theophrasti *Phys. opin.* Fr. 6a Diels = F 227 D Fortenbaugh **12** Ἐκοινώνησε δὲ – **17** Sotionis Fr. 27 Wehrli

1 καὶ παναίτιος – **2** εὐθυμίας om. **F** **2** υἱοὺς **F** | αὐτὸν **BP** : αὐτῶν **F** : αὐτοῦ **D** **3** καὶ λελύσθαι supplevi post H. Diels (πεπρᾶσθαι ὑπὸ ⟨ * καὶ λελύσθαι ὑπὸ⟩) **4** παρμενιάδου καὶ ὀρεστάκου **F** **5** καθά – πρώτω om. **F** **8** *tit.* **D** : om. **BPF** **12** ἀμιννία **B** | post ἀμεινία addunt καὶ **F** **DP**[4] | Διοχαίτα Diels (*Hermes* 35 [1900] 191) : διοχαίτη **B** **P** : διοχέτη **FD** : Ἰοχαίτα E. Teza et Wilamowitz (*Hermes* 65 [1930] 251) **14** κακῷ **B** **16** πλούτου **BPFD** : πλούσιος *Frob.* | ἀμινίου **B**

Πρῶτος δὲ οὗτος τὴν γῆν ἀπέφαινε σφαιροειδῆ καὶ ἐν μέσῳ κεῖσθαι. Δύο τε εἶναι στοιχεῖα, πῦρ καὶ γῆν, καὶ τὸ
22 μὲν δημιουργοῦ τάξιν ἔχειν, τὴν δὲ ὕλης. Γένεσίν τε ἀνθρώπων ἐξ ἰλύος πρῶτον γενέσθαι. Αἴτια δὲ ὑπάρχειν τὸ θερμὸν καὶ τὸ ψυχρόν, ἐξ ὧν τὰ πάντα συνεστάναι. Καὶ τὴν ψυχὴν καὶ τὸν νοῦν ταὐτὸν εἶναι, καθὰ μέμνηται καὶ Θεόφραστος ἐν τοῖς Φυσικοῖς, πάντων σχεδὸν ἐκτιθέμενος τὰ δόγματα. Δισσήν τε ἔφη εἶναι τὴν φιλοσοφίαν, τὴν μὲν κατὰ ἀλήθειαν, τὴν δὲ κατὰ δόξαν. Διὸ καί φησί που·

Χρεὼ δέ σε πάντα πυθέσθαι
ἠμὲν Ἀληθείης εὐπειθέος ἀτρεκὲς ἦτορ
ἠδὲ βροτῶν δόξας, ταῖς οὐκ ἔνι πίστις ἀληθής.

Καὶ αὐτὸς δὲ διὰ ποιημάτων φιλοσοφεῖ, καθάπερ Ἡσίοδός τε καὶ Ξενοφάνης καὶ Ἐμπεδοκλῆς. Κριτήριον δὲ τὸν λόγον εἶπε· τάς τε αἰσθήσεις μὴ ἀκριβεῖς ὑπάρχειν. Φησὶ γοῦν·

4 Αἴτια : cf. 28 A 24 DK **5–8** Theophrasti *Phys. opin.* Fr 6a Diels = F 227 D Fortenbaugh **10–12** Parmenidis B 1.28–30 DK. Cf. S.E. *Adv. math.* 7.111 et 114; Simpl. *In Arist. De caelo,* p. 557.25 Heiberg; Plut. *Adv. Colot.* 1114 D–E; Clem. *Strom.* 5.59.6; Procli *In Plat. Tim.* I, p. 345.15 Diehl

1 ἀπέφαινε **BP** : ἀπέφηνε **FD** **4** ἰλύος *Frob., Aldobr.* : ἡλίου **BPFDΦ** 67 : πηλοῦ Ziegler | Αἴτια Diels (conl. 28 A 24 DK) : αὐτὸν **BPFDΦ**, def. M. Untersteiner | δὲ **BPFD** : τε **Φ** **5** θερμόνδε **B** **5–6** καὶ τὸν νοῦν καὶ τὴν ψυχὴν **FD** **6** καὶ^{2} om. **B** **7** φυσικοῖς **PFD** : στωϊκοῖς **B** | σχεδὸν om. **B**, spatio 6 litt. relicto **8** ἔφη εἶναι **DP**^{4} in mg : ἔφη **BP**^{1} **Q** : εἶναι **FP**^{4} **10** χρεὼ δέ σε **P**^{2}**QFD** : χρεωδές σε **B**, χρεῶδες σε **P**^{1} **11** εὐπειθέος **PFD** et S.E., Plut., Clem. : εὐτίθεος **B** : εὐκυκλέος Simpl. : εὐφεγγέος Proclus | ἀτρεκὲς **BPFD** et Plut. : ἀτρεμὲς S.E., Clem., Proclus, Simpl. **12** ταῖς Menagius e testibus : τῆς **BPFD** : αἷς Plut. | οὐκ ἔνι Menagius e testibus : οὐκέτι **BPFD** **14** καὶ Ἐμπεδοκλῆς om. **F**

μηδέ σ' ἔθος πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω
νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουὴν
καὶ γλῶσσαν, κρῖναι δὲ λόγῳ πολύδηριν ἔλεγχον.

Διὸ καὶ περὶ αὐτοῦ φησιν ὁ Τίμων· **23**

Παρμενίδου τε βίην μεγαλόφρονος οὐ πολύδοξον,
ὅς ῥ' ἀπὸ φαντασίας ἀπάτης ἀνενείκατο νώσεις.

Εἰς τοῦτον καὶ Πλάτων τὸν διάλογον γέγραφε, "Παρμενίδην" ἐπιγράψας "ἢ περὶ ἰδεῶν."

Ἤκμαζε δὲ κατὰ τὴν ἐνάτην καὶ ἑξηκοστὴν Ὀλυμπιάδα. Καὶ δοκεῖ πρῶτος πεφωρακέναι τὸν αὐτὸν εἶναι Ἕσπερον καὶ Φωσφόρον, ὥς φησι Φαβωρῖνος ἐν πέμπτῳ Ἀπομνημονευμάτων (οἱ δὲ Πυθαγόραν). Καλλίμαχος δέ φησι μὴ εἶναι αὐτοῦ τὸ ποίημα. Λέγεται δὲ καὶ νόμους θεῖναι τοῖς πολίταις, ὥς φησι Σπεύσιππος ἐν τῷ Περὶ φιλοσόφων. Καὶ πρῶτος ἐρωτῆσαι τὸν Ἀχιλλέα λόγον, ὡς Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ.

1–3 Parmenidis B 7.3–5 DK. Cf. S.E. *Adv. math.* 7.111 et 114 **5–6** Timonis B 44 Diels = *Suppl. Hell.* 818 **9** i.e. 504–500; *FGrHist* 244 F 341 **10–12** cf. 8.14; *Suda,* E 3187. Favorini Fr. 16 Mensching **12-13** Callimachi Fr. 442 Pfeiffer **13–15** Speusippi F 3 Tarán **15–16** Favorini Fr. 43 Mensching. Cf. 9.29

1 σ' ἔθος Menag. e S.E. : σε θεὸς **BP^{1}FD** : σέθεν **P^{2}Q** **2** ἠχήεσαν **BP^{1}Q** **3** πολύδηριν : πολύπειρον S.E. **5** μεγαλόφρονος **BP^{1}QD** : μεγαλόφρονα **FP^4** | οὐ **D** : ὁ **BP^{1}Q** : τὴν **FP^4** **6** ὅς **BPD** : ὡς **F** | ἀπὸ Wachsmuth (Fr. 4) : ἐπὶ **BPFD** | φαντασίης Wachsmuth | ἀνενίκατο νώσεις **P^4**, corr. Stephanus : ἀνενίκατον ὡς εἰς vel εἶς **BP^{1}QF^2** : ἀνενίκητον ὡς εἶς **F^1** : ἀνενίκητον ὥσεις **D** : ἀνενίκατο ὥσεις *Frob.* **7** καὶ Πλάτων τὸν om. **B** **8** ἢ περὶ ἰδεῶν om. **F** | εἰδεῶν **B** **9** ἐννάτην **B^{1}F** **11** φοσφόρον **B** : ἑωσφόρον **D** | hic et in v. 16 φαβορεῖνος **B** **11** ἐν – **12** ἀπομνημονευμάτων om. **F** **13** φησι om. **F** **14** θῆναι **B** **14** ὥς φησι – **15** φιλοσόφων om. **F** **15** ὡς – **16** ἱστορία om. **F**

Γέγονε δὲ καὶ ἕτερος Παρμενίδης, ῥήτωρ τεχνογράφος.

ΜΕΛΙΣΣΟΣ

24 Μέλισσος Ἰθαιγένους, Σάμιος. Οὗτος ἤκουσε Παρμενίδου· ἀλλὰ καὶ εἰς λόγους ἦλθεν Ἡρακλείτῳ· ὅτε καὶ συνέστησεν αὐτὸν τοῖς Ἐφεσίοις ἀγνοοῦσι, καθάπερ Ἱπποκράτης Δημόκριτον Ἀβδηρίταις. Γέγονε δὲ καὶ πολιτικὸς ἀνὴρ καὶ ἀποδοχῆς παρὰ τοῖς πολίταις ἠξιωμένος· ὅθεν ναύαρχος αἱρεθεὶς ἔτι καὶ μᾶλλον ἐθαυμάσθη διὰ τὴν οἰκείαν ἀρετήν.

Ἐδόκει δὲ αὐτῷ τὸ πᾶν ἄπειρον εἶναι καὶ ἀναλλοίωτον καὶ ἀκίνητον καὶ ἓν ὅμοιον ἑαυτῷ καὶ πλῆρες· κίνησίν τε μὴ εἶναι, δοκεῖν δὲ εἶναι. Ἀλλὰ καὶ περὶ θεῶν ἔλεγε μὴ δεῖν ἀποφαίνεσθαι· μὴ γὰρ εἶναι γνῶσιν αὐτῶν.

Φησὶ δ' Ἀπολλόδωρος ἠκμακέναι αὐτὸν κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα.

ΖΗΝΩΝ

25 Ζήνων Ἐλεάτης. Τοῦτον Ἀπολλόδωρος ἐν Χρονικοῖς φησιν εἶναι [Πύρητος τὸν δὲ Παρμενίδην] φύσει μὲν Τελευταγόρου, θέσει δὲ Παρμενίδου.

3–15 30 A 1 DK **10–13** φ 45 **10** ἄπειρον : cf. Melissi B 3 et 6 DK **11** ἀκίνητον : cf. 30 A 8; B 7 et 10 DK | πλῆρες : cf. 30 B 7; A 8 DK **14–15** i.e. 444–440. *FGrHist* 244 F 72 **17–p. 652.4** 29 A 1 DK

1 τεχνογράφος ῥήτωρ **FD** **2** *tit.* **FDP⁴** : om. **B** (sed v. 3 μέλισσος litt. uncialibus) **3** ἰθαγενοῦς **F** **4** ἐς **F** | ἡρακλήτω **B** **6** ἀβδηρίταις **P** : αὐδηρίταις **BFD** **7** ἠξιομένος **B** **12** μὴ ss. **F²** | δοκεῖν δὲ εἶναι om. **B** **13** ἀποφήνεσθαι **F** **16** *tit.* **DP⁴** : om. **FB** (sed v. 17 ζήνων litt. uncialibus **B**) **17–18** φησιν εἶναι ἐν χρονικοῖς **BPFD** : transposui **18** μὴ εἶναι **F** | πύρητος τὸν δὲ παρμενίδην secl. Rossi (66, p. 190) **19** post Παρμενίδου addit (ex. v. 18) τὸν δὲ Παρμενίδην Πύρητος S. Karsten, agn. Diels, Jacoby, Long

Περὶ τούτου καὶ Μελίσσου Τίμων φησὶ ταῦτα·

Ἀμφοτερογλώσσου τε μέγα σθένος οὐκ ἀλαπαδνὸν
Ζήνωνος πάντων ἐπιλήπτορος ἠδὲ Μέλισσον
πολλῶν φαντασμῶν ἐπάνω, παύρων γε μὲν ἥσσω.

Ὁ δὴ Ζήνων διακήκοε Παρμενίδου καὶ γέγονεν αὐτοῦ παιδικά. Καὶ εὐμήκης ἦν, καθά φησι Πλάτων ἐν τῷ Παρμενίδῃ. Ὁ δ' αὐτὸς ἐν τῷ Σοφιστῇ ⟨καὶ ἐν τῷ Φαίδρῳ αὐτοῦ μέμνηται⟩ καὶ Ἐλεατικὸν Παλαμήδην αὐτὸν καλεῖ. Φησὶ δ' Ἀριστοτέλης εὑρετὴν αὐτὸν γενέσθαι διαλεκτικῆς, ὥσπερ Ἐμπεδοκλέα ῥητορικῆς.

Γέγονε δὲ ἀνὴρ γενναιότατος καὶ ἐν φιλοσοφίᾳ καὶ ἐν πολιτείᾳ· | φέρεται γοῦν αὐτοῦ βιβλία πολλῆς συνέσεως 26 γέμοντα. Καθελεῖν δὲ θελήσας Νέαρχον τὸν τύραννον (οἱ δὲ Διομέδοντα) συνελήφθη, καθά φησιν Ἡρακλείδης ἐν τῇ Σατύρου ἐπιτομῇ. Ὅτε καὶ ἐξεταζόμενος εἰπεῖν τοὺς συνειδότας καὶ περὶ τῶν ὅπλων ὧν ἦγεν εἰς Λιπάραν, πάντας ἐμήνυσεν αὐτοῦ τοὺς φίλους, βουλόμενος αὐτὸν ἔρημον καταστῆσαι· εἶτα περί τινων εἰπεῖν ἔχειν τινὰ

2–4 Timonis B 45 Diels = *Suppl. Hell.* 819. Cf. Plut. *Per.* 4.5; Eliam *In Aristot. Categ.*, p. 109.6 Busse; Simpl. *In Aristot. Phys.*, p. 1011.11 Diels; Procl. *In Plat. Parm.*, p. 632.16 Cousin et al. **6** cf. Plat. *Parmen.* 127 b 4 **7** cf. *Sophist.* 216 a 4 | cf. *Phaedri* 261 d 6 **9–10** Aristotelis Fr. 65 Rose[3]. Cf. 8.57 **13–p. 650.13** **Φ** 68; *Suda*, Z 77 **14** Heraclidis Lembi Fr. 7 (*FHG* III, 169)

2 ἀμφοτερογλώσσου τε **BPFD** : ἀμφοτερογλώττοιο Elias, -γλώσσοιο Simpl. **3** πάντων Casaubon ex Plut. : πλάτων **B PFD** | πλατωνεπιλήπτορος· τουτέστι τοῦ μεμφομένου πλάτωνα in mg **B**[2] | Μέλισσον Meineke : μελίσσου **BPFD** **4** γε μὲν ἥσσω **BP** : δὲ μὲν εἴσω **F**, μὲν εἴσω **D** **5** παρμενήδου **B** **6** παρμενίδι **F** **7** ἐν τῶ σοφιστῆ : ἐν τῷ Φαίδρῳ G.L. Spalding (ad Quintil. *I.O.* 3.1.10) **7–8** καὶ ἐν τῷ Φαίδρῳ αὐτοῦ μέμνηται suppl. Diels **9** εὗρεν **F**[1] (corr. **F**[2]) **14** καθά φησιν ἡρακλείδης in mg super. **F**[2] **15** εἰπεῖν **Φ**, om. **BPF** **17** ἐμήνυσεν om. **F**, expunxit **P**[4] **18** εἰπεῖν **BP**[1]**QΦ** : εἰπὼν **F P**[4] : om. **D** | τινὰ om. **Φ** | post τινὰ add. εἰπεῖν **FDP**[4] : om. **BP**[1]**QΦ** : ἔφη Diels

αὐτῷ πρὸς τὸ οὖς λέγων καὶ δακὼν οὐκ ἀνῆκεν ἕως ἀπεκεντήθη, ταὐτὸν Ἀριστογείτονι τῷ τυραννοκτόνῳ παθών.

27 Δημήτριος δέ φησιν ἐν τοῖς Ὁμωνύμοις τὸν μυκτῆρα αὐτὸν ἀποτραγεῖν. Ἀντισθένης δὲ ἐν ταῖς Διαδοχαῖς φησι μετὰ τὸ μηνῦσαι τοὺς φίλους ἐρωτηθῆναι πρὸς τοῦ τυράννου εἴ τις ἄλλος εἴη· τὸν δὲ εἰπεῖν· "Σύ, ὁ τῆς πόλεως ἀλιτήριος." Πρός τε τοὺς παρεστῶτας φάναι· "Θαυμάζω ὑμῶν τὴν δειλίαν, εἰ τούτων ἕνεκεν ὧν νῦν ἐγὼ ὑπομένω δουλεύετε τῷ τυράννῳ·" καὶ τέλος ἀποτραγόντα τὴν γλῶτταν προσπτύσαι αὐτῷ· τοὺς δὲ πολίτας παρορμηθέντας αὐτίκα τὸν τύραννον καταλεῦσαι. Ταὐτὰ δὲ σχεδὸν οἱ πλείους λαλοῦσιν. Ἕρμιππος δέ φησιν εἰς ὅλμον αὐτὸν βληθῆναι καὶ κατακοπῆναι.

Καὶ εἰς αὐτὸν ἡμεῖς εἴπομεν οὕτως·

28 Ἤθελες, ὦ Ζήνων, (καλὸν ἤθελες) ἄνδρα τύραννον
κτείνας ἐκλῦσαι δουλοσύνης Ἐλέαν.
Ἀλλ' ἐδάμης· δὴ γάρ σε λαβὼν ὁ τύραννος ἐν ὅλμῳ
κόψε. Τί τοῦτο λέγω; Σῶμα γάρ, οὐχὶ δὲ σέ.

1 δακών : cf. Diod. 10.18.2 (= 29 A 6 DK) **2** cf. Aristot. *Athen. pol.* 18.4; Sen. *De ira* 2.23 **3–4** Demetrii Magnetis F 28 Mejer **4–11** Antisthenis Rhodii F 11 (*FGrHist* 508) **12–13** Hermippi Fr. 28 Wehrli. Cf. DL 9.59 **15–18** *Anth. Pal.* 7.129; *Plan.*

1 λέγων scripsi ex **Φ** (πρὸς τὸ οὖς ἔλεγε· καὶ κύψαντος δακὼν) | ἕως **BP**^{1}**QΦ** : ἕως ἂν **FP**^{4} : ἕως οὗ **D** **2** ἀριστογείτωνι **F** **3** post φησιν addit αὐτὸν **F** **4** αὐτὸν **BPFΦ** : αὐτοῦ **D** **6** τι **F** **8** νῦν **BPD** : om. **FΦ** **9** δουλεύεται **B** **10** παρωρμηθέντας **F** **11** ταὐτὰ Bywater : ταῦτα **BPFD** **12** λαλοῦσιν **BPFD** : λέγουσιν **D**^{2} in mg **13** κατακοπῆναι : συνετρίβη πτισσόμενος *Suda*, Z 77 **15** ἤθελες^{1} : ἤλυθες *Pal.*^{1} | ἤθελες^{2} om. **F** **16** ἐκλῦσαι **BP F** : ἀπελκύσαι *Pal.*^{1} : ἑλκῦσαι **D** et *Pal.*$^{\text{corr.}}$, *Plan.*, *Frob.* | δουλοσύνης **BPD** et *Pal.*$^{\text{corr.}}$, *Plan.* : δουλωσύνας **F**, δουλοσύνας *Pal.*^{1} **17** δεῖ γάρ σε **F** **18** κόψαι **BF** | σὲ δέ **F**

Γέγονε δὲ τά τε ἄλλα ἀγαθὸς ὁ Ζήνων, ἀλλὰ καὶ ὑπεροπτικὸς τῶν μειζόνων κατ' ἴσον Ἡρακλείτῳ· καὶ γὰρ οὗτος τὴν πρότερον μὲν Ὑέλην, ὕστερον δὲ Ἐλέαν, Φωκαέων οὖσαν ἀποικίαν, αὑτοῦ δὲ πατρίδα, πόλιν εὐτελῆ καὶ μόνον ἄνδρας ἀγαθοὺς τρέφειν ἐπισταμένην, ἠγάπησε μᾶλλον τῆς Ἀθηναίων μεγαλαυχίας, οὐκ ἐπιδημήσας πώμαλα πρὸς αὐτούς, ἀλλ' αὐτόθι καταβιούς.

Οὗτος καὶ τὸν Ἀχιλλέα πρῶτος λόγον ἠρώτησε (Φα- **29**
βωρῖνος δέ φησι Παρμενίδην) καὶ ἄλλους συχνούς. Ἀρέσκει δὲ αὐτῷ τάδε· κόσμον εἶναι κενόν τε μὴ εἶναι· γεγενῆσθαι δὲ τὴν τῶν πάντων φύσιν ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ, λαμβανόντων αὐτῶν εἰς ἄλληλα τὴν μεταβολήν· γένεσίν τε ἀνθρώπων ἐκ γῆς εἶναι, καὶ ψυχὴν κρᾶμα ὑπάρχειν ἐκ τῶν προειρημένων κατὰ μηδενὸς τούτων ἐπικράτησιν.

Τοῦτόν φασι λοιδορούμενον ἀγανακτῆσαι· αἰτιασαμένου δέ τινος φάναι· "Ἐὰν λοιδορούμενος μὴ ⟨ἀχθῆναι⟩

2 καὶ γὰρ οὗτος – 7 *Suda,* Ε 768. Cf. Strab. 6.1 (252 C.) **8** Ἀχιλλέα : cf. Aristot. *Phys.* Z 9, 239 b 14 (= 29 A 26 DK) **8–9** Favorini Fr. 43 Mensching. Cf. DL 9.23 **10** κόσμον – **p. 652.1** **φ** 33 **17–p. 652.1** *Gnom. Vat.* 274 (cf. 31 A 20 DK)

3 μὲν πρότερον **F** | Ὑέλην Casaubon : ὕλην **BPFD** et *Suda,* Ε 768 | ἐλαίαν **F**[1] (corr. **F**[2]) | φωκλέων **B**[1] (corr. **B**[2]) **4** αὑτοῦ Cobet : αὐτοῦ **BPFD** | εὐτελεῖ **F** **5** τρέφειν om. **B** **7** πώμαλα Diels : τὰ πολλὰ **BPFD** : τὸ παράπαν Cobet **8** πρῶτος **D** : α' **BP**[1] : ἕνα **F** | φαβορεῖνος **B** **10** κόσμον **φ** 33 : κόσμος **BP**[1]**QD** : κόσμους **FP**[4] et edd. | καινὸν **B**[1] (corr. **B**[2]), κενάν **F**[1] (corr. **F**[2] in mg) **11** δὲ om. **F** | πάντων : ὑδάτων **φ** **12** καὶ ξηροῦ καὶ ὑγροῦ in mg **F**[2] | αὐτῶν om. **F** **14** εἰρημένων **F** **17** λοιδορούμενος μὴ Iunius in **φ** : λοιδορούμενος οὐ **D** : μὴ λοιδορούμενος **BPF**[2] (ss.), **φ** | ἀχθῆναι supplevi ex *Gnom. Vat.* (εἰ μὴ κακῶς ἀκούων ἀχθεσθήσομαι vel ἀχθήσομαι)

προσποιῶμαι, οὐδὲ ἐπαινούμενος ἡσθήσομαι."

Ὅτι δὲ γεγόνασι Ζήνωνες ὀκτὼ ἐν τῷ Κιτιεῖ διειλέγμεθα. Ἤκμαζε δὲ οὗτος κατὰ τὴν ἐνάτην ⟨καὶ ἑβδομηκοστὴν⟩ Ὀλυμπιάδα.

ΛΕΥΚΙΠΠΟΣ

30 Λεύκιππος Ἐλεάτης, ὡς δέ τινες, Ἀβδηρίτης, κατ' ἐνίους δὲ Μιλήσιος. Οὗτος ἤκουσε Ζήνωνος.

Ἤρεσκε δὲ αὐτῷ ἄπειρα εἶναι τὰ πάντα καὶ εἰς ἄλληλα μεταβάλλειν, τό τε πᾶν εἶναι κενὸν καὶ πλῆρες [σωμάτων]. Τούς τε κόσμους γίνεσθαι σωμάτων εἰς τὸ κενὸν ἐμπιπτόντων καὶ ἀλλήλοις περιπλεκομένων· ἔκ τε τῆς κινήσεως κατὰ τὴν αὔξησιν αὐτῶν γίνεσθαι τὴν τῶν ἀστέρων φύσιν. Φέρεσθαι δὲ τὸν ἥλιον ἐν μείζονι κύκλῳ περὶ τὴν σελήνην· τὴν γῆν ὀχεῖσθαι περὶ τὸ μέσον δινουμένην· σχῆμά τε αὐτῆς τυμπανῶδες εἶναι. Πρῶτός τε ἀτόμους ἀρχὰς ὑπεστήσατο. ⟨Καὶ⟩ κεφαλαιωδῶς μὲν ταῦτα· ἐπὶ μέρους δὲ ὧδε ἔχει·

2 cf. 7.35 **3–4** i.e. 464–460. Cf. *FGrHist* 244 F 30b **6–p. 654.18** 67 A 1 DK **8** Ἤρεσκε – **p. 654.18** **φ** 43. Cf. J. Kerschensteiner, *Hermes* 87 (1959) 441–448 **15** τυμπανῶδες : cf. 67 A 26 DK

1 προσποιοῦμαι **B** et **φ** (sed εἰ pro ἐὰν) | ἡσθήσομαι Meibom. ex *Gnom. Vat.* (οὐδὲ ἐπαινούμενος ἡσθήσομαι) : αἰσθήσομαι **BPFD** : αἰσθανθήσομαι **φ** **2** δὲ **FD** : τε **BP** | κιττιεῖ **PFD** | διηλέγμεθα **BF**^{1} **3** ἐνάτην **B** : θ′ **P**^{1}**Q** : om. **F** : ἑβδομϊκοστὴν **D**, *Frob.* : ο′ **P**^{4} | καὶ ἑβδομηκοστὴν add. *Aldobr.* **5** *tit.* **FDP**^{4} : om. **B** (sed v. 6 λεύκιππος litt. uncialibus) **6** αὐδηρείτης **B**, αὐδηρίτης **FD** **7** Μιλήσιος *Ambros.*, Menagius (cf. 67 A 8, 12 et 33 DK) : μήλιος **BPFD** **9** καινὸν hic et ubique **B**^{1} (corr. **B**^{2}) **10** σωμάτων^1 del. Diels **14** παρὰ **F** **15** δεινουμένην **B**^{1} | τυμπανῶδες **BP**^{1}**QF** : τυμπανοειδὲς **Dφ****P**^{4} et *Frob.* **16** Καὶ add. Cobet

Τὸ μὲν πᾶν ἄπειρόν φησιν, ὡς προείρηται· τούτου δὲ τὸ μὲν πλῆρες εἶναι, τὸ δὲ κενόν, ⟨ἃ⟩ καὶ στοιχεῖά φησι. Κόσμους τε ἐκ τούτων ἀπείρους εἶναι καὶ διαλύεσθαι εἰς ταῦτα. Γίνεσθαι δὲ τοὺς κόσμους οὕτω· φέρεσθαι κατὰ ἀποτομὴν ἐκ τῆς ἀπείρου πολλὰ σώματα παντοῖα τοῖς σχήμασιν εἰς μέγα κενόν, ἅπερ ἀθροισθέντα δίνην ἀπεργάζεσθαι μίαν, καθ' ἣν προσκρούοντα ⟨ἀλλήλοις⟩ καὶ παντοδαπῶς κυκλούμενα διακρίνεσθαι χωρὶς τὰ ὅμοια πρὸς τὰ ὅμοια. Ἰσορρόπων δὲ διὰ τὸ πλῆθος μηκέτι δυναμένων περιφέρεσθαι, τὰ μὲν λεπτὰ χωρεῖν εἰς τὸ ἔξω κενόν, ὥσπερ διαττώμενα· τὰ δὲ λοιπὰ συμμένειν καὶ περιπλεκόμενα συγκατατρέχειν ἀλλήλοις καὶ ποιεῖν πρῶτόν τι σύστημα σφαιροειδές. 31

Τοῦτο δὲ οἷον ὑμένα ὑφίστασθαι, περιέχοντα ἐν ἑαυτῷ παντοῖα σώματα· ὧν κατὰ τὴν τοῦ μέσου ἀντέρεισιν περιδινουμένων λεπτὸν γενέσθαι τὸν πέριξ ὑμένα, συρρεόντων ἀεὶ τῶν συνεχῶν κατ' ἐπίψαυσιν τῆς δίνης. Καὶ οὕτω γενέσθαι τὴν γῆν, συμμενόντων τῶν ἐνεχθέντων ἐπὶ τὸ μέσον. Αὐτόν τε πάλιν τὸν περιέχοντα οἷον ὑμένα αὔ- 32

14 ὑμένα : cf. 67 A 23 DK

1 ὡς προείρηται om. **Fφ** | προείρητε **B** **2** εἶναι om. **F** | ἃ add. Hoelk **3** τε om. **F** | εἶναι ante ἐκ τούτων **F** | διαδύεσθαι **Bφ** **5** ἐκ τῆς ἀπείρου : sc. χώρας : ἀπὸ τοῦ ἀπείρου DL 10.88 (Epicuri) **6** δείνην (et in v. 17, p. 654.1) **B**[1] (corr. **B**[2]) **7** μίαν : βίᾳ Roeper (cf. 67 A 16 DK) | ἀλλήλοις add. Diels (cf. v. 12) **8** διακρούεσθαι **F** **9** ἰσορόπων **B** : ἰσορρόπως Roeper **11** καινὸν **B** | διαττώμενα **B**[1]**P**[1] : διαττόμενα **B**[2]**P**[2]**QFDφ** **12** ἀλλήλοις Cobet : ἄλληλα **BP FDφ** **14** τούτου Kerschensteiner | ὑφίστασθαι **φ** et Reiske : ἀφίστασθαι **BPFD** | ἐν αὐτῷ **F** **15** ἀντίρρησιν **F** **16** γενέσθαι **BP**[1]**Qφ** : γίνεσθαι **FDP**[4] **17** τῶν συνεχῶν in mg **F**[2] | κατεπιψαύειν **BD** **18** post οὕτω addit μὲν **F** | συμμενόντων **PFφ** : συμβενόντων **B**, συμβαινόντων **D** **19** αὐτόν **PFφ** : αὐτός **BD** | πάλιν τὸν in mg **F**[2] | αὔξεσθαι **PF φ** : ἅπτεσθαι **BD**

ξεσθαι κατὰ τὴν ἐπέκκρισιν τῶν ἔξωθεν σωμάτων· δίνῃ τε φερόμενον αὐτόν, ὧν ἂν ἐπιψαύσῃ, ταῦτα ἐπικτᾶσθαι. Τούτων δέ τινα συμπλεκόμενα ποιεῖν σύστημα, τὸ μὲν πρῶτον κάθυγρον καὶ πηλῶδες, ξηρανθέντα δὲ καὶ περιφερόμενα σὺν τῇ τοῦ ὅλου δίνῃ, εἶτ' ἐκπυρωθέντα τὴν τῶν ἀστέρων ἀποτελέσαι φύσιν.

33 Εἶναι δὲ τὸν τοῦ ἡλίου κύκλον ἐξώτατον, τὸν δὲ τῆς σελήνης προσγειότατον, τῶν ἄλλων μεταξὺ τούτων ὄντων. Καὶ πάντα μὲν τὰ ἄστρα πυροῦσθαι διὰ τὸ τάχος τῆς φορᾶς, τὸν δὲ ἥλιον καὶ ὑπὸ τῶν ἀστέρων ἐκπυροῦσθαι· τὴν δὲ σελήνην τοῦ πυρὸς ὀλίγον μεταλαμβάνειν. Ἐκλείπειν δὲ ἥλιον καὶ σελήνην ⟨*⟩ τῷ κεκλίσθαι τὴν γῆν πρὸς μεσημβρίαν· τὰ δὲ πρὸς ἄρκτῳ ἀεί τε νίφεσθαι καὶ κατάψυχρα εἶναι καὶ πήγνυσθαι. Καὶ τὸν μὲν ἥλιον ἐκλείπειν σπανίως, τὴν δὲ σελήνην συνεχῶς, διὰ τὸ ἀνίσους εἶναι τοὺς κύκλους αὐτῶν. Εἶναί τε ὥσπερ γενέσεις κόσμου, οὕτω καὶ αὐξήσεις καὶ φθίσεις καὶ φθοράς, κατά τινα ἀνάγκην, ἣν ὁποία ἐστὶν ⟨οὐ⟩ διασαφεῖ.

1 ἐπέκκρισιν Heidel : ἐπέκρυσιν **BPF** : ἐπίκρυσιν **D** : ἐπικράτησιν **φ** : ἐπέγκρισιν Kuehn : ἐπίκρισιν Reiske : ἐπείσρυσιν Rohde (*Kl. Schr.* I, 208) : ἐπίρρυσιν Brieger **2** ἐπιψαύσει **B** **3** ποιεῖ **B** **4** δὲ **φ** : om. **BPFD** **5** δείνη **B**^{1} (corr. **B**^{2}) **6** ἄστρων **φ** **8** ὄντων **φ** : om. **BPFD** **9** πάντα **F**^{2} (τὰ **F**^{1}) | πυροῦσθαι **BP**^{1}**Qφ** : ἐκπυροῦσθαι **FDP**^{4} **9** τῷ τάχει – **10** ἐκπυροῦσθαι in mg **F**^{2} **9** διὰ τὸ τάχος **BPDφ** : τῷ τάχει **F** **10** καὶ om. **FD** **11** ἐκλίπειν **B** **12** post σελήνην lac. indic. Orelli (ad **φ**) | τῷ : τὸ **B** | ante τῷ κεκλίσθαι suppl. θέρος δὲ γίνεσθαι Orelli (conl. Aet. 3.12.2) : τὴν δὲ λόξωσιν τοῦ ζῳδιακοῦ γενέσθαι suppl. Diels **13** ἄρκτον **B** **15** τὴν om. **P**^{1} (add. **P**^{4}) | συνεχῶς **FDφP**^{4} : συνεχεῖ **BP**^{1}**Q** : συνεχὲς Diels **16** κόσμων Rohde **17** φθίσεις : φύσεις **P**^{4} γρ. | τινα : τὴν **B** **18** οὐ add. Stephanus

ΔΗΜΟΚΡΙΤΟΣ

Δημόκριτος Ἡγησιστράτου, οἱ δὲ Ἀθηνοκρίτου, τινὲς 34
Δαμασίππου, Ἀβδηρίτης ἤ, ὡς ἔνιοι, Μιλήσιος. Οὗτος
μάγων τινῶν διήκουσε καὶ Χαλδαίων, Ξέρξου τοῦ βα-
σιλέως τῷ πατρὶ αὐτοῦ ἐπιστάτας καταλιπόντος, ἡνίκα
ἐξενίσθη παρ' αὐτῷ, καθά φησι καὶ Ἡρόδοτος· παρ' ὧν
τά τε περὶ θεολογίας καὶ ἀστρολογίας ἔμαθεν ἔτι παῖς ὤν.
Ὕστερον δὲ Λευκίππῳ παρέβαλε καὶ Ἀναξαγόρᾳ κατά
τινας, ἔτεσιν ὢν αὐτοῦ νεώτερος τετταράκοντα. Φαβωρῖ-
νος δέ φησιν ἐν Παντοδαπῇ ἱστορίᾳ λέγειν Δημόκριτον
περὶ Ἀναξαγόρου ὡς οὐκ εἴησαν αὐτοῦ αἱ δόξαι αἵ τε
περὶ ἡλίου καὶ σελήνης, ἀλλὰ ἀρχαῖαι, τὸν δὲ ὑφῃρῆσ-
θαι· διασύρειν τε αὐτοῦ τὰ περὶ τῆς διακοσμήσεως καὶ 35
τοῦ νοῦ, ἐχθρῶς ἔχοντα πρὸς αὐτόν, ὅτι δὴ μὴ προσήκατο
αὐτόν. Πῶς οὖν κατά τινας ἀκήκοεν αὐτοῦ;

Φησὶ δὲ Δημήτριος ἐν Ὁμωνύμοις καὶ Ἀντισθένης ἐν Διαδοχαῖς ἀποδημῆσαι αὐτὸν καὶ εἰς Αἴγυπτον πρὸς τοὺς ἱερέας γεωμετρίαν μαθησόμενον, καὶ πρὸς Χαλδαίους εἰς τὴν Περσίδα, καὶ εἰς τὴν Ἐρυθρὰν θάλασσαν γενέσθαι. Τοῖς τε Γυμνοσοφισταῖς φασί τινες συμμῖξαι αὐτὸν ἐν

2–p. 667.2 68 A 1 DK. Cf. **Φ** 69; φ 23; *Suda*, A 1827, Δ 447–448, E 3446, Π 234 et 971; Eudociae *Violarium* 319; Arsenii *Violetum*, pp. 192–194 Walz **6** cf. Herod. 8.120; 7.109 **9** τετταράκοντα : cf. Apollodori F 36b (*FGrHist* 244); DL 9.41 **9–15** Favorini Fr. 44 Mensching = 68 B 5 DK **14** ἐχθρῶς ἔχοντα : cf. 2.14 **16–p. 656.15** Demetrii Magnetis F 29 Mejer; Antisthenis Rhodii F 12 (*FGrHist* 508)

1 *tit.* **FDP^4** : om. **B** (sed v. 2 δημόκριτος litt. uncialibus) **3** αὐδηρίτης **FDP^4** | μηλήσιος **F** **5** ἐπιστάτας ante v. 4 βασιλέως **FD** **6** αὐτοῦ **FP^4** **7** τε : γε Reiske **9** φαβορεῖνος **B** **10** ἐν – ἱστορίᾳ om. **F** **13** τῆς om. **FD** **14** ἐχθρωδῶς in mg **F^2** **16** καὶ – **17** διαδοχαῖς om. **F** **17** καὶ εἰς : πρὸς **F**

Ἰνδίᾳ καὶ εἰς Αἰθιοπίαν ἐλθεῖν. Τρίτον τε ὄντα ἀδελφὸν νείμασθαι τὴν οὐσίαν· καὶ οἱ μὲν πλείους φασὶ τὴν ἐλάττω μοῖραν ἑλέσθαι τὴν ἐν ἀργυρίῳ, χρείαν ἔχοντα ἀποδη-
36 μῆσαι, τοῦτο κἀκείνων δολίως ὑποπτευσάντων. Ὁ δὲ Δημήτριος ὑπὲρ ἑκατὸν τάλαντά φησιν εἶναι αὐτῷ τὸ μέρος, ἃ πάντα καταναλῶσαι. Λέγει δὲ ὅτι τοσοῦτον ἦν φιλόπονος, ὥστε τοῦ περικήπου δωμάτιόν τι ἀποτεμόμενος κατάκλειστος ἦν· καί ποτε τοῦ πατρὸς αὐτοῦ πρὸς θυσίαν βοῦν ἀγαγόντος καὶ αὐτόθι προσδήσαντος, ἱκανὸν χρόνον μὴ γνῶναι, ἕως αὐτὸν ἐκεῖνος διαναστήσας προφάσει τῆς θυσίας καὶ τὰ περὶ τὸν βοῦν διηγήσατο. "Δοκεῖ δέ," φησί, "καὶ Ἀθήναζε ἐλθεῖν καὶ μὴ σπουδάσαι γνωσθῆναι, δόξης καταφρονῶν. Καὶ εἰδέναι μὲν Σωκράτη, ἀγνοεῖσθαι δὲ ὑπ' αὐτοῦ· 'ἦλθον γάρ,' φησίν, 'εἰς Ἀθήνας καὶ οὔτις με ἔγνωκεν.'"

37 "Εἴπερ οἱ Ἀντερασταὶ Πλάτωνός εἰσι," φησὶ Θράσυλλος, "οὗτος ἂν εἴη ὁ παραγενόμενος ἀνώνυμος, τῶν περὶ Οἰνοπίδην καὶ Ἀναξαγόραν ⟨ἐριζόντων νεανιῶν⟩ ἕτερος, ἐν τῇ πρὸς Σωκράτην ὁμιλίᾳ διαλεγόμενος περὶ φιλοσοφίας, ᾧ ἔφη ὡς πεντάθλῳ ἔοικεν ὁ φιλόσοφος. Καὶ ἦν ὡς ἀληθῶς ἐν φιλοσοφίᾳ πένταθλος· τὰ γὰρ φυσικὰ καὶ τὰ

2 νείμασθαι τὴν οὐσίαν : cf. D. Daube, *Iura* 14 (1963) 176–177 **14–15** 68 B 116 DK. Cf. Cic. *Tusc.* 5.104 **16–p. 657.2** *FHG* III, 504 **20** Plat. *Amat.* 136 a 3

3 post ἔχοντα addit καὶ **F** **6** ἃ πάντα **P^{1}D** : ἅπαντα **B FP^4** | post ἅπαντα addit δὲ **F** | ἀναλῶσαι **D** **7** ἀποτεμώμενος **F** **8** πρὸς om. **F** **9** ἀγαγόντος **BPF** : ἄγοντος **DΦ** **10** ἐκεῖνος om. **F** **12** σπουδάσαι **PF** et Eudocia : σπουδάζων **BD** **13** σωκράτην **P^4** et Eudocia **16** θράσυλλος **B^{2}P F** : θρασύλος **B^{1}D** **17** τῶν : τὸν **B** **18** ἐριζόντων νεανιῶν supplevi ex Plat. *Amat.* 132 b 1 et c 1 **19** σωκράτην **B P** : σωκράτη **FD** **20** ὧ **BPF** : ὧν **D** : ⟨ἐν⟩ ᾧ Reiske | ἔφη (sc. Socrates) scripsi : φησὶν **BPFD** | ὁ φιλόσοφος ante ὡς πεντάθλῳ **F**

ἠθικὰ ⟨ἤσκητο⟩, ἀλλὰ καὶ τὰ μαθηματικὰ καὶ τοὺς ἐγκυκλίους λόγους· καὶ περὶ τεχνῶν πᾶσαν εἶχεν ἐμπειρίαν." Τούτου ἐστὶ καὶ τὸ "Λόγος ἔργου σκιή." Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τῇ Σωκράτους ἀπολογίᾳ μηδὲ ἐλθεῖν φησιν αὐτὸν εἰς Ἀθήνας. Τοῦτο δὲ καὶ μεῖζον, εἴγε τοσαύτης πόλεως ὑπερεφρόνησεν, οὐκ ἐκ τόπου δόξαν λαβεῖν βουλόμενος, ἀλλὰ τόπῳ δόξαν περιθεῖναι προελόμενος.

Δῆλον δὲ κἀκ τῶν συγγραμμάτων οἷος ἦν. "Δοκεῖ δέ," **38** φησὶν ὁ Θράσυλλος, "ζηλωτὴς γεγονέναι τῶν Πυθαγορικῶν· ἀλλὰ καὶ αὐτοῦ Πυθαγόρου μέμνηται, θαυμάζων αὐτὸν ἐν τῷ ὁμωνύμῳ συγγράμματι. Πάντα δὲ δοκεῖν παρὰ τούτου λαβεῖν καὶ αὐτοῦ δ' ἂν ἀκηκοέναι, εἰ μὴ τὰ τῶν χρόνων ἐμάχετο." Πάντως μέντοι τῶν Πυθαγορικῶν τινος ἀκοῦσαί φησιν αὐτὸν Γλαῦκος ὁ Ῥηγῖνος, κατὰ τοὺς αὐτοὺς χρόνους αὐτῷ γεγονώς. Φησὶ δὲ καὶ Ἀπολλόδωρος ὁ Κυζικηνὸς Φιλολάῳ αὐτὸν συγγεγονέναι.

Ἤσκει δέ, φησὶν ὁ Ἀντισθένης, καὶ ποικίλως δοκιμάζειν τὰς φαντασίας, ἐρημάζων ἐνίοτε καὶ τοῖς τάφοις ἐνδιατρίβων. Ἐλθόντα δή φησιν αὐτὸν ἐκ τῆς ἀποδημίας **39** ταπεινότατα διάγειν, ἅτε πᾶσαν τὴν οὐσίαν καταναλωκότα· τρέφεσθαί τε διὰ τὴν ἀπορίαν ἀπὸ τἀδελφοῦ Δαμά-

3 68 B 145 DK; Plut. *De puer. ed.* 9 F **3–5** Demetrii Fr. 93 Wehrli **8–13** *FHG* III, 504 **11** cf. 9.46 **13–15** Glauci Fr. 5 Lanata (*FHG* II, 24) **15–16** 74 A 2 et 44 A 2 DK **17–19** Antisthenis Rhodii F 13 (*FGrHist* 508) **19** Ἐλθόντα – **p. 658.10** ἔτη : Antisthenis F 14. Cf. Philonis *De provid.* 2.13 (= 68 A 14 DK); Athen. 4, 168 B (= 68 B 0 c)

1 ἤσκητο e *Suda* (Π 971) add. Casaubon **3** σκιή : εκίη **B**^{1}, αἰκιή **B**^{2} **5** καὶ om. **F** **7** περιθῆναι **F** | προελόμενος **BPF**^{2} et *Suda* : βουλόμενος **F**^{1}**D** **8** δῆλος **F** | κἀκ : ἐκ **F** **9** φησὶν om. **F** | θράσυλλος **PF** : θρασύλος **BD** | ante τῶν πυθαγορικῶν addit τῶν συγγραμμάτων **F** **18** ἐρεμάζων **F** **19** δή **BP**^{1} : δέ **FDP**^{4} **21** ὑπὸ **D**φ, Stephanus

σου. Ὡς δὲ προειπών τινα τῶν μελλόντων εὐδοκίμησε, λοιπὸν ἐνθέου δόξης παρὰ τοῖς πλείστοις ἠξιώθη. Νόμου δὲ ὄντος τὸν ἀναλώσαντα τὴν πατρῴαν οὐσίαν μὴ ἀξιοῦσθαι ταφῆς ἐν τῇ πατρίδι, φησὶν ὁ Ἀντισθένης, συνέντα, μὴ ὑπεύθυνος γενηθείη πρός τινων φθονούντων καὶ συκοφαντούντων, ἀναγνῶναι αὐτοῖς τὸν Μέγαν διάκοσμον, ὃς ἁπάντων αὐτοῦ τῶν συγγραμμάτων προέχει· καὶ πεντακοσίοις ταλάντοις τιμηθῆναι· μὴ μόνον δέ, ἀλλὰ καὶ χαλκαῖς εἰκόσι· καὶ τελευτήσαντα αὐτὸν δημοσίᾳ
40 ταφῆναι, βιώσαντα ὑπὲρ τὰ ἑκατὸν ἔτη. Ὁ δὲ Δημήτριος τοὺς συγγενέας αὐτοῦ φησιν ἀναγνῶναι τὸν Μέγαν διάκοσμον, ὃν μόνον ἑκατὸν ταλάντων τιμηθῆναι. Ταὐτὰ δὲ καὶ Ἱππόβοτός φησιν.

Ἀριστόξενος δὲ ἐν τοῖς Ἱστορικοῖς ὑπομνήμασί φησι Πλάτωνα θελῆσαι συμφλέξαι τὰ Δημοκρίτου συγγράμματα, ὁπόσα ἐδυνήθη συναγαγεῖν, Ἀμύκλαν δὲ καὶ Κλεινίαν τοὺς Πυθαγορικοὺς κωλῦσαι αὐτόν, ὡς οὐδὲν ὄφελος· παρὰ πολλοῖς γὰρ εἶναι ἤδη τὰ βιβλία. Καὶ δῆλον δέ· πάντων γὰρ σχεδὸν τῶν ἀρχαίων μεμνημένος ὁ Πλάτων οὐδαμοῦ Δημοκρίτου διαμνημονεύει, ἀλλ' οὐδὲ ἔνθα ἀντειπεῖν τι αὐτῷ δέοι, δηλον⟨ότι⟩ εἰδὼς ὡς πρὸς τὸν ἄριστον αὐτῷ τῶν φιλοσόφων ⟨ὁ ἀγὼν⟩ ἔσοιτο· ὅν γε καὶ

10–13 Demetrii Magnetis F 30 Mejer; Hippoboti Fr. 21 Gigante **14–22** ἔσοιτο : Aristoxeni Fr. 131 Wehrli. Cf. J. Bollack, *Revue de filol.* 41 (1967) 242–246; R. Ferwerda, *Mnemos.* 25 (1972) 337–378

1 προσειπὼν **P[1]Q**, corr. **P[4]** **2** τοῖς om. **F** **8** δὲ **FDP[4]** : om. **BP[1]** **9** εἰκόσι χαλκαῖς **F** **12** ὃν **BPD** : καὶ **F** | μόνων **F** | ταὐτὰ Diels : ταῦτα **BPFD** | δὲ expunxit **P[4]** **14** ἐν **FD** : om. **BP** | ἱστορικοῖς om. **F** **16** συναγαγεῖν **PF** : οὖν ἀγαγεῖν **BD** | κλινίαν **B** **17** ὤφελος **F** **20** post ἔνθα addit ἂν Long **21** ἀντειπεῖν τι **B** (ἀντιπεῖν) **P[1]D** : ἀντιπίπτειν **FP[4]** γρ. in mg | δηλον⟨ότι⟩ Reiske : δῆλον **BPFD** **22** αὐτῷ Cobet : οὕτω **BPFD** : τῶν Kuehn, Reiske | ὁ ἀγὼν add. Casaubon

Τίμων τοῦτον ἐπαινέσας τὸν τρόπον ἔχει·

> Οἷον Δημόκριτόν τε περίφρονα, ποιμένα μύθων,
> ἀμφίνοον λεσχῆνα μετὰ πρώτοισιν ἀνέγνων.

Γέγονε δὲ τοῖς χρόνοις, ὡς αὐτός φησιν ἐν τῷ Μικρῷ 41
διακόσμῳ, νέος κατὰ πρεσβύτην Ἀναξαγόραν, ἔτεσιν
αὐτοῦ νεώτερος τετταράκοντα. Συντετάχθαι δέ φησι τὸν
Μικρὸν διάκοσμον ἔτεσιν ὕστερον τῆς Ἰλίου ἁλώσεως
τριάκοντα καὶ ἑπτακοσίοις. Γεγόνοι δ' ἄν, ὡς μὲν Ἀπολλόδωρος ἐν Χρονικοῖς, κατὰ τὴν ὀγδοηκοστὴν Ὀλυμπιάδα, ὡς δὲ Θράσυλλος ἐν τῷ ἐπιγραφομένῳ Τὰ πρὸ τῆς
ἀναγνώσεως τῶν Δημοκρίτου βιβλίων, κατὰ τὸ τρίτον
ἔτος τῆς ἑβδόμης καὶ ἑβδομηκοστῆς Ὀλυμπιάδος,
ἐνιαυτῷ, φησί, πρεσβύτερος ὢν Σωκράτους. Εἴη ἂν οὖν
κατ' Ἀρχέλαον τὸν Ἀναξαγόρου μαθητὴν καὶ τοὺς περὶ
Οἰνοπίδην· καὶ γὰρ τούτων μέμνηται. Μέμνηται δὲ καὶ 42
τῆς περὶ τοῦ ἑνὸς δόξης τῶν περὶ Παρμενίδην καὶ Ζήνωνα,
ὡς κατ' αὐτὸν μάλιστα διαβεβοημένων, καὶ Πρωταγόρου
τοῦ Ἀβδηρίτου, ὃς ὁμολογεῖται κατὰ Σωκράτην γεγονέναι.

Φησὶ δ' Ἀθηνόδωρος ἐν ὀγδόῃ Περιπάτων, ἐλθόντος

2–3 Timonis B 46 Diels = *Suppl. Hell.* 820 **4–6** cf. 9.34; 59 A 5 DK **8–9** *FGrHist* 244 F 36. Cf. J. Mansfeld, *Hermes* 111 (1983) 253–258 **9** i.e. 460–456 **10–13** *FHG* III, 504 **11–12** i.e. 470–469 **13–15** 41 A 3 DK **20–p. 660.7** **Φ** 69; *Suda*, Δ 448; Eudocia 319; Arsen., p. 192. Cf. D.D. Lypourlis, *Hellenika* 23 (1970) 109–114

1 post τρόπον repetit τοῦτον **F** **2** τε **PF** : γε **D** : om. **B** | τὸν ποιμένα **F** | μύθον **B** **3** λεσχῆνα Meineke : λέσχην ἃ **BPFD** **8** ὡς ὁ μὲν **P** **9** ἐν χρονικοῖς om. **F** **10** θράσυλλος **PF** : θρασύλος **BD** **10** ἐν τῷ – **11** βιβλίων om. **F** **15** τούτων Reiske : τούτου **BPFD** | μέμνηται δὲ om. **F** **16** τῆς περὶ **D** et Casaubon : περὶ τῆς **BPF** | τῶν : τὸν **F** **17** διαβεβαιουμένων **F** **19** αὐδηρίτου **FD** | ὡμολόγηται P^1**Q** (corr. P^1 γρ. in mg) **20** περιπάτων **BF**P^4 : περὶ πάντων P^1**QD**

Ἱπποκράτους πρὸς αὐτόν, κελεῦσαι κομισθῆναι γάλα· καὶ θεασάμενον τὸ γάλα εἰπεῖν· "Καὶ αἰγὸς πρωτοτόκου καὶ μελαίνης·" ὅθεν τὴν ἀκρίβειαν αὐτοῦ θαυμάσαι τὸν Ἱπποκράτην. Ἀλλὰ καὶ κόρης ἀκολουθούσης τῷ Ἱπποκράτει, τῇ μὲν πρώτῃ ἡμέρᾳ ἀσπάσασθαι οὕτω· "Χαῖρε κόρη," τῇ δ' ἐχομένῃ· "Χαῖρε γύναι"· καὶ ἦν ἡ κόρη τῆς νυκτὸς διεφθαρμένη.

43 Τελευτῆσαι δὲ τὸν Δημόκριτόν φησιν Ἕρμιππος τοῦτον τὸν τρόπον. Ἤδη ὑπέργηρων ὄντα πρὸς τῷ καταστρέφειν εἶναι. Τὴν οὖν ἀδελφὴν λυπεῖσθαι ὅτι ἐν τῇ τῶν Θεσμοφόρων ἑορτῇ μέλλοι τεθνήξεσθαι καὶ τῇ θεῷ τὸ καθῆκον αὐτὴ οὐ ποιήσειν· τὸν δὲ θαρρεῖν εἰπεῖν καὶ κελεῦσαι αὐτῷ προσφέρειν ἄρτους θερμοὺς ὁσημέραι. Τούτους δὴ ταῖς ῥισὶ προσφέρων διεκράτησεν αὐτὸν τὴν ἑορτήν· ἐπειδὴ δὲ παρῆλθον αἱ ἡμέραι (τρεῖς δὲ ἦσαν), ἀλυπότατα τὸν βίον προήκατο, ὥς φησιν ὁ Ἵππαρχος, ἐν-

8–p. 661.1 Hermippi Fr. 31 Wehrli. Cf. **Φ** 69; *Suda,* Δ 448; Eudocia 319; Arsen., p. 193; F. Kudlien, *Medizin-historisches Journal* 10 (1975) 273–280

1 κελεῦσαι ss. **F**^{2} **2** θεασάμενον : ἰδὼν **Φ** | τὸ γάλα om. **Φ** | καὶ **BPFDΦ** et Eudoc., Arsen. : εἶναι Casaubon e *Suda,* agn. omnes | πρωτοτόκου : πρὸς τόκου **F** **4** κόρης ἀκολουθούσης τῶ ἱπποκράτει **BPFD** et Eudoc., Arsen. : τὴν κόρην τὴν μετὰ ἱπποκράτους ἐλθοῦσαν **Φ** et *Suda* **9** ὑπέργηρω **B** | τῶ **P** et *Suda,* Eudoc. : τὸ **BFD** **10** εἶναι : ὄντα **F** | ἀδελφιδῆν Reiske | λελυπῆσθαι Arsen. **11** θεσμοφόρων **BPF** et *Suda,* Arsen. : θεσμοφορίων **DΦ** et Eudoc. **12** αὐτὴ Kuehn : αὐτὴν **BPD** et *Suda* : αὐτῇ **F** et Eudoc., Arsen. **13** αὐτῷ Eudoc., Huebner : αὐτῶ **BPFΦ** et *Suda,* Arsen. : αὐτῇ **D** **13–14** τούτους δὴ : καὶ τούτους **Φ** **14** ῥησὶ **B**^{1}, ῥεισὶ **B**^{2} | διεκράτησεν : διεκαρτέρησεν Arsen. | αὐτὸν **PFD** : αὑτὸν **B** : ἑαυτὸν **Φ** et *Suda,* Eudoc., Arsen. **15** δὲ^{2} **FDP**^{4} et *Suda,* Eudoc., Arsen. : om. **BP**^{1} : δὴ Long **16** ἀλυπότατα τὸν **BF** et *Suda,* Eudoc. : ἀλυπότατον **P** : ἀλυπότατον τὸν **D** et Arsen. | ὡς – ἵππαρχος om. **F** | ὁ om. **D**, erasit **P**^{4}

νέα πρὸς τοῖς ἑκατὸν ἔτη βιούς. Ἡμεῖς τ' εἰς αὐτὸν ἐν τῇ Παμμέτρῳ τοῦτον ἐποιήσαμεν τὸν τρόπον·

Καὶ τίς ἔφυ σοφὸς ὧδε, τίς ἔργον ἔρεξε τοσοῦτον,
ὅσσον ὁ παντοδαὴς ἤνυσε Δημόκριτος;
Ὃς θάνατον παρεόντα τρί' ἤματα δώμασιν ἔσχεν
καὶ θερμοῖς ἄρτων ἄσθμασιν ἐξένισεν.

Τοιοῦτος μὲν ὁ βίος τἀνδρός.

Δοκεῖ δὲ αὐτῷ τάδε· | ἀρχὰς εἶναι τῶν ὅλων ἀτόμους 44
καὶ κενόν, τὰ δ' ἄλλα πάντα νενομίσθαι [δοξάζεσθαι]. Ἀπείρους τε εἶναι κόσμους καὶ γενητοὺς καὶ φθαρτούς. Μηδέν τε ἐκ τοῦ μὴ ὄντος γίνεσθαι μηδὲ εἰς τὸ μὴ ὂν φθείρεσθαι. Καὶ τὰς ἀτόμους δὲ ἀπείρους εἶναι κατὰ μέγεθος καὶ πλῆθος, φέρεσθαι δ' ἐν τῷ ὅλῳ δινουμένας. Καὶ οὕτω πάντα τὰ συγκρίματα γεννᾶν, πῦρ, ὕδωρ, ἀέρα, γῆν· εἶναι γὰρ καὶ ταῦτα ἐξ ἀτόμων τινῶν συστήματα· ἅπερ εἶναι ἀπαθῆ καὶ ἀναλλοίωτα διὰ τὴν στερρότητα. Τόν τε ἥλιον καὶ τὴν σελήνην ἐκ τοιούτων λείων καὶ περιφερῶν ὄγκων συγκεκρίσθαι, καὶ τὴν ψυχὴν ὁμοίως· ἣν καὶ νοῦν ταὐτὸν εἶναι. Ὁρᾶν δ' ἡμᾶς κατ' εἰδώλων ἐμπτώσεις.

3–6 *Anth. Pal.* 7.57; *Plan.* Cf. *Suda,* Π 234 **8–p. 662.8** κενόν : **φ** 19; Arsen., p. 194. Cf. *Suda,* A 1827 et E 3446 **8–9** cf. 68 B 9 et 125 DK

3 ἔφυ **PF** et *Pal.* : ἔφη **B** : ἔην **D** | ἔρεξαι **B** **4** ὅσον **B** | παντοδαὴς **PF** et *Pal.*, *Suda* : παντοκλῆς **BD** | ἤνυσε J. Opsopoeus et J. Fr. Herel : μήνυσε **PFD** et *Pal.*, *Suda* : μηνῦσαι **B** : μάνυε *Plan.* **5** παρεόντα **FP^4** et *Pal.* : παριόντα **BP^{1}QD** | ἔσχεν *Pal.* : ἔσχε **BPFD** **6** ἐξένισεν *Pal.* : ἐξένισε **BPFD** **8** δοκεῖ **BPFD** et Arsen. : ἐδόκει **φ**, Richards **9** νενομεῖσθαι **B** | δοξάζεσθαι om. **φ**, del. Kuehn **10** γεννητοὺς **B** et Arsen. **11** μὴ^2 **FDP^4** et Arsen. : μὴ δὲ **BP^{1}Q** : μηδὲν **φ** et *Suda* M **14** συγκρίμματα **F** : συγκρίνοντα **D** et Arsen. **15** τινῶν : τινὰ *Suda* **17** λείων **B^{2}P^{1}QD** et Arsen. : λοίων **B^1** : δινῶν **FP^4** : δι' ὧν **φ** **18** συγκεκρεῖσθαι **B** **19** ἐκπτώσεις **D**

45 Πάντα τε κατ' ἀνάγκην γίνεσθαι, τῆς δίνης αἰτίας οὔσης τῆς γενέσεως πάντων, ἣν ἀνάγκην λέγει. Τέλος δ' εἶναι τὴν εὐθυμίαν, οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ, ὡς ἔνιοι παρακούσαντες ἐξεδέξαντο, ἀλλὰ καθ' ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς ταραττομένη φόβου ἢ δεισιδαιμονίας ἢ ἄλλου τινὸς πάθους. Καλεῖ δ' αὐτὴν καὶ εὐεστὼ καὶ πολλοῖς ἄλλοις ὀνόμασι. Ποιότητας δὲ νόμῳ εἶναι, φύσει δὲ ἄτομα καὶ κενόν. Καὶ ταῦτα μὲν αὐτῷ ἐδόκει.

Τὰ δὲ βιβλία αὐτοῦ καὶ Θράσυλλος ἀναγέγραφε κατὰ τάξιν, (οὕτως ὡσπερεὶ καὶ τὰ Πλάτωνος) κατὰ τετραλογίαν.

46 Ἔστι δὲ ἠθικὰ μὲν τάδε·

Πυθαγόρης,
Περὶ τῆς τοῦ σοφοῦ διαθέσεως,
Περὶ τῶν ἐν Ἅιδου,
Τριτογένεια (τοῦτο δέ ἐστιν, ὅτι τρία γίνεται ἐξ αὐτῆς, ἃ πάντα ἀνθρώπινα συνέχει).

Περὶ ἀνδραγαθίας ἢ Περὶ ἀρετῆς,
Ἀμαλθείης κέρας,
Περὶ εὐθυμίης,

3 εὐθυμίαν : cf. v. 21; 68 B 3 et 4; A 166 et 167 DK **7** εὐεστώ : cf. p. 663.1; 68 A 167; B 4 et 140 DK **7–8** cf. 68 B 125 DK **10–p. 666.17** 68 A 33 DK **16** cf. Athen. 4, 168 B **17–18** cf. 68 B 2 DK; *Suda*, T 1019

1 δείνης **B**^{1} (corr. **B**^{2}) **4** ἐξεδέξαντο **BP**^{1}**D** et *Suda* (E 3446), **φ**, Arsen. : ἐξηγήσαντο **FP**^{4} γρ. in mg **7** ποιότητας Menagius : ποιητὰ **BPFDφ** **8** νόμῳ Zeller : νόμιμα **BPF Dφ** **10** θράσυλλος **PF** : θρασύλος **BD** **11** ὥσπερ ἢ **B** **16** Ἅιδου Casaubon ex Athen. et *Suda* (T 1019) : ἄιδη **B**^{2}**P**, ἅδη **FD** **18** ἃ πάντα : ἅπαντα **F** **20** ἀμαλθείης **P**^{1}**Q**, ἀμαλθίης **BD** : ἀμαλθίας **F**, ἀμαλθείας **P**^{4} **21** εὐθυμιᾶς **P**^{4}

Ὑπομνημάτων ἠθικῶν· ἡ γὰρ Εὐεστὼ οὐχ εὑρίσκεται. Καὶ ταῦτα μὲν τὰ ἠθικά.

Φυσικὰ δὲ τάδε·

Μέγας διάκοσμος (ὃν οἱ περὶ Θεόφραστον Λευκίππου φασὶν εἶναι),
Μικρὸς διάκοσμος,
Κοσμογραφίη,
Περὶ τῶν πλανήτων.

Περὶ φύσεως πρῶτον,
Περὶ ἀνθρώπου φύσιος (ἢ Περὶ σαρκός) δεύτερον,
Περὶ νοῦ,
Περὶ αἰσθησίων (ταῦτά τινες ὁμοῦ γράφοντες Περὶ ψυχῆς ἐπιγράφουσι).

Περὶ χυμῶν,
Περὶ χροῶν,
Περὶ τῶν διαφερόντων ῥυσμῶν, 47
Περὶ ἀμειψιρυσμιῶν.

Κρατυντήρια (ὅπερ ἐστὶν ἐπικριτικὰ τῶν προειρημένων),

6 cf. 9.41; 68 B 5 DK **19** cf. S.E. *Adv. math.* 7.136 (= 68 B 9 DK); *Suda,* K 2348

1 ἠθικῶν Stephanus Monachus ap. Menagium : ἢ οἴκων **BPF** : ἢ ὄγκων **D** | post ἠθικῶν addit α´ β´ Diels (68 B 4a DK) **2** post καὶ add. γὰρ **BP** **3** φυσικὰ δὲ – **5** εἶναι om. **F** (qui solum φησὶ habet) **4** λευκιππίου **P**^{4}**Q**, corr. **P**^{4} **10** φύσιος **BP** : φύσεως **FD** | δεύτερον Reiske, Diels : β´ **PF** : ἢ **BD** **13** αἰσθήσεων **D** | γράφοντες ὁμοῦ **F** **15** χειμῶν **F** **17** ῥυσμῶν – **19** τῶν om. **F** **17** ῥυσμῶν **DP**^{4} : ῥουσμῶν **BP**^{1}**Q** **18** ἀμιψειρισμῶν **BD** **19** κρατυντήρια **P** : κρατηντήρια **B** : κρατηντόρια **D** | ἐπικριτικὸς **D** : ἐπικριτικὸν *Suda* : ἐπικρατυντικὰ Bywater | προσειρημένων **B**^{1} (corr. **B**^{2})

Περὶ εἰδώλων ἢ Περὶ προνοίας,
Περὶ λογικῶν κανὼν α′ β′ γ′,
Ἀπορημάτων. Ταῦτα καὶ ⟨τὰ⟩ περὶ φύσεως.

Τὰ δὲ ἀσύντακτά ἐστι τάδε·

Αἰτίαι οὐράνιαι,
Αἰτίαι ἀέριοι,
Αἰτίαι ἐπίπεδοι,
Αἰτίαι περὶ πυρὸς καὶ τῶν ἐν πυρί,
Αἰτίαι περὶ φωνῶν,
Αἰτίαι περὶ σπερμάτων καὶ φυτῶν καὶ καρπῶν,
Αἰτίαι περὶ ζῴων α′ β′ γ′,
Αἰτίαι σύμμικτοι,
Περὶ τῆς λίθου. Ταῦτα καὶ τὰ ἀσύντακτα.

Μαθηματικὰ δὲ τάδε·

Περὶ διαφορῆς γνώμης ἢ Περὶ ψαύσιος κύκλου καὶ σφαίρης,
Περὶ γεωμετρίης,
Γεωμετρικῶν,
Ἀριθμοί.

Περὶ ἀλόγων γραμμῶν καὶ ναστῶν α′ β′,
Ἐκπετάσματα,
48 Μέγας ἐνιαυτὸς ἢ Ἀστρονομίη, παράπηγμα,

22 cf. 68 B 11r, 12–14 DK

1 εἰδώλων Cobet : εἰδώλου **BPD** : εἰδώ$^{\lambda}$ **F** **2** λογικῶν **FP**^{4} : λοιμῶν **BP**^{1}**QD** **3** post ἀπορημάτων addit α′ β′ Diels (68 B 11a DK) | τὰ add. Reiske **9** φρενῶν **F** **10** καὶ καρπῶν om. **F** **11** α′ β′ om. **F** **15** γνώμης **BPF** (cf. 68 B 11 l DK) : γνώμωνος **D**, γνώμονος Cobet : γωνίης Hicks **16** σφέρης **B** : σφαίρας **F** **18** γεωμετρικῶν **BPD** : γεωμετρικὸν **F** | post γεωμετρικῶν addit α′ β′ Diels (68 B 11n DK) **20** α′ om. **F** **22** παράπειγμα **F**

Ἅμιλλα κλεψύδρας ⟨καὶ οὐρανοῦ⟩.

Οὐρανογραφίη,
Γεωγραφίη,
Πολογραφίη,
Ἀκτινογραφίη. Τοσαῦτα καὶ τὰ μαθηματικά.

Μουσικὰ δὲ τάδε·

Περὶ ῥυθμῶν καὶ ἁρμονίης,
Περὶ ποιήσιος,
Περὶ καλλοσύνης ἐπέων,
Περὶ εὐφώνων καὶ δυσφώνων γραμμάτων.

Περὶ Ὁμήρου ἢ ὀρθοεπείης καὶ γλωσσέων,
Περὶ ἀοιδῆς,
Περὶ ῥημάτων,
Ὀνομαστικῶν. Τοσαῦτα καὶ τὰ μουσικά.

Τεχνικὰ δὲ τάδε·

Πρόγνωσις,
Περὶ διαίτης ἢ Διαιτητικόν,
[Ἢ] Ἰητρικὴ γνώμη,
Αἰτίαι περὶ ἀκαιριῶν καὶ ἐπικαιριῶν.

Περὶ γεωργίης ἢ Γεωργικόν,

11 cf. 68 B 21 DK **16** cf. 68 B 26b DK **20** cf. 68 B 26f et 28 DK; M. Wellmann, *ABA* 1921, 4

1 κλεψύδρας **C** et *Frob.* : κλεψύδραι **PD**, κλεψίδραι **BF** | καὶ οὐρανοῦ add. Diels (68 B 14a DK) **4–5** ἀκτινογραφίη πολογραφίη **B** **9** καλωσύνης **F** **10** γραμμάτων **PF** : πραγμάτων **BD** **11** ὀρθοεπίης **FD** **13** γραμμάτων **F** **14** post ὀνομαστικῶν lac. indic. Diels (68 B 26a DK) | ὀνομαστικὸν **P** **17** διαιτιτικὸν **B**[1] (corr. **B**[2]) **18** ἢ del. Diels **19** αἰτίαι **PF** : αἰτία **BD** | ἀκερίων καὶ ἐπικερίων **B** | καὶ ἐπικαιριῶν om. **F** **20** Γεωργικὸν Menagius, Γεωργικῶν Wellmann, Γεωργικὰ Diels : γεωμετρικὸν **BPFD**

Περὶ ζωγραφίης,
Τακτικὸν καὶ
Ὁπλομαχικόν. Τοσαῦτα καὶ τάδε.

Τάττουσι δέ τινες κατ' ἰδίαν ἐκ τῶν Ὑπομνημάτων καὶ ταῦτα·

49 Περὶ τῶν ἐν Βαβυλῶνι ἱερῶν γραμμάτων,
Περὶ τῶν ἐν Μερόῃ,
Ὠκεανοῦ περίπλους,
Περὶ ἱστορίης,
Χαλδαϊκὸς λόγος,
Φρύγιος λόγος,
Περὶ πυρετοῦ καὶ τῶν ἀπὸ νόσου βησσόντων,
Νομικὰ αἴτια,
†Χερνικὰ† [ἢ] προβλήματα.

Τὰ δ' ἄλλα, ὅσα τινὲς ἀναφέρουσιν εἰς αὐτόν, τὰ μὲν ἐκ τῶν αὐτοῦ διεσκεύασται, τὰ δ' ὁμολογουμένως ἐστὶν ἀλλότρια. Ταῦτα καὶ περὶ τῶν βιβλίων αὐτοῦ καὶ τοσαῦτα.

Γεγόνασι δὲ Δημόκριτοι ἕξ· πρῶτος αὐτὸς οὗτος, δεύτερος Χῖος μουσικὸς κατὰ τὸν αὐτὸν χρόνον, τρίτος ἀνδριαντοποιός, οὗ μέμνηται Ἀντίγονος, τέταρτος περὶ τοῦ ἱεροῦ τοῦ ἐν Ἐφέσῳ γεγραφὼς καὶ τῆς πόλεως [καὶ] Σαμο-

6 cf. 68 B 299 DK **7–14** cf. 68 B 299a–h DK **21** Ἀντίγονος : cf. Wilamowitz, *Antigonos,* 10 **21** τέταρτος : *FGrHist* 267 T 1

6 περὶ **BD** : τὸ περὶ **PF** **7** μερόῃ **BP^{1}D** : βερόῃ **FP^4** **14** χερνικὰ **BDP^4**, def. G. Giangrande, *Mnemos.* 27 (1974) 176–178 : χέρνιβα **P^{1}F** : Χειρόκμητα Salmasius (ad Solinum, 1100), cf. Plin. *N.H.* 24.160; Vitruv. 9 *praef.* 14 (= 68 B 300 DK) | ἢ **PF** : om. **BD**, del. Salmasius **17** καὶ **D**, Stephanus : ἢ **B PF** **22** post πόλεως add. καὶ **BPF** : om. **F**

θρᾳκης, πέμπτος ποιητὴς ἐπιγραμμάτων σαφὴς καὶ ἀνθηρός, ἕκτος Περγαμηνός, ἀπὸ ῥητορικῶν λόγων.

ΠΡΩΤΑΓΟΡΑΣ

Πρωταγόρας Ἀρτέμωνος ἤ, ὡς Ἀπολλόδωρος καὶ Δί- 50
⟨ν⟩ων ἐν Περσικῶν ε´, Μαιανδρίου, Ἀβδηρίτης, καθά φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τοῖς Περὶ νόμων, ὃς καὶ Θουρίοις νόμους γράψαι φησὶν αὐτόν· ὡς δ' Εὔπολις ἐν Κόλαξιν, Τήϊος· φησὶ γάρ·

Ἔνδον μέν ἐστι Πρωταγόρας ὁ Τήϊος.

Οὗτος καὶ Πρόδικος ὁ Κεῖος λόγους ἀναγινώσκοντες ἠρανίζοντο· καὶ Πλάτων ἐν τῷ Πρωταγόρᾳ φησὶ βαρύφωνον εἶναι τὸν Πρόδικον. Διήκουσε δὲ ὁ Πρωταγόρας Δημοκρίτου. Ἐκαλεῖτό τε Σοφία, ὥς φησι Φαβωρῖνος ἐν Παντοδαπῇ ἱστορίᾳ.

Καὶ πρῶτος ἔφη δύο λόγους εἶναι περὶ παντὸς πράγμα- 51
τος ἀντικειμένους ἀλλήλοις· οἷς καὶ συνηρώτα, πρῶτος

4–p. 671.16 80 A 1 DK **4–5** Apollodori F 70 (*FGrHist* 244) | Dinonis F 6 (*FGrHist* 690) **6** Heraclidis Fr. 150 Wehrli **9** Eupolidis Fr. 157.1 (*PCG* V) **11–12** Plat. *Protag.* 316 a 1 **13–14** Favorini Fr. 45 Mensching **13** Σοφία : immo Democritus (cf. Clem. *Strom.* 6.32.2; *Suda*, Δ 447). Cf. Volkmann (1890) 4 **15–16** 80 B 6a DK

1 σαφὴς **PF** : ἀφ' ἧς **B** : ἀφ' οὗ **D** **2** post λόγων addit εὐδοκιμήσας Reiske, agn. Diels, Long **3** *tit.* **FDP**^{4} : om. **B** (sed v. 4 πρωταγόρας litt. uncialibus) **4** Δίνων Menagius : δίων **BPFD** **5** Περσικῶν ε´ Diels : περσικῶν ἐν **P**^{1}**Q** : περσικοῖς ἐν **BD** : περσικοῖς **FP**^{4} | μαιανδρίου **P F** : μεανδρίου **BD** : μαιανδρίδου ἢ νεανδρίου *Suda* (Π 2958) | αὐδηρίτης **FD** **8** κόλαξι **FDB**^{2} **9** ἔνδον Cobet : ἔνδο^θ **BPF** : ἔνδοθι **D**, *Frob.* | hic et v. 12 προταγόρας **B** **10** ὁ κεῖος om. **FD** | κίος **B** **13** φαβορεῖνος **B** **16** οἷς : οὓς Richards

τοῦτο πράξας. Ἀλλὰ καὶ ἤρξατό που τοῦτον τὸν τρόπον· "Πάντων χρημάτων μέτρον ἄνθρωπος, τῶν μὲν ὄντων ὡς ἔστι, τῶν δὲ οὐκ ὄντων ὡς οὐκ ἔστιν." Ἔλεγέ τε μηδὲν εἶναι ψυχὴν παρὰ τὰς αἰσθήσεις, καθὰ καὶ Πλάτων φησὶν ἐν Θεαιτήτῳ, καὶ πάντα εἶναι ἀληθῆ. Καὶ ἀλλαχοῦ δὲ τοῦτον ἤρξατο τὸν τρόπον· "Περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι οὔθ' ὡς εἰσίν, οὔθ' ὡς οὐκ εἰσί· πολλὰ γὰρ τὰ κωλύοντα εἰδέναι, ἥ τε ἀδηλότης καὶ βραχὺς ὢν ὁ βίος
52 τοῦ ἀνθρώπου." Διὰ ταύτην δὲ τὴν ἀρχὴν τοῦ συγγράμματος ἐξεβλήθη πρὸς Ἀθηναίων· καὶ τὰ βιβλία αὐτοῦ κατέκαυσαν ἐν τῇ ἀγορᾷ, ὑπὸ κήρυκι ἀναλεξάμενοι παρ' ἑκάστου τῶν κεκτημένων.

Οὗτος πρῶτος μισθὸν εἰσεπράξατο μνᾶς ἑκατόν· καὶ πρῶτος μέρη χρόνου διώρισε καὶ καιροῦ δύναμιν ἐξέθετο καὶ λόγων ἀγῶνας ἐποιήσατο καὶ σοφίσμα⟨τα⟩ τοῖς πραγματολογοῦσι προσήγαγε· καὶ τὴν διάνοιαν ἀφεὶς πρὸς τοὔνομα διελέχθη καὶ τὸ νῦν ἐπιπόλαιον γένος τῶν ἐριστικῶν ἐγέννησεν· ἵνα καὶ Τίμων φησὶ περὶ αὐτοῦ·

Πρωταγόρης τ' ἐπίμ⟨ε⟩ικτος ἐριζέμεναι εὖ εἰδώς.

53 Οὗτος καὶ τὸ Σωκρατικὸν εἶδος τῶν λόγων πρῶτος ἐκί-

2–3 80 B 1 DK **3–5** cf. Plat. *Theaet.* 152 a ss. **6–9** 80 B 4 DK; Euseb. *Praep. ev.* 14.3.7; **Φ** 70 **19** Timonis B 47 Diels = *Suppl. Hell.* 821

2 post μέτρον addunt ἐστὶν S.E. *Adv. math.* 7.60; Plat. *Cratyl.* 386 a 1 | μέτρον ἄνθρωπος **FP**[4] : τῶν ἐν ἀνθρώποις **D** : μέτρον ἀνθρώποις **BP**[1]**Q** **7** οὔθ' ... οὔθ' **BP** et Euseb. : εἴθ' ... εἴθ' **FD** | post οὐκ εἰσὶ pergit Euseb. οὔθ' ὁποῖοί τινες ἰδέαν **8** ἥ : εἴ **F** **11** κήρυκι **Φ**, Cobet : κήρυκα **BPFD** : κήρυκος Kuehn | ἀναδεξάμενοι **F** | παρ' om. **FD** **12** ἑκάστους **F** **14** καὶ ῥοῦ **B** **15** ἐποιήσατο **BP**[1]**Q** : ἐθεάσατο **FDP**[4] | σοφίσματα *Aldobr.*, Cobet : σόφισμα **BPFD** **17** ἐπιπόλεον **B** : ἐπιπολάζον Lobeck (ad Phrynich. p. 2) **19** προταγόρης **BD** | ἐπίμικτος **BPFD**, corr. Diels : ἐπίμυκτος Meineke

νησε. Καὶ τὸν Ἀντισθένους λόγον, τὸν πειρώμενον ἀποδεικνύειν ὡς οὐκ ἔστιν ἀντιλέγειν, οὗτος πρῶτος διείλεκται, καθά φησι Πλάτων ἐν Εὐθυδήμῳ. Καὶ πρῶτος κατέδειξε τὰς πρὸς τὰς θέσεις ἐπιχειρήσεις, ὥς φησιν Ἀρτεμίδωρος ὁ διαλεκτικὸς ἐν τῷ Πρὸς Χρύσιππον. Καὶ πρῶτος τὴν καλουμένην τύλην, ἐφ' ἧς τὰ φορτία βαστάζουσιν, εὗρεν, ὥς φησιν Ἀριστοτέλης ἐν τῷ Περὶ παιδείας· φορμοφόρος γὰρ ἦν, ὡς καὶ Ἐπίκουρός πού φησι. Καὶ τοῦτον τὸν τρόπον ἤρθη πρὸς Δημοκρίτου, ξύλα ⟨εὖ⟩ δεδεκὼς ὀφθείς. Διεῖλέ τε τὸν λόγον πρῶτος εἰς τέτταρα· εὐχωλήν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν | (οἱ δὲ εἰς ἑπτά· 54 διήγησιν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν, ἀπαγγελίαν, εὐχωλήν, κλῆσιν), οὓς καὶ πυθμένας εἶπε λόγων. Ἀλκιδάμας δὲ τέτταρας λόγους φησί· φάσιν, ἀπόφασιν, ἐρώτησιν, προσαγόρευσιν.

Πρῶτον δὲ τῶν λόγων ἑαυτοῦ ἀνέγνω τὸν Περὶ θεῶν, οὗ τὴν ἀρχὴν ἄνω παρεθέμεθα· ἀνέγνω δὲ Ἀθήνησιν ἐν τῇ Εὐριπίδου οἰκίᾳ ἤ, ὥς τινες, ἐν τῇ Μεγακλείδου· ἄλλοι

1–2 Antisthenis Fr. 42 Decleva **3** cf. Plat. *Euthyd.* 286 c 2 **5** Καὶ – **7** παιδείας : Aristotelis Fr. 63 Rose[3] **8** φορμοφόρος – **10** ὀφθείς : Epicuri Fr. 172 Usener. Cf. Athen. 8, 354 C (= 68 A 9 DK) **10–15** *Suda,* Π 2958 et 3132. Cf. Quintil. *I.O.* 3.4.10 **13** Ἀλκιδάμας : Fr. 8; *Or. Att.* II, 155 b 36 Baiter-Sauppe **17** ἄνω : 9.51

1 πειρόμενον **B** **4** κατέληξεν **B**[1] **6** τύλην : κοτύλην *Suda,* K 2166 **7** ἐν τῶ περὶ παιδείας om. **F** **9** ἤρθη : ἤχθη (servato Δημόκριτον) Croenert (*Kolotes,* 22 n. 116) | Δημοκρίτου Diels : δημόκριτον **BPFD** | ξύλα ⟨τύλῃ⟩ vel. v. 10 ὀφθεὶς ⟨σοφῶς⟩ Croenert | εὖ addidi **10** δεδεκὼς Casaubon : δεδοκὼς **B**, δεδωκὼς **PFD** **12** ἐντολὴν om. **F** | ἀπαγγελίαν **DP**[2] : ἐπαγγελίαν **BP**[1]**F** et *Suda* (Π 3122) : εἰσαγγελίαν *Suda* (Π 2958) **14** ἐρώτησιν ἀπόφασιν **F** **17** ἄνωθεν **F** | παραθέμεθα **B**

ἐν Λυκείῳ, μαθητοῦ τὴν φωνὴν αὐτῷ χρήσαντος Ἀρχαγόρου τοῦ Θεοδότου. Κατηγόρησε δ' αὐτοῦ Πυθόδωρος Πολυζήλου, εἷς τῶν τετρακοσίων· Ἀριστοτέλης δὲ Εὔαθλόν φησιν.

55 Ἔστι δὲ τὰ σῳζόμενα αὐτοῦ βιβλία τάδε·

Τέχνη ἐριστικῶν,
Περὶ πάλης,
Περὶ τῶν μαθημάτων,
Περὶ πολιτείας,
Περὶ φιλοτιμίας,
Περὶ ἀρετῶν,
Περὶ τῆς ἐν ἀρχῇ καταστάσεως,
Περὶ τῶν ἐν Ἅιδου,
Περὶ τῶν οὐκ ὀρθῶς τοῖς ἀνθρώποις πρασσομένων,
Προστακτικός,
Δίκη ὑπὲρ μισθοῦ,
Ἀντιλογιῶν α' β'.

Καὶ ταῦτα μὲν αὐτῷ τὰ βιβλία. Γέγραφε δὲ καὶ Πλάτων εἰς αὐτὸν διάλογον.

Φησὶ δὲ Φιλόχορος, πλέοντος αὐτοῦ εἰς Σικελίαν τὴν ναῦν καταποντωθῆναι· καὶ τοῦτο αἰνίττεσθαι Εὐριπίδην ἐν τῷ Ἰξίονι. Ἔνιοι ⟨δὲ⟩ κατὰ τὴν ὁδὸν τελευτῆσαι αὐ-

2–4 Aristotelis Fr. 67 Rose^{3} **6** cf. 80 B 6 DK **7** cf. 80 B 8 DK **8** cf. 80 B 7 DK **21–23** Philochori F 217 (*FGrHist* 328) **22–23** *Tr.Gr.Fr.* p. 490 N^{2}

1 λυκείω **FDP^{4}** : λυκία **B**, λυκεία **P^{1}Q** | ἀρσαγόρου **B** **2** κατηγόρησε – **3** ἀριστοτέλης in mg **F^{2}** **2** πολυξήλου **B** **3** post ἀριστοτέλης (**F^{2}**) addit τὸ τέλος in ras. **F^{1}** **6** ante τέχνη lac. indic. Diels | ἐριστικῶν **P^{1}QFD** : ἐριστικὸν **BP^{3}W** **8** τῶν om. **F** **18** α' om. **F** **19** αὐτοῦ **F** **21** φιλόχωρος **FD** **23** δὲ add. **C** et Cobet

τόν, βιώσαντα ἔτη πρὸς τὰ ἐνενήκοντα· Ἀπολλόδωρος δέ 56
φησιν ἑβδομήκοντα, σοφιστεῦσαι δὲ τεσσαράκοντα καὶ ἀκμάζειν κατὰ τὴν τετάρτην καὶ ὀγδοηκοστὴν Ὀλυμπιάδα.

Ἔστι καὶ εἰς τοῦτον ἡμῶν οὕτως ἔχον·

Καὶ σέο, Πρωταγόρη, φάτιν ἔκλυον, ὡς ἄρ' Ἀθηνῶν
ἔκ ποτ' ἰὼν καθ' ὁδὸν πρέσβυς ἐὼν ἔθανες·
εἵλετο γάρ σε φυγεῖν Κέκροπος πόλις· ἀλλὰ σὺ μέν που
Παλλάδος ἄστυ φύγες, Πλουτέα δ' οὐκ ἔφυγες.

Λέγεται δέ ποτε αὐτὸν ἀπαιτοῦντα τὸν μισθὸν Εὔαθλον τὸν μαθητήν, ἐκείνου εἰπόντος· "Ἀλλ' οὐδέπω δίκην νενίκηκα," εἰπεῖν· "Ἀλλ' ἐγὼ μὲν ἂν νικήσω, ὅτι ἐγὼ ἐνίκησα, λαβεῖν με δεῖ· ἐὰν δὲ σύ, ὅτι σύ."

Γέγονε δὲ καὶ ἄλλος Πρωταγόρας, ἀστρολόγος, εἰς ὃν καὶ Εὐφορίων ἐπικήδειον ἔγραψε· καὶ τρίτος, Στωϊκὸς φιλόσοφος.

ΔΙΟΓΕΝΗΣ

Διογένης Ἀπολλοθέμιδος Ἀπολλωνιάτης, ἀνὴρ φυσι- 57
κὸς καὶ ἄγαν ἐλλόγιμος. Ἤκουσε δέ, φησὶν Ἀντισθένης,

1–3 *FGrHist* 244 F 71 **3** i.e. 444–440 **6–9** *Anth. Pal.* 7.130; *Plan.* **10–13** Fr. 6 Spengel (*Synag. techn.*, 26) **15** Euphorionis Fr. 21 Powell **18–p. 672.14** 64 A 1 DK **19–p. 672.1** Antisthenis F 15 (*FGrHist* 508)

1 βιώσαντα (omisso ἔτη) πρὸς τὰ ἐνενήκοντα in mg infer. **F**^{2} : om. **F**^{1}**D** | ἔτη ⟨η′⟩ πρὸς Reiske **2** ἑβδομήκοντα, σοφιστεῦσαι δὲ τεσσαράκοντα **BP** : σοφιστεῦσαι αὐτὸν μ′ ἔτη **FD** **6** σέο Sternbach : σεῦ **P** : σὲ **BFD** et *Pal.* | φάτιν **F** **DP**^{4} et *Plan.* : φασὶν **BP**^{1}**Q** et *Pal.* | Ἀθηνῶν scripsi ex *Pal.* : ἀθηναίων **BP** : ἀθηνέων **FD** **7** ἔκ ποτ' ἰὼν : ἐκ ποτίων **B** | πρέσβυς ἐὼν **P**^{2}**QFD** : πρεσβευσεων **BP**^{1} **8** εἵδετο **B** **9** φυγ ἐς **B** **10** ἀπετοῦντα **B** **11** δίκην scripsi : νίκην **B** **P** : om. **FD**, *Frob.* **15** ἐπικήδιον **B** **17** *tit.* **BFDP**^{4} **18** ἀπολλοθέμιδος **FD** : ἀπολλοθέμιτος **BP** **19** ἀντισθένους **F**

Ἀναξιμένους. Ἦν δὲ [ἐν] τοῖς χρόνοις κατα Ἀναξαγόραν. Τοῦτόν φησιν ὁ Φαληρεὺς Δημήτριος ἐν τῇ Σωκράτους ἀπολογίᾳ διὰ μέγαν φθόνον μικροῦ κινδυνεῦσαι Ἀθήνησιν.

Ἐδόκει δὲ αὐτῷ τάδε· στοιχεῖον εἶναι τὸν ἀέρα, κόσμους ἀπείρους καὶ κενὸν ἄπειρον· τόν τε ἀέρα πυκνούμενον καὶ ἀραιούμενον γεννητικὸν εἶναι τῶν κόσμων· οὐδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι οὐδε εἰς τὸ μὴ ὂν φθείρεσθαι· τὴν γῆν στρογγύλην, ἠρεισμένην ἐν τῷ μέσῳ, τὴν σύστασιν εἰληφυῖαν κατὰ τὴν ἐκ τοῦ θερμοῦ περιφορὰν καὶ πῆξιν ὑπὸ τοῦ ψυχροῦ.

Ἀρχὴ δὲ αὐτῷ τοῦ συγγράμματος ἥδε· "Λόγου παντὸς ἀρχόμενον δοκεῖ μοι χρεὼν εἶναι τὴν ἀρχὴν ἀναμφισβήτητον παρέχεσθαι, τὴν δὲ ἑρμηνείαν ἁπλῆν καὶ σεμνήν."

ΑΝΑΞΑΡΧΟΣ

58 Ἀνάξαρχος Ἀβδηρίτης. Οὗτος ἤκουσε Διογένους τοῦ Σμυρναίου· ὁ δὲ Μητροδώρου τοῦ Χίου, ὃς ἔλεγε μηδὲ αὐτὸ τοῦτο εἰδέναι ὅτι οὐδὲν οἶδε· Μητρόδωρον δὲ Νεσ-

2–4 Demetrii Fr. 91 Wehrli **2** Τοῦτον : i.e. Anaxagoram (cf. 2.12–14) **12–14** 64 B 1 DK. Cf. DL 6.81 **16–p. 674.13** 72 A 1 DK (= Fr. 1 Dorandi). Cf. Eudociae *Violarium* 91 **16** Διογένους – **673.1** ἀκοῦσαι : cf. Clem. *Strom.* 1.64.4; Euseb. *P.E.* 14.17.10 (= 69 A 1–2; 70 A 1; 71 A 1 DK) **17–18** φ 11

1 ἐν del. Cobet **2** φαλιρεὺς **B** **7** καὶ ἀρεούμενον in mg **B**^{2} **9** ἠρεισμένην **P**^{2}**QF** : ἠρισμένην **BP**^{1} : ἠρηρεισμένην **DP**^{4} **10** εἰληφυῖαν **BPD** : ἐσχηκυῖαν **F** **12** τοῦ συγγράμματος αὐτῷ **F** **13** ἀναμφισβήτιτον **B** **15** *tit.* **BFD P**^{4} **16** ἀβδηρίτης **P**^{1} : ἀβδηρείτης **B** : αὐδηρίτης **F** : αὐδηρήτης **D** | διογένους **F** : διομένους **BPD** **17** ὁ **B**^{1}**P**^{1} **F** : οἱ **B**^{2}**DP**^{4} **18** μητρόδωρος **BPFD**, corr. Cobet | νεσσᾶ **B** : νέσα **P**^{1}**Q** : νέσου **FP**^{4}, *Frob.* : νασσᾶ **D**

σᾶ τοῦ Χίου, οἱ δὲ Δημοκρίτου φασὶν ἀκοῦσαι. Ὁ δ' οὖν Ἀνάξαρχος καὶ Ἀλεξάνδρῳ συνῆν καὶ ἤκμαζε κατὰ τὴν δεκάτην καὶ ἑκατοστὴν Ὀλυμπιάδα καὶ εἶχεν ἐχθρὸν Νικοκρέοντα τὸν Κύπρου τύραννον· καί ποτε ἐν συμποσίῳ τοῦ Ἀλεξάνδρου ἐρωτήσαντος αὐτὸν τί ἄρα δοκεῖ τὸ δεῖπνον, εἰπεῖν φασιν· "Ὦ βασιλεῦ, πάντα πολυτελῶς· ἔδει δὲ λοιπὸν κεφαλὴν σατράπου τινὸς παρατεθεῖσθαι," ἀπορρίπτων πρὸς τὸν Νικοκρέοντα. Ὁ δὲ μνησικακήσας, 59
μετὰ τὴν τελευτὴν τοῦ βασιλέως ὅτε πλέων ἀκουσίως προσηνέχθη τῇ Κύπρῳ ὁ Ἀνάξαρχος, συλλαβὼν αὐτὸν καὶ εἰς ὅλμον βαλὼν ἐκέλευσε τύπτεσθαι σιδηροῖς ὑπέροις. Τὸν δὲ οὐ φροντίσαντα τῆς τιμωρίας εἰπεῖν ἐκεῖνο δὴ τὸ περιφερόμενον· "Πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον, Ἀνάξαρχον δὲ οὐ πλήττεις." Κελεύσαντος δὲ τοῦ Νικοκρέοντος καὶ τὴν γλῶτταν αὐτοῦ ἐκτμηθῆναι, λόγος ἀποτραγόντα προσπτύσαι αὐτῷ. Καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν οὕτως ⟨ἔχον⟩·

Πτίσσε γε, Νικοκρέων, ἔτι καὶ μάλα· θύλακός ἐστι·
πτίσσε γ'· Ἀνάξαρχος δ' ἐν Διός ἐστι πάλαι.

1 Ὁ δ' οὖν Ἀνάξαρχος – **16** αὐτῷ : **Φ** 71; Arsen. *Violetum,* pp. 103 et 414. Cf. Athen. 6, 250 F–251 A; Plut. *Alex.* 28.4; Dion. Chrysost. *Or.* 37.45; Val. Max. 3.3 ext. 4; Cic. *N.D.* 3.82; Plin. *N.H.* 7.87; Apostol. 15.6; P. Bernard, *Journal des Savants* 1984, 3–48 **2–3** i.e. 340–336 **16** ἀποτραγόντα : cf. 9.27 **18–p. 674.2** *Anth. Pal.* 7.133

1 οἱ δὲ : ὃν δὴ Kochalsky **2** καὶ ἤκμαζε **BPD** : ἤκμαζε δὲ **F** **5** αὐτὸν **F**[2] (τὸν **F**[1]) **6** φασὶν **FDP**[4] : φησὶν **B P**[1]**Q** | πολυτελῆ **Φ** 71 **7** παρατεθῆναι **Φ** **11** τύπτεσθαι post ὑπέροις **F** **12** φροντήσαντα **F** **13** δὲ **F** | post δὲ repetit εἰπεῖν **F** | πτίσσε[2] **ΦD** et testes, Cobet : om. **BPF** **14** πλήττεις **BPFDΦ** et Arsen. : πτίσσεις Menagius e testibus **15** ἀποτμηθῆναι **Φ** **16** ἐκπτύσαι **F** **17** ἔχον add. Cobet **18** πτίσσε γε Gigante (1962) : πτίσσεται **BP** : πτύσεται **F** : πτύσσετε **D** : πτήσετε *Pal.*[1] | καὶ ἔτι **F** | μάλα **BP**[1]**D** et *Pal.* : μᾶλλον **FP**[4] **19** πτίσσε γ' Gigante : πτίσσετ' **BP** : πτύσσετ' **FD** : πτήσετ' *Pal.*[1]

Καί σε διαστείλασ⟨α⟩ γνάφοις ὀλίγῳ τάδε λέξει
ῥήματα Φερσεφόνη· "Ἔρρε, μυλωθρὲ κακέ."

60 Οὗτος διὰ τὴν ἀπάθειαν καὶ εὐκολίαν τοῦ βίου Εὐδαιμονικὸς ἐκαλεῖτο· καὶ ἦν ἐκ τοῦ ῥᾴστου δυνατὸς σωφρονίζειν. Τὸν γοῦν Ἀλέξανδρον οἰόμενον εἶναι θεὸν ἐπέστρεψεν· ἐπειδὴ γὰρ ἔκ τινος πληγῆς εἶδεν αὐτῷ καταρρέον αἷμα, δείξας τῇ χειρὶ πρὸς αὐτόν φησι· "Τουτὶ μὲν αἷμα καὶ οὐκ

ἰχὼρ οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσι."

Πλούταρχος δ' αὐτὸν Ἀλέξανδρον τοῦτο λέξαι πρὸς τοὺς φίλους φησίν. Ἀλλὰ καὶ ἄλλοτε προπίνοντα αὐτῷ τὸν Ἀνάξαρχον δεῖξαι τὴν κύλικα καὶ εἰπεῖν·

Βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί.

ΠΥΡΡΩΝ

61 Πύρρων Ἠλεῖος Πλειστάρχου μὲν ἦν υἱός, καθὰ καὶ Διοκλῆς ἱστορεῖ· ὡς δέ φησιν Ἀπολλόδωρος ἐν Χρονι-

5 Τὸν γοῦν – **13** **Φ** 71; Eudociae *Viol.* 91 **9** *Iliad.* 5.340 **10–11** Plut. *Alex.* 28.1 **13** Eurip. *Orest.* 271 **15–p. 708.14** cf. J. Barnes, *Elenchos* 7 (1986) 385–427 et *ANRW* II, 36.6 (1992) 4241–4301 **15–p. 675.10** Pyrrhonis T 1a Decleva **16–p. 675.1** *FGrHist* 244 F 39

1 διαστείλασ⟨α⟩ γνάφοις Jacobs, Huebner et ὀλίγῳ (= ἐν ὀλίγῳ χρόνῳ) scripsi : διαστείλας γένεφει ὀλίγον *Pal.* : διαστείλας ὀλίγον· τὰ δὲ νέφη **BP^{1}Q** : διαστείλαντ' ὀλίγον τὰ νέφη **D** : διαστείλας ὀλίγον τὰ δυσνεφῆ **FP^4** **2** φερσεφόνη **BPF** : περσεφόνη **D** et *Pal.* | ἔρρε **D** et *Pal.* : ἔρεε **BPF** : μίλωθρε *Pal.* | κακέ *Aldobr.* : κακή **BPFD** et *Pal.* **3** ἀπείθειαν **F** **5** σοφρονίζειν **B** **6** ἐπέτρεψεν **F** et Eudocia **7** καταρρέων **B^1** (corr. **B^2**) | λείξας **B^1** (corr. **B^2**) **11** φίλους : φιλοσόφους **F** **12** ἀνάξαρχον : ἀλέξανδρον **F** **13** βεβλήσαιτε **F** | τις ss. **F^2** | χερί **Φ**, Stephanus : χειρί **BPFD** et Eudocia **14** *tit.* **BP^{4}F^{2}D** **15** πλιστάρχου **B** **16** δέ **DP^4** : om. **BP^{1}QF**

κοῖς, πρότερον ἦν ζωγράφος, καὶ ἤκουσε Βρύσωνος ἢ Στίλπωνος, ὡς Ἀλέξανδρος ἐν Διαδοχαῖς, εἶτα Ἀναξάρχου, ξυνακολουθῶν πανταχοῦ, ὡς καὶ τοῖς Γυμνοσοφισταῖς ἐν Ἰνδίᾳ συμμῖξαι καὶ τοῖς Μάγοις. Ὅθεν γενναιότατα δοκεῖ φιλοσοφῆσαι, τὸ τῆς ἀκαταληψίας καὶ ἐποχῆς εἶδος εἰσαγαγών, ὡς Ἀσκάνιος ὁ Ἀβδηρίτης φησίν. Οὐδὲν γὰρ ἔφασκεν οὔτε καλὸν οὔτε αἰσχρόν, οὔτε δίκαιον οὔτε ἄδικον· καὶ ὁμοίως ἐπὶ πάντων μηδὲν εἶναι τῇ ἀληθείᾳ, νόμῳ δὲ καὶ ἔθει πάντα τοὺς ἀνθρώπους πράττειν· οὐ γὰρ μᾶλλον τόδε ἢ τόδε εἶναι ἕκαστον.

Ἀκόλουθος δ' ἦν κἀν τῷ βίῳ, μηδὲν ἐκτρεπόμενος 62
μηδὲ φυλαττόμενος, ἅπαντα ⟨δὲ⟩ ὑφιστάμενος, ἁμάξας, εἰ τύχοι, καὶ κρημνοὺς καὶ κύνας καὶ ὅσα τοιαῦτα, μηδὲν ταῖς αἰσθήσεσιν ἐπιτρέπων. Σῴζεσθαι μέντοι, καθά φασιν οἱ περὶ τὸν Καρύστιον Ἀντίγονον, ὑπὸ τῶν γνωρίμων παρακολουθούντων. Αἰνεσίδημος δέ φησι φιλοσοφεῖν μὲν αὐτὸν κατὰ τὸν τῆς ἐποχῆς λόγον, μὴ μέντοι γε ἀπροοράτως ἕκαστα πράττειν. Ὁ δὲ πρὸς τὰ ἐνενήκοντα ἔτη κατεβίω.

1–2 *FGrHist* 273 F 92; Fr. 203 A Doering **2** εἶτα – **10** φ 56 **11–16** T 6 Decleva **11–16** Wilamowitz, *Antigonos*, 36 **16–18** T 7 D. **18–19** T 9 D.

1 Βρύσωνος Menagius e *Suda* (Π 3238) : δρύσωνος **BPFD** | ἢ Nietzsche (1870) : τοῦ **BPFD** **2** ὡς – διαδοχαῖς om. **F** | ἀναξάρχῳ **F** **3** τοῖς om. **F** **6** ἀσκάνιος : Ἑκαταῖος Roeper[1] ex 9.69 **6** ἀβδηρίτης **P**[1] : ἀβληρίτης **B** : αὐδηρίτης **FDP**[4] **7** ἐσχρὸν **B**[1] (corr. **B**[2]) **11** κἀν Richards : καὶ **BPFD** **12** μηδὲ **FP**[4] : μηδὲν **BP**[1]**QD** | δὲ add. Reiske | ἀμάξας **FDP**[4] **13** κρυμνοὺς **B** | ὅσα : ὅλως Cobet | τοιαῦτα **D**, Stephanus : om. **BPF** **14** καθά φασιν **PD** : καθὰ φησὶν **B** : καθάπερ **F** **15** ἀρύστιον **B** | γνωρίμων : οἰκείων **Φ** 72 **16** αἰνησίδημος **BD** **17** τῆς **F** : om. **BFD** **18** ὁ δὲ – **19** κατεβίω in mg **F**[2]

Ἀντίγονος δέ φησιν ὁ Καρύστιος ἐν τῷ Περὶ Πύρ-
ρωνος τάδε περὶ αὐτοῦ, ὅτι τὴν ἀρχὴν ἄδοξός τε ἦν καὶ
πένης καὶ ζωγράφος. Σῴζεσθαί τε αὐτοῦ ἐν Ἤλιδι ἐν τῷ
63 γυμνασίῳ λαμπαδιστὰς μετρίως ἔχοντας. Ἐκπατεῖν τε
αὐτὸν καὶ ἐρημάζειν, σπανίως ποτε ἐπιφαινόμενον τοῖς
οἴκοι. Τοῦτο δὲ ποιεῖν ἀκούσαντα Ἰνδοῦ τινος ὀνειδίζον-
τος Ἀναξάρχῳ ὡς οὐκ ἂν ἕτερόν τινα διδάξαι οὗτος
ἀγαθόν, αὐτὸς αὐλὰς βασιλικὰς θεραπεύων. Ἀεί τε εἶναι
ἐν τῷ αὐτῷ καταστήματι, ὥστε εἰ καί τις αὐτὸν καταλίποι
μεταξὺ λέγοντα, αὐτῷ διαπεραίνειν τὸν λόγον, καίτοι
κεκινημένον [τε] ὄντα ἐν νεότητι. Πολλάκις, φησί, καὶ
ἀπεδήμει, μηδενὶ προειπών, καὶ συνερρέμβετο οἷστισιν
ἤθελε. Καί ποτε Ἀναξάρχου εἰς τέλμα ἐμπεσόντος, παρ-
ῆλθεν οὐ βοηθήσας· τινῶν δὲ αἰτιωμένων, αὐτὸς Ἀνάξ-
αρχος ἐπῄνει τὸ ἀδιάφορον καὶ ἄστοργον αὐτοῦ.
64 Καταληφθεὶς δέ ποτε καὶ αὐτῷ λαλῶν καὶ ἐρωτηθεὶς
τὴν αἰτίαν ἔφη μελετᾶν χρηστὸς εἶναι. Ἔν τε ταῖς ζητή-
σεσιν ὑπ' οὐδενὸς κατεφρονεῖτο διὰ τὸ ⟨καὶ δι⟩εξοδικῶς
λέγειν καὶ πρὸς ἐρώτησιν· ὅθεν καὶ Ναυσιφάνην ἤδη νε-

1–17 εἶναι : T 10 D. **1–p. 679.16** Wilamowitz, *Antigonos,* 35–40 **4** Ἐκπατεῖν – **p. 677.7** cf. **φ** 56 **17** Ἔν τε – **p. 677.5** αὐτοῦ : T 28 D.; 75 A 2 DK. Cf. **φ** 56

1 φησιν in mg **F**^{2} | ἐν τῷ περὶ πύρρωνος om. **F** **2** τε om. **F** **3** αὐτοῦ **FP**^{4} γρ. : αὐτὸν **BP**^{1}**Q** **5–6** τοῖς οἴκοις **F** **6** ἰνδοῦ in mg **F**^{2} **9** καταλίποι **P** et **φ** 56 : καταλείποι **BF**^{2}**D** : καταλείπει **F**^{1} **10** αὐτῷ **P**^{4} et **φ** : αὐτῷ **P**^{1}**F** : αὐτὸν **BD** | τὸν λόγον διαπεραίνειν **F** | καί τι **B** **11** τε **B** **P** : om. **FD** : del. *Frob.* | post τε lac. indic. Diels, qui supplet ⟨τῷ τοῦ ὄχλου κρότῳ καὶ φιλόδοξον⟩ | πολλάκι **F** **12** συνερέμβετο **BPFDφ** **13** ἤθελεν **FDP**^{4}**φ** : ἔθελεν **BP**^{1}**Q** **16** καὶ αὐτῷ **BP**^{1}**Q** : ἑαυτῷ **FD**, Cobet : καὶ ἑαυτῷ **P**^{4} : αὐτῷ **φ** **18** καὶ add. Wilamowitz | ⟨δι⟩εξοδικῶς Kuehn : ἐξοδικῶς **BPFDφ** **19** ναυσιφάνη **B**

ανίσκον ὄντα θηραθῆναι. Ἔφασκε γοῦν γίνεσθαι δεῖν τῆς μὲν διαθέσεως τῆς Πυρρωνείου, τῶν δὲ λόγων τῶν ἑαυτοῦ. Ἔλεγέ τε πολλάκις καὶ Ἐπίκουρον θαυμάζοντα τὴν Πύρρωνος ἀναστροφὴν συνεχὲς αὐτοῦ πυνθάνεσθαι περὶ αὐτοῦ. Οὕτω δ' αὐτὸν ὑπὸ τῆς πατρίδος τιμηθῆναι, ὥστε καὶ ἀρχιερέα καταστῆσαι αὐτὸν καὶ δι' ἐκεῖνον πᾶσι τοῖς φιλοσόφοις ἀτέλειαν ψηφίσασθαι.

Καὶ δὴ καὶ πολλοὺς εἶχε ζηλωτὰς τῆς ἀπραγμοσύνης· ὅθεν καὶ ὁ Τίμων περὶ αὐτοῦ φησιν ἐν τῷ Πύθωνι καὶ ἐν τοῖς Σίλλοις οὕτως·

Ὦ γέρον, ὦ Πύρρων, πῶς ἢ πόθεν ἔκδυσιν εὗρες **65**
λατρείης δοξῶν [τε] κενεοφροσύνης τε σοφιστῶν,
καὶ πάσης ἀπάτης πειθοῦς τ' ἀπελύσαο δεσμά;
Οὐδ' ἔμελέν σοι ταῦτα μεταλλῆσαι, τίνες αὖραι
Ἑλλάδ' ἔχουσι, πόθεν τε καὶ εἰς ὅ τι κύρει ἕκαστα.

Καὶ πάλιν ἐν τοῖς Ἰνδαλμοῖς·

1 Ἔφασκε et **3** Ἔλεγε : sc. Ἀντίγονος ὁ Καρύστιος **3-5** αὐτοῦ : Usener, p. 417b **5–7** T 11 D. **8–p. 678.3** T 60 et 61 B D. **11–15** Timonis B 48 Diels = *Suppl. Hell.* 822 = Fr. 48 Di Marco

1 οὖν **F** **2** πυρρωνίου **B**, πυρωνίου **P**^{1} **4** πύρωνος **P** **6** καταστῆσαι **BPDφ** : τιμηθῆναι **F** | αὐτὸν **F**^{1}, αὐτῷ **F**^{2} **8** καὶ^2 om. **FD** | ζηλωτὰς εἶχε πολλοὺς **F** **9** ὅθεν om. **F** | post ἐν τῷ Πύθωνι lac. indicavere Wachsmuth (Fr. 38), Wilamowitz et Diels **10** οὕτως post v. 9 φησιν **BPFD**, huc traieci **11** ὦ γέρον **BPD** : ἢ γέροντος **F** | ὦ πύρρων om. **F** | ἔκδυσιν **BP**^{1}**QD** : ἔκλυσιν **FP**^{4}, *Frob.* **12** τε^1 del. Usener | κενοφροσύνης **BPFD**, corr. Usener **14** οὐδ' ἔμελεν **P** : οὐδεμέλε **B** : οὐδὲ μέλει **FD** | μεταλλῆσαι Wachsmuth (ex *Odyss.* 16.465) : μετάλλησι **B** : μεταλλησῃ **P**^{1}(**Q**) : μεταλλήσειν **P**^{4}**H**, *Frob.* : μετ' ἄλλοισιν **D**, Cobet : μεταμελήσειν **F** | τίνες Cobet : τίνος **FDP**^{4}, τινὸς **BP**^{1} | αὔρας **P**^{1}**Q** (corr. **P**^{2}) **15** δ' ἑλλάδ' **B** | ἔχουσαι **B** | κύρει Wachsmuth : κυρῃ **P**^{1}**Q** : κυρεῖ **FDP**^{3}**W** | ἑκάστη Wilamowitz (p. 38)

Τοῦτό μοι, ὦ Πύρρων, ἱμείρεται ἦτορ ἀκοῦσαι,
πῶς ποτ' ἀνὴρ ἔτ' ἄγεις ῥᾷστα μεθ' ἡσυχίης,
μοῦνος ἐν ἀνθρώποισι θεοῦ τρόπον ἡγεμονεύων.

Ἀθηναῖοι δὲ καὶ πολιτείᾳ αὐτὸν ἐτίμησαν, καθά φησι
66 Διοκλῆς, ἐπὶ τῷ Κότυν τὸν Θρᾷκα διαχρήσασθαι. Εὐσε-
βῶς δὲ καὶ τῇ ἀδελφῇ συνεβίω μαί⟨ᾳ⟩ οὔσῃ, καθά φησιν
Ἐρατοσθένης ἐν τῷ Περὶ πλούτου καὶ πενίας, ὅτε καὶ
αὐτὸς φέρων εἰς τὴν ἀγορὰν ἐπίπρασκεν ὀρνίθια, εἰ τύχοι,
καὶ χοιρίδια, καὶ τὰ ἐπὶ τῆς οἰκίας ἐκάθαιρεν ἀδιαφόρως.
Λέγεται δὲ καὶ δέλφακα λούειν αὐτὸς ὑπὸ ἀδιαφορίας.
Καὶ χολήσας τι περὶ τῆς ἀδελφῆς (Φιλίστα δὲ ἐκαλεῖτο),
πρὸς τὸν ⟨ἐπι⟩λαβόμενον εἰπεῖν ὡς οὐκ ἐν γυναίῳ ἡ ἐπί-
δειξις τῆς ἀδιαφορίας. Καὶ κυνός ποτε ἐπενεχθέντος δια-
σοβηθέντα εἰπεῖν πρὸς τὸν αἰτιασάμενον, ὡς χαλεπὸν εἴη
ὁλοσχερῶς ἐκδῦναι τὸν ἄνθρωπον· διαγωνίζεσθαι δὲ ὡς

1–3 Timonis B 67.1–2 et 5 Diels = *Suppl. Hell.* 841.1–2 et 5. Cf. S.E. *Adv. math.* 1.305 et 11.1 **4–5** T 13 D. **5–10** ἀδιαφορίας : T 14 D.; Eratosthenis F 23 (*FGrHist* 241) **11** Καὶ – **p. 679.2** T 15 A D. Cf. Euseb. *P.E.* 14.18.26 et J. Brunschwig, in *Mélanges Jean Pépin* (Parisiis, 1992) 133–146

2 ἀνὴρ ἔτ' ἄγεις *Frob.* (cf. Timonis B 59.3 Diels πρεσβυγενὴς ἔτ' ἐών; Plat. *Menex.* 236 c 8–9) : ἀνὴρ ὁ ταγεὶς **B** : ἀνὴρ ὅτ' ἄγεις **P** : ἀνήροτ' ἄγεις **F** : ἀνὴρ κατὰ γῆς δὴ **D** | ῥῇστα S.E. | ἡσυχίης **BP^{1}QD** et S.E. : ἡσυχίας **FP^4** **3** ἐν : δ' S.E. | ἡγεμονεύων **BPF** : ἡγεμονεύει· **D** : ἡγεμονεύεις S.E. **5** τῷ **PD** : τὸν **B** : τὸ **F** **6** μαίᾳ οὔσῃ *Frob.* : μαιούσῃ **BPFD** : μαιουούσῃ **φ**, μαιευούσῃ Iunius **7** ἐν τῷ – πενίας om. **F** | ὅτε Cobet post *Ambros.* (quo tempore) : ὅτι **BPFD** **8** αὐτὸς Menagius : οὗτος **PFD** : οὕτως **B** : om. **φ** | ἀγορὰν **P^{2}QF** : αρυν **B^1** : ἄνρυν **B^{2}P^{1}Dφ** | ὄρνιθας **F^2** | εἰ τύχοι om. **F** **9** ἐκάθαιρεν **φ**, Menagius : καθάροι **BPFD** **11** χηλήσας **F** | δὲ **FP^4** : om. **BP^{1}φ** **12** ⟨ἐπι⟩λαβόμενον Kuehn : λαβόμενον **BPFDφ** | ἡ **FP^4** : om. **BP^{1}Dφ** **13** κύνα et ἐπενεχθέντα **F** **15** τὸν om. **F**

οἷόν τε πρῶτον μὲν τοῖς ἔργοις πρὸς τὰ πράγματα, εἰ δὲ μή, τῷ γε λόγῳ.

Φασὶ δὲ καὶ σηπτικῶν φαρμάκων καὶ τομῶν καὶ καύ- **67**
σεων ἐπί τινος ἕλκους αὐτῷ προσενεχθέντων, ἀλλὰ μηδὲ
τὰς ὀφρῦς συναγαγεῖν. Καὶ ὁ Τίμων δὲ διασαφεῖ τὴν
διάθεσιν αὐτοῦ ἐν οἷς πρὸς Πύθωνα διέξεισιν. Ἀλλὰ καὶ
Φίλων ὁ Ἀθηναῖος, γνώριμος αὐτοῦ γεγονώς, ἔλεγεν ὡς
ἐμέμνητο μάλιστα μὲν Δημοκρίτου, εἶτα δὲ καὶ Ὁμήρου,
θαυμάζων αὐτὸν καὶ συνεχὲς λέγων·

Οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν·

καὶ ὅτι σφηξὶ καὶ μυίαις καὶ ὀρνέοις εἴκαζε τοὺς ἀνθρώπους. Προφέρεσθαι δὲ καὶ ταῦτα·

Ἀλλά, φίλος, θάνε καὶ σύ· τίη ὀλοφύρεαι οὕτως;
Κάτθανε καὶ Πάτροκλος, ὅ περ σέο πολλὸν ἀμείνων·

καὶ ὅσα συντείνει εἰς τὸ ἀβέβαιον καὶ κενόσπουδον ἅμα **68**
καὶ παιδαριῶδες τῶν ἀνθρώπων.

Ποσειδώνιος δὲ καὶ τοιοῦτό τι διέξεισι περὶ αὐτοῦ. Τῶν γὰρ συμπλεόντων αὐτῷ ἐσκυθρωπακότων ὑπὸ χειμῶ-

3–5 T 16 D. **5** Καὶ – **6** διέξεισιν : T 51 D.; Timonis B 79 Diels **6** Ἀλλὰ καὶ – **16** T 20 D. **8–14** **Φ** 72 **10** *Iliad.* 6.146 **13–14** *Iliad.* 21.106–107 **17–p. 680.3** T 17 A D.; Posidonii F 287 Edelstein-Kidd = Fr. 453 Db Theiler

1 τε : ται **B** **3** καὶ^{1} **FP**^{4} : om. **BP**^{1} **5** διασαφῆ **F** **6** διέξησιν **B** **8** μάλιστα ss. **F**^{2} **10** γενεή τε, τοίη δὲ in mg **F**^{2} | δὲ om. **B** **11** σφηξὶ J. Fr. Herel (in Klotzii *Actis litt.* 2, 103) : φησὶ **BPFD** **12** δὲ ss. **F**^{2} | ταῦτα **BPD** : τάδε **F** **13** τίη **P** : τί ἢ **F** : τη **B**^{1} : τί **Φ** : τί δὴ **D** | οὕτως **B** et Homer. : αὕτως **PQFD**, αὔτως **Φ**, *Frob.* **14** ὅ περ **PD** : ὅσπερ **F**^{2}**Φ** : ὥσπερ **B**, ὥσπερ **F**^{1} | πολλῶν **FD** **17** τοιοῦτο **B**^{1}**PD** : τοιοῦτον **B**^{2}**F**^{2} : τουτό **F**^{1} | τι ss. **P**^{1} **18** συμπλεόντων αὐτῶ **Φ**, Cobet : ἐμπλεόντων **BPFD**

νος, αὐτὸς γαληνὸς ὢν ἀνέρρωσε τὴν ψυχήν, δείξας ἐν τῷ πλοίῳ χοιρίδιον ἐσθίον καὶ εἰπὼν ὡς χρὴ τὸν σοφὸν ἐν τοιαύτῃ καθεστάναι ἀταραξίᾳ. Μόνος δὲ Νουμήνιος καὶ δογματίσαι φησὶν αὐτόν. Τούτου πρὸς τοῖς ἄλλοις καὶ μαθηταὶ γεγόνασιν ἐλλόγιμοι, ὧν Εὐρύλοχος· οὗ φέρεται ἐλάσσωμα τόδε. Φασὶ γὰρ ὡς οὕτω παρωξύνθη ποτέ, ὥστε τὸν ὀβελίσκον ἄρας μετὰ τῶν κρεῶν ἕως τῆς ἀγορᾶς
69 ἐδίωκε τὸν μάγειρον. Καὶ ἐν Ἤλιδι καταπονούμενος ὑπὸ τῶν ζητούντων ἐν τοῖς λόγοις, ἀπορρίψας θοἰμάτιον διενήξατο πέραν τὸν Ἀλφειόν. Ἦν οὖν πολεμιώτατος τοῖς σοφισταῖς, ὡς καὶ Τίμων φησίν.

Ὁ δὲ Φίλων τὰ πλεῖστα διελέγετο ⟨ἑαυτῷ⟩· ὅθεν καὶ περὶ τούτου φησὶν οὕτως·

Ἢ τὸν ἀπ' ἀνθρώπων αὐτόσχολον αὐτολαλητὴν
οὐκ ἐμπαζόμενον δόξης ἐρίδων τε Φίλωνα.

Πρὸς τούτοις διήκουσε τοῦ Πύρρωνος Ἑκαταῖός τε ὁ Ἀβδηρίτης καὶ Τίμων ὁ Φλιάσιος, ὁ τοὺς Σίλλους πεποιη-

3 Μόνος – **4** αὐτόν : T 42 D. **4** Τούτου – **15** T 37 D. **10–11** Timonis B 49 Diels = *Suppl. Hell.* 823 **12–15** T 38 D. **14–15** Timonis B 50 Diels = *Suppl. Hell.* 824 **16–p. 681.10** T 39 A D. **16–17** 73 A 3 DK; Timonis A 3 Diels (*PPF*)

2 ἐσθίων **FD** **6** ὡς **FP**^{4} : om. **BP**^{1}**D** **7** μετὰ – **8** κατα- in mg infer. **F**^{2} **9** ἀπορρίψας **Φ**, ἀπορίψας **BP** : ἀπορρήξας **FD** | ἐνήχετο **Φ** **10** πέραν **BP**^{1}**QD** : om. **FΦP**^{4} : secl. Cobet | τὸν ss. **P**^{2} | οὖν **FDP**^{4} : οὖν ἂν **BP**^{1}**Q** **11** τίμων **P**^{2}**QD** : τίμωνα **BP**^{1}**F** | φασὶν**F** **12** φίλων **P**, φιλῶν **BD** : τίμων **F** | τὰ πλεῖστά ⟨οἱ⟩ Wachsmuth (63) | ἑαυτῷ add. Cobet, Diels **13** οὕτως Menagius : οὑτωσεὶ (pro οὕτως· ἢ) **B**, οὑτωσὶ **D** : οὗτος **PF** **14** ἀπ' ἀνθρώπων : ἀπάνθρωπον **G**, Casaubon, Cobet | αὐτόσχολον Meineke : ἀπόσχολον **BPFD** **15** ἐρίδοντ' **D** | φίλωνα **PF** : φίλων **B**^{1}**D** : φίλον **B**^{2} **16** τοῦ om. **F** **17** ἀβδηρίτης **P**^{1}**Q** : αὐδηρίτης **BFDP**^{4}

κώς, περὶ οὗ λέξομεν· ἔτι τε Ναυσιφάνης ⟨ὁ⟩ Τήϊος, οὗ φασί τινες ἀκοῦσαι Ἐπίκουρον. Οὗτοι πάντες Πυρρώνειοι μὲν ἀπὸ τοῦ διδασκάλου, ἀπορητικοὶ δὲ καὶ σκεπτικοὶ καὶ ἔτι ἐφεκτικοὶ καὶ ζητητικοὶ ἀπὸ τοῦ οἷον δόγματος προσηγορεύοντο. Ζητητικὴ μὲν οὖν φιλοσοφία ἀπὸ τοῦ 70
πάντοτε ζητεῖν τὴν ἀλήθειαν, σκεπτικὴ δὲ ἀπὸ τοῦ σκέπτεσθαι ἀεὶ καὶ μηδέποτε εὑρίσκειν, ἐφεκτικὴ δὲ ἀπὸ τοῦ μετὰ τὴν ζήτησιν πάθους (λέγω δὴ τὴν ἐποχήν), ἀπορητικὴ δὲ ἀπὸ τοῦ ⟨περὶ παντὸς ἀπορεῖν, εἰ καὶ⟩ τοὺς δογματικοὺς ἀπορεῖν καὶ αὐτούς. [Πυρρώνειοι δὲ ἀπο Πύρρωνος.] Θεοδόσιος δὲ ἐν τοῖς Σκεπτικοῖς κεφαλαίοις οὔ φησι δεῖν Πυρρώνειον καλεῖσθαι τὴν σκεπτικήν· εἰ γὰρ τὸ καθ' ἕτερον κίνημα τῆς διανοίας ἄληπτόν ἐστιν, οὐκ εἰσόμεθα τὴν Πύρρωνος διάθεσιν· μὴ εἰδότες δὲ οὐδὲ Πυρρώνειοι

1 75 A 3 DK. Cf. 9.102 **1–2** Usener, p. 413b **2** ss. **Φ** 8 **2** Οὗτοι – **p. 682.3** *Suda,* Π 3241 **2–10** αὐτούς : S.E. *P.h.* 1.7 **11** Θεοδόσιος – **p. 682.3** T 41 D. **11–12** Fr. 308 Deichgraeber (*Empirikerschule*)

1 λέξωμεν **B** | ὁ add. Hicks **2** πυρρώνιοι **B** **5** ζητητικὴ μὲν οὖν φιλοσοφία et **6** σκεπτικὴ, **7** ἐφεκτικὴ, **8** ἀπορητικὴ **BPFD** (cf. S.E. *P.h.* 1.7 Ἡ σκεπτικὴ τοίνυν ἀγωγή et **Φ** 8 αἵρεσις) : ζητητικοὶ μὲν οὖν (omisso φιλοσοφία) ... σκεπτικοὶ ... ἐφεκτικοὶ ... ἀπορητικοὶ Menagius e *Suda* (Π 3241), agn. Cobet, Hicks **5** ζητητικοὶ **F** et **6** σκεπτικοὶ F^1 (-ὴ F^2) **8** δὴ **Φ** et *Suda* : δὲ **BPFD** | τῆς ἐποχῆς **Φ** | ἀπορρητικὴ **F** **9** δὲ om. **B** | περὶ παντὸς ἀπορεῖν, εἰ καὶ addidi conl. S.E.*P.h.* 1.7 : περὶ παντὸς ἀπορεῖν add. iam Barnes (4291), deletis τοὺς δογματικοὺς ἀπορεῖν καὶ αὐτοὺς ut glossema **10** καὶ αὐτοὺς *Suda, Frob.* : καὶ αὐτοὺς δὲ **BPF** : om. **FΦ** | πυρρώνειοι δὲ ἀπὸ πύρρωνος om. *Suda,* secl. Casaubon | πυρρώνιοι **B**, πυρώνειοι **P** | πύρωνος **P** **11** θεοδώσιος **B** | δεῖν ss. F^2 : om. *Suda* **12** πυρρώνιον **B**, πυρώνειον **P** | τὸν σκεπτικὸν *Suda* **13** ἕτερον : ἕκαστον P^4 in mg | οὐ κεισόμεθα **B** **14** οὐδὲ : δὲ **F** | πυρώνιοι **B**

καλοίμεθ' ἄν. Πρὸς τῷ μηδὲ πρῶτον εὑρηκέναι τὴν σκεπτικὴν Πύρρωνα, μηδὲ ἔχειν τι δόγμα. Λέγοιτο δ' ἂν Πυρρώνειος ὁμοτρόπως.

71 Ταύτης δὲ τῆς αἱρέσεως ἔνιοί φασιν Ὅμηρον κατάρξαι, ἐπεὶ περὶ τῶν αὐτῶν πραγμάτων παρ' ὅντιν' ἄλλοτ' ἄλλως ἀποφαίνεται καὶ οὐδὲν ὁρικῶς δογματίζει περὶ τὴν ἀπόφασιν. Ἔπει⟨τα⟩ καὶ τὰ τῶν ἑπτὰ σοφῶν σκεπτικὰ εἶναι, οἷον τὸ Μηδὲν ἄγαν, καὶ Ἐγγύα, πάρα δ' ἄτα· δηλοῦσθαι γὰρ τῷ βεβαίως καὶ πεπεισμένως διεγγυωμένῳ ἐπακολουθεῖν ἄτην. Ἀλλὰ καὶ Ἀρχίλοχον καὶ Εὐριπίδην σκεπτικῶς ἔχειν, ἐν οἷς Ἀρχίλοχος μέν φησι·

Τοῖος ἀνθρώποισι νοῦς, ⟨ὦ⟩ Γλαῦκε Λεπτίνεω πάϊ,
γίνεται θνητοῖς, ὁκοίην Ζεὺς ἐπ' ἡμέρην ἄγει.

Εὐριπίδης δέ·

2 Λέγοιτο δ' ἄν : sc. ἡ σκεπτική **12–13** Archilochi Fr. 131 West. Cf. Stob. 1.1.18; Ps.-Plut. *V. Hom.* (B) 155; S.E. *Adv. math.* 7.128 et al. Cf. *Odyss.* 18.136–137

1 post ἂν rasura unius versus in **F** (fuit πρῶτον εὑρηκέναι) | πρὸς τῷ **PD** et *Suda* : πρὸς τὸ **BF** : ἄλλως δὲ **Φ** **2** post ἂν add. τι **P**[1]**Q**, del. **P**[4] | πυρρώνιος **B** **3** ὁμοτρόπως **FP**[4] : ὁμότροπος **BP**[1]**QD** **4** ὡς ἔνιοι **F** **5** περὶ – πραγμάτων in mg **F**[2] | παρ' ὅντιν' **B**[2]**PF** : παρόντινα **B**[1] : παρ' ὁντιναοῦν **D** **6** ὁριστικῶς *Suda* **7** ἔπει⟨τα⟩ Cobet : ἐπεὶ **BPF D** | τὰ Stephanus : τὰς **D** : om. **BPF** | σκεπτικὰ **F** : σκεπτικὰς **BPD** **9** δῆλον δὲ τῷ γὰρ βεβαίως **D** | γὰρ Cobet : καὶ **BPF** | τῷ **PD** : τὸ **BF** | πεπεισμένον **F** | διεγγυομένῳ **B** **10** μὴ ἐπακολουθεῖν **D** | ἀκολουθεῖν **F** **12** νοῦς **P**[2]**QF** et *Suda* (Π 3241) ex Homero : ῥύς **BP**[1] : μῆτις **D** : θυμὸς Stob., Ps.-Plut. alii | ὦ add. Menagius metri gr. | λεπτίναιω **F**[1] (corr. **F**[2]) | -ω παι **B**[1], ὤπται **B**[2] **13** γίνεσθαι *Suda* | ἐπ' **B** (ἐπιμέρην), **PD** : ἐφ' **F** : om. *Suda* | ἄγῃ Stob.

Τί δῆτα τούτους τοὺς ταλαιπώρους βροτοὺς
φρονεῖν λέγουσι; Σοῦ γὰρ ἐξηρτήμεθα
δρῶμέν τε τοιαῦθ' ἂν σὺ τυγχάνῃς θέλων.

Οὐ μὴν ἀλλὰ καὶ Ξενοφάνης καὶ Ζήνων ὁ Ἐλεάτης καὶ 72
Δημόκριτος κατ' αὐτοὺς σκεπτικοὶ τυγχάνουσιν· ἐν οἷς Ξενοφάνης μέν φησι·

Καὶ τὸ μὲν οὖν σαφὲς οὔτις ἀνὴρ ἴδεν οὐδέ τις ἔσται εἰδώς.

Ζήνων δὲ τὴν κίνησιν ἀναιρεῖ λέγων· "Τὸ κινούμενον οὔτε ἐν ᾧ ἔστι τόπῳ κινεῖται οὔτε ἐν ᾧ μὴ ἔστι"· Δημόκριτος δὲ τὰς ποιότητας ἐκβάλλων, ἵνα φησί· "Νόμῳ θερμόν, νόμῳ ψυχρόν, ἐτεῇ δὲ ἄτομα καὶ κενόν"· καὶ πάλιν· "Ἐτεῇ δὲ οὐδὲν ἴδμεν· ἐν βυθῷ γὰρ ἡ ἀλήθεια."

1–3 Eurip. *Suppl.* 734–736. Cf. Plut. *De Stoic. repugn.* 1056 B; **Φ** 8; *Suda,* Π 3241 **7–8** Xenophanis (21) B 34.1–2 DK. Cf. S.E. *Adv. math.* 7.49 et 110 **9–10** Zenonis (29) B 4 DK **11–12** Democriti (68) B 125 DK **13** 68 B 117 DK

1 ante τί addit ex Eurip. Ὦ Ζεῦ Cobet (deleto τούτους) | τούτους τοὺς $\mathbf{P^{2}QF\Phi}$: τούτοὺς **B**, τούτους $\mathbf{P^{1}}$: τοὺς *Suda* et Huebner ex Eurip. | τούτους τοὺς ταλαιπώρους βροτοὺς om. **D** **1–2** φρονεῖν βροτοὺς **F** **2** λέγουσι : λέγοιμ' ἂν Plut. | λεγούσης οὐ **D** | σοῦ : οὐ $\mathbf{P^{4}}$ γρ. in mg **3** τε : δὲ **F** | τοιαῦθ' $\mathbf{BP^{2}QF^{2}D}$ et Eurip. : τοιαῦτ(α) $\mathbf{P^{1}F^{1}}$: τοιάδ' Plut. | ἂν $\mathbf{P^{2}}$ et Eurip. : ἄν $\mathbf{P^{1}F}$: ἃ **BΦD** et *Suda*, Plut. | σὺ **BPΦ** (**D**) et Eurip. : εὖ **F** : δὴ *Suda* | τυγχάνῃς **P** et Eurip., τυγχάνῃ ἐθέλων **B** : τυγχάνεις **FΦ**(**D**) et *Suda,* Plut. | θέλων : φρονῶν Plut. **5** σκεπτικοὶ ss. $\mathbf{F^{2}}$ **7** ἴδεν *Frob.* e S.E. (bis) : οἶδεν **BFD** : εἶδεν **P** : γένετ' Plut. (*Aud. poet.* 17 E) **9** ἀναιρεῖ $\mathbf{BP^{1}D}$: ἀνῄρει $\mathbf{FP^{4}}$ γρ. in mg **11** ἐκβάλων **B** : ἐκβαλὼν *Frob.* **12 et 13** ἐτεῇ Stephanus : αἰτίῃ **BPFDΦ** **13** δὲ : μὲν **F** | ἴδμεν οὐδὲν **F** (οὐδὲν in mg $\mathbf{F^{2}}$)

Καὶ Πλάτωνα τὸ μὲν ἀληθὲς θεοῖς τε καὶ θεῶν παισὶν ἐκχωρεῖν, τὸν δὲ εἰκότα λόγον ζητεῖν. Καὶ Εὐριπίδην λέγειν·

73 Τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ κατθανεῖν δὲ ζῆν νομίζεται βροτοῖς;

Ἀλλὰ καὶ Ἐμπεδοκλέα·

οὕτως ⟨οὔτ'⟩ ἐπιδερκτὰ τάδ' ἀνδράσιν οὔτ' ἐπακουστὰ
οὔτε νόῳ περιληπτά·

Καὶ ἐπάνω·

αὐτὸ μόνον πεισθέντες, ὅτῳ προσέκυρσεν ἕκαστος.

Ἔτι μὴν Ἡράκλειτον· "Μὴ εἰκῇ περὶ τῶν μεγίστων συμβαλλώμεθα." Καὶ Ἱπποκράτην ἔστιν ἃ ἐνδοιαστῶς καὶ ἀνθρωπίνως ἀποφαίνεσθαι. Καὶ πρὶν Ὅμηρον·

Στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι·

καὶ

ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα·

1–2 cf. Plat. *Tim.* 40 d 6 **4–5** Eurip. Fr. 638 N^2. Cf. Plat. *Gorg.* 492 e 10; S.E. *P.h.* 3.229; *Suda,* T 662 **7–8** Empedoclis (31) B 2.7–8 DK **10** 31 B 2.5 DK **11–12** Heracliti (22) B 47 DK = Fr. 113 Marc. **14, 16** et **p. 685.2** *Iliad.* 20.248–250. Cf. **Φ** 8

2 εὐριπίδης **F** **4** εἶδεν **F** **4–5** κατθανεῖν τὸ ss. **P**^{4}, om. **P**^{1}**Q** **5** τὸ om. **Φ** | τὸ κατθανεῖν in mg infer. **B**^{2} | νομίζεται βροτοῖς **BPFDΦ** : κάτω νομίζεται S.E. **7** οὔτ' e S.E. *Adv. math.* 7.123 add. Casaubon | ἐπιδερκτὰ Casaubon e S.E. : ἐπεὶ τάδ' ἐρκτὰ **B**^{2}**PDF** (ἀρκτὰ) **8** περιληπτὰ : ληπτὰ **F** **10** αὐτῷ **F**^{1} (corr. **F**^{2}) | πεισθέντες, ὅτῳ Casaubon e S.E. : πεισθὲν τὸ τῷ **BP**^{1}**Q** : πεισθὲν τῷ **FP**^{4} : πεισθὲν ὅτω **D** **12** ἔστιν ἃ Richards : ἔπειτα **BPFD** | ἐνδιαστῶς **B** **13** ὅμηρον **F** : ὅμηρος **BPD** **14** γλῶσσα **BP**^{1} | ἐνὶ **B**^{2}**P** **16** ἔνθα καὶ ἔνθα **Φ**, ss. **P**^{4}, *Frob.* : ἔνθα καὶ **B** : ἔνθα **P**^{1}**F** : om. **D**

καὶ

ὁπποῖόν κ' εἴπησθα ἔπος, τοῖόν κ' ἐπακούσαις,

τὴν ἰσοσθένειαν λέγων καὶ ἀντίθεσιν τῶν λόγων. 74

Διετέλουν δὴ οἱ σκεπτικοὶ τὰ τῶν αἱρέσεων δόγματα πάντα ἀνατρέποντες, αὐτοὶ δὲ οὐδὲν ἀπεφαίνοντο δογματικῶς, ἕως δὲ τοῦ προφέρεσθαι τὰ τῶν ἄλλων καὶ διηγεῖσθαι, μηδὲν ὁρίζοντες, μηδ' αὐτὸ τοῦτο. Ὥστε καὶ τὸ μὴ ὁρίζειν ἀνῄρουν, λέγοντες οἷον Οὐδὲν ὁρίζομεν, ἐπεὶ ὥριζον ἄν. Προφερόμεθα δέ, φασί, τὰς ἀποφάσεις εἰς μήνυσιν τῆς ἀπροπτωσίας, ὡς, εἰ καὶ νεύσαντας, τοῦτο ἐνεδέχετο δηλῶσαι. Διὰ τῆς οὖν Οὐδὲν ὁρίζομεν φωνῆς τὸ τῆς ἀρρεψίας πάθος δηλοῦται· ὁμοίως δὲ καὶ διὰ τῆς Οὐδὲν μᾶλλον καὶ τῆς Παντὶ λόγῳ λόγος ἀντίκειται καὶ τῶν ὁμοίων.

Λέγεται δὲ τὸ Οὐδὲν μᾶλλον καὶ θετικῶς, ὡς ὁμοίων 75
τινῶν ὄντων· οἷον· Οὐδὲν μᾶλλον ὁ πειρατὴς κακός ἐστιν ἢ ὁ ψεύστης. Ὑπὸ δὲ τῶν σκεπτικῶν οὐ θετικῶς, ἀλλ'

4 ss. *Suda*, O 802; Φ 8 **7** μηδ' αὐτὸ τοῦτο : cf. 9.104 **8** Οὐδὲν ὁρίζομεν : cf. S.E. *P.h.* 1.197 **13** Οὐδὲν μᾶλλον : cf. S.E. *P.h.* 1.188–191; *Suda*, O 802 | Παντὶ λόγῳ : cf. S.E. *P.h.* 1.202–205

2 ὁπποῖον κ' Stephanus : ὁποῖον κ' **PΦ**, ὁποῖον καὶ **B** : ὁπποῖκον **F** | κ'^{2} **PDΦ** : καὶ **BF** **4** δὴ : δὲ **P**^{2}**QF** | τὰ **PFΦ** et *Suda* (O 802) : κατὰ **BD** **5** ἀπεφαίνοντο Cobet : ἀποφαίνονται **BP**^{1}**QDΦ** et *Suda* : ἀποφαίνοντες **FP**^{4} **6** δὲ **BPDΦ** : om. **F** | προφέρεσθαι **BP** : προσφέρεσθαι **F** : περιφέρεσθαι **Φ** **8** ὁρίζωμεν **B** **9** ὅριζον **F** | προφερόμενος **F** | εἰς om. **B** **10** μήνυσιν : μίμησιν **F** **11** οὖν **BP**^{1}**D** : om. **FP**^{4}**Φ** et *Suda* **12** ἀρρεψίας **Φ** et *Suda* : ἀρεψίας **BPFD** | δηλοῦται **BFDP**^{4} et *Suda* : δηλοῦνται **P**^{1}**Q** : δηλοῦντας **Φ** **14** τῶν ὁμοίων **D**, Cobet : ταῖς ὁμοίαις **BPF** et *Suda* **15** δὲ τὸ : καὶ **F** | post μᾶλλον addunt δὲ **BP**^{1}**Q** **16** οὐδὲν **Φ** et *Suda* : οὐθὲν **BPFD**

ἀναιρετικῶς λέγεται, ὡς ὑπὸ τοῦ ἀνασκευάζοντος καὶ λέγοντος· Οὐ μᾶλλον ἡ Σκύλλα γέγονεν ἢ ἡ Χίμαιρα. Αὐτὸ δὲ τὸ Μᾶλλον ποτὲ μὲν συγκριτικῶς ἐκφέρεται, ὡς ὅταν φῶμεν· Μᾶλλον τὸ μέλι γλυκὺ ἢ τὴν σταφίδα· ποτὲ δὲ θετικῶς καὶ ἀναιρετικῶς, ὡς ὅταν λέγωμεν· Μᾶλλον ἡ ἀρετὴ ὠφελεῖ ἢ βλάπτει· σημαίνομεν γὰρ ὅτι ἡ ἀρετὴ ὠφελεῖ, βλάπτει δ' οὔ.

76 Ἀναιροῦσι δὲ οἱ σκεπτικοὶ καὶ αὐτὴν τὴν Οὐδὲν μᾶλλον φωνήν· ὡς γὰρ οὐ μᾶλλόν ἐστι πρόνοια ἢ οὐκ ἔστιν, οὕτω καὶ τὸ Οὐδὲν μᾶλλον οὐ μᾶλλόν ἐστιν ἢ οὐκ ἔστι. Σημαίνει οὖν ἡ φωνή, καθά φησι καὶ Τίμων ἐν τῷ Πύθωνι, "τὸ μηδὲν ὁρίζειν, ἀλλὰ ἀπροσθετεῖν." Ἡ δὲ Παντὶ λόγῳ φωνὴ καὶ αὐτὴ συνάγει τὴν ἐποχήν· τῶν μὲν γὰρ πραγμάτων διαφωνούντων, τῶν δὲ λόγων ἰσοσθενούντων ἀγνωσία τῆς ἀληθείας ἐπακολουθεῖ. Καὶ αὐτῷ δὲ τούτῳ τῷ Λόγῳ λόγος ἀντίκειται, ὃς καὶ αὐτὸς μετὰ τὸ ἀνελεῖν τοὺς ἄλλους ὑφ' ἑαυτοῦ περιτραπεὶς ἀπόλλυται, κατ' ἴσον τοῖς καθαρτικοῖς, ἃ τὴν ὕλην προεκκρίναντα καὶ αὐτὰ ὑπεκκρίνεται καὶ ἐξαπόλλυται.

77 Πρὸς ὅ φασιν οἱ δογματικοὶ μὴ αἵρειν τὸν λόγον, ἀλλὰ προσεπισχυρίζειν. Μόνον οὖν διακόνοις ἐχρῶντο τοῖς λόγοις· οὐ γὰρ οἷόν τε ἦν μὴ λόγῳ λόγον ἀνελεῖν· καθ' ὃν τρόπον εἰώθαμεν λέγειν τόπον μὴ εἶναι, καὶ δεῖ πάντως

8–12 Pyrrhonis T 54 Decleva **11–12** Timonis B 80 Diels

1 ἀνερετικῶς **B^1** (corr. **B^2**) **2** ἡ^1 **PFD** et *Suda* : ἢ **B Φ** | ἡ^2 **FP^4** : om. **BP^{1}DΦ** et *Suda* **5** λέγωμεν (λέγομεν **F**) : φῶμεν *Frob.* alii | μᾶλλον : ὅταν **F** **6** ἡ om. **BP^1** **8** τὴν om. **B** **12** ἀλλὰ προσθετεῖν **F** **13** αὐτὴ : αὕτη **FP^4** | ἀποχὴν **B** **16** αὐτὸς Huebner : οὗτος **BPFDΦ** **18** προεκρίναντα **B^{1}F** **19** ἀπόλλυται **Φ** **20** post οἱ δογματικοὶ lac. indic. Cobet | αἵρειν **F**, *Frob.* : αἱρεῖν **BPDΦ** **21** διακόνοις **FP^4**, *Frob.* : διακονίαις **BP^{1}QDΦ** **22** λόγω λόγον **F**, *Frob.* : λόγον λόγω **BPDΦ**

τὸν τόπον εἰπεῖν, ἀλλ' οὐ δογματικῶς, ἀποδεικτικῶς δέ·
καὶ μηδὲν γίνεσθαι κατ' ἀνάγκην, καὶ δεῖ τὴν ἀνάγκην εἰ-
πεῖν. Τοιούτῳ τινὶ τρόπῳ τῆς ἑρμηνείας ἐχρῶντο· οἷα γὰρ
φαίνεται τὰ πράγματα, μὴ τοιαῦτα εἶναι τῇ φύσει, ἀλλὰ
μόνον φαίνεσθαι· ζητεῖν τε ἔλεγον οὐχ ἅπερ νοοῦσιν, ὅ τι
γὰρ νοεῖται δῆλον, ἀλλ' ὧν ταῖς αἰσθήσεσι μετίσχουσιν.

Ἔστιν οὖν ὁ Πυρρώνειος λόγος μνήμη τις τῶν φαινο- 78
μένων ἢ τῶν ὁπωσοῦν νοουμένων, καθ' ἣν πάντα πᾶσι
συμβάλλεται καὶ συγκρινόμενα πολλὴν ἀνωμαλίαν καὶ
ταραχὴν ἔχοντα εὑρίσκεται, καθά φησιν Αἰνεσίδημος ἐν
τῇ εἰς τὰ Πυρρώνεια ὑποτυπώσει. Πρὸς δὲ τὰς ἐν ταῖς
σκέψεσιν ἀντιθέσεις προαποδεικνύντες καθ' οὓς τρόπους
πείθει τὰ πράγματα, κατὰ τοὺς αὐτοὺς ἀνῄρουν τὴν περὶ
αὐτῶν πίστιν. Πείθειν γὰρ τά τε κατ' αἴσθησιν συμφώνως
ἔχοντα καὶ τὰ μηδέποτε ἢ σπανίως γοῦν μεταπίπτοντα τά
τε συνήθη καὶ τὰ νόμοις διεσταλμένα καὶ ⟨τὰ⟩ τέρποντα
καὶ τὰ θαυμαζόμενα. Ἐδείκνυσαν οὖν ἀπὸ τῶν ἐναντίων 79
τοῖς πείθουσιν ἴσας ⟨εἶναι⟩ τὰς πιθανότητας.

Αἱ δὲ ἀπορίαι κατὰ τῆς συμφωνίας τῶν φαινομένων ἢ
νοουμένων, ἃς ἀπεδίδοσαν, ἦσαν κατὰ δέκα τρόπους,
καθ' οὓς τὰ ὑποκείμενα παραλλάττοντα ἐφαίνετο. Τού-
τους δὲ τοὺς δέκα τρόπους [καθ' οὓς] τιθέασιν.

20 κατὰ δέκα τρόπους : cf. S.E. *P.h.* 36–163 et J. Annas et J. Barnes, *The Modes of Scepticism* (Cantabrigiae, 1985)

2 μηδὲν : -δὲν $\mathbf{B}^2$ **3** τινὶ om. **F** **5** ἔλεγχον **F** **7** πυρρώνιος **B**, πυρώνειος $\mathbf{P}^1$**F** | μνήμη τις **BPF(D)Φ** : μήνυσις Galesius **9** ἀνωμαλίαν Kuehn (cf. S.E. *P.h.* 1.12) : ἀνωφέλειαν **BPFDΦ** **11** πυρρώνια **B**, πυρώνεια $\mathbf{P}^1$ **15** τὰ^2 **F** $\mathbf{DP}^4$: om. $\mathbf{BP}^1$ **16** τὰ^2 add. Huebner **17** τὰ **PF** : om. **BD** : τὰ ⟨μὴ⟩ Annas et Barnes (186) | ἐδείκνυον **F** **18** εἶναι addidi **19** τῆς Reiske : τὰς **BPFD** | συμφωνίας : διαφωνίας Annas et Barnes | φαινομένων **PF** : πραγμάτων **B D** **20** ἀπεδίδωσαν **BF** **22** καθ' οὓς del. *Frob.* | τιθέασιν scripsi : τίθησιν **BPFD**

Ὧν πρῶτος ὁ παρὰ τὰς διαφορὰς τῶν ζῴων πρὸς ἡδονὴν καὶ ἀλγηδόνα καὶ βλάβην καὶ ὠφέλειαν. Συνάγεται δὲ δι' αὐτοῦ τὸ μὴ τὰς αὐτὰς ἀπὸ τῶν αὐτῶν προσπίπτειν φαντασίας καὶ τὸ διότι τῇ τοιαύτῃ μάχῃ ἀκολουθεῖ τὸ ἐπέχειν. Τῶν γὰρ ζῴων τὰ μὲν χωρὶς μίξεως γίνεσθαι, ὡς τὰ πυρίβια καὶ ὁ Ἀράβιος φοῖνιξ καὶ ⟨αἱ⟩ εὐλαί· τὰ δὲ ἐξ
80 ἐπιπλοκῆς, ὡς ἄνθρωποι καὶ τὰ ἄλλα. Καὶ τὰ μὲν οὕτως, τὰ δὲ οὕτως συγκέκριται· διὸ καὶ τῇ αἰσθήσει διαφέρει, ὡς κίρκοι μὲν ⟨ὁρᾶν⟩ ὀξύτατοι, κύνες δὲ ὀσφρητικώτατοι. Εὔλογον οὖν τοῖς διαφόροις τοὺς ὀφθαλμοὺς διάφορα καὶ τὰ φαντάσματα προσπίπτειν· καὶ τῇ μὲν αἰγὶ τὸν θαλλὸν εἶναι ἐδώδιμον, ἀνθρώπῳ δὲ πικρόν· καὶ τὸ κώνειον ὄρτυγι μὲν τρόφιμον, ἀνθρώπῳ δὲ θανάσιμον· καὶ ὁ ἀπόπατος ὑὶ μὲν ἐδώδιμος, ἵππῳ δὲ οὔ.

Δεύτερος ὁ παρὰ τὰς τῶν ἀνθρώπων φύσεις καὶ τὰ ἔθη καὶ ⟨ἰδιο⟩συγκρισίας· Δημοφῶν γοῦν ὁ Ἀλεξάνδρου τρα-
81 πεζοκόμος ἐν σκιᾷ ἐθάλπετο, ἐν ἡλίῳ δὲ ἐρρίγου. Ἄνδρων δὲ ὁ Ἀργεῖος, ὥς φησιν Ἀριστοτέλης, διὰ τῆς ἀνύδρου Λιβύης ὥδευεν ἄποτος. Καὶ ὁ μὲν ἰατρικῆς, ὁ δὲ

1–14 cf. S.E. *P.h.* 1.40–78. Cf. *Suda*, Π 3216 **15–p. 689.2** cf. S.E. *P.h.* 1.79–89 **17–19** Aristotelis Fr. 103 Rose^3

1 ὧν **Φ**, Long : ἐν **BPF** : om. **D** | πρῶτος **DΦ** : πρῶτον **BPF** | ὃ **F** **3** αὐτῶν : αὐτοῦ **B** **4** τῇ om. **F** **5** γὰρ ss. **P^2** **6** ἀρράβιος **PΦ** | αἱ e *Suda* add. Reiske **7** ἐπιπλοκῆς : συμπλοκῆς Menagius e S.E. (*P.h.* 1.41) | οὕτως **FΦ** : οὕτω **BPD** **8** οὕτως **B^{1}PFΦ** : οὕτω **B^{2}D** **9** κύρκοι **F** | ὁρᾶν add. Reiske | ὀσφριτικώτατοι **F** **10** εὔλογον **BP^{1}DΦ** : εὔδηλον **FP^4** γρ. in mg | post διάφορα addunt δὲ **BD** **11** προσπίπτειν : προσφέρειν **F** | θαλὸν **FD^1** **12** σκώνιον **B** **14** ἐδώδιμος **FΦ** : ἐδώδιμον **BPD** **15** φύσις **B** | καὶ τὰ ἔθη **D** : κατὰ ἔθνη **B^{2}PΦ** : καὶ ἔθνη **F** **16** καὶ ⟨ἰδιο⟩συγκρισίας scripsi e S.E. (*P.h.* 1.81), κατὰ ⟨ἰδιο⟩συγκρισίας iam Menagius : καὶ συγκρίσεις **B^{2}PFDΦ** : εονηκαῖς συγκρίσεις **B^1** **17** ἐρίγου **BP** | ἀνάρων **BD**

γεωργίας, ἄλλος ⟨δὲ⟩ ἐμπορίας ὀρέγεται. Καὶ ταὐτὰ οὓς μὲν βλάπτει, οὓς δὲ ὠφελεῖ· ὅθεν ἐφεκτέον.

Τρίτος ⟨ὁ⟩ παρὰ τὰς τῶν αἰσθητικῶν πόρων διαφοράς. Τὸ γοῦν μῆλον ὁράσει μὲν ὠχρόν, γεύσει δὲ γλυκύ, ὀσφρήσει δὲ εὐῶδες ὑποπίπτει. Καὶ ἡ αὐτὴ δὲ μορφὴ παρὰ τὰς διαφορὰς τῶν κατόπτρων ἀλλοία θεωρεῖται. Ἀκολουθεῖ οὖν μὴ μᾶλλον εἶναι τοῖον τὸ φαινόμενον ἢ ἀλλοῖον.

Τέταρτος ὁ παρὰ τὰς διαθέσεις καὶ κοινὰς παραλλα- 82
γάς, οἷον ὑγίειαν νόσον, ὕπνον ἐγρήγορσιν, χαρὰν λύπην, νεότητα γῆρας, θάρσος φόβον, ἔνδειαν πλήρωσιν, μῖσος φιλίαν, θερμασίαν ψῦξιν· παρὰ τὸ ⟨δια⟩πνεῖν ⟨ἢ⟩ [παρὰ τὸ] πιεσθῆναι τοὺς πόρους. Ἀλλοῖα οὖν φαίνεται τὰ προσπίπτοντα παρὰ τὰς ποιὰς διαθέσεις. Οὐδὲ γὰρ οἱ μαινόμενοι παρὰ φύσιν ἔχουσι· τί γὰρ μᾶλλον ἐκεῖνοι ἢ ἡμεῖς; Καὶ γὰρ ἡμεῖς τὸν ἥλιον ὡς ἑστῶτα βλέπομεν. Θέων δὲ ὁ Τιθορ⟨αι⟩εὺς ὁ Στωϊκὸς κοιμώμενος περιεπάτει ἐν τῷ ὕπνῳ καὶ Περικλέους δοῦλος ἐπ' ἄκρου τοῦ τέγους.

Πέμπτος ⟨ὁ⟩ παρὰ τὰς ἀγωγὰς καὶ τοὺς νόμους καὶ τὰς 83
μυθικὰς πίστεις καὶ τὰς ἐθικὰς συνθήκας καὶ δογματικὰς

3–7 cf. S.E. *P.h.* 1.90–99 **9–18** cf. S.E. *P.h.* 1.100–117 **19–p. 690.13** cf. S.E. *P.h.* 1.145–163

1 δὲ add. Cobet | ἐμπορείας **F** | ταὐτὰ Hicks : ταῦτα **BPFDΦ** **3** ὁ add. Huebner **9** κοινὰς **Φ** : κοινῶς **BPFD** | παραλλαγὰς : περιστάσεις Menagius e S.E. (*P.h.* 1.100) **12** ⟨δια⟩πνεῖν Reiske : πνεῖν **BPFDΦ** | ἢ add. Reiske **12–13** παρὰ τὸ^2 delevi **17** Τιθοραιεὺς Menagius : τιθορεὺς **P**^{1}**Φ** : τιθωρεὺς **BFDP**^{4} | ὁ^2 **FP**^{4} : om. **BP**^{1}**FDΦ** | κοιμώμενος del. Reiske **17–18** ἐν τῷ ὕπνῳ sive delendum sive ἐν τῷ ὑπερῴῳ legendum Diels **18** τοῦ τέγους ἄκρου **F** | τέγους **B**^{1}**PFΦ** : στέγους **B**^{2}**D** **19** ὁ add. Huebner | τὰς νόμους **F** **20** μυθικὰς : μουσικὰς **F**^{1} et **P**^{4} γρ., *Frob.* | τὰς ἐθικὰς Menagius e S.E. (*P.h.* 1.145) : τεχνικὰς **BPFDΦ**

ὑπολήψεις. Ἐν τούτῳ περιέχεται τὰ περὶ καλῶν καὶ αἰσχρῶν, περὶ ἀληθῶν καὶ ψευδῶν, περὶ ἀγαθῶν καὶ κακῶν, περὶ θεῶν καὶ γενέσεως καὶ φθορᾶς τῶν φαινομένων πάντων. Τὸ γοῦν αὐτὸ παρ' οἷς μὲν δίκαιον, παρ' οἷς δὲ ἄδικον· καὶ ἄλλοις μὲν ἀγαθόν, ἄλλοις δὲ κακόν. Πέρσαι μὲν γὰρ οὐκ ἄτοπον ἡγοῦνται θυγατρὶ μίγνυσθαι, Ἕλληνες δὲ ἔκθεσμον. Καὶ Μασσαγέται μέν, ὥς φησι καὶ Εὔδοξος ἐν τῷ πρώτῳ τῆς Περιόδου, κοινὰς ἔχουσι τὰς
84 γυναῖκας, Ἕλληνες δ' οὔ· Κίλικές τε λῃστείαις ἔχαιρον, ἀλλ' οὐχ Ἕλληνες. Θεούς τε ἄλλοι ἄλλους ἡγοῦνται· καὶ οἱ μὲν προνοεῖσθαι, οἱ δ' οὔ. Θάπτουσι δὲ Αἰγύπτιοι μὲν ταριχεύοντες, Ῥωμαῖοι δὲ καίοντες, Παίονες δ' εἰς τὰς λίμνας ῥιπτοῦντες· ὅθεν περὶ τἀληθοῦς ἡ ἐποχή.

Ἕκτος ὁ παρὰ τὰς μίξεις καὶ κοινωνίας, καθ' ὃν εἰλικρινῶς οὐδὲν καθ' αὑτὸ φαίνεται, ἀλλὰ σὺν ἀέρι, σὺν φωτί, σὺν ὑγρῷ, σὺν στερεῷ, θερμότητι, ψυχρότητι, κινήσει, ἀναθυμιάσεσιν, ἄλλαις δυνάμεσιν. Ἡ γοῦν πορφύρα διάφορον ὑποφαίνει χρῶμα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ λύχνῳ. Καὶ τὸ ἡμέτερον χρῶμα ἀλλοῖον ὑπὸ τῇ μεσημβρίᾳ
85 φαίνεται καὶ ⟨ὅτε⟩ ὁ ἥλιος ⟨δύνει⟩. Καὶ ὁ ἐν ἀέρι ὑπὸ δυοῖν

7–10 Eudoxi Fr. 278a Lasserre **14–p. 691.4** cf. S.E. *P.h.* 1.124–128

1 ὑπολήμψεις **B** | τοῦτο B^{1} (corr. B^{2}) **2** περὶ^{1} : καὶ **F** | ἀγαθῶν καὶ κακῶν **D** : τῶν τ' ἀγαθοῦ **BPF** : om. **Φ** **3** γενέσεως **Φ**, *Frob.* : γενέσεων **BPFD** | φθορῶν **D** **6** οὐκ ss. F^{2} | μιγῆναι FP^{4} γρ. **7** μασαγέται **P** | καὶ^{2} om. **F** **8** ἐν – περιόδου om. **F** | τῶ πρώτω **BD** : τῆ πρώτη **P** | κοινῶς **Φ** **10** ἄλλους **F** : ἄλλως **BPDΦ** **11** post δὲ^{2} add. καὶ **F** **12** τὰς om. P^{1} (add. P^{4}) **14** εἰλικρινὲς **Φ** **15** αὐτὸ B^{2}**FDΦ** : αὐτὸν B^{1}**P** **17** ἀναθυμιάσεσιν BP^{3}**WFD** : ἀναθυμιάσει P^{1}**Q** **19** τῆ μεσημβρία **B** (μεσυμβρία) **PΦ(D)** : τὴν μεσημβρίαν **F** **20** ὅτε et δύνει add. Kuehn : καὶ ⟨ὅτ' ἔδυ⟩ ὁ ἥλιος Gigante | δυοῖν **BDΦ** : δυεῖν **PF**

κουφιζόμενος λίθος ἐν ὕδατι ῥᾳδίως μετατίθεται, ἤτοι βαρὺς ὢν καὶ ὑπὸ τοῦ ὕδατος κουφιζόμενος, ἢ ἐλαφρὸς ὢν καὶ ὑπὸ τοῦ ἀέρος βαρυνόμενος. Ἀγνοοῦμεν οὖν τὸ κατ' ἰδίαν, ὡς ἔλαιον ἐν μύρῳ.

Ἕβδομος ὁ παρὰ τὰς ἀποστάσεις καὶ ποιὰς θέσεις καὶ τοὺς τόπους καὶ τὰ ἐν τοῖς τόποις. Κατὰ τοῦτον τὸν τρόπον τὰ δοκοῦντα εἶναι μεγάλα μικρὰ φαίνεται, τὰ τετράγωνα στρογγύλα, τὰ ὁμαλὰ ἐξοχὰς ἔχοντα, τὰ ὀρθὰ κεκλασμένα, τὰ ὠχρὰ ἑτερόχροα. Ὁ γοῦν ἥλιος παρὰ τὸ διάστημα ⟨μικρὸς⟩ [πόρρωθεν] φαίνεται· καὶ τὰ ὄρη πόρρωθεν ἀεροειδῆ καὶ λεῖα, ἐγγύθεν δὲ τραχέα. Ἔτι ὁ ἥλιος ἀνίσχων **86** μὲν ἀλλοῖος, μεσουρανῶν δὲ οὐχ ὅμοιος. Καὶ τὸ αὐτὸ σῶμα ἐν μὲν ἄλσει ἀλλοῖον, ἐν δὲ ψιλῇ γῇ ἕτερον· καὶ ἡ εἰκὼν παρὰ τὴν ποιὰν θέσιν, ὅ τε τῆς περιστερᾶς τράχηλος παρὰ τὴν στροφήν. Ἐπεὶ οὖν οὐκ ἔνι ἔξω τόπων καὶ θέσεων ταῦτα κατανοῆσαι, ἀγνοεῖται ἡ φύσις αὐτῶν.

Ὄγδοος ὁ παρὰ τὰς ποσότητας αὐτῶν ἢ θερμότητας ἢ ψυχρότητας ἢ ταχύτητας ἢ βραδύτητας ἢ ὠχρότητας ἢ ἑτεροχροιότητας. Ὁ γοῦν οἶνος μέτριος μὲν ληφθεὶς ῥώννυσι, πλείων δὲ παρίησιν· ὁμοίως καὶ ἡ τροφὴ καὶ τὰ ὅμοια.

Ἔνατος ὁ παρὰ τὸ ἐνδελεχὲς ἢ ξένον ἢ σπάνιον. Οἱ **87** γοῦν σεισμοὶ παρ' οἷς συνεχῶς ἀποτελοῦνται οὐ θαυμάζονται, οὐδ' ὁ ἥλιος, ὅτι καθ' ἡμέραν ὁρᾶται. Τὸν ἔνατον

5–16 cf. S.E. *P.h.* 1.118–123 **17–21** cf. S.E. *P.h.* 1.129–134 **23–p. 692.3** cf. S.E. *P.h.* 1.141–144

2 καὶ om. **FD** **3** ὢν om. **F**, del. Cobet **4** ἐλαίου Reiske **10** μικρὸς add. Kuehn : διπόδες add. Menagius : ποδιαῖος C.E. Triller (*Observ. crit.* III.9, p. 189), def. Annas et Barnes | πόρρωθεν[1] del. Huebner (cf. πόρρωθεν[2]) : τετράγωνος **Φ** **13** σῶμα : χρῶμα coni. Annas et Barnes **16** κατανοεῖσθαι **Φ** **17** ποσότητας **BPD** (cf. S.E. *P.h.* 1.129) : ποιότητας **FΦ** : ποσότητας ⟨καὶ ποιότητας⟩ Cobet, agn. Annas et Barnes

Φαβωρῖνος ὄγδοον, Σέξτος δὲ καὶ Αἰνεσίδημος δέκατον· ἀλλὰ καὶ τὸν δέκατον Σέξτος ὄγδοόν φησι, Φαβωρῖνος δὲ ἔνατον.

Δέκατος ὁ κατὰ τὴν πρὸς ἄλληλα σύμβλησιν, καθάπερ τὸ κοῦφον παρὰ τὸ βαρύ, τὸ ἰσχυρὸν παρὰ τὸ ἀσθενές, τὸ μεῖζον παρὰ τὸ ἔλαττον, τὸ ἄνω παρὰ τὸ κάτω. Τὸ γοῦν δεξιὸν φύσει μὲν οὐκ ἔστι δεξιόν, κατὰ δὲ τὴν ὡς πρὸς τὸ ἕτερον σχέσιν νοεῖται· μετατεθέντος γοῦν ἐκεί-
88 νου, οὐκέτ' ἔσται δεξιόν. Ὁμοίως καὶ πατὴρ καὶ ἀδελφὸς ὡς πρός τι καὶ ἡμέρα ὡς πρὸς τὸν ἥλιον καὶ πάντα ὡς πρὸς τὴν διάνοιαν. Ἄγνωστα οὖν τὰ πρός τι καθ' ἑαυτά. Καὶ οὗτοι μὲν οἱ δέκα τρόποι.

Οἱ δὲ περὶ Ἀγρίππαν τούτοις ἄλλους πέντε προσεισάγουσι, τόν τε ἀπὸ τῆς διαφωνίας καὶ τὸν εἰς ἄπειρον ἐκβάλλοντα καὶ τὸν πρός τι καὶ τὸν ἐξ ὑποθέσεως καὶ τὸν δι' ἀλλήλων. Ὁ μὲν οὖν ἀπὸ τῆς διαφωνίας, ὃ ἂν προτεθῇ ζήτημα παρὰ τοῖς φιλοσόφοις ἢ τῇ συνηθείᾳ, πλείστης μάχης καὶ ταραχῆς πλήρες ἀποδεικνύει. Ὁ δὲ εἰς ἄπειρον ἐκβάλλων οὐκ ἐᾷ βεβαιοῦσθαι τὸ ζητούμενον, διὰ τὸ ἄλλο ἀπ' ἄλλου τὴν πίστιν λαμβάνειν καὶ οὕτως εἰς
89 ἄπειρον. Ὁ δὲ πρός τι οὐδέν φησι κατὰ πάντα ⟨ἰδίως⟩

3 ἔνατον : cf. J. Mansfeld, *Revue de philos. anc.* 5 (1987) 235–248 **4–11** cf. S.E. *P.h.* 1.135–140 **13–p. 693.10** cf. S.E. *P.h.* 1.164–169. Cf. J. Barnes, *The Toils of Scepticism* (Cantabrigiae, 1990)

1 et **2** φαβορεῖνος **B** **2** ⟨τὸν πέμπτον⟩ δέκατον Hirzel (*Untersuchungen*, III, 116 n.1) | σέκστος **B** **4** ἄλληλα **FD P**^{4} : ἄλλα **P**^{1}**QΦ** : ἄλλας **B** | σύμβασιν **BD** **7** κατὰ δὲ – **9** δεξιόν in mg infer. **F**^{2} **8** μετατιθέντος **F**^{2} **11** τὰ **F DΦP**^{4} : om. **BP**^{1} | post πρός τι add. ὡς **FP**^{4} **12** οἱ om. **F** **14** et **16** διαφωνίας **F**^{2}, διανοίας bis **F**^{1} **15–16** δι' ἀλλήλων : διάλληλον S.E. (1.164) **20** ἄλλο **F**^{2}, ἄλλου **F**^{1} **21** κατὰ πάντα : κατ' αὐτὸ *Frob.*, καθ' ἑαυτὸ Stephanus, agn. omnes | ἰδίως addidi

λαμβάνεσθαι, ἀλλὰ μεθ' ἑτέρου. Ὅθεν ἄγνωστα εἶναι. Ὁ δὲ ἐξ ὑποθέσεως τρόπος συνίσταται οἰομένων τινῶν τὰ πρῶτα τῶν πραγμάτων αὐτόθεν δεῖν λαμβάνειν ὡς πιστὰ καὶ μὴ αἰτεῖσθαι· ὅ ἐστι μάταιον· τὸ ἐναντίον γάρ τις ὑποθήσεται. Ὁ δὲ δι' ἀλλήλων τρόπος συνίσταται ὅταν τὸ ὀφεῖλον τοῦ ζητουμένου πράγματος εἶναι βεβαιωτικὸν χρείαν ἔχῃ τῆς ἐκ τοῦ ζητουμένου πίστεως· οἷον εἰ τὸ εἶναι πόρους τις βεβαιοῖ διὰ τὸ ἀπορροίας γίνεσθαι, ⟨καὶ⟩ αὐτὸ παραλαμβάνοι πρὸς βεβαίωσιν τοῦ ἀπορροίας γίνεσθαι.

Ἀνῄρουν δὲ οὗτοι καὶ πᾶσαν ἀπόδειξιν καὶ κριτήριον 90
καὶ σημεῖον καὶ αἴτιον καὶ κίνησιν καὶ μάθησιν καὶ γένεσιν καὶ τὸ φύσει τι εἶναι ἀγαθὸν ἢ κακόν. Πᾶσα γὰρ ἀπόδειξις, φασίν, ἢ ἐξ ἀποδεδειγμένων σύγκειται χρημάτων ἢ ἐξ ἀναποδείκτων. Εἰ μὲν οὖν ἐξ ἀποδεδειγμένων, κἀκεῖνα δεήσεταί τινος ἀποδείξεως κἀντεῦθεν εἰς ἄπειρον· εἰ δὲ ἐξ ἀναποδείκτων, ἤτοι πάντων ἢ τινῶν ἢ καὶ ἑνὸς μόνου διστάζομένου, καὶ τὸ ὅλον εἶναι ἀναπόδεικτον. Εἰ δὲ δοκεῖ, φασίν, ὑπάρχειν τινὰ μηδεμιᾶς ἀποδείξεως δεόμενα, θαυμαστοὶ τῆς γνώμης, εἰ μὴ συνιᾶσιν ὅτι εἰς αὐτὸ τοῦτο πρῶτον, ὡς ἄρα ἐξ αὐτῶν ἔχει τὴν

11–p. 694.9 cf. S.E. *P.h.* 2.183–184; *Adv. math.* 8.380

1 ⟨κατα⟩λαμβάνεσθαι Kuehn **2** οἰωμένων **F** **5** ὑποτιθήσεται **Φ** **6** ὀφίλον **B** | τοῦ πράγματος τοῦ ζητουμένου **F** **7** χρείαν – πίστεως in mg **F**² | ἔχει **B** **8** βεβαιοῖ **BPF D** : βεβαιοῖτο **Φ** : βεβαιῶν Cobet | τὸ : τοῦ **Φ** | ἀπορροίας : ἀπορίας **P**⁴, *Frob.* | καὶ addidi **9** αὐτὸ – **10** γίνεσθαι in mg **F**² **9** αὐτῷ **B** | post αὐτὸ addit τοῦτο Cobet | παραλαμβάνει **BF** | τοῦ **F**² : τὸ **B P** **14** ἀπόδειξις : -δειξις in mg **F**² **14** σύγκειται – **15** ἀποδεδειγμένων in mg **F**² **17** ἤτοι πάντων post τινῶν ss. **F**² | ἢ² om. **F** **18** διστάζομένου **D**, *Frob.* : διαστιζομένου **BPFΦ** **19** φησὶν **FD** **21** αὐτῶν Huebner : αὐτῶν **BPFD** : αὐτοῦ **Φ**

91 πίστιν, ἀποδείξεως χρή. Οὐδὲ γὰρ τὸ τέτταρα εἶναι τὰ στοιχεῖα ἐκ τοῦ τέτταρα εἶναι τὰ στοιχεῖα βεβαιωτέον. Πρὸς τῷ καὶ τῶν κατὰ μέρος ἀποδείξεων ἀπιστουμένων ἄπιστον εἶναι καὶ τὴν γενικὴν ἀπόδειξιν. Ἵνα τε γνῶμεν ὅτι ἔστιν ἀπόδειξις, κριτηρίου δεῖ· καὶ ὅτι ἔστι κριτήριον, ἀποδείξεως δεῖ· ὅθεν ἑκάτερα ἀκατάληπτα ἀναπεμπόμενα ἐπ' ἄλληλα. Πῶς ἂν οὖν καταλαμβάνοιτο τὰ ἄδηλα, τῆς ἀποδείξεως ἀγνοουμένης; Ζητεῖται δὲ οὐκ εἰ φαίνεται τοιαῦτα, ἀλλ' εἰ καθ' ὑπόστασιν οὕτως ἔχει.

Εὐήθεις δὲ τοὺς δογματικοὺς ἀπέφαινον. Τὸ γὰρ ἐξ ὑποθέσεως περαινόμενον οὐ σκέψεως ἀλλὰ θέσεως ἔχει λόγον. Τοιούτῳ δὲ λόγῳ καὶ ὑπὲρ ἀδυνάτων ἔστιν ἐπιχει-
92 ρεῖν. Τοὺς δ' οἰομένους μὴ δεῖν ἐκ τῶν κατὰ περίστασιν κρίνειν τἀληθὲς μηδ' ἐκ τῶν κατὰ φύσιν νομοθετεῖν, ἔλεγον αὐτοὺς μέτρα τῶν πάντων ὁρίζειν, οὐχ ὁρῶντας ὅτι πᾶν τὸ φαινόμενον κατ' ἀντιπερίστασιν καὶ διάθεσιν φαίνεται. Ἤτοι γοῦν πάντα ἀληθῆ ῥητέον ἢ πάντα ψευδῆ. Εἰ δ' ἔνιά ἐστιν ἀληθῆ, ⟨ἔνια δὲ ψευδῆ⟩, τίνι διακριτέον; Οὔτε γὰρ αἰσθήσει τὰ κατὰ αἴσθησιν, πάντων ἴσων αὐτῇ φαινομένων, οὔτε νοήσει διὰ τὴν αὐτὴν αἰτίαν. Ἄλλη δὲ παρὰ ταύτας εἰς ἐπίκρισιν δύναμις οὐχ ὁρᾶται.

Ὁ οὖν, φασί, περί τινος διαβεβαιούμενος αἰσθητοῦ ἢ νοητοῦ πρότερον ὀφείλει τὰς περὶ τούτου δόξας κατα-

1 χρή **PFΦ** : χρεία **B**[2]**D** : χρεῖ **B**[1] | τὸ om. **F** **2** τὰ **FD** : om. **BPΦ** **3** τῷ **PDΦ** : τὸ **BF** **6** δεῖ : χρὴ **F** | ἀκατάλημπτα **B** | post ἀκατάληπτα addit εἶναι **Φ** **7** καταλαμβάνειτο **B** **7–8** τὰ ἄδηλα **ΦP**[4] : τἄδηλα **D** : τὰ δῆλα **BP**[1]**Q** : om. **F** **10** τὸ γὰρ **FP**[4] : om. **BP**[1]**QD** **15** αὐτοὺς *Frob.* : αὐτοῖς **BPFD** **16** περίστασιν **D** | διάστασιν **F** **17** ἢ πάντα[2] : εἴτε **F** **18** ἔνια[1] : ἔννοια **F**[1] (corr. **F**[2]) | ἔνια[2] δὲ ψευδῆ add. Reiske **20** αὐτὴν : τοιαύτην **P**[4] **21** ἄλλοι **F** | ταύτας **PF** : ταῦτα **BD** **23** τούτου Cobet : τούτων **BPFD**

στῆσαι· οἱ μὲν γὰρ ταῦτα, οἱ δὲ ταῦτα ἀνῃρήκασι. Δεῖ δὲ 93
ἢ δι' αἰσθητοῦ ἢ νοητοῦ κριθῆναι· ἑκάτερα δὲ ἀμφισβητεῖται. Οὐ τοίνυν δυνατὸν τὰς περὶ αἰσθητῶν ἢ νοητῶν ἐπικρῖναι δόξας· εἴ τε διὰ τὴν ἐν ταῖς νοήσεσι μάχην ἀπιστητέον πᾶσιν, ἀναιρεθήσεται τὸ μέτρον ᾧ δοκεῖ τὰ πάντα διακριβοῦσθαι· πᾶν οὖν ἴσον ἡγήσονται. Ἔτι, φασίν, ὁ συζητῶν ἡμῖν τὸ φαινόμενον ἢ πιστός ἐστιν ἢ οὔ. Εἰ μὲν οὖν πιστός ἐστιν, οὐδὲν ἕξει λέγειν πρὸς τὸν ᾧ φαίνεται τοὐναντίον· ὡς γὰρ αὐτὸς πιστὸς τὸ φαινόμενον λέγων, οὕτω καὶ ὁ ἐναντίος· εἰ δὲ ἄπιστος, καὶ αὐτὸς ἀπιστηθήσεται τὸ φαινόμενον λέγων.

Τό τε πεῖθον οὐχ ὑποληπτέον ἀληθὲς ὑπάρχειν· οὐ γὰρ 94
πάντας τὸ αὐτὸ πείθει οὐδὲ τοὺς αὐτοὺς συνεχές. Γίνεται δὲ καὶ παρὰ τὰ ἐκτὸς ἡ πιθανότης, ἢ παρὰ τὸ ἔνδοξον τοῦ λέγοντος ἢ παρὰ τὸ φροντιστικὸν ἢ παρὰ τὸ αἱμύλον ἢ παρὰ τὸ σύνηθες ἢ παρὰ τὸ κεχαρισμένον.

Ἀνῄρουν δὲ καὶ τὸ κριτήριον λόγῳ τοιῷδε. Ἤτοι κέκριται καὶ τὸ κριτήριον ἢ ἄκριτόν ἐστιν. Ἀλλ' εἰ μὲν ἄκριτόν ἐστιν, ἄπιστον καθέστηκε καὶ διημάρτηκε τοῦ ἀληθοῦς καὶ ψεύδους. Εἰ δὲ κέκριται, ἓν τῶν κατὰ μέρος

17–p. 696.12 cf. S.E. *P.h.* 2.20

1 οἱ^1 : ὁ **F** **3** οὐ **BPD** : οὐδὲ **F**, Cobet | δυνατὸν om. **F** **5** ἀπιστητέον Cobet : ἀπαιτητέον **B**^{2}**P**^{1}**FD** (ἀπετητέον **B**^{1}, ἀπαιτητέα **P**^{4}) | τὸ om. **BD** **7** ἢ^1 scripsi : εἰ **Φ** : om. **BPFD** | πιστός **FP**^{4} : πιστόν **BP**^{1}**QD** **8** πιστός **P**^{1}, Cobet : πιστὸν **BP**^{2}**QFDΦ** **9** τὸ ἐναντίον φαίνεται **B** | post πιστὸς add. ἐστι Cobet **10** ἄπιστος **BP**^{1}**QΦ** : ἄπιστον **FDP**^{4} **12** ὑπολημπτέον **B**^{1} (corr. **B**^{2}) **13** πείθει **P**^{4}, Cobet : πείθειν **BP**^{1}**FDΦ** **14** τὰ Cobet : τὸ **BPFD** | ἢ **BPD** : om. **F** **18** καὶ **BPΦ** : om. **FD** | τὸ κριτήριον om. **F** **20** τοῦ ψεύδους **FP**^{4} | ψεύδους **P**^{1}**F** : ψευδοῦς **BDΦ** | ἓν τῶν **B**^{2}**FDΦP**^{4} : ἐν τῷ **B**^{1}**P**^{1}**Q**

γενήσεται κρινομένων, ὥστ' ἂν τὸ αὐτὸ καὶ κρίνοι καὶ κρίνοιτο, τὸ κεκρικὸς [τὸ] κριτήριον ὑφ' ἑτέρου κριθήσεται κἀκεῖνο ὑπὸ ἄλλου καὶ οὕτως εἰς ἄπειρον.

95 Πρὸς τῷ καὶ διαφωνεῖσθαι τὸ κριτήριον, τῶν μὲν τὸν ἄνθρωπον κριτήριον εἶναι λεγόντων, τῶν δὲ τὰς αἰσθήσεις, ἄλλων τὸν λόγον, ἐνίων τὴν καταληπτικὴν φαντασίαν. Καὶ ὁ μὲν ἄνθρωπος καὶ πρὸς αὐτὸν διαφωνεῖται καὶ πρὸς τοὺς ἄλλους, ὡς δῆλον ἐκ τῶν διαφόρων νόμων καὶ ἐθῶν. Αἱ δὲ αἰσθήσεις ψεύδονται, ὁ δὲ λόγος διάφωνος. Ἡ δὲ καταληπτικὴ φαντασία ὑπὸ νοῦ κρίνεται καὶ ὁ νοῦς ποικίλως τρέπεται. Ἄγνωστον οὖν ἐστι τὸ κριτήριον καὶ διὰ τοῦτο ἡ ἀλήθεια.

96 Σημεῖόν τε οὐκ εἶναι· εἰ γὰρ ἔστι, φασί, σημεῖον, ἤτοι αἰσθητόν ἐστιν ἢ νοητόν· αἰσθητὸν μὲν οὖν οὐκ ἔστιν, ἐπεὶ τὸ αἰσθητὸν κοινόν ἐστι, τὸ δὲ σημεῖον ἴδιον. Καὶ τὸ μὲν αἰσθητὸν ⟨τῶν⟩ κατὰ διαφοράν, τὸ δὲ σημεῖον τῶν πρός τι. Νοητὸν δὲ οὐκ ἔστιν· ἐπεὶ εἰ ἔστι νοητόν, ἤτοι φαινόμενόν ἐστι φαινομένου ἢ ἀφανὲς ἀφανοῦς ἢ ἀφανὲς φαινομένου ἢ φαινόμενον ἀφανοῦς· οὐδὲν δὲ τούτων ἐστίν· οὐκ ἄρα ἐστὶ σημεῖον. Φαινόμενον μὲν οὖν φαινομέ-

13–p. 697.9 cf. S.E. *P.h.* 2.119; *Adv. math.* 8.165; 171–177; 188

1 καὶ^1 om. **F** **1–2** κρίνοι καὶ κρίνοιτο **Φ** : κρίνειν καὶ κρίνεσθαι **BPFD** : κρίνῃ καὶ κρίνηται Reiske **2** τὸ^1 **BP^{1}F Φ** : καὶ τὸ **P^{2}QD** | κεκρικὼς **B** | τὸ^2 om. **Φ**, delevi **3** ὑπὸ : ὑπὲρ **P^{1}Q** **4** τῶ **PDΦ** : τὸ **BF** | διαφωνῆσθαι **B** : διαφορεῖσθαι **F** **6** καταλημπτικὴν **B** **7** αὑτὸν Huebner : αὐτὸν **BPFD** | διαφωνεῖται **BPFD** : διαφωνεῖ Cobet **13** ἐστι **FDΦP^4** : ἔτι **BP^{1}Q** **14** ἐστιν^1 : ἔσται **Φ** **16** τῶν^1 add. Rossi (84, p. 229 s.) **17** εἰ ἔστι **DΦ**, Stephanus : οὐκ ἔστι **BPF** : τ ὁ *Frob.*, agn. omnes | ante ἤτοι lac. indic. J. Janda (*Listy Filologické* 96 [1973] 65–69) et Barnes (4292) **19** φαινομένου : νοουμένου **F^1** (corr. **F^2**) | δὲ **DΦ** : om. **BPF**

νου οὐκ ἔστιν, ἐπεὶ τὸ φαινόμενον οὐ δεῖται σημείου·
ἀφανὲς δὲ ἀφανοῦς οὐκ ἔστιν, ἐπεὶ δεῖ φαίνεσθαι τὸ
ἐκκαλυπτόμενον ὑπό τινος· ἀφανὲς δὲ φαινομένου οὐ 97
δύναται, καθότι δεῖ φαίνεσθαι τὸ ἑτέρῳ παρέξον ἀφορ-
μὴν καταλήψεως· φαινόμενον δὲ ἀφανοῦς οὐκ ἔστιν, ὅτι
τὸ σημεῖον τῶν πρός τι ὂν συγκαταλαμβάνεσθαι ὀφείλει
τῷ οὗ ἐστι σημεῖον. Τὸ δὲ εἰ μὴ ἔστιν, οὐδὲν ἂν τῶν ἀδή-
λων καταλαμβάνοιτο· διὰ γὰρ τῶν σημείων λέγεται τὰ
ἄδηλα καταλαμβάνεσθαι.

Ἀναιροῦσι δὲ τὸ αἴτιον ὧδε· τὸ αἴτιον τῶν πρός τι
ἔστι· πρὸς γὰρ τὸ αἰτιατόν ἐστι· τὰ δὲ πρός τι ἐπινοεῖται
μόνον, ὑπάρχει δ' οὔ· καὶ τὸ αἴτιον οὖν ἐπινοοῖτο ἂν μό-
νον. Ἔτι εἴπερ ἐστὶν αἴτιον, ὀφείλει ἔχειν τὸ οὗ λέγεται 98
αἴτιον, ἐπεὶ οὐκ ἔσται αἴτιον. Καὶ ὥσπερ ὁ πατήρ, μὴ παρ-
όντος τοῦ πρὸς ὃ λέγεται πατήρ, οὐκ ἂν εἴη πατήρ, οὑτωσὶ
δὴ καὶ τὸ αἴτιον. Οὐ πάρεστι δὲ πρὸς ὃ νοεῖται τὸ αἴτιον·
οὔτε γὰρ γένεσις οὔτε φθορὰ οὔτε ἄλλο τι· οὐκ ἄρα ἐστὶν
αἴτιον.

Καὶ μὴν εἰ ἔστιν αἴτιον, ἤτοι σῶμα σώματός ἐστιν αἴτιον ἢ ἀσώματον ἀσωμάτου ⟨ἢ ἀσώματον σώματος ἢ

10–p. 698.13 cf. S.E. *Adv. math.* 9.207–217. Cf. C. Janácek, *Eunomia* 3 (1959) 50–58

2 ἐπεὶ δεῖ : ἐπειδὴ **F** **4** τὸ **BPΦ** : τῷ **FD** : τὸ ⟨τῷ⟩ Huebner **7** τῷ : τὸ **F** | οὗ : οὐκ **F** | τὸ B^1**FΦ** : τῷ B^2 **PD** | εἰ **Φ** : om. **BPFD** | ἂν **BPDΦ** : ἄρα **F** | post τῶν ἀδήλων addit ἂν *Frob.* (servato ἄρα), agn. omnes **9** ἄδηλα : ἄλληλα **B** **10** ὧδε : οὗτοι **F** **11** τὸ αἰτιατὸν Menagius : τῷ αἰτιατῷ **BPFΦ** : τὸ αἰτιατῷ **D** | ἐννοεῖται ss. γρ. P^4 **12** ἐπινοοῖτο B^2 (-νοεῖτο B^1) **PDΦ** : ἐπινοεῖται **F** **13** Ἔτι Barnes (4292) : ἐπεὶ **BPFDΦ** | ἔχειν : ἴσχειν P^4 **15** ὃ **FDΦ** : ὧ **BP** | οὑτωσεὶ **B** **16** δὴ scripsi : δὲ **BPD** : om. **FΦ** | ὃ : ὧ **B** **17** γένεσις οὔτε φθορὰ **D** : γενέσει οὔτε φθορᾶ **BPF** | ἄλλο τι **BPFD** : ἄλλῳ τινί **Φ** **19** σώματος : ἢ ἀσώματον **F**, *Frob.* **20** ἢ ἀσώματον – **p. 698.1** αἴτιον om. **F** **20–p. 698.1** ἢ ἀσώματον σώματος ἢ σῶμα ἀσω-μάτου suppl. R. Hirzel (*Untersuchungen*, III, 139 n. 1), Janácek (53 s.)

σῶμα ἀσωμάτου·) οὐδὲν δὲ τούτων· οὐκ ἄρα ἐστὶν αἴτιον. Σῶμα μὲν οὖν σώματος οὐκ ἂν εἴη αἴτιον, ἐπείπερ ἀμφότερα τὴν αὐτὴν ἔχει φύσιν. Καὶ εἰ τὸ ἕτερον αἴτιον λέγεται παρ' ὅσον ἐστὶ σῶμα, καὶ τὸ λοιπὸν σῶμα ὂν
99 αἴτιον γενήσεται. Κοινῶς δὲ ἀμφοτέρων αἰτίων ὄντων, οὐδὲν ἔσται τὸ πάσχον. Ἀσώματον δὲ ἀσωμάτου οὐκ ἂν εἴη αἴτιον διὰ τὸν αὐτὸν λόγον· ἀσώματον δὲ σώματος οὐκ ἔστιν αἴτιον, ἐπεὶ οὐδὲν ἀσώματον ποιεῖ σῶμα. Σῶμα δὲ ἀσωμάτου οὐκ ἂν εἴη αἴτιον, ὅτι τὸ γενόμενον τῆς πασχούσης ὕλης ὀφείλει εἶναι· μηδὲν δὲ πάσχον διὰ τὸ ἀσώματον εἶναι οὐδ' ἂν ὑπό τινος γένοιτο· οὐκ ἔστι τοίνυν αἴτιον. Ὧι συνεισάγεται τὸ ἀνυποστάτους εἶναι τὰς τῶν ὅλων ἀρχάς· δεῖ γὰρ εἶναί τι τὸ ποιοῦν καὶ δρῶν.

Ἀλλὰ μὴν οὐδὲ κίνησίς ἐστι· τὸ γὰρ κινούμενον ἤτοι ἐν ᾧ ἐστι τόπῳ κινεῖται ἢ ἐν ᾧ μὴ ἔστιν· οὐδὲν δὲ κινεῖται οὔτε ἐν ᾧ ἐστιν, οὔτε ἐν ᾧ μὴ ἔστιν· οὐκ ἔστιν οὖν κίνησις.

100 Ἀνῄρουν δὲ καὶ μάθησιν. Εἴπερ, φασί, διδάσκεταί τι, ἤτοι τὸ ὂν τῷ εἶναι διδάσκεται ἢ τὸ μὴ ὂν τῷ μὴ εἶναι. Οὔτε δὲ τὸ ὂν τῷ εἶναι διδάσκεται (ἡ γὰρ τῶν ὄντων φύσις πᾶσι φαίνεται καὶ γινώσκεται), οὔτε τὸ μὴ ὂν τῷ μὴ ὄντι·

14–17 cf. S.E. *P.h.* 3.71; 2.242; *Adv. math.* 10.87 **18–p. 699.1** cf. S.E. *P.h.* 3.256–258; *Adv. math.* 1.10; 11.219–223

2 μὲν om. **F** **9** γινόμενον **Φ** **12** συνάγεται **Φ** **14** οὐδὲ **FDΦ** $\mathbf{P^4}$: καὶ $\mathbf{BP^1}$ **15** μὴ om. **F** **15–16** οὐδὲν δὲ κινεῖται οὔτ' ἐν ὧ ἐστιν, οὔτ' ἐν ὧ μὴ ἔστιν **Φ** : οὐδὲν (οὐδὲ **PFD**) κινεῖται $\mathbf{B^1PFD}$: ἀλλ' οὐ κινεῖται οὔτε ἐν ὧ ἔστιν, οὔτε ἐν ὧ μή ἐστιν· ἄρα prorsus evanidum in mg $\mathbf{B^2}$: καὶ ἐν ᾧ μέν ἐστι τόπῳ οὐ κινεῖται, ἐν ᾧ δὲ οὐκ ἔστιν οὐδὲ κινεῖται Huebner, agn. omnes **16** οὖν **BPFD** : ἄρα **Φ** **18** μάθησιν $\mathbf{B^2P^1Q}$ **Φ** : μαθήματα $\mathbf{FDP^4}$ **19** τὸ^1 : τῶ $\mathbf{F^1}$ (corr. $\mathbf{F^2}$) **20** τῶ **BPD** : τ ὸ **FΦ** **21** γινώσκεται $\mathbf{BPF^2D}$: διδάσκεται $\mathbf{F^1Φ}$ | γιγνώσκεται **BP** | οὔτε **Φ**, *Frob.* : om. **BPFD** | ὄντι : εἶναι **Φ**

τῷ γὰρ μὴ ὄντι οὐδὲν συμβέβηκεν, ὥστε οὐδὲ τὸ διδάσκεσθαι.

Οὐδὲ μὴν γένεσίς ἐστι, φασίν. Οὔτε γὰρ τὸ ὂν γίνεται, ἔστι γάρ, οὔτε τὸ μὴ ὄν, οὐδὲ γὰρ ὑφέστηκε· τὸ δὲ μὴ ὑφεστὼς μηδὲ ὂν οὐδὲ τὸ γίνεσθαι εὐτύχηκε.

101 Φύσει τε μὴ εἶναι ἀγαθὸν ἢ κακόν· εἰ γάρ τί ἐστι φύσει ἀγαθὸν ἢ κακόν, πᾶσιν ὀφείλει ἀγαθὸν ἢ κακὸν ὑπάρχειν, ὥσπερ ἡ χιὼν πᾶσι ψυχρόν· κοινὸν δὲ οὐδὲν πάντων ἀγαθὸν ἢ κακόν ἐστιν· οὐκ ἄρα ἐστὶ φύσει ἀγαθὸν ἢ κακόν. Ἤτοι γὰρ πᾶν τὸ ὑπό τινος δοξαζόμενον ῥητέον ἀγαθὸν ἢ οὐ πᾶν· καὶ πᾶν μὲν οὐ ῥητέον, ἐπεὶ τὸ αὐτὸ ὑφ᾽ οὗ μὲν δοξάζεται ἀγαθόν, ὡς ἡ ἡδονὴ ὑπὸ Ἐπικούρου, ὑφ᾽ οὗ δὲ κακόν, ὡς ὑπὸ Ἀντισθένους. Συμβήσεται τοίνυν τὸ αὐτὸ ἀγαθόν τε εἶναι καὶ κακόν. Εἰ δ᾽ οὐ πᾶν λέγοιμεν τὸ ὑπό τινος δοξαζόμενον ἀγαθόν, δεήσει ἡμᾶς διακρίνειν τὰς δόξας· ὅπερ οὐκ ἐνδεχόμενόν ἐστι διὰ τὴν ἰσοσθένειαν τῶν λόγων. Ἄγνωστον οὖν τὸ φύσει ἀγαθόν.

102 Ἔστι δὲ καὶ τὸν ὅλον τῆς συναγωγῆς αὐτῶν τρόπον συνιδεῖν ἐκ τῶν ἀπολειφθεισῶν συντάξεων. Αὐτὸς μὲν

3–5 cf. S.E. *P.h.* 3.112; *Adv. math.* 10.326–327 **6–17** cf. S.E. *Adv. math.* 11.69–75. Cf. C. Janácek, in *Charisteria Fr. Novotny* (Pragae, 1962) 143–146 **13** Antisthenis Fr. 111 C Decleva **18–p. 700.3** Pyrrhonis T 44 Decleva

1 γὰρ **Φ**, *Frob.* : δὲ **BPFD** | οὐδὲ **Φ** : οὔτε **BPFD** | τὸ : τῷ **F** **3** οὐδὲ **BFDP**^{4} : οὔτε **P**^{1}**Q** **4** δὲ μὴ : μηδὲ **B** **5** ὑφεστὼς **PDΦ** : ὑφεστὸς **BF** | τὸ **FDP**^{4} : om. **B P**^{1}**Φ** **6** εἰ : ἢ **B** | τι **P**^{1}**FΦ** : τοι **B** : om. **D**, expunxit **P**^{4} **7** ἢ^1 **Φ** : καὶ **BPFD** | πᾶσιν – κακὸν om. **B** **8** ὥσπερ **PFD** : ὥστε **B** | οὐδὲν δὲ κοινὸν **BP** **9** φύσει : φύσις **B** **11** οὐ^2 add. **F**^{2} **12** ὑπὸ ἐπικούρου om. **FD** **13** ὡς **Φ** : om. **BPFD** **15** λέγομεν **F** | ante τὸ addit τὸ αὐτὸ **F** **17** ἰσοσθένειαν : ἀσθένειαν **B** **19** συνειδεῖν **B**

γὰρ ὁ Πύρρων οὐδὲν ἀπέλιπεν, οἱ μέντοι συνήθεις αὐτοῦ Τίμων καὶ Αἰνεσίδημος καὶ Νουμήνιος καὶ Ναυσιφάνης καὶ ἄλλοι τοιοῦτοι ⟨πολλά⟩.

Οἷς ἀντιλέγοντες οἱ δογματικοί φασιν αὐτοὺς καταλαμβάνεσθαι καὶ δογματίζειν· ἐν ᾧ γὰρ δοκοῦσι διελέγχειν καταλαμβάνονται· καὶ γὰρ ἐν τῷ αὐτῷ κρατύνουσι καὶ δογματίζουσι. Καὶ γὰρ ὅτε φασὶ Μηδὲν ὁρίζειν καὶ Παντὶ λόγῳ λόγον ἀντικεῖσθαι, αὐτὰ ταῦτα καὶ ὁρίζονται καὶ δογματίζουσι.

103 Πρὸς οὓς ἀποκρίνονται· | Περὶ μὲν ὧν ὡς ἄνθρωποι πάσχομεν, ὁμολογοῦμεν· καὶ γὰρ ὅτι ἡμέρα ἐστὶ καὶ ὅτι ζῶμεν καὶ ἄλλα πολλὰ τῶν ἐν τῷ βίῳ φαινομένων διαγινώσκομεν· ἀλλὰ δὴ περὶ ὧν οἱ δογματικοὶ διαβεβαιοῦνται τῷ λόγῳ, φάμενοι κατειλῆφθαι, περὶ τούτων ἐπέχομεν ὡς ἀδήλων, μόνα δὲ τὰ πάθη γινώσκομεν. Τὸ μὲν γὰρ ὅτι ὁρῶμεν ὁμολογοῦμεν καὶ τὸ ὅτι τόδε νοοῦμεν γινώσκομεν, πῶς δὲ ὁρῶμεν ἢ πῶς νοοῦμεν ἀγνοοῦμεν· καὶ τὸ ὅτι τόδε λευκὸν φαίνεται διηγηματικῶς λέγομεν, οὐ διαβεβαιού-

10–p. 701.6 cf. S.E. *P.h.* 1.13–15

1 ἀπέλειπεν **BF** | οἱ : εἰ **F** | αὐτοῦ **FDP**^{4} : ἀπ' αὐτοῦ **BP**^{1}**Q** | post αὐτοῦ lac. indic. Barnes (4260) **2** Τίμων – **3** τοιοῦτοι secl. Hirzel (*Untersuchungen,* III, 44) **3** πολλά addidi **10** πρὸς οὓς ἀποκρίνονται **FDP**^{4} in ras. : καὶ γὰρ ὅτε φασὶ μηδὲν ὁρίζειν repetunt **BP**^{1}**Q Φ** **12** φαινομένων : γινομένων **Φ** | διαγινώσκομεν **FDP**^{4} in mg : γινώσκομεν **BP**^{1}**Φ** **13** ἀλλὰ δὴ περὶ scripsi : ἀλλ' οὐδὲ (γὰρ add. **F**^{2}) περὶ **BP**^{1}**QF**^{2}**Φ** : περὶ δὲ **D**, *Frob.*, agn. omnes **13** ἀλλ' οὐδὲ γὰρ περὶ – **15** γινώσκομεν in mg infer. **F**^{2} **14** τούτων : τούτου **F**^{2} **15** γιγνώσκομεν **B** **16** τὸ **B**^{1}, τῶ **B**^{2} | τόδε νοοῦμεν **P**^{4} : τόδέ τι νοοῦμεν **F** : τοδέτινα οὐ **BP**^{1} : τίνα **Φ** | post νοοῦμεν addit **F**^{1} ex vv. 13–16 ὧν οἱ δογματικοὶ διαβεβαιοῦνται τῶ λόγῳ, φάμενοι κατειλῆφθαι, ἐπέχομεν περὶ τούτων ὡς ἀδήλων, μόνα δὲ τὰ πάθη γινώσκομεν | γιγνώσκωμεν **B**^{1} **16** γινώσκομεν – **17** ἀγνοοῦμεν om. **F** **17** τὸ **B P**^{1}**Φ** : om. **FDP**^{4}

μενοι εἰ καὶ ὄντως ἐστί. Περὶ δὲ τῆς Οὐδὲν ὁρίζω φωνῆς 104
καὶ τῶν ὁμοίων λέγομεν ὡς οὐ δογμάτων· οὐ γάρ εἰσιν
ὅμοιαι τῷ λέγειν ὅτι σφαιροειδής ἐστιν ὁ κόσμος. Ἀλλὰ
γὰρ τὸ μὲν ἄδηλον, αἱ δὲ ἐξομολογήσεις εἰσί [τὸ μὲν
ἄδηλον]. Ἐν ᾧ οὖν λέγομεν Μηδὲν ὁρίζειν, οὐδ' αὐτὸ
τοῦτο ὁρίζομεν.

Πάλιν οἱ δογματικοί φασι καὶ τὸν βίον αὐτοὺς ἀναιρεῖν, ἐν ᾧ πάντα ἐκβάλλουσιν ἐξ ὧν ὁ βίος συνέστηκεν. Οἱ δὲ ψεύδεσθαί φασιν αὐτούς· οὐ γὰρ τὸ ὁρᾶν ἀναιρεῖν, ἀλλὰ τὸ πῶς ὁρᾶν ἀγνοεῖν. Καὶ γὰρ τὸ φαινόμενον τιθέμεθα, οὐχ ὡς καὶ τοιοῦτον ὄν. Καὶ ὅτι τὸ πῦρ καίει
αἰσθανόμεθα· εἰ δὲ φύσιν ἔχει καυστικὴν ἐπέχομεν. Καὶ 105
ὅτι κινεῖταί τι βλέπομεν, καὶ ὅτι φθείρεται· πῶς δὲ ταῦτα γίνεται οὐκ ἴσμεν. Μόνον οὖν, φασίν, ἀνθιστάμεθα πρὸς τὰ παρυφιστάμενα τοῖς φαινομένοις ἄδηλα. Καὶ γὰρ ὅτε τὴν εἰκόνα ἐξοχὰς λέγομεν ἔχειν, τὸ φαινόμενον διασαφοῦμεν· ὅταν δὲ εἴπωμεν μὴ ἔχειν αὐτὴν ἐξοχάς, οὐκέτι ὃ φαίνεται, ἕτερον δὲ λέγομεν.

Ὅθεν καὶ ὁ Τίμων ἐν τῷ Πύθωνί φησι μὴ ἐκβεβηκέναι τὴν συνήθειαν. Καὶ ἐν τοῖς Ἰνδαλμοῖς οὕτω λέγει·

Ἀλλὰ τὸ φαινόμενον πάντῃ σθένει, οὗπερ ἂν ἔλθῃ.

15 Καὶ γὰρ – **20** τὴν συνήθειαν : Pyrrhonis T 55 Decleva **19–20** Timonis B 81 Diels **21** Timonis B 69 Diels = *Suppl. Hell.* 843. Cf. S.E. *Adv. math.* 7.30; Galeni *De diagnost. puls.* 1.2 (VIII, p. 781 Kuehn); Pyrrhonis T 63 A Decleva

1 εἰ : ὅτι Cobet **2** λέγομεν ὡς οὐ δογμάτων *Frob.* : λεγομένων οὐ δογμάτων **BPFD** : λέγομεν οὐ δογματίζοντες **Φ** **3** ὅμοιαι **BPFΦ** : ὅμοια **D**, *Frob.* | τὸ **B**[1], τῶ **B**[2] **4–5** τὸ μὲν ἄδηλον **BPF** : om. **DΦ** et *Frob.* **5** οὖν **BPΦ** : οὐ **FD** | ὁρίζομεν Cobet **7** δογματικοὶ in mg infer. **F**[2] **9** ἀναιρεῖν **D** : ἀναιρεῖ **BPFΦ** **10** ὁρᾶν secl. Richards : ὁρῶμεν Russell | ὁρᾶν ἀγνοεῖν **BP**[1]**Φ** : ὁρᾶ ἀγνοεῖ **FD** : ὁρᾶν ἀγνοεῖ **P**[4] **13** τι scripsi : τις **BPFDΦ** **14** οὖν om. **F** **17** εἴπομεν **B** | αὐτὴν om. **F** | ὃ : οὐ **B** **21** πάντη **F** et Galen. : παντὶ **BPD** et Sextus | οἶπερ Bekker

Καὶ ἐν τοῖς Περὶ αἰσθήσεών φησι· "Τὸ μέλι ὅτι ἐστὶ γλυκὺ
106 οὐ τίθημι, τὸ δὲ ὅτι φαίνεται ὁμολογῶ." Καὶ Αἰνεσίδημος
ἐν τῷ πρώτῳ τῶν Πυρρωνείων λόγων οὐδέν φησιν ὁρίζειν
τὸν Πύρρωνα δογματικῶς διὰ τὴν ἀντιλογίαν, τοῖς δὲ
φαινομένοις ἀκολουθεῖν. Ταὐτὰ δὲ λέγει κἀν τῷ Κατὰ
σοφίας κἀν τῷ Περὶ ζητήσεως. Ἀλλὰ καὶ Ζεῦξις ὁ Αἰνεσι-
δήμου γνώριμος ἐν τῷ Περὶ διττῶν λόγων καὶ Ἀντίοχος ὁ
Λαοδικεὺς καὶ Ἀπελλᾶς ἐν τῷ Ἀγρίππᾳ τιθέασι τὰ φαι-
νόμενα μόνα. Ἔστιν οὖν κριτήριον κατὰ τοὺς Σκεπτικοὺς
τὸ φαινόμενον, ὥς καὶ Αἰνεσίδημός φησιν· οὕτω δὲ καὶ
Ἐπίκουρος. Δημόκριτος δὲ τὰ μὲν εἶναι τῶν φαινομένων,
τὰ δὲ μὴ εἶναι.

107 Πρὸς τοῦτο τὸ κριτήριον τῶν φαινομένων οἱ δογματικοί φασιν ὅτι ὅτε ἀπὸ τῶν αὐτῶν διάφοροι προσπίπτουσι φαντασίαι, ὡς ἀπὸ τοῦ πύργου ἢ στρογγύλου ἢ τετραγώνου ⟨φαινομένου⟩, ὁ Σκεπτικὸς εἰ οὐδετέραν προκρινεῖ, ἀπρακτήσει· εἰ δὲ τῇ ἑτέρᾳ κατακολουθήσει, οὐκέτι τὸ ἰσοσθενές, φασί, τοῖς φαινομένοις ἀποδώσει. Πρὸς οὓς οἱ Σκεπτικοί φασιν ὅτι ὅτε προσπίπτουσιν ἀλλοῖαι φαντα-

1–2 Timonis B 74 Diels **2–6** Pyrrhonis T 8 Decleva **11** Usener, p. 179

1 μέλι Cobet : μὲν **BPFD** **2 et 10** αἰνησίδημος **P**^{4} **3** τῶν om. **F** | πυρρωνίων **B** **4** ἀντιλογίαν **BP**^{1}**F** : ἀπολογίαν **DP**^{4} et *Frob.* **5** ταὐτὰ *Ambros.*, Meibom. : ταῦτα **BPF D** **5–6** κατὰ σοφίας : φιλοσοφίας **F** **6** αἰνησιδήμου **P**^{4} **7** ἀντίλοχος **B** **8** λαδικεὺς **BP**^{1}**Q** | ἐν τῶ ἀγρίππα om. **F** **11** τὰ μὲν **Φ**, Reiske : μηδὲν **BPFD** | post τῶν φαινομένων addit ⟨λέγει· οἱ δὲ ἀπὸ τῆς Στοᾶς καὶ τοῦ Περιπάτου τὰ μὲν εἶναι τῶν φαινομένων,⟩ Von der Muehll (*Philol.* 107 [1963] 130–131) **15** πύρρου **B** : πυροῦ **D** | στρογγύλος et τετράγωνος Barnes (4293) **16** φαινομένου addidi | εἰ **BFDΦP**^{4} : οἷοι **P**^{1}**Q** | post εἰ addit μὲν Cobet | οὐδετέραν : δ' ἑτέραν **F** | προκρινεῖ Huebner : προκρίνει **BPDΦ** : προκρίνῃ **F** **17** κατακολουθήσῃ **F** | τὸ ss. **F**^{2}

σίαι, ἑκατέρας ἐροῦμεν φαίνεσθαι· καὶ διὰ τοῦτο τὰ φαινόμενα τιθέναι ὅτε φαίνεται.

Τέλος δὲ οἱ Σκεπτικοί φασι τὴν ἐποχήν, ᾗ σκιᾶς τρόπον ἐπακολουθεῖ ἡ ἀταραξία, ὥς φασιν οἵ τε περὶ τὸν Τίμωνα καὶ Αἰνεσίδημον. Οὔτε γὰρ τάδε ἑλοίμεθα ἢ **108** ταῦτα φευξοίμεθα ὅσα παρ' ἡμᾶς ἐστι· τὰ δ' ὅσα μή ἐστι παρ' ἡμᾶς, ἀλλὰ κατὰ ἀνάγκην, οὐ δυνάμεθα φεύγειν, ὡς τὸ πεινῆν καὶ διψῆν καὶ ἀλγεῖν· οὐκ ἔστι γὰρ λόγῳ περιελεῖν ταῦτα. Λεγόντων δὲ τῶν δογματικῶν ὡς δυνήσεται βιοῦν ὁ Σκεπτικὸς μὴ φεύγων τό, εἰ κελευσθείη, κρεουργεῖν τὸν πατέρα, φασὶν οἱ Σκεπτικοὶ περὶ τῶν δογματικῶν [πῶς δυνήσεται βιοῦν] ζητήσεων ἐπέχειν, οὐ περὶ τῶν βιωτικῶν καὶ τηρητικῶν· ὥστε καὶ αἱρούμεθά τι κατὰ τὴν συνήθειαν καὶ φεύγομεν καὶ νόμοις χρώμεθα. Τινὲς δὲ καὶ τὴν ἀπάθειαν, ἄλλοι δὲ τὴν πραότητα τέλος εἰπεῖν φασι τοὺς Σκεπτικούς.

3–4 cf. S.E. *P.h.* 1.29 **9–14** cf. S.E. *Adv. math.* 11.162–166

2 ὅτε **Φ** et Barnes : ὅτι **BPFD** **3** ᾗ **BPD** : ἧς **F** : ᾗ **Φ** **5** αἰνησίδημον **P**^{4} | τάδε **ΦP**^{4} : τὰ α' **BP**^{1}**QD** : ταῦτα **F** | ἑλοίμεθα **BPFDΦ** : ἑλούμεθα Cobet **6** ταῦτα : τάδε **Φ** | φευξοίμεθα **FP**^{4} : φευξόμεθα **BP**^{1}**DΦ** **6** et **7** παρ' bis M. Casaubon et P. Shorey (*C.P.* 11 [1916] 465 et 13 [1918] 412–413) : περὶ **BPFDΦ** **6** ὅσα περὶ ἡμᾶς οὐκ ἔστιν **F**, Cobet **8** πεινεῖν et διψεῖν **B** **10** ὁ σκεπτικὸς βιοῦν **F** | εἰ **FΦP**^{4} : εἰ καὶ **BP**^{1}**QD** **12** πῶς : ὡς Rossi | πῶς δυνήσεται βιοῦν secl. Reiske (cf. vv. 9–10) | ἐπέχειν Cobet (ἐπέχων iam Rossi) : ἀπέχειν **BPF** : ἀπέχων **DΦ** **13** ἑρούμεθα **B** | τὴν expunxit **P**^{4} **14** καί^2 om. **P**^{1}**Q**, add. **P**^{4} **15** ἀπάθειαν : πραότητα **F** | πραότητα : ἀπάθειαν **F** | φασι om. **F**

ΤΙΜΩΝ

109 Ἀπολλωνίδης ὁ Νικαεύς, ὁ παρ' ἡμῶν, ἐν τῷ πρώτῳ
τῶν Εἰς τοὺς Σίλλους ὑπομνήματι, ἃ προσφωνεῖ Τιβερίῳ
Καίσαρι, φησὶ τὸν Τίμωνα εἶναι πατρὸς μὲν Τιμάρχου,
Φλιάσιον δὲ τὸ γένος· νέον δὲ καταλειφθέντα χορεύειν,
ἔπειτα καταγνόντα ἀποδημῆσαι εἰς Μέγαρα πρὸς Στίλ-
πωνα· κἀκείνῳ συνδιατρίψαντα αὖθις ἐπανελθεῖν οἴκαδε
καὶ γῆμαι. Εἶτα πρὸς Πύρρωνα εἰς Ἦλιν ἀποδημῆσαι
μετὰ ⟨τῆς⟩ γυναικὸς κἀκεῖ διατρίβειν ἕως αὐτῷ παῖδες
ἐγένοντο, ὧν τὸν μὲν πρεσβύτερον Ξάνθον ἐκάλεσε καὶ
110 ἰατρικὴν ἐδίδαξε καὶ διάδοχον τοῦ βίου κατέλιπεν | (ὁ δὲ
ἐλλόγιμος ἦν, ὡς καὶ Σωτίων ἐν τῷ ἑνδεκάτῳ φησίν).
Ἀπορῶν μέντοι τροφῶν ἀπῆρεν εἰς τὸν Ἑλλήσποντον καὶ
τὴν Προποντίδα· ἐν Χαλκηδόνι τε σοφιστεύων ἐπὶ πλέον
ἀποδοχῆς ἠξιώθη· ἐντεῦθέν τε πορισάμενος ἀπῆρεν εἰς
Ἀθήνας, κἀκεῖ διέτριβε μέχρι καὶ τελευτῆς, ὀλίγον χρό-
νον εἰς Θήβας διαδραμών. Ἐγνώσθη δὲ καὶ Ἀντιγόνῳ τῷ
βασιλεῖ καὶ Πτολεμαίῳ τῷ Φιλαδέλφῳ, ὡς αὐτὸς ἐν τοῖς
ἰάμβοις αὐτῷ μαρτυρεῖ.

2–p. 707.14 Timonis 9 A 1 Diels (*PPG*). Cf. A.A. Long, *Proc. Cambr. Philol. Soc.* 24 (1978) 68–91 **2–p. 707.14** Wilamowitz, *Antigonos,* 41–44 **2–12** φησίν : Sotionis Fr. 31 Wehrli **2** ὁ παρ' ἡμῶν : i.e. ὁ τῆς ἡμετέρας πόλεως **17** i.e. Antigonus II Gonatas

1 *tit.* **DP**^{4} : om. **P**^{1}**F** et **B** (spatio relicto) **2** νικεὺς **BD** **3** τῶν om. **F** | ὑπομνήματι **B**^{2}**PF** : ὑπομνημάτων **B**^{1} : ὑπο-μνήματα **D** | ἃ erasit **B**^{2} **5** καταληφθέντα **B** **6** ἐπιδη-μῆσαι **B** **9** τῆς add. Cobet **10** τὸν μὲν πρεσβύτερον ξάν-θον ἐκάλεσε **BPD** : ὁ πρεσβύτερος ξάνθος ὢν **F** **11** κατέ-λειπεν **B** **12** ἐνδεκάτω **BP** : δεκάτω **FD** **14** χαλκιδόνι **B** **17** ἐγνώσθη : ἐγνωρίσθη γρ. in mg **P**^{4} **19** ἰάμβοις : Ἰνδαλμοῖς Wilamowitz (*Antigonos,* 42) | αὐτῶ **D** : αὐτῶ **B P** : αὐτὸ **F**

Ἦν δέ, φησὶν ὁ Ἀντίγονος, καὶ φιλοπο⟨ιη⟩τὴς καὶ ἀπὸ
τῶν φιλοσόφων ⟨ὅτε⟩ ἐσχόλαζε ποιήματα συνέγραφε· καὶ
γὰρ καὶ ἔπη καὶ τραγῳδίας καὶ σατύρους (καὶ δράματα
κωμικὰ τριάκοντα, τὰ δὲ τραγικὰ ἑξήκοντα) σίλλους τε
καὶ κιναίδους. Φέρεται δ' αὐτοῦ καὶ καταλογάδην βιβλία **111**
(εἰς ἐπῶν τείνοντα μυριάδας δύο), ὧν καὶ Ἀντίγονος ὁ
Καρύστιος μέμνηται, ἀναγεγραφὼς αὐτοῦ καὶ αὐτὸς τὸν
βίον. Τῶν δὲ Σίλλων τρία ἐστίν, ἐν οἷς ὡς ἂν Σκεπτικὸς
ὢν πάντας λοιδορεῖ καὶ σιλλαίνει τοὺς δογματικοὺς ἐν
παρῳδίας εἴδει. Ὧν τὸ μὲν πρῶτον αὐτοδιήγητον ἔχει τὴν
ἑρμηνείαν, τὸ δὲ δεύτερον καὶ τρίτον ἐν διαλόγου σχήμα-
τι. Φαίνεται γοῦν ἀνακρίνων Ξενοφάνη τὸν Κολοφώνιον
περὶ ἑκάστων, ὁ δὲ αὐτῷ διηγούμενός ἐστι· καὶ ἐν μὲν τῷ
δευτέρῳ περὶ τῶν ἀρχαιοτέρων, ἐν δὲ τῷ τρίτῳ περὶ τῶν
ὑστέρων· ὅθεν δὴ αὐτῷ τινες καὶ Ἐπίλογον ἐπέγραψαν. |
Τὸ δὲ πρῶτον ταὐτὰ περιέχει πράγματα, πλὴν ὅτι μονο- **112**
πρόσωπός ἐστιν ἡ ποίησις· ἀρχὴ δὲ αὐτῷ ἥδε·

Ἔσπετε νῦν μοι ὅσοι πολυπράγμονές ἐστε σοφισταί.

Ἐτελεύτησε δὲ ἐγγὺς ἐτῶν ἐνενήκοντα, ὥς φησιν ὁ
Ἀντίγονος καὶ Σωτίων ἐν τῷ ἑνδεκάτῳ. Τοῦτον ἐγὼ καὶ

3 τραγῳδίας : cf. *TrGF* I., p. 282, Nr. 112 Snell; *Suppl. Hell.* 848 **18** Timonis B 1 Diels **19–20** Sotionis Fr. 32 Wehrli

1 φιλοποιητὴς Wachsmuth (*Sillogr.*, 19) : φιλοπότης **BPF D** **2** ὅτε addidi : εἰ add. Diels | ἐσχόλαζε **BPFD** : σχολάζοι Diels **2–3** ποιήματα συνέγραφε· καὶ γὰρ **BP^{1}QD** (καὶ ποιήματα) : καὶ γὰρ ποιήματα συνέγραφε **FP^{4}** **4** τὰ δὲ τραγικὰ **P** : δὲ τραγικὰ **B** : μὲν τραγικὰ **D** : τραγικὰ δὲ **F** | σιάλους **B** **9** σιλλένι **B^{1}**, σιλλένει **B^{2}** **12** ξενοφάνη **BD** : ξενοφάνην **PF** | κολοφώνειον **F** **15** δὴ **FP^{4}** : δὲ **BP^{1}D** | αὐτῶ **P^{4}** : αὐτὸν **BP^{1}QD** : αὐτὸ **F** **16** ταὐτὰ **FDP^{4}** : ταῦτα **BP^{1}Q** **17** αὐτῶ **PF** : αὐτῶν **BD** **18** ἔσπετε **PD** : ἔσπεται **B** : ἔπετε **F** | ἐστε : ἐσταὶ **B** **19** ἐτελεύτησε – **20** ἐν τῶ ια´ in mg super. **F^{2}**

ἑτερόφθαλμον ἤκουσα, ἐπεὶ καὶ αὐτὸς αὑτὸν Κύκλωπα ἐκάλει. Γέγονε καὶ ἕτερος Τίμων, ὁ μισάνθρωπος.

Ὁ δ' οὖν φιλόσοφος καὶ φιλόκηπος ἦν σφόδρα καὶ ἰδιοπράγμων, ὡς καὶ Ἀντίγονός φησι. Λόγος γοῦν εἰπεῖν Ἱερώνυμον τὸν Περιπατητικὸν ἐπ' αὐτοῦ· "Ὡς παρὰ τοῖς Σκύθαις καὶ οἱ φεύγοντες τοξεύουσι καὶ οἱ διώκοντες, οὕτω τῶν φιλοσόφων οἱ μὲν διώκοντες θηρῶσι τοὺς μαθητάς, οἱ δὲ φεύγοντες, καθάπερ καὶ ὁ Τίμων."

113 Ἦν δὲ καὶ ὀξὺς νοῆσαι καὶ διαμυκτηρίσαι· φιλογράμματός τε καὶ τοῖς ποιηταῖς μύθους γράψαι ἱκανὸς καὶ δράματα συνδιατιθέναι. Μετεδίδου δὲ τῶν τραγῳδιῶν Ἀλεξάνδρῳ καὶ Ὁμήρῳ. Θορυβούμενός τε ὑπὸ τῶν θεραπαινῶν καὶ κυνῶν ἐποίει μηδέν, σπουδάζων περὶ τὸ ἠρεμάζειν. Φασὶ δὲ καὶ Ἄρατον πυθέσθαι αὐτοῦ πῶς τὴν Ὁμήρου ποίησιν ἀσφαλῆ κτήσαιτο, τὸν δὲ εἰπεῖν· "Εἰ τοῖς ἀρχαίοις ἀντιγράφοις ἐντυγχάνοι καὶ μὴ τοῖς ἤδη διωρθωμένοις." Εἰκῇ τε αὐτῷ ἔκειτο τὰ ποιήματα, ἐνίοτε

114 ἡμίβρωτα· ὥστε καὶ Ζωπύρῳ τῷ ῥήτορι ἀναγινώσκοντά ⟨τι⟩ ἐπιτυλίττειν καὶ κατὰ τὸ ἐπελθὸν διεξιέναι· ἐλθόντα τε ἐφ' ἡμισείας, οὕτως εὑρεῖν τὸ ἀπόσπασμα τέως ἀγνοοῦντα. Τοσοῦτον ἦν ἀδιάφορος. Ἀλλὰ καὶ εὔρους, ὡς

4–8 Hieronymi Rhodii Fr. 7 Wehrli. Cf. **Φ** 73 **12** Ἀλεξάνδρῳ : cf. *TrGF* I, p. 279, Nr. 101.10 | Ὁμήρῳ : cf. *TrGF* I, p. 269, Nr. 98.8 **18** Ζωπύρῳ : cf. Quint. *I.O.* 3.6.3

1 αὑτὸν **PD** : αὐτὸν **BF** **2** δὲ καὶ **F** **3** δ' om. **F** **5** ὡς : ὥσπερ **Φ** 73 **7** θηρῶσι : αἱροῦσι **Φ** **9** δὲ **FD** : δὴ **BP** | διαμυκταρῆσαι **B** | φιλογράμματον **B** **10** μύθους om. **F** | ἱκανῶς **B** **13** θεραπενῶν **B** **14** ἠρεμάζειν **BP**^{2} in mg, **D** : ἠρέμα ζῆν **P**^{1}**QF** | πῶς : ἐπὶ **F** **15** ante ἀσφαλῆ addit πῶς **F** **17** διορθωμένοις **B** **18** ἀναγινώσκοντα **BP**^{1}**QD** : ἀναγινώσκοντι **FP**^{4} **19** τι add. Cobet | ἐπιτυλείττειν **BD**, ἐπιτυλίττην **F** **20** ἡμισίας **B** | ἀποσπούδασμα **F**

μηδὲ ἀριστᾶν ⟨αὐτῷ⟩ συγχωρεῖν.

Φασὶ δὲ αὐτὸν Ἀρκεσίλαον θεασάμενον διὰ τῶν Κερκώπων ἰόντα εἰπεῖν· "Τί σὺ δεῦρο, ἔνθαπερ ἡμεῖς οἱ ἐλεύθεροι;" Συνεχές τε ἐπιλέγειν εἰώθει πρὸς τοὺς τὰς αἰσθήσεις μετ' ἐπιμαρτυροῦντος τοῦ νοῦ ἐγκρίνοντας·

Συνῆλθεν Ἀτταγᾶς τε καὶ Νουμήνιος.

Εἰώθει δὲ καὶ παίζειν τοιαῦτα. Πρὸς οὖν τὸν θαυμάζοντα πάντα ἔφη· "Τί δ' οὐ θαυμάζεις ὅτι τρεῖς ὄντες τέτταρας ἔχομεν ὀφθαλμούς;" Ἦν δὲ αὐτός τε ἑτερόφθαλμος καὶ ὁ Διοσκουρίδης μαθητὴς αὐτοῦ, καὶ ὁ πρὸς ὃν ἔλεγεν ὑγιής. Ἐρωτηθεὶς δέ ποτε ὑπὸ Ἀρκεσιλάου διὰ τί παρείη ἐκ **115**
Θηβῶν, ἔφη· "Ἵν' ὑμᾶς ἀναπεπταμένους ὁρῶν γελῶ." Ὅμως δὲ καθαπτόμενος τοῦ Ἀρκεσιλάου ἐν τοῖς Σίλλοις ἐπήνεκεν αὐτὸν ⟨ἐν⟩ τῷ ἐπιγραφομένῳ Ἀρκεσιλάου περιδείπνῳ.

Τούτου διάδοχος, ὡς μὲν Μηνόδοτός φησι, γέγονεν οὐδείς, ἀλλὰ διέλιπεν ἡ ἀγωγὴ ἕως αὐτὴν Πτολεμαῖος ὁ Κυρηναῖος ἀνεκτήσατο. Ὡς δ' Ἱππόβοτός φησι καὶ Σωτίων, διήκουσαν αὐτοῦ Διοσκουρίδης Κύπριος καὶ Νικό-

6 cf. Diogeniani 8.18 ἐπὶ δύο κλεπτῶν τοῦτο; Diogen. 21.96; Macar. 7.90 **7–9** **Φ** 73 **13–15** Timonis B 73 Diels **16–p. 708.14** Fr. 9 Deichgraeber (*Die Empirikerschule*) **16–18** Menodoti F 4 (*FGrHist* 541) **18–p. 708.2** Τρωάδος : Hippoboti Fr. 22 Gigante; Sotionis Fr. 33 Wehrli

1 αὐτῷ addidi | συγχωρεῖν **BD** : συγχρονεῖν **PF** : συχνόν coni. Diels **5** ἐκκρίνοντας **B** **6** νομίνιος $\mathbf{B}^{1}$, νουμίνιος $\mathbf{B}^{2}$ **7** εἰώθη **B** **8** δ' om. **BD** **9** ὀφθαλμοὺς ἔχομεν **F** | τε om. **FΦ** **11** παρήει **PF** **12** ἔφη om. **BD** | ἀναπεπταμένους (i.q. γεγυμνωμένους) **BPFD** : ἀνιπταμένους Diels : ἀνατεταμένους Wilamowitz **14** ἐπήνεκεν $\mathbf{BFP}^{4}$ γρ. : ἐπήνεγκεν $\mathbf{P}^{1}\mathbf{Q}$, *Frob.* | ἐν add. Cobet **16** μὲν om. **F** **17** διέλειπεν **BD**

λοχος Ῥόδιος καὶ Εὐφράνωρ Σελευκεὺς Πραΰλος τε ἀπὸ Τρωάδος, ὃς οὕτω καρτερικὸς ἐγένετο, καθά φησι Φύλαρχος ἱστορῶν, ὥστε ἀδίκως ὑπομεῖναι ὡς ἐπὶ προδοσίᾳ κολασθῆναι, μηδὲ λόγου τοὺς πολίτας καταξιώσας.

116 Εὐφράνορος δὲ διήκουσεν Εὔβουλος Ἀλεξανδρεύς, οὗ Πτολεμαῖος, οὗ Σαρπηδὼν καὶ Ἡρακλείδης, Ἡρακλείδου δὲ Αἰνεσίδημος Κνώσιος, ὃς καὶ Πυρρωνείων λόγων ὀκτὼ συνέγραψε βιβλία· οὗ Ζεύξιππος ὁ πολίτης, οὗ Ζεῦξις ὁ Γωνιόπους, οὗ Ἀντίοχος Λαοδικεὺς ἀπὸ Λύκου· τούτου δὲ Μηνόδοτος ὁ Νικομηδεύς, ἰατρὸς ἐμπειρικός, καὶ Θειωδᾶς Λαοδικεύς· Μηνοδότου δὲ Ἡρόδοτος Ἀριέως Ταρσεύς· Ἡροδότου δὲ διήκουσε Σέξτος ὁ Ἐμπειρικός, οὗ τὰ δέκα τῶν Σκεπτικῶν καὶ ἄλλα κάλλιστα· Σέξτου δὲ διήκουσε Σατορνῖνος ὁ Κυθηνᾶς, ἐμπειρικὸς καὶ αὐτός.

2 ὃς – **4** Phylarchi F 67 (*FGrHist* 81). Cf. Clem. *Strom.* 4.56.2

1 σελευκὲς **BD** | πραΰλος **BPFD** : παῦλος Clem. : Πραΰλους Cobet **2** καθά φησι – **3** ἱστορῶν om. **F** **3** ἱστορῶν : ⟨*⟩ Ἱστοριῶν coni. Jacoby **5** εὐφράνωρος **F** **6** σαρπιδὼν **B** **7** ἐναισίδημος **B** : αἰνησίδημος **P**[4] | πυρρωνίων **B** **8** οὗ ζεύξιππος ὁ πολίτης om. **F** | οὗ[2] : ὁ **B** **9** γωνιόπους **BPF** : γωνιάτης **D** | ἀντίοχος **BP**[1]**Q** : ἀντίγονος **FP**[4] ss. γρ. : ἀντίλοχος **D** **10** μηνόδωτος **B** | ἐμπειρικὸς : ἐμπεριδὸς **B** **11** Θειωδᾶς Huebner et Cobet : θειοδὰς **B**, θειόδας **PFD** | ἡρόδωτος **B** **11–12** ἀριέως ταρσεὺς : Ἀρείου Ταρσέως F. Kudlien (*Rh. Mus.* 106 [1963] 252 n. 1) **12** ταρσεὺς **PF** : ταρεεὺς **BD** **13** οὗ **BP**[1]**D** : οὗ καὶ **FP**[4], *Frob.* **14** Σατορνῖνος **F**, *Frob.* : σατουρνῖνος **BP**[1] **D** : σατουρρῖνος **P**[2]**Q** *subscriptio* λαερτίου διογένους φιλοσόφων βίων καὶ δογμάτων συναγωγῆς τῶν εἰς ιθ´, ἢ (**B**[2], ἢ **B**[1], l. οἱ) σποράδην καὶ πυρρώνιοι **B** : θ´ **P**[2] : λαερτίου διογένους τῶν εἰς δέκα τὸ ἔνατον **D**

I

ΕΠΙΚΟΥΡΟΣ

Ἐπίκουρος Νεοκλέους καὶ Χαιρεστράτης, Ἀθηναῖος, 1
τῶν δήμων Γαργήττιος, γένους τοῦ τῶν Φιλαϊδῶν, ὥς φησι
Μητρόδωρος ἐν τῷ Περὶ εὐγενείας. Τοῦτόν φασιν ἄλλοι
τε καὶ Ἡρακλείδης ἐν τῇ Σωτίωνος ἐπιτομῇ κληρου-
χησάντων Ἀθηναίων τὴν Σάμον ἐκεῖθι τραφῆναι· ὀκτω-
καιδεκέτη δ' ἐλθεῖν εἰς Ἀθήνας, Ξενοκράτους μὲν ἐν
Ἀκαδημίᾳ, Ἀριστοτέλους δ' ἐν Χαλκίδι διατρίβοντος.
Τελευτήσαντος δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνος καὶ τῶν
Ἀθηναίων ἐκπεσόντων ὑπὸ Περδίκκου μετελθεῖν εἰς
Κολοφῶνα πρὸς τὸν πατέρα. Χρόνον δέ τινα διατρίψαντα 2
αὐτόθι καὶ μαθητὰς ἀθροίσαντα πάλιν ἐπανελθεῖν εἰς
Ἀθήνας ἐπὶ Ἀναξικράτους· καὶ μέχρι μέν τινος κατ' ἐπι-

1 l. 10 edd. H. Usener (1887), P. Von der Muehll (sine cc. 1–34) (1922), C. Bailey (1926), G. Arrighetti (1960; 1973[2]), M. Conche (sine cc. 1–34) (1987). Cf. M. Gigante, *ANRW* II, 36.6 (1992) 4302–4307 **1** cc. 1–34 ed. A. Laks (1976) **2–4** Metrodori Fr. 1 Koerte **4** Τοῦτόν φασιν – **p. 710.2** συστήσαντα : Heraclidis Lembi Fr. 9 (*FHG* III, 170); Sotionis Fr. 34 Wehrli **13** ἐπὶ Ἀναξικράτους : i.e. 307–306

inscriptio ι΄ $\mathbf{P}^{1}$ et λαερτίου διογένους βίων φιλοσόφων τὸ δέκατον $\mathbf{P}^{4}$: λαερτίου διογένους τῶν εἰς ι΄ τὸ δέκατον **F** : λαερτίου διογένους βίων φιλοσόφων τῶν εἰς δέκα τὸ δέκατον **D** **1** *tit.* $\mathbf{B}^{1}\mathbf{P}^{1}\mathbf{D}$ **2** ἐπίκουρος in mg $\mathbf{F}^{2}$ | χαρεστράτης **B** **3** τῶν δήμων $\mathbf{B}^{1}$**PF** : τὸν δῆμον $\mathbf{B}^{2}$**D**, *Frob.* | γαργίττιος **F** | φιλαιδῶν $\mathbf{B}^{2}\mathbf{F}\mathbf{P}^{4}$ ss. γρ. : φιλεδῶν $\mathbf{B}^{1}$: φιλλίδων $\mathbf{P}^{1}$**Q** : φιλάδων **D** **6** ἐκεῖθει **B** : ἐκεῖ μὲν **D** | ὀκτωκαιδεκέτη **P** : ὀκτωκαιδεκαετῆ $\mathbf{B}^{2}$**D** : ὀκτὼ καὶ δέκα ἔτη $\mathbf{B}^{1}$**F** **7** δ' ἐλθεῖν $\mathbf{B}^{1}$**PD** : διελθεῖν $\mathbf{B}^{2}$: ἐλθεῖν **F**

I

ΕΠΙΚΟΥΡΟΣ

Ἐπίκουρος Νεοκλέους καὶ Χαιρεστράτης, Ἀθηναῖος, 1
τῶν δήμων Γαργήττιος, γένους τοῦ τῶν Φιλαϊδῶν, ὥς φησι
Μητρόδωρος ἐν τῷ Περὶ εὐγενείας. Τοῦτόν φασιν ἄλλοι
τε καὶ Ἡρακλείδης ἐν τῇ Σωτίωνος ἐπιτομῇ κληρου-
χησάντων Ἀθηναίων τὴν Σάμον ἐκεῖθι τραφῆναι· ὀκτω-
καιδεκέτη δ' ἐλθεῖν εἰς Ἀθήνας, Ξενοκράτους μὲν ἐν
Ἀκαδημίᾳ, Ἀριστοτέλους δ' ἐν Χαλκίδι διατρίβοντος.
Τελευτήσαντος δὲ Ἀλεξάνδρου τοῦ Μακεδόνος καὶ τῶν
Ἀθηναίων ἐκπεσόντων ὑπὸ Περδίκκου μετελθεῖν εἰς
Κολοφῶνα πρὸς τὸν πατέρα. Χρόνον δέ τινα διατρίψαντα 2
αὐτόθι καὶ μαθητὰς ἀθροίσαντα πάλιν ἐπανελθεῖν εἰς
Ἀθήνας ἐπὶ Ἀναξικράτους· καὶ μέχρι μέν τινος κατ' ἐπι-

1 l. 10 edd. H. Usener (1887), P. Von der Muehll (sine cc. 1–34) (1922), C. Bailey (1926), G. Arrighetti (1960; 1973^2), M. Conche (sine cc. 1–34) (1987). Cf. M. Gigante, *ANRW* II, 36.6 (1992) 4302–4307 **1** cc. 1–34 ed. A. Laks (1976) **2–4** Metrodori Fr. 1 Koerte **4** Τοῦτόν φασιν – **p. 710.2** συστήσαντα : Heraclidis Lembi Fr. 9 (*FHG* III, 170); Sotionis Fr. 34 Wehrli **13** ἐπὶ Ἀναξικράτους : i.e. 307–306

inscriptio ι´ **P**^{1} et λαερτίου διογένους βίων φιλοσόφων τὸ δέκατον **P**^{4} : λαερτίου διογένους τῶν εἰς ι´ τὸ δέκατον **F** : λαερτίου διογένους βίων φιλοσόφων τῶν εἰς δέκα τὸ δέκατον **D** **1** *tit.* **B**^{1}**P**^{1}**D** **2** ἐπίκουρος in mg **F**^{2} | χαρεστράτης **B** **3** τῶν δήμων **B**^{1}**PF** : τὸν δῆμον **B**^{2}**D**, *Frob.* | γαργίττιος **F** | φιλαιδῶν **B**^{2}**FP**^{4} ss. γρ. : φιλεδῶν **B**^{1} : φιλλίδων **P**^{1}**Q** : φιλάδων **D** **6** ἐκεῖθει **B** : ἐκεῖ μὲν **D** | ὀκτωκαιδεκέτη **P** : ὀκτωκαιδεκαετῆ **B**^{2}**D** : ὀκτὼ καὶ δέκα ἔτη **B**^{1}**F** **7** δ' ἐλθεῖν **B**^{1}**PD** : διελθεῖν **B**^{2} : ἐλθεῖν **F**

μιξίαν τοῖς ἄλλοις φιλοσοφεῖν, ἔπειτα ἰδίᾳ ἀποσ⟨τραφῆναι⟩ τὴν ἀπ' αὐτοῦ κληθεῖσαν αἵρεσιν συστήσαντα.

Ἐφάψασθαί τε φιλοσοφίας, ὥς αὐτός φησιν, ἔτη γεγονὼς τεσσαρεσκαίδεκα. Ἀπολλόδωρος δ' ὁ Ἐπικούρειος ἐν τῷ πρώτῳ περὶ τοῦ Ἐπικούρου βίου φησὶν ἐλθεῖν αὐτὸν ἐπὶ φιλοσοφίαν καταγνόντα τῶν γραμματιστῶν, ἐπειδὴ μὴ ἐδυνήθησαν ἑρμηνεῦσαι αὐτῷ τὰ περὶ τοῦ παρ' Ἡσιόδῳ χάους. Φησὶ δ' Ἕρμιππος γραμματοδιδάσκαλον αὐτὸν γεγενῆσθαι, ἔπειτα μέντοι περιτυχόντα τοῖς Δημοκρίτου
3 βιβλίοις ἐπὶ φιλοσοφίαν ᾆξαι· διὸ καὶ τὸν Τίμωνα φάσκειν περὶ αὐτοῦ·

Ὕστατος αὖ φυσικῶν καὶ κύντατος, ἐκ Σάμου ἐλθὼν
γραμμοδιδασκαλίδης, ἀναγωγότατος ζωόντων.

Συνεφιλοσόφουν δ' αὐτῷ προτρεψαμένῳ καὶ οἱ ἀδελφοὶ τρεῖς ὄντες, Νεοκλῆς Χαιρέδημος Ἀριστόβουλος, καθά φησι Φιλόδημος ὁ Ἐπικούρειος ἐν τῷ δεκάτῳ Τῆς τῶν

7 τοῦ – 8 χάους : cf. S.E. *Adv. math.* 10.18–19 **8** Φησὶ – **13** Hermippi Fr. 60 Wehrli. Cf. **φ** 30 **9–10** 68 A 52 DK **12–13** Timonis B 51 Diels = *Suppl. Hell.* 825. Cf. Athen. 13, 588 A; **φ** 30 **14–p. 711.1** συντάξεως : Philodemi T 7 Sider (Oxonii, 1997)

1 ἔπειτα **B²PFD** : ἐπὶ τὰ **B¹** | ἀποσ⟨τραφῆναι⟩ scripsi : ἀποσ **P¹**, ἀπο· **B¹** (cum fenestra et in mg λείπει) : ἀπολιπεῖν **D** : πῶς **F**, πως **P⁴**, *Frob.* : ἀπο⟨φαίνεσθαι⟩ Usener : ἀπο⟨στατεῖν⟩ Kochalsky : ἀπο⟨στῆναι⟩ Apelt **2** συστήσαντα : συ- ss. **F²** : συστήσασθαι (cum v. 1 πως) Cobet **3** τε **BP¹QFD** : erasit **P⁴** : δὲ Usener | ὡς **D** : om. **BPF** **4** τετταρεσκαίδεκα **BP** | ἐπικούριος **B** **5** βίου et αὐτὸν om. **F** **7** ἑρμηνεῦσαι ἐδυνήθησαν **BD** | αὐτῷ om. **F** **8** γραμματοδιδάσκαλον **P²QDφ** : πραγματοδιδάσκαλον **BP¹**(?), πραγματι διδάσκαλον **F** **9** περιτυχόντα **PF** : περιτυχὼν **BD** **10** ᾆξαι Huebner : ἀΐξαι **PF**, *Frob.* : ἄξαι **BD** : ἧξαι **φ** **13** γραμμοδιδασκαλίδης **BPF²Dφ** : γραμμαδιδασκαλίδης **F¹**, Athen., Usener **14** δ' om. **B¹** (add. **B²**) | προτρεψαμένου **F** **16** ἐπικούριος **B**

φιλοσόφων συντάξεως· ἀλλὰ καὶ δοῦλος Μῦς ὄνομα, καθά φησι Μυρωνιανὸς ἐν Ὁμοίοις ἱστορικοῖς κεφαλαίοις.

Διότιμος δ' ὁ Στωϊκὸς δυσμενῶς ἔχων πρὸς αὐτὸν πικρότατα αὐτὸν διαβέβληκεν, ἐπιστολὰς φέρων πεντήκοντα ἀσελγεῖς ὡς Ἐπικούρου· καὶ ὁ τὰ εἰς Χρύσιππον ἀναφερόμενα ἐπιστόλια ὡς Ἐπικούρου συντάξας. Ἀλλὰ καὶ οἱ 4
περὶ Ποσειδώνιον τὸν Στωϊκὸν καὶ Νικόλαος καὶ Σωτίων ἐν τῷ δωδεκάτῳ τῶν ἐπιγραφομένων Διοκλείων ἐλέγχων (ἅ ἐστι πρὸς τὰ κδ') καὶ Διονύσιος ὁ Ἁλικαρνασσεύς. Καὶ γὰρ σὺν τῇ μητρὶ περιϊόντα αὐτὸν ἐς τὰ οἰκίδια καθαρμοὺς ἀναγινώσκειν, καὶ σὺν τῷ πατρὶ γράμματα διδάσκειν λυπροῦ τινος μισθαρίου. Ἀλλὰ καὶ τῶν ἀδελφῶν ἕνα προαγωγεύειν, καὶ Λεοντίῳ συνεῖναι τῇ ἑταίρᾳ. Τὰ δὲ Δημοκρίτου περὶ τῶν ἀτόμων καὶ Ἀριστίππου περὶ τῆς ἡδονῆς ὡς ἴδια λέγειν. Μὴ εἶναί τε γνησίως ἀστόν, ὡς

2 Myroniani Fr. 6 (*FHG* IV, 455) **4** Διότιμος : cf. Athen. 13, 611 B **4–7** συντάξας : Usener, p. 135 **8** Posidonii F 288 Edelstein-Kidd = Fr. 290b Theiler **10** Dionysii Fr. 37 Usener-Radermacher **14–p. 16** Aristippi Fr. 142 Mannebach

1 συντάξεως : τάξεως **F** **2** Ὁμοίοις Huebner : νόμοις **BPF** : τοῖς **D** **4** διότιμος : θεότιμος Athen. **8** ποσιδώνιον **B** **9** ἐν τῷ δωδεκάτῳ Gassendi : ἐν τοῖς δώδεκα **BPFD** | διοκλίων **B** **10** ἅ ἐστι πρὸς τὰ κδ' scripsi : ἅ ἐστι περὶ τοῖς (τῆς **D**) κδ' **BPFD** : ἅ ἐστι δ' πρὸς τοῖς κ' E. Bignone (*Epicuro,* 1920, 195 n. 3) : ἅ ἐστι πρὸς τοῖς εἴκοσι τέσσαρα Croenert (*Kolotes,* 135) : οἵ εἰσι περὶ κδ' Gassendi : ἅ ἐστι περὶ τοὺς εἰκοσιτέσσαρας Cobet : ἅ ἐστι περὶ τῆς εἰκάδος Huebner, Nietzsche (*Rh. Mus.* 23 [1868] 639 n. 2), agn. Usener | ἁλικαρνασεὺς **PF** **14** προαγωγεύειν **B**^{2}**PD** : προαγεύειν **B**^{1} : προαγορεύειν **F** | καὶ λεοντίω **B**^{1}**P**^{1}**Q** : καὶ λεοντία **B**^{2}**D** : λεοντία τε **FP**^{4}, *Frob.* | ἑτέρα **B**^{1}**F**^{1} (corr. **B**^{2}**F**^{2}) **15** περὶ τῆς om. **F** **16** ἀστὸν **BPD** : αὐτὸν **FQ**

Τιμοκράτης φησὶ καὶ Ἡρόδοτος ἐν τῷ Περὶ Ἐπικούρου ἐφηβείας. Μιθρῆν τε αἰσχρῶς κολακεύειν τὸν Λυσιμάχου διοικητήν, ἐν ταῖς ἐπιστολαῖς Παιᾶνα καὶ Ἄνακτα καλοῦντα. Ἀλλὰ καὶ Ἰδομενέα καὶ Ἡρόδοτον καὶ Τιμοκράτην τοὺς ἔκπυστα αὐτοῦ τὰ κρύφια ποιήσαντας ἐγκωμιάζειν καὶ κολακεύειν ⟨δι'⟩ αὐτὸ τοῦτο. 5

Ἔν τε ταῖς ἐπιστολαῖς πρὸς μὲν Λεόντιον· "Παιὰν ἄναξ," ⟨φησί,⟩ "φίλον Λεοντάριον, οἵου κροτοθορύβου ἡμᾶς ἐνέπλησας ἀναγνόντας σου τὸ ἐπιστόλιον·" πρὸς δὲ Θεμίσταν τὴν Λεοντέως γυναῖκα· "Οἷός τε," φησίν, "εἰμί, ἐὰν μὴ ὑμεῖς πρός με ἀφίκησθε, αὐτὸς τρικύλιστος, ὅπου ἂν ὑμεῖς καὶ Θεμίστα παρακαλῆτε, ὠθεῖσθαι." Πρὸς δὲ Πυθοκλέα ὡραῖον ὄντα "Καθεδοῦμαι," φησί, "προσδοκῶν τὴν ἱμερτὴν καὶ ἰσόθεόν σου εἴσοδον." Καὶ πάλιν πρὸς Θεμίσταν γράφειν νομίζει⟨ν⟩ ⟨σὺν⟩ αὐτῇ παροινεῖν, καθὰ

2–3 Usener, Fr. 148 **4–6** Usener, Fr. 124 **6** τὰ κρύφια : cf. Clem. *Strom.* 5.58.1 **7** Ἔν τε – **9** τὸ ἐπιστόλιον : Usener, Fr. 143. Cf. Plut. *De recta rat. audiendi* 45 F; *Adv. Colot.* 1117 A; *Suda,* K 2480; **Φ** 74 **9** πρὸς δὲ – **12** ὠθεῖσθαι : Usener, Fr. 125; *Suda,* T 986; **Φ** 74. Cf. N.W. De Witt, *C.P.* 35 (1940) 183–185; M. Okal, *Philologica* 9 (1957) 37–45 **12** Πρὸς δὲ – **14** εἴσοδον : Usener, Fr. 165; **φ** 30 **14** Καὶ πάλιν – **p. 713.1** Usener, Fr. 126

2 μίθρην **PFD** : μείθρην **B** : Μίθραν Cobet **4** ἡρόδωτον **B** **6** δι' addidi | αὐτῶ τούτω **F** **7** λεόντιον **H**² et Meibom. : λεοντίαν **BPFDΦ** **8** φησί addidi | φίλον **PFΦ** et *Suda* : φησὶ **BD** **9** ἐνέπλησας **Φ** et *Suda* : ἐνέπλησε(ν) **BPFD** | ἀναγνόντας σου **P²QΦ** : ἀναγνόντας σοι **D**, *Frob.* : ἀναγνόντι σοι **B** (σοι ss. **B²**) **P¹F** et *Suda* **10** Λεοντέως Gassendi : λέοντος **BPFDΦ** **11** ἀφίκησθαι **B** **12** καὶ θεμίστα om. **Φ** et *Suda* **13** καθαιδοῦμαι **B¹** (corr. **B²**) **14** πρὸς : εἰς **P⁴** ss. γρ. : ὡς *Frob.* **15** γράφειν scripsi : γράφων **BPFD** | νομίζειν ⟨σὺν⟩ αὐτῇ παροινεῖν scripsi : νομίζειν αὐτὴν παροινεῖν iam Bignone (*Aegyptus* 13 [1933] 436 s.) : νομίζει αὐτῇ παραινεῖν **BPFD** : νομίζειν αὐτὴν περαινεῖν *Frob.* (περαίνειν Huebner)

φησι Θεόδωρος ἐν τῷ τετάρτῳ τῶν Πρὸς Ἐπίκουρον. Καὶ 6 ἄλλαις δὲ πολλαῖς ἑταίραις γράφειν, καὶ μάλιστα Λεοντίῳ, ἧς καὶ Μητρόδωρον ἐρασθῆναι. Ἔν τε τῷ Περὶ τέλους γράφειν οὕτως· "Οὐ γὰρ ἔγωγε ἔχω τί νοήσω τἀγαθόν, ἀφαιρῶν μὲν τὰς διὰ χυλῶν ἡδονάς, ἀφαιρῶν δὲ τὰς δι' ἀφροδισίων καὶ τὰς δι' ἀκροαμάτων καὶ τὰς διὰ μορφῆς." Ἔν τε τῇ πρὸς Πυθοκλέα ἐπιστολῇ γράφειν· "Παιδείαν δὲ πᾶσαν, μακάριε, φεῦγε τἀκάτιον ἀράμενος." Ἐπίκτητός τε κιναιδολόγον αὐτὸν καλεῖ καὶ τὰ μάλιστα λοιδορεῖ.

Καὶ μὴν καὶ Τιμοκράτης ἐν τοῖς ἐπιγραφομένοις Εὐφραντοῖς, ὁ Μητροδώρου μὲν ἀδελφός, μαθητὴς δὲ αὐτοῦ τῆς σχολῆς ἐκφοιτήσας, φησὶ δὶς αὐτὸν τῆς ἡμέρας ἐμεῖν ἀπὸ τρυφῆς, ἑαυτόν τε διηγεῖται μόγις ἐκφυγεῖν ἰσχῦσαι τὰς νυκτερινὰς ἐκείνας φιλοσοφίας καὶ τὴν μυστικὴν ἐκείνην συνδιαγωγήν. Τόν τε Ἐπίκουρον πολλὰ κατὰ τὸν 7 λόγον ἠγνοηκέναι καὶ πολὺ μᾶλλον κατὰ τὸν βίον, τό τε

1–3 Usener, p. 140 **3** Ἔν τε – **7** μορφῆς : Usener, Fr. 67. Cf. Athen. 12, 546 E; 7, 280 A **7** Ἔν τε – **8** ἀράμενος : Usener, Fr. 163. Cf. Plut. *De aud. poetis* 15 D; *Contra Epicuri beatitudinem* 1094 D; Quintil. *I.O.* 12.2.24; **φ** 30 **9–10** cf. Epicteti *Diss.* 3.24.37

2 ἑτέραις **B**^{1} (corr. **B**^{2}) | λεοντίω **B**^{1}**P**^{1}**Q** : λεοντία **B**^{2}**F** **DP**^{4} **4** νοῆσαι **F** **6** διαφροδισίας **F** | ἀφροδισείων **B** | κροαμάτων **B**^{1} (corr. **B**^{2}) **7** μορφῆς **D** et Athen. (bis) : μορφᾶς **BP**^{1}, μορφὰς **D** : μορφῶν **FP**^{4} in mg **8** παιδείαν **F**^{1}**P**^{4} (in mg) **D** : παιδιὰν **BP**^{1}**QF**^{2} | μακάριοι **F** | φεῦγε τἀκάτιον ἀράμενος Gassendi ex Plut. : φεύγε · · κατιδιαραμενον **B**^{1}**D** : φεύγε τε κατι δι έραμεν **P**^{1} (αιραμεν **P**^{3} in mg) **Q** : φεῦγε τε · et in mg καταδϊέρα **F**^{1} **11** τιμωκράτης **B** | εὐφραντοῖς **FP**^{4} : εὐφάντοις **BP**^{1}**Q** : εὐφάντης **D** **16** συνδιαγωγὴν **P**^{2}**Q** : συναγωγὴν **BP**^{1}**FD** **17** ἠγνωηκέναι **B** | βίον om. **B**

σῶμα ἐλεεινῶς διακεῖσθαι, ὡς πολλῶν ἐτῶν μὴ δύνασθαι ἀπὸ τοῦ φορείου διαναστῆναι· μνᾶν τε ἀναλίσκειν ἡμερησίαν εἰς τὴν τράπεζαν, ὡς αὐτὸς ἐν τῇ πρὸς Λεόντιον ἐπιστολῇ γράφει καὶ ἐν τῇ πρὸς τοὺς ἐν Μυτιλήνῃ φιλοσόφους. Συνεῖναί τε αὐτῷ τε καὶ Μητροδώρῳ ἑταίρας καὶ ἄλλας, Μαμμάριον καὶ Ἡδεῖαν καὶ Ἐρώτιον καὶ Νικίδιον.

Καὶ ἐν ταῖς ἑπτὰ καὶ τριάκοντα βίβλοις ταῖς Περὶ φύσεως τὰ πλεῖστα ταὐτὰ λέγειν καὶ ἀντιγράφειν ἐν αὐταῖς ἄλλοις τε καὶ Ναυσιφάνει [τὰ πλεῖστα] καὶ αὐτῇ λέξει φάσκειν οὕτως· "Ἀλλ' εἴ τις ἄλλος εἶχε κἀκεῖνος ὠδίνων τὴν ἀπὸ τοῦ στόματος καύχησιν τὴν σοφιστικήν,
8 καθάπερ καὶ ἄλλοι πολλοὶ τῶν ἀνδραπόδων." Καὶ ⟨τὸν⟩ αὐτὸν Ἐπίκουρον ἐν ταῖς ἐπιστολαῖς περὶ Ναυσιφάνους

2 μνᾶν – **4** φιλοσόφους : Usener, Fr. 145 **8** Καὶ – **p. 715.4** πόρνην : Nausiphanis 75 A 9 DK **8–13** τῶν ἀνδραπόδων : Usener, Fr. 93 **13** Καὶ – **p. 715.2** διδάσκαλον : Usener, Fr. 113. Cf. **φ** 30

2 φορίου **BD** | ἡμερισίαν **B** **3** λεόντιον **BP^{1}D** : λεοντίαν **FP^4** **4** τῇ Menagius (cf. 10.136) : ταῖς **BPFD** | μιτυλήνῃ hic et ubique codd. **5** τε^2 om. **F**, *Frob.* | ἑτέρας **B^1** (corr. **B^2**) **6** ἄλλας : ἄλλοις Croenert (*Kolotes,* 17 n. 75) | Μαμμάριον L. Spengel (*Philol.,* Suppl. 2, 1863, 534) ex *Volum. Hercul.*^{2} I f. 149 : μαρμάριον **BPD** : μαρμάρειον **F** | ἡδεῖαν : ἰδίαν **B^1**, ἰδείαν **B^2** | νικίδιον **P** : νικήδιον **BFD** **9** ταῦτα τὰ πλεῖστα **F**, *Frob.* | ταὐτὰ Kuehn : ταῦτα **BPFD** : ταὐτά ⟨τε⟩ Usener | λέγειν καὶ ἀντιγράφειν **BP^{1}D** : ἀντιγράφειν καὶ ἀντιλέγειν **F**, *Frob.* : γράφειν καὶ ἀντιλέγειν **P^4** in mg γρ. **10** ἄλλοις **D**, *Frob.* : ἄλλαις **BPF** | τὰ πλεῖστα secl. Usener (cf. v. 9) **11** post φάσκειν repetit τὰ πλεῖστα **F** | ἀλλ' εἴ τις ἄλλος εἶχε κἀκεῖνος **D**, Stephanus : ἀλλ' εἴτως· ἄλλ' εἶχε γὰρ (in litura **B^2**) κεῖνος **BP^{1}Q** : ἀλλ' ἤ τω ἀλλ εἶχε γὰρ κεῖνος **FP^4** : Ἀλλ' ἴτωσαν· εἶχε γὰρ ἐκεῖνος Usener **12** ὠδίνων : ὁ πλεύμων coni. Usener (Fr. 93) **13** τὸν add. Diels **14** ταῖς **P** : om. **BFD**

λέγειν· "Ταῦτα ἤγαγεν αὐτὸν εἰς ἔκστασιν τοιαύτην, ὥστε μοι λοιδορεῖσθαι καὶ ἀποκαλεῖν διδάσκαλον." Πλεύμονά τε αὐτὸν ἐκάλει καὶ ἀγράμματον καὶ ἀπατεῶνα καὶ πόρνην· τούς τε περὶ Πλάτωνα Διονυσοκόλακας καὶ αὐτὸν Πλάτωνα χρυσοῦν, καὶ Ἀριστοτέλη ἄσωτον· καταφαγόντα γὰρ τὴν πατρῴαν οὐσίαν στρατεύεσθαι καὶ φαρμακοπωλεῖν· φορμοφόρον τε Πρωταγόραν καὶ γραφέα Δημοκρίτου καὶ ἐν κώμαις γράμματα διδάσκειν· Ἡράκλειτόν τε κυκητὴν καὶ Δημόκριτον Ληρόκριτον καὶ Ἀντίδωρον Σαννίδωρον· τούς τε Κυζικηνοὺς ἐχθροὺς τῆς Ἑλλάδος· καὶ τοὺς Διαλεκτικοὺς πολυφθόρους, Πύρρωνα δὲ ἀμαθῆ καὶ ἀπαίδευτον.

3–12 φ 30 **3** Πλεύμονα : cf. S.E. *Adv. math.* 1.3 = Usener, Fr. 114 **3–4** πόρνην : Usener, Fr. 236 **4** τούς τε – **12** Usener, Fr. 238 **5** Ἀριστοτέλη – **7** Usener, Fr. 171. Cf. Athen. 8, 354 B **5–12** cf. D. Sedley, in *Études sur l' Épicurisme* (1976) 119–159 **7** φορμοφόρον – **8** διδάσκειν : Usener, Fr. 172. Cf. DL 9.53 et Athen. 8, 354 C **9** κυκητήν : cf. Heracliti B 125 DK = Fr. 31 M. **10** Σαννίδωρον : Usener, Fr. 4 | τούς τε Κυζικηνούς : cf. E. Bignone, *L' Aristotele perduto* (1936), II, 76–78; L. Spina, *B.C.P.E.* 1 (1971) 69–72; D. Sedley, 157 n. 90 **11–12** Pyrrhonis T 30 Decleva

1 λέγειν ταῦτα· ἤγαγεν **FD** **2** μοι **BPφ** : μὴ **FD** | διδάσκαλον (cf. 10.3 et 4) : δύσκολον coni. Usener **3** πλεύμωνα **B** : πνεύμονα φ | ἀπαταιῶνα **BF** **4** καὶ πόρνην om. **F**, *Frob.* | πόρνον **D** | διονυσοκόλακας **BPF** : διονυσιοκόλακας **Dφ** **5** ἀριστοτέλη **BP** : ἀριστοτέλην **FD** **5** ἄσωτον, ⟨ὂν⟩ C.F. Hermann (*Zs. f.d. Alterthumsw.* 1834, 110) **6** γὰρ φ 30 : om. **BPFD** | στρατεύεσθαι : τερατεύεσθαι coni. Usener **7** φαρμακοπώλην φ **8** δημοκρίτου **BP¹Qφ** : δημόκριτον **FDP⁴**, *Frob.* **10** κυζικηνοὺς **BPDφ**, κυζηκινοὺς **F** : κυνικοὺς Reinesius (*Var. lect.* 3.2) **11** πολυφθόρους J. Bake (ad R. Balfour ed. Cleomedis, 1820, 434) ex Plut. *Non posse...*, 1086 E : πολυφθονεροὺς **BPFDφ** | πύρωνα **P¹Q** (corr. **P⁴**)

9 Μεμήνασι δ' οὗτοι. | Τῷ γὰρ ἀνδρὶ μάρτυρες ἱκανοὶ τῆς ἀνυπερβλήτου πρὸς πάντας εὐγνωμοσύνης ἥ τε πατρὶς χαλκαῖς εἰκόσι τιμήσασα, οἵ τε φίλοι τοσοῦτοι τὸ πλῆθος, ὡς μηδ' ἂν πόλεσιν ὅλαις μετρεῖσθαι δύνασθαι· οἵ τε γνώριμοι πάντες ταῖς δογματικαῖς αὐτοῦ σειρῆσι προσκατασχεθέντες, πλὴν Μητροδώρου τοῦ Στρατονικέως πρὸς Καρνεάδην ἀποχωρήσαντος, τάχα βαρυνθέντος ταῖς ἀνυπερβλήτοις αὐτοῦ χρηστότησιν· ἥ τε διαδοχή, πασῶν σχεδὸν ἐκλιπουσῶν τῶν ἄλλων, ἐς ἀεὶ διαμένουσα καὶ νηρίθμους ἀρχὰς ἀπολύουσα ἄλλην ἐξ ἄλλης τῶν γνω-
10 ρίμων· ἥ τε πρὸς τοὺς γονέας εὐχαριστία καὶ ἡ πρὸς τοὺς ἀδελφοὺς εὐποιΐα πρός τε τοὺς οἰκέτας ἡμερότης, ὡς δῆλον κἀκ τῶν διαθηκῶν αὐτοῦ καὶ ὅτι αὐτοὶ συνεφιλοσόφουν αὐτῷ, ὧν ἦν ἐνδοξότατος ὁ προειρημένος Μῦς· καθόλου τε ἡ πρὸς πάντας αὐτοῦ φιλανθρωπία. Τῆς μὲν γὰρ πρὸς θεοὺς ὁσιότητος καὶ πρὸς πατρίδα φιλίας ἄλεκτος ἡ διάθεσις· ὑπερβολῇ γὰρ ἐπιεικείας οὐδὲ πολιτείας ἥψατο.

Καὶ χαλεπωτάτων δὲ καιρῶν κατασχόντων τηνικάδε τὴν Ἑλλάδα, αὐτόθι καταβιῶναι, δὶς ἢ τρὶς [εἰς] τοὺς περὶ τὴν Ἰωνίαν τόπους πρὸς τοὺς φίλους διαδραμόντα. Οἳ καὶ πανταχόθεν πρὸς αὐτὸν ἀφικνοῦντο καὶ συνεβίουν αὐτῷ

7 Καρνεάδην : Fr. 20 Wisniewski. Cf. *Academ. ind. Hercul.* col. 24.9

1 Τῷ γὰρ ἀνδρὶ Gassendi : τῶν γὰρ ἀνδρῶν **B**^{1}**PF** : τοῦ δ' ἀνδρὸς **D** : τοῦ ἀνδρὸς **B**^{2} in mg γρ. **4** post πόλεσιν addit τούτους **F** **5** προσκατασχεθέντες **BP**^{1}**Q** : προκατασχεθέντες **FDP**^{4} **9** ἐκλειπουσῶν **F** **10** ἀνηρίθμους **F**^{2} | ἀπολύουσα : ἀπολαύουσα Apelt **15** τε **BP**^{1}**QD** : δὲ **FP**^{4}, *Frob.* **16** πατρίδα **P**^{2}**QD** : πατρίδας **BP**^{1}**F** | ἄληκτος **F** **17** ὑπερβολῇ **D** : ὑπερβολὴ **BPF** **19** (κατα-) σχόντων τηνικάδε in mg super. (prorsus evanidum) **B**^{2} | τηνικαῦτα **D** **20** τρὶς **PF** : τρεῖς **BD** | εἰς del. *Frob.* **21** πρὸς τοὺς φίλους om. **F**

ἐν τῷ κήπῳ, καθά φησι καὶ Ἀπολλόδωρος (ὃν καὶ
ὀγδοήκοντα μνῶν πρίασθαι). Διοκλῆς δὲ ἐν τῇ τρίτῃ τῆς **11**
Ἐπιδρομῆς φησιν εὐτελέστατα καὶ λιτότατα ⟨αὐτοὺς⟩
διαιτωμένους· "Κοτύλῃ γοῦν," φησίν, "οἰνιδίου ἠρκοῦν-
το, τὸ δὲ πᾶν ὕδωρ ἦν αὐτοῖς ποτόν." Τόν τε Ἐπίκουρον
μὴ ἀξιοῦν εἰς τὸ κοινὸν κατατίθεσθαι τὰς οὐσίας, καθά-
περ τὸν Πυθαγόραν, κοινὰ τὰ φίλων λέγοντα· ἀπιστούν-
των γὰρ εἶναι τὸ τοιοῦτον· εἰ δ' ἀπίστων, οὐδὲ φίλων.
Αὐτός τέ φησιν ἐν ταῖς ἐπιστολαῖς ὕδατι μόνον ἀρκεῖσθαι
καὶ ἄρτῳ λιτῷ. Καί· "Πέμψον μοι τυροῦ," φησί, "κυθρίδι-
ον, ἵν' ὅταν βούλωμαι πολυτελεύσασθαι δύνωμαι."
Τοιοῦτος ἦν ὁ τὴν ἡδονὴν εἶναι τέλος δογματίζων. Ὃν
καὶ Ἀθήναιος δι' ἐπιγράμματος οὕτως ὑμνεῖ·

Ἄνθρωποι, μοχθεῖτε τὰ χείρονα, καὶ διὰ κέρδος **12**
ἄπληστοι νεικέων ἄρχετε καὶ πολέμων·
τᾶς φύσιος δ' ὁ πλοῦτος ὅρον τινὰ βαιὸν ἐπίσχει,
αἱ δὲ κεναὶ κρίσιες τὰν ἀπέραντον ὁδόν.

5 Τόν τε – **8** φίλων : Usener, Fr. 543; **Φ** 74 **7** κοινὰ τὰ φίλων : cf. 4.53; 6.37 et 72; 8.10 **9** Αὐτός τε – **10** λιτῷ : Usener, Fr. 181; **Φ** 74 **10** Καί – **11** δύνωμαι : Usener, Fr. 182; **Φ** 74 **14–p. 718.2** *Anth. Pal., App.* 4.43 Cougny = *Suppl. Hell.* 225. Cf. Usener, Fr. 471

1 καὶ^{1} om. **FP^4** **2** δὲ del. Roeper^{1}, verba **1** ὃν καὶ – **3** φησιν Diocli attribuens **3** λιτώτατα **BD** | αὐτοὺς addidi **4** διαιτωμένους Gassendi et Menagius : διαιτώμενοι **BPD**, διαιτόμενοι **F** | οἰνηδίου **F** **7** τὰ τῶν φίλων **Φ** et Meibom. **8** τοιοῦτον **B^2P^2FDΦ** : τοιοῦτο **B^1P^1Q** | εἰ δ' ἀπίστων expunxit **P^4** **10** κυθρίδιον **Φ**, *Frob.* : κυθριδίου **BPFD** **11** πολυτελεύσασθαι **BP^1Q** : καὶ πολυτελεύσασθαι **Φ** : πολυτελέσασθαι **FDP^4** **14** μοχθῆτε et χείρωνα **F** **15** ἄπληστοι Usener : ἄπληστον **B^2PD** : ἄπλειστον **B^1F** | νεικέων **PF** : νεικῶν **B^2D** : νικέων **B^1** (?) **17** κρίσις **B** | τὰν add. **B^2**

Τοῦτο Νεοκλῆος πινυτὸν τέκος ἢ παρὰ Μουσέων
ἔκλυεν ἢ Πυθοῦς ἐξ ἱερῶν τριπόδων.

Εἰσόμεθα δὲ καὶ μᾶλλον προϊόντες ἔκ τε τῶν δογμάτων ἔκ τε τῶν ῥητῶν αὐτοῦ.

Μάλιστα δὲ ἀπεδέχετο, φησὶ Διοκλῆς, τῶν ἀρχαίων Ἀναξαγόραν, καίτοι ἔν τισιν ἀντειρηκὼς αὐτῷ, καὶ Ἀρχέλαον τὸν Σωκράτους διδάσκαλον. Ἐγύμναζε δέ, φησί, τοὺς γνωρίμους καὶ διὰ μνήμης ἔχειν τὰ ἑαυτοῦ συγγράμματα.

13 Τοῦτον Ἀπολλόδωρος ἐν Χρονικοῖς Ναυσιφάνους ἀκοῦσαί φησι καὶ Πραξιφάνους· αὐτὸς δὲ οὔ φησιν, ἀλλ' ἑαυτοῦ, ἐν τῇ πρὸς Εὐρύλοχον ἐπιστολῇ. Ἀλλ' οὐδὲ Λεύκιππόν τινα γεγενῆσθαί φησι φιλόσοφον, οὔτε αὐτὸς οὔτε Ἕρμαρχος, ὃν ἔνιοί φασι καὶ Ἀπολλόδωρος ὁ Ἐπικούρειος διδάσκαλον Δημοκρίτου γεγενῆσθαι. Δημήτριος δέ φησιν ὁ Μάγνης καὶ Ξενοκράτους αὐτὸν ἀκοῦσαι.

Κέχρηται δὲ λέξει κυρίᾳ κατὰ τῶν πραγμάτων, ἣν ὅτι

5–7 διδάσκαλον : Usener, Fr. 240. Cf. 59 A 26 DK **10–12** Usener, Fr. 123 **10–11** Apollodori F 41 (*FGrHist* 244); Nausiphanis 75 A 8 DK; Praxiphanis Fr. 5 Wehrli **11–12** ἀλλ' ἑαυτοῦ : cf. S.E. *Adv. math.* 1.3 (= Usener, Fr. 114) **12** Ἀλλ' οὐδὲ – **15** Usener, Fr. 232; Leucippi 67 A 2 DK **14** Hermarchi Fr. 12 Krohn **15–16** Demetrii Magnetis F 31 Mejer **17–p. 719.5** cf. E. Acosta Méndez, in *Bibl. della P.P.* 16 (1983) 121–132 **17–p. 719.3** Usener, p. 88 **17–p. 719.1** Aristoph. Byz. Fr. VII Nauck

1 τοῦτον **F** | τέκος **F**[1], τέλος **F**[2] | μουσέων **B**[1] (?) **P**[1]**Q** : μουσῶν **B**[2]**D** : μουσεύων **F** : μουσάων **P**[4], *Frob.* **4** ῥητῶν : ῥημάτων **FP**[4], *Frob.* **8** τὰ ἑαυτοῦ ἔχειν **F** **10** ναυσιφάνους **BP**[1]**QD** : λυσιφάνους **FP**[4] ss. γρ. **11** καὶ πραξιφάνους secl. Jacoby, Croenert (*Kolotes,* 21 et 175) **12** ἐν τῇ ἑαυτοῦ **F** | Εὐρύλοχον Menagius ex 10.28 : εὐρύδοκον **BF P**[4] : εὐρύλοκον **P**[1]**Q** : εὐρύδικον **D**, *Frob.* **13** φησι om. **F** **14** ἐπικούρειος **PF** : ἐπικούρου **BD** **15** διδάσκαλος **B**[1] (corr. **B**[2])

ἰδιωτάτη ἐστίν, Ἀριστοφάνης ὁ γραμματικὸς αἰτιᾶται. Σαφὴς δ' ἦν οὕτως, ὡς καὶ ἐν τῷ Περὶ ῥητορικῆς ἀξιοῖ μηδὲν ἄλλο ἢ σαφήνειαν ἀπαιτεῖν. Καὶ ἐν ταῖς ἐπι- 14
στολαῖς ἀντὶ τοῦ Εὖ πράττειν Χαίρειν καὶ Σπουδαίως ζῆν ⟨ἔγραφεν⟩.

Ἀρίστων [οἱ] δέ φησιν ἐν τῷ Ἐπικούρου βίῳ τὸν Κανόνα γράψαι αὐτὸν ἐκ τοῦ Ναυσιφάνους Τρίποδος, οὗ καὶ ἀκοῦσαί φησιν αὐτόν, ἀλλὰ καὶ Παμφίλου τοῦ Πλατωνικοῦ ἐν Σάμῳ. Ἄρξασθαί τε φιλοσοφεῖν ἐτῶν ὑπάρχοντα δυοκαίδεκα, ἀφηγήσασθαι δὲ τῆς σχολῆς ἐτῶν ὄντα δύο πρὸς τοῖς τριάκοντα.

Ἐγεννήθη δέ, φησὶν Ἀπολλόδωρος ἐν Χρονικοῖς, κατὰ τὸ τρίτον ἔτος τῆς ἐνάτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος ἐπὶ Σωσιγένους ἄρχοντος, μηνὸς Γαμηλιῶνος ἑβδόμῃ, ἔτεσιν ὕστερον τῆς Πλάτωνος τελευτῆς ἑπτά. Ὑπάρχοντα δ' 15

3–5 Usener, Frr. 54 et 95. Cf. DL 3.61 **6–9** ἐν Σάμῳ : Aristonis Cei Fr. 32 Wehrli; Nausiphanis 75 A 6 DK; Usener, p. 104 **12–p. 720.7** Apollodori F 76 (*FGrHist* 244). Cf. *Suda,* E 2404 **13** i.e. 341

1 ἰδιωτάτη : ἰδιω⟨τικω⟩τάτη Menagius : ἰδιωτικὴ Bake (ad Cleomed., p. 426) **2** post περὶ add. τῆς $\mathbf{P}^4$, *Frob.* **3** σαφήνιαν **B** | ἀπαιτεῖν : ἀσκεῖν Cobet : ἀπαιτῶν coni. Usener **4** εὖ πράττειν χαίρειν **BPFD** : transp. Gigante (*Athenaeum* 39 [1961] 24–25) conl. 3.61 **5** ἔγραφεν addidi : γράφει post χαίρειν add. iam Usener **6** Ἀρίστων scripsit et οἱ del. Cobet : ἄριστον· οἱ **BPFD** : Ἀρίστων ὁ Ἰ⟨ουλιήτης⟩ Jacoby : Ἀντίγονος [οἱ] Usener : [ἄριστον.] Οἱ R. Philippson (*Ph. W.* 41 [1921] 911–912, qui vv. 6–11 post p. 718.11 Πραξιφάνους transp. | φησιν Cobet : φασὶν **BPFD** **10** δὲ om. **F** **12** ἐγενήθη **B** | ἐν χρονικοῖς om. **F** **14** σωσηγένους **F** | inter μηνὸς et v. 15 τῆς lac. unius versus in $\mathbf{B}^1$ | γαμηλιῶνος **P F** : παπυλεῶνος $\mathbf{B}^2$ in lac. : πυανεψιῶνος **D** | ἑβδόμη $\mathbf{B}^2$ **D** : ἑβδόμης **PF** **14–15** ἔτεσιν ὕστερον in lac. $\mathbf{B}^2$

αὐτὸν ἐτῶν δύο καὶ τριάκοντα πρῶτον ἐν Μυτιλήνῃ καὶ Λαμψάκῳ συστήσασθαι σχολὴν ἐπὶ ἔτη πέντε· ἔπειθ' οὕτως εἰς Ἀθήνας μετελθεῖν καὶ τελευτῆσαι κατὰ τὸ δεύτερον ἔτος τῆς ἑβδόμης καὶ εἰκοστῆς καὶ ἑκατοστῆς Ὀλυμπιάδος ἐπὶ Πυθαράτου, ἔτη βιώσαντα δύο πρὸς τοῖς ἑβδομήκοντα· τήν τε σχολὴν διαδέξασθαι Ἕρμαρχον Ἀγεμόρτου Μυτιληναῖον.

Τελευτῆσαι δ' αὐτὸν λίθῳ τῶν οὔρων ἐπισχεθέντων, ὥς φησι καὶ Ἕρμαρχος ἐν ἐπιστολαῖς, ἡμέρας νοσήσαντα τετταρεσκαίδεκα. Ὅτε καί φησιν Ἕρμιππος ἐμβάντα αὐτὸν εἰς πύελον χαλκῆν κεκραμένην ὕδατι θερμῷ καὶ αἰτή-
16 σαντα ἄκρατον ῥοφῆσαι· τοῖς τε φίλοις παραγγείλαντα τῶν δογμάτων μεμνῆσθαι, οὕτω τελευτῆσαι. Καὶ ἔστιν ἡμῶν εἰς αὐτὸν οὕτω·

"Χαίρετε καὶ μέμνησθε τὰ δόγματα·" τοῦτ' Ἐπίκουρος
ὕστατον εἶπε φίλοις πρωῒ ἀποφθίμενος·
θερμὴν ἐς πύελον γὰρ ἐληλύθεεν καὶ ἄκρατον
ἔσπασεν, εἶτ' Ἀΐδην ψυχρὸν ἐπεσπάσατο.

4–5 i.e. 271–270 **8–13** τελευτῆσαι : Hermarchi Fr. 47 Krohn; Hermippi Fr. 61 Wehrli **15–18** *Anth. Pal.* 7.106. Cf. *Suda,* Π 3119; φ 30

1 πρῶτον post v. 2 λαμψάκω **F**, *Frob.* **2** συστήσασθε **F** | ἔπειθ' : εἶθ' **FP^4** in mg γρ. **4** εἰκοστῆς καὶ om. **F**, *Frob.* **5** ἔτη βιώσαντα **FP^4** : ἐπιβιώσαντα **BP^{1}QD** **7** Ἀγεμόρτου Usener ex 10.24 : ἀγεμάρτου **BP^1** (et **P^4**) **FD** : ἀγεμάρχου **P^2** **Q** | μητυλιναῖον **B^1** (-ληναῖον **B^2**) **8** οὔρων : θυρῶν **F**, *Frob.* **10** τετταρακαίδεκα **FP^4** | φησιν ἕρμαρχος om. **F** **11** αἰτῆσαι **FP^4** ss. γρ. **15** ἐπίκουρος **PFDφ** : ἐπικούρου **B** et *Pal.*^{1} **16** ὕστερον **FP^4** ss. γρ. | πρωῒ scripsi : πρῶτος **BPFDφ** : οἶσιν *Pal.* : τοὔπος Usener | ἀποφθείμενος **B**, ἀποθίμενος **F** **17** θερμὴν : χαλκῆν **φ** | πύλον **F** | ἐληλύθεεν Usener : ἐλήλυθε **D** : ἐσλύληθεν **B^1** (ἐλύληθεν **B^2**) : ἐσήλυθε(ν) **PF** et *Suda, Pal.* : ἐσῆλθε **φ** | ἄκρατον **BPDφ** et *Suda* : ἄκρητον *Suda* et *Pal.*$^{corr.}$: ἄκριτον *Pal.*^{1} : τὸν ἄκρατον **F**, *Frob.* **18** ἔσπασε **F** | εἶθ' ἀΐδην **BD** : ἀπεσπάσατο **D**

Οὗτος μὲν ὁ βίος τἀνδρός, ἥδε δὲ ἡ τελευτή.

Καὶ διέθετο ὧδε· "Κατὰ τάδε δίδωμι τὰ ἐμαυτοῦ πάν-
τα Ἀμυνομάχῳ Φιλοκράτους Βατῆθεν καὶ Τιμοκράτει
Δημητρίου Ποταμίῳ κατὰ τὴν ἐν τῷ Μητρῴῳ ἀναγεγραμ-
μένην ἑκατέρῳ δόσιν, | ἐφ' ᾧ τε τὸν μὲν κῆπον καὶ τὰ 17
προσόντα αὐτῷ παρέξουσιν Ἑρμάρχῳ Ἀγεμόρτου Μυτι-
ληναίῳ καὶ τοῖς συμφιλοσοφοῦσιν αὐτῷ καὶ οἷς ἂν
Ἕρμαρχος καταλίπῃ διαδόχοις τῆς φιλοσοφίας, ἐνδια-
τρίβειν κατὰ φιλοσοφίαν. Καὶ ἀεὶ δὲ τοῖς φιλοσοφοῦσιν
ἀπὸ ἡμῶν, ὅπως ἂν συνδιασώσωσιν Ἀμυνομάχῳ καὶ
Τιμοκράτει κατὰ τὸ δυνατόν, τὴν ἐν τῷ κήπῳ διατριβὴν
παρακατατίθεμαι τοῖς τ' αὐτῶν κληρονόμοις, ἐν ᾧ ἂν
τρόπῳ ἀσφαλέστατον ᾖ, ὅπως ἂν κἀκεῖνοι διατηροῖεν τὸν
κῆπον, καθάπερ καὶ αὐτοὶ οἷς ἂν οἱ ἀπὸ ἡμῶν φιλοσο-
φοῦντες παραδιδῶσι. Τὴν δ' οἰκίαν τὴν ἐν Μελίτῃ παρε-
χέτωσαν Ἀμυνόμαχος καὶ Τιμοκράτης ἐνοικεῖν Ἑρμάρχῳ
καὶ τοῖς μετ' αὐτοῦ φιλοσοφοῦσιν, ἕως ἂν Ἕρμαρχος ζῇ.

Ἐκ δὲ τῶν γινομένων προσόδων τῶν δεδομένων ἀφ' 18

2–p. 724.4 Usener, Fr. 217. Cf. C.G. Bruns, *Zs. der Savigny Stiftung* 1 (1880) 1 ss.; 46 ss.; P.D. Dimakis, in *Studi A. Biscardi* (Mediolani, 1987) 471–492 **5** cf. R.E. Wycherley, *Phoenix* 13 (1959) 73–77; M.L. Clarke, *Phoenix* 27 (1973) 386–387 **18–p. 722.8** cf. Cic. *De fin.* 2.101

1 δὲ **D**, Stephanus : om. **BPF** **3** τιμοκράτη **B** : τιμη-κράτει **F** **4** γεγραμμένην **F** **6** Ἀγεμόρτου Usener ex 10.24 : ἀγεμάρχου **BPFD** | μιτυληναίου **F** **8** καταλείπῃ **B** **10** ὅπως ἂν **FP**^{4} : ὅπως **BP**^{1}**Q** | διασώσωσιν **F** **11** τιμοκράτη **B**^{1} (corr. **B**^{2}) : δημοκράτει **F** | τῷ om. **F** **13** τρόπῳ *Frob.* : ἀνατρέπω **BPFD** : ποτε τρόπῳ Usener **13** ᾖ **FD** : ἢ **BP** | διατηροῖεν **BPD** : διατηρεῖεν **F** : διατηρῶσι Usener **14** φιλοσοφοῦντες om. **F** **15** παραδιδῶσι(ν) **BPD** : παραδίδωσι **F**, *Frob.* : παραδῶσιν Usener **18** γενομένων **F** | δεδομένων : γενομένων **F**

ἡμῶν Ἀμυνομάχῳ καὶ Τιμοκράτει κατὰ τὸ δυνατὸν μεριζέσθωσαν μεθ' Ἑρμάρχου σκοπούμενοι εἴς τε τὰ ἐναγίσματα τῷ τε πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς, καὶ ἡμῖν εἰς τὴν εἰθισμένην ἄγεσθαι γενέθλιον ἡμέραν ἑκάστου ἔτους τῇ προτέρᾳ δεκάτῃ τοῦ Γαμηλιῶνος, ὥσπερ καὶ εἰς τὴν γινομένην σύνοδον ἑκάστου μηνὸς ταῖς εἰκάσι τῶν συμφιλοσοφούντων ἡμῖν εἰς τὴν ἡμῶν τε καὶ Μητροδώρου ⟨μνήμην⟩ κατατεταγμένην. Συντελείτωσαν δὲ καὶ τὴν τῶν ἀδελφῶν ἡμέραν τοῦ Ποσειδεῶνος· συντελείτωσαν δὲ καὶ τὴν Πολυαίνου τοῦ Μεταγειτνιῶνος καθάπερ καὶ ἡμεῖς.

19 Ἐπιμελείσθω⟨σαν⟩ δὲ καὶ Ἀμυνόμαχος καὶ Τιμοκράτης τοῦ υἱοῦ τοῦ Μητροδώρου Ἐπικούρου καὶ τοῦ υἱοῦ τοῦ Πολυαίνου ⟨Πολυαίνου⟩, φιλοσοφούντων αὐτῶν καὶ συζώντων μεθ' Ἑρμάρχου. Ὡσαύτως δὲ τῆς θυγατρὸς τῆς Μητροδώρου τὴν ἐπιμέλειαν ποιείσθωσαν, καὶ εἰς ἡλικίαν ἐλθοῦσαν ἐκδότωσαν ᾧ ἂν Ἕρμαρχος ἕληται τῶν φιλοσοφούντων μετ' αὐτοῦ, οὔσης αὐτῆς εὐτάκτου καὶ

5 τῇ προτέρᾳ δεκάτῃ τοῦ Γαμηλιῶνος : i.e. vicesimo die mensis Gamelionis. Cf. C. Alpers, *Mus. Helv.* 25 (1968) 48–51

1 ἡμῶν **B^{2}P^{1}QD** : ὑμῶν **B^{1}FP^4** | κατὰ τὸ δυνατὸν **FP^4** : om. **BP^{1}QD** **2** εἴς τε τὰ **BPF** : ὅπως **D** **5** γαμιλιῶνος **B** | ὥσπερ Usener (*itemque* Cicero) : ὥστε **BPFD** : ἔτι δὲ Casaubon **7** συμφιλοσοφούντων **P^{4}H**, *Frob.* (cf. 10.20) : φιλοσοφούντων **BP^{1}QD** **8** μνήμην add. *Aldobr.* ex Cic. (*memoria*) | κατατεταγμένην : κατὰ ⟨τὰ⟩ τεταγμένα Usener **8** συντελείτωσαν – **9** τοῦ ποσειδῶνος post v. 10 τοῦ μεταγειτνιῶντος **F** **9** ποσιδέωνος **B** **10** μεταγιτνίωνος **B** : μεταγειτνιῶντος **FP^4** **11** ἐπιμελείσθωσαν Cobet (cf. 10.20) : ἐπιμελείσθω **BPFD** **13** Πολυαίνου^2 suppl. A. Vogliano ex Pap. Hercul. 176 (Fr 5, col. 22.7 s.) (*Epicuri et Epicureorum scripta ...*, Berolini, 1928, 116) **14** τῆς^2 **BP** : τοῦ **FD** **15** ποιείσθωσαν **B^{1}PF** : ποιείτωσαν **B^{2}D** **16** ἐλθοῦσαν **PF** : ἀνθοῦσαν **BD** | ἐρέμαρχος **F**

πειθαρχούσης Ἑρμάρχῳ. Διδότωσαν δὲ Ἀμυνόμαχος καὶ Τιμοκράτης ἐκ τῶν ὑπαρχουσῶν ἡμῖν προσόδων εἰς τροφὴν τούτοις, ὅ τι ἂν αὐτοῖς κατ' ἐνιαυτὸν ἐπιδέχεσθαι δοκῇ σκοπουμένοις μεθ' Ἑρμάρχου.

Ποιείσθωσαν δὲ μεθ' αὐτῶν καὶ Ἕρμαρχον κύριον 20
τῶν προσόδων, ἵνα μετὰ τοῦ συγκαταγεγηρακότος ἡμῖν ἐν φιλοσοφίᾳ καὶ καταλελειμμένου ἡγεμόνος τῶν συμφιλοσοφούντων ἡμῖν ἕκαστα γίνηται. Τὴν δὲ προῖκα τῷ θήλει παιδίῳ, ἐπειδὰν εἰς ἡλικίαν ἔλθῃ, μερισάτωσαν Ἀμυνόμαχος καὶ Τιμοκράτης ὅσον ἂν ἐπιδέχηται ἀπὸ τῶν ὑπαρχόντων ἀφαιροῦντες μετὰ τῆς Ἑρμάρχου γνώμης.

Ἐπιμελείσθωσαν δὲ καὶ Νικάνορος, καθάπερ καὶ ἡμεῖς, ἵν' ὅσοι τῶν ⟨συμ⟩φιλοσοφούντων ἡμῖν χρείαν ἐν τοῖς ἰδίοις παρεσχημένοι καὶ τὴν πᾶσαν οἰκειότητα ἐνδεδειγμένοι συγκαταγηράσκειν μεθ' ἡμῶν προείλοντο ἐν φιλοσοφίᾳ, μηδενὸς τῶν ἀναγκαίων ἐνδεεῖς καθεστήκωσιν ἐπὶ τὴν ἡμετέραν δύναμιν.

Δοῦναι δὲ τὰ βιβλία τὰ ὑπάρχοντα ἡμῖν πάντα Ἑρ- 21
μάρχῳ.

Ἐὰν δέ τι τῶν ἀνθρωπίνων περὶ Ἕρμαρχον γίνηται πρὸ τοῦ τὰ Μητροδώρου παιδία εἰς ἡλικίαν ἐλθεῖν, δοῦναι Ἀμυνόμαχον καὶ Τιμοκράτην, ὅπως ἂν εὐτακτούντων αὐτῶν ἕκαστα γίνηται τῶν ἀναγκαίων, κατὰ τὸ δυνατὸν ἀπὸ τῶν καταλελειμμένων ὑφ' ἡμῶν προσόδων. Καὶ τῶν

1 διδώτωσαν **B** **5** ποιείσθωσαν **PF** : ποιείτωσαν **BD** | ἑαυτῶν **F** **6** μετὰ τοῦ **BP^1QD** : μετ' αὐτοῦ **FP^4** | συγγεγηρακότος **F** **9** μερησάτωσαν **B** **12** ἐπιμελείσθω **P^1Q** (corr. **P^4**) | νικάνωρος **F** **13** ἵν' **PF** : ἵνα **BD** | ὅσον **F** | συμφιλοσοφούντων *Frob.* : φιλοσοφούντων **BPFD** **15** προείλονται **F** **16** ἀναγκαίων : ἐναντίων **B** **17** ἐπὶ : κατὰ Meibom. : παρὰ Usener **18** πάντα om. **F** | ἐνμάρχω **F** **20** γίνηται **BPD** : γένηται **F** **22** τιμοκράτην **FDP^4** : τιμοκράτη **BP^1** **23** γίνηται **BP^1** et **P^5D** : γένηται **FP^4**, *Frob.* **24** καταλελημμένων **B^1**

λοιπῶν ἁπάντων ὡς συντετάχαμεν ἐπιμελείσθωσαν, ὅπως δὴ κατὰ τὸ ἐνδεχόμενον ἕκαστα γίνηται. Ἀφίημι δὲ τῶν παίδων ἐλεύθερον Μῦν, Νικίαν, Λύκωνα· ἀφίημι δὲ καὶ Φαίδριον ἐλευθέραν."

22 Ἤδη δὲ τελευτῶν γράφει πρὸς Ἰδομενέα τήνδε ἐπιστολήν·

"Τὴν μακαρίαν ἄγοντες καὶ ἅμα τελευταίαν ἡμέραν τοῦ βίου ἐγράφομεν ὑμῖν ταυτί. Στραγγουρικά τε παρηκολουθήκει καὶ δυσεντερικὰ πάθη ὑπερβολὴν οὐκ ἀπολείποντα τοῦ ἐν ἑαυτοῖς μεγέθους· ἀντιπαρετάττετο δὲ πᾶσι τούτοις τὸ κατὰ ψυχὴν χαῖρον ἐπὶ τῇ τῶν γεγονότων ἡμῖν διαλογισμῶν μνήμῃ. Σὺ δὲ ἀξίως τῆς ἐκ μειρακίου παραστάσεως πρὸς ἐμὲ καὶ φιλοσοφίαν ἐπιμελοῦ τῶν παίδων Μητροδώρου."

Καὶ διέθετο μὲν ὧδε.

Μαθητὰς δὲ ἔσχε πολλοὺς μέν, σφόδρα δὲ ἐλλογίμους Μητρόδωρον ⟨καὶ⟩ Ἀθηναῖον καὶ Τιμοκράτην καὶ Σάνδην

7–14 Usener, Fr. 138; *FGrHist* 338 T 4 **16–p. 726.8** Metrodori frr. pp. 656 s. et 537 Koerte

1 ὡς **BD** : ὧν **PF** **2** δὴ : ἂν Usener **2** γίνηται **P D** : γίγνηται **BF** **3** μῦν : ἡμῖν **P**^{4} in mg γρ. **4** φαίδριον : φαίδραν **D** | ἐλευθέραν **F**^{1}**DP**^{4} : ἐλευθερίαν **BP**^{1}**Q F**^{2} : ἐλευθερίᾳ Usener **7** τελευταίαν J. Davies (ad Cic. *De fin.* 2.96) ex Epict. *Diss.* 2.23.21 et Cic. l.l. : τελευτῶντες **BPFD** **8** στραγγουρικά Usener : στραγγουριτία **B**^{2}, -ίτια **F**, -ητία **P** : στραγγουρία **D** | τε ss. **B**^{2} | παρηκολουθήκει : παρηκολούθει Stephanus **9** ἀπολιπόντα **B** **10** ἀντεπαρετάττετο **F** | πᾶσι ss. **F**^{2} **11** χαῖρον **B**^{2}**PD** : χαίρων **B**^{1}**F** **13** φιλοσοφίαν *Frob.* (*philosophiam* Cic. *De fin.* 2.96 = Usener, Fr. 122) : φιλοσοφίας **BPFD** **15** διέθετο **D** et Stephanus : ἔθετο **BPF** **17** καὶ^1 addidi | ἀθηναῖον (cf. Usener, Fr. 115) : Ἀθηναίου H. Duening (*De Metrodori Epicurei vita et scriptis,* Lipsiae, 1866, 7 s.) | καὶ^2 **D** : ἢ **BPF** | τιμοκράτην **PFD** : τιμοκράτης **B** : Τιμοκράτους Duening | σάνδην **PFD** : σάνδη· **B** : Σάνδης Usener : Κασσάνδρας Th. Gomperz (*Hermes* 5, [1871] 387)

Λαμψακηνούς· ὃς ἀφ' οὗ τὸν ἄνδρα ἔγνω, οὐκ ἀπέστη ἀπ'
αὐτοῦ πλὴν ἓξ μηνῶν εἰς τὴν οἰκείαν, ἔπειτα ἐπανῆλθε.
Γέγονε δὲ ἀγαθὸς πάντα, καθὰ καὶ Ἐπίκουρος ἐν προη- **23**
γουμέναις γράφει, μαρτυρεῖ δὲ καὶ ἐν τῷ τρίτῳ Τιμοκρά-
τους. Τοιοῦτος δ' ὢν καὶ τὴν ἀδελφὴν Βατίδα ἐξέδοτο
Ἰδομενεῖ, καὶ Λεόντιον τὴν Ἀττικὴν ἑταίραν ἀναλαβὼν
εἶχε παλλακήν. Ἦν δὲ καὶ ἀκατάπληκτος πρός τε τὰς
ὀχλήσεις καὶ τὸν θάνατον, ὡς Ἐπίκουρος ἐν τῷ πρώτῳ
Μητροδώρου φησί. Φασὶ δὲ καὶ πρὸ ἑπτὰ ἐτῶν αὐτοῦ
τελευτῆσαι, πεντηκοστὸν τρίτον ἔτος ἄγοντα, καὶ αὐτὸς
Ἐπίκουρος ἐν ταῖς προειρημέναις διαθήκαις, ὡς προαπε-
ληλυθότος αὐτοῦ δηλονότι, ἐπισκήπτει περὶ τῆς ἐπιμελεί-
ας αὐτοῦ τῶν παίδων. Ἔσχε δὲ καὶ τὸν προειρημένον
εἰκαῖόν τινα ἀδελφὸν τοῦ Μητροδώρου Τιμοκράτην.
Βιβλία δέ ἐστι τοῦ Μητροδώρου τάδε· **24**

Πρὸς τοὺς ἰατροὺς τρία,
Περὶ αἰσθήσεων,
Πρὸς Τιμοκράτην,
Περὶ μεγαλοψυχίας,

1 οὐκ ἀπέστη : cf. *Gnom. Vat.* 408 **3–4** Usener, Fr. 241 **7–9** Usener, Fr. 37 **10** καὶ αὐτὸς – **13** τῶν παίδων : Usener, Fr. 217 **13** τὸν προειρημένον : 10.6 et 22

1 Λαμψακηνούς scripsi : λαμψακηνὸν **PFD**, -κινὸν **B** | ἀπ'^{2} **F**$\mathbf{P}^4$: om. **B**$\mathbf{P}^1$**D** **2** οἰκείαν Cobet : οἰκίαν **BPFD** **3** ante πάντα addit κατὰ $\mathbf{P}^4$ **3** καθὰ – **4** τιμοκράτους om. **F** **4** γράφει : γραφαῖς Usener | δὲ **D** : om. **BP** | Τιμοκράτους Usener : τιμοκράτης **BPD** : Τιμοκράτει Gassendi **6** λεόντιον **B**$\mathbf{P}^1$**Q** : λεοντίαν **F**$\mathbf{P}^4$ et *Frob.* | ἑτέραν $\mathbf{B}^1$ (corr. $\mathbf{B}^2$) **7** παλακὴν **F** | ἀκατάπληκτος **F** et *Frob.* : ἀκατάληπτος **BPD** **9** Μητροδώρου Usener : μητροδώρῳ **BPF** **10** ἄγοντα **D** et Casaubon : ἄγοντος **BP** : ἄγων **F** | καὶ ἃ αὐτὸς **P** **11** προαπεληλυθότος **B**$\mathbf{P}^1$**D** : προαποθανόντος **F**$\mathbf{P}^4$ γρ. (sed delevit) **12** δηλῶν ὅτι $\mathbf{B}^1$ **14** εἰκαῖον $\mathbf{B}^1$**PF** : οἰκεῖον ss. $\mathbf{B}^2$**D** **15** τάδε **PF** : ταῦτα **BD** **17** αἰσθήσεων **PF** : αἰσθήσεως **BD**

Περὶ τῆς Ἐπικούρου ἀρρωστίας,
Πρὸς τοὺς Διαλεκτικούς,
Πρὸς τοὺς Σοφιστὰς ἐννέα,
Περὶ τῆς ἐπὶ σοφίαν πορείας,
Περὶ τῆς μεταβολῆς,
Περὶ πλούτου,
Πρὸς Δημόκριτον,
Περὶ εὐγενείας.

Ἦν καὶ Πολύαινος Ἀθηνοδώρου Λαμψακηνός, ἐπιεικὴς καὶ φιλικός, ὡς οἱ περὶ Φιλόδημόν φασι. Καὶ ὁ διαδεξάμενος αὐτὸν Ἕρμαρχος Ἀγεμόρτου Μυτιληναῖος, ἀνὴρ πατρὸς μὲν πένητος, τὰς δ' ἀρχὰς προσέχων ῥητορικοῖς.

Φέρεται καὶ τούτου βιβλία κάλλιστα τάδε·

25 Ἐπιστολικὰ περὶ Ἐμπεδοκλέους εἴκοσι καὶ δύο,
Περὶ τῶν μαθη⟨μά⟩των,
Πρὸς Πλάτωνα,
Πρὸς Ἀριστοτέλην.

Ἐτελεύτα δὲ παραλύσει, γενόμενος ἱκανὸς ἀνήρ.

Λεοντεύς τε Λαμψακηνὸς ὁμοίως καὶ ἡ τούτου γυνὴ Θεμίστα, πρὸς ἣν καὶ γέγραφεν ὁ Ἐπίκουρος. Ἔτι τε Κολώτης καὶ Ἰδομενεύς, καὶ αὐτοὶ Λαμψακηνοί. Καὶ οὗτοι

21–22 Usener, Fr. 124 **23** Ἰδομενεύς : *FGrHist* 338 T 2

1 ἀρρωστείας **B** **3** ἐννέα om. **F** **9** λαμψακινὸς **B** **10** φίληκος **F** : φιλήκοος Cobet | οἱ περὶ : ἐπὶ **F** | φασι om. **F** **11** ἀγαιμόρτου **P**[1] (corr. **P**[4]) **17** μαθη⟨μά⟩των Casaubon : μαθητῶν **BPFD** **20** παραλύσει Kuehn : παραλυσία **BD**, παρὰ λυσία **PF** **21** λαμψακινὸς **B** **22** κολώτης **B** : κωλώτης **P** : κωλοτὴς **F** : κολότης **D** **23** εἰδομενεὺς **B** | λαμψακινοὶ **B**

μὲν ἐλλόγιμοι, ὧν ἦν καὶ Πολύστρατος ὁ διαδεξάμενος Ἕρμαρχον· ὃν διεδέξατο Διονύσιος· ὃν Βασιλείδης. Καὶ Ἀπολλόδωρος δ' ὁ Κηποτύραννος γέγονεν ἐλλόγιμος, ὃς ὑπὲρ τετρακόσια συνέγραψε βιβλία· δύο τε Πτολεμαῖοι Ἀλεξανδρεῖς, ὅ τε μέλας καὶ ὁ λευκός· Ζήνων τε ὁ Σιδώνιος, ἀκροατὴς Ἀπολλοδώρου, πολυγράφος ἀνήρ· καὶ 26 Δημήτριος ὁ ἐπικληθεὶς Λάκων· Διογένης τε ὁ Ταρσεύς, ὁ τὰς ἐπιλέκτους σχολὰς συγγράψας· καὶ Ὠρίων καὶ ἄλλοι, οὓς οἱ γνήσιοι Ἐπικούρειοι Σοφιστὰς ἀποκαλοῦσιν.

Ἦσαν δὲ καὶ ἄλλοι Ἐπίκουροι τρεῖς· ὅ τε Λεοντέως υἱὸς καὶ Θεμίστας· ἕτερος Μάγνης· τρίτος ὁπλομάχος.

Γέγονε δὲ πολυγραφώτατος ὁ Ἐπίκουρος, πάντας ὑπερβαλλόμενος πλήθει βιβλίων· κύλινδροι μὲν γὰρ πρὸς τοὺς τριακοσίους εἰσί· γέγραπται δὲ μαρτύριον ἔξωθεν ἐν αὐτοῖς οὐδέν, ἀλλ' αὗταί εἰσιν Ἐπικούρου φωναί. Ἐζήλου δὲ αὐτὸν Χρύσιππος ἐν πολυγραφίᾳ, καθά φησι καὶ Καρνεάδης παράσιτον αὐτοῦ τῶν βιβλίων ἀποκαλῶν· "Εἰ γάρ τι γράψαι ὁ Ἐπίκουρος, φιλονεικεῖ τοσοῦτον γράψαι ὁ Χρύσιππος. Καὶ διὰ τοῦτο καὶ πολλάκις τὰ αὐτὰ 27 γέγραφε καὶ τὸ ἐπελθόν, καὶ ἀδιόρθωτα εἴακε τῷ ἐπείγεσ-

12–p. 729.18 Usener, p. 85 s. **16** Ἐζήλου δὲ – **p. 728.2** τὰ βιβλία : **φ** 30

2 ὃν βασιλείδης in mg super. **F**^{2} | βασιλίδης **BD** 4 τὰ τετρακόσια **D** et Cobet 6 ἀκροατοῦ **F** 7 τε : δὲ **P**^{1}**Q** (corr. **P**^{4}) 9 ἐπικούριοι **BF** 11 τρίτος Cobet : τέταρτος **BPFD** 13 ὑπερβαλόμενος Coraes (ad Plut. *Anton.* 58) 14 τριακοσίους **BPD** : τ΄ **F** : φ΄ Ritschl (*Opusc.* I, 184 s.) | ἔξω **F** 15 αὗται **BPFD** : αὐτοῦ Cobet, agn. Usener 17 καὶ καρνεάδης **D** : καὶ ἀρνεάδης **BP**^{1}**Q** : καρνεάδης **FP**^{4} | αὐτοῦ **BP** : ἐκείνου **φ** : αὐτὸν **FD** 18 γράψαι **PFφ** : γράψει **BD** | ἐφιλονείκει **φ** et Casaubon 19 τὰ αὐτὰ **BPD φ** : ταὐτὰ **F** 20 εἴακε Cobet : εἷλκε **BPFDφ** | ἐπήγεσθαι **BP**^{1} (corr. **P**^{2}**Q**)

θαι· καὶ τὰ μαρτύρια τοσαῦτά ἐστιν, ὡς ἐκείνων μόνων γέμειν τὰ βιβλία, καθάπερ καὶ παρὰ Ζήνωνι ἔστιν εὑρεῖν καὶ παρὰ Ἀριστοτέλει." Καὶ τὰ συγγράμματα μὲν Ἐπικούρῳ τοσαῦτα καὶ τηλικαῦτα· ὧν τὰ βέλτιστά ἐστι τάδε·

Περὶ φύσεως λζʹ,
Περὶ ἀτόμων καὶ κενοῦ,
Περὶ ἔρωτος,
Ἐπιτομὴ τῶν πρὸς τοὺς φυσικούς,
Πρὸς τοὺς Μεγαρικούς,
Διαπορίαι,
Κύριαι δόξαι,
Περὶ αἱρέσεων καὶ φυγῶν,
Περὶ τέλους,
Περὶ κριτηρίου ἢ Κανών,
Χαιρέδημος,
Περὶ θεῶν,
Περὶ ὁσιότητος,
Ἡγησιάναξ,
Περὶ βίων τέσσαρα,
28 Περὶ δικαιοπραγίας,
Νεοκλῆς πρὸς Θεμίσταν,
Συμπόσιον,
Εὐρύλοχος πρὸς Μητρόδωρον,
Περὶ τοῦ ὁρᾶν,
Περὶ τῆς ἐν τῇ ἀτόμῳ γωνίας,
Περὶ ἁφῆς,
Περὶ εἱμαρμένης,

10 T 194 Doering

1 μόνον **B** **2** καθάπερ : καθὰ **FP**[4] **3** καὶ περὶ ἀριστοτέλει in mg infer. **F**[2] **13** om. **F** | φυγῶν Gassendi : φυτῶν **BPFD**

Περὶ παθῶν δόξαι πρὸς Τιμοκράτην,
Προγνωστικόν,
Προτρεπτικός,
Περὶ εἰδώλων,
Περὶ φαντασίας,
Ἀριστόβουλος,
Περὶ μουσικῆς,
Περὶ δικαιοσύνης καὶ τῶν ἄλλων ἀρετῶν,
Περὶ δώρων καὶ χάριτος,
Πολυμήδης,
Τιμοκράτης α΄ β΄ γ΄,
Μητρόδωρος α΄ β΄ γ΄ δ΄ ε΄,
Ἀντίδωρος α΄ β΄,
Περὶ νόσων δόξαι πρὸς Μιθρῆν,
Καλλιστόλας,
Περὶ βασιλείας,
Ἀναξιμένης,
Ἐπιστολαί.

Ἃ δὲ αὐτῷ δοκεῖ ἐν αὐτοῖς ἐκθέσθαι πειράσομαι τρεῖς
ἐπιστολὰς αὐτοῦ παραθέμενος, ἐν αἷς πᾶσαν τὴν ἑαυτοῦ
φιλοσοφίαν ἐπιτέτμηται· θήσομεν δὲ καὶ τὰς Κυρίας αὐ- **29**
τοῦ δόξας καὶ εἴ τι ἔδοξεν ἐκλογῆς ἀξίως ἀνεφθέγχθαι,
ὥστε σὲ πανταχόθεν καταμαθεῖν τὸν ἄνδρα καὶ κρίνειν

4 εἰδώλων **B^1**, ηδονων **B^1** **11** α΄ β΄ om. **F** **12** α΄ β΄ γ΄ δ΄ om. **F** **13** α΄ om. **F** **14** νόσων Gassendi : νότων **BPF D** | post νόσων addit καὶ θανάτου Gigante conl. P. Herc. 1012, col. 22 | Μιθρῆν Usener : μίθρην **BPFD** : Μίθραν Cobet **15** καλλιστόλας **PF** : καλλιστολὰς **BD** **19** ἃ **D**, Usener : μίαν **BPF** | αὐτῷ **D**, Usener : αὐτῶν **B^1P^1Q** : αὐτῷ η **B^2** : αὐτῶν εἰ **F**, αὐτῶν ἢ **P^4** in mg | δοκῇ αὐτοῖς **F** **21** ἐπιτέτμηται : ἐπέτεμε **FP^4** in mg γρ. et *Frob.* **22** ἀνεφθέγχθαι **B^1 P^1FD** : ἀνεκφθέγχθαι **B^2** : ἀναφθέγχθαι **P^2Q** **23** καὶ scripsi : κἀμὲ **BPFD** : κἂν Usener : κᾶμα Bignone (*Aegyptus* 13 [1933] 438)

εἰδέναι [κρίνειν].

Τὴν μὲν οὖν πρώτην ἐπιστολὴν γράφει πρὸς Ἡρόδοτον, ⟨ἥτις ἐστὶ περὶ τῶν φυσικῶν· τὴν δὲ δευτέραν πρὸς Πυθοκλέα⟩, ἥτις ἐστὶ περὶ μεταρσίων· τὴν δὲ τρίτην πρὸς Μενοικέα, ἔστι δ᾽ ἐν αὐτῇ τὰ περὶ βίων. Ἀρκτέον δὴ ἀπὸ τῆς πρώτης, ὀλίγα προειπόντα περὶ τῆς διαιρέσεως τῆς κατ᾽ αὐτὸν φιλοσοφίας.

Διαιρεῖται τοίνυν εἰς τρία, τό τε κανονικὸν καὶ φυ-
30 σικὸν καὶ ἠθικόν. Τὸ μὲν οὖν κανονικὸν ἐφόδους ἐπὶ τὴν
πραγματείαν ἔχει, καὶ ἔστιν ἐν ἑνὶ τῷ ἐπιγραφομένῳ Κανών· τὸ δὲ φυσικὸν τὴν περὶ φύσεως θεωρίαν πᾶσαν, καὶ ἔστιν ἐν ταῖς Περὶ φύσεως βίβλοις λζʹ καὶ ταῖς Ἐπιστολαῖς κατὰ στοιχεῖον· τὸ δὲ ἠθικὸν τὰ περὶ αἱρέσεως καὶ φυγῆς· ἔστι δὲ ἐν ταῖς Περὶ βίων βίβλοις καὶ Ἐπιστολαῖς καὶ τῷ Περὶ τέλους. Εἰώθασι μέντοι τὸ κανονικὸν ὁμοῦ τῷ φυσικῷ τάττειν· καλοῦσι δ᾽ αὐτὸ περὶ κριτηρίου καὶ ἀρχῆς, καὶ στοιχειωτικόν· τὸ δὲ φυσικὸν περὶ γενέσεως καὶ φθορᾶς, καὶ περὶ φύσεως· τὸ δὲ ἠθικὸν περὶ αἱρετῶν καὶ φευκτῶν, καὶ περὶ βίων καὶ τέλους.

31 Τὴν διαλεκτικὴν δὲ ὡς παρέλκουσαν ἀποδοκιμάζουσιν· ἀρκεῖν γὰρ τοὺς φυσικοὺς χωρεῖν κατὰ τοὺς τῶν

8–11 Κανών : Usener, p. 104 **11** τὸ δὲ φυσικὸν – **15** Περὶ τέλους : Usener, pp. 94, 124 et 131 **20–p. 733.11** τὴν φωνήν : **Φ** 90 **20–p. 732.1** Usener, Frr. 36 et 257

1 post εἰδέναι repetunt κρίνειν **BP**^{1}**D** : om. **FP**^{4} et *Frob.* **3** ἥτις – **4** πρὸς Πυθοκλέα suppl. Usener : περὶ τῶν φυσικῶν, δευτέραν πρὸς Πυθοκλέα suppl. iam *Frob.* **4** post μεταρσίων addit **D** τὴν δὲ δευτέραν πρὸς πυθοκλέα | δὲ **D** : om. **BPF** **8** τε om. **F** **11** τὴν et θεωρίαν **FD** et *Frob.* : τῆς et θεωρίας **BP**^{1}**Q** : τὰ et θεωρίαν **P**^{4} | πᾶσαν om. **F** **14** βίων in mg **F**^{2} : φύσεως **F**^{1} | καὶ^{2} om. **F** **15** τῶ **FD** : τὸ **BP** **16** συντάττειν **FP**^{4} **18** καὶ περὶ φύσεως om. **F** **19** καὶ^{3} in mg **F**^{2} **20** δὲ **D**, Gassendi : om. **BPFΦ**

πραγμάτων φθόγγους. Ἐν τοίνυν τῷ Κανόνι λέγων ἐστὶν ὁ Ἐπίκουρος κριτήρια τῆς ἀληθείας εἶναι τὰς αἰσθήσεις καὶ προλήψεις καὶ τὰ πάθη, οἱ δ' Ἐπικούρειοι καὶ τὰς φανταστικὰς ἐπιβολὰς τῆς διανοίας. Λέγει δὲ καὶ ἐν τῇ πρὸς Ἡρόδοτον ἐπιτομῇ καὶ ἐν ταῖς Κυρίαις δόξαις. "Πᾶσα γάρ," φησίν, "αἴσθησις ἄλογός ἐστι καὶ μνήμης οὐδεμιᾶς ἐπιδεκτική· οὔτε γὰρ ὑφ' αὐτῆς κινεῖται, οὔτε ὑφ' ἑτέρου κινηθεῖσα δύναταί τι προσθεῖναι ἢ ἀφελεῖν. Οὐδὲ ἔστι τὸ δυνάμενον αὐτὰς διελέγξαι· | **32** οὔτε γὰρ ἡ ὁμογενὴς αἴσθησις τὴν ὁμογενῆ διὰ τὴν ἰσοσθένειαν· οὔθ' ἡ ἀνομογενὴς τὴν ἀνομογενῆ· οὐ γὰρ τῶν αὐτῶν εἰσι κριτικαί· οὔτε μὴν λόγος· πᾶς γὰρ λόγος ἀπὸ τῶν αἰσθήσεων ἤρτηται· οὔθ' ἡ ἑτέρα τὴν ἑτέραν· πάσαις γὰρ προσέχομεν. Καὶ τὸ τὰ ἐπαισθήματα δ' ὑφεστάναι πιστοῦται τὴν τῶν αἰσθήσεων ἀλήθειαν. Ὑφέστηκε δὲ τό τε ὁρᾶν ἡμᾶς καὶ ἀκούειν ὥσπερ τὸ ἀλγεῖν. Ὅθεν καὶ περὶ

1 Ἐν – **5** δόξαις : Usener, p. 70 et Fr. 35 **4–5** ἐν τῇ πρὸς Ἡρόδοτον ἐπιτομῇ : cf. 10.38 et 50–51 **5** ἐν ταῖς Κυρίαις δόξαις : cf. 10.147

1 λέγων ἐστὶν **FP^4** : ἐστὶν **BP^{1}Q** : om. **D** **3** ⟨τὰς⟩ προλήψεις Gassendi | ἐπικούριοι **B** | καὶ^3 om. **F** **4** καὶ ⟨αὐτὸς⟩ ἐν coni. Usener **7** ἐπιδεκτικὴ **Φ** : ἐστὶ δεκτικὴ **F** : δεκτικὴ **BPD** | ὑφ' αὐτῆς **F**, ὑπ' αὐτῆς **D** et ss. **P^4** : ἀπ' αὐτῆς **BP^{1}QΦ** | κινεῖται om. **F**, *Frob.* **8** δύναται **Φ** et Gassendi : ἀδυνατεῖ **BPFD** | προσθῆναι **B** **9** οὐδὲ : οὐδὲν **F** | ἡ om. **P^{1}Q** : add. **P^4** **10** ὁμογενὴς **Φ** et Gassendi : ὁμογένεια **BPF** **10** αἴσθησις – **11** ἡ ἀνομογένεια in mg **F^2** **10** αἰσθήσεις **B^2** | ὁμογενῆ : ὁμογένειαν **P^4** et *Frob.* **11** ἡ ἀνομογενὴς τὴν ἀνομογενῆ **ΦD** : ἡ ἀνομογένεια τὴν ἀνομοιογένειαν **BPF** | τὴν ἀνομοιογένειαν in mg **B^2** **11–12** εἰσὶ κριτικαὶ **ΦFDP^4** : εἰς κριτικῶν **B**, εἰς κριτικὸν **P^{1}Q** **13** ἤρτηται **ΦD** et *Aldobr.* : εἴρηται **BPF** | τὴν ἑτέραν **PF** : τῆς ἑτέρας **BD** : τῇ ἑτέρα **Φ** **14** ἐπαισθήματα **B^{2}P^{1}ΦD** : ἀνεπαίσθητα **ΦP^4** | δ' om. **FP^4** | ὑφιστάναι **F** **15** τὴν ἐκ τῶν **Φ** | δὲ : γὰρ **Φ** **16** ὥσπερ καὶ τὸ **Φ**

τῶν ἀδήλων ἀπὸ τῶν φαινομένων χρὴ σημειοῦσθαι. Καὶ γὰρ καὶ αἱ ἐπίνοιαι πᾶσαι ἀπὸ τῶν αἰσθήσεων γεγόνασι κατά τε περίπτωσιν καὶ ἀναλογίαν καὶ ὁμοιότητα καὶ σύνθεσιν, συμβαλλομένου τι καὶ τοῦ λογισμοῦ. Τά τε τῶν μαινομένων φαντάσματα καὶ ⟨τὰ⟩ κατ' ὄναρ ἀληθῆ· κινεῖ γάρ· τὸ δὲ μὴ ὂν οὐ κινεῖ."

33 Τὴν δὲ πρόληψιν λέγουσιν οἱονεὶ κατάληψιν ἢ δόξαν ὀρθὴν ἢ ἔννοιαν ἢ καθολικὴν νόησιν ἐναποκειμένην, τουτέστι μνήμην τοῦ πολλάκις ἔξωθεν φανέντος, οἷον τὸ Τοιοῦτόν ἐστιν ἄνθρωπος· ἅμα γὰρ τῷ ῥηθῆναι Ἄνθρωπος εὐθὺς κατὰ πρόληψιν καὶ ὁ τύπος αὐτοῦ νοεῖται προηγουμένων τῶν αἰσθήσεων. Παντὶ οὖν ὀνόματι τὸ πρώτως ὑποτεταγμένον ἐναργές ἐστι. Καὶ οὐκ ἂν ἐζητήσαμεν τὸ ζητούμενον, εἰ μὴ πρότερον ἐγνώκειμεν αὐτό· οἷον Τὸ πόρρω ἑστὼς ἵππος ἐστὶν ἢ βοῦς· δεῖ γὰρ κατὰ πρόληψιν ἐγνωκέναι ποτὲ ἵππου καὶ βοὸς μορφήν. Οὐδ' ἂν ὠνομάσαμέν τι μὴ πρότερον αὐτοῦ κατὰ πρόληψιν τὸν τύπον μαθόντες. Ἐναργεῖς οὖν εἰσιν αἱ προλήψεις.

Καὶ τὸ δοξαστὸν ἀπὸ προτέρου τινὸς ἐναργοῦς ἤρτηται, ἐφ' ὃ ἀναφέροντες λέγομεν· οἷον Πόθεν ἴσμεν εἰ τοῦ-

7–18 Usener, Fr. 255. Cf. A. Manuwald, *Die Prolepsislehre Epikurs* (Diss. Bonn., 1972) **7–p. 733.1** λέγουσιν : *Suda*, Π 2495 **18–p. 733.6** Usener, p. 181.7 adnot.

1 τῶν[1] expunxit P^4 **2** καὶ αἱ **Φ** : καὶ **BP^1D** : om. **F** P^4 : αἱ Cobet **4** ἐμβαλομένου **F** **5** μαινομένων : φαινομένων **$F^2Φ$** | τὰ add. Casaubon **7** λέγουσιν οἱονεὶ κατάληψιν om. **BD** **8** ὀρθὴν **BPΦ** et *Suda* : ἀνορθεῖν **F** : om. **D** **9** ἔξωθεν φανέντος in mg **F^2** **10** τῶ **PDΦ** et *Suda* : τὸ **BF** **11** πρόσληψιν **F^2** **13** ὑποτεταγμένον Gassendi : ἐπιτεταγμένον **BPFDΦ** : ἐπιτετευγμένον *Suda* **14** ἐγνώκοιμεν **B** **15** ἑστὸς **B** | βοῦς ἐστιν ἢ ἵππος **Φ** et *Suda* | γὰρ τὸ κατὰ **F** **16** post οὐδ' ἂν add. οὖν *Suda*, ὃν **Φ** **17** μὴ om. **F**, sed εἰ μὴ ante αὐτοῦ ss. add. **F^2** **18** προσλήψεις **F^2** **19** ἐναργῶς **F**

τό ἐστιν ἄνθρωπος; Τὴν δὲ δόξαν καὶ ὑπόληψιν λέγουσιν, 34 ἀληθῆ τέ φασι καὶ ψευδῆ· ἂν μὲν γὰρ ἐπιμαρτυρῆται ἢ μὴ ἀντιμαρτυρῆται, ἀληθῆ εἶναι· ἐὰν δὲ μὴ ἐπιμαρτυρῆται ἢ ἀντιμαρτυρῆται, ψευδῆ τυγχάνειν. Ὅθεν ⟨τὸ⟩ προσμένον εἰσήχθη· οἷον τὸ προσμεῖναι καὶ ἐγγὺς γενέσθαι τῷ πύργῳ καὶ μαθεῖν ὁποῖος ἐγγὺς φαίνεται.

Πάθη δὲ λέγουσιν εἶναι δύο, ἡδονὴν καὶ ἀλγηδόνα, ἱστάμενα περὶ πᾶν ζῷον, καὶ τὴν μὲν οἰκεῖον, τὴν δὲ ἀλλότριον· δι᾽ ὧν κρίνεσθαι τὰς αἱρέσεις καὶ φυγάς. Τῶν τε ζητήσεων εἶναι τὰς μὲν περὶ τῶν πραγμάτων, τὰς δὲ περὶ ψιλὴν τὴν φωνήν. Καὶ ταῦτα δὴ περὶ τῆς διαιρέσεως καὶ τοῦ κριτηρίου στοιχειωδῶς.

Ἀντέον δὲ ἐπὶ τὴν ἐπιστολήν.

"Ἐπίκουρος Ἡροδότῳ χαίρειν.

35 Τοῖς μὴ δυναμένοις, ὦ Ἡρόδοτε, ἕκαστα τῶν περὶ φύσεως ἀναγεγραμμένων ἡμῖν ἐξακριβοῦν μηδὲ τὰς μείζους τῶν συντεταγμένων βίβλους διαθρεῖν ἐπιτομὴν τῆς ὅλης πραγματείας εἰς τὸ κατασχεῖν τῶν ὁλοσχερωτάτων δὴ

7–9 Usener, Fr. 260 **9** Τῶν – **11** τὴν φωνήν : Usener, Fr. 265 *cc.* 35–83 edd. Usener (1887, pp. 1–32), P. Von der Muehll (1922), C. Bailey (1926, pp. 18–55), G. Arrighetti (1960, 1973²), J. Bollack, M. Bollack, H. Wisemann (1971), M. Conche (1987, pp. 98–125). – Epistulas ad Pythoclem et Herodotum ab Eudocia (*Violarium* 406) e DL descriptas in A. Villoisoni *Anecdotis* (Venetiis, 1781, I, pp. 173–192) invenies (omisit Flach)

2 post ψευδῆ addit τυγχάνειν **F** **2** γὰρ – **4** τυγχάνειν in mg super. **F²** **2** post ἐπιμαρτυρῆται addit τι **Φ** | μὴ om. **F** **3** ἂν **F** **4** τυγχάνειν om. **Φ** | τὸ add. Gassendi | προσμένον **B²D** : πρὸς μένων **B¹** : πρὸς μὲν ὂν **PF** **6** φαίνεσθαι **F¹** (corr. **F²**) **7** εἶναι δύο om. **F**, δύο expunxit **P⁴** **11** δὴ Usener : δὲ **BPFD** **14** χαίρειν : εὖ πράττειν Eudocia **15** ἕκαστα τῶν ss. **F²** **16** ἀναγεγραμμένων ἡμῖν ss. **F²** : ἐγγεγραμμένων **F¹** **18** δὴ scripsi : δὲ **BP¹Q** : om. **FDP⁴** : γε coni. Usener

δοξῶν τὴν μνήμην ἱκανῶς αὐτοῖς παρεσκεύασα, ἵνα παρ' ἑκάστους τῶν καιρῶν ἐν τοῖς κυριωτάτοις βοηθεῖν αὑτοῖς δύνωνται, καθ' ὅσον ἂν ἐφάπτωνται τῆς περὶ φύσεως θεωρίας. Καὶ τοὺς προβεβηκότας δὲ ἱκανῶς ἐν τῇ τῶν ὅλων ἐπιβλέψει τὸν τύπον τῆς ὅλης πραγματείας τὸν κατεστοιχειωμένον δεῖ μνημονεύειν· τῆς γὰρ ἀθρόας ἐπιβολῆς πυκνὸν δεόμεθα, τῆς δὲ κατὰ μέρος οὐχ ὁμοίως.

36 Βαδιστέον μὲν οὖν καὶ ἐπ' ἐκεῖνα καὶ συνεχῶς, ἐν τῇ μνήμῃ τὸ τοσοῦτο ποιητέον, ἀφ' οὗ ἥ τε κυριωτάτη ἐπιβολὴ ἐπὶ τὰ πράγματα ἔσται καὶ δὴ καὶ τὸ κατὰ μέρος ἀκρίβωμα πᾶν ἐξευρήσεται, τῶν ὁλοσχερωτάτων τύπων εὖ περιειλημμένων καὶ μνημονευομένων· ἐπεὶ καὶ ⟨ἐπὶ⟩ τοῦ τετελεσιουργημένου τοῦτο κυριώτατον τοῦ παντὸς ἀκριβώματος γίνεται, τὸ ταῖς ἐπιβολαῖς ὀξέως δύνασθαι χρῆσθαι, καὶ ⟨*⟩ πρὸς ἁπλᾶ στοιχειώματα καὶ φωνὰς συν-

1 αὐτοῖς : αὐτὸς A. Brieger (1882) | παρεσκεύασα ἵνα **P^{4}H**, *Frob.* : παρασκεύασα (corr. ex -άσαι) · · ἵνα **F** : παρεσκεύασα · · α **B**, παρεσκεύασα, ἃ **D** : παρεσκεύασαν ἃ **P^{1}Q** **2** ἑκάστου **F** | αὑτοῖς Schneider (1813) : αὐτοῖς **BPFD** **3** δύνωνται **FP^{4}H** : δύνανται **BD** : δύνονται **P^{1}Q** : δύναιντο *Frob.* | ἐφάπτωνται **P^{2}QD** : ἐφάπτονται **BP^{1}F** | περὶ τῆς **F** **4** θεωρίας ss. **F^2** | προβεβληκότας **BPFD** et Eudocia, corr. Casaubon **6** καταστοιχειωμένον **F** **8** καὶ^1 del. Croenert (*Rh. Mus.* 61 [1906] 414) et Gu. Arndt (Diss. Berolin. 1913) | καὶ^2 **D**, Arndt : om. **BPF** | ἐν τῇ : ἔν τε Usener : ἐν ⟨δὲ⟩ τῇ Von der Muehll **9** τὸ τοσοῦτο **B^{1}P^1** : τὸ τοσοῦτον **B^2** : τοσοῦτο **F** : τοσοῦτον **P^4**, *Frob.* : om. **D** **10** καὶ^2 om. **F** **11** τύπων **FDP^4** : τῶν τύπων **BP^1** : τύπῳ C. Nuernberger (1791) : τὸν τύπον coni. Von der Muehll **12** ἐπὶ addidi **12–13** τοῦ τετελεσιουργημένου **P** : τοῦ τελεσιουργημένου **BFD**, Eudocia, *Frob.* : τῷ τετελεσιουργημένῳ Von der Muehll **15** καὶ ⟨*⟩ scripsi : καὶ **BPFD** : ἑκάστων Usener : del. Schneider : καὶ ⟨τοῦτο ἀδύνατον μὴ πάντων⟩ C. Diano (1946), agn. Arrighetti : καὶ ⟨τοῦτο γίνοιτ' ἂν ἁπάντων⟩ Bailey | συναγομένων : ἀναγομένων Usener : συναγομέναις Schneider : συναγομένοις Von der Muehll

αγομένων. Οὐ γὰρ οἷόν τε τὸ πύκνωμα τῆς συνεχοῦς τῶν ὅλων περιοδείας εἰ⟨δέ⟩ναι μὴ δυνάμενον διὰ βραχεῶν φωνῶν ἅπαν ἐμπεριλαβεῖν ἐν αὑτῷ τὸ καὶ κατὰ μέρος ἂν ἐξακριβωθέν.

Ὅθεν δὴ πᾶσι χρησίμης οὔσης τοῖς ᾠκειωμένοις φυσι- **37**
ολογίᾳ τῆς τοιαύτης ὁδοῦ, παρεγγυῶν τὸ συνεχὲς ἐνέργημα ἐν φυσιολογίᾳ καὶ τοιούτῳ μάλιστα ἐγγαληνίζων τῷ βίῳ ποιήσασθαι καὶ τοιαύτην τινὰ ἐπιτομὴν ⟨ἐβουλόμην⟩ καὶ στοιχείωσιν τῶν ὅλων δοξῶν.

Πρῶτον μὲν οὖν τὰ ὑποτεταγμένα τοῖς φθόγγοις, ὦ Ἡρόδοτε, δεῖ εἰληφέναι, ὅπως ἂν τὰ δοξαζόμενα ἢ ζητούμενα ἢ ἀπορούμενα ἔχωμεν εἰς ταῦτα ἀναγαγόντες ἐπικρίνειν, καὶ μὴ ἄκριτα πάντα ἡμῖν ᾖ εἰς ἄπειρον ἀποδεικνύουσιν ἢ κενοὺς φθόγγους ἔχωμεν. Ἀνάγκη γὰρ **38**
τὸ πρῶτον ἐννόημα καθ' ἕκαστον φθόγγον βλέπεσθαι καὶ

2 περιοδείας **F** : περιοδίας **BPD** | εἰδέναι Meibom. : εἶναι **BPFD** | δυνάμενον : δυναμένου Aem. Thomas, agn. Usener | βραχέων **BPFD**, corr. Schneider **3** αὑτῷ Schneider : αὐτῷ **BPFD** | τὸ καὶ τὸ κατὰ **F** **4** ἐξακριβωθέν : -βωθέν in mg add. $\mathbf{B}^{2}$ **6** παρεγγυῶν τὸ $\mathbf{B}^{2}\mathbf{P}^{1}\mathbf{Q}$: παρεγγυώντων $\mathbf{FP}^{4}$, *Frob.* | ἐνέργημα **F** : ἐνάργημα **BPD**, def. K. Kleve (*Symbolae Osloenses* 46 [1971] 90–95) **7** τοιούτῳ Hirzel (*Unters. zu Cic.* I, 156) : τὸ τούτων **BPFD**, def. Kleve | ἐγγαληνίζων τῷ Usener : ἐνταληνίζων τῶ $\mathbf{B}^{1}$: ἐνταληνίζον τῶ $\mathbf{B}^{2}$, ἐνταλανίζον τῶ **D** : ἐνγαληνίζον τῶ $\mathbf{P}^{1}\mathbf{Q}$, ἐγγαληνίζον τῶ **F**, def. Kleve : ἐγγαληνιζόντων $\mathbf{P}^{4}$, *Frob.* **8** ποιήσασθαι : ἐποίησά σοι Usener, agn. Von der Muehll alii | ἐβουλόμην addidi : συνέθηκα add. Diano (*Maia* 1 [1948] 109) **9** δοξῶν : ἔδοξεν Kuehn, def. Roeper[1] **11** δεῖ ⟨δι⟩ειληφέναι Cobet **12** et **14** ἔχομεν **F** **12** εἰς ταῦτα – **13** καὶ μὴ ἄκριτα expunxit et ἢ ἀπορούμενα ἔχωμεν εἰς ταῦτα ἀναγαγόντες ἐπικρίνειν καὶ μὴ ἄκριτα iteravit $\mathbf{B}^{1}$ **12** ἀνάγοντες $\mathbf{F}^{1}$ (corr. $\mathbf{F}^{2}$), *Frob.* **13** ᾖ Roeper[1] : ἢ **D** : om. **BPF** : ἴῃ Usener **14** ἀποδεικνύουσιν **BPD** : ἀποδεικνύωσιν **F**, *Frob.*

μηθὲν ἀποδείξεως προσδεῖσθαι, εἴπερ ἕξομεν τὸ ζητούμενον ἢ ἀπορούμενον καὶ δοξαζόμενον ἐφ' ὃ ἀνάξομεν.

Ἔ⟨τ⟩ι τε [κατὰ] τὰς αἰσθήσεις δεῖ ⟨κατὰ⟩ πάντα τηρεῖν καὶ ἁπλῶς τὰς παρούσας ἐπιβολὰς εἴτε διανοίας εἴθ' ὅτου δήποτε τῶν κριτηρίων, ὁμοίως δὲ καὶ τὰ ὑπάρχοντα πάθη, ὅπως ἂν καὶ τὸ προσμένον καὶ τὸ ἄδηλον ἔχωμεν οἷς σημειωσόμεθα.

Ταῦτα δὲ διαλαβόντας ⟨δεῖ⟩ συνορᾶν ἤδη περὶ τῶν ἀδήλων· πρῶτον μὲν ὅτι οὐθὲν γίνεται ἐκ τοῦ μὴ ὄντος. Πᾶν γὰρ ἐκ παντὸς ἐγίνετ' ἂν σπερμάτων γε οὐθὲν προσ-
39 δεόμενον. Καὶ εἰ ἐφθείρετο δὲ τὸ ἀφανιζόμενον εἰς τὸ μὴ ὄν, πάντα ἂν ἀπωλώλει τὰ πράγματα, οὐκ ὄντων τῶν εἰς ἃ διελύετο. Καὶ μὴν καὶ τὸ πᾶν ἀεὶ τοιοῦτον ἦν οἷον νῦν ἐστι, καὶ ἀεὶ τοιοῦτον ἔσται. Οὐθὲν γάρ ἐστιν εἰς ὃ μεταβαλεῖ. Παρὰ γὰρ τὸ πᾶν οὐθέν ἐστιν ὃ ἂν εἰσελθὸν εἰς αὐτὸ τὴν μεταβολὴν ποιήσαιτο.

8–p. 737.7 ἐκρινεῖτο **Φ** 9

1 μηθὲν **BP**^{4}**D** : μηδὲν **P**^{1}**Q** **2** καὶ δοξαζόμενον in mg **F**^{2} **3** Ἔτι τε Arndt : εἴτε **BPFD** : εἶτα Gassendi : ἔπειτα Usener | κατὰ^1 secl. Heidel (*A.J.P.* 23 [1902] 185–188), Arndt : καὶ Von der Muehll | κατὰ^2 add. A. Brieger (*Berl. Philol. Wochenschr.* 1911, 513) | πάντα om. **F** | πάντα **BPD** : πάντῃ F. Merbach (*De Epicuri Canonica,* Lipsiae, 1909, 42–44) : πάντως Von er Muehll | παρατηρεῖν pro πάντα τηρεῖν Diels, Arndt **4** ⟨κατὰ⟩ τὰς Gassendi, Bailey **6** προσμένον **FP**^{4} : προσμενόμενον **BP**^{1}**Q** | ἔχομεν **F** **7** σημειοσώμεθα **B**, σημειωσώμθα **P**^{1}**Q** (corr. **P**^{4}) **8** δὲ **BPF** : om. **D** : δεῖ Cobet | δεῖ add. Arndt | ἤδη ⟨δεῖ⟩ Meibom. (δεῖ pro ἤδη iam Gassendi) **9** οὐθὲν Long : οὐδὲν **BPFDΦ** | γένηται **B** | post μὴ ὄντος addunt οὐδὲ φθείρεται εἰς τὸ μὴ ὄν Gassendi, Croenert **10** ἐγένετ' **P**^{1} (corr. **P**^{2}) : ἐγίνετο **F** | οὐδὲν **B** **11** δὲ om. **F** **12** ἀπωλώλει **PΦ** : ἀπολώλη **B** : ἀπολώλει **FD**, *Frob.* | τῶν **BPDΦ** : om. **F** **13** διαλύεται **Φ** **14** οὐδὲν **Φ** | μεταβαλεῖ Usener : μεταβάλη **Φ** : μεταβάλλει **BPFD** **16** ποιήσετο **B** : ποιήσαι Usener : ποιῆσαι ⟨δύναι⟩το Croenert (*Rh. Mus.* 61 [1906] 414)

Ἀλλὰ μὴν καὶ [τοῦτο καὶ ἐν τῇ Μεγάλῃ ἐπιτομῇ φησι κατ' ἀρχὴν καὶ ἐν τῇ α´ Περὶ φύσεως] τὸ πᾶν ἐστι ⟨σώματα καὶ κενόν⟩· σώματα μὲν γὰρ ὡς ἔστιν, αὐτὴ ἡ αἴσθησις ἐπὶ πάντων μαρτυρεῖ, καθ' ἣν ἀναγκαῖον τὸ ἄδηλον τῷ λογισμῷ τεκμαίρεσθαι, ὥσπερ προεῖπον τὸ πρόσθεν. Εἰ δὲ 40
μὴ ἦν ὃ κενὸν καὶ χώραν καὶ ἀναφῆ φύσιν ὀνομάζομεν, οὐκ ἂν εἶχε τὰ σώματα ὅπου ἦν οὐδὲ δι' οὗ ἐκινεῖτο, καθάπερ φαίνεται κινούμενα. Παρὰ δὲ ταῦτα οὐθὲν οὐδὲ ἐπινοηθῆναι δύναται οὔτε περιληπτῶς οὔτε ἀναλόγως τοῖς περιληπτοῖς, ὡς καθ' ὅλας φύσεις λαμβανόμενα καὶ μὴ ὡς τὰ τούτων συμπτώματα ἢ συμβεβηκότα λεγόμενα.

Καὶ μὴν καὶ τῶν [τοῦτο καὶ ἐν τῇ πρώτῃ Περὶ φύσεώς ⟨φησι⟩ καὶ τῇ ιδ´ καὶ ιε´ καὶ τῇ Μεγάλῃ ἐπιτομῇ] σωμάτων τὰ μέν ἐστι συγκρίσεις, τὰ δ' ἐξ ὧν αἱ συγκρίσεις πεποίηνται· ταῦτα δέ ἐστιν ἄτομα καὶ ἀμετάβλητα, εἴπερ μὴ 41
μέλλει πάντα εἰς τὸ μὴ ὂν φθαρήσεσθαι, ἀλλ' ἰσχύοντα

1 τοῦτο – **2** φύσεως : Usener, Fr. 24 **2** τὸ πᾶν ἐστι – **738.3** : cf. Fr. Adorno, in Συζήτησις (Bibl. della Parola del Passato, 16, 1983) 53–72 **5** προεῖπον : cf. p. 736.3 **12** τοῦτο – **13** ἐπιτομῇ : Usener, Frr. 25, 77 et 89

1 τοῦτο – **2** φύσεως ut scholion secl. Nuernberger et Schneider **2–3** σώματα καὶ κενόν suppl. Gassendi : σώματα καὶ τόπος suppl. Usener, def. Adorno **3** σώματα **ΦFP**^{4} : σῶμα · τὰ **BP**^{1}**D** **4** πάντων om. **Φ** | τὸ om. **F** **5** τὸ πρόσθεν : τόπος δὲ Usener | δὲ **Φ** et add. Gassendi **6** ὃ **B**^{2}**ΦD** : ὂν **B**^{1}**F**, Usener : ὃν **P** **7** ἦν **BD** : εἴη **FP**^{4}**Φ**, Eudocia et *Frob.* : ἔνι **P**^{1}**Q** **8** οὐδὲ Usener : οὔτε **B**^{2}**PFD** : ὅτε **B**^{1} **9** περιληπτῶς : περιληπτικῶς **Co**, Usener **10** ὡς : ὅσα Usener **10** λαμβάνομεν et **11** λέγομεν Usener **12** καὶ τῶν **B**^{1}**P**^{1}(?)**Q** : expunxit et τὸν ss. **B**^{2} : om. **D** : καὶ ταυτὸν **FP**^{4}, *Frob.* **12** τοῦτο – **13** ἐπιτομῇ om. Eudocia, del. Nuernberger, Schneider **12** τοῦτο : τούτω **P**^{4}, *Frob.* **13** φησι addidi post P. Gassendi | καὶ τῇ ιε´ **F** ss. **P**^{4} | τῶν σωμάτων **F** ss. **P**^{2}**Q**, *Frob.* **14** σύγκρισις **P**^{1}**QW** (corr. **P**^{4}) **16** μέλλει **BP** : μέλλοι **FD** | ἰσχύοντα : ἰσχύειν τι Usener : ἰσχύοντά ⟨τινα⟩ E. Rohde (in notis) : ἰσχῦόν τι Bignone (in notis), Bailey

ὑπομένειν ἐν ταῖς διαλύσεσι τῶν συγκρίσεων, πλήρη τὴν φύσιν ὄντα, οὐκ ἔχοντα ὅπῃ ἢ ὅπως διαλυθήσεται. Ὥστε τὰς ἀρχὰς ἀτόμους ἀναγκαῖον εἶναι σωμάτων φύσεις.

Ἀλλὰ μὴν καὶ τὸ πᾶν ἄπειρόν ἐστι. Τὸ γὰρ πεπερασμένον ἄκρον ἔχει· τὸ δὲ ἄκρον ⟨ἔχον⟩ παρ' ἕτερόν τι θεωρεῖται. Ὥστε οὐκ ἔχον ἄκρον πέρας οὐκ ἔχει· πέρας δὲ οὐκ ἔχον ἄπειρον ἂν εἴη καὶ οὐ πεπερασμένον.

Καὶ μὴν καὶ τῷ πλήθει τῶν σωμάτων ἄπειρόν ἐστι τὸ
42 πᾶν καὶ τῷ μεγέθει τοῦ κενοῦ. Εἴ τε γὰρ ἦν τὸ κενὸν
ἄπειρον, τὰ δὲ σώματα ὡρισμένα, οὐθαμοῦ ἂν ἔμενε τὰ
σώματα, ἀλλ' ἐφέρετο κατὰ τὸ ἄπειρον κενὸν διεσπαρ-
μένα, οὐκ ἔχοντα τὰ ὑπερείδοντα καὶ στέλλοντα κατὰ τὰς
ἀνακοπάς· εἴ τε τὸ κενὸν ἦν ὡρισμένον, οὐκ ἂν εἶχε τὰ
ἄπειρα σώματα ὅπου ἐνέστη.

Πρός τε τούτοις τὰ ἄτομα τῶν σωμάτων καὶ μεστά, ἐξ ὧν καὶ αἱ συγκρίσεις γίνονται καὶ εἰς ἃ διαλύονται, ἀπερίληπτά ἐστι ταῖς διαφοραῖς τῶν σχημάτων· οὐ γὰρ δυνατὸν γενέσθαι τὰς τοσαύτας διαφορὰς ἐκ τῶν αὐτῶν σχημάτων περιειλημμένων. Καὶ καθ' ἑκάστην δὲ σχημάτισιν ἁπλῶς ἄπειροί εἰσιν αἱ ὅμοιαι, ταῖς δὲ διαφοραῖς

1 ὑπομενεῖν Croenert **2** ὄντα Meibom., Usener : ὅταν **BPFD** : ἅτε Kuehn | ⟨καὶ⟩ οὐκ Meibom. | διαδυθήσεται **B**^{1} (corr. **B**^{2}) **3** ἀναγκαῖον **PF** : ἀναγκαίως **BD** **5** δὲ **PF** : γὰρ **BD** | ἔχον e Cic. *De divin.* 2.103 add. Gassendi **6** post θεωρεῖται e Cic. l.l. addit ἀλλὰ μὴν τὸ πᾶν οὐ παρ' ἕτερόν τι θεωρεῖται Usener (pp. XVIII et LXXVII), agn. Arrighetti **10** οὐθαμοῦ **B**^{1}**P**^{1}**Q** : οὐδαμοῦ **B**^{2}**FP**^{4}**D** | ἀνέμενε **B** **12** συστέλλοντα in mg **B**^{2}**D** **13** ἀντικοπάς Meibom., Croenert **14** ἔνεστι **P**^{1}**QW** (corr. **P**^{4}) **15** τε **PF** : om. **BD** **18** τὰς om. **F** **19** περιειλημμένον **F**^{1} (corr. **F**^{2}) | σχημάτησιν **F** **20** αἱ ὅμοιαι **BD**, αἱ ὁμοῖαι **P**^{1}**Q** : ἄτομοι **F** in mg γρ. **P**^{4}, *Frob.*

οὐχ ἁπλῶς ἄπειροι, ἀλλὰ μόνον ἀπερίληπτοι, | [οὐδὲ γάρ 43
φησιν ἐνδοτέρω εἰς ἄπειρον τὴν τομὴν τυγχάνειν. Λέγει δέ, ἐπειδὴ αἱ ποιότητες μεταβάλλονται,] εἰ μέλλει τις μὴ καὶ τοῖς μεγέθεσιν ἁπλῶς εἰς ἄπειρον αὐτὰς ἐκβάλλειν.

Κινοῦνταί τε συνεχῶς αἱ ἄτομοι [φησὶ δὲ ἐνδοτέρω καὶ ἰσοταχῶς αὐτὰς κινεῖσθαι τοῦ κενοῦ τὴν εἶξιν ὁμοίαν παρεχομένου καὶ τῇ κουφοτάτῃ καὶ τῇ βαρυτάτῃ] τὸν αἰῶνα, καὶ αἱ μὲν ⟨*⟩ εἰς μακρὰν ἀπ' ἀλλήλων διϊστάμεναι, αἱ δὲ αὖ τὸν παλμὸν ἴσχουσιν ὅταν τύχωσι τῇ περιπλοκῇ κεκλειμέναι ἢ στεγαζόμεναι παρὰ τῶν πλεκτικῶν.

Ἥ τε γὰρ τοῦ κενοῦ φύσις ἡ διορίζουσα ἑκάστην αὐ- 44
τὴν τοῦτο παρασκευάζει, τὴν ὑπέρεισιν οὐχ οἵα τε οὖσα ποιεῖσθαι· ἥ τε στερεότης ἡ ὑπάρχουσα αὐταῖς κατὰ τὴν σύγκρουσιν τὸν ἀποπαλμὸν ποιεῖ, ἐφ' ὁπόσον ἂν ἡ περι-

2 ἐνδοτέρω : cf. 10.56 5 ἐνδοτέρω : cf. 10.61

1 ἀπερίληπτοι **BD** : ἀπειρίληπτοι **P^1Q** (corr. **P^4** in mg γρ.) : ἀπειρία ληπτοὶ **FP^4**, Eudocia, *Frob.* **1** οὐδὲ γάρ φησιν – **4** ἐκβάλλειν secl. Nuernberger, Schneider **2** λέγει : λήγει C. Fr. Hermann (*Zs. f. d. Alterthumsw.* 1834, 110), λήγειν Usener **3** εἰ μέλλει – **4** ἐκβάλλειν Diogeni attribuit Von der Muehll **3** εἰ : ⟨κ⟩εἰ Bignone (*Atti Accad. Torino* 47 [1912] 680 ss.), scholiastae attribuens | μέλλει **PF** : μέλλοι **BD** **4** ἁπλῶς om. **F** **6** εἶξιν Kuehn : ἶξιν **B^1** (ἶξιν **B^2**), ἴξιν **PF**, ἵξιν **D** | παρεχομένου ὁμοίαν **F** **7** post αἰῶνα lac. indic. Usener, post αἱ μὲν vero Bignone (qui e.g. suppl. ⟨κατὰ στάθμην, αἱ δὲ κατὰ παρέγκλισιν, αἱ δὲ κατὰ παλμόν. Τούτων δὲ αἱ μὲν φέρονται⟩), agn. Bailey | καὶ^3 del. Heidel **8** εἰς del. Gassendi | αὖ Usener : αὐτὸν **BPFD** : αὐτοῦ ('ibi') Brieger, Von der Muehll **9** ⟨ἀπο⟩παλμὸν Schneider | ἴσχυσαι Brieger, Von der Muehll | τῇ περιπλοκῇ Usener post *Ambros.* (cum fuerint complexione inclinatae) : τὴν περιπλοκὴν **BPFD** | κεκλειμέναι Brieger : κεκλιμέναι **B^2** (κεκλημέναι **B^1**) **PFD** **10** παρὰ **D**, *Ambros.* : περὶ **BPF**, *Frob.* | πληκτικῶν **F** **11** αὐτὴν **BPF** : αὐτῶν **D**, Schneider **13** στερότης **P^1Q** | αὐτοῖς **F** **14** σύγκρισιν **F^1**, *Frob.* (corr. **F^2**) | τῶν **B^1** (corr. **B^2**)

πλοκὴ τὴν ἀποκατάστασιν ἐκ τῆς συγκρούσεως διδῷ. Ἀρχὴ δὲ τούτων οὐκ ἔστιν, ἀϊδίων τῶν ἀτόμων οὐσῶν καὶ τοῦ κενοῦ. [Φησὶ δ' ἐνδοτέρω μηδὲ ποιότητά τινα περὶ τὰς ἀτόμους εἶναι πλὴν σχήματος καὶ μεγέθους καὶ βάρους· τὸ δὲ χρῶμα παρὰ τὴν θέσιν τῶν ἀτόμων ἀλλάττεσθαι ἐν ταῖς ιβ΄ στοιχειώσεσί φησι. Πᾶν τε μέγεθος μὴ εἶναι περὶ αὐτάς· οὐδέποτε γοῦν ἄτομος ὤφθη αἰσθήσει.]

45 Ἡ τοσαύτη δὴ φωνὴ τούτων πάντων μνημονευομένων τὸν ἱκανὸν τύπον ὑποβάλλει ⟨ταῖς περὶ⟩ τῆς τῶν ὄντων φύσεως ἐπινοίαις.

Ἀλλὰ μὴν καὶ κόσμοι ἄπειροί εἰσιν, οἵ θ' ὅμοιοι τούτῳ καὶ οἱ ἀνόμοιοι. Αἵ τε γὰρ ἄτομοι ἄπειροι οὖσαι, ὡς ἄρτι ἀπεδείχθη, φέρονται καὶ πορρωτάτω. Οὐ γὰρ κατανήλωνται αἱ τοιαῦται ἄτομοι, ἐξ ὧν ἂν γένοιτο κόσμος ἢ ὑφ' ὧν ἂν ποιηθείη, οὔτ' εἰς ἕνα οὔτ' εἰς πεπερασμένους, οὔθ' ὅσοι τοιοῦτοι οὔθ' ὅσοι διάφοροι τούτοις. Ὥστε οὐδὲν τὸ ἐμποδοστατῆσόν ἐστι πρὸς τὴν ἀπειρίαν τῶν κόσμων.

46 Καὶ μὴν καὶ τύποι ὁμοιοσχήμονες τοῖς στερεμνίοις εἰσί, λεπτότησιν ἀπέχοντες μακρὰν τῶν φαινομένων. Οὔτε γὰρ ἀποστάσεις ἀδυνατοῦσιν ἐν τῷ περιέχοντι γίνεσθαι

3 ἐνδοτέρω : cf. 10.54–56 **4** τὸ δὲ χρῶμα – **6** φησι : Usener, Fr. 56

2 ἀϊδίων Gassendi, H. Weil : αἰτίων **BP**^{4}**FD**, αἰτιῶν **P**^{1}**Q W** **3–7** secl. Schneider **8** ἡ τοσαύτη δὴ **BP**^{1}**D** (δὲ) : αὕτη δ' ἡ **FP**^{4} (in mg γρ.), *Frob.* **9** ὑποβαλεῖ J.H. Leopold | ταῖς περὶ add. Usener **10** φύσεων **B** | ἐπινοίαις **BPFD** : ἐπινοίας *Frob.*, def. Bignone, Bailey, Arrighetti **11** οἵθ' **B**^{2}**P D** : εἴθ' **B**^{1}**F**, *Frob.* **12** οἱ **BPD** : om. **F** **13** ἄρτι ἀπεδείχθη **BPD** : εἴρηται **F** | φέρονται om. **F** | κατηνάλωνται **F** ss. **P**^{4}, *Frob.* **17** ἐμποδοστατῆσον **BP**^{1}**D** : ἐμποδίζον **FP**^{4}, *Frob.* **17–18** τῶν τοιούτων κόσμων **FP**^{4}, *Frob.* **19** ταῖς **P**^{4} **21** ἀποστάσεις : συστάσεις Gassendi

τοιαῦται, οὔτ' ἐπιτηδειότητες ⟨ἐς⟩ τὰς κατεργασίας τῶν κοιλωμάτων καὶ λεπτοτήτων [γίνεσθαι], οὔτε ἀπόρροιαι τὴν ἑξῆς θέσιν καὶ βάσιν διατηροῦσαι, ἥνπερ καὶ ἐν τοῖς στερεμνίοις εἶχον· τούτους δὲ τοὺς τύπους εἴδωλα προσαγορεύομεν.

Καὶ μὴν καὶ ἡ διὰ τοῦ κενοῦ φορὰ κατὰ μηδεμίαν ἀπάντησιν τῶν ἀντικοψόντων γινομένη πᾶν μῆκος περιληπτὸν ἐν ἀπερινοήτῳ χρόνῳ συντελεῖ. Βράδους γὰρ καὶ τάχους ἀντικοπὴ καὶ οὐκ ἀντικοπὴ ὁμοίωμα λαμβάνει.

Οὐ μὴν οὐδὲ ἅμα κατὰ τοὺς διὰ λόγου θεωρητοὺς χρό- **47**
νους καὶ τὸ φερόμενον σῶμα ἐπὶ τοὺς πλείους τόπους ἀφικνεῖται (ἀδιανόητον γάρ), καὶ τοῦτο συναφικνούμενον ἐν αἰσθητῷ χρόνῳ ὅθεν δήποθεν τοῦ ἀπείρου οὐκ ἐξ οὗ ἂν περιλάβωμεν τὴν φορὰν τόπου ἔσται ἀφιστάμενον· ἀντικοπῇ γὰρ ὅμοιον ἔσται, κἂν μέχρι τοσούτου τὸ τάχος τῆς

1 ἐπιτηδιότητες **B**, ἐπιτηδειότατες **F**^{1} (corr. **F**^{2}) | ⟨ἐς⟩ τὰς Casaubon : τοὺς **BP**^{1} : τὰς **FP**^{4}, *Frob.* : ταῖς **D** : πρὸς Usener : τῆς Bailey | κατ' ἐργασίας **P**^{1} : κατεργασίαις **D** **2** λεπτοτήτων : λειοτήτων Usener, agn. Arrighetti | γίνεσθαι del. Kuehn **3** βάσιν : τάξιν Gassendi (conl. p. 742.13) **6** Καὶ μὴν καὶ – **9** λαμβάνει post p. 751.5 δύναμιν transtulere C. Giussani (*Studi Lucreziani,* 1896, 114–118) et C. Bailey, invito E. Bignone (*Epicuro,* 1920, App. I, II) **7** ἀντικοψόντων Usener : ἀντικοψάντων **BPFD** **8** βράδους **BP**^{1}**Q** : βραδύτητος **FP**^{4}, *Frob.* **10** Οὐ μὴν οὐδὲ – **p. 742.2** τὸ στοιχεῖον post p. 751.16 ἀληθές ἐστιν transtulere Giussani et Bailey **10** οὐδὲ ἅμα : οὔθ' ἅμα Usener : οὐδαμῇ Bignone | διαλόγου **B**^{1}**P**^{1}**Q** : om. **F** **11** καὶ Usener : κατὰ **BPFD** : αὐτὸ Von der Muehll, Arrighetti **12** συναφικνούμενον : οὔτ' ἀφικνούμενον Usener : ⟨οὔτε⟩ συναφικνούμενον Giussani **13** δήποτε **F** ss. **P**^{4}, *Frob.* **14** περιλάβομεν **F** **15** τοσούτου **PF** : τούτου **BD**

φορᾶς μὴ ἀντικοπὲν καταλίπωμεν. Χρήσιμον δὴ καὶ τοῦτο κατασχεῖν τὸ στοιχεῖον.

Εἶθ' ὅτι τὰ εἴδωλα ταῖς λεπτότησιν ἀνυπερβλήτοις κέχρηται, οὐθὲν ἀντιμαρτυρεῖ τῶν φαινομένων· ὅθεν καὶ τάχη ἀνυπέρβλητα ἔχει, πάντα πόρον σύμμετρον ἔχοντα πρὸς τῷ ⟨τῷ⟩ ἀπορρῷ αὐτῶν μηθὲν ἀντικόπτειν ἢ ὀλίγα ἀντικόπτειν, πολλαῖς δὲ καὶ ἀπείροις εὐθὺς ἀντικόπτειν τι.

48 Πρός τε τούτοις, ὅτι ἡ γένεσις τῶν εἰδώλων ἅμα νοήματι συμβαίνει. Καὶ γὰρ ῥεῦσις ἀπὸ τῶν σωμάτων τοῦ ἐπιπολῆς συνεχής, οὐκ ἐπίδηλος τῇ μειώσει διὰ τὴν ἀνταναπλήρωσιν, σῴζουσα τὴν ἐπὶ τοῦ στερεμνίου θέσιν καὶ τάξιν τῶν ἀτόμων ἐπὶ πολὺν χρόνον, εἰ καὶ ἐνίοτε συγχεομένη ὑπάρχει, καὶ συστάσεις ἐν τῷ περιέχοντι ὀξεῖαι διὰ τὸ μὴ δεῖν κατὰ βάθος τὸ συμπλήρωμα γίνεσθαι, καὶ ἄλλοι δὲ τρόποι τινὲς γεννητικοὶ τῶν τοιούτων φύσεών εἰσιν. Οὐθὲν γὰρ τούτων ἀντιμαρτυρεῖ⟨ται⟩ ταῖς

1 φορᾶς **B**^{2} | ἀντικοπὲν Von der Muehll : ἀντικοπεον **B**, ἀντικοπέον **P**^{1}**QD** : ἀντικοπτέον **FP**^{4}, *Frob.* : ἀντικόπτον vel ἀντίκοπον Usener : ἀντικοπτὸν Bailey : ἀντικοπτόμενον Meibom. | καταλίπωμεν : lac. 5 litt. λίπτω μὲν **B**^{1} | χρήσιμον : χρήσ- et lac. 7 litt. **B**^{1} **1** δὴ καὶ τοῦτο –**3** εἶθ' ὅτι : δ' ἡ καὶ τοῦτο καὶ lac. 5 litt. τὸ στοιχεῖον εἶθ' lac. 8 litt. in spatio vacuo **B**^{2} **3** ἀνυπερβλήτως **B**, ἀνυπερβλήτος **D** **4** οὐθὲν **BP**^{1} : ὅθεν **FD** in mg γρ. **P**^{4}, *Frob.* | ἢ ὅθεν **F** ss. **P**^{4} **6** τῷ ⟨τῷ⟩ ἀπορρῷ Bailey ex Lucret. 4.205 (et emissum res nulla moratur) : τῶ ἀπείρω **BPFD** : τῷ ⟨τῷ⟩ ἀπείρῳ Meibom. : ⟨τὸ⟩ τῷ ἀπείρῳ O. Tescari (1907) : τῷ ⟨μὴ⟩ ἀπείρῳ Bignone : τὸ ἀπείροις Von der Muehll | αὐτῶν om. **F** **6–7** ἢ ὀλίγα ἀντικόπτειν om. **BD** **11** ἐπιπολῆς *Frob.* : ἐπὶ πολλῆς **BPFD** | συνεχής Rossi : συνοχῆς **BP**^{1}**FD** : συνοχῇ *Frob.* | οὐκ ἐπίδηλος om. **F**, *Frob.* | τῇ μειώσει Usener : σημειώσει **BP D** : ἢ μειώσει **F** in mg γρ. **P**^{4}, *Frob.* **16** γενητικοὶ **F** **17** ἀντιμαρτυρεῖ⟨ται⟩ Usener, H. Weil : ἀντιμαρτυρεῖ **BPD** : μαρτυρεῖ **F**

αἰσθήσεσιν, ἂν βλέπῃ τις τίνα τρόπον τὰς ἐναργείας,
⟨τ⟩ίνα καὶ τὰς συμπαθείας ἀπὸ τῶν ἔξωθεν πρὸς ἡμᾶς
ἀνοίσει.

Δεῖ δὲ καὶ νομίζειν ἐπεισιόντος τινὸς ἀπὸ τῶν ἔξωθεν 49
τὰς μορφὰς ὁρᾶν ἡμᾶς καὶ διανοεῖσθαι· οὐ γὰρ ἂν ἐνα-
ποσφραγίσαιτο τὰ ἔξω τὴν ἑαυτῶν φύσιν τοῦ τε χρώματος
καὶ τῆς μορφῆς διὰ τοῦ ἀέρος τοῦ μεταξὺ ἡμῶν τε κἀ-
κείνων, οὐδὲ διὰ τῶν ἀκτίνων ἢ ὧν δήποτε ῥευμάτων ἀφ'
ἡμῶν πρὸς ἐκεῖνα παραγινομένων, οὕτως ὡς τύπων τινῶν
ἐπεισιόντων ἡμῖν ἀπὸ τῶν πραγμάτων ὁμοχρόων τε καὶ
ὁμοιομόρφων κατὰ τὸ ἐναρμόττον μέγεθος εἰς τὴν ὄψιν ἢ
τὴν διάνοιαν, ὠκέως ταῖς φοραῖς χρωμένων, | εἶτα διὰ 50
ταύτην τὴν αἰτίαν τοῦ ἑνὸς καὶ συνεχοῦς τὴν φαντασίαν
ἀποδιδόντων καὶ τὴν συμπάθειαν ἀπὸ τοῦ ὑποκειμένου
σῳζόντων κατὰ τὸν ἐκεῖθεν σύμμετρον ἐπερεισμὸν ἐκ τῆς
κατὰ βάθος ἐν τῷ στερεμνίῳ τῶν ἀτόμων πάλσεως.

Καὶ ἣν ἂν λάβωμεν φαντασίαν ἐπιβλητικῶς τῇ δια-
νοίᾳ ἢ τοῖς αἰσθητηρίοις εἴτε μορφῆς εἴτε συμβεβηκότων,
μορφή ἐστιν αὕτη τοῦ στερεμνίου, γινομένη κατὰ τὸ ἑξῆς

1 βλέπουσα **F** | ἐναργείας Gassendi : ἐνεργείας **BPFD** **2** τίνα Usener : ἵνα **BPFD** : del. Von der Muehll **3** ἀνοίσει **B** : ἀνοίσῃ **PF** : ἄνεισι **D** **4** ἐπεισιόντος **P**, ἐπισιόντος **F** : ἐπιστάντος **BD** | ἔξω **F** **5** καὶ om. **F** | ἂν ἐναποσφραγίσαιτο Cobet : ἂν ἀποσφραγίσαιτο **D**, *Frob.* : ἃ μὲν ἀποσφραγίσαιτο **BPF** **8** τῶν : τινῶν Usener | ὡνδήποτε **BP**[1]**D** : οἱωνδήποτε **F**[2] ss. **P**[4], *Frob.* : οἱονδήποτε **F**[1] **9** παραγινομένων **P** : παραγενομένων **BFD** : **10** ἐπισειόντων **F**[1]**D** | ὁμοχρόων Rossi : ἀπὸ χροῶν **BPFD** **12** ὠκέως **PFD** : 8 litterae legi non possunt in **B** (οἰκείαις ?) : ὠκέαις Bywater (1888) **14** ἀποδιδόντων Usener : ἀποδιδόντος **BPFD** **15** σῳζόντων Usener : σώζοντος **BPFD** **16** πάλσεως **B**[2]**D** : πλάσεως **B**[1]**PF**, *Frob.* **17** ἂν λάβωμεν **D** : ἀναλάβωμεν **BPF**, Eudocia, *Frob.* **18** αἰσθητηρίοις in mg **F**[1], στερεμνίοις **F**[1] in textu **19** αὕτη **B**[2], αὑτῇ **B**[1]

πύκνωμα ἢ ἐγκατάλειμμα τοῦ εἰδώλου· τὸ δὲ ψεῦδος καὶ τὸ διημαρτημένον ἐν τῷ προσδοξαζομένῳ ἀεί ἐστιν ⟨ἐπὶ τοῦ προσμένοντος⟩ ἐπιμαρτυρηθήσεσθαι ἢ μὴ ἀντιμαρτυρηθήσεσθαι, εἶτ' οὐκ ἐπιμαρτυρουμένου ⟨ἢ ἀντιμαρτυρουμένου⟩ [κατά τινα κίνησιν ἐν ἡμῖν αὐτοῖς συνημμένην τῇ φανταστικῇ ἐπιβολῇ, διάληψιν δὲ ἔχουσαν, καθ' ἣν τὸ ψεῦδος γίνεται.]

51 Ἥ τε γὰρ ὁμοιότης τῶν φαντασμῶν οἱονεὶ ἐν εἰκόνι λαμβανομένων ἢ καθ' ὕπνους γινομένων ἢ κατ' ἄλλας τινὰς ἐπιβολὰς τῆς διανοίας ἢ τῶν λοιπῶν κριτηρίων οὐκ ἄν ποτε ὑπῆρχε τοῖς οὖσί τε καὶ ἀληθέσι προσαγορευομένοις, εἰ μὴ ἦν τινα καὶ τοιαῦτα πρὸς ἃ ⟨ἐπι⟩βάλλομεν· τὸ δὲ διημαρτημένον οὐκ ἂν ὑπῆρχεν, εἰ μὴ ἐλαμβάνομεν καὶ ἄλλην τινὰ κίνησιν ἐν ἡμῖν αὐτοῖς συνημμένην μὲν ⟨τῇ φανταστικῇ ἐπιβολῇ,⟩ διάληψιν δὲ ἔχουσαν· κατὰ δὲ ταύτην [τὴν συνημμένην τῇ φανταστικῇ ἐπιβολῇ, διά-

1 ἐγκατάλειμμα τοῦ *Frob.* : ἐνκαταλίμματος **B**^{1} (-λείματος **B**^{2}), ἐγκαταλείμματος **FD** : ἐγκαταλήμματος **P**^{1}**Q** **2–3** ἐπὶ τοῦ προσμένοντος suppl. Usener **3** ἐπιμαρτυριθήσεσθαι **B** : ἐπιμαρτυρήσεσθαι **F** | μὴ om. **F** | ἀντιμαρτυριθήσεσθαι **B** : ἀντιμαρτυρήσεσθαι **F** **4** ἢ ἀντιμαρτυρουμένου suppl. Schneider et Usener **5** κατὰ – **7** γίνεται ut glossema (ex v. 14 καὶ ἄλλην – p. 745.2 γίνεται ortum) secl. Usener **5** τινα κίνησιν Usener (τὴν κίνησιν iam Menagius) : τὴν ἀκίνητον **BPFD** **6** διάλειψιν **F** | ἔχουσαν Gassendi : ἐχούσῃ **BPFD** **8** φαντασμῶν : φαντασμάτων Meibom. : φαντασιῶν Cobet | οἱονεὶ : οἷον ἢ Usener **9** λαμβανομένου **B**^{1} (corr. **B**^{2}) | γινομένων **FDP**^{4} : γινομένου **BP**^{1}**Q** **12** τοιαῦτα Gassendi : ταῦτα **BPFD** | πρὸς ἃ ⟨ἐπι⟩βάλλομεν Schneider : πρὸς ἃ βάλλομεν **FD** : πρὸς ὃ βάλλομεν **BD** : προσβαλλόμενα Usener **13** δὲ : τε Usener | ἐλαμβάνωμεν **B** **15** τῇ φανταστικῇ ἐπιβολῇ ex vv. 5–6 suppl. Usener | διάλειψιν **F** **16** τὴν συνημμένην – **p. 745.1** ἔχουσαν om. *Frob.*, secl. Usener

ληψιν δὲ ἔχουσαν], ἐὰν μὲν μὴ ἐπιμαρτυρηθῇ ἢ ἀντιμαρτυρηθῇ, τὸ ψεῦδος γίνεται· ἐὰν δὲ ἐπιμαρτυρηθῇ ἢ μὴ ἀντιμαρτυρηθῇ, τὸ ἀληθές.

Καὶ ταύτην οὖν σφόδρα γε δεῖ τὴν δόξαν κατέχειν, ἵνα 52
μήτε τὰ κριτήρια ἀναιρῆται τὰ κατὰ τὰς ἐναργείας, μήτε τὸ διημαρτημένον ὁμοίως βεβαιούμενον πάντα συνταράττῃ.

Ἀλλὰ μὴν καὶ τὸ ἀκούειν γίνεται ῥεύματός τινος φερομένου ἀπὸ τοῦ φωνοῦντος ἢ ἠχοῦντος ἢ ψοφοῦντος ἢ ὅπως δήποτε ἀκουστικὸν πάθος παρασκευάζοντος. Τὸ δὲ ῥεῦμα τοῦτο εἰς ὁμοιομερεῖς ὄγκους διασπείρεται, ἅμα τινὰ διασῴζοντας συμπάθειαν πρὸς ἀλλήλους καὶ ἑνότητα ἰδιότροπον, διατείνουσαν πρὸς τὸ ἀποστεῖλαν καὶ τὴν ἐπαίσθησιν τὴν ἐπ' ἐκείνου ὡς τὰ πολλὰ ποιοῦσαν, εἰ δὲ μή γε, τὸ ἔξωθεν μόνον ἔνδηλον παρασκευάζουσαν. Ἄ- 53
νευ γὰρ ἀναφερομένης τινὸς ἐκεῖθεν συμπαθείας οὐκ ἂν γένοιτο ἡ τοιαύτη ἐπαίσθησις. Οὐκ αὐτὸν οὖν δεῖ νομίζειν τὸν ἀέρα ὑπὸ τῆς προϊεμένης φωνῆς ἢ καὶ τῶν ὁμογενῶν σχηματίζεσθαι (πολλὴν γὰρ ἔνδειαν ἕξει τοῦτο πάσχων ὑπ' ἐκείνης), ἀλλ' εὐθὺς τὴν γινομένην πληγὴν ἐν ἡμῖν,

1 ἔχουσαν **P**^{4}**H** : ἐχούσης **BP**^{1}**QD** : ἔχουσαι **F** **1–3** ἐπιμαρτυριθῇ et ἀντιμαρτυριθῇ bis **B** **2** μὴ om. **F** **4** σφόδρα γε δεῖ : δεῖ σφόδρα **F** **5** ἀναιρεῖται **F** | τὰς : τῆς **F** | ἐναργείας Gassendi : ἐνεργείας **BPFD** **6** βεβαιούμενον : μαρτυρούμενον **F** | πάντας **B** | συνταράττει **BF** **8** ῥεύματος Gassendi : πνεύματος **BPFD** **10** παρασκευάζοντος **BP**^{1}**D** : κατασκευάζοντος **FP**^{4} ss. γρ., Eudocia, *Frob.* | δὲ ss. **F**^{2} **11** διασπείρεται : κατασπείρεται **F** **12** διασώζοντας **P**^{2}**QD**, *Frob.* : διασώζοντα **BP**^{1} : διασώζουσα **F** **14** τὰ **FDP**^{4} : τὸ **BP**^{1} **14** ποιοῦσαν et **15** παρασκευάζουσαν : ποιοῦντας et παρασκευάζοντας Usener **18** ἢ : εἰ **B** **19** ερ ······ ξει **B**^{1}, ἔρδειαν ἕξει **B**^{2} | ἔρδειαν **P**^{1} (corr. **P**^{2}) | πάσχων **B**^{2}**PD** : πάσχον **B**^{1}**F** : πάσχειν Meibom.

ὅταν φωνὴν ἀφίωμεν, τοιαύτην ἔκθλιψιν ὄγκων τινῶν ῥεύματος πνευματώδους ἀποτελεστικῶν ποιεῖσθαι, ἣ τὸ πάθος τὸ ἀκουστικὸν ἡμῖν παρασκευάζει.

Καὶ μὴν καὶ τὴν ὀσμὴν νομιστέον ὥσπερ καὶ τὴν ἀκοὴν οὐκ ἄν ποτε οὐθὲν πάθος ἐργάσασθαι, εἰ μὴ ὄγκοι τινὲς ἦσαν ἀπὸ τοῦ πράγματος ἀποφερόμενοι σύμμετροι πρὸς τὸ τοῦτο τὸ αἰσθητήριον κινεῖν, οἱ μὲν τοῖοι τεταραγμένως καὶ ἀλλοτρίως, οἱ δὲ τοῖοι ἀταράχως καὶ οἰκείως ἔχοντες.

54 Καὶ μὴν καὶ τὰς ἀτόμους νομιστέον μηδεμίαν ποιότητα τῶν φαινομένων προσφέρεσθαι πλὴν σχήματος καὶ βάρους καὶ μεγέθους καὶ ὅσα ἐξ ἀνάγκης σχήματος συμφυῆ ἐστι. Ποιότης γὰρ πᾶσα μεταβάλλει· αἱ δὲ ἄτομοι οὐδὲν μεταβάλλουσιν, ἐπειδήπερ δεῖ τι ὑπομένειν ἐν ταῖς διαλύσεσι τῶν συγκρίσεων στερεὸν καὶ ἀδιάλυτον, ὃ τὰς μεταβολὰς οὐκ εἰς τὸ μὴ ὂν ποιήσεται οὐδ' ἐκ τοῦ μὴ ὄντος, ἀλλὰ κατὰ μεταθέσεις ἐν πολλοῖς, τινῶν δὲ καὶ

1 ἔκθλιψιν Brieger : ἐκλίθην **B** : ἐκλήθην **P^1Q** : ἔκ **F DP**^{4}, *Frob.* | ὄγκων τινῶν **P^1Q** : ὄγκων τινὸς **B**, Usener : τινων ὄγκων **FDP**^{4}, *Frob.* **2** ἀποτελεστικὴν Usener **3** ἡμῖν om. **F** **4** post νομιστέον unus versus in ras. **F** (fuit ὥσπερ καὶ τὴν ὀσμὴν νομιστέον) **5** πάθος οὐθὲν **FD** | ἐργάζεσθαι **F** **7** τὸ[1] **D**, *Frob.* : om. **BPF** **12** σχήματι Kuehn | ante συμφυῆ add. καὶ **DP**^{4} (sed expunxit) **13** οὐδὲν **Z**, *Frob.* : οὐδὲ **BPFD** **14** δεῖ τι ὑπομένειν **BP**^{1} : ἀεί τι ὑπομένει **FDP**^{4} in mg γρ., Eudocia, *Frob.*, def. Brandt **15** συγκρίσεων : συ···· σεων **B**^{1} | καὶ om. **F** **17** post κατὰ ras. 4 litt. in **F** (fuit τὰ μὴ) **17** ἐν πολλοῖς – **p. 747.1** μετατιθέμενα in mg infer. **F**^{2} **17** ἐν πολλοῖς (sc. στερεμνίοις) **BPF** : ἐκ πολλοῦ **D**, *Frob.* : μὲν πολλῶν Gassendi : ἐν πολλοῖς (sc. ἀπογράφοις)· "τινῶν δὲ καὶ προσόδους καὶ ἀφόδους" ut variam lectionem eiecit Usener : [ἐν πολλοῖς] ⟨τινῶν⟩ Bignone (*Atti Accad. Torino* 47 [1912] 687), agn. Giussani, Bailey

προσόδους καὶ ἀφόδους. Ὅθεν ἀναγκαῖον τὰ μὲν μετατιθέμενα ἄφθαρτα εἶναι καὶ τὴν τοῦ μεταβάλλοντος φύσιν οὐκ ἔχοντα, ὄγκους δὲ καὶ σχηματισμοὺς ἰδίους· ταῦτα γὰρ καὶ ἀναγκαῖον ὑπομένειν.

Καὶ γὰρ ἐν τοῖς παρ' ἡμῖν μετασχηματιζόμενοις κατὰ **55** τὴν περιαίρεσιν τὸ σχῆμα ἐνυπάρχον λαμβάνεται, αἱ δὲ ποιότητες οὐκ ἐνυπάρχουσαι ἐν τῷ μεταβάλλοντι, ὥσπερ ἐκεῖνο ⟨ὃ⟩ καταλείπεται, ἀλλ' ἐξ ὅλου τοῦ σώματος ἀπολλύμεναι. Ἱκανὰ οὖν τὰ ὑπολειπόμενα ταῦτα τὰς τῶν συγκρίσεων διαφορὰς ποιεῖν, ἐπειδήπερ ὑπολείπεσθαί γέ τινα ἀναγκαῖον καὶ ⟨μὴ⟩ εἰς τὸ μὴ ὂν φθείρεσθαι.

Ἀλλὰ μὴν οὐδὲ δεῖ νομίζειν πᾶν μέγεθος ἐν ταῖς ἀτόμοις ὑπάρχειν, ἵνα μὴ τὰ φαινόμενα ἀντιμαρτυρῇ· παραλλαγὰς δέ τινας μεγεθῶν νομιστέον εἶναι. Βέλτιον γὰρ καὶ τούτου προσόντος τὰ κατὰ τὰ πάθη καὶ τὰς αἰσθήσεις γινόμενα ἀποδοθήσεται. Πᾶν δὲ μέγεθος ὑπάρχειν **56** οὔτε χρήσιμόν ἐστι πρὸς τὰς τῶν ποιοτήτων διαφοράς, ἀφῖχθαί τε ἄμ' ἔδει καὶ πρὸς ἡμᾶς ὁρατὰς ἀτόμους· ὃ οὐ θεωρεῖται γινόμενον οὔθ' ὅπως ἂν γένοιτο ὁρατὴ ἄτομος ἔστιν ἐπινοῆσαι.

1 πρὸς ὅλους καὶ ἀφ' ὅλους $\mathbf{B}^1$ (ὅλου $\mathbf{B}^2$) | μὲν Kochalsky, agn. Bailey : μὴ **BPFD** : del. H. Weil (1888) : δὴ Usener **3** ταῦτα Meibom. : τοῦτο **BPFD**, Bailey **4** ὑπομένειν : ὑποτιθέναι Usener **5** σχηματιζομένοις **F** **6** περιαίρεσιν $\mathbf{BP}^1\mathbf{F}$: προαίρεσιν $\mathbf{DP}^4$ in mg γρ., *Frob.* **7** οὐκ : οὐδὲν **B** **8** ὃ add. J. Mau (29) **9** ἀπολλύμενα **B** **11** καὶ : οὐκ Usener | μὴ^1 add. *Aldobr.*, Kuehn : μηδὲν add. Bignone **12** μὴν οὐδὲ $\mathbf{B}^2$ (οὐδ') **PF** : μηδὲ **D**, *Frob.* | δεῖ Casaubon : ἀεὶ **BPFD** **13** ἀντιμαρτυρεῖν **B** **15** τούτου $\mathbf{BP}^1\mathbf{F}$: τούτοις $\mathbf{DP}^4$ in mg infer. γρ., *Frob.* **16** γενόμενα **B** | ὑπάρχειν *Aldobr.* (inesse), Usener : ὑπάρχον **BPFD**, retinent Bailey, Arrighetti **18** ἄμ' ἔδει Usener : ἀμέλει **BPFD** : ἂν ἔδει H. Weil **19** οὔθ' : οὐδ' Usener | ὁρατὴ ἄτομος ut glossema secl. Usener

Πρὸς δὲ τούτοις οὐ δεῖ νομίζειν ἐν τῷ ὡρισμένῳ σώματι ἀπείρους ὄγκους εἶναι οὐδ' ὁπηλίκους οὖν. Ὥστε οὐ μόνον τὴν εἰς ἄπειρον τομὴν ἐπὶ τοὔλαττον ἀναιρετέον, ἵνα μὴ πάντα ἀσθενῆ ποιῶμεν κἀν ταῖς περιλήψεσι τῶν ἀθρόων εἰς τὸ μὴ ὂν ἀναγκαζώμεθα τὰ ὄντα θλίβοντες καταναλίσκειν, ἀλλὰ καὶ τὴν μετάβασιν μὴ νομιστέον γίνεσθαι ἐν τοῖς ὡρισμένοις εἰς ἄπειρον μηδ' ⟨ἐπὶ⟩ τοὔλαττον.

57 Οὔτε γὰρ ὅπως, ἐπειδὰν ἅπαξ τις εἴπῃ ὅτι ἄπειροι ὄγκοι ἔν τινι ὑπάρχουσιν ἢ ὁπηλίκοι οὖν, ἔστι νοῆσαι· πῶς τ' ἂν ἔτι τοῦτο πεπερασμένον εἴη τὸ μέγεθος; Πηλίκοι γάρ τινες δῆλον ὡς οἱ ἄπειροί εἰσιν ὄγκοι· καὶ οὗτοι [ἐξ ὧν] ὁπηλίκοι ἄν ποτε ὦσιν, ἄπειρον ἂν ἦν καὶ τὸ μέγεθος. Ἄκρον τε ἔχοντος τοῦ πεπερασμένου διαληπτόν, εἰ μὴ καὶ καθ' ἑαυτὸ θεωρητόν, οὐκ ἔστι μὴ οὐ καὶ τὸ ἑξῆς τούτου τοιοῦτον νοεῖν καὶ οὕτω κατὰ τὸ ἑξῆς εἰς τοὔμπροσθεν βαδίζοντα εἰς τὸ ἄπειρον ὑπάρχειν κατὰ ⟨τὸ⟩ τοιοῦτον ἀφικνεῖσθαι τῇ ἐννοίᾳ.

58 Τό τε ἐλάχιστον τὸ ἐν τῇ αἰσθήσει δεῖ κατανοεῖν ὅτι οὔτε τοιοῦτόν ἐστιν οἷον τὸ τὰς μεταβάσεις ἔχον, οὔτε πάντῃ πάντως ἀνόμοιον, ἀλλ' ἔχον μέν τινα κοινότητα

4 κἀν Usener : καὶ **BPFD** **5** ἀθρόων : ἀτόμων **F** | ἀναγκαζόμεθα **BF** **7** γίνεσθαι Meibom. : γενέσθαι **BPF D** | μηδ' ⟨ἐπὶ⟩ Gassendi : μηδὲ **BPFD** **9** ὅπως **BPD** : om. **F**, del. Giussani : ὅλως Schneider : ἁπλῶς Brieger **10** ἢ : οἱ Usener **10–11** πῶς τ' : ὅπως Brieger **11** πεπερασμένον τοῦτο **FD**, *Frob.* **12** οἱ **BP^{1}Q** : om. **FDP^{4}**, *Frob.* | ἐξ ὧν **PFD**, *Frob.* : om. **B**, del. Usener **14** post τε addit ἦν **F** | ἔχοντος Gassendi : ἔχοντες **BPFD** | τοῦ **BP^{1}Q** : τὸ ὑπὸ **FD** ss. **P^{4}** **15** θεωρητόν **Co**, Schneider : θεωρητέον **BPFD** | οὐ **BP^{1}Q** : om. **FDP^{4}**, *Frob.* **16** οὕτω **P** ss. **F^{2}D**, *Frob.* : τοῦτο **BF^{1}**, Usener **17** βαδίζοντα : βαδίζοντες ss. **F^{2}** : βαδίζοντι Usener, Bailey | κατὰ : καὶ Von der Muehll | τὸ^{2} add. Schneider **21** πάντῃ om. **F**

τῶν μεταβατῶν, διάληψιν δὲ μερῶν οὐκ ἔχον· ἀλλ' ὅταν διὰ τὴν τῆς κοινότητος προσεμφέρειαν οἰηθῶμεν διαλήψεσθαί τι αὐτοῦ, τὸ μὲν ἐπιτάδε, τὸ δὲ ἐπέκεινα, τὸ ἴσον ἡμῖν δεῖ προσπίπτειν. Ἑξῆς τε θεωροῦμεν ταῦτα ἀπὸ τοῦ πρώτου καταρχόμενοι καὶ οὐκ ἐν τῷ αὐτῷ, οὐδὲ μέρεσι μερῶν ἁπτόμενα, ἀλλ' ἢ ἐν τῇ ἰδιότητι τῇ ἑαυτῶν τὰ μεγέθη καταμετροῦντα, τὰ πλείω πλεῖον καὶ τὰ ἐλάττω ἔλαττον.

Ταύτῃ τῇ ἀναλογίᾳ νομιστέον καὶ τὸ ἐν τῇ ἀτόμῳ ἐλάχιστον κεχρῆσθαι· μικρότητι γὰρ ἐκεῖνο δῆλον ὡς **59** διαφέρει τοῦ κατὰ τὴν αἴσθησιν θεωρουμένου, ἀναλογίᾳ δὲ τῇ αὐτῇ κέχρηται. Ἐπείπερ καὶ ὅτι μέγεθος ἔχει ἡ ἄτομος κατὰ τὴν ἐνταῦθα ἀναλογίαν κατηγορήσαμεν, μικρόν τι μόνον μακρὰν ἐκβαλόντες.

Ἔτι τε τὰ ἐλάχιστα καὶ ἀμιγῆ πέρατα δεῖ νομίζειν τῶν μηκῶν τὸ καταμέτρημα ἐξ αὐτῶν πρώτων τοῖς μείζοσι καὶ ἐλάττοσι παρασκευάζοντα τῇ διὰ λόγου θεωρίᾳ ἐπὶ τῶν ἀοράτων. Ἡ γὰρ κοινότης ἡ ὑπάρχουσα αὐτοῖς πρὸς τὰ ἀμετάβολα ἱκανὴ τὸ μέχρι τούτου συντελέσαι· συμφόρησιν δὲ ἐκ τούτων κίνησιν ἐχόντων οὐχ οἷόν τε γενέσθαι.

1 μεταβατῶν Schneider : μεταβάντων **BPFD** | ὅταν Cobet : ὅτε **BP^{1}FD** : ὅτι ss. γρ. **P^4** **2** τὴν διὰ **F** **3** τι om. **F** **6** μέρεσι : μέρους **F** | ἅπτομεν **BP^{1}Q** | τῇ^2 om. **F** **12** κέχρηται Gassendi : κεχρῆσθαι **BPFD** **13** τὴν ⟨τῶν⟩ ἐνταῦθα Usener **14** μακρὰν Usener : μακρὸν **BPF D** | ἐκβαλόντες Usener : ἐκβάλλοντες **BPFD** **15** ἀμιγῆ : ἀμερῆ ab Arnim, agn. Von der Muehll, Arrighetti | νομίζειν : μερίζειν **F** **16** μηκῶν **BP^{1}Q** : μικρῶν **F** : μακρῶν **DP^4**, Eudocia, *Frob.* | αὐτῶν Usener : αὑτῶν **BPFD** | πρώτων **P** : πρῶτον **BFD**, *Frob.* **17** ἐλάττωσι **F** | post παρασκευάζοντα lac. indic. Usener **19** ἀμετάβολα : ἀμετάβατα Usener : μετάβατα ab Arnim | τελέσαι **F** **20** δὲ : καὶ **F** | γενέσθαι : γίνεσθαι Schneider

60 Καὶ μὴν καὶ τοῦ ἀπείρου ὡς μὲν ἀνωτάτω καὶ κατωτάτω οὐ δεῖ κατηγορεῖν τὸ ἄνω ἢ κάτω. Ἴσμεν ⟨μέν⟩τοι τὸ ὑπὲρ κεφαλῆς, ὅθεν ἂν στῶμεν, εἰς ἄπειρον ἄγειν ⟨ἐν⟩όν, ἢ τὸ ὑποκάτω τοῦ νοηθέντος [εἰς ἄπειρον], μηδέποτε φανεῖσθαι τοῦτο ἡμῖν ἅμα ἄνω τε εἶναι καὶ κάτω πρὸς τὸ αὐτό· τοῦτο γὰρ ἀδύνατον διανοηθῆναι. Ὥστε ἔστι μίαν λαβεῖν φορὰν τὴν ἄνω νοουμένην εἰς ἄπειρον καὶ μίαν τὴν κάτω, ἂν καὶ μυριάκις πρὸς τοὺς πόδας τῶν ἐπάνω τὸ παρ' ἡμῶν φερόμενον ⟨εἰς⟩ τοὺς ὑπὲρ κεφαλῆς ἡμῶν τόπους ἀφικνῆται ἢ ἐπὶ τὴν κεφαλὴν τῶν ὑποκάτω τὸ παρ' ἡμῶν κάτω φερόμενον· ἡ γὰρ ὅλη φορὰ οὐθὲν ἧττον ἑκατέρα ἑκατέρᾳ ἀντικειμένη ἐπ' ἄπειρον νοεῖται.

61 Καὶ μὴν καὶ ἰσοταχεῖς ἀναγκαῖον τὰς ἀτόμους εἶναι, ὅταν διὰ τοῦ κενοῦ εἰσφέρωνται μηθενὸς ἀντικόπτοντος. Οὔτε γὰρ τὰ βαρέα θᾶττον οἰσθήσεται τῶν [μικρῶν καὶ] κούφων, ὅταν γε δὴ μηθὲν ἀπαντᾷ αὐτοῖς· οὔτε τὰ μικρὰ τῶν μεγάλων, πάντα πόρον σύμμετρον ἔχοντα, ὅταν μηθὲν μηδὲ ἐκείνοις ἀντικόπτῃ· οὔθ' ἡ ἄνω οὔθ' ἡ εἰς τὸ

1 καὶ^2 om. **F** **2** ἢ **PD**, *Frob.* : καὶ **BF** | Ἴσμεν ⟨μέν⟩τοι Arrighetti : ἴσμεν τοι **B** : εἰς μέντοι **P^{1}Q** : μέντοι **FDP^4**, *Frob.* **3** στῶμεν **BP^1** : τὸ μὲν **FDP^4** in mg γρ., *Frob.* | ⟨ἐν⟩όν Bailey, ⟨ἐξ⟩όν Giussani : ὂν **FD** : ὃν **BP** **4** ἢ τὸ ὑποκάτω τοῦ νοηθέντος εἰς ἄπειρον post v. 5 ἡμῖν **BPFD**, huc transtuli (cf. R.D. Hicks, *C.R.* 37 [1923] 108 s.) | εἰς ἄπειρον seclusi ut dissographiam **6** ἔστι om. **F** **7** τὴν : in mg γρ. τῶν **P^4** **9** εἰς add. Usener **10** ἀφικνῆσθαι **F** **11** φθορὰ **F** | οὐδὲν **F** **12** ἑκατέρα **BP^{1}Q** : om. **FDP^4**, *Frob.* | νοεῖται : γενέσθαι **F** **14** εἰσφέρωνται **P^{4}D**, *Frob.* : εἰσφέρωντα **P^{1}Q** : εἰσφέροντε **B**, εἰσφέρονται **F** | μηθενὸς **B** : μηδενὸς **PFD** **15** τὰ ⟨μεγάλα καὶ⟩ βαρέα coni. Usener | μικρῶν καὶ secl. Gassendi **16** μηθὲν scripsi : μηδὲν **BPFD** | ἀπαντᾶ **BP^1** : ἅπαντα **F** : ἀπαντᾶν **DP^2**, *Frob.* | post τὰ μικρὰ addit βραδύτερον Usener

πλάγιον διὰ τῶν κρούσεων φορά, οὔθ' ἡ κάτω διὰ τῶν ἰδίων βαρῶν. Ἐφ' ὁπόσον γὰρ ἂν κατίσχῃ ἑκάτερον, ἐπὶ τοσοῦτον ἅμα νοήματι τὴν φορὰν σχήσει, ἕως ⟨ἄν τι⟩ ἀντικόψῃ ἢ ἔξωθεν ἢ ἐκ τοῦ ἰδίου βάρους πρὸς τὴν τοῦ πλήξαντος δύναμιν.

62 Ἀλλὰ μὴν καὶ κατὰ τὰς συγκρίσεις θάττων ἑτέρα ἑτέρας ῥηθήσεται τῶν ἀτόμων ἰσοταχῶν οὐσῶν, τῷ ἐφ' ἕνα τόπον φέρεσθαι τὰς ἐν τοῖς ἀθροίσμασιν ἀτόμους καὶ κατὰ τὸν ἐλάχιστον συνεχῆ χρόνον, εἰ ⟨καὶ⟩ μὴ ἐφ' ἕνα κατὰ τοὺς λόγῳ θεωρητοὺς χρόνους, ἀλλὰ πυκνὸν ἀντικόπτουσιν, ἕως ἂν ὑπὸ τὴν αἴσθησιν τὸ συνεχὲς τῆς φορᾶς γίνηται. Τὸ γὰρ προσδοξαζόμενον περὶ τοῦ ἀοράτου, ὡς ἄρα καὶ οἱ διὰ λόγου θεωρητοὶ χρόνοι τὸ συνεχὲς τῆς φορᾶς ἕξουσιν, οὐκ ἀληθές ἐστιν ἐπὶ τῶν τοιούτων· ἐπεὶ τό γε θεωρούμενον πᾶν ἢ κατ' ἐπιβολὴν λαμβανόμενον τῇ διανοίᾳ ἀληθές ἐστιν.

63 Μετὰ δὲ ταῦτα δεῖ συνορᾶν ἀναφέροντα ἐπὶ τὰς αἰσθήσεις καὶ τὰ πάθη (οὕτω γὰρ ἡ βεβαιοτάτη πίστις ἔσται),

1 φοραὶ **P^1Q** | ἡ **FDP^4** : αἱ **BP^1Q** **2** γὰρ ss. **B^2** | κατίσχει **F** | ἑκάτερον Usener : ἑκατέρων **BPFD** : ἑκατέρ⟨α αὐτ⟩ῶν Bailey **3** τοσοῦτον **PD** : τοσούτων **B** : τοσοῦτο **F** | σχήσει **PF** : σχήσειν **BD**, *Frob.* | ἄν τι suppl. Usener **4–5** πρὸς τὴν τοῦ πλήξαντος δύναμιν ut glossema secl. Usener **6** καὶ : οὐδὲ Huebner : del. Brieger | ⟨οὐ⟩ θάττων Usener | θάττων *Frob.* : θᾶττον **BPFD** **7** ῥηθήσεται : οἰσθήσεται Kuehn : ⟨φο⟩ρηθήσεται Brieger | τῶ **BPD** : καὶ τὸ **F** | τῷ ⟨μὴ⟩ ἐφ' R. Heinze (*G.G.A.* 1898, 265) **8** καὶ del. Usener **9** τῶν ἐλαχίστων **BPF** (ἐλαχίστων **D**, *Frob.*), corr. Meibom. | εἰ ⟨καὶ⟩ μὴ Von der Muehll : εἰ μὴ **BPFD** : ἢ μὴ Usener : εἰ καὶ Heinze **10** κατὰ τοὺς λόγῳ θεωρητοὺς χρόνους ut glossema secl. Usener **11** ἀντικόπτουσιν Gassendi : ἀντικόπτωσιν **BPFD** | τὸ ss. **B^2** **12** φορᾶς : φωνῆς **F** | γένηται **D**, *Frob.* **13** διαλόγου **BFD** **17** ἐπὶ om. **F** **18** βεβαία **F** | ἔσται : ἄγεται **F**

ὅτι ἡ ψυχὴ σῶμά ἐστι λεπτομερὲς παρ' ὅλον τὸ ἄθροισμα παρεσπαρμένον, προσεμφερέστατον δὲ πνεύματι θερμοῦ τινα κρᾶσιν ἔχοντι καὶ πῇ μὲν τούτῳ προσεμφερές, πῇ δὲ τούτῳ· ἔστι δέ τι μέρος πολλὴν παραλλαγὴν εἰληφὸς τῇ λεπτομερείᾳ καὶ αὐτῶν τούτων, συμπαθὲς δὲ τούτῳ μᾶλλον καὶ τῷ λοιπῷ ἀθροίσματι· τοῦτο δὲ πᾶν αἱ δυνάμεις τῆς ψυχῆς δηλοῦσι καὶ τὰ πάθη καὶ αἱ εὐκινησίαι καὶ αἱ διανοήσεις καὶ ὧν στερόμενοι θνῄσκομεν.

Καὶ μὴν καὶ ὅτι ἔχει ἡ ψυχὴ τῆς αἰσθήσεως τὴν
64 πλείστην αἰτίαν δεῖ κατέχειν· οὐ μὴν εἰλήφει ἂν ταύτην,
εἰ μὴ ὑπὸ τοῦ λοιποῦ ἀθροίσματος ἐστεγάζετό πως. Τὸ δὲ
λοιπὸν ἄθροισμα παρασκευάσαν ἐκείνῃ τὴν αἰτίαν
ταύτην μετείληφε καὶ αὐτὸ τοιούτου συμπτώματος παρ'
ἐκείνης, οὐ μέντοι πάντων ὧν ἐκείνη κέκτηται· διὸ ἀπαλ-
λαγείσης τῆς ψυχῆς οὐκ ἔχει τὴν αἴσθησιν. Οὐ γὰρ αὐτὸ
ἐν ἑαυτῷ ταύτην ἐκέκτητο τὴν δύναμιν, ἀλλ' ἑτέρῳ ἅμα
συγγεγενημένῳ αὐτῷ παρεσκεύαζεν, ὃ διὰ τῆς συντελεσ-
θείσης περὶ αὐτὸ δυνάμεως κατὰ τὴν κίνησιν σύμπτωμα
αἰσθητικὸν εὐθὺς ἀποτελοῦν ἑαυτῷ ἀπεδίδου κατὰ τὴν

1 ὅτι ἡ ψυχὴ – **p. 754.15** τὰ συμπτώματα : cf. **Φ** 9

2 κατεσπαρμένον **F** | πνεύματι **BP**^{1}**Φ** : σπέρματι **FDP**^{4} in mg γρ., Eudocia, *Frob.* **3** τούτῳ : τοῦτο **FB**^{1} (corr. **B**^{2}) **4** τι J. Woltjer (*De Lucreti philosophia* ..., 1877, 61) : τὸ **BPF DΦ** : τὸ ⟨γ'⟩ μέρος Diels | εἰληφὼς **F** **5** λεπτομερία **B** | τούτῳ : ⟨διὰ⟩ τοῦτο Schneider, Arrighetti **6** καὶ : ἢ **Φ**, C. F. Hermann **7** δηλοῦσι *Aldobr.*, Gassendi : δῆλον **BPFD** : δηλονότι **Φ** : δῆλον ⟨ποιοῦσι⟩ Brieger | αἱ ss. **P**^{2} **8** στερόμενοι **BFP**^{4}**Φ** : στερούμενοι **P**^{1}**QD**, *Frob.* **12** παρασκευάσαι **B** | ἐκείνῃ om. **FD**, *Frob.* **13** τοιούτου **FDP**^{4}**Φ** : τοιοῦτο τοῦ **B**^{1} (-τον **B**^{2}) **P**^{1}**Q** **15** αὐτῷ **B** **16** ἕτερον et **17** συγγεγενημένον Usener **18** αὐτὸ **B**^{2}**PFΦ** : αὐτῷ **B**^{1}**D**, *Frob.* | κίνησιν **BP**^{1}**QΦ** : δίνησιν **FP**^{4} (in mg εἶχε κίνησιν) : δύνησιν **D**, Eudocia, *Frob.*

ὁμούρησιν καὶ συμπάθειαν καὶ ἐκείνῳ, καθάπερ εἶπον.

Διὸ δὴ καὶ ἐνυπάρχουσα ἡ ψυχὴ οὐδέποτε ἄλλου τινὸς 65 μέρους ἀπηλλαγμένου ἀναισθητ⟨ήσ⟩ει· ἀλλ' ἃ ἂν καὶ ταύτης ξυναπόληται, τοῦ στεγάζοντος λυθέντος εἴθ' ὅλου εἴτε καὶ μέρους τινός, ἐάνπερ διαμένῃ, ἕξει τὴν αἴσθησιν. Τὸ δὲ λοιπὸν ἄθροισμα διαμένον καὶ ὅλον καὶ κατὰ μέρος οὐκ ἔχει τὴν αἴσθησιν ἐκείνου ἀπηλλαγμένου, ὅσον ποτέ ἐστι τὸ συντεῖνον τῶν ἀτόμων πλῆθος εἰς τὴν τῆς ψυχῆς φύσιν. Καὶ μὴν καὶ λυομένου τοῦ ὅλου ἀθροίσματος ἡ ψυχὴ διασπείρεται καὶ οὐκέτι ἔχει τὰς αὐτὰς δυνάμεις οὐδὲ κινεῖται, ὥστε οὐδ' αἴσθησιν κέκτηται. Οὐ γὰρ οἷόν 66 τε νοεῖν αὐτὸ αἰσθανόμενον μὴ ⟨ὂν⟩ ἐν τούτῳ τῷ συστήματι καὶ ταῖς κινήσεσι ταύταις χρώμενον, ὅταν τὰ στεγάζοντα καὶ περιέχοντα μὴ τοιαῦτα ᾖ, ἐν οἷς νῦν οὖσα ἔχει ταύτας τὰς κινήσεις.

Ἀλλὰ μὴν καὶ τόδε [Λέγει ἐν ἄλλοις καὶ ἐξ ἀτόμων αὐτὴν συγκεῖσθαι λειοτάτων καὶ στρογγυλωτάτων, πολλῷ τινι διαφε-

1 ὁμοῦ ῥῆσιν P^{1}Q (corr. P^{4}) | ἐκεῖνο **F** **2** δὴ καὶ om. **Φ**, καὶ om. **F** | τινὸς ἄλλου **B** **3** ἀναισθητ⟨ήσ⟩ει Kuehn : ἀναισθητεῖ **Φ** et Schneider : ἀναισθήσει **B** : ἀναισθησία **PFD** | ἀλλ' ἃ ἂν **F**P^{4} : ἀλλὰ ἂν **B**P^{1}**D**, *Frob.* : ἀλλ' ἂν **Φ** **4** ταύτης Usener : ταύτη **BPFD** : αὕτη **Φ** | ξυναπόληται **D**, *Frob.* : συνεξαπόληται **Φ** : ξυναπόλληται **PF** : ξυναπόλλυται **B** | στεγάσματος **Φ** **5** καὶ om. **F** | διαμένει **F** | ἕξει Usener : ὀξὺ **BPFD** : ὀξύνει **Φ** : σῴζει Von der Muehll **6** τὸ δὲ : ἐκείνου **F** | καὶ κατὰ **FΦ** : κατὰ **BP** : καὶ Usener **9** λυομένου **PDΦ** : δυομένου **B** : διαλυομένου **F** **10** καὶ οὐκέτι : οὐθ' οὐκέτι B^{1} (οὐθ' οὐ expunxit et in mg ειδ' ου posuit B^{1}) | αὐτὰς B^{2} (αὐτῆς B^{1}) **11** κινεῖται : κινήσεις Bignone | κέκτηται **FD**P^{4} : οὐ κέκτηται **B** : κέκτηνται P^{1}**Φ** **12** αὐτὸ : τὸ Usener | ὂν add. Usener, Bailey | συστήματι ss. F^{2}, κινήματι F^{1} **13** καὶ om. **FD**, *Frob.* **14** οἷς : οἵοις coni. Usener **16** Λέγει – **p. 754.6** φέρεσθαι ut scholion eiecere Nuernberger, Schneider **17** στρογγυλοτάτων **BF**

ρουσῶν τῶν τοῦ πυρός· καὶ τὸ μέν τι ἄλογον αὐτῆς, ὃ τῷ λοιπῷ παρεσπάρθαι σώματι· τὸ δὲ λογικὸν ἐν τῷ θώρακι, ὡς δῆλον ἔκ τε τῶν φόβων καὶ τῆς χαρᾶς. Ὕπνον τε γίνεσθαι τῶν τῆς ψυχῆς μερῶν τῶν παρ' ὅλην τὴν σύγκρισιν παρεσπαρμένων ἐγκατεχομένων ἢ διαφορουμένων, εἶτα συμπιπτόντων τοῖς ἐπερεισμοῖς.
67 Τό τε σπέρμα ἀφ' ὅλων τῶν σωμάτων φέρεσθαι.] γε δεῖ προσκατανοεῖν ὅτι τὸ ἀσώματον λέγεται κατὰ τὴν πλείστην ὁμιλίαν τοῦ ὀνόματος ἐπὶ τοῦ καθ' ἑαυτὸ νοηθέντος ἄν· καθ' ἑαυτὸ δὲ οὐκ ἔστι νοῆσαι τὸ ἀσώματον πλὴν τοῦ κενοῦ. Τὸ δὲ κενὸν οὔτε ποιῆσαι οὔτε παθεῖν δύναται, ἀλλὰ κίνησιν μόνον δι' ἑαυτοῦ τοῖς σώμασι παρέχεται. Ὥσθ' οἱ λέγοντες ἀσώματον εἶναι τὴν ψυχὴν ματαιΐζουσιν. Οὐθὲν γὰρ ἂν ἐδύνατο ποιεῖν οὔτε πάσχειν, εἰ ἦν τοιαύτη· νῦν δ' ἐναργῶς ἀμφότερα ταῦτα διαλαμβάνεται περὶ τὴν ψυχὴν τὰ συμπτώματα.
68 Ταῦτα οὖν πάντα τὰ διαλογίσματα ⟨τὰ⟩ περὶ ψυχῆς

1 μέν τι **PΦ** : μέντοι **BFD** **2** παρεσπάρθαι Schneider : παρεσπάρθη in mg **B**^{2} : παρεσαρθεῖ **B**^{1}**P** : παρεσαθρεῖ **D**, *Frob.* : παρεσαθρεῖται **Φ** | θώρακι : σώματι **DP**^{4} in mg γρ., *Frob.* | δήλων ss. **F**^{2} **3** τε^{2} om. **B** **5** εἶτα : ἢ **Φ** : ἤτε καὶ Gassendi | ἐμπιπτόντων **F** : ἐκπιπτόντων Giussani (ad Lucret. 4.904), Arrighetti | ἐπερεισμοῖς Usener : ποργμοῖς **BP**^{1}**Q** : σπορμοῖς **F** : σπορίμοις **Φ** : ἐσπαρμένοις **DP**^{4} (in mg super. γρ.), *Frob.* **6–7** πρὸς τὸ κατανοεῖν **F** **7** ὅτι **BPF D** : ὅ τι Usener | λέγεται Bignone : λέγει γὰρ **BPFD** : λέγω δὲ Eudocia (λέγω Schneider) : λέγομεν Von der Muehll | λέγει γὰρ – **8** ὁμιλίαν secl. ut glossema Usener **9** ἑαυτὸ Stephanus : ἑαυτὸν **BPFD** **12** εἶναι om. **F** | ματαιάζουσιν **DΦ** **13** ἐδύνετο **BP**^{1}**Q** | οὔτε : ἢ **Φ** : οὐδὲ coni. Usener **14** διαλαμβάνεται Bailey : διαλαμβάνει **BPFD Φ** : διαλαμβάνομεν Meibom. post *Aldobr.* : συμβαίνει Usener **16** πάντα om. **F** | διαλογίσματα : διανοήματα **F**^{2} | τὰ^{2} add. Usener | περὶ ψυχῆς om. **D**, Eudocia, *Frob.*, del. Huebner, Brandt

ἀνάγων τις ἐπὶ τὰ πάθη καὶ τὰς αἰσθήσεις, μνημονεύων τῶν ἐν ἀρχῇ ῥηθέντων, ἱκανῶς κατόψεται τοῖς τύποις ἐμπεριειλημμένα εἰς τὸ ⟨καὶ τὰ⟩ κατὰ μέρος ἀπὸ τούτων ἐξακριβοῦσθαι βεβαίως.

Ἀλλὰ μὴν καὶ τὰ σχήματα καὶ τὰ χρώματα καὶ τὰ μεγέθη καὶ τὰ βάρη καὶ ὅσα ἄλλα κατηγορεῖται σώματος ὡσανεὶ συμβεβηκότα ἢ πᾶσιν ἢ τοῖς ὁρατοῖς καὶ κατὰ τὴν αἴσθησιν αὐτῶν γνωστοῖς, οὔθ᾽ ὡς καθ᾽ ἑαυτάς εἰσι φύσεις δοξαστέον (οὐ γὰρ δυνατὸν ἐπινοῆσαι τοῦτο), | οὔτε 69
ὅλως ὡς οὐκ εἰσίν, οὔθ᾽ ὡς ἕτερ᾽ ἄττα προσυπάρχοντα τούτῳ ἀσώματα, οὔθ᾽ ὡς μόρια τούτου, ἀλλ᾽ ὡς τὸ ὅλον σῶμα καθόλου μὲν ⟨ἐκ⟩ τούτων πάντων τὴν ἑαυτοῦ φύσιν ἔχον ἀΐδιον, οὐχ οἷον δὲ εἶναι ⟨ἐκ⟩ συμπεφορημένων (ὥσπερ ὅταν ἐξ αὐτῶν τῶν ὄγκων μεῖζον ἄθροισμα συστῇ ἤτοι τῶν πρώτων ἢ τῶν τοῦ ὅλου μεγεθῶν τοῦδέ τινος ἐλαττόνων), ἀλλὰ μόνον, ὡς λέγω, ἐκ τούτων ἁπάντων τὴν ἑαυτοῦ φύσιν ἔχον ἀΐδιον. Καὶ ἐπιβολὰς μὲν ἔχοντα ἰδίας πάντα ταῦτά ἐστι καὶ διαλήψεις, συμπαρακολουθοῦντος δὲ τοῦ ἀθρόου καὶ οὐθαμῇ ἀποσχιζομένου, ἀλλὰ κατὰ

3 συμπεριειλημμένα **B** | καὶ τὰ add. Usener **6** βάρη Usener : βαρέα ἢ **BPFD** **7** ὡσανεὶ συμβεβηκότα P. Galesius : ὡς ἂν εἰς αὐτὰ βεβηκότα **BPFD** : ὡς ἂν ἀεὶ συμβεβηκότα Bignone | τὴν : τιν᾽ coni. Von der Muehll **8** αὐτῶν **P**^{4}, Giussani : αὐτοῖς **BPFD** : αὐτὴν Meibom. : σώματος Usener : ἡμῖν coni. Von der Muehll | γνωστοῖς **BPFD** : γνωστά Usener **9** οὔτε : ἢ **F** **10** οὔθ ὡς Gassendi : ὡς οὔθ᾽ **BPFD** | ἕτερ᾽ ἄττα Usener : ἕτερα τὰ **BPFD** **11** οὐδ᾽ **F** **12** post σῶμα add. ὡς **F** | μὲν ⟨ἐκ⟩ Meibom. : μὲν **BPFD** : ἐκ Gassendi **13** δὲ Schneider : τ᾽ **PFD**, τε **B** | ⟨ἐκ⟩ συμπεφορημένων Bailey : συμπεφορημένων **BP**^{1}**Q** : συμπεφορημένον **FDP**^{4} **14** ὄγκων : οἴκων **B**^{1}**P**^{1}**Q** **15** μεγεθῶν : μερῶν Schneider | ἔλαττον ὂν **B** **17** ἑαυτῶν **P** **19** οὐθαμῇ **BP**^{1}**Q** : οὐδαμῇ **FDP**^{4} | ἀποσχηζομένου **B** : ἀποσχιζόμενα Usener

τὴν ἀθρόαν ἔννοιαν τοῦ σώματος κατηγορίαν εἰληφότος.
70 Καὶ μὴν καὶ τοῖς σώμασι συμπίπτει πολλάκις καὶ οὐκ ἀΐδιον παρακολουθεῖν ⟨*⟩ οὔτ' ἐν τοῖς ἀοράτοις καὶ οὔτε ἀσώματα. Ὥστε δὴ κατὰ τὴν πλείστην φορὰν τούτῳ τῷ ὀνόματι χρώμενοι φανερὰ ποιοῦμεν τὰ συμπτώματα οὔτε τὴν τοῦ ὅλου φύσιν ἔχειν, ὃ συλλαβόντες κατὰ τὸ ἀθρόον σῶμα προσαγορεύομεν, οὔτε τὴν τῶν ἀΐδιον παρακολουθούντων, ὧν ἄνευ σῶμα οὐ δυνατὸν νοεῖσθαι. Κατ' ἐπιβολὰς δ' ἄν τινας παρακολουθοῦντος τοῦ ἀθρόου ἕκαστα
71 προσαγορευθείη, | ἀλλ' ὅτε δήποτε ἕκαστα συμβαίνοντα θεωρεῖται, οὐκ ἀΐδιον τῶν συμπτωμάτων παρακολουθούντων.

Καὶ οὐκ ἐξελατέον ἐκ τοῦ ὄντος ταύτην τὴν ἐνάργειαν, ὅτι οὐκ ἔχει τὴν τοῦ ὅλου φύσιν ᾧ συμβαίνει ὃ δὴ καὶ σῶμα προσαγορεύομεν, οὐδὲ τὴν τῶν ἀΐδιον παρακολουθούντων, οὐδ' αὖ καθ' αὑτὰ νομιστέον (οὐδὲ γὰρ τοῦτο διανοητὸν οὔτ' ἐπὶ τούτων οὔτ' ἐπὶ τῶν ἀΐδιον συμβεβηκότων), ἀλλ', ὅπερ καὶ φαίνεται, συμπτώματα πάντα ⟨κατὰ⟩ τὰ σώματα νομιστέον, καὶ οὐκ ἀΐδιον παρακολου-

1 τοῦ σώματος ἔννοιαν **F** | εἰληφότα Usener **3** παρακολουθεῖν **PFD** : παρακολουθεῖ **B** | post παρακολουθεῖν lac. indic. Usener | ἐν om. **B** | καὶ : ἔσται Usener : εἶναι Bailey **4** δὴ : δεῖ **F** **6** ἔχειν **BP** : ἔχει **FD**, *Frob.* | ὃ **FD**, *Frob.* : ὃν **P** : ἣν **B**^{2} **7** ἀϊδίων **BPFD**, corr. Meibom. **10** post προσαγορευθείη lac. indic. Usener | ὅτε : ὅτῳ Usener **11** ἀϊδίων codd., corr. Meibom. **14** ᾧ **FD**, *Frob.* : ὢ **B** : ὃ **P** **14–15** ὃ δὴ καὶ σῶμα προσαγορεύομεν ut glossema secl. Usener, Bailey **15** ἀΐδιον **P** : ἀϊδίων **BD**, *Frob.* : ἀϊδίων οὐδὲ τὴν τὸν ἀΐδιον **F** | παρακολουθοῦν **B** : παρακολουθοῦντα **P**^{1}**Q** **17** διανοητὸν Bernays : διανοητέον **BPF D** | οὔτ'^{2} **FD**, *Frob.* : οὐδ' **BP** | ἀΐδιον **P** : ἀϊδίων **BFD**, *Frob.* **19** κατὰ add. Bignone | τὰ σώματα : σώματος Usener : τὰ τοιαῦτα Von der Muehll

θοῦντα οὐδ' αὖ φύσεως καθ' ἑαυτὰ τάγμα ἔχοντα, ἀλλ'
ὃν τρόπον αὐτὴ ἡ αἴσθησις τὴν ἰδιότητα ποιεῖ, θεωρεῖται.

Καὶ μὴν καὶ τόδε γε δεῖ προσκατανοῆσαι σφοδρῶς· τὸν 72
γὰρ δὴ χρόνον οὐ ζητητέον ὥσπερ καὶ τὰ λοιπά, ὅσα ἐν
ὑποκειμένῳ ζητοῦμεν ἀνάγοντες ἐπὶ τὰς βλεπομένας παρ'
ἡμῖν αὐτοῖς προλήψεις, ἀλλ' αὐτὸ τὸ ἐνάργημα, καθ' ὃ
τὸν πολὺν ἢ ὀλίγον χρόνον ἀναφωνοῦμεν, συγγενικῶς
τοῦτο περιφέροντες, ἀναλογιστέον. Καὶ οὔτε διαλέκτους
ὡς βελτίους μεταληπτέον, ἀλλ' αὐταῖς ταῖς ὑπαρχούσαις
κατ' αὐτοῦ χρηστέον, οὔτε ἄλλο τι κατ' αὐτοῦ κατη-
γορητέον ὡς τὴν αὐτὴν οὐσίαν ἔχοντος τῷ ἰδιώματι τούτῳ
(καὶ γὰρ τοῦτο ποιοῦσί τινες), ἀλλὰ μόνον ᾧ συμπλέκο-
μεν τὸ ἴδιον τοῦτο καὶ παραμετροῦμεν, μάλιστα ἐπιλογισ-
τέον. Καὶ γὰρ τοῦτο οὐκ ἀποδείξεως προσδεῖται ἀλλ' 73
ἐπιλογισμοῦ, ὅτι ταῖς ἡμέραις καὶ ταῖς νυξὶ συμπλέκομεν
καὶ τοῖς τούτων μέρεσιν, ὡσαύτως δὲ καὶ τοῖς πάθεσι καὶ
ταῖς ἀπαθείαις, καὶ κινήσεσι καὶ στάσεσιν, ἴδιόν τι σύμ-
πτωμα περὶ ταῦτα πάλιν αὐτὸ τοῦτο ἐννοοῦντες, καθ' ὃ
χρόνον ὀνομάζομεν. [Φησὶ δὲ τοῦτο καὶ ἐν τῇ δευτέρᾳ Περὶ
φύσεως καὶ ἐν τῇ Μεγάλῃ ἐπιτομῇ.]

Ἐπί τε τοῖς προειρημένοις τοὺς κόσμους δεῖ καὶ πᾶσαν

19 Φησὶ δὲ – **20** Usener, Frr. 26 et 79

1–2 ἄλλον **P^{1}Q** **2** θεωρεῖται : θεωρεῖσθαι vel θεωρητέον coni. Usener **3** γε om. **F** | δεῖ : δὴ **D**, Eudocia, *Frob.* **6** προλήμψεις **B** **8** περιφέροντες : ἐπιφέροντες Usener : ἐπιφέροντας Bailey | καὶ ἀναλογιστέον **F** | διαλέκτου **P^1**, Kuehn **10** κατ' αὐτοῦ^1 **FD** : καθ' αὐτοῦ **BP^1** | κατ' αὐτοῦ^2 Gassendi : καθ' αὐτοῦ **BPF** **11** ἔχοντος : ἔχον Usener, Bailey **12** τούτω **F** | ᾧ **B^{2}P^{2}F** : ὡς **D**, **P^4** in mg γρ., *Frob.* **13** τοῦτο **BP^{1}QD** : τούτω **FP^4**, *Frob.* **17** τοῖς ἀπαθίης **B** **18** πάλιν : πάντα Usener e S.E. *Adv. math.* 10.219 **19** Φησὶ δὲ – **20** om. Eudocia, secl. Nuernberger, Schneider **21** τοῦ κόσμου **B**

σύγκρισιν πεπερασμένην τὸ ὁμοειδὲς τοῖς θεωρουμένοις πυκνῶς ἔχουσαν νομίζειν γεγονέναι ἀπὸ τοῦ ἀπείρου, πάντων τούτων ἐκ συστροφῶν ἰδίων ἀποκεκριμένων καὶ μειζόνων καὶ ἐλαττόνων· καὶ πάλιν διαλύεσθαι πάντα, τὰ μὲν θᾶττον, τὰ δὲ βραδύτερον, καὶ τὰ μὲν ὑπὸ τῶν τοι-
74 ῶνδε, τὰ δὲ ὑπὸ τῶν τοιῶνδε τοῦτο πάσχοντα. [Δῆλον οὖν ὡς καὶ φθαρτούς φησι τοὺς κόσμους, μεταβαλλόντων τῶν μερῶν. Καὶ ἐν ἄλλοις τὴν γῆν τῷ ἀέρι ἐποχεῖσθαι.]

Ἔτι δὲ καὶ τοὺς κόσμους οὔτε ἐξ ἀνάγκης δεῖ νομίζειν ἕνα σχηματισμὸν ἔχοντας ⟨*⟩ [ἀλλὰ καὶ διαφόρους αὐτοὺς ἐν τῇ ιβ′ Περὶ ⟨φύσεως⟩ αὐτός φησιν· οὓς μὲν γὰρ σφαιροειδεῖς, καὶ ᾠοειδεῖς ἄλλους, καὶ ἀλλοιοσχήμονας ἑτέρους· οὐ μέντοι πᾶν σχῆμα ἔχειν. Οὐδὲ ζῷα εἶναι ἀποκριθέντα ἀπὸ τοῦ ἀπείρου.] Οὐδὲ γὰρ ἂν ἀποδείξειεν οὐδεὶς ὡς ⟨ἐν⟩ μὲν τῷ τοιούτῳ καὶ οὐκ ἂν ἐμπεριελήφθη τὰ τοιαῦτα σπέρματα, ἐξ ὧν

6 Δῆλον – **8** Usener, Fr. 348 **10** ἀλλὰ – **13** τοῦ ἀπείρου : Usener, Fr. 82

1 ὁμοειδὲς **BD**, *Frob.* : ὁμοιοειδὲς **PF** **2** πυκνῶς : πύκνωμ' G.B. Kerferd (*Rh. Mus.* 114 [1971] 87–89) **4** πάλιν : πάντα **F** **5** et **6** τῶν bis om. **F** **6** τοῦτο **BP**^{1}**Q** : om. **FD P**^{4} | πάσχοντα **FDP**^{4}, *Frob.* : σχοα **B**^{1}, σχόα **B**^{2}**P**^{1}**Q** **6** Δῆλον οὖν – **8** ut glossema eiecit Usener : Δῆλον οὖν ὡς καὶ ⟨*⟩ [⟨καὶ ἐν τῇ ⟨*⟩ Περὶ φύσεως⟩ φθαρτοὺς – ἐποχεῖσθαι.] Von der Muehll (post J. Woltjer, p. 111, et A. Brieger, p. 14) **6** ἄδηλον **DP**^{4}, Eudocia, *Frob.* **7** φθαρτοὺς **BPF**^{2} : φθαρτὸν **F**^{1} : ἀφθάρτους **D**, Eudocia, *Frob.* | τὸν κόσμον **F**^{1} **9** ἔτι δὲ καὶ **FDP**^{4}, *Frob.* : ἔτι δὲ **BP**^{1}**Q** : ἔτι τε Arndt | δεῖ : ἀεὶ **B** **10** post ἔχοντας lac. indic. Usener (exspectes οὔτε αὖ πᾶν σχῆμα ἔχοντας Bailey et Ἀλλὰ μὴν καὶ πᾶσι τοῖς κόσμοις δεῖ νομίζειν ζῷα καὶ φυτὰ καὶ τὰ λοιπὰ τὰ παρ' ἡμῖν θεωρούμενα ἐνεῖναι Usener et Bailey conl. Lucret. 2.1075 s.) **10** ἀλλὰ – **13** ἀπὸ τοῦ ἀπείρου ut glossema eiecit Usener **11** ⟨φύσεως⟩ αὐτός Usener : φύσεως C. Fr. Hermann, Brieger : αὐτοῦ **BP**^{1}**Q** : τούτου **FDP**^{4} ss. γρ., *Frob.* **13** ἔχειν : ἔχεται **B** **14** ἀποδείξοιεν **B**^{2} | ἐν add. Usener : ἐν pro μὲν Gassendi

ζῷά τε καὶ φυτὰ καὶ τὰ λοιπὰ πάντα ⟨τὰ⟩ θεωρούμενα
συνίσταται, ἐν δὲ τῷ τοιούτῳ οὐκ ἂν ἐδυνήθη. [Ὡσαύτως
δὲ καὶ ἐντραφῆναι. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ γῆς νομιστέον.]

Ἀλλὰ μὴν ὑποληπτέον καὶ τὴν φύσιν πολλὰ καὶ παν- 75
τοῖα ὑπὸ αὐτῶν τῶν πραγμάτων διδαχθῆναί τε καὶ ἀναγ-
κασθῆναι, τὸν δὲ λογισμὸν τὰ ὑπὸ ταύτης παρεγγυηθέντα
ὕστερον ἐπακριβοῦν καὶ προσεξευρίσκειν ἐν μὲν τισὶ
θᾶττον, ἐν δὲ τισὶ βραδύτερον καὶ ἐν μὲν τισὶ περιόδοις
καὶ χρόνοις [ἀπὸ τῶν ἀπὸ τοῦ ἀπείρου] ⟨*⟩, ἐν δὲ τισὶ καὶ
ἐλάττους.

Ὅθεν καὶ τὰ ὀνόματα ἐξ ἀρχῆς μὴ θέσει γενέσθαι,
ἀλλ' αὐτὰς τὰς φύσεις τῶν ἀνθρώπων καθ' ἕκαστα ἔθνη
ἴδια πασχούσας πάθη καὶ ἴδια λαμβανούσας φαντάσ-
ματα ἰδίως τὸν ἀέρα ἐκπέμπειν στελλόμενον ὑφ' ἑκάστων
τῶν παθῶν καὶ τῶν φαντασμάτων, ὡς ἄν ποτε καὶ ἡ παρὰ
τοὺς τόπους τῶν ἐθνῶν διαφορὰ ᾖ· ὕστερον δὲ κοινῶς 76
καθ' ἕκαστα ἔθνη τὰ ἴδια τεθῆναι πρὸς τὸ τὰς δηλώσεις
ἧττον ἀμφιβόλους γενέσθαι ἀλλήλοις καὶ συντομωτέρως
δηλουμένας· τινὰ δὲ καὶ οὐ συνορώμενα πράγματα εἰσ-
φέροντας τοὺς συνειδότας παρεγγυῆσαί τινας φθόγγους,

1 τὰ^{2} add. Schneider **2** τοιούτων **B** **2** Ὡσαύτως – **3** ut glossema secl. Usener **4** post παντοῖα addit τε **F** **5** αὐτῶν τῶν **BP** : τῶν αὐτῶν **FD** | τῶν πραγμάτων **D**, *Frob.* | τε om. **F** **7** καὶ ὕστερον **FD** ss. **P**^{4}, *Frob.* **8** ἐν δὲ τισὶ : τισὶ δὲ **F** **8–9** χρόνοις καὶ περιόδοις **F** **9** ἀπὸ τῶν ἀπὸ τοῦ ἀπείρου ut glossema secl. Usener (cf. p. 758.13) | ἀπὸ τῶν : ἀποτομὴν Usener (coni. 10.88) | ἀπὸ τοῦ **F** | post ἀπείρου lac. indic. Usener : μείζους λαμβάνειν ἐπιδόσεις e.g. suppl. Usener (μείζους iam Gassendi) : κατὰ μείζους ἐπιδόσεις suppl. J.H. Leopold, Von der Muehll (servato κατ') | καὶ^{2} Usener : κατ' **BPFD** **14** στελλομένων **F** | ὑπ' **B** **16** ᾖ : εἴη Usener **18** ἀλλήλοις Meibom. : ἀλλήλαις **BPD**, *Frob.* : ἀλλήλους **F** | συντομοτέρως **B** : συντομωτέρας **P**

τοὺς ⟨μὲν⟩ ἀναγκασθέντας ἀναφωνῆσαι, τοὺς δὲ τῷ λογισμῷ ἑλομένους κατὰ τὴν πλείστην αἰτίαν οὕτως ἑρμηνεῦσαι.

Καὶ μὴν ⟨καὶ τὴν⟩ ἐν τοῖς μετεώροις φορὰν καὶ τροπὴν καὶ ἔκλειψιν καὶ ἀνατολὴν καὶ δύσιν καὶ τὰ σύστοιχα τούτοις μήτε λειτουργοῦντός τινος νομίζειν δεῖ γίνεσθαι καὶ διατάττοντος ἢ διατάξαντος καὶ ἅμα τὴν πᾶσαν μα-
77 καριότητα ἔχοντος μετὰ ἀφθαρσίας | (οὐ γὰρ συμφωνοῦσι πραγματεῖαι καὶ φροντίδες καὶ ὀργαὶ καὶ χάριτες μακαριότητι, ἀλλ' ἐν ἀσθενείᾳ καὶ φόβῳ καὶ προσδεήσει τῶν πλησίον ταῦτα γίνεται), μήτε αὖ πῦρ ἅμα ὄντα συνεστραμμένον τὴν μακαριότητα κεκτημένα κατὰ βούλησιν τὰς κινήσεις ταύτας λαμβάνειν· ἀλλὰ πᾶν τὸ σέμνωμα τηρεῖν κατὰ πάντα ὀνόματα φερόμενα ἐπὶ τὰς τοιαύτας ἐννοίας, ἵνα μηδ' ὑπεναντίαι ἐξ αὐτῶν ⟨γένωνται⟩ τῷ σεμνώματι δόξαι· εἰ δὲ μή, τὸν μέγιστον τάραχον ἐν ταῖς ψυχαῖς αὐτὴ ἡ ὑπεναντιότης παρασκευάσει. Ὅθεν δὴ κατὰ τὰς ἐξ ἀρχῆς ἐναπολήψεις τῶν συστροφῶν τούτων

1 τοὺς¹ del. Usener | μὲν add. Gassendi **2** ἑλομένους : ἑπομένους Schneider | αἰτίαν : φαντασίαν coni. Usener **4** καὶ τὴν add. Usener **6** γίνεσθαι Meibom. : γενέσθαι **BPFD** **7** διατάξαντος **D**, *Frob.* : διατάξοντος **BPF** **9** post χάριτες addunt καὶ **BP** : τῇ Cobet **10** ἐν om. **FDP⁴**, *Frob.* **11** πλησίων **BD** | αὖ πῦρ ἅμα ὄντα **DP⁴**, *Frob.* : λυπυρα μαοντα **B¹**, λυπυρὰ ἅμα ὄντα **B²** : αὐ πυρα μαον τα **P¹Q** : αὖ πῦρ ὄντα **F** : αὖ πῦρ ἅμμα (vel ἅμματα) ὄντα M. Casaubon : αὖ πυρὸς ἀνάμματα Usener | συνεστραμμένου Usener **12** μακαριοτάτην **BP¹** (-ω-) **Q** **13** πάν τὰ **F** **14** φερόμενον Usener **15** ἵνα Usener : ἐὰν **BPFD** | μηδ' : μηδὲν Meibom. | ὑπεναντίαι **FDP⁴**, *Frob.* : ὑπεναντίαις **BP¹Q** : ὑπεναντίον Meibom. | γένωνται add. Gassendi, Usener **16** δόξαι : δόξῃ Meibom. **17** αὐτὴ ἡ **P** : αὐτὴν ἡ **B** : αὕτη **FD**, *Frob.* **18** κατὰ Kuehn : καὶ **BPFD** | ἐναπολήμψεις **B**

ἐν τῇ τοῦ κόσμου γενέσει δεῖ δοξάζειν καὶ τὴν ἀνάγκην ταύτην καὶ περίοδον συντελεῖσθαι.

Καὶ μὴν καὶ ⟨τὸ⟩ τὴν ὑπὲρ τῶν κυριωτάτων αἰτίαν 78
ἐξακριβῶσαι φυσιολογίας ἔργον εἶναι δεῖ νομίζειν, καὶ τὸ μακάριον ἐν τῇ περὶ μετεώρων γνώσει ἐνταῦθα πεπτωκέναι καὶ ἐν τῷ τίνες φύσεις αἱ θεωρούμεναι κατὰ τὰ μετέωρα ταυτί, καὶ ὅσα συγγενῆ πρὸς τὴν εἰς τοῦτο ἀκρίβειαν· ἔτι τε οὐ τὸ πλεοναχῶς ἐν τοῖς τοιούτοις εἶναι καὶ τὸ ἐνδεχόμενον καὶ ἄλλως πως ἔχειν, ἀλλ' ἁπλῶς μὴ εἶναι ἐν ἀφθάρτῳ καὶ μακαρίᾳ φύσει τῶν διάκρισιν ὑποβαλλόντων ἢ τάραχον μηθέν· καὶ τοῦτο καταλαβεῖν τῇ διανοίᾳ ἔστιν ἁπλῶς εἶναι.

Τὸ δ' ἐν τῇ ἱστορίᾳ πεπτωκὸς τῆς δύσεως καὶ ἀνατο- 79
λῆς καὶ τροπῆς καὶ ἐκλείψεως καὶ ὅσα συγγενῆ τούτοις μηθὲν ἔτι πρὸς τὸ μακάριον τῆς γνώσεως συντείνειν, ἀλλ' ὁμοίως τοὺς φόβους ἔχειν τοὺς ταῦτα κατιδόντας, τίνες δ' αἱ φύσεις ἀγνοοῦντας καὶ τίνες αἱ κυριώταται αἰτίαι, καὶ εἰ μὴ προσῄδεισαν ταῦτα· τάχα δὲ καὶ πλείους, ὅταν τὸ θάμβος ἐκ τῆς τούτων προσκατανοήσεως μὴ δύνηται τὴν λύσιν λαμβάνειν κατὰ τὴν περὶ τῶν κυριωτάτων οἰκονομίαν.

1 γενέσει **BP** : συστάσει **FD**, *Frob.* **3** τὸ add. Usener **5** ἐν – γνώσει ut glossema ad ἐνταῦθα eiecit Usener **6** τίνες *Frob.* : τινὰς **BPFD** **7** ταυτὶ καὶ **P**^{2}**FD** : τ'αὐτίκα **B**^{2}, ταυτικα **P**^{1} | συγγενῆ : συντείνει Usener | τοῦτο : τούτων **B** **8** τοῖς om. **F** **9** ἐνδεχόμενον Schneider : ἐνδεχομένῳ **B** : ἐνδεχομένως **PF** : ἐνδεχομένας **D**, *Frob.* | πως om. **F** **11** τούτῳ **B** **14** ἐκλήψεως **B** **15** τῆς γνώσεως : τὰς γνώσεις Usener, τὴν γνῶσιν coni. Von der Muehll **16** κατιδόντας **PFD** : καταδιδόντας **B** : κατειδότας Usener **17** αἱ^{1} om. **P** | κυριώτατοι **B** **18** προσήδησαν **D**, *Frob.* : προσήδεσαν Huebner | τάχα δὲ **BP**^{1}**F**^{2} : τὰ χαλεπὰ **F**^{1}**DP**^{4}, *Frob.* **20** κατὰ Gassendi : καὶ **BPFD**

Διὸ δὴ κἂν πλείους αἰτίας εὑρίσκωμεν τροπῶν καὶ
δύσεων καὶ ἀνατολῶν καὶ ἐκλείψεων καὶ τῶν τοιου-
τοτρόπων, ὥσπερ καὶ ἐν τοῖς κατὰ μέρος γινομένοις ἦν, |
80 οὐ δεῖ νομίζειν τὴν ὑπὲρ τούτων χρείαν ἀκρίβειαν μὴ
ἀπειληφέναι, ὅση πρὸς τὸ ἀτάραχον καὶ μακάριον ἡμῶν
συντείνει. Ὥστε παραθεωροῦντας ποσαχῶς παρ' ἡμῖν τὸ
ὅμοιον γίνεται, αἰτιολογητέον ὑπέρ τε τῶν μετεώρων καὶ
παντὸς τοῦ ἀδήλου, καταφρονοῦντας τῶν οὔτε ⟨τὸ⟩ μο-
ναχῶς ἔχον ἢ γινόμεν γνωριζόντων οὔτε τὸ πλεοναχῶς
συμβαῖνον ⟨ἐπὶ τῶν⟩ τὴν ἐκ τῶν ἀποστημάτων φαντασίαν
παραδιδόντων, ἔτι τε ἀγνοούντων καὶ ἐν ποίοις οὐκ ἔστιν
ἀταρακτῆσαι ⟨καὶ ἐν ποίοις ὁμοίως ἀταρακτῆσαι⟩. Ἂν
οὖν οἰώμεθα καὶ ὡδί πως ἐνδεχόμενον αὐτὸ γίνεσθαι [καὶ
ἐν ποίοις ὁμοίως ἀταρακτῆσαι], αὐτὸ τὸ ὅτι πλεοναχῶς
γίνεται γνωρίζοντες, ὥσπερ κἂν ὅτι ὡδί πως γίνεται εἰδῶ-
μεν, ἀταρακτήσομεν.
81 Ἐπὶ δὲ τούτοις ὅλως ἅπασιν ἐκεῖνο δεῖ κατανοεῖν, ὅτι
τάραχος ὁ κυριώτατος ταῖς ἀνθρωπίναις ψυχαῖς γίνεται
ἐν τῷ ταῦτα μακάριά τε δοξάζειν ⟨εἶναι⟩ καὶ ἄφθαρτα,
καὶ ὑπεναντίας ἔχειν τούτοις βουλήσεις ἅμα καὶ πράξεις

1 κἂν et εὑρίσκωμεν Usener : καὶ et εὑρίσκομεν **BPFD** **2** τοιουτοτρόπων Meibom. : τοιούτων τρόπων **BPFD** **3** ἦν Usener : ἢ **BPFD** : καὶ Meibom. **7** αἰτιολογιτέον **B** **8** τῶν : τὸ **F**^{2} | οὔτε ⟨τὸ⟩ Gassendi : οὐδὲ **BPFD** **10** ἐπὶ τῶν add. Bignone | post τὴν add. τ' Usener **11** παριδόντων Usener **12** καὶ ἐν ποίοις ὁμοίως ἀταρακτῆσαι ex vv. 13–14 transposuit Von der Muehll, agn. Arrighetti **12** ἂν οὖν – **14** ἀταρακτῆσαι om. **B** **13** καὶ^{2} del. Usener **14** ἐν ποίοις **P**^{1} **Q** : ἐφ' οἵοις **FDP**^{4}, *Frob.* **15** post ὅτι repetit κἂν **F** | ὦ δήπως **F** | γίνεται^{2} **FDP**^{4} : γίνονται **BP**^{1}**Q** **16** ἀταρακτή-σωμεν **BP** **17** ὅλως **BP** : ὅλοις **F** : om. **D**, Eudocia, *Frob.* **19** ταῦτα : ταὐτὰ Von der Muehll | εἶναι add. Usener **20** τούτοις : ταῦτας **F** : τούτῳ Usener | βουλήσεις ἅμα **FD**, *Frob.* : transp. **BP**

καὶ αἰτίας, καὶ ἐν τῷ αἰώνιόν τι δεινὸν ἀεὶ προσδοκᾶν ἢ ὑποπτεύειν κατὰ τοὺς μύθους εἴτε καὶ αὐτὴν τὴν ἀναισθησίαν τὴν ἐν τῷ τεθνάναι φοβουμένους ὥσπερ οὖσαν κατ' αὐτούς, καὶ ἐν τῷ μὴ δόξαις ταῦτα πάσχειν ἀλλ' ἀλόγῳ γέ τινι παραστάσει, ὅθεν μὴ ὁρίζοντας τὸ δεινὸν τὴν ἴσην ἢ καὶ ἐπιτεταμένην ταραχὴν λαμβάνειν τῷ εἰ καὶ ἐδόξαζον ταῦτα· ἡ δὲ ἀταραξία τὸ τούτων πάντων ἀπο- 82
λελύσθαι καὶ συνεχῆ μνήμην ἔχειν τῶν ὅλων καὶ κυριωτάτων.

Ὅθεν τοῖς πά⟨θε⟩σι προσεκτέον τοῖς παροῦσι καὶ ταῖς αἰσθήσεσι, κατὰ μὲν τὸ κοινὸν ταῖς κοιναῖς, κατὰ δὲ τὸ ἴδιον ταῖς ἰδίαις, καὶ πάσῃ τῇ παρούσῃ καθ' ἕκαστον τῶν κριτηρίων ἐναργείᾳ. Ἂν γὰρ τούτοις προσέχωμεν, τὸ ὅθεν ὁ τάραχος καὶ ὁ φόβος ἐγίνετο ἐξαιτιολογήσομεν ὀρθῶς καὶ ἀπολύσομεν, ὑπέρ τε μετεώρων αἰτιολογοῦντες καὶ τῶν λοιπῶν τῶν ἀεὶ παρεμπιπτόντων, ὅσα φοβεῖ τοὺς λοιποὺς ἐσχάτως.

Ταῦτά σοι, ὦ Ἡρόδοτε, ἔστι κεφαλαιωδέστατα ὑπὲρ τῆς τῶν ὅλων φύσεως ἐπιτετμημένα, | ὥστε ἂν γένοιτο 83
οὗτος ὁ λόγος δυνατὸς κατασχεθῆ⟨ναι⟩ μετ' ἀκριβείας.

1 αἰῶνι ὄντι **P** | ἀεὶ Usener : καὶ **BPFD** : ἢ Von der Muehll | ἢ **BP**^{1} : καὶ **FDP**^{4} in mg γρ., *Frob.* **2** καὶ αὐτὴν Casaubon : κατὰ ταύτην **BPFD** **3** τὴν : τί **B**^{2} : τῇ **P**^{1} **4** κατ' Casaubon : καὶ **BPFD** **4–5** ἀλλὰ λόγῳ **F** **6** τῶ **B D**, *Frob.* : τὸ **PF** : ὡς Bailey **6–7** εἰ καὶ ἐδόξαζον : εἰκαίως δοξάζοντι Usener **7** τὸ : τῷ Usener **10** πάθεσι Bonnet (*De Galeni subfig. empir.*, 82) : πᾶσι **BPFD** **10–11** καὶ ταῖς αἰσθήσεσι in mg **F**^{2} **12** πᾶσι τοῖς παροῦσι **F** **13** προσέχομεν **F** **14** ἐξαιτιολογήσωμεν et **15** ἀπολύσωμεν **B** **16** ὅσα **BP**^{1} : καὶ ὅσα **FDP**^{4}, *Frob.* | φοβῇ **F** **17** post λοιποὺς add. ἀνθρώπους Meibom. **18** κεφαλαιοδέστερα **FDP**^{4} in mg γρ., Eudocia, *Frob.* **19** ἐπιτετμημένα : ἐπιτεταγμένα **B** | ἂν γένοιτο : ἐὰν γένηται Usener **20** δυνατὸς ὁ λόγος οὗτος **F**, Usener | κατασχεθῆ⟨ναι⟩ F. Bockenmueller (*Fleckeisens Jahrb.* 127 [1883]) : κατεσχέθη **BPFD** : κατασχεθεὶς Gassendi

Οἶμαι, ἐὰν μὴ καὶ πρὸς ἅπαντα βαδίσῃ τις τῶν κατὰ μέρος ἀκριβωμάτων, ἀσύμβλητον αὐτὸν πρὸς τοὺς λοιποὺς ἀνθρώπους ἁδρότητα λήψεσθαι. Καὶ γὰρ καὶ καθαρὰ ἀφ' ἑαυτοῦ ποιήσει πολλὰ τῶν κατὰ μέρος ἐξακριβουμένων κατὰ τὴν ὅλην πραγματείαν ἡμῖν, καὶ αὐτὰ ταῦτα ἐν μνήμῃ τιθέμενα συνεχῶς βοηθήσει.

Τοιαῦτα γάρ ἐστιν, ὥστε καὶ τοὺς ⟨καὶ τὰ⟩ κατὰ μέρος ἤδη ἐξακριβοῦντας ἱκανῶς ἢ καὶ τελείως, εἰς τὰς τοιαύτας ἀναλύοντας ἐπιβολὰς τὰς πλείστας τῶν περιοδειῶν ὑπὲρ τῆς ὅλης φύσεως ποιεῖσθαι· ὅσοι δὲ μὴ παντελῶς αὐτῶν τῶν ἀποτελουμένων εἰσίν, ἐκ τούτων καὶ κατὰ τὸν ἄνευ φθόγγων τρόπον τὴν ἅμα νοήματι περίοδον τῶν κυριωτάτων πρὸς γαληνισμὸν ποιοῦνται."

Καὶ ἥδε μέν ἐστιν αὐτῷ ἐπιστολὴ Περὶ τῶν φυσικῶν. Περὶ δὲ τῶν μετεώρων ἥδε.

"Ἐπίκουρος Πυθοκλεῖ χαίρειν.

84 Ἤνεγκέ μοι Κλέων ἐπιστολὴν παρὰ σοῦ, ἐν ᾗ φιλοφρονούμενός τε περὶ ἡμᾶς διετέλεις ἀξίως τῆς ἡμετέρας περὶ σεαυτὸν σπουδῆς καὶ οὐκ ἀπιθάνως ἐπειρῶ μνημο-

cc. 84–116 edd. Usener (pp. 35–55), Von der Muehll (1922), C. Bailey (1926, pp. 56–81), E. Boer (1954), Arrighetti (1960, 1973^2), J. Bollack et A. Laks (1977), M. Conche (1987, pp. 190–213)

1 καὶ om. **FDP^4**, *Frob.* **2** ἀσύμβλητον **BP^{1}Q** : ἀσύγκριτον **FDP^4** in mg γρ., *Frob.* | αὐτὸ **B** **3** καθαρὰ Gassendi : καθαρὰν **BPFD** **3–4** ἀφ' ἑαυτοῦ : αὑτοῦ **F** **4** ἐξακριβουμένων Gassendi : ἐξακριβούμενος **BPF** : (τοῖς κατὰ μέρος) ἐξακριβουμένοις *Frob.* **5** ἡμῖν : ἢ μὴν **B^2** **7** καὶ^2 add. Usener et τὰ add. Meibom. **8** τελείως εἰς **B** (εἰς ss. **B^2**) **FDP^4** : τελειώσεις **P^{1}Q** **10** ὅσοι – **12** ἄν- om. **B** **10** ὅσοι Gassendi : ὅσα **BPFD** **11** ἐκ τούτων εἰσὶν **PFD**, transp. Kuehn | καὶ Brieger : ἢ **PFD** | τὸν **P** : τῶν **FD** **12** ἄνευ φθόγγων **FDP^4** : ἀνεύφθογγον **P^{1}Q** : εὔφθογγον **B** **16** χαίρειν : εὖ πράττειν Eudocia **18** τε om. **F** **19** ἀπειθάνως **F**

νεύειν τῶν εἰς μακάριον βίον συντεινόντων διαλογισμῶν,
ἐδέου τε σεαυτῷ περὶ τῶν μετεώρων σύντομον καὶ εὐπερί-
γραφον διαλογισμὸν ἀποστεῖλαι, ἵνα ῥᾳδίως μνημονεύ-
ῃς· τὰ γὰρ ἐν ἄλλοις ἡμῖν γεγραμμένα δυσμνημόνευτα
εἶναι, καίτοι, ὡς ἔφης, συνεχῶς αὐτὰ βαστάζεις. Ἡμεῖς
δὲ ἡδέως τέ σου τὴν δέησιν ἀπεδεξάμεθα καὶ ἐλπίσιν
ἡδείαις συνεσχέθημεν. Γράψαντες οὖν τὰ λοιπὰ πάντα **85**
συντελοῦμεν ἅπερ ἠξίωσας πολλοῖς καὶ ἄλλοις ἐσόμενα
χρήσιμα τὰ διαλογίσματα ταῦτα, καὶ μάλιστα τοῖς νεωστὶ
φυσιολογίας γνησίου γευομένοις καὶ τοῖς εἰς ἀσχολίας
βαθυτέρας τῶν ἐγκυκλίων τινὸς ἐμπεπλεγμένοις. Καλῶς
δὴ αὐτὰ διάλαβε, καὶ διὰ μνήμης ἔχων ὀξέως αὐτὰ
περιόδευε μετὰ τῶν λοιπῶν ὧν ἐν τῇ Μικρᾷ ἐπιτομῇ πρὸς
Ἡρόδοτον ἀπεστείλαμεν.

Πρῶτον μὲν οὖν μὴ ἄλλο τι τέλος ἐκ τῆς περὶ μετεώ-
ρων γνώσεως εἴτε κατὰ συναφὴν λεγομένων εἴτε αὐτοτε-
λῶς νομίζειν εἶναι ἤπερ ἀταραξίαν καὶ πίστιν βέβαιον,
καθάπερ καὶ ἐπὶ τῶν λοιπῶν. Μήτε τὸ ἀδύνατον [καὶ] **86**
παραβιάζεσθαι, μήτε ὁμοίαν κατὰ πάντα τὴν θεωρίαν ἔ-
χειν ἢ τοῖς περὶ βίων λόγοις ἢ τοῖς κατὰ τὴν τῶν ἄλλων
φυσικῶν προβλημάτων κάθαρσιν, οἷον ὅτι τὸ πᾶν σώμα-
⟨τα⟩ καὶ ἀναφὴς φύσις ἐστίν, ἢ ὅτι ἄτομα ⟨τὰ⟩ στοιχεῖα,

2 σεαυτῶ om. **F** 5 καίτοι : καὶ τῷ (et βαστάζοντι) coni. Von der Muehll | βαστάζεις Casaubon : βαστάζειν **BPFD** : βαστάζοντι Usener 6 ἡλέως **B**^{1} (corr. **B**^{2}) 7 ἡδείαις **PD** : ἰδίαις **BF** | λοιπὰ πάντα : λείποντα coni. Usener 10 γευομένοις **BP** : γεγευμένοις **FD**, *Frob.* 10 καὶ – 11 ἐμπεπλεγμένοις in mg infer. **F**^{2}, om. **F**^{1}**D**, *Frob.* 10 τοῖς εἰς : τῆς **F** 12 ἔχων : ἄγων **F** 13 περιώδευε **F** 15 ἐκ suspectum Usener : εἰκὸς Kochalsky 16 τὴν συναφὴν **F** 17 post νομίζειν add. δεῖ Gassendi, agn. Von der Muehll 18 καὶ^{2} **BP**^{1}**Q** : om. **FDP**^{4}, *Frob.* : del. Arrighetti : ante v. 19 μήτε transp. Kochalsky : καὶ ⟨ἄπρακτον⟩ Bignone 21 σώμα⟨τα⟩ Usener : σῶμα **BPFD** 22 τὰ add. Schneider, Usener

καὶ πάντα τὰ τοιαῦτα [ἢ] ὅσα μοναχὴν ἔχει τοῖς φαινο-
μένοις συμφωνίαν· ὅπερ ἐπὶ τῶν μετεώρων οὐχ ὑπάρχει,
ἀλλὰ ταῦτά γε πλεοναχὴν ἔχει καὶ τῆς γενέσεως αἰτίαν
καὶ τῆς οὐσίας ταῖς αἰσθήσεσι σύμφωνον κατηγορίαν.
Οὐ γὰρ κατὰ ἀξιώματα κενὰ καὶ νομοθεσίας φυσιο-
87 λογητέον, ἀλλ' ὡς τὰ φαινόμενα ἐκκαλεῖται· οὐ γὰρ ἤδη
ἀλογίας καὶ κενῆς δόξης ὁ βίος ἡμῶν ἔχει χρείαν, ἀλλὰ
τοῦ ἀθορύβως ἡμᾶς ζῆν. Πάντα μὲν οὖν γίνεται ἀσείστως
[κατὰ] πάντων κατὰ πλεοναχὸν τρόπον ἐκκαθαιρομένων
συμφώνως τοῖς φαινομένοις, ὅταν τις τὸ πιθανολογού-
μενον ὑπὲρ αὐτῶν δεόντως καταλίπῃ· ὅταν δέ τις τὸ μὲν
ἀπολίπῃ, τὸ δὲ ἐκβάλῃ ὁμοίως σύμφωνον ὂν τῷ φαινο-
μένῳ, δῆλον ὅτι καὶ ἐκ παντὸς ἐκπίπτει φυσιολογήματος,
ἐπὶ δὲ τὸν μῦθον καταρρεῖ.
Σημεῖα δ' ἐπὶ τῶν ἐν τοῖς μετεώροις συντελουμένων
φέρει τῶν παρ' ἡμῖν τινα φαινομένων, ἃ θεωρεῖται ᾗ ὑπ-
άρχει, καὶ οὐ τὰ ἐν τοῖς μετεώροις φαινόμενα· ταῦτα γὰρ
88 ἐνδέχεται πλεοναχῶς γίνεσθαι. Τὸ μέντοι φάντασμα
ἑκάστου τηρητέον καὶ ἐπὶ τὰ συναπτόμενα τούτῳ διαιρε-
τέον, ἃ οὐκ ἀντιμαρτυρεῖται τοῖς παρ' ἡμῖν γινομένοις
πλεοναχῶς συντελεῖσθαι.

1 ἢ del. Schneider : δὴ Bignone **2** ὑπάρχει Gassendi : ὑπάρχειν **BPFD** **5** φυσιολογιτέον **BF** **6–7** ἤδη ἀλογίας **F DP^4**, *Frob.* : ἰδιαλογίας **BP^{1}Q** : ἰδιολογίας Stephanus, Von der Muehll **8** οὖν **P** : οὐ **BFD**, *Frob.* | ἀσίστως **B** **9** κατὰ^1 del. Croenert : καὶ Usener | πάντων : πᾶν τῶν **P^{1}Q** : πάντων ⟨τῶν⟩ Bignone, Bailey | πλεοναχῶν **F** **10** συμφώνων **F** **11** δεόντος **F** | καταλίπει **B** **15** δ' ἐπὶ Usener : δέ τι **BP^{1}Q** : δέ τινα **FDP^4**, *Frob.* : δὲ πι⟨θανὰ⟩ Bignone **16** φέρει Kuehn : φέρειν **BPFD** | ᾗ Woltjer : ἢ **BPFD** **17** οὐ τὰ **BPF^{1}D** : οὕτως **F^2** : οὐ⟨χ ὡς⟩ τὰ Croenert | post ταῦτα γὰρ repetit **F^2** ἃ θεωρεῖται ἢ ὑπάρχει· καὶ οὕτως – ταῦτα γὰρ **18** γίνεσθαι Leopold : γενέσθαι **BPFD** **19** ἕκαστον coni. Usener | ἐπὶ : ἔτι Usener

Κόσμος ἐστὶ περιοχή τις οὐρανοῦ, ἄστρα τε καὶ γῆν καὶ πάντα τὰ φαινόμενα περιέχουσα, ἀποτομὴν ἔχουσα ἀπὸ τοῦ ἀπείρου καὶ καταλήγουσα ἐν πέρατι ἢ ἀραιῷ ἢ πυκνῷ [καὶ οὗ λυομένου πάντα τὰ ἐν αὐτῷ σύγχυσιν λήψεται] [καὶ λήγουσαν] ἢ [ἐν] περιαγομένῳ ἢ [ἐν] στάσιν ἔχοντι, καὶ στρογγύλην ἢ τρίγωνον ἢ οἵαν δήποτε περιγραφὴν ⟨ἔχουσα⟩· πανταχῶς γὰρ ἐνδέχεται· τῶν γὰρ φαινομένων οὐδὲν ἀντιμαρτυρεῖ ⟨ἐν⟩ τῷδε τῷ κόσμῳ, ἐν ᾧ λῆγον οὐκ ἔστι καταλαβεῖν.

Ὅτι δὲ καὶ τοιοῦτοι κόσμοι εἰσὶν ἄπειροι τὸ πλῆθος **89** ἔστι καταλαβεῖν, καὶ ὅτι καὶ ὁ τοιοῦτος δύναται κόσμος γίνεσθαι καὶ ἐν κόσμῳ καὶ ⟨ἐν⟩ μετακοσμίῳ, ὃ λέγομεν μεταξὺ κόσμων διάστημα, ἐν πολυκένῳ τόπῳ καὶ οὐκ ἐν μεγάλῳ εἰλικρινεῖ καὶ κενῷ, καθάπερ τινές φασιν, ἐπιτηδείων τινῶν σπερμάτων ῥυέντων ἀφ' ἑνὸς κόσμου ἢ μετακοσμίου ἢ καὶ ἀπὸ πλειόνων κατὰ μικρὸν προσθέσεις τε καὶ διαρθρώσεις καὶ μεταστάσεις ποιούντων ἐπ' ἄλλον τόπον, ἐὰν οὕτω τύχῃ, καὶ ἐπαρδεύσεις ἐκ τῶν ἐχόντων

3 καὶ καταλήγουσα – πυκνῷ ut additamentum secl. Usener | καὶ λήγουσα Von der Muehll | ἀρεῷ **B** **4** καὶ οὗ λυομένου πάντα τὰ ἐν αὐτῷ σύγχυσιν λήψεται ut additamentum secl. Usener, post v. 2 περιέχουσα (sine καὶ) transposuit Bailey, agn. Long **5** καὶ λήγουσαν secl. Von der Muehll : καὶ λήγουσα Gassendi : post v. 3 ἀπείρου tansposuit Usener | ἐν bis del. Diano | περιαγομένων **B** | ἐν στάσιν **P**^{1}, Gassendi : ἔνστασιν **BP**^{2}**FD** **7** ἔχουσα add. Bailey **8** ἐν^1 add.Usener | τόδε **F** **12** καὶ ἐν κόσμῳ – μετακοσμίῳ secl. ut interpetamentum ad v. 13 ἐν πολυκένῳ τόπῳ Von der Muehll | κόσμῳ καὶ del. Gassendi | καὶ^2 : κἂν coni. Usener | ἐν^2 add. Bailey **13** κόσμων **FD** : κόσμον **BP** | ἐν^1 : ἢ **F** **14** καὶ εἰλικρινεῖ Zeller, Brieger, Diels | τινές Casaubon : τινὰ **BPFD** | φασιν : φύσιν **B** | ἐπιτηδειότητα **F** **15** τινῶν om. **FD**, *Frob.* | ἢ **BP**^{1} : καὶ **FDP**^{4} in mg γρ., *Frob.* **16** ἢ καὶ **FDP**^{4} ss., *Frob.* : ἢ **BP**^{1} | κατὰ μικρὸν om. **F** **18** ἐὰν **BP** : ἂν **FDP**^{4} in mg γρ., *Frob.* | τύχῃ ss. **P**^{2}

ἐπιτηδείως ἕως τελειώσεως καὶ διαμονῆς ἐφ' ὅσον τὰ ὑπο-
90 βληθέντα θεμέλια τὴν προσδοχὴν δύναται ποιεῖσθαι. Οὐ
γὰρ ἀθροισμὸν δεῖ μόνον γενέσθαι οὐδὲ δῖνον ἐν ᾧ
ἐνδέχεται κόσμον γίνεσθαι κενῷ κατὰ τὸ δοξαζόμενον ἐξ
ἀνάγκης, αὔξεσθαί τε, ἕως ἂν ἑτέρῳ προσκρούσῃ, καθά-
περ τῶν φυσικῶν καλουμένων φησί τις· τοῦτο γὰρ μαχό-
μενόν ἐστι τοῖς φαινομένοις.

Ἥλιός τε καὶ σελήνη καὶ τὰ λοιπὰ ἄστρα ⟨οὐ⟩ καθ'
ἑαυτὰ γενόμενα ὕστερον ἐμπεριελαμβάνετο ὑπὸ τοῦ
κόσμου [καὶ ὅσα γε δὴ σῴζει], ἀλλ' εὐθὺς διεπλάττετο καὶ
αὔξησιν ἐλάμβανεν [ὁμοίως δὲ καὶ γῆ καὶ θάλαττα] κατὰ
προσκρίσεις καὶ δινήσεις λεπτομερῶν τινων φύσεων, ἤτοι
πνευματικῶν ἢ πυροειδῶν ἢ τὸ συναμφότερον· καὶ γὰρ
ταῦτα οὕτως ἡ αἴσθησις ὑποβάλλει.

91 Τὸ δὲ μέγεθος ἡλίου τε ⟨καὶ σελήνης⟩ καὶ τῶν λοιπῶν
ἄστρων κατὰ μὲν τὸ πρὸς ἡμᾶς τηλικοῦτόν ἐστιν ἡλίκον
φαίνεται· [Τοῦτο καὶ ἐν τῇ ια' Περὶ φύσεως· 'εἰ γάρ,' φησί, 'τὸ
μέγεθος διὰ τὸ διάστημα ἀπεβεβλήκει, πολλῷ μᾶλλον ἂν τὴν
χρόαν· ἄλλο γὰρ τούτῳ συμμετρότερον διάστημα οὐθέν ἐστι'.]

17 Τοῦτο – **19** ἐστι : Usener, Fr. 81

1 διαμονὴν Usener **2** προσδοχὴν $\mathbf{BP}^1$: προσοχὴν **FD** $\mathbf{P}^4$ in mg γρ., *Frob.* **3** δῖνον $\mathbf{P}^2\mathbf{Q}$: δεινὸν $\mathbf{BP}^1\mathbf{FD}$, *Frob.* **8** οὐ add. *Aldobr.* **9** ἑαυτὰ **BP** : αὐτὰ **FD**, *Frob.* | γινόμενα **P** **10** καὶ ὅσα γε δὴ σῴζει ut glossema eiecit Usener **10** δὴ σώζει – **11** καὶ γῆ in mg infer. $\mathbf{F}^2$ **11** ὁμοίως – θάλαττα ut glossema eiecit Usener **13** ἤτοι συναμφοτέρων Gassendi **15** ἡλίου τε : καὶ ἡλίου **F** | καὶ σελήνης add. Usener | λοιπῶν om. **F** **16** μὲν τὸ Schneider : μέντοι **BPFD** | τηλικοῦτον $\mathbf{BPF}^2$ in mg, **D** : τοιοῦτον $\mathbf{F}^1$ | ἡλίκον : οἷον **F** **17** φαίνονται **F** **17** Τοῦτο – **19** ἐστι ut scholion eiecit Usener, 17 Τοῦτο – 19 τὴν χρόαν secl. iam Schneider **18** ἀπεβεβλήκει Usener : ἀποβεβλήκει **BPFD** | μᾶλλον ἂν **BP** : ἂν μᾶλλον **D**, *Frob.* : μᾶλλον **F** **19** ἄλλο **PFD** : ἄλλῳ **B** : ἀλλ' οὐ Usener | τοῦτο **F** | συμμετρώτερον **B** : συμμετρούμενον Lachmann

κατὰ δὲ τὸ καθ' αὑτὸ ἤτοι μεῖζον τοῦ ὁρωμένου ἢ μικρῷ ἔλαττον ἢ τηλικοῦτον [οὐχ ἅμα]. Οὕτω γὰρ καὶ τὰ παρ' ἡμῖν πυρὰ ἐξ ἀποστήματος θεωρούμενα κατὰ τὴν αἴσθησιν θεωρεῖται. Καὶ πᾶν δὲ τὸ εἰς τοῦτο τὸ μέρος ἔνστημα ῥᾳδίως διαλυθήσεται, ἐάν τις τοῖς ἐναργήμασι προσέχῃ, ὅπερ ἐν τοῖς Περὶ φύσεως βιβλίοις δείκνυμεν.

92 Ἀνατολὰς καὶ δύσεις ἡλίου καὶ σελήνης καὶ τῶν λοιπῶν ἄστρων καὶ κατὰ ἄναψιν γίνεσθαι δύνασθαι καὶ κατὰ σβέσιν, τοιαύτης οὔσης περιστάσεως καὶ καθ' ἑκατέρους τοὺς τόπους, ὥστε τὰ προειρημένα ἀποτελεῖσθαι· οὐδὲν γὰρ τῶν φαινομένων ἀντιμαρτυρεῖ. ⟨Καὶ⟩ κατ' ἐκφάνειάν τε ὑπὲρ γῆς καὶ πάλιν ἐπιπροσθέτησιν τὸ προειρημένον δύναιτ' ἂν συντελεῖσθαι· οὐδὲ γάρ τι τῶν φαινομένων ἀντιμαρτυρεῖ.

Τάς τε κινήσεις αὐτῶν οὐκ ἀδύνατον μὲν γίνεσθαι κατὰ τὴν τοῦ ὅλου οὐρανοῦ δίνην, ἢ τούτου μὲν στάσιν, αὐτῶν δὲ δίνην κατὰ τὴν ἐξ ἀρχῆς ἐν τῇ γενέσει τοῦ κόσ-

1 καθ' αὑτὸ Usener : καθ' αὑτὸν **P**[1] : κατ' αὐτὸν **B** : κατ' αὐτὸ **FDP**[4], *Frob.* **1–2** ἔλαττον μικρῶ **FD**, *Frob.* **2** οὐχ ἅμα ut glossema secl. Kochalsky, Bailey : τυχόν Lachmann : τυγχάνει Usener **5** τις ss. **B**[2] **6** προσέχει **B** | περὶ om. **B** **7** καὶ δύσεις om. **F** **8** post ἄναψιν addit τε Usener | γίνεσθαι Schneider : γενέσθαι **BPFD** | δύνασθαι : δυνατὸν Usener, Von der Muehll **9** κατὰ[1] del. Usener **9–10** καὶ καθ' ἑκατέρους τοὺς τόπους ut additamentum eiecit Usener, agn. Von der Muehll **9** ἑκατέρους **BP**[1] : ἑτέρους **FDP**[4] in mg γρ., *Frob.* **10** τόπους : τρόπους Meibom., agn. Usener, Von der Muehll **11** οὐδὲ **B** | ἀντιμαρτυρῆ **F** | καὶ add. Usener **11** κατ' ἐκφάνειαν – **14** ἀντιμαρυρεῖ om. **F** **11** ἐκφάνειαν **BP**[1]**Q** : ἐμφάνειαν **DP**[4]**H**, *Frob.* **12** ἐπιπροσθέτησιν **BPFD** : ἐπιπρόσθησιν Cobet **15** τε om. **F** **16** ἢ τούτου – **17** δίνην om. **FD**, *Frob.* **16–17** στάσιν αὐτῶν **B**[2] **P**[2]**Q** : transp. **B**[1]**P**[1] **17** ἐξ ἀρχῆς **BPD** : ἀρχῆθεν **F**

93 μου ἀνάγκην ἀπογεννηθεῖσαν ἐπ' ἀνατολῇ· ⟨*⟩ ⟨σφοδρο⟩τάτῃ θερμασίᾳ, ⟨ἢ καὶ⟩ κατά τινα ἐπινέμησιν τοῦ πυρὸς ἀεὶ ἐπὶ τοὺς ἑξῆς τόπους ἰόντος.

Τροπὰς ἡλίου καὶ σελήνης ἐνδέχεται μὲν γίνεσθαι κατὰ λόξωσιν οὐρανοῦ οὕτω τοῖς χρόνοις κατηναγκασμένου· ὁμοίως δὲ καὶ κατὰ ἀέρος ἀντέξωσιν, ἢ καὶ ὕλης ἀεὶ ἐπιτηδείας ἐχομένως ἐμπιπραμένης, τῆς δὲ ἐκλειπούσης· ἢ καὶ ἐξ ἀρχῆς τοιαύτην δίνην κατειληθῆναι τοῖς ἄστροις τούτοις, ὥσθ' οἷόν τιν' ἕλικα κινεῖσθαι. Πάντα γὰρ τὰ τοιαῦτα καὶ τὰ τούτοις συγγενῆ οὐθενὶ τῶν εναργημάτων διαφωνεῖ, ἐάν τις ἀεὶ ἐπὶ τῶν τοιούτων μερῶν ἐχόμενος τοῦ δυνατοῦ εἰς τὸ σύμφωνον τοῖς φαινομένοις ἕκαστον τούτων δύνηται ἐπ⟨αν⟩άγειν, μὴ φοβούμενος τὰς ἀνδραποδώδεις ἀστρολόγων τεχνιτείας.

94 Κενώσεις τε σελήνης καὶ πάλιν πληρώσεις καὶ κατὰ στροφὴν τοῦ σώματος τούτου δύναιντ' ἂν γίνεσθαι καὶ

1–2 ἐπ' ἀνατολῇ τὰ τῇ θερμασίᾳ secl. Von der Muehll, invito A. Barigazzi (*SIFC* 23 [1949] 189) **1** post ἀνατολῇ lac. indic. Usener conl. Lucret. 5.519–525 | ⟨σφοδρο⟩τάτῃ e.g. Usener : τὰ τῇ **B**, τατη **P**^{1} : εἰ τατῇ **P**^{2}**Q** : εἶτα τῇ(ι) **FDP**^{4}, *Frob.* **2** ἢ καὶ add. Von der Muehll | κατά τινα ἐπινέμησιν om. **FD**, *Frob.* **4** μὲν om. **F** **7** ἐχομένως Usener : ἐχομένοις **BP**^{1}, def. Barigazzi : ἐχομένης **FDP**^{4}, *Frob.*, Von der Muehll | ἐμπιπραμένης **D**^{1}, *Frob.* : ἐμπιπραμένοις **PF** : om. **B** | ἐκλειπούσης Usener : καταλιπούσης **BPFD** : καταλειπομένης Von der Muehll **8** κατειληθῆναι om. **FD**, *Frob.* **9** τιν' Usener : τε **BPFD** **10** οὐθενὶ Usener : οὐθὲν **BPD** : οὐδὲν **F** **11** αἰεὶ **FD**, *Frob.* **13** ἐπ⟨αν⟩άγειν Von der Muehll : ἐπάγειν **B** : ἀπάγειν **PFD**, *Frob.* : ἀνάγειν Schneider **14** ἀνδραπόδεις **B** | τῶν ἀστρολόγων **FD**, *Frob.* | τεχνιτείας **FD** : τεχνιτίας **B**, τεχνητείας **P** **15** κένωσις et πλήρωσις Usener | ἐμπληρώσεις **F** | καταστροφὴν **BPFD**, corr. Gassendi **16** δύναιντ' Meibom. : δύναιτ' **BP** **FD**

κατὰ σχηματισμοὺς ἀέρος ὁμοίως, ἔτι τε καὶ κατὰ προσθετήσεις καὶ κατὰ πάντας τρόπους, καθ' οὓς καὶ τὰ παρ' ἡμῖν φαινόμενα ἐκκαλεῖται εἰς τὰς τούτου τοῦ εἴδους ἀποδόσεις, ἐὰν μή τις τὸν μοναχῇ τρόπον κατηγαπηκὼς τοὺς ἄλλους κενῶς ἀποδοκιμάζῃ, οὐ τεθεωρηκὼς τί δυνατὸν ἀνθρώπῳ θεωρῆσαι καὶ τί ἀδύνατον, καὶ διὰ τοῦτο ἀδύνατα θεωρεῖν ἐπιθυμῶν.

Ἔτι τε ἐνδέχεται τὴν σελήνην ἐξ ἑαυτῆς ἔχειν τὸ φῶς, ἐνδέχεται δὲ ἀπὸ τοῦ ἡλίου. Καὶ γὰρ παρ' ἡμῖν θεωρεῖται 95
πολλὰ μὲν ἐξ ἑαυτῶν ἔχοντα, πολλὰ δὲ ἀφ' ἑτέρων. Καὶ οὐθὲν ἐμποδοστατεῖ τῶν ἐν τοῖς μετεώροις φαινομένων, ἐάν τις τοῦ πλεοναχοῦ τρόπου ἀεὶ μνήμην ἔχῃ καὶ τὰς ἀκολούθους αὐτοῖς ὑποθέσεις ἅμα καὶ αἰτίας συνθεωρῇ καὶ μὴ ἀναβλέπων εἰς τὰ ἀνακόλουθα ταῦτ' ὀγκοῖ ματαίως καὶ καταρρέπῃ ἄλλοτε ἄλλως ἐπὶ τὸν μοναχὸν τρόπον.

Ἡ δὲ ἔμφασις τοῦ προσώπου ἐν αὐτῇ δύναται μὲν γίνεσθαι καὶ κατὰ παραλλαγὴν μερῶν καὶ κατ' ἐπιπροσθέτησιν, καὶ ὅσοι ποτ' ἂν τρόποι θεωροῖντο τὸ σύμφωνον τοῖς φαινομένοις κεκτημένοι. Ἐπὶ πάντων γὰρ τῶν μετε- 96

1 προσθετήσεις : ⟨ἐπι⟩προσθετήσεις Schneider, Usener : ⟨ἐπι⟩προσθήσεις Cobet, Von der Muehll 3 τούτου om. **F** 4 ἀποδώσεις **F** | κατηγαπηκὼς **FDP**^{4} : καταγαπητῶς **BP**^{1}**Q** 5 κενῶς **BPD** : κενοὺς **F** : ⟨ὡς⟩ κενοὺς Cobet | ἀποδοκιμάζει **F** | οὐ τεθεωρηκὼς Cobet : οὔτε θεωρητικῶς **B**^{2} (-ὼς **B**^{1}) **PFD** 7 ἀδύνατα **BP**^{1}**FD** : ἃ δυνατὰ **P**^{2}**Q** 8 τὴν ⟨μὲν⟩ Usener 10 ἑαυτὸν **B** 11 τῶν **FD** ss. **P**^{4} : om. **BP**^{1}**Q** 12 τρόπου om. **F** 13 αὐτοῖς : αὐτῷ Gassendi | συνθεωρῇ **P**^{2}**Q** : συνθεωρεῖ **BP**^{1}**FD** 14 ἀνακόλουθα : ἀν- ss. **F**^{2} | ταῦτ' ὀγκοῖ ματαίως **B**^{2} : ταυτὸν κυματαίως **P**^{1}**Q** : ταυτὸν **F**^{1} et κυματαίως ss. **F**^{2} : ταυτὸν **D** 16 δύνατε **B**^{1} (corr. **B**^{2}) | μὲν om. **F** | γενέσθαι **B** 17 μερῶν : ἡμερῶν **F** | ἐπιπρόσθησιν Cobet 18 ποτ' Usener : πάντα **BPFD** | τρόπον **FD**, *Frob.*

ὥρων τὴν τοιαύτην ἴχνευσιν οὐ προετέον. Ἢν γάρ τις ᾗ μαχόμενος τοῖς ἐναργήμασιν, οὐδέποτε μὴ δυνήσεται ἀταραξίας γνησίου μεταλαβεῖν.

Ἔκλειψις ἡλίου καὶ σελήνης δύναται μὲν γίνεσθαι καὶ κατὰ σβέσιν, καθάπερ καὶ παρ' ἡμῖν τοῦτο θεωρεῖται γινόμενον· καὶ ἤδη κατ' ἐπιπροσθέτησιν ἄλλων τινῶν, ἢ γῆς ἢ ⟨σελήνης ἢ⟩ οὐραν⟨ί⟩ου [ἢ] τινὸς ἑτέρου τοιούτου. Καὶ ὧδε τοὺς οἰκείους ἀλλήλοις τρόπους συνθεωρητέον, καὶ τὰς ἅμα συγκυρήσεις τινῶν ὅτι οὐκ ἀδύνατον γίνεσθαι. [Ἐν δὲ τῇ ιβ' Περὶ φύσεως ταὐτὰ λέγει καὶ πρός, ἥλιον ἐκλείπειν σελήνης ἐπισκοτούσης, σελήνην δὲ τοῦ τῆς γῆς σκι-
97 άσματος, ἀλλὰ καὶ κατ' ἀναχώρησιν. Τοῦτο δὲ καὶ Διογένης ὁ Ἐπικούρειος ἐν τῇ α' τῶν Ἐπιλέκτων.]

Ἔτι τε τάξις περιόδου, καθάπερ ἔνια καὶ παρ' ἡμῖν τῶν τυχόντων γίνεται, λαμβανέσθω· καὶ ἡ θεία φύσις

10 Ἐν δὲ – **12** ἀναχώρησιν : Usener, Fr. 83

1 ἴχνευσιν Usener : ἰχνεύειν **BPFD** : ⟨αἰτίαν⟩ ἰχνεύειν Cobet | προετέον **BP^1** : προσθετέον **FDP^4** ss. γρ., *Frob.* | τις ᾗ Usener : τισὶ **B**, τίσιν **P^1**, τισι **FD**, *Frob.* **2** μαχόμενος Gassendi : μαχομένοις **BP^{1}Q** : βαλλομένοις **FDP^4** ss. γρ., *Frob.* | μὴ om. **FD**, *Frob.* **3** γνησίως coni. Von der Muehll **5** καθάπερ **FDP^4** : καὶ καθάπερ **BP^1** **6** ἤδη : ἔτι Meibom. : δὴ ⟨καὶ⟩ Cobet | ἐπιπροσθέτησιν **FD** ss. **P^4**, *Frob.* : ἐπιπρόσθεσιν **BP^1** : ἐπιπρόσθησιν Cobet **7** σελήνης ἢ addidi post C. Bailey | οὐρανίου Barigazzi : οὐρανοῦ **BPFD** : ἀοράτου Usener (p. XVIII s.), coni. Aet. 2.13.10 : σελήνης Woltjer | ἢ^3 del. Usener, Barigazzi, Arrighetti | τινὸς ἢ Bailey **8** θεωρητέον **FD**, *Frob.* **9** συγκυρίσεις **BP^2** (συγκυρήσεις **Q**) : συγκρίσεις **P^{1}FD**, *Frob.* **10** Ἐν δὲ – **13** τῶν Ἐπιλέκτων om. Eudocia (p. 176), ut scholion secl. Schneider, Huebner, Cobet, Usener **10** ἐν – λέγει in mg **F^2** | δὲ om. **F^2** | ταὐτὰ Usener : ταῦτα **BPFD** | καὶ τὸν πρὸς **FDZ^1** **12** καὶ^1 om. **DP^4**, *Frob.* **13** ἐπικούριος **BF** **14** ἔνοια **F^1**

πρὸς ταῦτα μηδαμῇ προσαγέσθω, ἀλλ' ἀλειτούργητος διατηρείσθω καὶ ἐν τῇ πάσῃ μακαριότητι. Ὡς εἰ τοῦτο μὴ πραχθήσεται, ἅπασα ἡ τῶν μετεώρων αἰτιολογία ματαία ἔσται, καθάπερ τισὶν ἤδη ἐγένετο οὐ δυνατοῦ τρόπου ἐφαψαμένοις, εἰς δὲ τὸ μάταιον ἐκπεσοῦσι τῷ καθ' ἕνα τρόπον μόνον ⟨πάντα⟩ οἴεσθαι γίνεσθαι, τοὺς δ' ἄλλους πάντας τοὺς κατὰ τὸ ἐνδεχόμενον ἐκβάλλειν εἴς τε τὸ ἀδιανόητον φερομένοις καὶ τὰ φαινόμενα, ἃ δεῖ σημεῖα ἀποδέχεσθαι, μὴ δυναμένοις συνθεωρεῖν.

Μήκη νυκτῶν καὶ ἡμερῶν παραλλάττοντα καὶ παρὰ τὸ **98**
ταχείας ἡλίου κινήσεις γίνεσθαι καὶ πάλιν βραδείας ὑπὲρ γῆς, ⟨καὶ⟩ παρὰ τὸ μήκη τόπων παραλλάττειν ἢ τόπους τινὰς περαιοῦν τάχιον ἢ βραδύτερον, ὡς καὶ παρ' ἡμῖν τινα θεωρεῖται, οἷς συμφώνως δεῖ λέγειν ἐπὶ τῶν μετεώρων. Οἱ δὲ τὸ ἓν λαμβάνοντες τοῖς τε φαινομένοις

10–13 cf. Lucret. 5.682–700

1 ἀλλὰ καὶ **F** **2** εἰ : ἡ **F** **3** ἡ om. **D**, *Frob.* | τῶν **BF** : περὶ τῶν **PD**, *Frob.* | αἰτιολογία **F**[1], Gassendi : ἀντιλογία **BPF**[2]**D** **4** ἐγίνετο **DP**[4], *Frob.* **5** ἐμπεσούσῃ **F** | τῷ **D**, *Frob.* : τὸ **BPF** **6** μόνον post γίνεσθαι transp. **FD**, *Frob.* | πάντα addidi **7** πάντας om. **F** : ἅπαντας **D**, *Frob.* | τὸ[1] : τὸν **P**[1] (corr. **P**[2]) **8** φερομένοις Gassendi : φερομένους **BPFD** | ἃ δεῖ **BP**[1] : δὴ **FD**, *Frob.* : δεῖ in mg γρ. **P**[4] **9** δυναμένοις Gassendi : δυναμένους **BPFD** | συνθεωρεῖν Meibom. : σὺν θεῷ χαίρειν **BPFD** **10** παραλλάττοντα : παραλλάττει Schneider | ante καί[2] add. ἐνδέχεται γίνεσθαι Meibom., agn. Boer **12** ὑπὲρ γῆς del. Von der Muehll | καὶ add. Kuehn : ἢ add. Meibom. **12** παρὰ τὸ μήκη – **13** ἢ βραδύτερον secl. ut lectionem interpolatam Usener **12** τὸ : τῷ **B** | παραλλάττειν Gassendi : παραλλάττοντα **BPFD** | post παραλλάττοντα lac. indic. Bignone, Von der Muehll, Bailey (qui διιέναι e.g. suppl.) | ἢ scripsi : καὶ **BPFD** **13** περαιοῦν Usener : περαιοῦντα **BPFD** : περαιοῦσθαι Gassendi | ἢ βραδύτερον post v. 14 ἡμῖν in **BPFD**, transp. Gassendi | ἢ καὶ βραδύτερον **FD**, *Frob.*

μάχονται καὶ τοῦ ᾗ δυνατὸν ἀνθρώπῳ θεωρῆσαι δια-
πεπτώκασιν.
Ἐπισημασίαι δύνανται γίνεσθαι καὶ κατὰ συγκυρή-
σεις καιρῶν, καθάπερ ἐν τοῖς ἐμφανέσι παρ' ἡμῖν ζῴοις,
καὶ παρ' ἑτεροιώσεις ἀέρος καὶ μεταβολάς· ἀμφότερα γὰρ
99 ταῦτα οὐ μάχεται τοῖς φαινομένοις. Ἐπὶ δὲ ποίοις παρὰ
τοῦτο ἢ τοῦτο τὸ αἴτιον γίνεται, οὐκ ἔστι συνιδεῖν.
Νέφη δύναται γίνεσθαι καὶ συνίστασθαι καὶ παρὰ
πιλήσεις ἀέρος ⟨ὑπὸ⟩ πνευμάτων συνώσεως, καὶ παρὰ
περιπλοκὰς ἀλληλούχων ἀτόμων καὶ ἐπιτηδείων εἰς τὸ
τοῦτο τελέσαι, καὶ κατὰ ῥευμάτων συλλογὴν ἀπό τε γῆς
καὶ ὑδάτων· καὶ κατ' ἄλλους δὲ τρόπους πλείους αἱ τῶν
τοιούτων συστάσεις οὐκ ἀδυνατοῦσι συντελεῖσθαι. Ἤδη
δ' ἀπ' αὐτῶν ᾗ μὲν θλιβομένων, ᾗ δὲ μεταβαλλόντων
100 ὕδατα δύναται συντελεῖσθαι, | ἔτι τε πνευμάτων κατα-

1 τοῦ : τὸ **F** | ᾗ Usener : εἰ **BPFD** : τί Meibom. **3** ἐπισημασίαι **BP**^{1}**QF** : ἐπεὶ σημασίαι **DP**^{4}, *Frob.* | γίνεσθαι **BP**^{1}**Q** : γενέσθαι **FDP**^{4}, *Frob.* | καὶ om. **B** **5** ἑτεροιώσεις Usener : ἑτέροις ὡσεὶ **BPFD** | μεταβολῆς **BPFD**, corr. Kuehn **6** οὐ om. **F**^{1} (add. **F**^{2}) | ἐπὶ Usener : ἔτι **FDP**^{4}, *Frob.* : ἤδη **BP**^{1}**Q** **7** τὸ om. **FD** **8** νέφη **B**^{2} : ἔφη **P**^{1}**Q** : ἐφ' ᾗ **FD** **P**^{4}, *Frob.* | δύναται post συνίστασθαι transp. **FD**, *Frob.* **9** ποιλήσεις **P**^{4} | ὑπὸ add. Barigazzi, διὰ add. Bignone | πνευμάτων συνώσεως ut glossema secl. Usener | συνώσεως **BPF** **D** : συνώσει Gassendi : συνώσεις Usener : ⟨ἢ⟩ πνευμάτων συνώσεις Meibom., ⟨κατὰ⟩ πνευμάτων συνώσεις Bailey **10** τὸ om. **FD**, *Frob.* **12–13** πλείους αἱ τῶν τοιούτων συστάσεις **BP** **D** : τοιούτους αὐτῶν πραγμάτων φαντασίαι **F** **13–14** ἤδη δ' : ἡδ' **F** **14** ἀπ' Kuehn : ἐπ' **BPFD** | ᾗ ... ᾗ **FP**^{4} : ἡ ... ἡ **BP**^{1}**D** | μεταλαβόντων **F** **15** δύναται om. **F** : δύνανται **DP**^{4}, *Frob.* | πνευμάτων καταφορᾷ Usener : πνεύματα κατὰ ἀποφορὰν **BPFD** : ῥευμάτων κατὰ ἀποφορὰν Bignone (ῥεύματα iam Meibom.) **15** πνεύματα – **p. 775.1** τόπων ut scholion secl. Von der Muehll

φορᾷ ἀπὸ ἐπιτηδείων τόπων καὶ δι' ἀέρος κινουμένων, βιαιοτέρας ἐπαρδεύσεως γινομένης ἀπό τινων ἀθροισμάτων ἐπιτηδείων εἰς τὰς τοιαύτας ἐπιπέμψεις.

Βροντὰς ἐνδέχεται γίνεσθαι καὶ κατὰ πνεύματος ἐν τοῖς κοιλώμασι τῶν νεφῶν ἀνείλησιν, καθάπερ ἐν τοῖς ἡμετέροις ἀγγείοις, καὶ παρὰ πυρὸς πεπνευματωμένου βόμβον ἐν αὐτοῖς, καὶ κατὰ ῥήξεις δὲ νεφῶν καὶ διαστάσεις, καὶ κατὰ παρατρίψεις νεφῶν καὶ κατάξεις πῆξιν εἰληφότων κρυσταλλοειδῆ· καὶ τὸ ὅλον καὶ τοῦτο τὸ μέρος πλεοναχῶς γίνεσθαι λέγειν ἐκκαλεῖται τὰ φαινόμενα.

101 Καὶ ἀστραπαὶ δ' ὡσαύτως γίνονται κατὰ πλείους τρόπους· καὶ γὰρ κατὰ παράτριψιν καὶ σύγκρουσιν νεφῶν ὁ πυρὸς ἀποτελεστικὸς σχηματισμὸς ἐξολισθαίνων ἀστραπὴν γεννᾷ· καὶ κατ' ἐκριπισμὸν ἐκ τῶν νεφῶν ὑπὸ πνευμάτων τῶν τοιούτων σωμάτων ἃ τὴν λαμπηδόνα ταύτην παρασκευάζει· καὶ κατ' ἐκπιασμόν, θλίψεως τῶν νεφῶν γινομένης εἴθ' ὑπ' ἀλλήλων εἴθ' ὑπὸ πνευμάτων· καὶ κατ' ἐμπερίληψιν δὲ τοῦ ἀπὸ τῶν ἄστρων κατεσπαρμένου φωτός, εἶτα συνελαυνομένου ὑπὸ τῆς κινήσεως νεφῶν τε καὶ πνευμάτων καὶ διεκπίπτοντος διὰ τῶν νεφῶν· καὶ κατὰ διήθησιν ⟨διὰ⟩ τῶν νεφῶν τοῦ λεπτομερεστάτου φω-

1 καὶ δι' ἀέρος **BP^1** : ἀεὶ δι' ἀέρος Barigazzi : δι' ἀέρος **DP^4**, *Frob.* : διαφόρων **F** **6** πνευματωμένου **B** **7** καταρρήξεις **F** | δὲ om. **F** | διασπάσεις Usener **8** νεφῶν **BP^{1}Q** : δὲ νεφῶν **FDP^4** ss., *Frob.* | κατάξεις **DZ**, *Frob.* : τάξεις **BP** : διατάσεις **F** : πατάξεις Gassendi : τάσεις Usener **9** κρυσταλοειδῆ **FD**, *Frob.* **10** πλεοναχῶς om. **FD**, *Frob.* **12** καί^2 : ἢ coni. Usener **13** ἐξολισθαίνων **B** (-σθένων) **PD** : ἀπολισθαίνων **F** **15** τῶν τοιούτων σωμάτων om. **FD**, *Frob.* **16** ἐκπιεσμὸν Gassendi **18** ἀπὸ : ὑπὸ **F** | κατεσπαρμένου **F**, Schneider : κατεσπειραμένου **BPD** **20** post νεφῶν locum ca. 17 litterarum erasum habet **F** | καὶ Von der Muehll : ἢ **BPFD** **21** διὰ add. Schneider

τός, ᾗ ἀπὸ τοῦ πυρὸς νέφη συνεφλέχθαι καὶ τὰς βροντὰς
ἀποτελεῖσθαι [καὶ] κατὰ τὴν τούτου κίνησιν· καὶ κατὰ
τὴν τοῦ πνεύματος ἐκπύρωσιν τὴν γινομένην διά τε συν-
102 τονίαν φορᾶς καὶ διὰ σφοδρὰν κατείλησιν· καὶ κατὰ ῥή-
ξεις δὲ νεφῶν ὑπὸ πνευμάτων ἔκπτωσίν τε πυρὸς ἀποτε-
λεστικῶν ἀτόμων καὶ τὸ τῆς ἀστραπῆς φάντασμα ἀπο-
τελουσῶν· καὶ κατ' ἄλλους δὲ πλείους τρόπους ῥᾳδίως
ἔσται καθορᾶν ἐχόμενον ἀεὶ τῶν φαινομένων καὶ τὸ τού-
τοις ὅμοιον δυνάμενον συνθεωρεῖν.

Προτερεῖ δὲ ἀστραπὴ βροντῆς ἐν τοιᾳδέ τινι περιστά-
σει νεφῶν καὶ διὰ τὸ ἅμα τῷ τὸ πνεῦμα ἐμπίπτειν ἐξω-
θεῖσθαι τὸν ἀστραπῆς ἀποτελεστικὸν σχηματισμόν, ὕσ-
τερον δὲ τὸ πνεῦμα ἀνειλούμενον τὸν βόμβον ἀποτελεῖν
τοῦτον· καὶ κατ' ἔμπτωσιν δὲ ἀμφοτέρων ἅμα, τῷ τάχει
103 συντονωτέρῳ κεχρῆσθαι πρὸς ἡμᾶς τὴν ἀστραπήν, | ὑσ-
τερεῖν δὲ τὴν βροντήν, καθάπερ ἐπ' ἐνίων ἐξ ἀποστή-
ματος θεωρουμένων καὶ πληγάς τινας ποιουμένων.

Κεραυνοὺς ἐνδέχεται γίνεσθαι καὶ κατὰ πλείονας πνευμάτων συλλογὰς καὶ κατείλησιν ἰσχυράν τε ἐκπύρω-

1 ᾗ ἀπὸ – **2** ἀποτελεῖσθαι ut additamentum eiecit Usener
1 ᾗ Bignone, Bailey : ἣ **BPFD** | ᾗ ⟨τῷ⟩ ὑπὸ Miebom. | συνεφλέχθαι Usener, Bignone (cf. Lucret. 6.150 s.) : συνειλέχθαι **BPFD** **2** καὶ^1 del. Bignone | κατὰ del. Usener **3** τοῦ om. **FD**, *Frob.* | συνφονίαν **B**^{1} (corr. **B**^{2}) : συντονίας **F**, Eudocia **4** φωρᾶς **B** | καταρρήξεις **F**, καταρήξεις **P**^{1}**Q** **5** ⟨καὶ⟩ ἔκπτωσιν Gassendi | τε Usener : τῶν **BPFD** **6** ἀποτελουσῶν **FDP**^{4} : ἀπολλουσῶν **BP**^{1} **8** ἀεὶ Usener : καὶ **BPFD** **10** τῆς βροντῆς **B** **11** διὰ τὸ ἅμα : τιατόλμα **F**^{1}**D**, *Frob.* **14** κατ' ἔμπτωσιν Sambucus : κατέμπτωσιν **B** : κατέμπρωσιν **P**^{1}, κατ' ἔμπρωσιν **FP**^{2}**Q** : κατέμπροσιν **D**, *Frob.* : κατ' ἔκπτωσιν Kuehn **15** συντονοτέρω **F** | πρὸς : καθ' **F** **16** ἐνίων ⟨τῶν παρ' ἡμῖν⟩ ἐξ coni. Usener **17** ποιουμένων : γενομένων **F** **18** πλείονας : πλειόνων coni. Von der Muehll **19** κατείλησιν **FD**, κατ' εἴλησιν **P** : κατέγλησιν **B**

σιν καὶ κατάρρηξιν μέρους καὶ ἔκπτωσιν ἰσχυροτέραν αὐτοῦ ἐπὶ τοὺς κάτω τόπους, τῆς ῥήξεως γινομένης διὰ τὸ τοὺς ἑξῆς τόπους πυκνοτέρους εἶναι διὰ πίλησιν νεφῶν· καὶ κατ' αὐτὴν δὲ τὴν τοῦ πυρὸς ἔκπτωσιν ἀνειλουμένου, καθὰ καὶ βροντὴν ἐνδέχεται γίνεσθαι, πλείονος γενομένου καὶ πνευματωθέντος ἰσχυρότερον καὶ ῥήξαντος τὸ νέφος διὰ τὸ μὴ δύνασθαι ὑποχωρεῖν εἰς τὰ ἑξῆς, τῷ πίλησιν γίνεσθαι [τὸ μὲν πολὺ πρὸς ὄρος τι ὑψηλόν, ἐν ᾧ μάλιστα κεραυνοὶ πίπτουσιν] ἀεὶ πρὸς ἄλληλα. Καὶ κατ' ἄλλους δὲ 104
τρόπους πλείονας ἐνδέχεται κεραυνοὺς ἀποτελεῖσθαι· μόνον ὁ μῦθος ἀπέστω· ἀπέσται δὲ ἐάν τις καλῶς τοῖς φαινομένοις ἀκολουθῶν περὶ τῶν ἀφανῶν σημειῶται.

Πρηστῆρας ἐνδέχεται γίνεσθαι καὶ κατὰ κάθεσιν νέφους εἰς τοὺς κάτω τόπους στυλοειδῶς ὑπὸ πνεύματος ἀθρόου ὠσθέντος καὶ διὰ τοῦ πνεύματος πολλοῦ φερομένου, ἅμα καὶ τὸ νέφος εἰς τὸ πλάγιον ὠθοῦντος τοῦ ἐκτὸς πνεύματος· καὶ κατὰ περίστασιν δὲ πνεύματος εἰς κύκλον, ἀέρος τινὸς ἐπισυνωθουμένου ἄνωθεν· καὶ ῥύσεως πολλῆς πνευμάτων γενομένης καὶ οὐ δυναμένης εἰς τὰ πλάγια διαρρυῆναι διὰ τὴν πέριξ τοῦ ἀέρος πίλησιν. Καὶ 105

1 κατάρρηξιν **FDP^4** in mg γρ. : κατὰ ῥῆξιν **BP^1Q** | ἰσχυρωτέραν **B** **3** πίλησιν **P^2QD** : πείλησιν **BP^1F** | νεφῶν **BP^1Q** : τῶν νεφῶν **FDP^4**, *Frob.* **4** κατ' αὐτὴν Usener : κατὰ ταύτην **BPF** **5** γίνεσθαι πλείονος **BP** : transp. **FD**, *Frob.* | γινομένου **F** **6** πνευματοθέντος **B** **8** τὸ μὲν πολὺ – **9** πίπτουσιν ut additamentum eiecit Usener **10** ἀποτελέσθαι **B** **11** ἀπέσται : ἀπέστω **B** | τις om. **B** **13** κατὰ κάθεσιν **BP^1F^2** : κατάθεσιν **F^1** : κατὰ θέσιν **DP^4** in mg γρ., *Frob.* **14** στυλοειδῶς Usener (conl. Lucret. 6.426 et 433) : ἀλλοειδῶς **BPFD** **15** καὶ διὰ τοῦ πνεύματος πολλοῦ φερομένου ut additamentum secl. Von der Muehll | πολλοῦ : κύκλῳ Usener **16** πλάγιον Usener : πλησίον **BPFD** | ὠθέντος **F^1** (corr. **F^2**) **18** ἐπισυνωθουμένας **F** **19** γινομένης **Q**, Von der Muehll | οὐ om. **F**

ἕως μὲν γῆς τοῦ πρηστῆρος καθιεμένου στρόβιλοι γίνονται, ὡς ἂν καὶ ἡ ἀπογέννησις κατὰ τὴν κίνησιν τοῦ πνεύματος γίνηται· ἕως δὲ θαλάττης δῖνοι ἀποτελοῦνται.

Σεισμοὺς ἐνδέχεται γίνεσθαι καὶ κατὰ πνεύματος ἐν τῇ γῇ ἀπόληψιν καὶ παρὰ μικροὺς ὄγκους αὐτῆς παράθεσιν καὶ συνεχῆ κίνησιν, ὃ τὴν κράδανσιν τῇ γῇ παρασκευάζει. Καὶ τὸ πνεῦμα τοῦτο ἢ ἔξωθεν ἐμπεριλαμβάνει ⟨ἢ⟩ ἐκ τοῦ πίπτειν [εἰς] ἐδάφη εἰς ἀντροειδεῖς τόπους τῆς γῆς, ἐκπνευματοῦντα τὸν ἐπειλημμένον ἀέρα. ⟨Καὶ⟩ κατ' αὐτὴν δὲ τὴν διάδοσιν τῆς κινήσεως ἐκ τῶν πτώσεων ἐδαφῶν πολλῶν καὶ πάλιν ἀνταπόδοσιν, ὅταν πυκνώμασι σφοδροτέροις τῆς γῆς ἀπαντήσῃ, ἐνδέχεται σεισμοὺς
106 ἀποτελεῖσθαι. Καὶ κατ' ἄλλους δὲ πλείους τρόπους τὰς κινήσεις ταύτας τῆς γῆς γίνεσθαι. [Τὰ δὲ πνεύματα ⟨ταῦτα⟩

1 πριστῆρος **F** | καθιειμένου στρόβυλοι **F** | γίγνονται **B** : γίνεται **F** 2 ὡς ἂν καὶ – 3 γίνηται ut scholion eiecit Usener | ὡς ἂν καὶ : ὡς ἀναγκαίως Usener 2 κίνησιν : δίνησιν Usener 3 γίνηται : γένηται Eudocia, Schneider : γίνεται Usener | δεινοὶ **B** 5 ἀπόληψιν : ἐναπόληψιν coni. Usener | μικρὸν **F** 6 ὃ τὴν Usener : ὅταν **BPFD** : ὁ τὸν Kochalsky | κράδανσιν in mg **B**^{2} : κράδαστον **B**^{1}, κραδαστὸν **PFD**, *Frob.* : κραδασμὸν Casaubon | παρασκευάζει **F** : παρασκευάζῃ **BPD** 7 ἐμπεριλαμβάνῃ **B** 8 ἢ add. Meibom. | εἰς^{1} del. Schneider : εἴσω Diels (ap. Usenerum, p. XX) | εἰς^{2} **BP**^{1}**Q** : ἢ εἰς **FDP**^{4}, *Frob.* 9 ἐκπνευματοῦντα Usener : ἐκ πνευμάτων **BPFD** : ἐκπνευματοῖ Kuehn | ἐπειλημμένον **P**^{1}**Q**, ἐπιλημμένων **B** : πεπιλημένον **FDP**^{4}, *Frob.* | Καὶ add. Gassendi 9–10 κατ' αὐτὴν Usener : κατὰ ταύτην **BPFD** 10 ἀνάδοσιν **F** 11 ἀνταπόδοσιν Gassendi : ἀνταποδίδωσιν **BPFD** 13 τρόπους πλείονας **FD**, *Frob.* 14 post γίνεσθαι deest δυνατόν Usener : lac. indic. Bailey 14 Τὰ δὲ πνεύματα – **p. 779.4** γινομένης ut scholion eiecit Von der Muehll 14 ταῦτα add. Usener

συμβαίνει γίνεσθαι κατὰ χρόνον ἀλλοφυλίας τινὸς ἀεὶ καὶ κατὰ μικρὸν παρεισδυομένης, καὶ καθ' ὕδατος ἀφθόνου συλλογήν· τὰ δὲ λοιπὰ πνεύματα γίνεται ⟨*⟩ καὶ ὀλίγων πεσόντων εἰς τὰ πολλὰ κοιλώματα, διαδόσεως τούτων γινομένης.]

Χάλαζα συντελεῖται καὶ κατὰ πῆξιν ἰσχυροτέραν, πάντοθεν δὲ πνευματωδῶν περίστασίν τινων καὶ καταμέρισιν· καὶ ⟨κατὰ⟩ πῆξιν μετριωτέραν ὑδατοειδῶν τινων ⟨καὶ⟩ ὁμοῦ ῥῆξιν, ἅμα τήν τε σύνωσιν αὐτῶν ποιουμένην καὶ τὴν διάρρηξιν πρὸς τὸ κατὰ μέρη συνίστασθαι πηγνύμενα καὶ κατὰ ἀθροότητα. Ἡ δὲ περιφέρεια οὐκ ἀδυνά- 107
τως μὲν ἔχει γίνεσθαι πάντοθεν τῶν ἄκρων ἀποτηκομένων καὶ ἐν τῇ συστάσει πάντοθεν, ὡς λέγεται, κατὰ μέρη ὁμαλῶς περιϊσταμένων εἴτε ὑδατοειδῶν τινων εἴτε πνευματωδῶν.

Χιόνα δ' ἐνδέχεται συντελεῖσθαι καὶ ὕδατος λεπτοῦ ἐκχεομένου ἐκ τῶν νεφῶν διὰ πόρων συμμετρίας καὶ θλί-

1 κατὰ χρόνον om. **FD**, *Frob.* | ἀλλοφυλείας τινὰς P^2**Q** **3** τὰ δὲ λοιπὰ (scil. ἀπόγραφα ἔχει) Von der Muehll : τὸ δὲ λοιπὸν Bignone : τὰ δὲ λοιπὰ – γίνεται secl. Kochalsky | post γίνεται lac. indicavi | ὀλίγων **F** : ὀλίγον **BPD** **4** διαλώσεως **B** **6** καταμέρησιν **F** : κατὰ μέρισιν **BP** **7** κατὰ add. Meibom. | πῆξιν **H**, Stephanus : τῆξιν **BPF** | post τινων addit πνευματωδῶν δέ τινων Usener **8** καὶ add. Bailey | ὁμοῦ ῥῆξιν : ὁμούρησιν Usener, Von der Muehll **9** τὴν om. **D**P^4, *Frob.* **10** ἀθροότητα Gassendi : ἀθρότητα **BPFD** **11** μὲν om. **F** | ἀποτηκομένων Sambucus : ἀπιτικομένων **B** : ἀποπικομένων **P** : om. F^1 (spatio relicto) **D**, *Frob.* : ἀποπυκνουμένων F^2 (in lacuna) **12** συστάσει : συ- ss. F^2 | κατὰ *Aldobr.*, Gassendi : καὶ τὰ **BPFD** **13** περιϊσταμένων **F** **D**P^4, *Frob.* : περισταμένων **B**P^1**Q**, Von der Muehll | ὑδατοειδῶν **BPD** : ὑδατοποιῶν **F**, Usener **16** διά πόρων – **p. 780.1** σφοδράς ut scholion eiecit Von der Muehll **16** διὰ πόρων Kuehn : διαφόρων **B**P^1**Q** : διαφορῶν **FD**P^4, *Frob.* | συμμετρίας **B**P^1 : συμμετρίων **F** : συμμετρίως **D**P^4 ss., *Frob.* | θλίψεις Usener : θλίψεως **BPFD**

ψεις ἐπιτηδείων νεφῶν ἀεὶ ὑπὸ πνεύματος σφοδράς, εἶτα τούτου πῆξιν ἐν τῇ φορᾷ λαμβάνοντος διά τινα ἰσχυρὰν ἐν τοῖς κατωτέρω τόποις τῶν νεφῶν ψυχρασίας περίστασιν. Καὶ κατὰ πῆξιν δ' ἐν τοῖς νέφεσιν ὁμαλῆ ἀραιότητα ἔχουσι τοιαύτη πρόεσις ἐκ τῶν νεφῶν γίνοιτο ἂν ⟨τῶν⟩ ὑδατοειδῶν καὶ συμπαρακειμένων πρὸς ἄλληλα θλιβομένων· ἃ οἱονεὶ σύνωσιν ποιούμενα χάλαζαν ἀποτελεῖ, ὃ
108 μάλιστα γίνεται ἐν τῷ ἔαρι. Καὶ κατὰ τρῖψιν δὲ νεφῶν πῆξιν εἰληφότων ἀπόπαλσιν ἂν λαμβάνοι τὸ τῆς χιόνος τοῦτο ἄθροισμα. Καὶ κατ' ἄλλους δὲ τρόπους ἐνδέχεται χιόνα συντελεῖσθαι.

Δρόσος συντελεῖται καὶ κατὰ σύνοδον πρὸς ἄλληλα ἐκ τοῦ ἀέρος τῶν τοιούτων, ἃ τῆς τοιαύτης ὑγρασίας ἀποτελεστικὰ γίνεται· καὶ κατὰ φορὰν δὲ ἢ ἀπὸ νοτερῶν τόπων ἢ ὕδατα κεκτημένων, ἐν οἵοις τόποις μάλιστα δρό-

1 ἀεὶ Bignone : καὶ **BPFD** : om. Usener | ὑπὸ πνεύματος Casaubon : ὑπομνήματος **BPFD** : ὑπὸ πνευμάτων Gassendi | σφοδράς Usener : σπορᾶς **BPFD** : φορᾶς Casaubon **3** κατωτέρω Cobet : κατώτερον **BP** : κατωτάτοις **FDP**^{4} in mg γρ., *Frob.* **4** ὁμαλῆ **BP**^{1}**Q** : ὁμαλὴν **FDP**^{4}, *Frob.* | ἀραιότητα **PF**, ἀρεότητα **B** : ὡραιότητα **D**, *Frob.* **5** ἔχουσι Meibom. : ἔχουσαν **BP**^{1}**Q** : ἔχουσα **FDP**^{4}, *Frob.* | τοιαύτη **D**, Frob. : τοιαύτην **BPF** | πρόεσις **BP** : προαίρεσις **FD**, *Frob.* | τῶν^2 add. Usener **6** πρὸς ἄλληλα θλιβομένων post v. 5 γίνοιτο ἂν in **BPFD**, huc traieci **7** ἃ – ἀποτελεῖ ut additamentum secl. Von der Muehll | ἃ οἱονεὶ : λεῖον εἰς **B** **8** ἔαρι Usener (cf. Aristot. *Meteor.* A 12, 347 b 37) : ἀέρι **BPFD** **9** ἂν λαμβάνοι τὸ Schneider : ἀναλαμβάνοιτο **BP**^{1}**Q** : ἀναλαμβάνοι τὸ **FP**^{2} : ἀναλαμβάνει τὸ **D**, *Frob.* **10** τοῦτὸ τὸ **F** **12** καὶ om. **F** **14** συντελεστικὰ **F** | κατὰ φορὰν **FP**^{2} : καταφορὰν **BP**^{1}**QD** : κατ' ἀναφορὰν Bignone : κατ' ἀποφορὰν Von der Muehll **15** ἐν – **p. 781.1** συντελεῖται ut additamentum secl. Von der Muehll **15** οἵοις Usener : τοῖς **B PFD** : οἷς Kuehn, Meibom.

σος συντελεῖται, εἶτα σύνοδον τούτων εἰς τὸ αὐτὸ λα-
βόντων καὶ ἀποτέλεσιν ὑγρασίας καὶ πάλιν φορὰν ἐπὶ
τοὺς κάτω τόπους, καθάπερ ὁμοίως καὶ παρ' ἡμῖν ἐπὶ πλει-
όνων τοιαῦτά τινα ⟨θεωρεῖται. Πάχνη δὲ⟩ συντελεῖται 109
τῶν δρόσων τούτων [τινὰ] πῆξίν τινα ποιὰν λαβόντων
διὰ περίστασίν τινα ἀέρος ψυχροῦ.

Κρύσταλλος συντελεῖται καὶ κατ' ἔκθλιψιν μὲν τοῦ περιφεροῦς σχηματισμοῦ ἐκ τοῦ ὕδατος, σύνωσιν δὲ τῶν σκαληνῶν καὶ ὀξυγωνίων τῶν ἐν τῷ ὕδατι ὑπαρχόντων· καὶ κατὰ ⟨τὴν⟩ ἔξωθεν δὲ τῶν τοιούτων πρόσκρισιν, ἃ συνελασθέντα πῆξιν τῷ ὕδατι παρεσκεύασε, ποσὰ τῶν περιφερῶν ἐκθλίψαντα.

Ἶρις γίνεται κατὰ πρόσλαμψιν [ὑπὸ] τοῦ ἡλίου πρὸς
ἀέρα ὑδατοειδῆ· ἢ κατὰ πρόσφυσιν ἰδίαν τοῦ τε φωτὸς
καὶ τοῦ ἀέρος, ἣ τὰ τῶν χρωμάτων τούτων ἰδιώματα
ποιήσει εἴτε πάντα εἴτε μονοειδῶς· ἀφ' οὗ πάλιν ἀπολάμ-
ποντος τὰ ὁμοροῦντα τοῦ ἀέρος χρῶσιν ταύτην λήψεται
οἵαν θεωροῦμεν, κατὰ πρόσλαμψιν πρὸς τὰ μέρη. Τὸ δὲ 110

3–4 ἐπὶ πλειόνων τοιαῦτά τινα om. **F** **3** πλειόνων **B** : πλεόνων **PQD**, *Frob.* **4** post τινα lac. indic. Gassendi | θεωρεῖται suppl. Usener : συντελεῖται suppl. Gassendi | Πάχνη δὲ suppl. Gassendi **5** τῶν δρόσων – **6** ψυχροῦ in mg super. **F**^{2} **5** τούτων **BP**^{1}**QD** : τοιούτων Usener | τινὰ **B** : rasura 4 litt. **P**^{1} : om. **F** : τινῶν Usener : del. *Frob.* | τινα^2 et ποιὰν om. **F** **7** κρύσταλλος συντελεῖται post v. 8 τοῦ ὕδατος **F** | μὲν om. **F** **9** ὀξυτονίων **B** **10** τὴν add. Schneider **11** συνελασθέντα **BPD** : συντελεσθέντα **F** : συνελαθέντα Gassendi **13** ὑπὸ **BPD** : om. **F** : del. Schneider : ἀπὸ Bailey **14** πρόσφυσιν Apelt et M. van den Hout (*Mnemos.* 6 [1953–54] 18) : ἀέρος φύσιν **BPFD** : [ἀέρος] φύσιν Gassendi : [ἀέρος] κρᾶσιν Usener : πρόσκρισιν Bailey **17** ταύτην **BP**^{1} : ταῦτα **FDP**^{4} in mg γρ., *Frob.* : τοιαύτην Usener **18** ⟨ἢ⟩ κατὰ coni. Von der Muehll | τὸ **Co**, Gassendi : τὰ **BP FD**

τῆς περιφερείας τοῦτο φάντασμα γίνεται διὰ τὸ τὸ διάστημα πάντοθεν ἴσον ὑπὸ τῆς ὄψεως θεωρεῖσθαι, ἢ σύνωσιν τοιαύτην λαμβανουσῶν τῶν ἐν τῷ ἀέρι ⟨ἀ⟩τόμων ἢ ἐν τοῖς νέφεσιν ἀπὸ τοῦ αὐτοῦ ἀέρος [προσφερομένου πρὸς τὴν σελήνην] ἀποφερομένων [ἀτόμων] περιφέρειάν τινα καθίεσθαι τὴν σύγκρισιν ταύτην.

Ἅλως περὶ τὴν σελήνην γίνεται ἢ [κατὰ] πάντοθεν ἀέρος προσφερομένου πρὸς τὴν σελήνην, ἢ τὰ ἀπ' αὐτῆς ῥεύματα ἀποφερόμενα ὁμαλῶς ἀναστέλλοντος ἐπὶ τοσοῦτον ἐφ' ὅσον κύκλῳ περιστῆσαι τὸ νεφοειδὲς τοῦτο καὶ μὴ τὸ παράπαν διακρῖναι, ἢ καὶ τὸν πέριξ αὐτῆς ἀέρα ἀναστέλλοντος συμμέτρως πάντοθεν εἰς τὸ περιφερὲς τὸ περὶ
111 αὐτὴν καὶ παχυμερὲς περιστῆσαι. Ὃ γίνεται κατὰ μέρη τινὰ ἤτοι ἔξωθεν βιασαμένου τινὸς ῥεύματος ἢ τῆς θερμασίας ἐπιτηδείων πόρων ἐπιλαμβανομένης εἰς τὸ τοῦτο ἀπεργάσασθαι.

Κομῆται ἀστέρες γίνονται ἤτοι πυρὸς ἐν τόποις τισὶ διὰ χρόνων τινῶν ἐν τοῖς μετεώροις συντρεφομένου περιστάσεως γινομένης, ἢ ἰδίαν τινὰ κίνησιν διὰ χρόνων τοῦ οὐρανοῦ ἴσχοντος ὑπὲρ ἡμᾶς, ὥστε τὰ τοιαῦτα ἄστρα

1 τούτου Von der Muehll | τὸ τὸ **PF** : τὸ τοῦ **B** : τὸ **D**, *Frob.* **3** ἀτόμων Meibom. (cf. v. 5) : τομῶν **BPFD** **4** αὐτοῦ : ἡλίου Usener | ἀέρος ss. **B**[2] **4** ἀέρος – **5** τὴν σελήνην ut ex v. 8 anticipata del. Usener : προσφερομένου – τὴν σελήνην secl. iam C.F. Hermann (*Zs. f.d. Alterthumsw.* 1834, 11) **5** ἀποφερομένων – **7** τὴν σελήνην om. **FD**, *Frob.* **5** ἀτόμων del. Usener (cf. v. 3) **6** καθίεσθαι Meibom. : καθεῖσθαι **BP** | εἰς τὴν **P** **7** περὶ **P** : κατὰ **B** | ἢ scripsi : καὶ **BP** : del. Von der Muehll | κατὰ del. Usener, Von der Muehll **9** post ὁμαλῶς addit καὶ **F** | ἀναστέλλοντος Meibom. : ἀναστέλλοντα **BPFD** **10** περιστῆσαι Von der Muehll : περὶ τῆς εἰς **BPFD** : περιστήσῃ Meibom. : περιστῆσαι εἰς Usener | καὶ om. **F** **11** διακρῖναι Usener : διακρίνῃ **BPFD** | αὐτῆς ἀέρα **B** : transp. **PFD**, *Frob.* **15** ἐπιτηδείως Bailey **19** ἢ om. **FD**, *Frob.* | χρόνον **B**

ἀναφανῆναι, ἢ ⟨παρὰ τὸ⟩ αὐτὰ ἐν χρόνοις τισὶν ὁρμῆσαι διά τινα περίστασιν καὶ εἰς τοὺς καθ' ἡμᾶς τόπους ἐλθεῖν καὶ ἐκφανῆ γενέσθαι· τήν τε ἀφάνισιν τούτων γίνεσθαι παρὰ τὰς ἀντικειμένας ταύταις αἰτίας.

Τινὰ ἄστρα στρέφεται αὐτοῦ, | ὃ συμβαίνει οὐ μόνον 112
τῷ τὸ μέρος τοῦτο τοῦ κόσμου ἑστάναι, περὶ ὃ τὸ λοιπὸν στρέφεται, καθάπερ τινές φασιν, ἀλλὰ καὶ τῷ δίνην ἀέρος ἔγκυκλον αὐτοῖς περιεστάναι, ἣ κωλυτικὴ γίνεται τοῦ περιπολεῖν ὡς καὶ τὰ ἄλλα· ἢ καὶ διὰ τὸ ἑξῆς μὲν αὐτοῖς ὕλην ἐπιτηδείαν μὴ εἶναι, ἐν δὲ τούτῳ τῷ τόπῳ ἐν ᾧ κείμενα θεωρεῖται. Καὶ κατ' ἄλλους δὲ πλείονας τρόπους τοῦτο δυνατὸν συντελεῖσθαι, ἐάν τις δύνηται τὸ σύμφωνον τοῖς φαινομένοις συλλογίζεσθαι.

Τινὰ τῶν ἄστρων πλανᾶσθαι, εἰ οὕτω ταῖς κινήσεσι χρώμενα συμβαίνει, τινὰ δὲ μή, [κινεῖσθαι] | ἐνδέχεται 113
μὲν καὶ παρὰ τὸ κύκλῳ κινούμενα ἐξ ἀρχῆς οὕτω ⟨κινεῖσθαι⟩ κατηναγκάσθαι, ὥστε τὰ μὲν κατὰ τὴν αὐτὴν δίνην φέρεσθαι ὁμαλὴν οὖσαν, τὰ δὲ κατὰ τὴν ἅμα τισὶν ἀνωμαλίαις χρωμένην· ἐνδέχεται δὲ καὶ καθ' οὓς τόπους φέ-

1 ἢ αὐτὰ – 4 αἰτίας ut additamentum secl. Usener, Von der Muehll 1 παρὰ τὸ addidi, διὰ τὸ iam Schneider 3 ἀφάνησιν **BD** 4 τὰς ἀντικειμένας **FDP**^{4}, *Frob.* : παραστάντι κειμέναις **B**^{2} (-νας **B**^{1}) **P**^{1}**Q** 5 τινὰς **B**^{1} (corr. **B**^{2}) | ἄστρα στρέφεται Bailey : ἀναστρέφεται **BPFD** : ἄστρα στρέφεσθαι Usener : τινὰ ⟨τῶν ἄστρων⟩ ἀναστρέφεται Schneider | ὃ om. Usener 7 ἀναστρέφεται ss. **P**^{4} | τῶ **B**^{2}**P**^{2}**QF** : τὸ **B**^{1}**P**^{1}**D** | δίνην **B**^{2} (δείναν ? **B**^{1}) 8 αὐτοῖς Gassendi : αὐτῶ **BPFD** 12 δύναται **F** 15 συμβαίνει **FDP**^{4}, *Frob.* : συμβαίνειν **BP**^{1} | κινεῖσθαι post v. 16 οὕτω transp. Barigazzi : del. Von der Muehll, Bignone : ⟨οὕτω⟩ κινεῖσθαι Bailey 16 τὸ **B**^{2}**F** : τῶ **B**^{1}**PD**, *Frob.* 17 καταναγκάσθαι **F** | δίνην **FDP**^{4}, *Frob.* : δίναν **BP**^{1}**Q** 18 ὁμαλῆ Usener | κατὰ τὴν ἅμα τισὶν : κατ' αὐτὴν ἅμα τισὶν Meibom. : κατά τινα δίνησιν Usener : κατά τιν' ἄλλην τισὶν Bignone | ἀνομαλίαις **BF**

ρεται οὗ μὲν παρεκτάσεις ἀέρος εἶναι ὁμαλεῖς ἐπὶ τὸ αὐτὸ συνωθούσας κατὰ τὸ ἑξῆς ὁμαλῶς τε ἐκκαούσας, οὗ δὲ ἀνωμαλεῖς οὕτως ὥστε τὰς θεωρουμένας παραλλαγὰς συντελεῖσθαι. Τὸ δὲ μίαν αἰτίαν τούτων ἀποδιδόναι, πλεοναχῶς τῶν φαινομένων ἐκκαλουμένων, μανικὸν καὶ οὐ καθηκόντως πραττόμενον ὑπὸ τῶν τὴν ματαίαν ἀστρολογίαν ἐζηλωκότων καὶ εἰς τὸ κενὸν αἰτίας τινῶν ἀποδιδόντων, ὅταν τὴν θείαν φύσιν μηθαμῇ λειτουργιῶν ἀπολύωσι.

114 Τινὰ ἄστρα ὑπολειπόμενά τινων θεωρεῖσθαι συμβαίνει καὶ παρὰ τὸ βραδύτερον συμπεριφέρεσθαι τὸν αὐτὸν κύκλον περιϊόντα, καὶ παρὰ τὸ τὴν ἐναντίαν κινεῖσθαι ἀντισπώμενα ὑπὸ τῆς αὐτῆς δίνης, καὶ παρὰ τὸ περιφέρεσθαι τὰ μὲν διὰ πλείονος τόπου, τὰ δὲ δι᾽ ἐλάττονος, τὴν αὐτὴν δίνην περικυκλοῦντα. Τὸ δὲ ἁπλῶς ἀποφαίνεσθαι περὶ τούτων καθῆκόν ἐστι τοῖς τερατεύεσθαί τι πρὸς τοὺς πολλοὺς βουλομένοις.

Οἱ λεγόμενοι ἀστέρες ἐκπίπτοντες καὶ παρὰ μέρος κατὰ παράτριψιν ἑαυτῶν δύνανται συντελεῖσθαι, καὶ παρὰ ἔκπτωσιν, οὗ ἂν ἡ ἐκπνευμάτωσις γένηται, καθάπερ καὶ ἐπὶ

1 οὗ **B** : οὐ **PFD** | μὲν om. **FDP**[4], *Frob.* | εἶναι : γίνεσθαι **F** | ὁμαλεῖς **BP**[1]**Q** : ὁμαλὰς **FDP**[4], *Frob.* **2** οὗ δὲ **BF** : οὐ δὲ **PD** **3** ἀνομαλεῖς **B**[1] (corr. **B**[2]) **6** καθήκοντος **B** **7** ἐζηλοκότων **BF** | καὶ om. **F** | τινῶν : ἄστρων Usener : πάντων Bignone **8** μηθαμῇ **BP**[1]**Q** : μηδαμῇ **FD P**[4], *Frob.* | ἀποδύωσιν **B**[1] (corr. **B**[2]) : ἀπολάβωσι **D**, *Frob.* **10** ὑπολιπόμενα **B** : ἀπολειπόμενα **DP**[4], *Frob.* **12** περιϊόντα *Frob.* : περιόντα **BPFD** **13** τῆς αὐτῆς : τοιαύτης Usener **14** διὰ πέωνος **B** **15** δίνην **FDP**[4], *Frob.* : δίναν **P**[1]**Q**, δῖνα **B** **18** ἐκπίπτοντες scripsi : ἐκπίπτειν **BPFD** **18–19** κατὰ παράτριψιν Usener : καὶ παρὰ τρίψιν **BPFD** **19** ἑαυτῶν : νεφῶν Usener : ἄστρων Bignone | δύνανται **FDP**[4] : δύναται **BP**[1]**Q** | παρὰ : πυρὸς Usener **20** ἡ : ᾗ **F** | γίνεται **FD**, *Frob.*

τῶν ἀστραπῶν ἐλέγομεν· καὶ κατὰ σύνοδον δὲ ἀτόμων 115
πυρὸς ἀποτελεστικῶν, συμφυλίας γενομένης εἰς τὸ τοῦτο τελέσαι, καὶ [κατὰ] κίνησιν οὗ ἂν ἡ ὁρμὴ ἐξ ἀρχῆς κατὰ τὴν σύνοδον γένηται· καὶ κατὰ πνευμάτων δὲ συλλογὴν ἐν πυκνώμασί τισιν [ἐν] ὁμιχλοειδέσι καὶ ἐκπύρωσιν τούτων διὰ τὴν κατείλησιν, εἶτ' ἐπέκρηξιν ⟨ἐκ⟩ τῶν περιεχόντων, καὶ ἐφ' ὃν ἂν τόπον ἡ ὁρμὴ γένηται τῆς φορᾶς, εἰς τοῦτον φερομένων. Καὶ ἄλλοι δὲ τρόποι εἰς τὸ τοῦτο τελέσαι ἀμύθητοί εἰσιν.

Αἱ δ' ἐπισημασίαι αἱ γινόμεναι ἐπί τισι ζῴοις κατὰ συγκύρημα γίνονται τοῦ καιροῦ· οὐ γὰρ τὰ ζῷα ἀνάγκην τινὰ προσφέρεται τοῦ ἀποτελεσθῆναι χειμῶνα, οὐδὲ κάθηταί τις θεία φύσις παρατηροῦσα τὰς τῶν ζῴων τούτων ἐξόδους κἄπειτα τὰς ἐπισημασίας ταύτας ἐπιτελεῖ. Οὐδὲ 116
γὰρ ⟨ἂν⟩ εἰς τὸ τυχὸν ζῷον, κἂν μικρῷ χαριέστερον ᾖ, ἡ τοιαύτη μωρία ἐκπέσοι, μὴ ὅτι εἰς παντελῆ εὐδαιμονίαν κεκτημένον.

Ταῦτα δὴ πάντα, Πυθόκλεις, μνημόνευσον· κατὰ πολύ τε γὰρ τοῦ μύθου ἐκβήσῃ καὶ τὰ ὁμογενῆ τούτοις συνορᾶν

1 ἀστραπῶν : ἀστέρων F[1] in textu (corr. F[2] in mg) 2 συμφυλίας PD : συμφιλίας BF, *Frob.* 3 κατὰ[1] del. Usener | οὗ : οἷ coni. Usener | ἐξ ἀρχῆς post v. 4 τὴν σύνοδον FD, *Frob.* 4 πνευμάτων Von der Muehll (conl. p. 776.19) : πνεύματος BPFD 5 ἐν[2] om. Z, *Frob.* | καὶ Usener : κατ' BPF D | τούτου Usener 6 ἐπέκρηξιν PF(D) : ἐπ ἔκριξιν B : [ἐπ'] ἔκρηξιν Usener, Von der Muehll | ἐκ add. Von der Muehll 7 ὃν : ὧν F 8 φερομένων Von der Muehll : φερομένης BPFD : φερομένου Usener | τὸ FDP[4] ss., *Frob.* : om. BP[1] Q 9 ἀμύθητοι : ἀνύσιμοι Usener : ἄμυθοι Lortzing, Heidel 11 γίνεται F | οὐ : καὶ F 12 χειμόνα B 14 σημασίας F 15 ἂν add. Cobet | κἂν ⟨εἰ⟩ Usener | μικρῷ BPD : μικρὸν F, Usener | ᾖ, ἡ PFD : εἴη B 16 ἐκπέσοι Cobet : ἐκπέσῃ BPFD : ἐμπέσοι Gassendi, Usener 18 ταῦτα δὴ πάντα BP : πάντα δὴ ταῦτα FD | πειθόκλεις P

δυνήσῃ· μάλιστα δὲ σεαυτὸν ἀπόδος εἰς τὴν τῶν ἀρχῶν καὶ ἀπειρίας καὶ τῶν συγγενῶν τούτοις θεωρίαν, ἔτι τε κριτηρίων καὶ παθῶν καὶ οὗ ἕνεκεν ταῦτα ἐκλογιζόμεθα· ταῦτα γὰρ μάλιστα συνθεωρούμενα ῥᾳδίως τὰς περὶ τῶν κατὰ μέρος αἰτίας συνορᾶν ποιήσει. Οἱ δὲ ταῦτα μὴ καταγαπήσαντες ᾗ μάλιστα οὔτε ⟨ἂν⟩ αὐτὰ ταῦτα καλῶς συνθεωρήσαιεν, οὔτε οὗ ἕνεκεν δεῖ θεωρεῖν ταῦτα περιεποιήσαντο."

Ταῦτα αὐτῷ καὶ περὶ τῶν μετεώρων δοκεῖ.

117 Περὶ δὲ τῶν βιωτικῶν καὶ ὅπως χρὴ τὰ μὲν ἡμᾶς αἱρεῖσθαι, τὰ δ' ἐκφεύγειν, οὑτωσὶ γράφει. Πρότερον δὲ διέλθωμεν ἅ τε αὐτῷ δοκεῖ περὶ τοῦ σοφοῦ καὶ τοῖς ἀπ' αὐτοῦ.

Βλάβας ἐξ ἀνθρώπων ἢ διὰ μῖσος ἢ διὰ φθόνον ἢ διὰ καταφρόνησιν γίνεσθαι, ὧν τὸν σοφὸν λογισμῷ περιγίνεσθαι. Ἀλλὰ καὶ τὸν ἅπαξ γενόμενον σοφὸν μηκέτι τὴν ἐναντίαν λαμβάνειν διάθεσιν μηδὲ πλάττειν ⟨ἔχειν⟩ ἑκόν-

10–p. 790.10 δοκεῖ δ' αὐτοῖς : edd. Usener (pp. XXVII–XXX), Bailey (pp. 164–168), Arrighetti (pp. 25–29), Bollack (1975, pp. 22–31) **14–p. 791.6** cf. M. Giusta, *Atti Accad. Torino* 97 (1962–63) 120–174 **14–15** Usener, Fr. 536 **16–p. 790.8** cf. **Φ** 9 **16** Ἀλλὰ – **17** ἑκόντα : Usener, Fr. 222^a **17** πλάττειν ⟨ἔχειν⟩ : cf. Usener, Fr. 231

1 μάλιστα **BP**^{1} : μᾶλλον **FDP**^{4} ss. γρ., *Frob.* | δὲ om. **B** | σεαυτὸν **BP** : σεαυτῷ **FD**, *Frob.* | ἀπόδος εἰς **BP**^{1}**Q** : ἀποδώσεις **FDP**^{4} ss. γρ., *Frob.* **2** ἔτι – **3** παθῶν in mg **F**^{2} **2** τε **BP** : γε **F**^{2} : om. **D** : δὲ Usener **4** ῥαδίας **P**^{1}**Q** (corr. **P**^{4}) **4 – 5** τὰς περὶ τῶν κατὰ μέρος iterat **F** **6** ᾗ Kuehn : ἢ **BPFD** | οὔτε : ἢ **F** | ἂν add. Usener **9** τῶν om. **FD**, *Frob.* **10–11** ἐκφεύγειν, τὰ δ' αἱρεῖσθαι **FD**, *Frob.* **11** δὲ^2 om. **P**^{1} (ss. **P**^{4}) **12** αὐτῷ τε mavult Usener **17** ἔχειν addidi

τα. Πάθεσί ⟨τέ τισι⟩ μᾶλλον συσχεθήσεσθαι, ⟨ὃ⟩ οὐκ ἂν ἐμποδίσαι πρὸς τὴν σοφίαν. Οὐδὲ μὴν ἐκ πάσης σώματος ἕξεως σοφὸν γενέσθαι ἂν οὐδ' ἐν παντὶ ἔθνει. Κἂν στρε- **118**
βλωθῇ δ' ὁ σοφός, εἶναι αὐτὸν εὐδαίμονα. Ὅτε μέντοι στρεβλοῦται, ἔνθα καὶ μύξει καὶ οἰμώξει. Μόνον τε χάριν ἕξειν τὸν σοφόν, καὶ ἐπὶ φίλοις καὶ παροῦσι καὶ ἀποῦσιν ὁμοίως διατε⟨λεῖν⟩ ⟨*⟩. Γυναικί τε οὐ μιγήσεσθαι τὸν σοφὸν ᾗ οἱ νόμοι ἀπαγορεύουσιν, ὥς φησι Διογένης ἐν τῇ Ἐπιτομῇ τῶν Ἐπικούρου ἠθικῶν δογμάτων. Οὐδὲ κολάσειν οἰκέτας, ἐλεήσειν μέντοι καὶ συγγνώμην τινὶ ἕξειν τῶν σπουδαίων. Ἐρασθήσεσθαι τὸν σοφὸν οὐ δοκεῖ αὐ-

1 Πάθεσι – συσχεθήσεσθαι : Usener, Fr. 596 **1** οὐκ ἂν – **2** τὴν σοφίαν : Usener, Fr. 587 **2** Οὐδὲ – **3** ἔθνει : Usener, Fr. 226 **3** Κἂν – **4** εὐδαίμονα : Usener, Fr. 601 **4** Ὅτε – **5** οἰμώξει : Usener, Fr. 598 **5** Μόνον τε – **7** διατε⟨λεῖν⟩ : Usener, Fr. 589. Cf. C. García Gual, in *Mélanges F. Rodríguez Adrados* (Matriti, 1987), II, 279–287 **7** Γυναικί τε – **9** Usener, Fr. 583 **9** Οὐδὲ – **11** τῶν σπουδαίων : Usener, Fr. 594 **11** Ἐρασθήσεσθαι – **p. 788.2** ἐν τῷ : Usener, Fr. 574

1 τέ addidi et τισι add. Bignone | μᾶλλον : fort. μὴν Usener | ὃ add. Kochalsky **2** ἐμποδείσαι **B** **3** ἂν : ἀλλ' **B** | ἔθει **B** **4** δ' ss. **B**^{2} **4–5** ὅτε μέντοι στρεβλοῦται, ἔνθα καὶ μύξει καὶ οἰμώξει ante v. 7 γυναικί in **BPFD**, huc transtuli **5** μύξει **FDP**^{4} ss., *Frob.* : μύζει **BP**^{1}**Q** | οἰμώξει **P**^{2}**QFD**, *Frob.* : οἰμώζει **BP**^{1} **6** ἕξειν **BPD** : ἔχειν **F** | φίλους **B** **7** διατε⟨λεῖν⟩ Kochalsky : διά τε **BPFD** (om. **Φ**) | post Usenerum lac. indicavi : ὁδοῦχ(οτε) **B**^{1} (ὁδ' οὐχ ὅτε **B**^{2}), ὁδοῦ· χ' (ὅτε) **P**^{1}**Q** : ὁδοῦ· ὅτε **DP**^{4}**F** (ὅτι) : om. **Φ** : (ὁμοίως τε) δι' ὅλου Kuehn : (ὁμοίως διά τε) ὅλου χ⟨αίρειν⟩ Bignone (*Aegyptus* 13 [1933] 438 s.) : εὐλογοῦντα Kochalsky, agn. Bailey, Long : ὃ δ' οὐχ ⟨ἁρμόζον μὴ λέγειν⟩ suppleverim e.g. **8** ᾗ **P**^{2}**Q**, *Frob.* : ἢ **BP**^{1}**D** : οἱ **F** **9** οὐδὲ Usener : οὔτε **BPFDΦ** **10** ἐλεήσειν **BPΦ** : ἐλεῆσαι **FD**, *Frob.* **11** τῶν σπουδαίων **FDΦ** : τὸν σπουδαῖον **BP**

τοῖς· οὐδὲ ταφῆς φροντιεῖν. Οὐδὲ θεόπεμπτον εἶναι τὸν ἔρωτα, ὡς ὁ Διογένης ἐν τῷ *· οὐδὲ ῥητορεύσειν καλῶς. Συνουσίη δέ, φασίν, ὤνησε μὲν οὐδέποτε, ἀγαπητὸν δὲ εἰ μὴ καὶ ἔβλαψε.

119 Καὶ μὴν μὴ γαμήσειν καὶ τεκνοποιήσειν τὸν σοφόν, ὡς Ἐπίκουρος ἐν ταῖς Διαπορίαις καὶ ἐν ταῖς Περὶ φύσεως, κατὰ περίστασιν δέ ποτε βίου γαμήσειν καὶ ⟨παιδία⟩ διατραφήσεσθαί τινας. Οὐδὲ μὴν ληρήσειν ἐν μέθῃ, ⟨ὥς⟩ φησιν ὁ Ἐπίκουρος ἐν τῷ Συμποσίῳ· οὐδὲ πολιτεύσεσθαι, ὡς ἐν τῇ πρώτῃ Περὶ βίων· οὐδὲ τυραννεύσειν· οὐδὲ κυνιεῖν, ὡς ἐν τῇ δευτέρᾳ Περὶ βίων· οὐδὲ πτωχεύσειν. Ἀλλὰ

1 οὐδὲ ταφῆς φροντιεῖν : Usener, Fr. 578 **1** Οὐδὲ – **2** καλῶς : Usener, Fr. 565 **3** Συνουσίη – **4** Usener, Fr. 62 **5–7** γαμήσειν : Usener, Frr. 19 et 94. Cf. C.W. Chilton, *Phronesis* 5 (1960) 71–74; M. Gigante, *P.P.* 17 (1962) 380–381; A. Grilli, *Riv. Crit. Storia della Philos.* 26 (1971) 51–56; T. Brennan, *C.P.* 91 (1996) 346–352 **7** καὶ – **8** τινας : Usener, Fr. 591 **8** Οὐδὲ – **9** τῷ Συμποσίῳ : Usener, Fr. 63 **9** οὐδὲ – **10** τυραννεύσειν : Usener, Fr. 8 **10** οὐδὲ^{2} – **11** πτωχεύσειν : Usener, Fr. 14 **11** Ἀλλὰ – **p. 789.2** φησι : Usener, Fr. 15

2 ὡς – καλῶς om. **F** | post ἐν τῷ lacuna in **D**, λείπει **B**^{2} in mg | ῥητορεύσειν **DP**^{4} ss., *Frob.* : ῥητορεύειν **BP**^{1}**Q** **3** συνουσίη **FDP**^{4} : συνουσίην **B**, Usener : συνοῦσιν ἡ **P**^{1}**Q** | ὀνῆσαι Usener | δὲ^{2} om. **B** **4** καὶ **FDP**^{4} ss., *Frob.* : om. **B P**^{1}**Q** **5** καὶ^{1} : οὐδὲ Chilton | μὴν καὶ^{2} ... καὶ^{3} : μηδὲ ... μηδὲ Casaubon | μὴν μὴ scripsi : μὴν καὶ^{2} **BPFDΦ** **5** ὡς – **6** φύσεως om. **F** **7–8** ⟨παιδία⟩ διατραφήσεσθαι scripsi post T. Brennan (⟨παι⟩δία τραφήσεσθαι) coni. Epicteti *Diss.* 3.22.68–69 (καὶ τὰ παιδία οὕτως ἀνατραφήσεται) : διατραπήσεσθαι **BPFD** **8** ληρήσειν C.F. Hermann (*Zs. f.d. Alterthumsw.* 1834, 111), Cobet : τηρήσειν **BP**^{2}**FD** (τήρησιν **P**^{1}) : ἐπηρεάσειν Bailey | ὥς add. Cobet **9** ἐν τῷ συμποσίῳ om. **F** | πολιτεύσεσθαι **DΦ**, *Frob.* : πολιτεύσεται **BPF** **10** τυραννεύειν **B**^{1} (corr. **B**^{2}) : τυραννεῦσιν **F** | κινιεῖν **F** **11** πτωχεύειν **B**^{1} (corr. **B**^{2})

κἂν πηρωθῇ τὰς ὄψεις ⟨μὴ⟩ μετάξειν αὐτὸν τοῦ βίου, ὡς
ἐν τῇ αὐτῇ φησι. Καὶ λυπήσεσθαι δὲ τὸν σοφόν, ὡς Διο-
γένης ἐν τῇ πέμπτῃ τῶν Ἐπιλέκτων· καὶ δικάσεσθαι· καὶ
συγγράμματα καταλείψειν· οὐ πανηγυριεῖν δέ. | Καὶ κτή- 120a
σεως προνοήσεσθαι καὶ τοῦ μέλλοντος. Φιλαγρήσειν ⟨τε⟩
τύχῃ τε ἀντιτάξεσθαι, φίλον τε οὐδένα ⟨ἀπο⟩κτήσεσθαι.
Εὐδοξίας ἐπὶ τοσοῦτον προνοήσεσθαι, ἐφ᾽ ὅσον μὴ κατα-
φρονήσεσθαι. Μᾶλλον τε εὐφρανθήσεσθαι τῶν ἄλλων ἐν
ταῖς θεωρίαις.

Εἰκόνας τε ἀναθήσειν· εἰ ⟨δ᾽ αὐτὸς⟩ ἔχοι, ἀδιαφόρως 121b
ἂν σχοίη. Μόνον τε τὸν σοφὸν ὀρθῶς ἂν περί τε μουσικῆς

2 Καὶ – 3 Usener, Fr. 597 3 καὶ δικάσεσθαι – 4 καταλείψειν : Usener, Fr. 563 4 οὐ – δέ : Usener, Fr. 566 4 Καὶ – 5 τοῦ μέλλοντος : Usener, Fr. 572 5 Φιλαγρήσειν : Usener, Fr. 570 6 τύχῃ τε – ⟨ἀπο⟩κτήσεσθαι : Usener, Fr. 584 7 Εὐδοξίας – καταφρονήσεσθαι : Usener, Fr. 573 8 Μᾶλλον – 9 Usener, Fr. 593 10 – ἀναθήσειν : Usener, Fr. 575 10 εἰ – 11 σχοίη : Usener, Fr. 588 11 Μόνον τε – p. 790.1 Usener, Fr. 569

1 κἂν πηρωθῇ **Φ** et Richards : καὶ πηρωθεὶς **PF** : καὶ πυρωθεὶς **B** : πηρωθεὶς **D** : καὶ πηρωθέντα Bywater | μὴ add. Bywater : οὐ add. Bailey | μετάξειν **Φ** : μετάξει **P F** : μετέξει **B** : μεθέξειν **D**, *Frob.* : καταξιοῖ Usener : ἐξάγειν Bywater : μετ⟨αλλ⟩άξει (et τὸν βίον) Bailey : μεθέξει (et τοῦ αὐτοῦ βίου) Bignone (1933) | αὐτὸν Cobet : ἑαυτὸν **Φ** : αὐτὸν **BPFD** 2 λυπήσεσθαι **BP**^{1}**Q** : λυπηθήσεσθαι **FDP**^{4} ss., *Frob.* 2 ὡς – 3 τῶν ἐπιλέκτων om. **F** 3 δικάσεσθαι **D**, *Frob.* : δικάσασθαι **BPF** 5 τε addidi 6 ἀντιτάξεσθαι **D**, *Frob.* : ἀντιτάξασθαι **BPF** | φίλον **BPΦ** : φίλων **FD**, *Frob.* | οὐδένα **BP**^{2} : οὐδὲν **P**^{1}**QFΦ**, *Frob.* | ⟨ἀπο⟩κτήσεσθαι Kochalsky : κτήσεσθαι **BPFD(Φ)** : προήσεσθαι Bignone, agn. Bailey, Long 10 εἰκόνας τε – **p. 790.10** δοκεῖ δ᾽ αὐτοῖς post p. 791.7 ἐπιστολήν in **BPFDΦ**, huc transtulit Bignone (*Epicuro,* 1920, 214) 10 ante εἰ lac. indic. Usener | δ᾽ αὐτὸς addidi | ἔχῃ **F** 11 σχοίη Kuehn : σχοίης **BPFD**, *Frob.* | ἂν^2 del. Cobet

καὶ ποιητικῆς διαλέξασθαι· ποιήματά τε ἐνεργείᾳ οὐκ ἂν ποιῆσαι. Οὐκ εἶναί τε ἕτερον ἑτέρου σοφώτερον. Χρηματίσεσθαί τε, ἀλλ' ἀπὸ μόνης σοφίας, ἀπορήσαντα. Καὶ μόναρχον ἐν καιρῷ θεραπεύσειν. Καὶ ἐπιχαρήσεσθαί τινι ἐπὶ τῷ διορθώματι. Καὶ σχολὴν κατασκευάσειν, ἀλλ' οὐχ ὥστε ὀχλαγωγῆσαι· καὶ ἀναγνώσεσθαι ἐν πλήθει, ἀλλ' οὐχ ἑκόντα· δογματιεῖν τε καὶ οὐκ ἀπορήσειν. Καὶ καθ' ὕπνους δὲ ὅμοιον ἔσεσθαι· καὶ ὑπὲρ φίλου ποτὲ τεθνήξεσθαι.

120b [Τὸ ἑξῆς] δοκεῖ δ' αὐτοῖς | ἁμαρτήματα ἄνισα εἶναι. Καὶ τὴν ὑγίειαν τισὶ μὲν ἀγαθόν, τισὶ δὲ ἀδιάφορον. Τὴν δὲ ἀνδρείαν φύσει μὴ γίνεσθαι, λογισμῷ δὲ τοῦ συμφέ-

1 ποιήματά τε – **2** ποιῆσαι : Usener, Fr. 568 **2** Οὐκ – σοφώτερον : Usener, Fr. 561 **2** Χρηματίσεσθαί τε – **3** Usener, Fr. 567 **3** Καὶ – **4** Usener, Fr. 577 **4** Καὶ – **5** τῷ διορθώματι : Usener, Fr. 592 **5** Καὶ – **7** ἑκόντα : Usener, Fr. 564 **7** δογματιεῖν τε – ἀπορήσειν : Usener, Fr. 562 **7** Καὶ – **8** ἔσεσθαι : Usener, Fr. 595 **8** καὶ – τεθνήξεσθαι : Usener, Fr. 590 **10** ἁμαρτήματα – εἶναι : Usener, Fr. 521 **11** Καὶ – ἀδιάφορον : Usener, Fr. 428 **11** Τὴν – **p. 791.1** Usener, Fr. 517

1 διαλέξασθαι **F** : διαλέξεσθαι **BPD**, Cobet, Usener | τε : δὲ Kochalsky | ἐνεργείᾳ Usener : ἐνεργεῖν **BPFD** **1–2** οὐκ ἂν ποιῆσαι om. **FD**, *Frob.* **2** οὐκ εἶναι Sambucus, *Aldobr.* : οὐκ ἐινει τε **B** : οὐ κινεῖται **P**, οὗ κινεῖται in mg infer. $\mathbf{F}^2$ | τε : τὸ $\mathbf{F}^2$ | ἕτερον ἑτέρου $\mathbf{BPF}^2$ in mg : ἑτέρου $\mathbf{F}^1$, τέρου post lacunam **D** | σοφωτέροις $\mathbf{F}^1$ (corr. $\mathbf{F}^2$ in mg) **D** : σοφωτέρως *Frob.* | χρηματίσεσθαι **BPD** : χρηματίσασθαι **F** : χρηματιεῖσθαι Cobet **3** εὐπορήσαντα Gigante **4** μόναρχον : μόνον ἄρχων **F** | θεραπεύειν $\mathbf{F}^1$ (corr. $\mathbf{F}^2$) | ἐπιχαρήσεσθαι **PFΦ** : ἐπιχαρίσεσθαι **BD** **5** ἐπὶ : ἐν **F** **6** ὀχλαγωγῆσαι $\mathbf{BP}^1\mathbf{QF}^2$ (in mg γρ.) **Φ** : σχολαγωγῆσαι $\mathbf{F}^1\mathbf{D}$, *Frob.* : σχολαγώγηται $\mathbf{P}^4$ in mg γρ. **7** ἑκόντα $\mathbf{FDP}^4$ in mg γρ., *Frob.* : ἑκὼν $\mathbf{BP}^1\mathbf{Q\Phi}$ **10** τὸ ἑξῆς om. **D**, del. Bignone **11** ὑγείαν **FD**, *Frob.* **12** ἀνδρείαν **BFD** : ἀνδρίαν **PΦ**

ροντος. Καὶ τὴν φιλίαν διὰ τὰς χρείας ⟨εἶναι⟩· δεῖν μέντοι
προκατάρχεσθαι (καὶ γὰρ τὴν γῆν σπείρομεν), συνίστασ-
θαι δὲ αὐτὴν κατὰ κοινωνίαν ἐν τοῖς ταῖς ἡδοναῖς ἐκ-
πεπληρωμ⟨ένοις⟩. Τὴν εὐδαιμονίαν διχῇ νοεῖσθαι, τήν τε **121a**
ἀκροτάτην, οἵα ἐστὶ περὶ τὸν θεόν, ἐπίτασιν οὐκ ἔχουσαν·
καὶ τὴν ⟨κατὰ τὴν⟩ προσθήκην καὶ ἀφαίρεσιν ἡδονῶν.

Μετιτέον δ' ἐπὶ τὴν ἐπιστολήν·

"Ἐπίκουρος Μενοικεῖ χαίρειν.

Μήτε νέος τις ὢν μελλέτω φιλοσοφεῖν, μήτε γέρων **122**
ὑπάρχων κοπιάτω φιλοσοφῶν. Οὔτε γὰρ ἄωρος οὐδείς
ἐστιν οὔτε πάρωρος πρὸς τὸ κατὰ ψυχὴν ὑγιαῖνον. Ὁ δὲ
λέγων ἢ μήπω τοῦ φιλοσοφεῖν ὑπάρχειν ⟨τὴν⟩ ὥραν ἢ
παρεληλυθέναι [τὴν ὥραν] ὅμοιός ἐστι τῷ λέγοντι πρὸς
εὐδαιμονίαν ἢ μή⟨πω⟩ παρεῖναι τὴν ὥραν ἢ μηκέτι εἶναι.
Ὥστε φιλοσοφητέον καὶ νέῳ καὶ γέροντι, τῷ μὲν ὅπως
γηράσκων νεάζῃ τοῖς ἀγαθοῖς διὰ τὴν χάριν τῶν γεγονό-
των, τῷ δὲ ὅπως νέος ἅμα καὶ παλαιὸς ᾖ διὰ τὴν ἀφοβίαν

1 Καὶ – **4** Usener, Fr. 540 **4** Τὴν – **6** Usener, Fr. 407 *cc.* 122–135 edd. Usener (pp. 59–66), Von der Muehll, Bailey (pp. 82–93), C. Diano (*Epicuri Ethica,* 1946), Arrighetti, Bollack (1975), Conche (pp. 216–227) **9–p. 792.1** τῶν μελλόντων : Clem. *Strom.* 4.69.2–4

1 εἶναι addidi **2** γὰρ om. **F** **3** αὐτὴν **BP**^{1}**Q** : αὐτὸν **FDP**^{4} ss. | ἐν τοῖς ταῖς **BP**^{1}**Q** : ἐν ταῖς **FDP**^{4} : μεγίσταις Usener | ἐκπεπληρωμ⟨ένοις⟩ Bignone : ἐκπεπληρῶν **B**, ἐκπε-πληρων **P**^{1}**Q** : om. **FDP**^{4}, *Frob.* : ἐκπεπληρωμ⟨ένην⟩ Usener **6** κατὰ τὴν suppl. Usener **7** μετητέον **F** **8** μενοικεῖ **P**^{2}**D**, *Frob.* : μὲν· οικε **B**, μενοικε **P**^{1}**Q** : μὲν οἰκεῖ **F** **9** μελέτω **FD**, Clem. L **11** ὑγιαίνων **B** : ὑγιαίνειν Clem. **11** ὑγι-αῖνον – **12** ὑπάρχειν om. **DZ**, *Frob.* **12** ἢ^1 **P**^{4} : ἢ **F** : εἰ **B** : om. **P**^{1}, Clem. | τὴν add. Huebner | ὥραν del. Usener **13** τὴν ὥραν delevi **14** μήπω Clem., Usener : μὴ **BPFD** | παρῆναι **F** | μηκέτι : μὴ **F** **15** νεωτέρῳ Clem. | τὸ μὲν **F** **16** νεάζει **F** **17** τῶ δὲ ss. **F**^{2} | ἢ ss. **F**^{2}

τῶν μελλόντων. Μελετᾶν οὖν χρὴ τὰ ποιοῦντα τὴν εὐδαιμονίαν, εἴπερ παρούσης μὲν αὐτῆς πάντα ἔχομεν, ἀπούσης δὲ πάντα πράττομεν εἰς τὸ ταύτην ἔχειν.

123 Ἃ δέ σοι συνεχῶς παρήγγελλον, ταῦτα καὶ πρᾶττε καὶ μελέτα, στοιχεῖα τοῦ καλῶς ζῆν ταῦτ' εἶναι διαλαμβάνων. Πρῶτον μὲν τὸν θεὸν ζῷον ἄφθαρτον καὶ μακάριον νομίζων, ὡς ἡ κοινὴ τοῦ θεοῦ νόησις ὑπεγράφη, μηθὲν μήτε τῆς ἀφθαρσίας ἀλλότριον μήτε τῆς μακαριότητος ἀνοίκειον αὐτῷ πρόσαπτε· πᾶν δὲ τὸ φυλάττειν αὐτοῦ δυνάμενον τὴν μετὰ ἀφθαρσίας μακαριότητα περὶ αὐτὸν δόξαζε. Θεοὶ μὲν γὰρ εἰσίν· ἐναργὴς γὰρ αὐτῶν ἐστιν ἡ γνῶσις· οἵους δ' αὐτοὺς ⟨οἱ⟩ πολλοὶ νομίζουσιν, οὐκ εἰσίν· οὐ γὰρ φυλάττουσιν αὐτοὺς οἵους νομίζουσιν. Ἀσεβὴς δὲ οὐχ ὁ τοὺς τῶν πολλῶν θεοὺς ἀναιρῶν, ἀλλ' ὁ τὰς
124 τῶν πολλῶν δόξας θεοῖς προσάπτων. Οὐ γὰρ προλήψεις εἰσὶν ἀλλ' ὑπολήψεις ψευδεῖς αἱ τῶν πολλῶν ὑπὲρ θεῶν ἀποφάσεις. Ἔνθεν αἱ μέγισται βλαβῶν αἰτίαι τοῖς κακοῖς ἐκ θεῶν ἐπάγονται καὶ ὠφελειῶν ⟨τοῖς ἀγαθοῖς⟩. Ταῖς γὰρ ἰδίαις οἰκειούμενοι διὰ παντὸς ἀρεταῖς τοὺς ὁμοίους

6 τὸν θεὸν – **15** προσάπτων : **Φ** 9

4 παρήγγελον **FD**, παρήγγειλον *Frob.* **5** ταῦτα διαλαμβάνων εἶναι **FD**, *Frob.* **7** ὑπεγράφει **F** | μηδὲν **Φ** **10** περὶ αὐτοῦ Cobet **11** γὰρ^2 **BP^{2}QΦ** : μὲν γὰρ **P^{1}D**, *Frob.* : δὲ **F** | ἐστιν αὐτῶν **FD**, *Frob.* **12** οἱ add. Gassendi | νομίζουσιν : νοοῦσιν Usener **15** τῶν πολλῶν **BPDF^2** in mg γρ. : πολλοὺς **F^{1}Φ** | τοῖς θεοῖς **Φ** | προάπτων **P^{1}Q** (corr. **P^3**) **17** βλαβῶν et **18** ὠφελειῶν Von der Muehll : βλάβαι et ὠφέλειαι **BPFD** **17** αἰτίαι Von der Muehll : αἴτιαι **BPFD** : τε Usener (at cf. Philodemi *De pietate* p. 86.13 ss. Gomperz : βλάβης καὶ κακῶν ... αἰτίους εἶναι τοῖς ἀνθρώποις τοὺς θεούς = Usener, p. XXI) | αἴτιαι τοῖς κακοῖς del. Diano, Arrighetti, Gigante **18** ἐπίγονται **BP^1**, corr. **P^{2}Q** | τοῖς ἀγαθοῖς add. Gassendi | ταῖς : καὶ **F** **19** ⟨οἱ⟩ οἰκειούμενοι Barigazzi (*Hermes* 81 [1953] 145–158) | τοὺς ⟨ἑαυτοῖς⟩ ὁμοίους Barigazzi

ἀποδέχονται, πᾶν τὸ μὴ τοιοῦτον ὡς ἀλλότριον νομίζοντες.

Συνέθιζε δὲ ἐν τῷ νομίζειν μηθὲν πρὸς ἡμᾶς εἶναι τὸν θάνατον· ἐπεὶ πᾶν ἀγαθὸν καὶ κακὸν ἐν αἰσθήσει· στέρησις δέ ἐστιν αἰσθήσεως ὁ θάνατος. Ὅθεν γνῶσις ὀρθὴ τοῦ μηθὲν εἶναι πρὸς ἡμᾶς τὸν θάνατον ἀπολαυστὸν ποιεῖ τὸ τῆς ζωῆς θνητόν, οὐκ ἄπειρον προστιθεῖσα χρόνον, ἀλλὰ τὸν τῆς ἀθανασίας ἀφελομένη πόθον. Οὐθὲν γάρ ἐστιν ἐν **125**
τῷ ζῆν δεινὸν τῷ κατειληφότι γνησίως τὸ μηθὲν ὑπάρχειν ἐν τῷ μὴ ζῆν δεινόν. Ὥστε μάταιος ὁ λέγων δεδιέναι τὸν θάνατον οὐχ ὅτι λυπήσει παρών, ἀλλ' ὅτι λυπεῖ μέλλων. Ὃ γὰρ παρὸν οὐκ ἐνοχλεῖ προσδοκώμενον κενῶς λυπεῖ. Τὸ φρικωδέστατον οὖν τῶν κακῶν ὁ θάνατος οὐθὲν πρὸς ἡμᾶς, ἐπειδήπερ ὅταν μὲν ἡμεῖς ὦμεν, ὁ θάνατος οὐ πάρεστιν· ὅταν δὲ ὁ θάνατος παρῇ, τόθ' ἡμεῖς οὐκ ἐσμέν. Οὔτε οὖν πρὸς τοὺς ζῶντάς ἐστιν οὔτε πρὸς τοὺς τετελευτηκότας, ἐπειδήπερ περὶ οὓς μὲν οὐκ ἔστιν, οἱ δ' οὐκέτι εἰσίν.

Ἀλλ' οἱ πολλοὶ τὸν θάνατον ὁτὲ μὲν ὡς μέγιστον τῶν κακῶν φεύγουσιν, ὁτὲ δὲ ὡς ἀνάπαυσιν τῶν ἐν τῷ ζῆν ⟨κακῶν αἱροῦνται. Ὁ δὲ σοφὸς οὔτε παραιτεῖται τὸ ζῆν⟩, **126**
οὔτε φοβεῖται τὸ μὴ ζῆν· οὔτε γὰρ αὐτῷ προσίσταται τὸ

13 Τὸ φρικωδέστατον – **p. 799.7** διὰ ταύτην : **Φ** 9

1 νομίζοντες : ἀποδοκιμάζοντες Kochalsky **3** μηθὲν Huebner : μηδὲν **BPFD** **7** ἄπειρον *Aldobr.*, Menagius (cf. *Rat. sent.* XIX et XX) : ἄπορον **BPFD** **8** τῆς om. **FD**, *Frob.* | ἀφελωμένη **F** **9** γνησίως : γνώσεως **F** | μηθὲν Huebner : μηδὲν **BPFD** **10** δεδοιέναι **F** **12** παρὸν **P**^{2}**Q** : παρὼν **BP**^{1}**FD**, *Frob.* | post ἐνοχλεῖ add. τὸ δὲ **FD**, *Frob.* | λυπῇ **B** **13** οὐθὲν **BP** : οὐδὲν **FDΦ**, *Frob.* **16** τοὺς^2 om. **F** **21** κακῶν – τὸ ζῆν suppl. Usener : αἱροῦνται post v. 20 ζῆν ss. **Co**^{2} : κακῶν ποθοῦσιν suppl. Casaubon (post *Ambros.*) : ζητοῦσιν. Ὁ σοφὸς οὖν suppl. Meibom. **22** φοβῆται **F**

ζῆν, οὔτε δοξάζει κακὸν εἶναί τι τὸ μὴ ζῆν. Ὥσπερ δὲ τὸ σιτίον οὐ τὸ πλεῖον πάντως, ἀλλὰ τὸ ἥδιστον αἱρεῖται, οὕτω καὶ χρόνον οὐ τὸν μήκιστον, ἀλλὰ τὸν ἥδιστον καρπίζεται.

Ὁ δὲ παραγγέλλων τὸν μὲν νέον καλῶς ζῆν, τὸν δὲ γέροντα καλῶς καταστρέφειν εὐήθης ἐστὶν οὐ μόνον διὰ τὸ τῆς ζωῆς ἀσπαστόν, ἀλλὰ καὶ διὰ τὸ τὴν αὐτὴν εἶναι μελέτην τοῦ καλῶς ζῆν καὶ τοῦ καλῶς ἀποθνῄσκειν. Πολὺ δὲ χείρων καὶ ὁ λέγων "καλὸν μὲν μὴ φῦναι,

φύντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι."

127 Εἰ μὲν γὰρ πεποιθὼς τοῦτό φησι, πῶς οὐκ ἀπέρχεται ἐκ τοῦ ζῆν; Ἐν ἑτοίμῳ γὰρ αὐτῷ τοῦτ' ἔστιν, εἴπερ ἦν βεβουλευμένον αὐτῷ βεβαίως· εἰ δὲ μωκώμενος, μάταιος ἐν τοῖς οὐκ ἐπιδεχομένοις.

Μνημονευτέον δὲ ὡς τὸ μέλλον οὔτε πάντως ἡμέτερον οὔτε πάντως οὐχ ἡμέτερον, ἵνα μήτε πάντως αὐτὸ προσμένωμεν ὡς ἐσόμενον, μήτε ἀπελπίζωμεν ὡς πάντως οὐκ ἐσόμενον.

Ἀναλογιστέον δὲ ὡς τῶν ἐπιθυμιῶν αἱ μέν εἰσι φυσικαί, αἱ δὲ κεναί. Καὶ τῶν φυσικῶν αἱ μὲν ἀναγκαῖαι, αἱ δὲ

9–10 *Certam. Hom. et Hes.* 78–79 Allen; Theogn. 425 et 427

1 δοξάζει Richards : δοξάζεται **BPFDΦ** | τι **BPΦ** : τε **DZ**^{1} : om. **FZ**^{2}, *Frob.* **1–2** τὸ σιτίον : σιτίον **Φ**, Usener : τῶν σιτίων in mg **B**^{2} **2** τὸ πλεῖστον Leopold | τὸ ἥδιον Usener **7** τὸ^{2} : τοῦ **F** : om. **D** **9** χείρων **B**^{2}**PFΦ** : χεῖρον **B**^{1}**D**, *Frob.*, Usener **10** περάσαι **F** : περήσειν **Φ** **11** ἐκ del. Usener **15** ὡς : ὅτι **Φ** | οὔτε πάντως ἡμέτερον **Φ**, Von der Muehll : om. **BP**^{1}**F**^{1}**D**, *Frob.* : οὔτε ἡμέτερον add. in mg **P**^{2}**Q**, in mg **F**^{2} (ante μνημονευτέον) **16** μήτε : μὴ **F** | αὐτὸ **Φ** et add. Meibom. : om. **BPF** **17** ἐσομένου **F D** | ἀπελπίζομεν **BF** **19** δὲ : τε **Φ** **19** εἰσι – **20** αἱ μὲν om. **DZ**, *Frob.* **20** post αἱ μὲν addit εἰσιν **Φ**

φυσικαὶ μόνον· τῶν δὲ ἀναγκαίων αἱ μὲν πρὸς εὐδαιμονίαν εἰσὶν ἀναγκαῖαι, αἱ δὲ πρὸς τὴν τοῦ σώματος ἀοχλησίαν, αἱ δὲ πρὸς αὐτὸ τὸ ζῆν. Τούτων γὰρ ἀπλανὴς **128** θεωρία πᾶσαν αἵρεσιν καὶ φυγὴν ἐπανάγειν οἶδεν ἐπὶ τὴν τοῦ σώματος ὑγίειαν καὶ τὴν τῆς ψυχῆς ἀταραξίαν, ἐπεὶ τοῦτο τοῦ μακαρίως ζῆν ἐστι τέλος. Τούτου γὰρ χάριν πάντα πράττομεν, ὅπως μήτε ἀλγῶμεν μήτε ταρβῶμεν· ὅταν δὲ ἅπαξ τοῦτο περὶ ἡμᾶς γένηται, λύεται πᾶς ὁ τῆς ψυχῆς χειμών, οὐκ ἔχοντος τοῦ ζῴου βαδίζειν ὡς πρὸς ἐνδέον τι καὶ ζητεῖν ἕτερον ᾧ τὸ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀγαθὸν συμπληρώσεται. Τότε γὰρ ἡδονῆς χρείαν ἔχομεν, ὅταν ἐκ τοῦ μὴ παρεῖναι τὴν ἡδονὴν ἀλγῶμεν· ⟨ὅταν δὲ μὴ ἀλγῶμεν,⟩ οὐκέτι τῆς ἡδονῆς δεόμεθα. Καὶ διὰ τοῦτο τὴν ἡδονὴν ἀρχὴν καὶ τέλος λέγομεν εἶναι τοῦ μακαρίως ζῆν· ταύτην γὰρ ἀγαθὸν πρῶτον καὶ συγγενικὸν ἔγνωμεν, **129** καὶ ἀπὸ ταύτης καταρχόμεθα πάσης αἱρέσεως καὶ φυγῆς καὶ ἐπὶ ταύτην καταντῶμεν ὡς κανόνι τῷ πάθει πᾶν ἀγαθὸν κρίνοντες.

Καὶ ἐπεὶ πρῶτον ἀγαθὸν τοῦτο καὶ σύμφυτον, διὰ τοῦτο καὶ οὐ πᾶσαν ἡδονὴν αἱρούμεθα, ἀλλ᾽ ἔστιν ὅτε πολλὰς ἡδονὰς ὑπερβαίνομεν, ὅταν πλεῖον ἡμῖν τὸ δυσχερὲς ἐκ τούτων ἕπηται· καὶ πολλὰς ἀλγηδόνας ἡδονῶν κρείτ-

4 φυγεῖν **F** | ἐπανάγειν **B^{2}P^{1}QΦ** : ἐπαναγαγεῖν **B^{1}P^4 FD**, *Frob.* 5 τῆς ψυχῆς ss. add. **B^2**, Stephanus : τοῦ σώματος **PFDΦ** : om. **B^1**, Arndt 6 μακαρίου **F** 7 πάντα **BP^1 Φ** : ἅπαντα **FDP^4**, *Frob.* 10 post ἕτερον addit τι **F** | καὶ τὸ τοῦ **PΦ** 11 συμπληρώσεται **B^{1}Φ** : συμπληρώσηται **B^2 P^{1}Q** : συμπληρωθήσεται **FDP^4** ss. γρ., *Frob.* 12 παρῆναι **F** 12–13 ὅταν δὲ μὴ ἀλγῶμεν suppl. Gassendi (cf. Usener, Fr. 422) (μηδὲν pro μὴ Usener, μηκέτι Von der Muehll) 13 τοῦτο ss. **F^2** 19 ἐπεὶ : ἐπὶ **DP^4** in mg γρ. | τοῦτο^1 ss. **B^2** | τοῦτο^2 ss. **F^2** 20 καὶ οὐ **BP^4** ss., *Frob.* : καὶ **P^{1}FD** : om. **Φ** 21 ὑπερβαίνωμεν **B**

τους νομίζομεν, ἐπειδὰν μείζων ἡμῖν ἡδονὴ παρακολου-
θῇ πολὺν χρόνον ὑπομείνασι τὰς ἀλγηδόνας. Πᾶσα οὖν
ἡδονὴ διὰ τὸ φύσιν ἔχειν οἰκείαν ἀγαθόν, οὐ πᾶσα μέντοι
αἱρετή· καθάπερ καὶ ἀλγηδὼν πᾶσα κακόν, οὐ πᾶσα δὲ
130 ἀεὶ φευκτὴ πεφυκυῖα. Τῇ μέντοι συμμετρήσει καὶ συμ-
φερόντων καὶ ἀσυμφόρων βλέψει ταῦτα πάντα κρίνειν
καθήκει. Χρώμεθα γὰρ τῷ μὲν ἀγαθῷ κατά τινας χρόνους
ὡς κακῷ, τῷ δὲ κακῷ τοὔμπαλιν ὡς ἀγαθῷ.

Καὶ τὴν αὐτάρκειαν δὲ ἀγαθὸν μέγα νομίζομεν, οὐχ
ἵνα πάντως τοῖς ὀλίγοις χρώμεθα, ἀλλ' ὅπως ἐὰν μὴ ἔχω-
μεν τὰ πολλά, τοῖς ὀλίγοις ἀρκώμεθα, πεπεισμένοι γνη-
σίως ὅτι ἥδιστα πολυτελείας ἀπολαύουσιν οἱ ἥκιστα
ταύτης δεόμενοι, καὶ ὅτι τὸ μὲν φυσικὸν πᾶν εὐπόριστόν
ἐστι, τὸ δὲ κενὸν δυσπόριστον. Οἵ τε λιτοὶ χυλοὶ ἴσην
πολυτελεῖ διαίτῃ τὴν ἡδονὴν ἐπιφέρουσιν, ὅταν ἅπαν τὸ
131 ἀλγοῦν κατ' ἔνδειαν ἐξαιρεθῇ· καὶ μᾶζα καὶ ὕδωρ τὴν
ἀκροτάτην ἀποδίδωσιν ἡδονήν, ἐπειδὰν ἐνδέων τις αὐτὰ
προσενέγκηται. Τὸ συνεθίζειν οὖν ἐν ταῖς ἁπλαῖς καὶ οὐ
πολυτελέσι διαίταις καὶ ὑγιείας ἐστὶ συμπληρωτικὸν καὶ
πρὸς τὰς ἀναγκαίας τοῦ βίου χρήσεις ἄοκνον ποιεῖ τὸν

1 μεῖζον **F** | ἡμῖν om. **F**^{1} (ss. **F**^{2}) **D**, *Frob.* | παρακολουθεῖ **F** **3** ἀγαθὴ ss. **P**^{4} | μέντοι ⟨γ'⟩ Usener **4** ἀρετὴ **B**^{1} (corr. **B**^{2}) | κακή **FD**, *Frob.* **5** φευκτὴ ἀεὶ **FΦ** | φευκτικὴ **DP**^{4} in mg γρ. | πεφυκυῖα om. **F** **6** ἐπιβλέψει coni. Usener **7** τὸ μὲν ἀγαθὸν **F** **8** τοὔμπαλιν **P**^{2}**QΦ** : τὸ ἔμπαλιν **FD**, *Frob.* : ὅτ' ἂν πάλιν **B** : τὰν πάλιν **P**^{1} : τἄμπαλιν Usener **9** post δὲ add. ὡς **Φ** | ἀγαθῶ **F** **10** πάντως om. **F** | ἔχομεν **F** **11** ἀρκώμεθα Cobet : χρώμεθα **BPFDΦ** | πεπισμένοι **B** **14** καινὸν **P** | οἵ τε : οἱ γὰρ Usener : ὅτι τε Von der Muehll **15** πολυτελεῖ **P**^{2}**QΦ**, *Frob.* : πολυτέλειαν **B**^{2} **P**^{1} | ἡδονὴν : ἀηδίαν Usener | περιφέρουσιν **FD**, *Frob.* | ἅπαν : ἅπαξ Usener (p. XXI) **16** ἐξερεθῇ **B**^{1} (corr. **B**^{2}) **17** ἀποδιδόασιν **Φ** | ἐνδέον **F** : ἐνδέοντι **Φ** **18** ἐν om. **F** | οὐ om. **F** **19** πολυτελαῖς **F** | ὑγείας **FΦ**

ἄνθρωπον καὶ τοῖς πολυτελέσιν ἐκ διαλειμμάτων προσερχομένους κρεῖττον ἡμᾶς διατίθησι καὶ πρὸς τὴν τύχην ἀφόβους παρασκευάζει.

Ὅταν οὖν λέγωμεν ἡδονὴν τέλος ὑπάρχειν, οὐ τὰς τῶν ἀσώτων ἡδονὰς καὶ τὰς ἐν ἀπολαύσει κειμένας λέγομεν, ὥς τινες ἀγνοοῦντες καὶ οὐχ ὁμολογοῦντες ἢ κακῶς ἐκδεχόμενοι νομίζουσιν, ἀλλὰ τὸ μήτε ἀλγεῖν κατὰ σῶμα μήτε ταράττεσθαι κατὰ ψυχήν. Οὐ γὰρ πότοι καὶ κῶμοι 132
συνείροντες, οὐδ' ἀπόλαυσις παίδων καὶ γυναικῶν, οὐδ' ἰχθύων καὶ τῶν ἄλλων ὅσα φέρει πολυτελὴς τράπεζα τὸν ἡδὺν γεννᾷ βίον, ἀλλὰ νήφων λογισμός, καὶ τὰς αἰτίας ἐξερευνῶν πάσης αἱρέσεως καὶ φυγῆς, καὶ τὰς δόξας ἐξελαύνων, ἐξ ὧν πλεῖστος τὰς ψυχὰς καταλαμβάνει θόρυβος.

Τούτων δὲ πάντων ἀρχὴ καὶ τὸ μέγιστον ἀγαθὸν φρόνησις· διὸ καὶ φιλοσοφίας τιμιώτερον ὑπάρχει φρόνησις, ἐξ ἧς αἱ λοιπαὶ πᾶσαι πεφύκασιν ἀρεταί, διδάσκουσα ὡς οὐκ ἔστιν ἡδέως ζῆν ἄνευ τοῦ φρονίμως καὶ καλῶς καὶ δικαίως, ⟨οὐδὲ φρονίμως καὶ καλῶς καὶ δικαίως⟩ ἄνευ τοῦ ἡδέως. Συμπεφύκασι γὰρ αἱ ἀρεταὶ τῷ ζῆν ἡδέως, καὶ τὸ

1 διειλημμάτων **B** | προσερχομένους **Φ**, *Frob.* : προσερχομένοις **BPFD** **4** λέγομεν **F** | τὴν ἡδονὴν **Φ** | ὑπάρχειν, οὐ : εἶναι καὶ **F** **5** post τὰς addunt τῶν **BPFD** : om. **Φ** et Rossi **7** ἀλγεῖν : λέγειν **DZ**[1] **9** συνίροντες **B**[1] (corr. **B**[2]) | συνείροντες om. **Φ** | ἀπόλαυσις **Φ** et Usener : ἀπολαύσεις **BPFD** **11** ἡδὺν : ἡδίον **F** : ἡδὴν **D** : ἡδίω coni. Usener | post ἡδὺν addit καὶ γενναῖον **Φ** | γεννᾷ : (βίον) ποιοῦσιν **Φ** **13** ἐξ ὧν **ΒΦ** : om. **PF** : ἀφ' οὗ **DZ**, *Frob.* **16** διὸ – φρόνησις om. **Φ** | φιλοσοφία **BP**[1]**Q** | ὑπάρχει om. **F** **17** πᾶσαι om. **F** | διδάσκουσα H. Dulac (*Revue de philos.* 1 [1877] 204), Usener : διδάσκουσαι **BPFD** **Φ** : διδασκούσης Rossi **19** οὐδὲ – δικαίως suppl. Stephanus (in Cic. Lexico, 1557, p. 52), cf. *Rat. sent.* V **20** τῷ : τὸ **B**[1] : τοῦ **F**

ζῆν ἡδέως τούτων ἐστὶν ἀχώριστον.

133 Ἐπεὶ τίνα νομίζεις εἶναι κρείττονα τοῦ καὶ περὶ θεῶν ὅσια δοξάζοντος καὶ περὶ θανάτου διὰ παντὸς ἀφόβως ἔχοντος καὶ τὸ τῆς φύσεως ἐπιλελογισμένου τέλος· καὶ τὸ μὲν τῶν ἀγαθῶν πέρας ὡς ἔστιν εὐσυμπλήρωτόν τε καὶ εὐπόριστον διαλαμβάνοντος, τὸ δὲ τῶν κακῶν ὡς ἢ χρόνους ἢ πόνους ἔχει βραχεῖς· τὴν δὲ ὑπό τινων δεσπότιν εἰσαγομένην πάντων ἀγγέλλοντος ⟨εἱμαρμένην ...; ... ὧν ἃ μὲν κατ' ἀνάγκην γίνεται⟩, ἃ δὲ ἀπὸ τύχης, ἃ δὲ παρ' ἡμᾶς, διὰ τὸ τὴν μὲν ἀνάγκην ἀνυπεύθυνον εἶναι, τὴν δὲ τύχην ἄστατον ὁρᾶν, τὸ δὲ παρ' ἡμᾶς ἀδέσποτον, ᾧ καὶ τὸ
134 μεμπτὸν καὶ τὸ ἐναντίον παρακολουθεῖν πέφυκεν | (ἐπεὶ κρεῖττον ἦν τῷ περὶ θεῶν μύθῳ κατακολουθεῖν ἢ τῇ τῶν φυσικῶν εἱμαρμένῃ δουλεύειν· ὁ μὲν γὰρ ἐλπίδα παραιτήσεως ὑπογράφει θεῶν διὰ τιμῆς, ἡ δὲ ἀπαραίτητον ἔχει τὴν ἀνάγκην)· τὴν δὲ τύχην οὔτε θεόν, ὡς οἱ πολλοὶ νομίζουσιν, ὑπολαμβάνων (οὐθὲν γὰρ ἀτάκτως θεῷ πράττε-

2 νομίζεις : νομίζει τις **Φ** **4** ἐπιλελογισμένου **BP**^{1}**Φ** : ἐπιλελογισμένον **FDP**^{4}, *Frob.* **7** βραχεῖς· τὴν **BP** : βραδύστην **F**^{1} : βραχίστην **D(F**^{2}**)Z**, *Frob.* | δεσπότην **BD** **8** ἀγγέλλοντος **BFD**, *Frob.* : ἀγγέλοντος **P**^{2}, ἀγγελῶντος **P**^{1} (in mg) **Q** : ἀνελόντος Kuehn : διαγελῶντος Usener : ἐγγελῶντος Bailey | post ἀγγέλλοντος lac. indic. Usener | εἱμαρμένην suppl. Usener (cf. v. 14), agn. Bignone, Bailey | ⟨κενὸν ὄνομα εἶναι; Οὗτος γὰρ τὴν τῶν γινομένων κυριωτάτην αἰτίαν παρ' ἡμᾶς τίθεται, ὧν ἃ μὲν κατ' ἀνάγκην γίνεται⟩ suppl. Bignone et Bailey : ⟨καὶ μᾶλλον ἃ μὲν κατ' ἀνάγκην γίνεσθαι λέγοντος⟩ suppl. Usener e.g. : ἀγγέλλοντος corruptum et quae usque ad v. 12 πέφυκεν sequuntur ut scholion eicienda Von der Muehll **10** ἀνυπεύθυνον **BP**^{1} : ὑπεύθυνον **FDP**^{4}, *Frob.* **12** μελπτὸν **P**^{1}**Q** : μενπτὸν **B**^{1} | πέφυκεν om. **F** **13** ante κρεῖττον addit καὶ **F** | ἦν om. **FΦ** | κατακολουθεῖν **BP**^{1} : ἀκολουθεῖν **FDP**^{4}, *Frob.* : δουλεύειν (ex v. 14) **Φ** **17** ὑπολαμβάνων : ὑπολαμβάνοντος Usener : om. **Φ** | οὐδὲν **F** **Φ** | ἄτακτον **Φ**

ται), οὔτε ἀβέβαιον ⟨πάντων⟩ αἰτίαν (⟨οὐκ⟩ οἴεται μὲν γὰρ
ἀγαθὸν ἢ κακὸν ἐκ ταύτης πρὸς τὸ μακαρίως ζῆν ἀνθρώ-
ποις δίδοσθαι, ἀρχὰς μέντοι μεγάλων ἀγαθῶν ἢ κακῶν
ὑπὸ ταύτης χορηγεῖσθαι), | κρεῖττον εἶναι νομίζων εὐλο- 135
γίστως ἀτυχεῖν ἢ ἀλογίστως εὐτυχεῖν· βέλτιον γὰρ ἐν
ταῖς πράξεσι τὸ καλῶς κριθὲν ⟨μὴ ὀρθωθῆναι ἢ τὸ μὴ κα-
λῶς κριθὲν⟩ ὀρθωθῆναι διὰ ταύτην.

Ταῦτα οὖν καὶ τὰ τούτοις συγγενῆ μελέτα πρὸς σεαυτὸν ἡμέρας καὶ νυκτὸς πρός ⟨τε⟩ τὸν ὅμοιον σεαυτῷ, καὶ οὐδέποτε οὔθ' ὕπαρ οὔτ' ὄναρ διαταραχθήσῃ, ζήσεις δὲ ὡς θεὸς ἐν ἀνθρώποις. Οὐθὲν γὰρ ἔοικε θνητῷ ζῴῳ ζῶν ἄνθρωπος ἐν ἀθανάτοις ἀγαθοῖς."

Μαντικὴν δ' ἅπασαν ἐν ἄλλοις ἀναιρεῖ, ὡς καὶ ἐν τῇ Μικρᾷ ἐπιτομῇ. Καί φησι· "Μαντικὴ οὖσα ἀνύπαρκτος, εἰ

13–p. 802.4 edd. Usener (p. XXXI s.), Bailey (pp. 168–170), Arrighetti (pp. 29–31), Bollack (1975, pp. 158–163) **13–p. 800.1** Usener, Frr. 27 et 395

1 πάντων addidi post C. Bailey : post αἰτίαν suppl. μεγίστων ἀγαθῶν ἢ κακῶν Bignone | οὐκ add. Usener : μὴ ante v. 3 δίδοσθαι add. Gassendi post *Aldobr.* | οἴεται : νομίζεται **Φ** **3** δίδοται **F** **4** νομίζων **BPD**, *Frob.* : νομίζειν **F** : νομίζοντος Usener : νομίζει *Ambros.*, Bailey **5** βέλτιστον Usener **6** τὸ κριθὲν ἐν ταῖς πράξεσι καλῶς **FD**, *Frob.* **6–7** μὴ ὀρθωθῆναι ἢ τὸ μὴ καλῶς κριθὲν suppl. Madvig (*Adv.* I, 716) : σφαλῆναι μᾶλλον ἢ τὸ κακῶς κριθὲν suppl. Bailey **7** ὠρθωθῆναι **F** **8** οὖν om. **F** **8–9** πρὸς σεαυτὸν ἡμέρας καὶ νυκτὸς **BP** : διαπαντὸς ἡμέρας καὶ νυκτὸς πρὸς ἑαυτὸν **DZ**, *Frob.* : ἡμέρας τε καὶ νυκτὸς **F** **9** πρός ⟨τε⟩ Usener : καὶ πρὸς **D**, *Frob.* : πρὸς **BPF** **10** ζήσεις **B**, ζήσης **F** : ζήσῃ $\mathbf{P^2}$**QD**, ζήσῃ *Frob.* **11** ζῶν $\mathbf{B^2}$, *Frob.* : ζῶον **PD** : ζῶον ὃ **F** **13** ὡς καὶ – **14** ἐπιτομῇ om. **F** **14** καὶ ss. $\mathbf{B^2}$ | μαντικὴ οὖσα **B** : μαντικὴν ὅσα $\mathbf{P^1}$**Q** : μαντικὴν ὡς $\mathbf{F^1P^4}$ in mg γρ., μαντικῇ ὡς **D** **14–p. 800.1** εἰ καὶ $\mathbf{BP^1}$**Q** : εἰ δὲ καὶ $\mathbf{FDP^4}$ ss., *Frob.*

καὶ ὑπαρκτή, οὐθὲν παρ' ἡμᾶς ἡγη⟨τέα⟩ τὰ γινόμενα."

Τοσαῦτα καὶ περὶ τῶν βιωτικῶν· καὶ ἐπὶ πλείω διείλεκται ἀλλαχόθι.

136 Διαφέρεται δὲ πρὸς τοὺς Κυρηναϊκοὺς περὶ τῆς ἡδονῆς· οἱ μὲν γὰρ τὴν καταστηματικὴν οὐκ ἐγκρίνουσι, μόνην δὲ τὴν ἐν κινήσει· ὁ δὲ ἀμφότερα ⟨τὰ γένη⟩ ψυχῆς καὶ σώματος, ὥς φησιν ἐν τῷ Περὶ αἱρέσεως καὶ φυγῆς καὶ ἐν τῷ Περὶ τέλους καὶ ἐν ⟨τῇ⟩ α΄ Περὶ βίων καὶ ἐν τῇ πρὸς τοὺς ἐν Μυτιλήνῃ φίλους ἐπιστολῇ. Ὁμοίως δὲ καὶ Διογένης ἐν τῇ ιζ΄ τῶν Ἐπιλέκτων καὶ Μητρόδωρος ἐν τῷ Τιμοκράτει λέγουσιν οὕτω· "Νοουμένης δὲ ἡδονῆς τῆς τε κατὰ κίνησιν καὶ τῆς καταστηματικῆς." Ὁ δ' Ἐπίκουρος ἐν τῷ Περὶ αἱρέσεων οὕτω λέγει· "Ἡ μὲν γὰρ ἀταραξία καὶ ἀπονία καταστηματικαί εἰσιν ἡδοναί· ἡ δὲ χαρὰ καὶ ἡ εὐφροσύνη κατὰ κίνησιν ἐνεργείᾳ βλέπονται."

4–9 ἐπιστολῇ : Usener, Fr. 1 **4–p. 802.4** cf. **Φ** 9 **4–7** σώματος : Aristippi Fr. 206 Mannebach **10–12** Metrodori Fr. 29 Koerte **13–15** Usener, Fr. 2

1 ὑπαρκτὴ **BP^{1}F** : ὑπαρκτικὴ **DP^4** in mg γρ., *Frob.* | οὐθὲν Long : οὐδὲν **BPFD** | παρ' : πρὸς Meibom. | ἡγη⟨τέα⟩ τὰ Usener, ἡγη⟨τέον⟩ τὰ iam Meibom. : ἡγητὰ **B^1** (τὰ **B^2**) : ἡγῆ τὰ **PFD**, *Frob.* : ἡγοῦ τὰ Meibom. (in notis), Cobet : ἤδη τὰ Gassendi | γενόμενα **P^{1}Q** **2** διείλεκται **PQF^1** : διέλεκται **B** : διείλεγκται **F^2** : διήλεκται **D**, *Frob.* **4** τῆς om. **F** **5** ἐγκρίνουσι **P^{2}QFDΦ** : εκρίνουσι **B^1**, ἐκκρίνουσι **B^{2}P^1** **6** ἀμφοτέρα : ἀμφοτέρας Gassendi, agn. Arrighetti : ἀμφοτέραν Meibom. | τὰ γένη suppl. Bignone, lac. indic. Usener **8** ⟨τῇ⟩ α΄ scripsi : α΄ **BP** : τῶ **FD**, *Frob.* : τῷ α΄ *Aldobr.* **9** μιτυλήνη **BPFD**, corr. Cobet | φίλους : φιλοσόφους Gassendi **10** ἐν τῇ – ἐπιλέκτων om. **F** | μητρόδωρος **PD** : δημόκριτος **B** **11** δὲ : διχῶς coni. Usener **13** ἐν τῶ περὶ αἱρέσεων om. **F** | γὰρ om. **F** **14** ἀπονία : ἀπονοία **B^{1}F^1** **15** ἡ om. **FDP^4**, *Frob.*

137 Ἔτι πρὸς τοὺς Κυρηναϊκούς· οἱ μὲν γὰρ χείρους τὰς σωματικὰς ἀλγηδόνας τῶν ψυχικῶν ⟨εἶναι⟩· κολάζεσθαι γοῦν τοὺς ἁμαρτάνοντας σώματι· ὁ δὲ τὰς ψυχικάς· τὴν γοῦν σάρκα τὸ παρὸν μόνον χειμάζειν, τὴν δὲ ψυχὴν καὶ τὸ παρελθὸν καὶ τὸ παρὸν καὶ τὸ μέλλον. Οὕτως οὖν καὶ μείζονας ἡδονὰς εἶναι ⟨τὰς⟩ τῆς ψυχῆς. Ἀποδείξει δὲ χρῆται τοῦ τέλος εἶναι τὴν ἡδονὴν τῷ τὰ ζῷα ἅμα τῷ γεννηθῆναι τῇ μὲν εὐαρεστεῖσθαι, τῷ δὲ πόνῳ προσκρούειν φυσικῶς καὶ χωρὶς λόγου. Αὐτοπαθῶς οὖν φεύγομεν τὴν ἀλγηδόνα· ἵνα καὶ ὁ Ἡρακλῆς καταβιβρωσκόμενος ὑπὸ τοῦ χιτῶνος βοᾷ·

> δάκνων, ἰύζων· ἀμφὶ δ' ἔστενον πέτραι
> Λοκρῶν τ' ὄρειοι πρῶνες Εὐβοίας τ' ἄκραι.

138 Διὰ δὲ τὴν ἡδονὴν καὶ τὰς ἀρετὰς αἱρεῖσθαι, οὐ δι' αὐτάς, ὥσπερ τὴν ἰατρικὴν διὰ τὴν ὑγίειαν, καθά φησι

1–6 τῆς ψυχῆς : Usener, Fr. 452 **1–3** τὰς ψυχικάς : Aristippi Fr. 188b Mannebach **6–13** Usener, Fr. 66 **12–13** Sophoclis *Trach.* 787–788 **14–p. 802.1** τῶν Ἐπιλέκτων : Usener, Fr. 504

2 εἶναι addidi **6** τὰς add. Cobet | τὰς ψυχικάς **Φ** **7** τοῦ : τὸ **F** | τῷ^1 **B**^{2}**Φ** : τὸ **B**^{1}**P**^{1} : ὦ **FDP**^{4} in mg γρ., *Frob.* **8** γενηθῆναι **B** | τῇ : τὴν **D** ss. **P**^{4}, *Frob.* | εὐαρεστῆσθαι **F** | πόνῳ : γόνῳ **F** **9** φεύγωμεν **B** **10** ἵνα **PFD** : om. **B** : ὁπότε **Φ** | ἡρακλεῖς **B** **11** χιτῶνος **FDP**^{4}, *Frob.* : χειμόνος **B**, χειμῶνος **P**^{1}**Q** | βοᾷ Menagius : βοη **B**, βοῇ **PFΦ** **11–12** βοῇ δάκνων ἰύζων in mg **F**^{2} : om. **D**, *Frob.* **12** δάκνων : βοῶν Soph. : δακρύων Casaubon, agn. Bailey : λάσκων Dobree, agn. Huebner, Cobet | ἰύζων **PF** et Soph. : ιυξων **B**^{1}, ἤυξων **B**^{2} : ἴυζεν **Φ** | ἔστενον : ἐκτύπουν Soph. **13** τ'^{1} **P**^{2}**QFD** : τε **BP**^{1} : om. Soph. | ὄριοι **BP**^{1} | πρῶνος **P**^{1} | ἄκραι **BP**^{2}**QΦ** et Soph. : ἄκρα **P**^{1}**FD** **14** ἀρετὰς : τέχνας **D**, *Frob.* **15** αὐτάς **FDΦ** : αὐτὰς **BP**^{2}**Q** | καθά φησι (omisso καὶ) ss. **F**^{2}

καὶ Διογένης ἐν τῇ κ΄ τῶν Ἐπιλέκτων, ὃς καὶ διαγωγὴν λέγει τὴν ἀγωγήν. Ὁ δ' Ἐπίκουρος καὶ ἀχώριστόν φησι τῆς ἡδονῆς τὴν ἀρετὴν μόνην· τὰ δ' ἄλλα χωρίζεσθαι, οἷον βρωτά.

Καὶ φέρε οὖν δὴ νῦν τὸν κολοφῶνα, ὡς ἂν εἴποι τις, ἐπιθῶμεν καὶ τοῦ παντὸς συγγράμματος καὶ τοῦ βίου τοῦ φιλοσόφου, τὰς Κυρίας αὐτοῦ δόξας παραθέμενοι καὶ ταύταις τὸ πᾶν σύγγραμμα κατακλείσαντες, τέλει χρησάμενοι τῇ τῆς εὐδαιμονίας ἀρχῇ.

139 I. Τὸ μακάριον καὶ ἄφθαρτον οὔτε αὐτὸ πράγματα ἔχει οὔτε ἄλλῳ παρέχει, ὥστε οὔτε ὀργαῖς οὔτε χάρισι συνέχεται· ἐν ἀσθενεῖ γὰρ πᾶν τὸ τοιοῦτον. [Ἐν ἄλλοις δέ φησι τοὺς θεοὺς λόγῳ θεωρητούς, οὐ μὲν κατ' ἀριθμὸν ὑφεστῶτας, ⟨οἵ⟩ους δὲ κατὰ ὁμοείδειαν ἐκ τῆς συνεχοῦς ἐπιρρύσεως τῶν

2–4 Usener, Fr. 506 **5–9** Usener, p. 68 *cc.* 139–154 edd. Usener (pp. 71–81), Von der Muehll, Bailey (pp. 94–105), Diano (*Epicuri Ethica,* 1946), Arrighetti (pp. 120–137), Bollack (1975, pp. 211–407), Conche (pp. 230–245). Cf. Bignone, *Aegyptus* 13 (1933) 419–435 **10–12** = *Sent. Vat.* 1; Diogen. Oenoand. Fr. 24 Chilton **12–p. 803.1** Usener, Fr. 355. Cf. Cic. *N.D.* 1.49; Aet. 1.7.34. G. Freymuth, *Philol.* 99 (1955) 234–244

1 ἐν τῇ ἐπιλέκτω κ΄ **FD** **2** ἀγωγήν : ἀρετήν Meibom. **2** ὁ δ' – **4** βροτά in mg infer. **F**^{2} **4** βρωτά **B**^{2}**PQ** : βροτά **B**^{1}**F**^{2}, def. Bignone : βρατά (voluit βρωτά) **D**, *Frob.* **6** καὶ^1 om. **FDP**^{4}, *Frob.* **7** αὐτοῦ om. **F** **10** πράγματα : πρᾶγμ' *Schol. Townl.* ad *Iliad.* 24.526, πρᾶγμα Sen. *Apocol.* 8 **11** ἄλλῳ **B**^{2}**PD** : ἄλλο **B**^{1}**F** : ἄλλοις *Schol.*, Seneca | οὔτε^2 om. **F** | συνέχεσθαι **B** **12** ἀσθενεῖ : ἀσθενείᾳ *Sent. Vat.*, Philodemi *De ira* col. 43, p. 86 Wilke, Nemes. *De nat. hom.* 44, Cic. *N.D.* 1.122 et 124, cf. p. 760.10 **12** Ἐν ἄλλοις – **p. 803.1** ut scholion eiecit Usener **13** οὐ Gassendi (*nec* ..., *sed* Cicero) : οὓς **BPFD** **14** ⟨οἵ⟩ους Bignone : οὓς **BPFD** : ὡς Gassendi : ὅσον Diano | ὁμοείδειαν **P**^{2}**Q** : ὁμοειδίαν **BD**, *Frob.* : ὁμοιδίαν **P**^{1} : ὁμοιοειδίαν **F**

ὁμοίων εἰδώλων ἐπὶ τὸ αὐτὸ ἀποτετελεσμένους, ἀνθρωποειδεῖς.]

II. Ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς· τὸ γὰρ διαλυθὲν ἀναισθητεῖ· τὸ δ' ἀναισθητοῦν οὐδὲν πρὸς ἡμᾶς.

III. Ὅρος τοῦ μεγέθους τῶν ἡδονῶν ἡ παντὸς τοῦ ἀλγοῦντος ὑπεξαίρεσις. Ὅπου δ' ἂν τὸ ἡδόμενον ἐνῇ, καθ' ὃν ἂν χρόνον ᾖ, οὐκ ἔστι τὸ ἀλγοῦν ἢ τὸ λυπούμενον ἢ τὸ συναμφότερον.

IV. Οὐ χρονίζει τὸ ἀλγοῦν συνεχῶς ἐν τῇ σαρκί, ἀλλὰ **140**
τὸ μὲν ἄκρον τὸν ἐλάχιστον χρόνον πάρεστι, τὸ δὲ μόνον ὑπερτεῖνον τὸ ἡδόμενον κατὰ σάρκα οὐ πολλὰς ἡμέρας συμμένει. Αἱ δὲ πολυχρόνιοι τῶν ἀρρωστιῶν πλεονάζον ἔχουσι τὸ ἡδόμενον ἐν τῇ σαρκὶ ἤπερ τὸ ἀλγοῦν.

V. Οὐκ ἔστιν ἡδέως ζῆν ἄνευ τοῦ φρονίμως καὶ καλῶς καὶ δικαίως, ⟨οὐδὲ φρονίμως καὶ καλῶς καὶ δικαίως⟩ ἄνευ τοῦ ἡδέως. Ὅτῳ δὲ τοῦτο μὴ ὑπάρχει [οὐ ζῇ φρονίμως καὶ καλῶς καὶ δικαίως ὑπάρχει], οὐκ ἔστι τοῦτον ἡδέως ζῆν.

2–3 = *Sent. Vat.* 2; Diog. Oen. Fr. 25 **4–7** Diog. Oen. Fr. 28; Dem. Lac. *Pap. Herc.* 1012, col. 23 De Falco **8–12** = *Sent. Vat.* 3; Diog. Oen. Fr. 38 **13–16** = *Sent. Vat.* 5; Diog. Oen. Fr. 37

1 ὁμοίων : ἰδίων **F** | ἀποτετελεσμένους Kuehn, Usener : ἀποτετελεσμένων **BPD** : τετελεσμένων **F** **2** διαλυθὲν : ἀναλυθὲν **B** : λυθὲν Plut. *Non posse*... 1103 D **3** ἀναίσθητον Stob. 4.51.29 **6** ἂν **FDP**^{4} ss. : om. **BP**^{1}**Q** | τὸ^2 om. **BP**^{1}**Q** et Diog. Oen. **8** οὐ ss. **P**^{2} **10** τὸ ἡδόμενον – **12** ἔχουσι om. **DZ**, *Frob.*, in mg infer. **F**^{2} **11** συμμένει Bywater : συμβαίνει **BPFD** : ὑπάρχει *Sent. Vat.* **14** οὐδὲ – δικαίως suppl. Gassendi, habet Diog. Oen. **14** ἄνευ – **16** καλῶς om. **F** **15** ὅτω **BPD** : ὅπου *Sent. Vat.* | δὲ τοῦτο : δ' ἐν τούτων Usener **15** οὐ ζῇ – **16** ὑπάρχει om. *Sent. Vat.*, secl. Von der Muehll **15** οὐ : οἷον Usener : ⟨ἐξ⟩ οὗ Bignone | ζῇ : ζῆν Gassendi, Usener, Bignone **16** post καὶ add. ὧ **FD**, *Frob.* | τοῦτον : τοῦτο **B**^{1} (corr. **B**^{2}) : om. *Sent. Vat.*

VI. Ἕνεκα τοῦ θαρρεῖν ἐξ ἀνθρώπων ⟨πάντα⟩ ἦν κατὰ φύσιν [ἀρχῆς καὶ βασιλείας] ἀγαθά, ἐξ ὧν ἄν ποτε τοῦτο οἷός τ' ᾖ παρασκευάζεσθαι.

141 VII. Ἔνδοξοι καὶ περίβλεπτοί τινες ἐβουλήθησαν γενέσθαι, τὴν ἐξ ἀνθρώπων ἀσφάλειαν οὕτω νομίζοντες περιποιήσεσθαι. Ὥστε εἰ μὲν ἀσφαλὴς ὁ τῶν τοιούτων βίος, ἀπέλαβον τὸ τῆς φύσεως ἀγαθόν· εἰ δὲ μὴ ἀσφαλής, οὐκ ἔχουσιν οὗ ἕνεκα ἐξ ἀρχῆς κατὰ τὸ τῆς φύσεως οἰκεῖον ὠρέχθησαν.

VIII. Οὐδεμία ἡδονὴ καθ' ἑαυτὴν κακόν· ἀλλὰ τὰ τινῶν ἡδονῶν ποιητικὰ πολλαπλασίους ἐπιφέρει τὰς ὀχλήσεις τῶν ἡδονῶν.

142 IX. Εἰ κατεπυκνοῦτο πᾶσα ἡδονὴ τ⟨όπ⟩ῳ καὶ χρόνῳ καὶ περὶ ὅλον τὸ ἄθροισμα ὑπῆρχεν ἢ τὰ κυριώτατα μέρη τῆς φύσεως, οὐκ ἄν ποτε διέφερον ἀλλήλων αἱ ἡδοναί.

X. Εἰ τὰ ποιητικὰ τῶν περὶ τοὺς ἀσώτους ἡδονῶν ἔλυε τοὺς φόβους τῆς διανοίας τούς τε περὶ μετεώρων καὶ θανάτου [καὶ ἀλγηδόνων], ἔτι τε τὸ πέρας τῶν ἐπιθυμιῶν

1–3 Diog. Oen. Fr. 26 **10–12** = *Sent. Vat.* 50; Diog. Oen. Fr. 26 **16–p. 805.4** Diog. Oen. Fr. 27. Cf. Cic. *De fin.* 2.21

1 πάντα addidi | ἦν Usener : ἢ **BPFD** **2** ἀρχῆς καὶ βασιλείας ut glossema ad ἐξ ὧν eiecit Usener | ἀγαθά coni. Usener : ἀγαθὸν **BPFD** | τοῦτο post v. 3 ᾖ Diog. Oen. | τοῦτό ⟨τις⟩ Meibom. **3** τ' ἦν **B**^{1} (corr. **B**^{2}) : τι **P**^{1} (corr. **P**^{2}) **4** ἠβουλήθησαν **F** **10** ἑαυτὴν **FDP**^{4} ss. γρ., *Frob.* et Diog. Oen., *Sent. Vat.* : ἑαυτὸ **BP**^{1}**Q** | κακὸν **BP**^{1}**Q** : κακὴ **FDP**^{4} ss. γρ. | τὰ om. **FD**, *Frob.* **10–11** τινῶν ἡδονῶν : om. *Sent. Vat.*, ἡδονῶν ss. **B**^{2} **11** post ποιητικὰ addit ἐνίων *Sent. Vat.* **13** κατεπυκνοῦτο **FDP**^{4} ss. γρ., *Frob.* : κατεπύκνου **BP**^{1}**Q** | τ⟨όπ⟩ῳ Diano (*S.I.F.C.* 12 [1935] 243) : τῶ **BP**^{1}**Q** : om. **FDP**^{4}, *Frob.* | καὶ^1 **B**^{2} (in lacuna) **P**^{1}**FD** : τῷ Arndt (35) **14** περὶ ὅλον Rossi : περίοδον **BP**^{1}**Q**, περὶ ὁδὸν **FDP**^{4} ss γρ., *Frob.* **16** ποιητικὰ **BP**^{1} : ποιητὰ **FDP**^{4} in mg γρ., *Frob.* | ἀσώτους **BP**^{1} : ἀσωμάτους **FDP**^{4} ss. γρ., *Frob.* **18** καὶ ἀλγηδόνων del. Von der Muehll (*Mus. Helv.* 22 [1965] 229–231)

⟨καὶ τῶν ἀλγηδόνων⟩ ἐδίδασκεν, οὐκ ἄν ποτε εἴχομεν ὅ τι μεμψαίμεθα αὐτοῖς, πανταχόθεν ἐκπληρουμένοις τῶν ἡδονῶν καὶ οὐθαμόθεν οὔτε τὸ ἀλγοῦν οὔτε τὸ λυπούμενον ἔχουσιν, ὅπερ ἐστὶ τὸ κακόν.

XI. Εἰ μηθὲν ἡμᾶς αἱ τῶν μετεώρων ὑποψίαι ἠνώχλουν καὶ αἱ περὶ θανάτου, μή ποτε πρὸς ἡμᾶς ᾖ τι, ἔτι τε τὸ μὴ κατανοεῖν τοὺς ὅρους τῶν ἀλγηδόνων καὶ τῶν ἐπιθυμιῶν, οὐκ ἂν προσεδεόμεθα φυσιολογίας.

XII. Οὐκ ἦν τὸ φοβούμενον λύειν ὑπὲρ τῶν κυριωτά- 143
των μὴ κατειδότα τίς ἡ τοῦ σύμπαντος φύσις, ἀλλ' ὑποπτεύοντά τι τῶν κατὰ τοὺς μύθους· ὥστε οὐκ ἦν ἄνευ φυσιολογίας ἀκεραίους τὰς ἡδονὰς ἀπολαμβάνειν.

XIII. Οὐθὲν ὄφελος ἦν τὴν κατ' ἀνθρώπους ἀσφάλειαν κατασκευάζεσθαι τῶν ἄνωθεν ὑπόπτων καθεστώτων καὶ τῶν ὑπὸ γῆς καὶ ἁπλῶς τῶν ἐν τῷ ἀπείρῳ.

5–8 cf. Plut. *Non posse*... 1092 B **9–12** = *Sent. Vat.* 49 **13–15** = *Sent. Vat.* 72; Diog. Oen. Fr. 29

1 καὶ τῶν ἀλγηδόνων ex Diog. Oen. suppl. Bignone (cf. v. 7) | εἴχομεν **B^{2}P^1** et Diog. Oen. : εἴημεν **F**, *Frob.* : εἴη μὲν **D**, Stephanus **2** μεμψαίμεθα **PFD** : μεμψάμεθα **B** : ἐμεμψάμεθα Usener | πάντοθεν **FDP^4** ss. γρ., *Frob.* | ἐκπληρουμένοις Diog. Oen. et Usener : εἰσπληρουμένοις **BPFD** **3** οὐθαμόθεν **P^{1}Q**, οὐθαμῶθεν **B** : οὐδαμόθεν **FDP^4** | τὸ^1 om. **B** **5** αἱ ὑπὲρ τῶν Plut. | ἠνόχλουν **B^{1}F** **6** καὶ αἱ περὶ **BPF** : καὶ περὶ **DZ**, *Frob.* : ἔτι τε τὰ περὶ Plut. **6–7** τε τὸ μὴ κατανοεῖν J. Lachelier (*Revue de philol.* 1 [1877] 85) : τετόλμηκα νοεῖν **BPFD** **8** ἐδεόμεθα **F** **10** κατειδότα : εἰδότας *Sent. Vat.* **11** ὑποπτεύοντά τι Usener : ὑποπτεύοντι *Sent. Vat.* : ὑποπτευόμενόν τι **BPFD** | τὸν **B** **13** ἦν ὄφελος Diog. Oen. | κατ' ἀνθρώπους **BPFD** : κατ' ἄνθρωπον *Sent. Vat.* : παρ' ἀνθρώπων Usener (*Kl. Schr.* I, 301) **14** παρασκευάζεσθαι *Sent. Vat.* **15** τῶν ἐν τῶ ἀπείρω **BPD** : τῶν ἀπείρων τῶν ὑπὸ (cum proxima sententia coniungens) **F**

XIV. Τῆς ἀσφαλείας τῆς ἐξ ἀνθρώπων γενομένης μέχρι τινὸς δυνάμει τε ἐξερειστικῇ καὶ εὐπορίᾳ εἰλικρινεστέρα γίνεται ἡ ἐκ τῆς ἡσυχίας καὶ ἐκχωρήσεως τῶν πολλῶν ἀσφάλεια.

144 XV. Ὁ τῆς φύσεως πλοῦτος καὶ ὥρισται καὶ εὐπόριστός ἐστιν· ὁ δὲ τῶν κενῶν δοξῶν εἰς ἄπειρον ἐκπίπτει.

XVI. Βραχέα σοφῷ τύχη παρεμπίπτει, τὰ δὲ μέγιστα καὶ κυριώτατα ὁ λογισμὸς διῴκηκε καὶ κατὰ τὸν συνεχῆ χρόνον τοῦ βίου διοικεῖ καὶ διοικήσει.

XVII. Ὁ δίκαιος ⟨βίος⟩ ἀταρακτότατος, ὁ δ' ἄδικος πλείστης ταραχῆς γέμων.

XVIII. Οὐκ ἐπαύξεται ἐν τῇ σαρκὶ ἡ ἡδονή, ἐπειδὰν ἅπαξ τὸ κατ' ἔνδειαν ἀλγοῦν ἐξαιρεθῇ, ἀλλὰ μόνον ποικίλλεται. Τῆς δὲ διανοίας τὸ πέρας τὸ κατὰ τὴν ἡδονὴν ἀπεγέννησεν ἥ τε τούτων αὐτῶν ἐκλόγισις καὶ τῶν ὁμογε-

5–6 = *Sent. Vat.* 8. Cf. Porphyr. *De abst.* 1.49; *Ad. Marc.* 27; Cic. *De fin.* 1.45 **7–9** Stob. 2.8.28; Cic. *De fin.* 1.63; *Tusc.* 5.26; Vitruv. 6 praef. 3; Sen. *De const. sap.* 15.4 **10–11** = *Sent. Vat.* 19; Diodori 25 Fr. 1

2 τε : τινὶ Usener | ἐξερειστικῇ **H**, Croenert, Bignone, Von der Muehll : ἐξεριστικῇ **FDP**^{4}, *Frob.* : ἐξαιριστικῇ **B**^{1} **P**^{1}**Q** : ἐξοριστικῇ Meibom., Bailey | εἰλικρινεστέρα Von der Muehll : εἰλικρινεστάτη **BPFD** | post εἰλικρινεστάτη addit βεβαιοτέρα Croenert **3** ἐγχωρήσεως **BPFD**, corr. **HZ**^{3}, *Frob.* **5** καὶ^1 om. *Sent. Vat.* et Porph. | ὥριστε **B**^{1} (corr. **B**^{2}) **7** βραχέα **BP**^{1}**FD** : βραχεῖα **P**^{2}**Q** et Stob., Cic. **8** διώκηκε **BP F** : διώκει **DZ**, *Frob.* : διῴκησε Usener | καὶ^2 om. Stob. : del. Usener **8** καὶ κατὰ – **9** διοικήσει om. Cic., Vitr., Sen. : καὶ κατὰ τὸν βίον καὶ συνεχῆ χρόνον Stob. **9** τοῦ βίου om. **F DZ**, *Frob.* | διοικεῖ καὶ διοικήσει om. Stob., del. Usener **10** βίος *Sent. Vat.*, Diod., Von der Muehll : om. **BPFD** | ἀταρακτώτατος **BF** **12** ἡ ἡδονὴ ἐν τῇ (τῇ om. **F**) σαρκὶ **FDZ**, *Frob.* **13** ἐξερεθῇ **B**^{1} (corr. **B**^{2}) **14** τὸ^2 om. **F** **15** ἐκλόγισις **BP** : ἐκλόγησις **FDZ**, *Frob.*

νῶν τούτοις, ὅσα τοὺς μεγίστους φόβους παρεσκεύαζε τῇ διανοίᾳ.

XIX. Ὁ ἄπειρος χρόνος ἴσην ἔχει τὴν ἡδονὴν καὶ ὁ **145**
πεπερασμένος, ἐάν τις αὐτῆς τὰ πέρατα καταμετρήσῃ τῷ λογισμῷ.

XX. Ἡ μὲν σὰρξ ἀπέλαβε τὰ πέρατα τῆς ἡδονῆς ἄπειρα, καὶ ἄπειρος αὐτὴν χρόνος παρεσκεύασεν. Ἡ δὲ διάνοια τοῦ τῆς σαρκὸς τέλους καὶ πέρατος λαβοῦσα τὸν ἐπιλογισμὸν καὶ τοὺς ὑπὲρ τοῦ αἰῶνος φόβους ἐκλύσασα τὸν παντελῆ βίον παρεσκεύασε, καὶ οὐθὲν ἔτι τοῦ ἀπείρου χρόνου προσεδεήθημεν· ἀλλ' οὔτε ἔφυγε τὴν ἡδονήν, οὐδ' ἡνίκα τὴν ἐξαγωγὴν ἐκ τοῦ ζῆν τὰ πράγματα παρεσκεύαζεν, ὡς ἐλλείπουσά τι τοῦ ἀρίστου βίου κατέστρεφεν.

XXI. Ὁ τὰ πέρατα τοῦ βίου κατειδὼς οἶδεν ὡς εὐπό- **146**
ριστόν ἐστι τὸ ⟨τὸ⟩ ἀλγοῦν κατ' ἔνδειαν ἐξαιροῦν καὶ τὸ τὸν ὅλον βίον παντελῆ καθιστάν· ὥστε οὐδὲν προσδεῖται πραγμάτων ἀγῶνας κεκτημένων.

XXII. Τὸ ὑφεστηκὸς δεῖ τέλος ἐπιλογίζεσθαι καὶ πᾶ-

3–5 = *Sent. Vat.* 22; Cic. *De fin.* 1.63

3 ὁ^{1} **FDP^{4}** ss. : om. **BP^{1}Q** | καὶ ὁ πεπερασμένος post χρόνος *Sent. Vat.* **4** post τις add. ὀρθῶς *Sent. Vat.* | καταμετρήσει **F** **7** καὶ : κἂν Diels, agn. Von der Muehll | παρεσκεύασεν : ἀρέσκοι ἂν Usener : παρασκευάσαι ἄν coni. Von der Muehll **10** παντελεῖ **F** | ἀπείρου **BFDP^{4}** ss. γρ. : ἀπόρου **P^{1}Q** **11** χρόνου **BP^{1}** : βίου **FDP^{4}** ss. γρ., *Frob.* | προσεδεήθημεν **FDP^{4}** ss. γρ., *Frob.* : προσεδέθημεν **B^{2}P^{1}** : προσεδεήθη· ⟨οὐ⟩ μὴν Usener : προσεδεήθη[μεν] Von der Muehll : προσεδεήθη ἄν Meibom. **12** οὐδ' **PFD**, οὐδὲ **B** : οὔθ' **H**, Usener **13** ἐλλίπουσα **BP^{1}Q** | κατέστρεψεν Bywater **16** τὸ^{2} add. Casaubon **17** τῶν ὅλων **F** | καθιστᾶν **BPFD**, corr. Casaubon **19** ὑφεστικὸς **B** | δεῖ **PF** : ἀεὶ **B** : δὴ **D** : δὲ **Z**, *Frob.* | τέλος del. Schneider | λογίζεσθαι **F**

σαν τὴν ἐνάργειαν, ἐφ' ἣν τὰ δοξαζόμενα ἀνάγομεν· εἰ δὲ μή, πάντα ἀκρισίας καὶ ταραχῆς ἔσται μεστά.

XXIII. Εἰ μαχῇ πάσαις ταῖς αἰσθήσεσιν, οὐχ ἕξεις οὐδ' ἃς ἂν φῇς αὐτῶν διεψεῦσθαι πρὸς τί ποιούμενος τὴν ἀναγωγὴν κρίνῃς.

147 XXIV. Εἴ τιν' ἐκβαλεῖς ἁπλῶς αἴσθησιν καὶ μὴ διαιρήσεις τὸ δοξαζόμενον κατὰ τὸ προσμένον καὶ τὸ παρὸν ἤδη κατὰ τὴν αἴσθησιν καὶ τὰ πάθη καὶ πᾶσαν φανταστικὴν ἐπιβολὴν τῆς διανοίας, συνταράξεις καὶ τὰς λοιπὰς αἰσθήσεις τῇ ματαίῳ δόξῃ, ὥστε τὸ κριτήριον ἅπαν ἐκβαλεῖς. Εἰ δὲ βεβαιώσεις καὶ τὸ προσμένον ἅπαν ἐν ταῖς δοξαστικαῖς ἐννοίαις καὶ τὸ μὴ τὴν ἐπιμαρτύρησιν ⟨ἔχον⟩, οὐκ ἐκλείψεις τὸ διεψευσμένον· ὡς τετηρηκὼς ἔσῃ πᾶσαν ἀμφισβήτησιν κατὰ πᾶσαν κρίσιν τοῦ ὀρθῶς ἢ μὴ ὀρθῶς.

148 XXV. Εἰ μὴ παρὰ πάντα καιρὸν ἐπανοίσεις ἕκαστον

15–p. 809.3 Diog. Oen. Fr. 33

3 post εἰ addit μὴ **F**^{1} (expunxit **F**^{2}) | μαχῇ Bywater : μάχῃ **BPFD** 4 ἂν **B**^{2} | φῇς αὐτῶν **BP** : αὐτῶν φῇς **F**^{2}**D**, *Frob.* : αὐτῶν ἐφ' ἧς **F**^{1} 5 κρίνεις **BF** 6 ἐκβαλεῖς Cobet : ἐκβάλλεις **BPFD** | διαιρήσεις **P** : διαιρήσῃς **B** : διαιρεῖς εἰς **F** : διαιρεῖς **D** 7 κατὰ **BP** : καὶ **F** | προσμένον **F**, *Frob.* : προσμενόμενον **BPD** 10 ματαίῳ **BP** : ματαία **FD**, *Frob.* | ἐκβαλεῖς **Z**^{3}, *Frob.* : ἐκβάλλεις **BPFH Z**^{1} 11 προσμένον **FDP**^{4}, *Frob.* : προσμενόμενον **BP**^{1}**Q** 12 καὶ τὸ μὴ τὴν ἐπιμαρτύρησιν del. F. Merbach (*De Epicuri Canonica,* 1909, 40) : τὴν ἐπιμαρτύρησιν del. Huebner | post ἐπιμαρτύρησιν lac. indic. Von der Muehll : ἔχον add. Bignone : ἔχον τοῖς ἀδήλοις ἐγκρινεῖς e.g. suppl. Von der Muehll 13 οὐ κέκλιψις **B**^{1} (corr. **B**^{2}) | ἐκλείψεις : ἐκλείψει Bonnet (*De Galeni subfig. empir.* 82), Usener | ὡς τετηρηκὼς : ὥστ' ἐξῃρηκὼς Usener (p. XXI) : ὥσ⟨τε⟩ τετηρηκὼς Merbach, Von der Muehll 14 κατὰ Bignone : καὶ **BPFD** 15 ἐπανοίσαις Diog. Oen.

τῶν πραττομένων ἐπὶ τὸ τέλος τῆς φύσεως, ἀλλὰ προκαταστρέψεις εἴτε φυγὴν εἴτε δίωξιν ποιούμενος εἰς ἄλλο τι, οὐκ ἔσονταί σοι τοῖς λόγοις αἱ πράξεις ἀκόλουθοι.

XXVI. Τῶν ἐπιθυμιῶν ὅσαι μὴ ἐπ' ἀλγοῦν ἐπανάγουσιν ἐὰν μὴ συμπληρωθῶσιν οὐκ εἰσὶν ἀναγκαῖαι, ἀλλ' εὐδιάχυτον τὴν ὄρεξιν ἔχουσιν, ὅταν δυσπόριστοι ἢ βλάβης ἀπεργαστικαὶ δόξωσιν εἶναι.

XXVII. Ὧν ἡ σοφία παρασκευάζεται εἰς τὴν τοῦ ὅλου βίου μακαριότητα, πολὺ μέγιστόν ἐστιν ἡ τῆς φιλίας κτῆσις.

XXVIII. Ἡ αὐτὴ γνώμη θαρρεῖν τε ἐποίησεν ὑπὲρ τοῦ μηθὲν αἰώνιον εἶναι δεινὸν μηδὲ πολυχρόνιον, καὶ τὴν ἐν αὐτοῖς τοῖς ὡρισμένοις ἀσφάλειαν ⟨διὰ⟩ φιλίας μάλιστα κατεῖδε συντελουμένην.

XXIX. Τῶν ἐπιθυμιῶν αἱ μέν εἰσι φυσικαὶ καὶ ⟨ἀναγ- 149
καῖαι, αἱ δὲ φυσικαὶ καὶ⟩ οὐκ ἀναγκαῖαι, αἱ δὲ οὔτε φυσικαὶ οὔτε ἀναγκαῖαι, ἀλλὰ παρὰ κενὴν δόξαν γινόμεναι. [Φυσικὰς καὶ ἀναγκαίας ἡγεῖται ὁ Ἐπίκουρος τὰς ἀλγηδόνος ἀπολυούσας, ὡς ποτὸν ἐπὶ δίψους· φυσικὰς δὲ οὐκ ἀναγκαίας

8–10 = *Sent. Vat.* 13; Cic. *De fin.* 1.65 **11–14** cf. Cic. *De fin.* 1.68 **15–17** γινόμεναι = *Sent. Vat.* 20; Diog. Oen. Fr. 35. Cf. Cic. *Tusc.* 5.93; *De fin.* 2.26

2 εἴτε² : ἤτε **B** **6** δυσπόριστοι **FD**, *Frob.* : δυσπόριστον **BP¹** | ἢ : ἣ **B** **11** τε : τί **F** **13** ⟨διὰ⟩ φιλίας scripsi : φιλίας **BPFD** : φιλίᾳ vir doctus ap. Madvig. ad Cic. *De fin.* 1.68 : φιλίαις Usener : *amicitiae praesidium esse firmissimum* Cic. **14** κατεῖδε Madvig (*perspexit* Cic.) : κατεῖναι **B²PFD** **15–16** ἀναγκαῖαι, αἱ δὲ φυσικαὶ καὶ suppl. Stephanus : ⟨ἀναγκαῖαι, αἱ δὲ φυσικαὶ μέν,⟩ οὐκ ἀναγαῖαι ⟨δέ⟩ Usener (*Wien. St.* 10 [1888] 179) e *Sent. Vat.* 20, Diog. Oen., Cic. et aliis **17** οὔτε om. **P¹**, ss. **P⁴** | γινόμεναι : ἡγούμεναι **F** **18** Φυσικὰς – **p. 810.3** ut scholion eiecit Usener **18** ἀλγηδόνος H. Weil (1888) : ἀλγηδόνας **BPFD**

δὲ τὰς ποικιλλούσας μόνον τὴν ἡδονήν, μὴ ὑπεξαιρουμένας δὲ τὸ ἄλγημα, ὡς πολυτελῆ σιτία· οὔτε δὲ φυσικὰς οὔτ' ἀναγκαίας, ὡς στεφάνους καὶ ἀνδριάντων ἀναθέσεις.]

XXX. Ἐν αἷς τῶν φυσικῶν ἐπιθυμιῶν μὴ ἐπ' ἀλγοῦν [δὲ] ἐπαναγουσῶν ἐὰν μὴ συντελεσθῶσιν ὑπάρχει ἡ σπουδὴ σύντονος, παρὰ κενὴν δόξαν αὗται γίνονται, καὶ οὐ παρὰ τὴν ἑαυτῶν φύσιν οὐ διαχέονται, ἀλλὰ παρὰ τὴν τοῦ ἀνθρώπου κενοδοξίαν.

150 XXXI. Τὸ τῆς φύσεως δίκαιόν ἐστι σύμβολον τοῦ συμφέροντος εἰς τὸ μὴ βλάπτειν ἀλλήλους μηδὲ βλάπτεσθαι.

XXXII. Ὅσα τῶν ζῴων μὴ ἐδύνατο συνθήκας ποιεῖσθαι τὰς ὑπὲρ τοῦ μὴ βλάπτειν ἄλλ⟨ηλ⟩α μηδὲ βλάπτεσθαι, πρὸς ταῦτα οὐθὲν ἦν δίκαιον οὐδὲ ἄδικον· ὡσαύτως δὲ καὶ τῶν ἐθνῶν ὅσα μὴ ἐδύνατο ἢ μὴ ἐβούλετο τὰς συνθήκας ποιεῖσθαι τὰς ὑπὲρ τοῦ μὴ βλάπτειν μηδὲ βλάπτεσθαι.

XXXIII. Οὐκ ἦν τι καθ' ἑαυτὸ δικαιοσύνη, ἀλλ' ἐν ταῖς μετ' ἀλλήλων συστροφαῖς καθ' ὁπηλίκους δήποτε ἀεὶ τόπους συνθήκη τις ὑπὲρ τοῦ μὴ βλάπτειν ἢ βλάπτεσθαι.

151 XXXIV. Ἡ ἀδικία οὐ καθ' ἑαυτὴν κακόν, ἀλλ' ἐν τῷ κατὰ τὴν ὑποψίαν φόβῳ εἰ μὴ λήσει τοὺς ὑπὲρ τῶν τοιούτων ἐφεστηκότας κολαστάς.

12–17 cf. Porph. *De abst.* 1.12

1 δὲ[1] om. **FD**, *Frob.* | μόνην **FD**, *Frob.* **4** post φυσικῶν addi suadet μὲν Usener **5** δὲ delevi | ὑπάρχῃ **B** **12 et 15** ἐδύνατο **BP** : ἠδύνατο **FD**, *Frob.* **13** ἄλλ⟨ηλ⟩α Gassendi : ἀλλὰ **BFD**, *Frob.* : ἀλλὰ· **P** | μηδὲ ss. **F**[2] **14** ἦν Usener : ἢ **BP**[1]**Q** : ἦ ss. γρ. οὐδὲ **P**[4] : ἐστιν οὐδὲ **FD**, *Frob.* **15** μὴ[2] om. **FD**, *Frob.* **23** δήσει **B** | τοὺς **BP** : τὰς **F** : om. **DZ**, *Frob.*

XXXV. Οὐκ ἔστι τὸν λάθρᾳ τι ποιοῦντα ⟨καθ'⟩ ὧν συνέθεντο πρὸς ἀλλήλους εἰς τὸ μὴ βλάπτειν μηδὲ βλάπτεσθαι πιστεύειν ὅτι λήσει, κἂν μυριάκις ἐπὶ τοῦ παρόντος λανθάνῃ. Μέχρι γὰρ καταστροφῆς ἄδηλον εἰ καὶ λήσει.

XXXVI. Κατὰ μὲν ⟨τὸ⟩ κοινὸν πᾶσι τὸ δίκαιον τὸ αὐτό· συμφέρον γάρ τι ἦν ἐν τῇ πρὸς ἀλλήλους κοινωνίᾳ· κατὰ δὲ τὸ ἴδιον χώρας καὶ ὅσων δήποτε αἰτίων οὐ πᾶσι συνέπεται τὸ αὐτὸ δίκαιον εἶναι.

XXXVII. Τὸ μὲν ἐπιμαρτυρούμενον ὅτι συμφέρει ἐν 152
ταῖς χρείαις τῆς πρὸς ἀλλήλους κοινωνίας τῶν νομισθέντων εἶναι δικαίων ἔχει τὴν τοῦ δικαίου χώραν [εἶναι], ἐάν τε τὸ αὐτὸ πᾶσι γένηται ἐάν τε μὴ τὸ αὐτό [πᾶσι γένηται]. Ἐὰν δὲ νόμον θῆταί τις, μὴ ἀποβαίνῃ δὲ κατὰ τὸ

1–5 = *Sent. Vat.* 6. Cf. Cic. *De fin.* 1.50

1 ποιοῦντα : κινοῦντα Madvig, Usener | καθ' addidi : ἐναντίον add. Bignone (*R.F.I.C.* 2 [1924] 392) **2** μηδὲ **BP^{1}Q** : καὶ **FDP^{4}** ss. γρ., *Frob.* **3** ὅτι λήσει : ὁ · · ήσει **B^{2}** | ἐπὶ *Sent. Vat.* et Menagius : ἀπὸ **BP^{1}Q** et in mg γρ. **P^{4}** : ὑπὸ **FD P^{4}**, *Frob.* | τοῦ παρόντος om. **F** spatio relicto **4** εἰ καὶ : εἶναι **F** : εἰ *Sent. Vat.* **6** τὸ^{1} add. Gassendi **8** αἰτίων **B** : αἰτιῶν **PFD** **11–12** τῶν νομισθέντων εἶναι δικαίων ut additamentum eiecit Usener **12** δικαίων – εἶναι^{2} om. **DZ**, *Frob.* | δικαίων : δίκαιον **B^{2}** | ἔχει τὴν τοῦ δικαίου χώραν [εἶναι] scripsi : ἔχει τὸν τοῦ δικαίου **P^{1}Q** et χώραν in mg add. **P^{3}W** : ἔχειν τοῦ δικαίου χῶραν **B** : ἔχει τὸ τοῦ δικαίου χώραν **F** : ἔχει τὴν τοῦ δικαίου φύσιν [εἶναι] Gassendi : ἔχει τὸν τοῦ δικαίου χαρακτῆρα Usener : ἔχει τὸ ἐν τοῦ δικαίου χώρᾳ εἶναι Von der Muehll : ἔχειν τοῦ δικαίου χώραν ⟨δ⟩εῖ Bignone (*S.I.F.C.* 10 [1932] 71–118), agn. Arrighetti **13** ἐάν τε τὸ αὐτὸ πᾶσι γένηται^{1} om. **F** | ἐάν τε μὴ τὸ αὐτὸ πᾶσι γένηται **BP** : ἐάν τε τὸ (τὸ om. **F**) αὐτὸ πᾶσι μὴ γένηται (γένοιτο **F**) **FD**, *Frob.* | πᾶσι γένηται del. Stephanus | post γένηται^{2} repetunt ἐάν τε μὴ (μὴν **P**) τὸ αὐτὸ **BPQ** **14** νόμον Usener : μόνον **B PFD** : ⟨νόμον⟩ μόνον Diano | τις : τί **D**, *Frob.* | ἀποβαίνῃ **H**, *Frob.* : ἀποβαίνει **BPFD** | δὲ : δὴ **BP^{1}Q**

συμφέρον τῆς πρὸς ἀλλήλους κοινωνίας, οὐκέτι τοῦτο τὴν τοῦ δικαίου φύσιν ἔχει. Κἂν μεταπίπτῃ τὸ κατὰ τὸ δίκαιον συμφέρον, χρόνον δέ τινα εἰς τὴν πρόληψιν ἐναρμόττῃ, οὐδὲν ἧττον ἐκεῖνον τὸν χρόνον ἦν δίκαιον τοῖς μὴ φωναῖς κεναῖς ἑαυτοὺς συνταράττουσιν, ἀλλ' ἁπλ⟨ῶς⟩ εἰς τὰ πράγματα βλέπουσιν.

153 XXXVIII. Ἔνθα μὴ καινῶν γενομένων τῶν περιεστώτων πραγμάτων ἀνεφάνη μὴ ἁρμόττοντα εἰς τὴν πρόληψιν τὰ νομισθέντα δίκαια ἐπ' αὐτῶν τῶν ἔργων, οὐκ ἦν ταῦτα δίκαια. Ἔνθα δὲ καινῶν γενομένων τῶν πραγμάτων οὐκέτι συνέφερε τὰ αὐτὰ δίκαια κείμενα, ἐνταῦθα δὴ τότε μὲν ἦν δίκαια, ὅτε συνέφερεν εἰς τὴν πρὸς ἀλλήλους κοινωνίαν τῶν συμπολιτευομένων· ὕστερον δ' οὐκ ἦν ἔτι δίκαια, ὅτε μὴ συνέφερεν.

154 XXXIX. Ὁ ⟨τὰ πρὸς⟩ τὸ μὴ θαρροῦν ἀπὸ τῶν ἔξωθεν ἄριστα συστησάμενος οὗτος τὰ μὲν δυνατὰ ὁμόφυλα κατεσκευάσατο, τὰ δὲ μὴ δυνατὰ οὐκ ἀλλόφυλά γε· ὅσα δὲ μηδὲ τοῦτο δυνατὸς ἦν, ἀνεπίμικτος ἐγένετο, καὶ ἐξη-

2 μεταπίπτει **F** **3** ἐναρμόττει **BP** **4** τὸν χρόνον ἐκεῖνον **B** **5–6** ἀλλ' ἁπλῶς εἰς τὰ Kochalsky : ἀλλὰ πλεῖστα **B PFD** : ἀλλ' εἰς τὰ Th. Gomperz, Usener **7** καινῶν *Aldobr.* : κενῶν **BPFD** **8** ἀνεφάνη – **10** τῶν πραγμάτων om. **F DZ**, *Frob.* **8** μὴ : μοι **B** | ⟨ἐν⟩αρμόττοντα Usener **9** τὰ νομισθέντα **P** : ἀνομισθέντα **B** : ἃ νομισθέντα *Aldobr.* **10** καινῶν Gassendi : καὶ τῶν **B**, *Aldobr.* | τῶν om. **B** **11** δὴ **FDP**^{4} ss. : δὲ **BP**^{1} **12** δίκαια ὅτε **FD** : δίκαιός τε ἃ **B** : δίκαια ὅτε ἃ **P**^{1} **13** συνπολιτευομένων **BP**^{1} : πολιτευομένων **FDP**^{4}, *Frob.* **15** τὰ πρὸς addidi, τὰ ἑαυτοῦ πρὸς iam Diano | μὴ om. *Frob.* : μὲν coni. Usener **16** συστειλάμενος coni. Usener | οὗτος om. **B** **17** τὰ δὲ – **18** ἀνεπίμικτος om. **B**^{1} spatio relicto, τὰ δὲ μὴ δυνατὰ et ἐπίμικτος in lacuna add. **B**^{2} **18** δὲ Usener : γε **P** : om. **DZ**, *Frob.* | ἐξηρείσατο Croenert (*Rh. Mus.* 61 [1906] 419), Von der Muehll : ἐξηρίσατο **BPFD** : ἐξωρίσατο Stephanus : ἐξηρέσατο Usener

ρείσατο ὅσα ⟨πρὸς⟩ τοῦτ᾽ ἐλυσιτέλει πράττειν.

XL. Ὅσοι τὴν δύναμιν ἔσχον τοῦ τὸ θαρρεῖν μάλιστα ἐκ τῶν ὁμορούντων παρασκευάσασθαι, οὗτοι καὶ ἐβίωσαν μετ᾽ ἀλλήλων ἥδιστα τὸ βεβαιότατον πίστωμα ἔχοντες, καὶ πληρεστάτην οἰκειότητα ἀπολαβόντες οὐκ ὠδύραντο ὡς πρὸς ἔλεον τὴν τοῦ τελευτήσαντος προκαταστροφήν.

1 πρὸς add. Diano | τοῦτ᾽ ἐλυσιτέλει **P**[2]**Q** : τούτω λυσιτελὲς **B** : τοῦ λυσιτελῆ **FDZ**, *Frob.* : τούτων λυσιτελεῖ *Aldobr.*, τούτων λυσιτελῆ Usener **2** τὸ Meibom. : τε **BP** : om. **FD**, *Frob.* **3** ὁμορρούντων **B** | παρασκευάσασθαι **FD** **P**[2]**Q** : παρασκευᾶσθαι **BP**[1] | οὗτοι **FDP**[4] ss., *Frob.* : οὕτω **BP**[1] **4** ἥδιστα τὸ Usener : ἥδιστον τὸν **B** : ἥδιστον καὶ **P**[1]**Q** : ἥδιστον **FD**, *Frob.* | βεβαιώτατον **B** **5** πληρέστατον **F** | ἀπολαύοντες **F** **6** πρὸς ἔλεον **B** : πρὸς σὲ δέον **P**[1]**Q** : ἔλεον **F**[2] (ἔλαιον **F**[1]) **DP**[4] ss. γρ., *Frob.* | τελευτήσαντος : τε- ss. **F**[2] | καταστροφὴν **F** *subscriptio* λαερτίου διογένους φιλοσόφων βίων (γνωμῶν **P**) καὶ δογμάτων συναγωγῆς τῶν εἰς ι´ ἐπίκουρος **BP** : λαερτίου διογένους βίων φιλοσόφων τῶν εἰς δέκα τὸ δέκατον **D**

APPENDIX

GNOMOLOGIUM EPICUREUM VATICANUM

Ἐπικούρου Προσφώνησις

1. Τὸ μακάριον καὶ ἄφθαρτον οὔτε αὐτὸ πράγματα ἔχει οὔτε ἄλλῳ παρέχει, οὔτε ὀργαῖς οὔτε χάρισι συνέχεται· ἐν ἀσθενείᾳ γὰρ πάντα τὰ τοιαῦτα.

2. Ὁ θάνατος οὐδὲν πρὸς ἡμᾶς· τὸ γὰρ διαλυθὲν ἀναισθητεῖ, τὸ δὲ ἀναισθητοῦν οὐδὲν πρὸς ἡμᾶς.

3. Οὐ χρονίζει τὸ ἀλγοῦν ἐν τῇ σαρκί, ἀλλὰ τὸ μὲν ἄκρον τὸν ἐλάχιστον χρόνον πάρεστι, τὸ δὲ μέσον τὸ ὑπερτεῖνον τὸ ἡδόμενον κατὰ σάρκα ⟨οὐ⟩ πολλὰς ἡμέρας ὑπάρχει, αἱ δὲ πολυχρόνιοι τῶν ἀρρωστιῶν πλεονάζον ἔχουσιν ἐν τῇ σαρκὶ τὸ ἡδόμενον ἢ τὸ ἀλγοῦν.

V = cod. Vaticanus gr. 1950, s. XIV, fol. 401^v–404^v. Gnomologium primum edd. C. Wotke et H. Usener, "Epikurische Spruchsammlung," *Wiener St.* 10 (1888) 175–201; 11 (1889) 170 et 12 (1890) 1–4 = H. Usener, *Kl. Schriften,* I (Lipsiae, 1912) 297–325; deinde Von der Muehll (1922), Bailey (1926), Diano (1946), Arrighetti (1960; 1973^2), Bollack (1975), Conche (1987). **2–4** = *Rata sent.* 1 **5–6** = *Rata sent.* 2 **7–11** = *Rata Sent.* 4

3 post πάρεχει addit ὥστε DL **4** ἐν ἀσθενεῖ DL | πᾶν τὸ τοιοῦτον DL **5** ὁ θάνατος DL : ἀθάνατος **V** **7** post τὸ ἀλγοῦν addit συνεχῶς DL **8** τὸν DL : τὸ δὲ **V** | μέσον **V** : μόνον DL | τὸ^2 om. DL **9** ὑπερτεῖνον Hartel ex DL : ὑπὲρ τινός **V** | οὐ om. **V**, habet DL **10** ὑπάρχει : συμβαίνει DL : συμμένει Bywater

4. Πᾶσα ἀλγηδὼν εὐκαταφρόνητος· ἡ γὰρ σύντονον ἔχουσα τὸ πονοῦν σύντομον ἔχει τὸν χρόνον, ἡ δὲ χρονίζουσα περὶ τὴν σάρκα ἀβληχρὸν ἔχει τὸν πόνον.

5. Οὐκ ἔστιν ἡδέως ζῆν ἄνευ τοῦ φρονίμως καὶ καλῶς καὶ δικαίως· ὅπου δὲ τοῦτο μὴ ὑπάρχει, οὐκ ἔστιν ἡδέως ζῆν.

6. Οὐκ ἔστι τὸν λάθρα τι ποιοῦντα ⟨καθ'⟩ ὧν συνέθεντο πρὸς ἀλλήλους εἰς τὸ μὴ βλάπτειν μηδὲ βλάπτεσθαι, πιστεύειν ὅτι λήσει, κἂν μυριάκις ἐπὶ τοῦ παρόντος λανθάνῃ. Μέχρι γὰρ καταστροφῆς ἄδηλον εἰ λήσει.

7. Ἀδικοῦντα λαθεῖν μὲν δύσκολον, πίστιν δὲ λαβεῖν ὑπὲρ τοῦ λαθεῖν ἀδύνατον.

8. Ὁ τῆς φύσεως πλοῦτος ὥρισται καὶ εὐπόριστός ἐστιν· ὁ δὲ τῶν κενῶν δοξῶν εἰς ἄπειρον ἐκπίπτει καὶ ἔστι δυσπόριστος.

9. Κακὸν ἀνάγκη, ἀλλ' οὐδεμία ἀνάγκη ζῆν μετὰ ἀνάγκης.

10. Μέμνησο ὅτι θνητὸς ὢν τῇ φύσει καὶ λαβὼν χρόνον ὡρισμένον ἀνέβης τοῖς περὶ φύσεως διαλογισμοῖς ἐπὶ τὴν ἀπειρίαν καὶ τὸν αἰῶνα καὶ κατεῖδες

τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα.

1–3 cf. Sen. *Ep.* 78.7 (Usener, Fr. 446) **4–6** = *Rata sent.* 5 **7–10** = *Rata sent.* 35 **11–12** = Usener, Fr. 532 **13–15** = *Rata sent.* 15. Cf. Porphyr. *De abst.* 1.49 et *Ad Marc.* 27 **16–17** = Usener, Fr. 487; Sen. *Ep.* 12.10 **18–21** Metrodori Fr. 37 Koerte; Clem. *Strom.* 5.138.2 **21** *Iliad.* 1.70

1 σύντονον Usener (summi doloris intentio *Sen.*) : σύντομον **V** **5** post δικαίως addunt οὐδὲ φρονίμως καὶ καλῶς καὶ δικαίως ἄνευ τοῦ ἡδέως Diog. Oen. Fr. 54 et DL | ὅπου **V** : ὅτῳ DL | post ἔστι addit τοῦτον DL **7** ποιοῦντα : κινοῦντα Usener | καθ' addidi : om. **V** et DL **13** post πλοῦτος addit καὶ DL **14** κοινῶν **V** **16** κακὸν ⟨ζῆν ἐν⟩ ἀνάγκῃ Hartel e *Sen.* **18** post Μέμνησο addit Μενέστρατε Clem. | λαβὼν **V**, Clem. : λαχὼν Gomperz (*W. St.* 10 [1888] 203]) | χρόνον **V** : βίον Clem. **21** ἐσόμενα **V**

11. Τῶν πλείστων ἀνθρώπων τὸ μὲν ἡσυχάζον ναρκᾷ, τὸ δὲ κινούμενον λυττᾷ.

12. Ὁ δίκαιος βίος ἀταρακτότατος, ὁ δὲ ἄδικος πλείστης ταραχῆς γέμων.

13. Ὧν ἡ σοφία παρασκευάζεται εἰς τὴν τοῦ ὅλου βίου μακαριότητα, πολὺ μέγιστόν ἐστιν ἡ τῆς φιλίας κτῆσις.

14. Γεγόναμεν ἅπαξ, δὶς δὲ οὐκ ἔστι γενέσθαι· δεῖ δὲ τὸν αἰῶνα μηκέτι εἶναι. Σὺ δὲ οὐκ ὢν τῆς αὔριον ⟨κύριος⟩ ἀναβάλλῃ τὸν καιρόν· ὁ δὲ βίος μελλησμῷ παραπόλλυται καὶ εἷς ἕκαστος ἡμῶν ἀσχολούμενος ἀποθνῄσκει.

15. Ἤθη ὥσπερ τὰ ἡμῶν αὐτῶν ἴδια τιμῶμεν, ἄν τε χρηστὰ ἔχωμεν καὶ ὑπὸ τῶν ἀνθρώπων ζηλούμενα, ἄν τε μή· οὕτω χρὴ καὶ ⟨τὰ⟩ τῶν πέλας, ἂν ἐπιεικεῖς ὦσιν.

16. Οὐδεὶς βλέπων τὸ κακὸν αἱρεῖται αὐτό, ἀλλὰ δελεασθεὶς ⟨αὐτῷ⟩ ὡς ἀγαθῷ πρὸς τὸ μεῖζον αὐτοῦ κακὸν ἐθηρεύθη.

17. Οὐ νέος μακαριστός, ἀλλὰ γέρων βεβιωκὼς καλῶς·

3–4 = *Rata sent.* 17; Diodori 25 Fr. 1 **5–7** = *Rata sent.* 27 **8–11** = Usener, Fr. 204; Sen. *Ep.* 1.1 s.; Stob. 3.16.29; Plut. *Contra Epic. beatid.* 1104 E et 1106 F

3 βίος V et Diodor. : om. DL **6** φιλίας DL : σοφίας V **8** γεγόναμεν Stob., Plut. : ἐγεγόναμεν V | δεῖ δὲ (sc. ἡμᾶς), cf. G. Burzacchini, *Eikasmos* 5 (1994) 187 s. **9** κύριος Stob. : om. V **10** τὸν καιρὸν Stob. : τὸ χαῖρον V | μελισμῷ V **11** post καὶ addit διὰ τοῦτο Stob. | εἷς om. Stob. **12** τιμῶμεν V : τιμώμενα Wotke **13** ζηλούμενα Weil (*Journal des Savants,* 1888, 663) : ζηλούμεθα V : ζηλώμεθα Wilamowitz (*Comm. gramm.* 3.13) **14** χρὴ V : χρῆσις Usener | τὰ add. Weil, Wilamowitz | ἀνεπιεικῶς V, corr. Usener | ὦσιν V : ὦμεν K. Horna (*Cl. Ph.* 32 [1937] 267) **16** αὐτῷ addidi | ὡς ἀγαθὸν προσὸν μεῖζον ἂν τοῦ κακοῦ Usener | post ἀγαθῷ addit ὄντι αὐτῷ καὶ οὐκ ἀποβλέψας Von der Muehll

ὁ γὰρ νέος ⟨ἐν⟩ ἀκμῇ πολὺς ὑπὸ τῆς τύχης ἑτεροφρονῶν πλάζεται· ὁ δὲ γέρων καθάπερ ἐν λιμένι τῷ γήρᾳ καθώρμικεν τὰ πρότερον δυσελπιστούμενα τῶν ἀγαθῶν ἀσφαλεῖ κατακλείσας χάριτι.

18. Ἀφαιρουμένης προσόψεως καὶ ὁμιλίας καὶ συναναστροφῆς ἐκλύεται τὸ ἐρωτικὸν πάθος.

19. ⟨Ὁ⟩ τοῦ γεγονότος ἀμνήμων ἀγαθοῦ γέρων τήμερον γεγένηται.

20. Τῶν ἐπιθυμιῶν αἱ μέν εἰσι φυσικαὶ καὶ ἀναγκαῖαι, αἱ δὲ φυσικαὶ μὲν οὐκ ἀναγκαῖαι δέ, αἱ δὲ οὔτε φυσικαὶ οὔτε ἀναγκαῖαι ἀλλὰ παρὰ κενὴν δόξαν γινόμεναι.

21. Οὐ βιαστέον τὴν φύσιν ἀλλὰ πειστέον· πείσομεν δὲ τὰς ἀναγκαίας ἐπιθυμίας ἐκπληροῦντες, τάς τε φυσικὰς ἂν μὴ βλάπτωσι, τὰς δὲ βλαβερὰς πικρῶς ἐλέγχοντες.

22. Ὁ ἄπειρος χρόνος καὶ ὁ πεπερασμένος ἴσην ἔχει τὴν ἡδονήν, ἐάν τις ὀρθῶς αὐτῆς τὰ πέρατα καταμετρήσῃ τῷ λογισμῷ.

23. Πᾶσα φιλία δι' ἑαυτὴν αἱρετή· ἀρχὴν δὲ εἴληφεν ἀπὸ τῆς ὠφελείας.

24. Ἐνύπνια οὐκ ἔλαχε φύσιν θείαν οὐδὲ μαντικὴν δύναμιν, ἀλλὰ γίνεται κατὰ ἔμπτωσιν εἰδώλων.

25. Ἡ πενία μετρουμένη τῷ τῆς φύσεως τέλει μέγας ἐστὶ πλοῦτος· πλοῦτος δὲ μὴ ὁριζόμενος μεγάλη ἐστὶ πενία.

9–11 = *Rata sent.* 29 **15–17** = *Rata sent.* 19 **22–24** cf. Usener, Fr. 477

1 ⟨ἐν⟩ ἀκμῇ Bailey : ἀκμῇ **V** : ἀκμὴν Croenert (*Rhein. Mus.* 61 [1906] 420) : ἐντὸς (pro νέος) ἀκμῆς Usener | πολλὰ Hartel **4** χάριτι **V** (cf. p. 791.16) : χάρακι Hartel, Usener **7** ὁ add. Gomperz | ἀμνημονῶν Wilamowitz | ἀγαθοῦ Hartel : ἀγαθὸς **V** | τήμερον : αὐθήμερον coni. Usener **12** πιστέον **V** | πείσομεν : πεισόμεθα Bailey **13** τάς[1] ⟨τ'⟩ Usener **16** ὀρθῶς om. DL **18** αἱρετή Usener : ἀρετὴ **V** **23** ἐστὶ[1] : ἐπὶ **V**

26. Δεῖ διαλαβεῖν ὅτι καὶ ὁ πολὺς λόγος καὶ ὁ βραχὺς εἰς τὸ αὐτὸ συντείνει.

27. Ἐπὶ μὲν τῶν ἄλλων ἐπιτηδευμάτων μόλις τελειωθεῖσιν ὁ καρπὸς ἔρχεται, ἐπὶ δὲ φιλοσοφίας συντρέχει τῇ γνώσει τὸ τερπνόν· οὐ γὰρ μετὰ μάθησιν ἀπόλαυσις, ἀλλὰ ἅμα μάθησις καὶ ἀπόλαυσις.

28. Οὔτε τοὺς προχείρους εἰς φιλίαν οὔτε τοὺς ὀκνηροὺς δοκιμαστέον· δεῖ δὲ καὶ παρακινδυνεῦσαι χάριν φιλίας.

29. Παρρησίᾳ γὰρ ἔγωγε χρώμενος φυσιολογῶ⟨ν⟩ χρησμῳδεῖ⟨ν⟩ τὰ συμφέροντα πᾶσιν ἀνθρώποις μᾶλλον ἂν βουλοίμην, κἂν μηδεὶς μέλλῃ συνήσειν, ἢ συγκατατιθέμενος ταῖς δόξαις καρποῦσθαι τὸν πυκνὸν παραπίπτοντα παρὰ τῶν πολλῶν ἔπαινον.

30. Ἑτοιμάζονταί τινες διὰ βίου τὰ πρὸς τὸν βίον, οὐ συνορῶντες ὡς πᾶσιν ἡμῖν θανάσιμον ἐγκέχυται τὸ τῆς γενέσεως φάρμακον.

31. Πρὸς μὲν τἄλλα δυνατὸν ἀσφάλειαν πορίσασθαι, χάριν δὲ θανάτου πάντες ἄνθρωποι πόλιν ἀτείχιστον οἰκοῦμεν.

32. Ὁ τοῦ σοφοῦ σεβασμὸς ἀγαθὸν μέγα σεβομένῳ ἐστί.

33. Σαρκὸς φωνὴ τὸ μὴ πεινῆν, τὸ μὴ διψῆν, τὸ μὴ ῥι-

3–6 Metrodori Fr. 47 Koerte **15–17** = cod. Pal.-Heid. 129 Nr. 1. Metrodori Fr. 53 K. Cf. Stob. 3.16.21 **18–20** = cod. Pal.-Heid. Nr. 2; Usener, Fr. 339. Metrodori Fr. 51 K. **23–p. 820.2** = cod. Darmst. 2773, fol. 354[r]. Cf. Usener, Frr. 200 et 602

5 μάθησιν Wotke : μάθησις **V** **8** χάριν Usener : χάριν χάριν **V** **10** φυσιολογῶν Usener : φυσιολογῶ **V** : φυσιολόγῳ Croenert **11** χρησμῳδεῖν Usener : χρησμῶ:- Δεῖ **V** **15** post τὸν βίον addit ὡς βιωσόμενοι μετὰ τὸ λεγόμενον ζῆν Stob. **21** σεβασμὸς Usener : σεβαστὸς **V** : σεβαστὸς ⟨λόγος⟩ Bignone | ἀγαθῶν μετὰ τῶν σεβομένων **V**, corr. Usener

γοῦν· ταῦτα γὰρ ἔχων τις καὶ ἐλπίζων ἕξειν κἂν ⟨Διὶ⟩ ὑπὲρ εὐδαιμονίας μαχέσαιτο.

34. Οὐχ οὕτως χρείαν ἔχομεν τῆς χρείας παρὰ τῶν φίλων ὡς τῆς πίστεως τῆς περὶ τῆς χρείας.

35. Οὐ δεῖ λυμαίνεσθαι τὰ παρόντα τῶν ἀπόντων ἐπιθυμίᾳ, ἀλλ' ἐπιλογίζεσθαι ὅτι καὶ ταῦτα τῶν εὐκταίων ἦν.

36. Ὁ Ἐπικούρου βίος τοῖς τῶν ἄλλων συγκρινόμενος ἕνεκεν ἡμερότητος καὶ αὐταρκείας μῦθος ἂν νομισθείη.

37. Ἀσθενὴς ἡ φύσις ἐστὶ πρὸς τὸ κακόν, οὐ πρὸς τὸ ἀγαθόν· ἡδοναῖς μὲν γὰρ σῴζεται, ἀλγηδόσι δὲ διαλύεται.

38. Μικρὸς παντάπασιν, ᾧ πολλαὶ αἰτίαι εὔλογοι εἰς ἐξαγωγὴν βίου.

39. Οὔθ' ὁ τὴν χρείαν ἐπιζητῶν διὰ παντὸς φίλος, οὔθ' ὁ μηδέποτε συνάπτων· ὁ μὲν γὰρ καπηλεύει τῇ χάριτι τὴν ἀμοιβήν, ὁ δὲ ἀποκόπτει τὴν περὶ τοῦ μέλλοντος εὐελπιστίαν.

40. Ὁ λέγων πάντα κατ' ἀνάγκην γίνεσθαι οὐδὲν ἐγκαλεῖν ἔχει τῷ λέγοντι μὴ πάντα κατ' ἀνάγκην γίνεσθαι· αὐτὸ γὰρ τοῦτό φησι κατ' ἀνάγκην γίνεσθαι.

41. Γελᾶν ἅμα δεῖ καὶ φιλοσοφεῖν καὶ οἰκονομεῖν καὶ τοῖς λοιποῖς οἰκειώμασι χρῆσθαι καὶ μηδαμῇ λήγειν τὰς ἐκ τῆς ὀρθῆς φιλοσοφίας φωνὰς ἀφιέντας.

42. Ὁ αὐτὸς χρόνος καὶ γενέσεως τοῦ μεγίστου ἀγαθοῦ καὶ ἀπολαύσεως.

1 κἂν ⟨Διὶ⟩ Hartel ex Fr. 602 : καὶ **V** et Darmst. **13** μικρὸς **V** : οἰκτρὸς Usener **16** συνάπτων : sc. τῇ φιλίᾳ τὴν χρείαν **22** γελᾶν **V** (cf. Plut. *De def. orac.* 420 B = Usener, Fr. 394) : μελετᾶν Croenert | δεῖ J.H. Leopold (*Mnemos.* 38 [1910] 67) : δεῖν **V** **23** λήγειν Usener : λέγειν **V** **24** ὀρθῆς Hartel : ὀργῆς **V** **26** ἀπολαύσεως Usener : ἀπολύσεως **V** : ἀπολύσεως ⟨τοῦ κακοῦ⟩ Bignone (*S.I.F.C.* 10 [1932] 75), Arrighetti

43. Φιλαργυρεῖν ἄδικα μὲν ἀσεβές, δίκαια δὲ αἰσχρόν· ἀπρεπὲς γὰρ ῥυπαρῶς φείδεσθαι καὶ μετὰ τοῦ δικαίου.

44. Ὁ σοφὸς εἰς τὰ ἀναγκαῖα συγκαθεὶς μᾶλλον ἐπίσταται μεταδιδόναι ἢ μεταλαμβάνειν· τηλικοῦτον αὐταρκείας εὗρε θησαυρόν.

45. Οὐ κομποὺς οὐδὲ φωνῆς ἐργαστικοὺς οὐδὲ τὴν περιμάχητον παρὰ τοῖς πολλοῖς παιδείαν ἐνδεικνυμένους φυσιολογία παρασκευάζει, ἀλλὰ σοβαροὺς καὶ αὐτάρκεις καὶ ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς, οὐκ ἐπὶ τοῖς τῶν πραγμάτων μέγα φρονοῦντας.

46. Τὰς φαύλας συνηθείας ὥσπερ ἄνδρας πονηροὺς πολὺν χρόνον μέγα βλάψαντας τελείως ἐκδιώκωμεν.

47. Προκατείλημμαί σε, ὦ Τύχη, καὶ πᾶσαν σὴν παρείσδυσιν ἐνέφραξα. Καὶ οὔτε σοὶ οὔτε ἄλλῃ οὐδεμιᾷ περιστάσει δώσομεν ἑαυτοὺς ἐκδότους· ἀλλ' ὅταν ἡμᾶς τὸ χρεὼν ἐξάγῃ, μέγα προσπτύσαντες τῷ ζῆν καὶ τοῖς αὐτῷ κενῶς περιπλαττομένοις ἄπιμεν ἐκ τοῦ ζῆν μετὰ καλοῦ παιῶνος ἐπιφωνοῦντες ὡς εὖ ἡμῖν βεβίωται.

48. Πειρᾶσθαι τὴν ὑστέραν τῆς προτέρας κρείττω ποιεῖν, ἕως ἂν ἐν ὁδῷ ὦμεν· ἐπειδὰν δὲ ἐπὶ πέρας ἔλθωμεν, ὁμαλῶς εὐφραίνεσθαι.

7–11 Metrodori Fr. 48 K. **14–19** Metrodori Fr. 49 K.

2 φειδε · · · καὶ V **4** συγκαθεὶς Usener : συγκριθεὶς V, Bignone (77) : συγκλεισθεὶς Gomperz, Von der Muehll **5** ἐπίσταται Usener : παρίσταται V **7** κομποὺς K. Horna (*Wien. St.* 49 [1931] 33) : κόμπους V : κόμπου Usener **9** ἀλλὰ σοβαροὺς V : ἀλλ' ἀσοβάρους Leopold **13** μέγα βλάψαντας Hartel : μεταβλάψαντας V **14** ⟨τὴν⟩ σὴν Usener ex Plut. *De tranq. an.* 476 C **18** περιπλαττομένοις V : περιπλεκομένοις Usener **19** παιῶνος Usener : πλείονος V **20** τὴν ὑστεραίαν τῆς προτεραίας Usener

49. Οὐκ ἦν τὸ φοβούμενον λύειν ὑπὲρ τῶν κυριωτάτων μὴ εἰδότας τίς ἡ τοῦ σύμπαντος φύσις, ἀλλ' ὑποπτεύον⟨τάς⟩ τι τῶν κατὰ τοὺς μύθους. Ὥστε οὐκ ἦν ἄνευ φυσιολογίας ἀκεραίους τὰς ἡδονὰς ἀπολαμβάνειν.

50. Οὐδεμία ἡδονὴ καθ' ἑαυτὴν κακόν· ἀλλὰ τὰ ποιητικὰ ἐνίων πολλαπλασίους ὀχλήσεις ἐπιφέρει τῶν ἡδονῶν.

51. Πυνθάνομαί σου τὴν κατὰ σάρκα κίνησιν ἀφθονωτέραν διακεῖσθαι πρὸς τὴν ἀφροδισίων ἔντευξιν. Σὺ δὲ ὅταν μήτε τοὺς νόμους καταλύῃς μήτε τὰ καλῶς ἔθη κείμενα κινῇς μήτε τῶν πλησίον τινὰ λυπῇς μήτε τὴν σάρκα καταξαίνῃς μήτε τὰ ἀναγκαῖα καταναλίσκῃς, χρῶ ὡς βούλει τῇ σεαυτοῦ προαιρέσει. Ἀμήχανον μέντοι γε τὸ μὴ οὐχ ἑνί γέ τινι τούτων συνέχεσθαι· ἀφροδίσια γὰρ οὐδέποτε ὤνησεν, ἀγαπητὸν δὲ εἰ μὴ ἔβλαψεν.

52. Ἡ φιλία περιχορεύει τὴν οἰκουμένην κηρύττουσα δὴ πᾶσιν ἡμῖν ἐγείρεσθαι ἐπὶ τὸν μακαρισμόν.

53. Οὐδενὶ φθονητέον· ἀγαθοὶ γὰρ οὐκ ἄξιοι φθόνου,

1–4 = *Rata sent.* 12 **5–7** *Rata sent.* 8 **8–15** Metrodori esse vidit A. Vogliano (*S.I.F.C.* 13 [1936] 267–287), ex pap. Berol. 16369 **14–15** Usener, Fr. 62

1 οὐκ ἦν : οὔκουν V **2** εἰδότας V : εἰδότα Usener : κατειδότα DL | τίς ἡ : τι ἐκ V **2–3** ὑποπτεύον⟨τάς⟩ τι Von der Muehll : ὑποπτεύοντι V : ὑποπτεύοντά τι Usener : ὑποπτευόμενόν τι DL **5–6** τὰ ποιητικὰ ἐνίων : τὰ τινῶν ἡδονῶν ποιητικὰ DL **8** ἀφθονωτέραν *Pap.* : ἀφθονότερον V **9** ἀφροδισίων Usener : ἀφροδίσιον V **10** ὅταν Usener : ὅτε V : εἰ *Pap.* | μήτε^{1} V : μὴ *Pap.* | καταλύεις V | ἔθη *Pap.* et coni. Hartel : ἔθει V **11** πλησίον *Pap.* : πλησίων V | λιπεῖς *Pap.* **12** καταξαίνεις *Pap.* | καταναλίσκεις ss. V, καταγινώσκεις V : εἰ[7 litt. | 6 litt.]αναλίσκεις *Pap.* : εἰ[ς τὰς πόρ|νας κατ]αναλίσκεις coni. Vogliano (273) **13** ἑαυτοῦ *Pap.* | τὸ Usener : τῷ V **16** ἡ φιλία : ἡ φιλοσοφία Hartel, Weil

πονηροὶ δὲ ὅσῳ ἂν μᾶλλον εὐτυχῶσι, τοσούτῳ μᾶλλον αὐτοῖς λυμαίνονται.

54. Οὐ προσποιεῖσθαι δεῖ φιλοσοφεῖν, ἀλλ' ὄντως φιλοσοφεῖν· οὐ γὰρ προσδεόμεθα τοῦ δοκεῖν ὑγιαίνειν, ἀλλὰ τοῦ κατ' ἀλήθειαν ὑγιαίνειν.

55. Θεραπευτέον τὰς συμφορὰς τῇ τῶν ἀπολλυμένων χάριτι καὶ τῷ γινώσκειν ὅτι οὐκ ἔστιν ἄπρακτον ποιῆσαι τὸ γεγονός.

56–57. Ἀλγεῖ μὲν ὁ σοφὸς οὐ μᾶλλον στρεβλούμενος ⟨ἢ στρεβλουμένου⟩ τοῦ φίλου· ⟨εἰ δὲ ἀδικήσεται ὑπ' αὐτοῦ,⟩ ὁ βίος αὐτοῦ πᾶς δι' ἀπιστίαν συγχυθήσεται καὶ ἀνακεχαιτισμένος ἔσται.

58. Ἐκλυτέον ἑαυτοὺς ἐκ τοῦ περὶ τὰ ἐγκύκλια καὶ πολιτικὰ δεσμωτηρίου.

59. Ἄπληστον οὐ γαστήρ, ὥσπερ οἱ πολλοί φασιν, ἀλλὰ δόξα ψευδὴς ὑπὲρ τοῦ ⟨τῆς⟩ γαστρὸς ἀορίστου πληρώματος.

60. Πᾶς ὥσπερ ἄρτι γεγονὼς ἐκ τοῦ ζῆν ἀπέρχεται.

3–5 Usener, Fr. 220 **9–10** = cod. Pal.-Heid. Nr. 3. Cf. Usener, Fr. 546 **11** δι' ἀπιστίαν : cf. *Sent. Vat.* 34 **18** Usener, Fr. 495

1 εὐτυχῶσι Wotke : ἐντυχῶσι V **2** αὐτοῖς V **6** ἀπολλυμένων s. Wotke s. Usener : ἀπολελυμένων V, Bollack **7** χάριτι : 'grata recordatione' Cic. *De fin.* 1.57 **8** γεγονός Usener : γένος V **9–12** una sententia in V : cum Ὁ βίος αὐτοῦ novam sententiam incipiunt Wotke, Usener, Von der Muehll **9–10** στρεβλούμενος ⟨ἢ στρεβλουμένου⟩ τοῦ φίλου Von der Muehll ex cod. Pal.–Heid. Nr. 3 : στρεβλούμενος τὸν φίλον V : στρεβλούμενος ⟨αὐτὸς ἢ ὁρῶν στρεβλούμενον⟩ τὸν φίλον Usener (*Kl. Schr.* I, 324) : στρεβλούμενος ⟨ἢ στρεβλουμένου τοῦ φίλου, καὶ ὑπὲρ αὐτοῦ τεθνήξεται· εἰ γὰρ προήσεται⟩ τὸν φίλον suppl. Bignone **10** εἰ δὲ ἀδικήσεται ὑπ' αὐτοῦ supplevi post C. Bailey (εἰ δὲ ἀδικήσει αὐτὸν ὁ φίλος) **14** δεσμωτηρίου Usener : δεσμωτήρια V **16** τῆς add. Usener

61. Καλλίστη καὶ ἡ τῶν πλησίον ὄψις, τῆς πρώτης συγγενήσεως ὁμονοούσης ἢ καὶ πολλὴν εἰς τοῦτο ποιουμένης σπουδήν.

62. Εἰ γὰρ κατὰ τὸ δέον ὀργαὶ γίνονται τοῖς γεννήσασι πρὸς τὰ ἔκγονα, μάταιον δήπουθέν ἐστι τὸ ἀντιτείνειν καὶ μὴ παραιτεῖσθαι συγγνώμης τυχεῖν· εἰ δὲ μὴ κατὰ τὸ δέον ἀλλὰ ἀλογώτερον, γελοῖον πάν⟨τως⟩ τὸ προσεκκαίειν τὴν ἀλογίαν θυμοκατοχοῦντα, καὶ μὴ ζητεῖν μεταθεῖναι κατ' ἄλλους τρόπους εὐγνωμονοῦντα.

63. Ἔστι καὶ ἐν λεπτότητι καθαριό⟨τη⟩ς, ἧς ὁ ἀνεπιλόγιστος παραπλήσιόν τι πάσχει τῷ δι' ἀοριστίαν ἐκπίπτοντι.

64. Ἀκολουθεῖν δεῖ τὸν παρὰ τῶν ἄλλων ἔπαινον αὐτόματον, ἡμᾶς δὲ γίνεσθαι περὶ τὴν ἡμῶν ἰατρείαν.

65. Μάταιόν ἐστι παρὰ θεῶν αἰτεῖσθαι ἅ τις ἑαυτῷ χορηγῆσαι ἱκανός ἐστι.

66. Συμπαθῶμεν τοῖς φίλοις οὐ θρηνοῦντες ἀλλὰ φροντίζοντες.

67. Ἐλεύθερος βίος οὐ δύναται κτήσασθαι χρήματα πολλὰ διὰ τὸ πρᾶγμα ⟨μὴ⟩ ῥᾴδιον εἶναι χωρὶς θητείας ὄχλων ἢ δυναστῶν, ἀλλὰ ⟨ἐν⟩ συνεχεῖ δαψιλείᾳ πάντα κέκτηται· ἂν δέ που καὶ τύχῃ χρημάτων πολλῶν, καὶ ταῦ-

1 πλησίων V | συγγενήσεως Diano : συγγενείας V **2** ἢ καὶ Hartel : ἢ εἰ (corr. ex οἱ) V : ἢ [εἰ] Weil | ποιουμένης Usener : ποιουμένη V **5** ἔγγονα V **6** ante συγγνώμης addit ὥστε Croenert (*Rhein Mus.* 61 [1906] 421) **7** πάν⟨τως⟩ Von der Muehll : πᾶν V : πάνυ Weil | προσεκκαίειν Weil : πρὸς ἔκκλησιν V **8** θυμοκατοχοῦντα Croenert : θυμῶ, κατοχοῦντα V **9** εὐγνωμονοῦντας V, corr. Croenert **10** λεπτότητι V : λιτότητι Usener | καθαριό⟨τη⟩ς Von der Muehll : καθάριος V : μεθόριος Usener **14** γίνεσθαι scripsi : γενέσθαι V **17** συμπαθῶ μὲν V **19** ⟨Ὁ⟩ ἐλεύθερος Croenert | χρήσασθαι κτήματα V, corr. Hartel **20** μὴ add. Usener | θηλείας V, corr. Hartel **21** ἐν add. Hartel : σὺν add. Usener

τα ῥᾳδίως ἂν εἰς τὴν τοῦ πλησίον εὔνοιαν διαμετρήσαι.

68. Οὐδὲν ἱκανὸν ᾧ ὀλίγον τὸ ἱκανόν.

69. Τὸ τῆς ψυχῆς ἀχάριστον λίχνον ἐποίησε τὸ ζῷον εἰς ἄπειρον τῶν ἐν διαίτῃ ποικιλμάτων.

70. Μηδέν σοι ἐν βίῳ πραχθείη ὃ φόβον παρέχει σοι εἰ γνωσθήσεται τῷ πλησίον.

71. Πρὸς πάσας τὰς ἐπιθυμίας προσακτέον τὸ ἐπερώτημα τοῦτο· τί μοι γενήσεται ἂν τελεσθῇ τὸ κατὰ τὴν ἐπιθυμίαν ἐπιζητούμενον, καὶ τί ἐὰν μὴ τελεσθῇ;

72. Οὐθὲν ὄφελος ἦν τὴν κατ' ἀνθρώπους ἀσφάλειαν παρασκευάζεσθαι τῶν ἄνωθεν ὑπό⟨πτων ὄ⟩ντων καὶ τῶν ὑποκάτω καὶ ἁπλῶς τῶν ἐν τῷ ἀπείρῳ.

73. Καὶ τὸ γενέσθαι τινὰς ἀλγηδόνας περὶ σῶμα λυσιτελεῖ πρὸς φυλακὴν τῶν ὁμοειδῶν.

74. Ἐν φιλολόγῳ συζητήσει πλεῖον ἤνυσεν ὁ ἡττηθείς, καθ' ὃ προσέμαθεν.

75. Εἰς τὰ παρῳχηκότα ἀγαθὰ ἀχάριστος φωνὴ ἡ λέγουσα Τέλος ὅρα μακροῦ βίου.

76. Τοιοῦτος εἶ γηράσκων ὁποῖον ἐγὼ παραινῶ, καὶ διέγνωκας ὁποῖόν ἐστι τὸ ἑαυτῷ φιλοσοφῆσαι καὶ οἷον τὸ τῇ Ἑλλάδι· συγχαίρω σοι.

77. Τῆς αὐταρκείας καρπὸς μέγιστος ἐλευθερία.

78. Ὁ γενναῖος περὶ σοφίαν καὶ φιλίαν μάλιστα γίγνεται· ὧν τὸ μέν ἐστι θνητὸν ἀγαθόν, τὸ δὲ ἀθάνατον.

2 = Usener, Fr. 473; cod. Pal.-Heid. Nr. 4 **10–12** = *Rata sent.* 13 **18** cf. Solonem ap. Stob. 2.7.18; *Schol.* in Lucianum, p. 5.11 Rabe et al.

1 διαμετρῆσαι **V** **3** λίχνον ex λέχνον corr. **V** **10** ἀνθρώπους Von der Muehll ex DL : ἀνθρώπου **V** : ἄνθρωπον Usener **11** κατασκευάζεσθαι DL | ὑπό⟨πτων ὄ⟩ντων Usener : ὑπόντων **V** : ὑπόπτων καθεστώτων DL **12** ὑποκάτω **V** : ὑπὸ γῆς DL **13** γενέσθαί **V** : ⟨γε⟩γενῆσθαι Usener **15** πλείων **V** **19** διέγνωκας Usener : δὴ ἔγνωκας **V** **20** τὸ[2] Hartel : τῶ **V** **24** θνητὸν Hartel : νοητὸν **V**

79. Ὁ ἀτάραχος ἑαυτῷ καὶ ἑτέρῳ ἀόχλητος.

80. Νέῳ πρώτη σωτηρίας μοῖρα τῆς ἡλικίας τήρησις καὶ φυλακὴ τῶν πάντα μολυνόντων κατὰ τὰς ἐπιθυμίας τὰς οἰστρώδεις.

81. Οὐ λύει τὴν τῆς ψυχῆς ταραχὴν οὐδὲ τὴν ἀξιόλογον ἀπογεννᾷ χαρὰν οὔτε πλοῦτος ὑπάρχων ὁ μέγιστος οὔθ' ἡ παρὰ τοῖς πολλοῖς τιμὴ καὶ περίβλεψις οὔτ' ἄλλο τι τῶν παρὰ τὰς οἰζυρὰς ⟨ἀπλ⟩έτους αἰτίας.

Cod. Palatino-Heidelbergensis gr. 129, s. XIV, fol. 23^{r}

1. = *Sent. Vat.* 30
2. = *Sent. Vat.* 31
3. = *Sent. Vat.* 56
4. = *Sent. Vat.* 68

5. Μειρακιείαν κατὰ τὴν ἐν λόγοις εὐρυθμίαν παραιτητέον· μικρὰ γὰρ θαυμαζομένη μεγάλων στερίσκεται.

6. Οἱ κόλακες τύχης εὐημερούσης διάκονοι.

3–4 cf. Plat. *Tim.* 91 b 6; *Legg.* 5, 734 a 4 **5–8** cf. Usener, Fr. 470 **9–11** ed. M. Treu. Cf. Usener, *Kl. Schr.* I, 322–324, Von der Muehll

2 νέῳ Horna (*Wien. St.* 49 [1931] 34) : ν·'ω V **8** οἰζυρὰς ⟨ἀπλ⟩έτους scripsi (*I.C.S.* 10 [1985] 192–194) : ἀζῦρ·`ς ἔτους V : ἀδιορίστους Usener **9** μειρακιείαν κατὰ Usener : μυρακιείαν καὶ *Pal.*